Alcaeus. 14. a. N. 68. b. Vesp. 256. a.
Av. 301. b. 306. b. Pac. 343. b.

Anacreon. 14. a. 36. a. Ach. 213. b. 221. a.
Av. 300. b.

Pamphilus. 16. b.

Callistratus. 16. b. [290. a. 292. a. 300. b. 301. b. 304. a. 305. a. 308. b.]

Euphronius. 16. b. N. 88. b. R. 126. b. Vesp. 234. a. 240. a. 241. b. 249. b. 252. a. 253. b. 262. b. Av. 271. b. 273. a. 274. b. 280. a. 285. a. [illegible]

Herodorus 16. b. 19. b. N. 51. a. 58. a. 60. a. 84. b. Eq. 142. a. b. 155. b. 176. b. Vesp. 236. b. 256. b. Pac. 319. a.

Pherecrates. 16. b. R. 105. a. Eq. 165. a. 169. a. Ach. 192. b. Vesp. 237. b. 240. a. 240. b. 242. b. 250. b.

Apollodorus pictor. 16. b. [262. a. Av. 287. b. 292. b. Pac. 321. b. 330. a. Eccl. 347. a. 350. b.]

Aeschylus. 17. b. N. 69. a. 74. b. 90. b. R. 97. b. [illegible] 115. b. 118. b. 119. a. b. 120. a. b. 121. b. 122. a. b. 123. b. [illegible] 125. a. b. 127. a. b. 129. a. b. 130. a. b.

Archilochus. 19. a. N. 49. a. 57. b. Eq. 165. b. Ach. 193. b. 199. b. 209. b. 222. b. Av. 282. b. 286. a. b. 302. a. 307. [illegible] 328. a. Pac. 321. a. 341. b.

Epicharmus. 19. b. Pac. 317. b.

Aristoxenus. 19. b. R. 106. a. 121. b. Vesp. 256. a.

Apollodorus. 21. a. N. 64. b. R. 105. b. Ach. 216. b. Vesp. 237. b. Av. 292. b. 300. a.

Sophron. 22. a. 41. a. R. 100. a. 104. b. Vesp. 258. b.

Didymus. 22. a. 36. a. 39. b. N. 50. a. R. 96. a. b. 97. a. 99. b. 103. b. 115. b. 117. b. 122. b. 123. a. b. 124. b. Eq. 170. a. Ach. 210. b. Vesp. 243. b.

Dionysius Κορινθιος. 23. b.

Menander. 26. b. 27. b. 50. a. 75. a. Eq. 160. b. 165. b. Ach. 196. a. 199. a. 218. a. 220. b. Vesp. 228. b. 240. a. 262. a. 278. a. 293. b. 303. [illegible] Pac. [illegible]

Callimachus. 27. a. N. 54. a. 60. a. 66. b. 68. R. 102. a. 132. a. Eq. 169. a. 175. b. 44. 194. b. 210. b. Vesp. [illegible]

Demosthenes. 27. b. 58. b. Eq. 152. a. 159. a. 167. a. 169. a. Ach. 195. a. b. 196. b. 199. b. 200. a. b. 201. a.

Lycurgus. 27. b. [Vesp. 228. b. 229. a. 242. a. 241. a. 260. b. 262. 268. a. 271. a. 287. b. Pac. 334. b. 343. b.]

Lysias. Eq. 163. a.

Hermippus. 28. a. N. 60. b. 69. a. Vesp. 240. a. 248. Av. 273.

Eupolis. 28. b. 32. b. 36. b. N. 46. b. 48. b. 49. a. 54. 55. a. 61. a. 62. a. b. 69. b. 81. a. 82. a. 104. b. 106. [illegible] 122. a. 125. a. 130. a. 134. a. 136. b. Eq. 150. b. 156. a. 177. b. 187. a. Ach. 199. a. 205. a. b. Vesp. 225. b. 226. a. b. 240. a. b. 241. b. 243. a. b. 250. a. b. 253. a. 259. a. Av. 266. a. 267. a. 272. b. 280. b. 282. a. 284. a. 288. a. 297. b. 298. b. 300. b. 304. b. Pac. 330. a. 331. a. 332. a. 337. b. 339. a. 342. a. 343. [illegible]

Sannyrion. 28. b.

Hyperides. 28. b. Av. 289. a.

Telephus. 28. b.

Sappho. 29. a.

Eratosthenes [illegible]

Melanthius. 31. b.

Gabelius. 32. b.

Alexandrides. 32. a.

Philochorus. 34. a. Chemissio. 40. a. 53. b. R. 102. a. 116. a. 117. b. 128. b. Eq. 174. Ach. 190. a. 206. b. 234. a. 237. b. [illegible]

Damon. 35. b.

[illegible]

Symmachus. 36. b. N. 76. b. Eq. 142. a. 158. b. 176. b. 177. b. 181. b. 194. a. Av. 194. b. 214. b. 220. b. [illegible]

Dicaearchus. 36. b. 39. [illegible] 257. b. Av. 285. a. 268. a. 269. a. 276. b. 283. b. 290. b. 292. a. 294. b.

Sophron. 37. a. N. 75. a. Ach. 196. a. 198. b. 204. a.

Euthenius. 29. a.

Alexis. Eccl. 350. b.

Athenaeus. 39. a. N. 49. a. Pac. 343. b.

Aesopus. 39. a.

Epigramma. 39. a. Ach. 205. a. Vesp. 262. b.

Eubulus. 39. b.

Lycophron. 41. a. R. 133. a. Vesp. 228. b. 230. a. 242. a. Pac. 328. b.

Herodicus. 42. a. 56. b.

Aristias. 42. b. N. 61. b. R. 96. Vesp. 244. a. Av. 282. 291. b.

Asclepiades. Alex. N. 45. b. R. 130. b. 132. b. Av. 274. b. 280. b.

Demetrius Phalereus. N. 45. b. R. 98. a. 105. b. 107. a. 123. a. b. Vesp. 250. Av. 305. b.

Lucianus. N. 7. b. 59. b. R. 123. a.

Crates. N. 48. b. R. 102. a. Eq. 160. a. 169. a. Vesp. 245. b. Pac. 309. a.

Diphilus. 48. b. Eq. 177. a.

Philochorus. N. 48. b. 51. b. Vesp. 241. b. 260. a. Av. 299. a. Pac. 343. b.

Hipponax. N. 48. b.

Brada. N. 48. b.

Zenodotus. 50. a.

Zacharias. N. 50. a. 53. a.

Chrysippus nulla sed scripta

Phialis parma autor Eq. 129. b.

Theognis. Ach. 129. b. 194. a.

Demosthenes. Eccl. 349. b.

Archippus. Eq. 155. a. Vesp. 229. a. 234. b. 236. a. An. 306. b.

Magnes. Eq. 159. a.

Apion. Eq. 162. a.

Appianus. Eq. 162. b.

Aeschines. Ecc. 340. a.

Timocreon Rhodius. R. 131. a. Ach. 205. b. Vesp. 251. b.

Melitus. R. 131. b.

Tyrannion. R. 131. b.

Timotheus. R. 135. a.

Panaetius. R. 136. a.

Clearchus. Eq. 180. a.

Alexander. Eq. 184. a. Pac. 339. b.

~~Eupolidus. Eq. 182. a. Vesp. 232. b.~~
~~Euphronius. R. 126. b.~~

Archelaus. R. 127. a.

Cephisodemus. An. 292. b.

Aeschylus. 131. a. 132. b. 133. b. 134. a. b. 135. a. 136. b. 137. a. Eq. 162. b. 169. a. 185. a. 186. a. Ach. 129. b. 200. b. 214. b. Vesp. 224. b. 227. b. 231. a. 238. b. An. 272. a. b. 297. a. 302. a. 276. b. 301. a. Pac. 330. a. 342. b.

Didymus. R. 121. b. Vesp. 251. a. b. 254. b. 258. a. 259. b. An. 265. a. 266. a. 267. b. 270. b. 273. a. b. 279. b. 283. b. 284. b. 285. b. 286. b. 287. a. 288. b. 292. a. 294. b. 295. a. 297. b. 298. a. 298. b. 300. a. b. 304. a. 307. a. b. 309. Pac. 331. a. 333. b. 336. b. 344. a.

Olympus. Eq. 139. a.

Xenophanes. Eq. 184. a.

Herodicus. R. 124. b.

Alexander. R. 119. b.

Timachidas. R. 97. a. 113. b. 120. a. 128. b. 130. b. 131. a.

Iophon. R. 97. b.

Melanthius. Pac. 332. b.

Satyrus. R. 97. b.

Choerilus. R. 97. b.

Agathon. R. 98. a. Eccl. 346.

Pythangelus. R. 98. a.

Morsimus. R. 100. a. Eq. 153. b. Pac. 332. b.

Cinesias. R. 100. a. 107. b.

Philostratus in vita Apollonij Tyanei. R. 102. a.

~~Philochorus. R. 102. a.~~
Phormisius. R. 122. b.

Herodianus. R. 102. a. 121. b. Eq. 139. b. 155. b. 158. a. 178. a. 183. a. Vesp. 236. 239. b. An. 282. a. b. 307. a. Pac. 310. b. 319. b. 326. b.

Theophrastus. R. 103. a. Eq. 155. a. Eq. 178. b. Vesp. 233. a. 257. a.

Sannyrion. R. 104. b.

Aristarchus. R. 104. b. 105. a. 106. a. 107. 123. a. b. 127. b. 128. b. 130. b. 133. b. 134. a. b. Eq. 158. a. 169. a. 188. b. 185. a. Vesp. 229. b.

Diagoras. R. 105. a. An. 293.

Carcinus. R. 111. a. An. 293. b.

Apollodorus Tarsensis. 105. a.

~~Apion. R. 115. b.~~
Dionysodorus. Eq. 185. b.

Anacias. R. 114. b.

Hellanicus. R. 115. b.

[illegible]. Pag. 116. a. 134. b. An. 294. b. Pac. 323. b.

Asphorius. R. 119. a.

Χρὴ τοὺς ἀετοὺς καρὶδων οὐδὲ κεῖμον ἔθνος ...
... ἐμπάτοις ... μελέτης
... ἔχων ... σοφὸν
[illegible]

ζωὸν καὶ τόμε ... χλος δὸ

Synesius. Pl. 1. b. 3. b.

Pindarus. Pl. 1. b. 9. b. 16. b. N. 49. a. 53. b. 54. a. 58. a. 74. b. R. 122. b. Eq. 164. a. 184. b. 186. a. Ach. 208. a. 210. b. Vesp. 232. a. Au. 279. a. 290. a. b. 291. a. Pac. 322. b.

Diodorus. 1. b.

Homerus. Pl. 2. b. 3. b. 4. b. 5. b. 7. a. 9. a. 14. a. 18. b. 26. b. 27. b. 29. b. 31. a. 37. b. N. 46. b. 48. a. 51. b. 52. b. 55. a. 56. b. 58. a. b. 60. b. 62. a. 68. a. 69. b. 72. a. 75. a. 76. b. 84. a. 86. a. 90. b. R. 94. a. 95. 96. a. 100. b. 101. a. 102. b. 112. b. 113. b. 117. b. 118. b. 119. a. 125. a. 126. 136. a. Eq. 142. b. 143. b. 144. a. 147. a. 150. b. 158. a. 165. b. 166. b. 167. a. 169. b. 170. b. 172. a. 181. b. 186. a. Ach. 189. a. b. 190. a.

Archimachus. 3. a. 28. b. N. 82. a. Ach. 221. a. Pac. 344. a.

Euripides. Pl. 3. a. 9. a. 17. b. 18. a. 20. b. 24. b. 26. a. 44. 45. a. 46. a. b. 49. a. 50. b. 67. b. 70. b. 78. b. 79. a. 85. b. 91. a. R. 97. b. 98. a. b. 104. a. b. 105. a. 109. a. b. 111. b. 112. a. 115. a. 117. b. 119. a. b. 120. b. 124. a. 125. a. b. 133. 125. a. 126. b. 127. a. b. 128. a. b. 129. a. b. 130. a. 131. a. b.

Cratinus. 4. b. 19. b. 24. b. 42. b. N. 61. b. 65. a. 67. b. 76. a. 79. a. 80. b. R. 106. a. Eq. 153. b. 159. b. 160. a. 170. b. 181. b. 188. a. Ach. 189. b. 213. b. Vesp. 228. a. 233. a. 237. a. 239. a. 240. a. b. 254. b. 256. a. Au. 268. b. 277. b. 279. a. 282. a. 287. b. 298. b. 304. b. 305. a. 328. a. 337. b.

Philostrates. 4. a. 18. a. b. 41. a. N. 88. b. R. 115. b. Eq. 141. a. 142. a. 169. a. 170. b. 179. b. 186. a. Ach. 189. a. 190. a. 194. b. 198. b. 202. b. 210. a. Vesp. 236. b. 242. a. Au. 269. b. 278. a. 280. a. 305. b. Pac. 320. b. 321. b.

Sophocles. 4. a. 16. a. 17. a. 19. b. 26. a. 22. b. 30. 45. 50. b. 55. b. 63. a. 65. a. 68. a. 83. a. 85. b. 88. b. 91. b. R. 97. b. 98. a. b. 101. a. b. 102. b. 106. a. 109. b. 112. b. 114. b. 118. a. 122. a. 129. b. Eq. 142. a. 158. b. 182. a. Ach. 197. a. 209. b. 210. b. Vesp. 224. b. 235. b. 238. b. 246. b. 262. a. Au. 267. b. 272. a. b. 290. a. 296. b. 297. a. 299. a. Pac. 328. b. 341. Eccl. 347. a.

Apollonius Rhodius. 4. a. Argonauticis. 4. b.

Apollonius Rhodius. Vesp. 256. a.

Apollonius. 5. a. N. 63. a. 83. a. R. 108. a. 110. a. 118. a. 119. a. 120. a. 122. b. 127. a. 130. b. 131. a. 132. b. 134. a. b. Eq. 139. b. Au. 297. a. Pac. 341. a.

Hesiodus. 5. a. 11. a. 29. a. R. 95. a. 111. b. 122. a. Eq. 164. b. 176. b. Ach. 195. a. b. 199. a. 215. a. 218. a. Vesp. 230. a. 233. a. 256. b. Au. 278. b. 283. b. 295. a. 302. a. Pac. 342. a.

Phalaris. 6. a.

Theognis. Eq. 163. a.

Libanius. 6. b. 9. b.

Chrysippus. Eq. 177. b.

Strabo. 6. b. N. 60. a.

Socrates. Au. 279. a.

Phocion Siphnius. 6. b. 31. b.

Achaeus. Pac. 347. b.

2 Euripides. R. 132. a. b. 133. b. 134. a. b. 135. a. b. 136. a. Eq. 139. a. b. 145. b. 161. b. 167. b. 171. b. 177. a. 182. b. 183. a. 184. a. 185. b. Ach. 189. b. 191. a. 193. b. 198. a. b. 200. a. b. 202. b. 203. a. b. 204. a. b. 205. a. b. Vesp. 225. b. 227. a. 232. a. 242. a. 243. a. 252. a. 253. a. 259. a. 260. a. Au. 270. a.

Plato in Amphiarao. 7. b. Comicus. 8. a. N. 49. a. 55. a. 59. b. 72. b. R. 94. a. 102. a. 105. b. 111. a. 113. b. 127. b. Ach. 190. b. 201. b. Vesp. 229. a. 238. a. Au. 267. b. 268. b. 269. a. 273. a. 277. b. 280. a. 296. b. 301. a. 329. b. 332. a. 337. a. 343. b.

Plato. 8. a. 16. a. N. 61. b. 62. a. 88. b. 91. b. R. 98. a. 101. b. 131. b. 136. b. Eq. 164. b. Vesp. 222. a. 229. a. 242. b. 244. a. 245. b. 250. b. 254. b. Au. 278. a. 283. b. Eu. 330. b.

Callistratus. 8. a. 16. b. 28. b. 38. b. R. 98. b. 102. b. 103. b. 112. b. 113. b. 117. b. 120. a. 119. a. 134. a. Vesp. 228. a. 229. b. 239. a. 240. a. 243. b. 244. b. 250. a. 257. b. Au. 263. 276. b. 278. b. 279. b. 290. a. 292. a. 299. b. 300. b. Pac. 339. a. 341. a.

Nicochares. 8. a. 14. a.

Aristomenes. Ach. 189. a.

Phyllius. 8. a.

Praxion. Eccl. 346. b.

Theopompus. 8. a. 29. b. 36. a. 39. b. N. 72. b. 91. b. R. 102. a. Eq. 146. a. Ach. 195. 218. a. 219. b. Vesp. 231. 248. a. 249. b. 251. b. 252. b. Au. 265. b. 280. a. 285. b. 289. a. 291. a.

Theocritus. 9. a. b. N. 81. b. 84. b. R. 103. a. 111. b. Ach. 197. a. 212. a. Vesp. 260. a. 261. b. Au. 266.

Hephestion. 9. a. 19. b. 24. b. 57. a. b. R. 130. a.

2 Theopompus. 292. b. 300. a. 301. b. 305. b. Pac. 339. b.

Aristoteles. 12. b. 23. a. 34. a. 45. b. 63. a. b. 65. a. 78. b. 79. b. R. 131. a. Eq. 154. b. 155. a. 172. a. Ach. 192. b. 197.

REGISTRVM.

ABCDEFGHIKLMNOPQRSTVXYZ.

AA. BB. CC. DD. EE. FF. GG. HH. II KK. LL. MM. NN. OO. PP. QQ. RR. SS. TT. VV. XX. YY. ZZ.

Quaterniones omnes præter. ZZ. qui est duerno.

Florentiæ per hæredes Philippi Iuntæ. Anno salutis. M.D.XXV. mense Februario. CLE. VII. Pontifice. Maximo.

Σιλφιοπαραομελιτοκατακεχυμένο,
κιγκλεπικοσσυφοφαττοπεριστέρα
λεκτρυονοπτεκεφαλλιοκίγκλοπε
λειολαγωοσιραιοβάφητραγανοπτερύγων.
σὺ δὲ ταῦτ' ἀκροασάμενος ταχὺ καὶ ταχέως
λαβὲ τρύβλιον· εἶτα λαβὼν κόνισαι
λέκιθον ἵν' ἐπιδειπνῇς.

Κόνισαι γυμνάσθητι.

Ἡμ. ἀλλὰ λαιματτουσί που.
αἴρεσθ' ἄνω. ἰαὶ εὐαί.
δειπνήσομεν εὐοῖ εὐαῖ.
εὐαί ὡς ἐπινίκῃ εὐαῖ. εὐ. αῖ. εὐ. αῖ. εὐ. αῖ. εὐαι.

Ἀριστοφάνους ἐκκλησιαζουσῶν τέλος.

ξυνεσπεσοῦμαι γὰρ μετὰ σοῦ. Νε. μὴ πρὸς θεῶν·
ἑνὶ γὰρ ξυνέχεσθαι κρεῖττον ἢ δυοῖν κακοῖν.
Γρ. νὴ τὴν ἑκάτην, ἐάν τε βούλῃ γ' ἤν τε μή.
Νε. ὦ τρισκακοδαίμων, εἰ γυναῖκα δεῖ σαπρὰν
βινεῖν ὅλην τὴν νύκτα καὶ τὴν ἡμέραν,
κἄπειτ' ἐπειδὰν τῆσδ' ἀπαλλαγῶ, πάλιν
φρύνην ἔχουσαν λήκυθον πρὸς ταῖς γνάθοις.
ἆρ' οὐ κακοδαίμων εἰμί; βαρυδαίμων μὲν οὖν
νὴ τὸν Δία τὸν σωτῆρ' ἀνὴρ καὶ δυστυχής.
ὅστις τοιούτοις θηρίοις συνείρξομαι.
ὅμως δ' ἐάν τι πολλάκις πάθω,
ὑπὸ τοῖνδε τοῖν κασαλβάδοιν δεῦρ' ἐς πλέων
θάψαι μ' ἐπ' αὐτῷ τῷ στόματι τῆς ἐσβολῆς
καὶ τήνδ' ἄνωθεν ἐπιπολῆς τοῦ σήματος,
ζῶσαν καταπιττώσαντας. εἶτα τὼ πόδε
μολυβδοχοήσαντας κύκλῳ περὶ τὰ σφυρά,
ἄνω 'πιθεῖναι πρόφασιν ἀντὶ ληκύθου.
Θε. ὦ μακάριος μὲν δῆμος, εὐδαίμων δ' ἐγώ.
αὐτή τέ μοι δέσποινα μακαριωτάτη.
ὑμεῖς δ' ὅσαι παρέστατ' ἐπὶ ταῖς θύραις,
οἵ γείτονές γε πάντες οἵ τε δημόται
ἐγώ τε πρὸς τούτοισιν ἡ διάκονος.
ἥτις μεμύρωμαι τὴν κεφαλὴν μυρώμασιν,
ἀγαθοῖσιν ὦ Ζεῦ· πολὺ δ' ὑπερπέπαικεν αὖ
τούτων ἁπάντων τὰ τάσια ἀμφορείδια,
ἐν τῇ κεφαλῇ γὰρ ἐμμένει πολὺν χρόνον
τὰ δ' ἄλλ' ἀπανθήσαντα πάντ' ἀπέπτατο.
ὥστ' ἐστὶ πολὺ βέλτιστα, πολὺ δῆτ' ὦ θεοί.
κέρασον ἄκρατον. εὐφρανεῖ τὴν νύχθ' ὅλην
ἐκλεγομένας ὅτι ἂν μάλιστ' ὀσμὴν ἔχῃ.
ἀλλ' ὦ γυναῖκες φράσατέ μοι τὸν δεσπότην
τὸν ἄνδρ' ὅπου 'στὶ τῆς ἐμῆς κεκτημένης.
Χο. αὐτοῦ μένουσ' ἡμῖν γ' ἐξευρεῖν δοκεῖς,
Θε. μάλισθ' ὁδὶ γὰρ ἐπὶ τὸ δεῖπνον ἔρχεται.
ὦ δέσποτ' ὦ μακάριε καὶ τρισόλβιε.
ἐγώ. Θε. σὺ μέν τοι νὴ Δί' ὡς γ' οὐδεὶς ἀνήρ
τίς γὰρ γένοιτ' ἂν μᾶλλον ὀλβιώτερος
ὅστις πολιτῶν πλεῖον ἢ τρισμυρίων

Φρύνην. φρύνη ἀρχαία γυνή. οἱ δὲ ἑταῖρις. λήκυθος δὲ ἀδηκῆα

Ἴσως συνείρξομαι ἀντὶ τοῦ συγκολυμβήσω.

Κασαλβάδοιν. κασαλβὰς ἡ πόρνη ἀφ' οὗ ποιεῖ. αἱ γὰρ πόρναι καλοῦσι μὲν οὐκ ἔχουσαι τοὺς ἐραστὰς, σοβοῦσι δὲ τοὺς ὄντας ἵνα ἄλλους λάβωσι. παρὰ τὸ καλεῖν οὖν καὶ τὸ σοβεῖν.

Ἀπέπτατο ὡς ἐπὶ τῶν ἀνθέων εἶπε τὸ ἀπανθήσαντα. ἀντὶ τοῦ ξηρανθέντα.

Μαλακίων. μαλακὲς ὑποκοριστικῶς.

Μὴ πλέον. τουτέστι μὴ πλέον με ἀναγκάσῃς συνελθεῖν ἢ ὅσα βούλομαι. δέδοικα κἀγὼ ἴσως διὰ τὴν εἰρημένην ἀνωτέρω ἱστορίαν περὶ τῶν διομήδους θυγατέρων.

Παρὰ τῶν νεκρῶν. παρὰ τῶν πλειόνων.

Πορθμῆς. ἐπειδὴ οἱ πορθμεῖς τοὺς παριόντας ἀναγκάζουσιν εἰς τὰ ἴδια πλοῖα ἐμβαίνειν.

Ἀπεκναίετε διεφθείρετε.

Κατὰ τὸ καννώνου. ψήφισμά γε γράφει κατεχόμενον ἑκατέρωθεν ἀπολογεῖσθαι τὸν κατ' εἰς ἀγγελίαν ἀνακρινόμενον. κρατῖνος δὲ καὶ πρὸ κλεψύδραν κελεῦσαι. ξενοφῶν δὲ εἰς τὸ βάραθρον ἐμβληθέντα ἀποθανεῖν. καὶ τὴν οὐσίαν ἀπολέσαντα τὸ [illegible]. καὶ ὁ κρατῖνος ἐν τοῖς ἰδίοις τὰς θείας μορφὰς ἐν ἀρχῇ φανείσας.

Διαλελειμμένον. μέσον εἰλημμένον.

Βολβῶν χύτραν. ἐπιτήδειοι πρὸς συνουσίαν οἱ βολβοί.

Γρ. ἕτερυ μαλακίων δοῦρ' ἀνύσας, κοὐ μὴ λάλει.
Νε. ἴθι νῦν ἔασον ἐς ἄφοδον πρῶτόν με
ἐλθόντα θαρρῆσαι πρὸς ἐμαυτόν. εἰ δὲ μὴ
αὐτοῦ τι δρῶντα, πυρρὸν ὄψει μ' αὐτίκα.
ὑπὸ τοῦ δέους. Γρ. θάρρει βάδιζ' ἔνδον χεσεῖ.
Νε. δέδοικα κἀγὼ μὴ πλέον ἢ βούλομαι.
ἀλλ' ἐγγυητάς σοι καταστήσω δύο.
ἀξιόχρεως. Γρ. μή μοι καθίστη. Αλ. ποῖ σύ. ποῖ
χωρεῖς μετ' αὐτῆς. Νε. οὐκ ἔγωγ' ἀλλ' ἕλκομαι.
ἀτὰρ ἥτις εἶ· εἴ γε πολλ' ἀγαθὰ γένοιτό σοι
ὅτι μ' οὐ περιεῖδες ἐπιτριβέντ'. ὦ ἡράκλεις
ὦ πᾶνες. ὦ κορύβαντες. ὦ διοσκόρω
τοῦτ' αὖ πολὺ τούτου τὸ κακὸν ἐξωλέστερον.
ἀτὰρ τί τὸ πρᾶγμ' ἐστ' ἀντιβολῶ τουτὶ ποτέ.
πότερον πίθηκος ἀνάπλεως ψιμυθίου.
ἢ γραῦς ἀνεστηκυῖα παρὰ τῶν νεκρῶν (σοῦ)
Γρ. μὴ σκῶπτέ μ' ἀλλὰ δεῦρ' ἕπου. Αλ. γρ. δευρὶ μὲν
Γρ. ὡς οὐκ ἀφήσω σ' οὐδέποτ'. Αλ. γρ. οὐδὲ μὴν ἐγώ.
Νε. διασπάσεσθέ μ' ὦ κακῶς ἀπολούμεναι.
Γρ. ἐμοὶ γὰρ ἀκολουθεῖν σ' ἔδει κατὰ τὸν νόμον.
Αλ. γρ. οὐκ ἢν ἑτέρα γε γραῦς ἔτ' αἰσχίων φανῇ.
Νε. ἢν οὖν ὑφ' ὑμῶν πρῶτον ἀπόλωμαι κακῶς,
φέρε πῶς ἐπ' ἐκείνην τὴν καλὴν ἀφίξομαι.
Γρ. αὐτὸς σκόπει σύ. τάδε δέ σοι ποιητέον
Νε. ποτέρας προτέρας οὖν κατελάσας ἀπαλλαγῶ
Γρ. οὐκ οἶσθα βαδιεῖ δεῦρο. νε. ἀφέτω νύν μ' αὑτηί.
Αλ. γρ. δευρὶ μὲν οὖν ἴθ' ὡς ἐμέ. νε. ἢν ἡδί γ' ἀφῇ.
Γρ. ἀλλ' οὐκ ἀφήσω μὰ δία σε. Αλ. οὐδὲ μὴν ἐγώ.
Γρ. χαλεπαί γ' ἂν ἦτε γενόμεναι πορθμῆς. Γρ. τιή.
Νε. ἕλκοντε τοὺς πλωτῆρας ἂν ἀπεκναίετε.
Γρ. σιγῇ βάδιζε δεῦρο. Αλ. μὰ δί' ἀλλ' ὡς ἐμέ.
Νε. τουτὶ τὸ πρᾶγμα κατὰ τὸ καννώνου σαφῶς
ψήφισμα βινεῖν δεῖ με διαλελημμένον
πῶς οὖν δικωπεῖν ἀμφοτέρας δυνήσομαι
Γρ. καλῶς, ἐπειδὰν καταφάγῃς βολβῶν χύτραν
Νε. οἴμοι κακοδαίμων ἐγγὺς ἤδη τῆς θύρας
ἑλκόμενός εἰμι. Αλ. ἀλλ' οὐδέν ἔσται σοι πλέον,

Νε. ἐξωμοσία δ' οὐκ ἔστιν; Γρ. οὐ γὰρ δεῖ στροφῆς.
Νε. ἀλλ' ἔμπορος εἶναι σκήψομαι. Γρ. κλαύσει σύ.
Νε. τί δῆτα χρὴ δρᾶν; Γρ. δεῦρ' ἀκολουθεῖν ὡς ἐμέ.
Νε. καὶ ταῦτ' ἀνάγκη μοὐστί. Γρ. Διομήδειά γε.
Νε. ὑποστόρεσαι νῦν πρῶτα τῆς ὀριγάνου
καὶ κλήματ' ὑπόθου συγκλάσασα τέτταρα
καὶ ταινίωσαι. καὶ παράθου τὰς ληκύθους.
ὕδατός τε κατάθου τοὔστρακον πρὸ τῆς θύρας.
Γρ. ἦ μὴν ἔτ' ὠνήσει σὺ καὶ στεφάνην ἐμοί.
Νε. νὴ τὸν Δί' ἤν περί γε που τῶν κηρίνων
οἶμαι γὰρ ἔνδον διαπεσεῖσθαί σ' αὐτίκα.
Νε. ποῖ τοῦτον ἕλκεις σύ. Γρ. τὸν ἐμαυτῆς εἰσάγω.
Νε. οὐ σωφρονοῦσά γ' οὐ γὰρ ἡλικίαν ἔχει
παρά σοι καθεύδειν τηλικοῦτος ὤν. ἐπεὶ
μήτηρ ἂν αὐτῷ μᾶλλον εἴης ἢ γυνή.
ὥστ' εἰ καταστήσεσθε τοῦτον τὸν νόμον,
τὴν γῆν ἅπασαν Οἰδιπόδων ἐμπλήσετε.
Γρ. ὦ παμβδέλυρα. φθονοῦσα τόνδε τὸν νόμον
ἐξεῦρες. ἀλλ' ἐγώ σε τιμωρήσομαι.
Νε. νὴ τὸν Δία τὸν σωτῆρα κεχάρισαί γέ μοι
ὦ γλυκύτατον τὴν γραῦν ἀπαλλάξασά μου
ὥστ' ἀντὶ τούτων τῶν ἀγαθῶν ἐς ἑσπέραν,
μεγάλην ἀποδώσω καὶ παχεῖάν σοι χάριν.
Γρ. αὕτη σύ. ποῖ παραβᾶσα τόνδε τὸν νόμον.
ἕλκεις παρ' ἐμοὶ τῶν γραμμάτων εἰρηκότων
πρότερον καθεύδειν αὐτόν. Νε. οἴμοι δείλαιος
πόθεν ἐξέκυψας ὦ κάκιστ' ἀπολουμένη
τοῦτο γὰρ ἐκείνου τὸ κακὸν ἐξωλέστερον
Γρ. βάδιζε δεῦρο. Νε. μηδαμῶς με περιίδῃς.
ἑλκόμενον ὑπὸ τῆς, ἀντιβολῶ σ'. Γρ. ἀλλ' οὐκ ἐγώ.
ἀλλ' ὁ νόμος ἕλκει. Νε. οὐκ ἐμέ γ' ἀλλ' ἔμπουσά τις
ἐξ αἵματος φλύκταιναν ἠμφιεσμένη

Ἐξωμοσία. ἔνορκος παραίτησις δι' εὔλογον αἰτίαν. ἐξωμοσία ὅταν τὶς φάσκῃ ἢ ὑπὲρ ἑαυτοῦ ἢ ὑπὲρ ἑτέρου ἐγκαλούμενος μὴ δεῖν εἰσάγεσθαι δίκην. εἶτα καὶ τὴν αἰτίαν δι' ἣν οὐκ εἰσαγώγιμος ἡ δίκη, εἰ δοκεῖ κατὰ λόγον ἀξιοῦν, ἐδίδοτο αὐτῷ ἐξωμοσίᾳ χρῆσθαι. καὶ οὕτως διεγράφετο ἡ δίκη. καὶ ἐξωμόσατο ἀπηγόρευσε. καὶ ἐξωμόσασθαι τὸ μεθ' ὅρκου ἀπαρνήσασθαι πρᾶξίν τινα διὰ νόσον ἢ πρόφασιν ἑτέραν τινά.

Ἔμπορος. προφασίσομαι εἶναι ἔμπορος ὡς ἀπὸ κινδυνευόντων. ἐπεὶ οὐκ ἐστρατεύοντο οἱ ἔμποροι.

Διομήδεια. ὅτι Διομήδης ὁ θρᾴξ. πόρνας ἔχων θυγατέρας τοὺς παριόντας ξένους ἐβιάζετο αὐταῖς συνεῖναι, ἕως οὗ κόρον σχῶσι καὶ ἀναλωθῶσιν οἱ ἄνδρες ἃς καὶ ὁ μῦθος ἵππους ἀνδροφόνους εἶπεν.

Ταινίωσαι. στεφάνωσαι ὡς οἱ νεκροί.

Στεφάνην εἶδος κοσκίνου. διαπεσεῖσθαι δὲ τεθνήξεσθαι.

Οἰδιπόδων. ἐπεὶ ὁ Οἰδίπους τὴν μητέρα ἔγημε. Παχεῖαν τὴν χάριν. κακεμφάτως. Ἔμπουσά τις. ἣν καλοῦμεν νῦν, ὀνοσκελίδα. θέλει οὖν εἰπεῖν δαίμονας. Φλύκταιναν. ὡς ἐχούσης τῆς γραὸς κροκωτὸν, ἢ ὡς ἕλκος ἐχούσης.

Κ ρηστέραν. τὸ περιβόλαιον τῶν κοφίνων ἐστὶ δὲ διέρωτος τοῦ τὸ πρός; γραῶν.

Ζωγραφεῖ. τοιαῦτα γάρ τινα ἐν τοῖς μνήμασιν ἔγραφον.

Ἔγωγε νὴ δία. βούλομαί σε ἀπειπεῖν ἐπὶ θάνατον. πρὸς γὰρ τοῦτο παίζει. Μὰ τὴν ἀφροδίτην. ὡς ἑταιραοῦσα τοῦτό φησι. Τί δῆτα κρεάγρας. τοῦτο ὅτι στερρῶς αὐτοῦ εἴχετο ὡς κρεάγρα.

Τὴν πεντακοσιοστὴν ἣ μὴν ὑπὲρ ἐμοῦ κατέλαβες τὴν πεντακοσιοστὴν νόμος γὰρ τοῦ μὴ φέροντος, τὴν οὐσίαν εἶναι. Ἀνατί. μὴ τιμορουμένας ὑπὸ τῆς βίας.

Προκρούστης. ἐπεὶ πολλάκις εἴρηται τὸ κρούειν. Ὑπὲρ μέδιμνον. νόμος ἦν ταῖς γυναιξὶν, ὑπὲρ μέδιμνον τὶ μὴ συναλλάττειν. οὐκ ἔστον ταιοῦν φησιν οἱ ἄνδρες ὑπὲρ μέδιμνον κύριοι ἐπειδὴ ἀντέστραπται ἡ πολιτεία.

Γρ. ἀλλ' οὐδὲ δεῖ πιεῖς κατὰ τὸν ἐν ταῦθοῖς νόμον.
Νε. οὐκ οἶδ' ὅτι λέγεις. τὴν δὲ δή μοι κρουστέον.
Γρ. ὅταν γε κρούσῃς τὴν ἐμὴν πρῶτον θύραν.
Νε. ἀλλ' οὐχὶ νυνὶ κρησέραν αἰτούμεθα.
Γρ. οἶδ' ὅτι φιλοῦμαι νῦν δὲ θαυμάζεις ὅτι
θύρασί μ' ηὗρες. ἀλλὰ πρόσαγε τὸ στόμα
Νε. ἀλλ' ὦ μέλε ὀρρωδῶ τὸν ἐραστήν σου Γρ. τίνα,
Νε. τὸν τῶν γραφέων ἄριστον. Γρ. οὗτος δ' ἐστὶ τίς,
Νε. ὃς τοῖς νεκροῖσι ζωγραφεῖ τὰς ληκύθους
ἀλλ' ἄπιθ' ὅπως μή σ' ἐπὶ θύραισιν. ὄψεται
Γρ. οἶδ' ὅτι βούλει. Νε. καὶ γὰρ ἐγώ σε νὴ δία
Γρ. μὰ τὴν ἀφροδίτην ἥ μ' ἔλαχε κληρουμένη
μή 'γώ σ' ἀφήσω. Νε. παραφρονεῖς ὦ γραΐδιον
Γρ. ληρεῖς ἐγὼ δ' ἄξω σ' ἐπὶ τἀμὰ στρώματα
Νε. τί δῆτα κρεάγρας τοῖς κάδοις ὠνοίμεθ' ἂν
ἐξὸν καθέντα γραΐδιον τοιουτονὶ,
ἐκ τῶν φρεάτων τοὺς κάδους ξυλλαμβάνειν.
Γρ. μὴ σκῶπτέ μ' ὦ τάλαν, ἀλλ' ἕπου δεῦρ' ὡς ἐμέ.
Νε. ἀλλ' οὐκ ἀνάγκη μούστιν. εἰ μὴ τῶν ἐμῶν
τὴν πεντακοσιοστὴν κατέθηκας ἐν τῇ πόλει.
Γρ. νὴ τὴν ἀφροδίτην, δεῖ γε μέντοι γ' ὡς ἐγὼ,
τοῖς τηλικούτοις ξυγκαθεύδουσ' ἥδομαι
Νε. ἐγὼ δὲ ταῖς γε τηλικαύταις ἄχθομαι
κοὐκ ἂν πιθοίμην οὐδέποτ'. Γρ. ἀλλὰ νὴ δία
ἀναγκάσει τουτί σε. Νε. τοῦτο δ' ἐστὶ τί,
Γρ. ψήφισμα καθ' ὅ σε δεῖ βαδίζειν ὡς ἐμέ
Νε. λέγ' αὐτὸ τί ποτε κἄστι. Γρ. καὶ δή σοι λέγω.
ἔδοξε ταῖς γυναιξὶν. ἢν ἀνὴρ νέος
νέας ἐπιθυμῇ, μὴ σποδεῖν αὐτὴν, πρὶν ἂν,
τὴν γραῦν προκρούσῃ πρῶτον. ἢν δὲ μὴ θέλῃ
πρότερον προκρούειν. ἀλλ' ἐπιθυμῇ τῆς νέας
ταῖς πρεσβυτέραις γυναιξὶν ἔστω τὸν νέον
ἕλκειν ἀνατὶ λαβομένας τοῦ πατάλου
Νε. οἴμοι, προκρούστης τήμερον γενήσομαι
Γρ. τοῖς γὰρ νόμοις τοῖς ὑμετέροισι πειστέον.
Νε. τί δ' ἢν ἀφαιρῆταί μ' ἀνὴρ τῶν δημοτῶν
ἢ τῶν φίλων ἐλθών τις. Γρ. ἀλλ' οὐ κύριος
ὑπὲρ μέδιμνόν ἐστ' ἀνὴρ οὐδεὶς ἔτι.

ἐφ' ἣν πεπωκὼς ἔρχομαι πάλαι ποθῶν.
Νε. ἐξηπάτησα τὸ κατάρατον γράδιον.
φρούδη γάρ ἐστιν, οἰομένη μ' ἔνδον μένειν.
Νε. ἀλλ' οὑτοσὶ γὰρ αὐτὸς οὗ μεμνήμεθα
δεῦρο δὴ δεῦρο δή, φίλον ἐμὸν δεῦρό μοι
πρόσελθε καὶ ξυνευνός μοι
τὴν εὐφροσύνην ὅπως ἔσει. πάνυ γάρ τις ἔρως με δονεῖ
τῶνδε τῶν σῶν βοστρύχων.
ἄτοπος δ' ἔγκειταί μοι τις πόθος
ὅς με διακναίσας ἔχει.
μέθες ἱκνοῦμαί σ' ἔρως, καὶ ποίησον τόνδ' ἐς εὐνὴν
τὴν ἐμὴν ἱκέσθαι, Νε. δεῦρο δή. δεῦρο δὴ καὶ σύ μοι
καταδραμοῦσα τὴν θύραν ἄνοιξον.
τήνδ', εἰ δὲ μὴ καταπεσὼν κείσομαι.
φίλον, ἀλλ' ἐν τῷ σῷ βούλομαι κόλπῳ
πληκτίζεσθαι μετὰ τῆς σῆς πυγῆς.
κύπρι τί μ' ἐκμαίνεις ἐπὶ ταύτῃ
μέθες ἱκνοῦμαί σ' ἔρως, καὶ ποίησον τήνδ' ἐς εὐνὴν
τὴν ἐμὴν ἱκέσθαι. καὶ ταῦτα μὲν μοι μετρίως
πρὸς τὴν ἐμὴν ἀνάγκην εἰρημένα ἐστί. σὺ δέ μοι
φίλτατον ὦ ἱκετεύω
ἄνοιξον ἀσπάζου με. διά τοι σὲ πόνους ἔχω
ὦ χρυσοδαίδαλμον ἐμὸν μέλημα.
κύπριδος ἔρνος. μέλιττα μούσης. χαρίτων θρέμμα τρυ-
φῆς πρόσωπον.
ἄνοιξον ἀσπάζου με, διά τοι σὲ πόνους ἔχω.
Γρ. οὗτος τί κόπτεις. μῶν ἐμὲ ζητεῖς. Νε. πόθεν.
Γρ. καὶ τὴν θύραν γ' ἤραττες Νε. ἀποθάνοιμ' ἄρα
Γρ. τοῦ δαὶ δεόμενος δᾷδ' ἔχων ἐλήλυθας.
Νε. ἀναφλύστιον ζητῶν τιν' ἄνθρωπον. Γρ. τίνα
Νε. οὐ τὸν σεβινοῦνθ' ὃν σὺ προσδοκᾷς ἴσως.
Γρ. νὴ τὴν ἀφροδίτην ἤν τε βούλῃ γ' ἤν τε μή
Νε. ἀλλ' οὐχὶ νυνὶ τὰς ὑπερεξηκοντέτεις
εἰσάγομεν ἀλλ' εἰσαῦθις ἀναβεβλήμεθα
τὰς ἐντὸς εἴκοσιν γὰρ ἐκδικάζομεν.
Γρ. ἐπὶ τῆς προτέρας ἀρχῆς γε ταῦτ' ἦν ὦ γλύκων.
νυνὶ δὲ πρῶτον εἰσάγειν ἡμᾶς δοκεῖ.
Νε. τῷ βουλομένῳ γε κατὰ τὸν ἐν παιτοῖς νόμον.

Κείσομαι ὑπὸ τοῦ ἔρωτος δηλονότι.

Ἀναφλύστιον παρὰ τὸ ἀναφλᾶν παίζει.

Εἴκοσι γάρ. ἀπὸ τῶν δικῶν ἔλεγον γὰρ ἀεὶ τὰ πρὸ τόσων ἐτῶν δικάζομεν.

Παιτοί. ἔθνος μέν ἐστι θρακικόν. ἔπαιξε δὲ παρὰ τὸ παίειν.

καὶ προσελκύσαιο βουλομένη φιλῆσαι.
Νε. αἲ αἲ. τί ποτε πείσομαι. οὐχ ἥκει μοὐταῖρος.
μόνη δ' αὐτοῦ λείπομ'· ἡ
γάρ μοι μήτηρ, ἄλλῃ βέβηκε.
καὶ τἄλλ' οὐδὲν μετὰ ταῦτα δεῖ λέγειν.
ἀλλ' ὦ μαῖ' ἱκετεύομαι
κάλει τὸν ὀρθαγόραν, ὅπως
σαυτῆς κατόναι', ἀντιβολῶ σε.
Γρ. ἤδη τὸν ἀπ' Ἰωνίας
τρόπον τάλαινα κνησιᾷς·
δοκεῖς δέ μοι καὶ λάβδα κατὰ τοὺς λεσβίους.
ἀλλ' οὐκ ἄν ποθ' ὑφαρπάσαιο
τὰ μὰ παίγνια· τὴν δ' ἐμὴν
ὥραν οὐκ ἀπολεῖς. οὐδ' ἀπολήψει.
Νε. ᾆδ' ὁπόσα βούλει καὶ παράκυφθ' ὥσπερ γαλῆ.
οὐδεὶς γὰρ ὡς σὲ πρότερον εἴσεισ' ἀντ' ἐμοῦ.
Γρ. οὔκουν ἐπ' ἐκφοράν γε; Νε. καινόν γ' ὦ σαπρά.
Γρ. οὐδῆτα. Νε. τί γὰρ ἄν, γραῦς, τάλαινά τις λέγοι.
Γρ. οὐ τοὐμὸν ὀδυνήσει σε γῆρας. Νε. ἀλλὰ τί.
Γρ. ἡ 'γχουσα μᾶλλον μᾶλλον καὶ τὸ σὸν ψιμμύθιον.
Νε. τί μοι διαλέγει; Γρ. σὺ δὲ τί διακύπτεις. Νε. ἐγώ;
Γρ. ᾄδω πρὸς ἐμαυτὴν ἐπιγένει τὠμῷ φίλῳ.
Νε. σοὶ γὰρ φίλος τίς ἐστιν ἄλλος ἢ γέρης.
Γρ. δείξει γε καὶ σοί· τάχα γὰρ εἶσιν ὡς ἐμέ.
ὁδὶ γὰρ αὐτός ἐστιν. οὐ σοῦ γ' ὤλεθρε
δεόμενος οὐδέν. Νε. νὴ δί' ὦ φθίνυλλα σύ.
δείξει τάχ' αὐτός, ὡς ἔγωγ' ἀπέρχομαι.
Γρ. κἄγωγ' ἵνα γνῷς ὡς πολύ σου μεῖζον φρονῶ.
Νε. εἴθ' ἐξῆν παρὰ τῇ νέᾳ καθεύδειν,
καὶ μηδὲν πρότερον διασποδῆσαι,
ἀσχήμον' ἢ πρεσβυτέραν. οὐ γὰρ ἀνασχετὸν
τοῦτό γ' ἐλευθέρῳ.
Γρ. οἰμώζων ἄρα νὴ δία σποδήσεις.
οὐ γὰρ τἀπὶ Χαριξένης τάδ' ἐστίν.
κατὰ τὸν νόμον ταῦτα ποιεῖν
ἐστὶ δίκαιον εἰ δημοκρατούμεθα.
ἀλλ' εἶμι τηρήσουσ' ὅ τι καὶ δράσεις ποτί.
Αγ. εἴθ' ὦ θεοί λάβοιμι τὴν καλὴν μόνην

Ἀλλ' ὦ μαῖα. πρὸς τὴν γραῦν· ὀρθαγόραν τὸ αἰδοῖον.

Τὸν ἀπ' Ἰωνίας, ὡς μαλακῶν ἐκείνων ὄντων.

Λάβδα. λαικάζουσιν οἱ λέσβιοι ἀπὸ τοῦ πρώτου στοιχείου.

Τὰ μὰ δὲ παίγνια τοὺς ἐμοὺς ἐραστάς.

Ἐπ' ἐκφοράν γε. ὅτι τῶν γραιδίων ἐκφέρουσι τὴν οὐσίαν οἱ ἐρώμενοι.

Ἡ 'γχουσα. ἡ ἄγχουσα μᾶλλον, βοτάνη ᾗ ἐχρῶντο εἰς τὸ πρόσωπον αἱ γυναῖκες.

Γέρης. φαλακρὸς οὗτος καὶ πένης. οὐ γὰρ παρὰ τὸ γῆρας. ἀπέρχομαι ἵνα αὐτὸν ἐρεθίσω.

Τὰ 'πὶ Χαριξένης. εὐήθης καὶ μωρὰ ἡ Χαριξένη.

Ομ. νὴ τὸν δία· δεῖ γοῦν μηχανήματός τινος
ὅπως τὰ μὲν ὄντα χρήματ' αὖθ' ἕξω. τοῖς δέ γε
τῶν ματτομένων κοινῇ, μεθέξω πως ἐγώ.
ὀρθῶς ἔμοιγε φαίνεται· βαδιστέον.
ὁμός' ἐστὶ δειπνήσοντα κοὐ μελλητέον.

Γρ. τί ποτ' ἄνδρες οὐχ ἥκουσιν; ὥρα δ' ἦν πάλαι
ἐγὼ δὲ καταπεπλασμένη ψιμυθίῳ.
ἕστηκα καὶ κροκωτὸν ἠμφιεσμένη,
ἀργός. μινυρομένη τι πρὸς ἐμαυτὴν μέλος.
παίζουσ' ὅπως ἂν περιλάβοιμ' αὐτῶν τινα
παριόντα. μοῦσαι δεῦρ' ἴτ' ἐπὶ τοὐμὸν στόμα.
μελύδριον εὑροῦσαί τι, τῶν ἰωνικῶν.

Ἄλ. νῦν μέν με παρακύψασα προὔφθης ὦ σαπρά.
ᾤου δ' ἐρήμας οὐ παρούσης ἐνθάδε
ἐμοῦ, τρυγήσειν καὶ προσάξεσθαί τινα
ᾄδουσ'. ἐγὼ δ' ἢν τοῦτο δράσαντ' ᾄσομαι
κεἰ γὰρ δι' ὄχλου τοῦτ' ἐστὶ τοῖς θεωμένοις
ὅμως ἔχει τερπνόν τι, καὶ κωμῳδικόν.

Γρ. τούτῳ διαλέγου κἀπιχώρησον. σὺ δὲ
φιλοττάριον αὐλητὰ τοὺς αὐλοὺς λαβὼν
ἄξιον ἐμοῦ καὶ σοῦ προσαύλησον μέλος

Γρ. εἴ τις ἀγαθὸν βούλεται
παθεῖν τι, παρ' ἐμοὶ χρὴ καθεύδειν.
οὐ γὰρ ἐν νέαις τὸ σοφὸν ἔ-
νεστιν, ἀλλ' ἐν ταῖσι πεπείροις.
οὐδέ τοι στέργειν ἂν ἐθέλοι
μᾶλλον ἢ 'γὼ τὸν φίλον
ᾧπερ ξυνείην. ἀλλ' ἐφ' ἕτερον ἂν πέτοιτο,
. μὴ φθόνει ταῖσι νέαισι
τὸ τρυφερὸν γὰρ ἐμπέφυκε
τοῖς ἁπαλοῖς μηρίοις.
κἀπὶ τοῖς μήλοις ἐπανθεῖ. σὺ δ' ὦ
γραῦ, παραλέλεξαι, καὶ τέτριψαι τῷ
θανάτῳ μέλημα.

Γρ. ἐκπέσοι σου τὸ τρῆμα
τότ' ἐπίκλιντρον ἀποβάλοις,
βουλομένη σποδεῖσθαι
κἀπὶ τῆς κλίνης ὄφιν εὕροις

Τῶν ματτομένων. τῶν ψωμάτων.

Μινυρομένη αἰτὶ τοῦ ἠρέμα ᾄδουσα.

Τῶν ἰωνικῶν. τῶν τρυφηλῶν· Ἴωνες γὰρ τρυφηλοί.

Τὸ σοφὸν. ἤγουν τὸ ἔμπειρον.

Γραῦ. ἢ τὰς πολιάς σου παραλέλεξαι. ἢ ἐπιλέξω τὰς τρίχας, μίαν παρὰ μίαν.

Τρῆμα ἢ τὸ τοῦ κόσμου λέγει. ἢ αὐτὸ τὸ τρῆμα τὸ αἰδοῖον. ἐπίκλιντρον δὲ, εἶδος κοσμίου. ὄφιν δὲ ἢ τὸ αἰδοῖον.

Κη. ὦ πάντες ἀστοί. νῦν γὰρ οὕτω ταῦτ' ἔχει.
χωρεῖτ' ἐπείγεσθ' εὐθὺ τῆς στρατηγίδος
ὅπως ἂν ἡμῖν ἡ τύχη κληρουμένοις
φράσῃ καθ' ἕκαστον ἄνδρ' ὅποι δειπνήσετε
ὡς αἱ τράπεζαί γ' εἰσὶν ἐπινενασμέναι
ἀγαθῶν ἁπάντων. καὶ παρεσκευασμέναι
κλῖναι τε σισυρῶν καὶ δαπίδων νενασμέναι
κρατῆρα συγκιρνᾶσιν αἱ μυροπώλιδες
ἑστᾶσ' ἐφεξῆς, τὰ τεμάχη ῥιπίζεται.
λαγῷ' ἀναπηγνύασι. πόπανα πέττεται.
στέφανοι πλέκονται φρύγονται τραγήματα
χύτρας ἔτνους ἕψουσιν αἱ νεώταται.
Σμοιὸς δ' ἐν αὐταῖς ἱππικὴν στολὴν ἔχων
τὰ τῶν γυναικῶν διακαθαίρει τρύβλια.
Γέρων δὲ χωρεῖ χλανίδα καὶ κονίποδα
ἔχων. καγχάζων μεθ' ἑτέρου νεανίου.
ἐμβὰς δὲ κεῖται δὲ τρίβων ἐρριμμένος.
πρὸς ταῦτα χωρεῖθ' ὡς τὴν μάζαν φέρων
ἕστηκεν. ἀλλὰ τὰς γνάθους διοίγνυτε.

Ἀν. οὐκοῦν βαδιοῦμαι δῆτα. τί γὰρ ἕστηκ' ἔχων
ἐνταῦθ' ἐπειδὴ ταῦτα τῇ πόλει δοκεῖ.

Κη. καὶ ποῖ βαδιεῖ σὺ μὴ καταθεὶς τὴν οὐσίαν;

Ὁμ. ἐπὶ δεῖπνον. Κη. οὐ δῆτ' ἤν γ' ἐκείναις νοῦς ἐνῇ
πρίν γ' ἂν ἀπενέγκῃς. Ὁμ. ἀλλ' ἀποίσω. Κη. ὁπηνίκα

Ὁμ. οὐ τοὐμὸν ὦ τᾶν ἐμποδὼν ἔσται. Κη. τί δή.

Ὁμ. ἑτέρους ἀποίσειν φημ' ἔθ' ὑστέρους ἐμοῦ.

Κη. βαδιεῖ δὲ δειπνήσων ὅμως. Ὁμ. τί γὰρ πάθω
τὰ δυνατὰ γὰρ δεῖ τῇ πόλει ξυλλαμβάνειν.
τοὺς εὖ φρονοῦντας. Κη. ἢν δὲ κωλύσωσι, τί.

Ὁμ. ὁμόσ' εἶμι κύψας. Κη. ἢν δὲ μαστιγῶσι τί.

Ὁμ. καλούμεθ' αὐτάς. Κη. ἢν δὲ καταγελῶσι τί.

Ὁμ. ἐπὶ ταῖς θύραις ἑστώς. Κη. τί δράσεις εἰπέ μοι

Ὁμ. τῶν εἰσφερόντων ἁρπάσομαι τὰ σιτία.
ὁ καταθεὶς βάδιζε πίνυν ὕστερος. σὺ δ' ὦ Σίκων
καὶ Παρμένων αἴρεσθε τὴν παμπησίαν.

Ὁμ. φέρε νῦν ἐγώ σοι ξυμφέρω. ὁ καταθείς. μὴ μηδαμῶς
δέδοικα γὰρ μὴ καὶ παρὰ τῇ στρατηγίδι (μως
ὅταν καταθῶ, προσποιῇ τῶν χρημάτων.

Ἀνάφορον. ἀνάφορον, ξύλον ἀμφίκοιλον. ἐν ᾧ τὰ φορτία ἐξαρτήσαντες οἱ ἐργάται βαστάζουσιν.

Ἐπινενασμέναι. πεπληρωμέναι. Σισυρῶν. μαλωτῶν στρωμάτων. δαπίδων δὲ τῶν ταπήτων. Ῥιπίζεται ἀντὶ τοῦ ὀπτᾶται· τὸ γὰρ πῦρ οἱ ἄνθρωποι ἐρρίπιζον, ἵνα ὀπτήσωσιν. Τραγήματα δὲ τὰ τρωγάλια λέγει. ἔτνος δὲ εἶδος ἀθάρας ἀπὸ φασηλίων. Κονίποδα. στενὸν σανδάλιον. Σμοιός. κύριον ὄνομα. αἰσχροποιὸς εἰς γυναῖκας. καὶ ἱππεύσας πρότερον καὶ τοῖς ναύταις διανέμων τὰ τρύβλια.

Ἢν δὲ κωλύσωσιν. ἐξ ὧν πρώην αὐτὸς μὴ βουλόμενος τὴν οὐσίαν καταθεῖναι ἐπηρώτα.

Παμπησίαν. τὴν πᾶσαν κτῆσιν.

Προσποιῇ. μὴ προσποιῇ διαφέρειν.

θύρᾳζε καταθήσεις κἂν ἐνῇς ἔλθῃς. αν. τί.
φει. ἐγᾦδα, τούτους χειροτονοῦντας μὲν ταχεῖς
ἅττ' ἂν δὲ δόξῃ, ταῦτα πάλιν ἀρνουμένους.
Ἀν. οἴσουσιν ὦ τάν. φει. ἢν δὲ μὴ κομίσωσι, τί;
αν. ἀμέλει κομιοῦσι. φει. ἢν δὲ μὴ κομίσωσι, τί;
Ἀν. μαχούμεθ' αὐτοῖς. φει. ἢν δὲ κρείττους ὦσι, τί;
Ἀν. ἄπειμ' ἐάσας. φει. ἢν δὲ πωλῶσ' αὐτά, τί;
αν. διαρραγείης. φει. ἢν διαρραγῶ δέ, τί;
αν. καλῶς ποιήσεις. φει. σὺ δ' ἐπιθυμήσεις φέρειν
αν. ἔγωγε. καὶ γὰρ τοὺς ἐμαυτοῦ γείτονας
ὁρῶ φέροντας. φει. πάνυ γ' ἂν οὖν Ἀντισθένης
αὔτ' εἰσενέγκοι. πολὺ γὰρ ἐμμελέστερον
πρότερον χέσαι πλεῖν, ἢ τριάκονθ' ἡμέρας.
Ἀν. οἴμωζε. φει. Καλλίμαχος δ' ὁ χοροδιδάσκαλος
αὐτοῖσιν εἰσοίσει τι. πλείω Καλλίου
αν. ὥνθρωπος οὗτος ἀποβαλεῖ τὴν οὐσίαν.
φει. δεινά γε λέγεις. αν. τί δεινὸν ὥσπερ οὐχ ὁρῶν
αἰεὶ τοιαῦτα γινόμενα ψηφίσματα;
οὐκ οἶσθ' ἐκεῖν' οὔδοξε τὸ περὶ τῶν ἁλῶν.
φει. ἔγωγε. αν. τοὺς χαλκοῦς δ' ἐκείνους ἡνίκα
ἐψηφισάμεσθ' οὐκ οἶσθα. φει. καὶ κακόν γέ μοι
τὸ κόμμ' ἐγένετ' ἐκεῖνο. πωλῶν γὰρ βότρυς,
μεστὴν ἀπῇρα τὴν γνάθον χαλκῶν ἔχων.
κἄπειτ' ἐχώρουν εἰς ἀγορὰν ἐπ' ἄλφιτα
ἔπειθ' ὑπέχοντος ἄρτι μου τὸν θύλακον
ἀνέκραγ' ὁ κῆρυξ μὴ δέχεσθαι μηδένα,
χαλκοῦν, τὸ λοιπόν. ἀργύρῳ γὰρ χρώμεθα
Ἀν. τὸ δ' ἔναγχος οὐχ ἅπαντες ὤμνυμεν
τάλαντ' ἔσεσθαι πεντακόσια τῇ πόλει
τῆς τεσσαρακοστῆς, ἣν ἐπόρισ' Εὐριπίδης·
κεὐθὺς κατεχρύσου πᾶς ἀνὴρ Εὐριπίδην.
ὅτε δὴ δ' ἀνασκοπουμένοις ἐφαίνετο
ὁ Διὸς κόρινθος καὶ τὸ πρᾶγμ' οὐκ ἤρκεσεν
πάλιν κατεπίττου πᾶς ἀνὴρ Εὐριπίδην
φει. οὐ ταὐτόν ὦ τᾶν. τότε μὲν ἡμεῖς ἤρχομεν
νῦν δ' αἱ γυναῖκες. ἅς γ' ἐγὼ φυλάξομαι
νὴ τὸν Ποσειδῶ μὴ κατουρήσωσί μου.
Ἀν. οὐκ οἶδ' ὅτι ληρεῖς. φέρε σὺ ταὐμφορον ὁ παῖς

Καλλίμαχος. καὶ οὗτος πέ/νης καὶ χοροδιδάσκα/λος αὐτοῖς δὲ σὺν αὐτοῖς.

Καλλίου. Καλλίας τις ἐγένετο πλούσιος. ὃς εἰς πόρνας ἑαυτοῦ οὐσίαν κατηνάλωσε. καὶ λοιπὸν πένης ἐγένετο.

Ψηφίσματα. ἐψηφίσαντο γὰρ αὐτοὺς διωνοτόρους εἶναι. καὶ τὸ ψήφισμα ἄκυρον γέγονε.

Τῆς τεσσαρακοστῆς. οὗτος ἔγραψε τεσσαρακοστὴν εἰσενεγκεῖν ἀπὸ τῆς οὐσίας εἰς τὸ κοινόν.

Φυλάξομαι. ὥστε ἐπιμέλειαν ποιεῖσθαι ἡμῶν.

Ἀν. μὰ δί᾽ ἀλλὰ φέρειν αὐτὰ μέλλω τῇ πόλει
ἐς τὴν ἀγορὰν κατὰ τοὺς δεδογμένους νόμους (ἄρ᾽ εἶ
Φει. μέλλεις ἀποφέρειν. ἀ. πάνυ γε. φ. κακοδαίμων
νὴ τὸν δία τὸν σωτῆρα. αν. πῶς; φει. πῶς; ῥαδίως.
Ἀν. τί δ᾽ οὐχὶ πειθαρχεῖν με τοῖς νόμοισι δεῖ;
Φει. ποίοισιν ὦ δύστηνε; αν. τοῖς δεδογμένοις.
Φε. δεδογμένοισιν, ὡς ἀνόητος ἦσθ᾽ ἄρα.
Ἀν. ἀνόητος; φε. οὐ γὰρ ἠλιθιώτατος μὲν οὖν
ἁπαξαπάντων. αν. ὅτι τὸ ταττόμενον ποιῶ;
Φει. τὸ ταττόμενον γὰρ δεῖ ποιεῖν τὸν σώφρονα.
Ἀν. μάλιστα πάντων. φει. τὸν μὲν οὖν ἀβέλτερον.

Ἀβέλτερον· ἀνόητον. ἀσύνετον.

Ἀν. σὺ δ᾽ οὐ καταθεῖναι διανοεῖ. φει. φυλάξομαι,
πρὶν ἄν γ᾽ ἴδω τὸ πλῆθος ὅ τι βουλεύεται.
Ἀν. τί γὰρ ἄλλο γ᾽ ἢ φέρειν παρεσκευασμένοι
τὰ χρήματ᾽ εἰσίν. φε. ἀλλ᾽ ἰδὼν ἐπειθόμην.
Ἀν. λέγουσι γοῦν ἐν ταῖς ὁδοῖς. φει. λέξουσι γάρ.
Ἀν. καὶ φασὶν οἴσειν ἀράμενοι. φει. φήσουσι γάρ.
αν. ἀπολεῖς ἀπιστῶν πάντ᾽. φει. ἀπιστήσουσι γάρ.
αν. ὁ ζεύς ἐπιτρίψειεν. φει. ἐπιτρίψουσι γάρ.
Ἀν. οἴσειν δοκεῖς τιν᾽. φε. ὅστις αὐτῶν νοῦν ἔχει.
αν. οὐ γὰρ πάτριον τοῦτ᾽ ἐστίν. φει. ἀλλὰ λαμβάνειν
ἡμᾶς μόνον δεῖ. αν. νὴ δία καὶ γὰρ οἱ θεοί; (γνώσει.
Γνώσει δ᾽ ἀπὸ τῶν χειρῶν τι, καὶ
ὅταν γὰρ εὐχώμεσθα διδόναι τἀγαθά,
ἕστηκεν ἐκτείνοντα τὴν χεῖρ᾽ ὑπτίαν
οὐχ ὥς τι δώσοντ᾽, ἀλλ᾽ ὅπως τι λήψεται.

Διδόναι τὰ ἀγαθά. ἐπειδὴ ὡς ἐπὶ τὸ πλεῖστον τὰ ἀγάλματα τῶν θεῶν ὑπτίας τὰς χεῖρας ἔχουσιν.

Ἀν. ὦ δαιμόνι᾽ ἀνδρῶν. ἔα με τῶν προὔργου τι δρᾶν
ταυτὶ γάρ ἐστι συνδετέα. ποῦ μοὔσθ᾽ ἱμάς.
Φει. ὄντως γὰρ οἴσεις. αν. ναὶ μὰ δία. καὶ δὴ μὲν οὖν
τωδὶ ξυνάπτω τὼ τρίποδε. φε. τῆς μωρίας.
τὸ μὴ δὲ περιμείναντα τοὺς ἄλλους ὅ τι
δράσουσιν εἶτα τηνικαῦτ᾽ ἤδη. αν. τί δρᾶν;
φει. ἐπαναμένειν. ἔπειτα διατρίβειν ἔτι.

Ὦ δαιμόνι᾽ ἀνδρῶν. τοῦτό φησιν ὁ θέλων καταθεῖναι.

Ἀν. ἵνα δὴ τί; φει. σεισμὸς εἰ γένοιτο πολλάκις
ἢ πῦρ ἀπότροπον. ἢ διάξειεν γαλῆ,
παύσαιντ᾽ ἂν εἰσφέροντες, ὦ μεμβρόντητε σύ.
Ἀν. χαρίεντα γοῦν πάθοιμ᾽ ἂν εἰ μὴ ᾽χοιμ᾽ ὅποι
ταῦτα καταθείμην. φε. μὴ γὰρ οὐ λάβοις ὅποι.

Εἰ γένοιτο εἰ γένει ταύτι σύμβολον, οὐκέτι πλουσι τὰ δόξαντα. Εἰ μὴ ἔχοιμ᾽ ὅποι. ἐὰν ἐμβραδύνω, μὴ δὲ ὅπῃ καταθῶ αὐτὰ εὕρω.

καὶ τάς γε δούλας, οὐχὶ δεῖ κοσμουμένας
τὴν τῶν ἐλευθέρων ὑφαρπάζειν κύπριν.
ἀλλὰ παρὰ τοῖς δούλοισι κοιμᾶσθαι μόνον.
κατωνάκην τὸν χοῖρον ἀποτετιλμένας
Βλ. φέρε νῦν ἐγώ σοι παρακολουθῶ πλησίον.
ἵν᾽ ἀποβλέπωμαι καὶ λέγωσί μοι ταδί.
τὸν τῆς στρατηγοῦ τοῦτον οὐ θαυμάζετε,
Χρ. ἐγὼ δ᾽ ἵν᾽ εἰς ἀγοράν γε τὰ σκεύη φέρω,
προχειριοῦμαι κἀξετάσω τὴν οὐσίαν
Αυ. χώρει σὺ δεῦρο κιναχύρα καλὴ καλῶς
τῶν χρημάτων θύραζε πρώτη τῶν ἐμῶν,
ὅπως ἂν ἐντετριμμένη κανηφορῇς
πολλοὺς κάτω δὴ θυλάκους στρέψασα ἐμούς.
ποῦ θ᾽ ἡ διφροφόρος. ἡ χύτρα δεῦρ᾽ ἔξιθι
νὴ Δία μέλαινά γ᾽ οὐδ᾽ ἂν εἰ τὸ φάρμακον
ἕψουσ᾽ ἔτυχες ᾧ λυσικράτης μελαίνεται.
ἵστω παρ᾽ αὐτὴν δεῦρ᾽ ἴθι κομμώτρια
φέρε δεῦρο ταύτην τὴν ὑδρίαν. ὑδριαφόρε
ἐνταῦθα. σὺ δὲ δεῦρ᾽ ἡ κιθαρῳδὸς, ἔξιθι
πολλάκις ἀναστήσασά μ᾽ εἰς ἐκκλησίαν
ἀωρὶ νυκτῶν διὰ τὸν ὄρθριον νόμον
ὁ τὴν σκάφην λαβὼν, προΐτω τὰ κηρία.
κόμιζε τοὺς θαλλοὺς καὶ καθίστη πλησίον.
καὶ τὼ τρίποδ᾽ ἐξένεγκε καὶ τὴν λήκυθον.
τὰ χυτρίδι᾽ ἤδη καὶ τὸν ὄχλον ἀφίετε.
Φει. ἐγὼ καταθήσω τἀμὰ, κακοδαίμων ἄρ᾽ ἀνὴρ
ἔσομαι καὶ νοῦν ὀλίγον κεκτημένος
μὰ τὸν ποσειδῶ γ᾽ οὐδέποτ᾽ ἀλλὰ βασανιῶ.
πρώτιστον αὐτὰ πολλάκις καὶ σκέψομαι
οὐ γὰρ τὸν ἐμὸν ἱδρῶτα καὶ φειδωλίαν
οὐδὲν πρὸς ἔπος ἀνοήτως ἐκβαλῶ.
πρὶν ἐκπύθωμαι πᾶν τὸ πρᾶγμ᾽ ὅπως ἔχει.
οὗτος, τί τὰ σκευάρια ταυτὶ βούλεται.
πότερον μετοικιζόμενος ἐξενήνοχας
Αυ. αὔτ᾽ ἢ φέρεις ἐνέχυρα θήσων. Αυ. οὐδαμῶς.
Φε. τί δῆτ᾽ ἐπὶ στοίχου ᾽στὶν οὕτως οὔ τι μὴ
Ἱέρωνι τῷ κήρυκι πομπὴν πέμπετε.

Κατωνάκη· ἱμάτιόν ἐστιν ἐκ τῶν κατωμερῶν· γὰρ κώας τουτέστι διφθέραν περιερραμμένον. ἐνταῦθα δὲ δουλικὸς καὶ ἀνελεύθερος χιτών. Προχειριοῦμαι. εὐτρεπίσω. Κιναχύρα, ὄνομα δούλης. Ἐντετριμμένη. σμηχθεῖσα ἢ εἰδυῖα. στρέψασα δὲ κλέψασα.

Διφροφόρος. ἢ τὸ σελλίον ἢ τὸ καθιστήριον βαστάζουσα. Ἡ χύτρα δεῦρ᾽ ἔξιθι. ὡς ἐν κωμῳδίᾳ καὶ τὴν χύτραν ἔξω καλεῖ χάριν γέλωτος. Μελαίνεται. ὡς τοῦ λυσιστράτου φαρμάκῳ μελαίνοντος αὐτὰς τὰς πολιάς.

Κομμώτρια ἐμπλέκτρια ἢ κοσμοῦσα τὰς γυναῖκας. Κιθαρῳδός. ἡ ἀλεκτορίς. Τὸν ὄρθριον νόμον. οὕτω καλούμενος νόμος κιθαρῳδὸς ὄρθριος. Τὰ κηρία. ἴσως τοὺς κηρῶνας λέγει. Καθίστη πλησίον. τοὺς ἐλαίας κλάδους ὡς ἐν πομπῇ. Πρὸς ἔπος. ἀντὶ τοῦ ὡς ἔτυχεν ἕνεκα μηδενός.

Πέμπεται. κῆρυξ οὗτος ὅστις τὰ πρασσόμενα ἐκήρυττε. τὸ δὲ πομπὴν, αὐτὰ ὡς ἐν πομπῇ αὐτὰ ἐξάγει.

εἰδὼς ὁ λαχὼν ἀπίῃ χαίρων ἐν ὁποίῳ γράμματι δειπνεῖ.
καὶ κηρύξει τοὺς ἐκ τοῦ βῆτ' ἐπὶ τὴν στοιὰν ἀκολουθεῖν.
τὴν βασίλειον δειπνήσοντας. τὸ δὲ θῆτ' ἐς τὴν παρὰ ταύτην.
τοὺς δ' ἐκ τοῦ κάππ' εἰς τὴν στοιὰν χωρεῖν τὴν ἀλφιτόπωλιν,
ἵνα κάπτωσι. Βλ. μὰ δί' ἀλλ' ἵν' ἐκεῖ δειπνῶσιν ὅτῳ δὲ τὸ
(γράμμα.
μὴ 'ξελκυσθῇ καθ' ὃ δειπνήσει, τούτους ἀπελῶσιν ἅπαντες.
Πρ. ἀλλ' οὐκ ἔσται τοῦτο παρ' ἡμῖν.
πᾶσι γὰρ ἄφθονα πάντα παρέξομεν.
ὥστε μεθυσθεὶς αὐτῷ στεφάνῳ
πᾶς τις ἄπεισι τὴν δᾷδα λαβών.
αἱ δὲ γυναῖκες κατὰ τὰς διόδους
προσπίπτουσαι τοῖς ἀπὸ δείπνου,
τάδε λέξουσιν. δεῦρο παρ' ἡμᾶς.
ἐνθάδε μεῖραξ ἔσθ' ὡραία
παρ' ἐμοὶ δ' ἑτέρα φήσει τις ἄνω
θ' ἐξ ὑπερῴου καὶ καλλίστη.
καὶ λευκοτάτη. πρότερον μέντοι
δεῖ σε καθεύδειν αὐτῆς παρ' ἐμοί.
τοῖς δ' εὐπρεπέσιν ἀκολουθοῦντες
καὶ μειρακίοις οἱ φαυλότεροι
τοιάδ' ἐροῦσιν. ποῖ θεῖς οὗτος.
πάντως οὐδὲν δράσεις ἐλθών.
τοῖς γὰρ σιμοῖς καὶ τοῖς αἰσχροῖς
ἐψήφισται προτέροις βινεῖν
ὑμᾶς δὲ τέως θρῖα λαβόντας διφόρου συκῆς
ἐν τοῖς προθύροις δέφεσθαι
φέρε νῦν φράσον μοι ταῦτ' ἀρέσκει σφῷν, Β. πάνυ.
Πρ. βαδιστέον ἄρ' ἐστὶν εἰς ἀγορὰν ἐμοί
ἵν' ἀποδέχωμαι τὰ προσιόντα χρήματα
λαβοῦσα κηρύκαιναν εὔφωνόν τινα.
ἐμὲ γὰρ ἀνάγκη ταῦτα δρᾶν ᾑρημένην
ἄρχειν καταστῆσαί τε τὰ ξυσσίτια
ὅπως ἂν εὐωχῆσθε πρῶτον σήμερον
Βλ. ἤδη γὰρ εὐωχησόμεθα. Πρ. φήμ' ἐγώ.
ἔπειτα τὰς πόρνας καταπαῦσαι βούλομαι
ἁπαξαπάσας. Βλ. ἵνα τί. Πρ. δῆλον τουτοτί.
ἵνα τῶν νέων ἔχωσιν αὗται τὰς ἀκμάς.

Γράμματι δειπνεῖ. δέον εἰπεῖν δικάζειν, εἶπε δειπνεῖν. ἐς τὴν παρὰ ταύτην. τοὺς θῆτας. τοὺς μισθωτοὺς εἰς τὸ θησεῖον. ἐπεὶ πάλιν ἀπὸ τοῦ θῆτα ἄρχεται. ἵνα κάμπτωσιν. ἀπὸ τοῦ κ. διὸ εἶπε τὸ ἐκ τῶν κ. ἔφη.

Διόδους. ὁδούς. ἀπὸ τοῦ διοδεύειν.

Διφόρου συκῆς ἢ παρὰ τὴν δίκην τοῦ διφόρου. ἢ ὅτι καὶ δίφοροι εἰσι. τοῦτο δὲ ἵνα κνησμὸν αὐτοῖς τὸ φύλλον ἐμποιῇ.

ἀλλ' οὖν τὸ μὲν πρότερον γέγονε πρὶν τὸ ψήφισμα γενέσθαι.
ὥστ' οὐχὶ δέος μή σε φιλήσῃ. Βλ. δεινὸν μέντ' ἂν ἐπεπόνθειν.
τὴν γῆν δὲ τίς ἔσθ' ὁ γεωργήσων; Πρ. οἱ δοῦλοι. σοὶ δὲ μελήσει
ὅταν ᾖ δεκάπουν τὸ στοιχεῖον λιπαρῶς χωρεῖν ἐπὶ δεῖπνον.
Βλ. περὶ δ' ἱματίων τίς πόρος ἔσται, καὶ γὰρ τοῦτ' ἔστιν ἐρέσθαι.
Πρ. τὰ μὲν ὄνθ' ὑμῖν, πρῶτον ὑπάρξει. τὰ δὲ λοίφ' ἡμεῖς ὑφανοῦμεν.
Βλ. ἓν ἔτι ζητῶ πῶς ἤν τις ὄφλῃ παρὰ τοῖς ἄρχουσι δίκην τῳ
πόθεν ἐκτίσει. οὐ γὰρ τῶν κοινῶν γ' ἐστὶ δίκαιον.
Πρ. ἀλλ' οὐδὲ δίκαι πρῶτον ἔσονται. τουτὶ πόσους ἐπιτρίψει.
Βλ. κἀγὼ ταύτην γνώμην ἐθέμην. Πρ. τοῦ γὰρ τάλαν οὕνεκ' ἔσονται.
Βλ. πολλῶν ἕνεκεν νὴ τὸν Ἀπόλλω. πρῶτον δ' ἑνὸς εἵνεκα δήπου
ἤν τις ὀφείλων ἐξαρνῆται. Πρ. πόθεν οὖν ἐδάνεισ' ὁ δανείσας;
ἐν τῷ κοινῷ πάντων ὄντων. Βλ. κλέπτων δήπου 'στ' ἐπίδηλος
Πρ. νὴ τὴν Δήμητρ' εὖ γε διδάσκεις. Βλ. τουτὶ τοίνυν φρασάτω μοι.
τῆς αἰκίας οἱ κλέπτοντες πόθεν ἐκτίσουσιν, ἐπειδὰν
εὐωχηθέντες ὑβρίζωσι. τοῦτο γὰρ οἶμαί σ' ἀπορήσειν.
Πρ. ἀπὸ τῆς μάζης ἧς σιτεῖται. ταύτην γὰρ ὅταν τις ἀφαιρῇ,
οὐχ ὑβριεῖται φαύλως οὕτως τῇ γαστρὶ κολασθείς,
Βλ. οὐδ' αὖ κλέπτης οὐδεὶς ἔσται, Π. πῶς γὰρ κλέψαι μὴ τὸ μαυτοῦ
Βλ. οὐδ' ἀποδύσουσ' ἄρα τῶν νυκτῶν. Πρ. οὐκ ἢν οἴκοι γε καθεύδῃς.
οὐδ' ἤν γε θύραζ' ὥσπερ πρότερον. βίοτος γὰρ πᾶσιν ὑπάρξει.
ἢν δ' ἀποδύῃ γ' αὐτὸς δώσει. τί γὰρ αὐτῷ πρᾶγμα μάχεσθαι.
ἕτερον γὰρ ἰὼν ἐκ τοῦ κοινοῦ, κρεῖττον κομιεῖται ἐκείνου.
Βλ. οὐδὲ κυβεύσουσ' ἄρ' ἄνθρωποι. Π. περὶ τοῦ γὰρ τοῦτο ποιήσει
Βλ. τὴν δὲ δίαιταν τίνα ποιήσεις. Πρ. κοινὴν πᾶσι. τὸ γὰρ ἄστυ
μίαν οἴκησιν φημὶ ποιήσειν συρρήξασ' εἰς ἓν ἅπαντα
ὥστε βαδίζειν ὡς ἀλλήλους. Β. τὸ δὲ δεῖπνον ποῦ παραθήσεις
Πρ. τὰ δικαστήρια καὶ τὰς στοιὰς, ἀνδρῶνας πάντα ποιήσω
Βλ. τὸ δὲ βῆμα, τί σοι χρήσιμον ἔσται; Πρ. τοὺς κρατῆρας καταθήσω,
καὶ τὰς ὑδρίας καὶ ῥαψῳδεῖν ἔσται τοῖς παιδαρίοισι
τοὺς ἀνδρείους ἐν τῷ πολέμῳ. κεἴ τις δειλὸς γεγένηται
ἵνα μὴ δειπνῶσ' αἰσχυνόμενοι. Βλ. νὴ τὸν Ἀπόλλω χάριέν γε
τὰ δὲ κληρωτήρια ποῖ τρέψεις; Πρ. εἰς τὴν ἀγορὰν καταθήσω
κᾆτα στήσασα παρ' Ἁρμοδίῳ κληρώσω πάντας ἕως ἂν

ἄγ. καὶ οὕτως οἱ μὲν ἔμενον τοὺς κληθέντας. οἱ δὲ ἀπήεσαν ἐπὶ τὰς ἑστιάσεις οὐδ' ὑπὸ τυχούσης [?] οὔσης αἰτίας. ἐφ' ἧς οἷόν τε ἦν τεκμήρασθαι εἰς πόσας ὥρας προήκει.
Γνώμην ἐθέμην. ἀντὶ τοῦ κἀμοὶ δοκεῖ τοῦτο συμφέρον εἶναι. τὸ μὴ εἶναι δικαστήρια. Τῆς αἰκίας. αἰκία εἶδος δίκης ἐστὶν ἰδιωτικόν. ἐπὶ πληγαῖς λαγχανομένης. ἧς τὸ τίμημα ἐν τοῖς νόμοις οὐκ ἔστιν ὡρισμένον ἀλλ' ὁ μὲν κατήγορος τίμημα ἐπιγράφεται. ὁ πόσου δοκεῖ ἄξιον εἶναι ἀδίκημα. οἱ δὲ δικασταὶ κρίνουσιν. Ἀπὸ τῆς μάζης. ἀπὸ τῆς τροφῆς φησὶν ἧς λαμβάνουσιν ἀπὸ τοῦ δημοσίου δώσουσι [?] τὴν ζημίαν. Αὐτὸς δώσει ὁ ἀποδυόμενος ἑκών. ἐξὸν αὐτῷ βέλτιον λαβεῖν. Κληρωτήρια. τὰς κληρωτικὰς ἀρχάς.

Βλ. ἢν μεῖρακ' ἴδῃ ὧν ἐπιθυμήσῃ καὶ βούλεται τοῦτον σκαλαθῦραι·
ἕξει τούτων ἀφελὼν δοῦναι· τῶν ἐκ κοινοῦ δὲ μεθέξει
ξυγκαταδαρθών. Πρ. ἀλλ' ἐξέσται προῖκ' αὐτῷ ξυγκαταδαρθεῖν.
καὶ ταύτας γὰρ κοινὰς ποιῶ τοῖς ἀνδράσι συγκατακεῖσθαι
καὶ παιδοποιεῖν τῷ βουλομένῳ. Βλ. πῶς οὐ πάντες; ἴασιν
ἐπὶ τὴν ὡραιοτάτην αὐτῶν καὶ ζητήσουσιν ἐρείδειν.
Πρ. αἱ φαυλότεραι καὶ σιμότεραι παρὰ τὰς σεμνὰς καθεδοῦνται
κᾆτ' ἢν ταύτης ἐπιθυμήσῃ, τὴν αἰσχρὰν πρῶθ' ὑποκρούσει.
Βλ. καὶ πῶς ἡμᾶς τοὺς πρεσβύτας ἢν ταῖς αἰσχραῖσι ξυνῶμεν
οὐκ ἐπιλείψει τὸ πέος πρότερον, πρὶν ἐκεῖσ' οἷ φῂς ἀφικέσθαι.
Πρ. οὐχὶ μαχοῦνται. Βλ. περὶ τοῦ. Πρ. τοῦ μὴ ξυγκαταδαρθεῖν.
Βλ. καί σοι τὸ περὶ τούτων δὴ μάχεσθαι.
Πρ. τὸ μὲν ἡμέτερον γνώμην τιν' ἔχει. προβεβούλευται γὰρ ὅπως ἂν
μηδεμιᾶς ᾖ τρύπημα κενόν. Βλε. τὸ δὲ τῶν ἀνδρῶν τί ποιήσει;
φεύξονται γὰρ τοὺς αἰσχίους. ἐπὶ δὲ τοὺς καλοὺς βαδιοῦνται.
Πρ. ἀλλὰ φυλάξουσ' οἱ φαυλότεροι τοὺς καλλίους ἀπιόντας
ἀπὸ τοῦ δείπνου καὶ τηρήσουσ' ἐπὶ τοῖσι δημοσίοισιν
οἱ φαυλότεροι. κοὐκ ἐξέσται παρὰ τοῖσι καλοῖς καταδαρθεῖν
ταῖς γυναιξὶ πρὶν τοῖς αἰσχροῖς καὶ τοῖς μικροῖς χαρίσωνται.
Βλ. ἡ Λυσικράτους ἆρα νυνὶ ῥὶς, ἴσα τοῖσι καλοῖσι φρονήσει.
Πρ. νὴ τὸν Ἀπόλλω, καὶ δημοτικὴ ἡ γνώμη καὶ καταχήνη
τῶν σεμνοτέρων ἔσται πολλή, καὶ τῶν σφραγῖδας ἐχόντων.
ὅταν ἐμβάδ' ἔχων εἴπῃ πρότερος παραχώρει. κᾆτ' ἐπιτήρει
ὅταν ἤδη 'γὼ διαπραξάμενος παραδῶ σοι δευτεριάζειν.
Βλ. πῶς οὖν οὕτω ζώντων ἡμῶν τοὺς αὑτοῦ παῖδας ἕκαστος
ἔσται δυνατὸς διαγινώσκειν. Πρ. τί δὲ δεῖ. πατέρας ἅπαντας
τοὺς πρεσβυτέρους αὐτῶν εἶναι τοῖσι χρόνοισι νομιοῦσιν.
Βλ. οὐκοῦν ἄγξουσ' εὖ καὶ χρηστῶς ἑξῆς τὸν πάντα γέροντα
διὰ τὴν ἄγνοιαν, ἐπεὶ καὶ νῦν γιγνώσκοντες πατέρ' ὄντα
ἄγχουσι. τί δῆθ' ὅταν ἀγνὼς ᾖ. πῶς οὐ τότε κἀπιχεσοῦνται.
Πρ. ἀλλ' ὁ παρεστὼς, οὐκ ἐπιτρέψει. τότε δ' αὐτοῖς οὐκ ἔμελ' οὐδὲν
τῶν ἀλλοτρίων ὅστις τύπτοι. νῦν δ' ἢν πληγέντος ἀκούσῃ,
μὴ αὐτὸν ἐκεῖνον τύπτῃ, δεδιὼς τοῖς δρῶσι τοῦτο μαχεῖται.
Βλ. τὰ μὲν ἄλλα λέγεις οὐ δὴ σκαιῶς. εἰ δὲ προσελθὼν ἐπίκουρος
ἢ Λευκολόφος πάππαν με καλεῖ. τοῦτ' ἤδη δεινὸν ἀκοῦσαι.
Πρ. πολὺ μέντοι δεινότερον τούτου τοῦ πράγματός ἐστι. Βλ. τὸ ποῖον.
Πρ. εἴ σε φιλήσειεν Ἀρίστυλλος φάσκων αὑτοῦ πατέρ' εἶναι.
Βλ. οἰμώζοι γ' ἂν καὶ κωκύοι. Πρ. σὺ δέ γ' ὄζοις ἂν καλαμίνθης.

Σκαλαθῦραι. συ/νουσιάσαι. μεί/ρακα δ' ἐνταῦ/θα δοκεῖ ἀρσε/νικῶν; εἴρηται/ καί τοι Ἀμμω/νίου λέγοντος;/ μειράκιον καὶ/ μείρακα τοῦ/ τῇ διαφέρειν/ ὅτι τὸ μὲν μει/ράκιον ἐπὶ ἀρ/σενικοῦ τὸ δὲ,/ μεῖραξ ἐπὶ θη/λυκοῦ ἢ πρὸς τὸ/ γυναικῶδες; τῶν/ κιναίδων. ἐρεί/δειν δὲ συνου/σιάζειν. Κα/ταχήνη. κατα/γέλως. Κα/λαμίνθης. δυ/σώδης βοτάνη/ ἡ καλαμίνθη./ καὶ ὄφεις ἐλαύ/νει καὶ ὁμοῦ μῦν./ Δεκάπουν. ἡ τοῦ/ ἡλίου σκιά, ὅ/ταν ᾖ δέκα πο/δῶν. θέλει οὖν/ εἰπεῖν ὅτι γί/γεται ὀψέ./ Ἄλλως. Τὸ πα/λαιὸν καλοῦν/τες ἐπὶ δεῖπνον/ καὶ καλούμε/νοι παρέστη μαν/θάνοντο τὴν σκι/

δηλοῦν ὅτι περ δύναται καιρός.
δεῖται γάρ τοι γε σοφοῦ τινος ἐξευρήματος ἡ πόλις ἡμῶν
ἀλλὰ πέραινε μόνον μήτε δεδραμένα, μήτ'
εἰρημένα πω πρότερον
μισοῦσι γὰρ ἢν τὰ παλαιὰ πολλάκις θεῶνται.
ἀλλ' οὐ μέλλειν ἀλλ' ἅπτεσθαι. καὶ δὴ χρῆν ταῖς διανοίαις
ὡς τὸ ταχύνειν χαρίτων μετέχει πλεῖστον παρὰ τοῖσι θεαταῖς.
Γρ. καὶ μὴν ὅτι μὲν χρηστὰ διδάξω, πιστεύω. τοὺς δὲ θεατὰς
εἰ καινοτομεῖν ἐθελήσουσι καὶ μὴ τοῖς ἠθάσι λίαν
τοῖς τ' ἀρχαίοις ἐνδιατρίβειν, τοῦτ' ἔσθ' ὃ μάλιστα δέδοικα.
Βλ. περὶ μὲν τοίνυν τοῦ καινοτομεῖν μὴ δείσῃς, τοῦτο γὰρ ἡμῖν
δρᾶν ἀντ' ἄλλης ἀρχῆς ἐστι, τῶν δ' ἀρχαίων ἀμελῆσαι
Γρ. μὴ νῦν πρότερον μηδεὶς ἡμῶν ἀντείπῃ μηδ' ὑποκρούσῃ,
πρὶν ἐπίστασθαι τὴν ἐπίνοιαν, καὶ τοῦ φράζοντος ἀκοῦσαι.
κοινωνεῖν γὰρ πάντας φήσω χρῆναι. πάντων μετέχοντας.
κἀκ ταὐτοῦ ζῆν. καὶ μὴ τὸν μὲν πλουτεῖν τὸν δ' ἄθλιον εἶναι.
μηδὲ γεωργεῖν τὸν μὲν πολλήν, τῷ δ' εἶναι μηδὲ ταφῆναι
μηδ' ἀνδραπόδοις τὸν μὲν χρῆσθαι πολλοῖς τὸν δ' ἀκολούθῳ
ἀλλ' ἕνα ποιῶ κοινὸν πᾶσι βίοτον, καὶ τοῦτον ὅμοιον. (ρός μοι
Βλ. πῶς οὖν ἔσται κοινὸς ἅπασι. Γρ. κατεδεῖ σπέλεθον πρότε-
Βλ. τῶν σπελέθων κοινωνοῦμεν; Γρ. μὰ Δί' ἀλλ' ἔφθης μ' ὑποκρούσας
τοῦτο γὰρ ἤμελλον ἐγὼ λέξειν. τὴν γῆν πρώτιστα ποιήσω
κοινὴν πάντων. καὶ τἀργύριον. καὶ τἄλλ' ὁπόσ' ἐστὶν ἑκάστῳ
εἶτ' ἀπὸ τούτων κοινῶν ὄντων ἡμεῖς βοσκήσομεν ὑμᾶς
ταμιευόμεναι καὶ φειδόμεναι καὶ τὴν γνώμην προσέχουσαι
Βλ. πῶς οὖν ὅστις μὴ κέκτηται γῆν ἡμῶν ἀργύριον δὲ
καὶ δαρεικοὺς ἀφανῆ πλοῦτον. Γρ. τοῦτ' ἐς τὸ μέσον καταθήσει
καὶ μὴ καταθεὶς ψευδορκήσει. Βλ. κἀκτήσατο γὰρ διὰ τοῦτο.
ἀλλ' οὐδέν τοι χρήσιμον ἔσται πάντως αὐτῷ. Βλ. κατὰ δὴ τί;
Γρ. οὐδεὶς οὐδὲν πενίᾳ δράσει, πάντα γὰρ ἕξουσιν ἅπαντες
ἄρτοις. τεμάχη. μάζας. χλαίνας. οἶνον. στεφάνους. ἐρεβίνθους.
ὥστε τί κέρδος μὴ καταθεῖναι. σὺ γὰρ ἐξευρὼν ἀπόδειξον.
Βλ. οὔκουν καὶ νῦν οὗτοι μᾶλλον κλέπτουσ' οἷς ταῦτα πάρεστι
Γρ. πρότερόν γ' ὦ 'ταῖρ' ὅτε τοῖσι νόμοισι διεχρώμεθα τοῖς προτέροισιν
νῦν δ' ἔσται γὰρ βίος ἐκ κοινοῦ. τί τὸ κέρδος μὴ καταθεῖναι

Σπέλεθον. κόπρον. καὶ ἄλλα χοῦ καταπίξαι βουλόμενος ἐν σκότῳ λάβοι τῇ χειρὶ σπέλεθον ἀλλότριος κεχεσμένον. Ἔφθης μ' ὑποκρούσας. ὅτι ὑπεκρούσω καὶ ἔρω τὰς πρὸ πρός μοι. Καὶ δαρεικούς. εἰσὶ μὲν χρυσοῖ στατῆρες οἱ δαρεικοί. ἠδύνατο δὲ ἕκαστος αὐτῶν, ὅπερ ὁ παρὰ τοῖς ἀττικοῖς ὀνομαζόμενος χρυσοῦς. οὐκ ἀπὸ Δαρείου τοῦ Ξέρξου πατρὸς, ἀλλ' ἐφ' ἑτέρου τινὸς παλαιοτέρου βασιλέως ὠνομάσθησαν. λέγουσι δέ τινες δύνασθαι τὸν δαρεικὸν δραχμὰς ἀργυρίου εἴκοσιν. ὡς τοὺς πέντε δαρεικοὺς δύνασθαι μνᾶν ἀργυρίου. Ἐν πενίᾳ δράσει. ἀντὶ τοῦ οὐδεὶς αἰσχρόν τι δράσει ἢ ἐργάσεταί τι παρακειμένων ἀφθονίας ἅπασιν.

μονονοὺ στεφανώσασ' οὐδ' ἐπιθεῖσα λήκυθον.
Γρ. ψῦχος γὰρ ἦν, ἐγὼ δὲ λεπτὴ κἀσθενής.
ἔπειθ' ἵνα λεαίνοιμι τοῦτ' ἠμπισχόμην.
σὲ δ' ἐν ἀλέᾳ κατακείμενον καὶ στρώμασι
κατέλιπον ὦ 'νερ. Αν. αἱ δὲ δὴ λακωνικαὶ
ᾤχοντο μετὰ σοῦ καὶ κατὰ τί χ' ἡ βακτηρία
Γρ. ἵνα θοἰμάτιον σώσαιμι μεθυπεδησάμην
μιμουμένη σε καὶ κτυποῦσα τοῖν ποδοῖν.
καὶ τοὺς λίθους παίουσα τῇ βακτηρίᾳ
Αν. οἶσθ' οὖν ἀπολώλεκας πυρῶν ἑκτέα;
ὃν χρῆν ἔμ' ἐξ ἐκκλησίας εἰληφέναι,
Γρ. μὴ φροντίσῃς· ἄῤῥεν γὰρ ἔτεκε παιδίον.
ἡ 'κκλησία. Γρ. μὰ Δί' ἀλλ' ἔφην ἔγωγ' ᾠχόμην
ἀτὰρ γεγένηται; Αν. ναὶ μὰ Δί' οὐκ ᾔδεισθά με
φράσαντά σοι χθές; ἄρτι γ' ἀναμιμνήσκομαι.
Αν. οὐδ' ἄρα τὰ δόξαντ' οἶσθα. Γρ. μὰ Δί' ἔγωγε μὲν οὔ.
Αν. κάθισο τοίνυν σηπίας μασωμένη.
ὑμῖν δέ φασι παραδεδόσθαι τὴν πόλιν
Γρ. τί δρᾶν, ὑφαίνειν. Αν. οὐ μὰ Δί' ἀλλ' ἄρχειν. Γρ. τίνος
Αν. ἁπαξαπάντων τῶν κατὰ πόλιν πραγμάτων
Γρ. νὴ τὴν ἀφροδίτην, μακαρία γὰρ ἡ πόλις.
ἔσται τολοιπόν. Αν. κατὰ τί. Γρ. πολλῶν οὕνεκα
οὐ γὰρ ἔτι τοῖς τολμῶσιν αὐτὴν αἰσχρὰ δρᾶν
ἔσται τὸ λοιπὸν. οὐδαμοῦ δὲ μαρτυρεῖν.
οὐ συκοφαντεῖν Βλ. μηδαμῶς πρὸς τῶν θεῶν
τουτὶ ποιήσῃς. μὴ δ' ἀφέλῃς μου τὸν βίον.
Αν. ὦ δαιμόνι' ἀνδρῶν. τὴν γυναῖκ' ἔα λέγειν.
Γρ. μὴ λωποδυτῆσαι μὴ φθονεῖν τοῖς πλησίον.
μὴ γυμνὸν εἶναι. μὴ πένητα μηδένα.
μὴ λοιδορεῖσθαι. μὴ 'νεχυραζόμενον φέρειν
Αν. νὴ τὸν ποσειδῶ, μεγάλα γ' εἰ μὴ ψεύσεται
Γρ. ἀλλ' ἀποφανῶ τοῦθ' ὥστε σέ γε μοι μαρτυρεῖν
καὶ τοῦτον αὐτὸν μηδὲν ἀντειπεῖν ἐμοί.
Χο. νῦν δὴ δεῖ σε πυκνὴν φρένα καὶ
φιλόσοφον ἐγείρειν φροντίδ' ἐπισταμένην
ταῖσι φίλαισιν ἀμύνειν. κοινῇ γὰρ ἐπ' εὐτυχίαισιν
ἔρχεται γλώττης ἐπίνοια, πολίτην.
δῆμον ἐπαγλαϊοῦσα, μυρίαισιν εὐτυχίαισι βίου.

Στεφανώσασα. εἰώθασι γὰρ ἐπὶ τῶν νεκρῶν τοῦτο ποιεῖν.

Λεαίνοιμι, θερμαίνοιμι.

Μὴ δ' ἀφέλῃς μου τὸν βίον. διοικοῦσα μετὰ τῶν ἄλλων γυναικῶν.

Μὴ 'νεχυραζόμενον. ἔθος γὰρ ἦν τοῖς δικαζομένοις ἐνέχυρα φέρειν καὶ διδόναι τὴν ἔσω τῶν οὐσίαν.

Σπελέθου. κόπρον. καὶ ἄλλα χοῦ ἐν σκότῳ λάβοι τῇ χειρὶ σπέλεθον ἀρτίως κεχεσμένον.

πάλιν μετασκεύαζε σαυτὴν αὖθις ἥπερ ἦσθα.
καὶ μὴ βράδυν'· ὡς τήνδε καὶ δὴ τὴν στρατηγὸν ἡμῶν.
χωροῦσαν ἐξ ἐκκλησίας ὁρῶμεν. ἀλλ' ἐπείγου
ἅπασα καὶ μίσει σάκον πρὸς ταῖν γνάθοιν ἔχουσα.
χ' αὗται γὰρ ἥκουσι πάλαι τὸ σχῆμα τοῦτ' ἔχουσαι.

Σάκον τὸν πώγωνα λέγει.

Πρ. ταυτὶ μὲν ἡμῖν ὦ γυναῖκες εὐτυχῶς,
τὰ πράγματ' ἐκβέβηκεν, ἃ βουλεύσαμεν.
ἀλλ' ὡς τάχιστα πρίν τιν' ἀνθρώπων ἰδεῖν
ῥιπτεῖτε χλαίνας. ἐμβὰς ἐκποδὼν ἴτω.
χάλα συναπτοὺς ἡνίας λακωνικὰς
βακτηρίας ἄφεσθε καὶ μέν τοι σὺ μὲν
ταύτας κατευτρέπιζ'· ἐγὼ δὲ βούλομαι
εἴσω παρερπύσασα πρὶν τὸν ἄνδρα με
ἰδεῖν, καταθέσθαι θοἰμάτιον αὐτοῦ πάλιν,
ὅθεν περ παρέλαβον τἄλλα θ' ἃ 'ξηνεγκάμην.

Συναπτούς. τὰς συναπτούσας καὶ δεσμούσας τὰ ὑποδήματα. Παρερπύσασα. ἠρέμα εἰσελθοῦσα.

Χο. κεῖται δὴ πάνθ' ἅπερ εἶπας, σὸν δ' ἔργον τἄλλα διδάσκειν
ὅτι σοι δρῶσαι, ξύμφορον ἡμεῖς, δόξομεν ὀρθῶς ἐπακούειν,
οὐδεμιᾷ γὰρ δεινοτέρᾳ σου ξυμμίξασ' οἶδα γυναικί.
Πρ. περιμείνατε νῦν ἵνα τῆς ἀρχῆς ἣν ἄρτι κεχειροτόνημαι
ξυμβούλοισιν ἁπάσαις ὑμῖν χρήσομαι. καὶ γὰρ ἐκεῖ μοι
ἐν τῷ θορύβῳ καὶ τοῖς δεινοῖς ἀνδρειόταται γεγένησθε.
αὕτη πόθεν ἥκεις πραξαγόρα. Πρ. τί δ' ὦ μέλε
σοὶ τοῦθ'. Ἀν. ὅ,τι μὴ τοῦτ' ἐστίν, Πρ. ὡς εὐηθικῶς.
οὔτοι περὶ τοῦ μοιχοῦ γε φήσεις. Ἀν. οὐκ ἴσως.
ἑνός γε. Πρ. καὶ μὴν βασανίσαι τουτί γέ σοι
ἔξεστι. Ἀν. πῶς. Πρ. εἰ τῆς κεφαλῆς ὄζω μύρου.
Ἀν. τί δ' οὐχὶ βινεῖται γυνὴ κἄνευ μύρου;
Πρ. οὐδ' ἡ τάλαιν' ἔγωγε. Ἀν. πῶς οὖν ὄρθριον
ᾤχου σιωπῇ θοἰμάτιον λαβοῦσά μοι.
Πρ. γυνή μέ τις νύκτωρ ἑταίρα καὶ φίλη
μετεπέμψατ' ὠδίνουσα. Αν. κᾆτ' οὐκ ἦν ἐμοὶ
φράσασαν ἰέναι; Πρ. τῆς λεχοῦς δ' οὐ φροντίσαι
οὕτως ἐχούσης ὦνερ; Ἀν. εἰποῦσάν γέ μοι.
ἀλλ' ἔστιν ἐνταῦθά τι κακόν. Πρ. μὰ τὼ θεώ.
ἀλλ' ὥσπερ εἶχον ᾠχόμην. ἐδεῖτο δὲ
ἥπερ μεθῆκέ μ' ἐξιέναι πάσῃ τέχνῃ.
Ἀν. εἶτ' οὐ τὸ σαυτῆς ἱμάτιον ἐχρῆν ἔχειν.
ἀλλ' ἔμ' ἀποδύσας ἀπολαβοῦσα τοὔγκυκλον,
ᾤχου καταλιποῦσ' ὡσπερεὶ προκείμενον.

Προκείμενον νεκρόν.

Βλ. ἅπαντά τ' αὐταῖς ἐστὶ προστεταγμένα
ἃ τοῖσιν ἀστοῖς ἔμελεν. Χρ. οὕτω ταῦτ' ἔχει.
Βλ. οὐδ' εἰς δικαστήριον ἄρ' εἶμ' ἀλλ' ἡ γυνή;
Χρ. οὐδ' ἔτι σὺ θρέψεις οὓς ἔχεις, ἀλλ' ἡ γυνή.
Βλ. οὐδὲ στένειν τὸν ὄρθρον ἔτι πρᾶγμ' ἄρα μοι
Χρ. μὰ δί' ἀλλὰ ταῖς γυναιξὶ ταῦτ' ἤδη μέλει.
σὺ δ' ἀστενακτεὶ περδόμενος οἴκοι μενεῖς.
Βλ. ἐκεῖνο δεινὸν τοῖσιν ἡλίκοισι νῷν.

Τοῖσιν ἡλίκοισι. τοῖς γέρουσι.

μὴ παραλαβοῦσαι τῆς πόλεως τὰς ἡνίας,
ἔπειτ' ἀναγκάζωσι πρὸς βίαν. Χρέ. τί δρᾶν.
Βλ. κινεῖν ἑαυτάς. Χρέ. ἢν δὲ μὴ δυνώμεθα,
Χρ. τὸ πρὸς βίαν δεινότατον. Χρέ. ἀλλ' εἰ τῇ πόλει,
τοῦτο ξυνοίσει. ταῦτα χρὴ πάντ' ἄνδρα δρᾶν.
λόγος τέ τοι τίς ἐστι τῶν γεραιτέρων
ὅσ' ἂν ἀνόητα καὶ μῶρα βουλευσώμεθα,
ἅπαντ' ἐπὶ τὸ βέλτιον ἡμῖν ξυμφέρειν.
καὶ ξυμφέροιγ' ὦ πότνια παλλὰς καὶ θεοί.
ἀλλ' εἶμι. σὺ δ' ὑγίαινε. Βλ. καὶ σύ γ' ὦ Χρέμης.

Λόγος τέ τοι τίς ἐστι. λέγεται ὡς ὁ ποσειδῶν καὶ ἡ ἀθηνᾶ ἐφιλονείκησαν περὶ τῆς ἀττικῆς. νικῆσαι τὴν ἀθηνᾶν καί φασὶν ἡττηθέντα, τὸν ποσειδῶνα καὶ λυπηθέντα, καταρᾶσθαι τῇ πόλει. καὶ λέγειν αὐτὸν ὅτι γένοιτο τοὺς ἀθηναίους ἀεὶ κακῶς βουλεύεσθαι καὶ ἐπιτυγχάνειν.

Χο. ἔμβα χώρει.
ἆρ' ἐστὶ τῶν ἀνδρῶν τις ἡμῖν ὅστις ἐπακολουθεῖ.
Στρέφου σκόπει.
φύλαττε σαυτὴν ἀσφαλῶς. πολλοὶ γὰρ οἱ πανοῦργοι
μή πού τις ἐκ τοὔπισθεν ὢν, τὸ σχῆμα καταφυλάξῃ.
ἀλλ' ὡς μάλιστα τοῖν ποδοῖν ἐπικτυπῶν βάδιζε.
ἡμῖν δ' αἰσχύνην φέροι,
Πάσαισι, παρὰ τοῖς ἀνδράσι τὸ πρᾶγμα τοῦτ'
ἐλεγχθέν.
Πρὸς ταῦτα συστέλλου σεαυτήν.
καὶ περισκοποῦ μὴ κἀκεῖσε καὶ τἀκ δεξιᾶς,
μὴ ξυμφορὰ γενήσεται τὸ πρᾶγμα.
ἀλλ' ἐγκονῶμεν. τοῦ τόπου γὰρ ἐγγὺς ἐσμὲν ἤδη.
ὅθεν περ εἰς ἐκκλησίαν ὡρμώμεθ' ἡνίκ' ᾖμεν.
τὴν δ' οἰκίαν ἔξεσθ' ὁρᾶν ὅθεν περ ἡ στρατηγὸς
ἔσθ' ἡ τὸ πρᾶγμ' εὑροῦσ' ὃ νῦν ἔδοξε τοῖς πολίταις.
ὥστ' εἰκὸς ἡμᾶς μὴ βραδύνειν ἔτ' ἐπαναμμενούσας.
Πώγωνας ἐξηρτημένας. μὴ καί τις ὄψεθ' ἡμᾶς,
χ' ἡμῶν ἴσως κατείπῃ. ἀλλ' εἶα δεῦρ' ἐπὶ σκιᾶς.
ἐλθοῦσα πρὸς τὸ τειχίον παραβλέπουσα θατέρῳ

Ἔμβα χώρει. ἐξέρχεται ὁ χορὸς ἀπὸ τῆς ἐκκλησίας.

Παραβλέπουσα. ἀτενίζουσά φησιν, ἀλλὰ τῷ ἑτέρῳ ὀφθαλμῷ βλέπουσα.

ἐς τῶν σκυλοδεψῶν· ἣν δ᾽ ἀποκλῄῃ τῇ θύρᾳ
χειμῶνος ὄντος, τρεῖς σισύρας ὀφειλέτω.
Βλ. νὴ τὸν Διόνυσον χρηστά γ᾽· εἰ δ᾽ ἐκεῖνά γε
προσέθηκεν οὐδεὶς ἀντεχειροτόνησεν ἄν,
τοὺς ἀλφιταμοιβοὺς τοῖς ἀπόροις τρεῖς χοίνικας
δεῖπνον παρέχειν ἅπασιν, ἢ κλάειν μακρὰ,
ἵνα τοῦτ᾽ ἀπέλαυσαν Ναυσικύδους τἀγαθόν.
Χρ. μετὰ τοῦτο τοίνυν εὐπρεπὴς νεανίας
λευκός τις ἀνεπήδησεν ὅμοιος Νικίᾳ.
δημηγορήσων κἀπεχείρησε λέγειν
ὡς χρὴ παραδοῦναι ταῖς γυναιξὶ τὴν πόλιν
εἶτ᾽ ἐθορύβησαν κἀνέκραγον ὡς εὖ λέγοι
τὸ σκυτοτομικὸν πλῆθος· οἱ δ᾽ ἐκ τῶν ἀγρῶν
ἀνεβορβόρυξαν. Βλέ. νοῦν γὰρ εἶχον νὴ Δία.
Χρ. ἀλλ᾽ ἦσαν ἥττους· ὁ δὲ, κατεῖχε τῇ βοῇ
τὰς μὲν γυναῖκας πόλλ᾽ ἀγαθὰ λέγων· σὲ δὲ
πολλὰ κακά. Βλ. καὶ τί εἶπε. Χρ. πρῶτον μέν σ᾽ ἔφη
εἶναι πανοῦργον. Βλ. καὶ σέ. Χρ. μή πω τοῦτ᾽ ἔρῃ
κἄπειτα κλέπτην. Βλ. ἐμὲ μόνον. Χρ. καὶ νὴ Δία
καὶ συκοφάντην. Βλ. ἐμὲ μόνον. Χρ. καὶ νὴ Δία.
τωνδὶ τὸ πλῆθος. Βλέ. τίς δὲ τοῦτ᾽ ἄλλως λέγει.
Χρ. γυναῖκα δ᾽ εἶναι πρᾶγμ᾽ ἔφη νουβυστικὸν
καὶ χρηματοποιόν. κοὔτε τἀπόρρητ᾽ ἔφη
ἐκ Θεσμοφόροιν ἑκάστοτε αὐτὰς ἐκφέρειν.
σὲ δὲ κἀμὲ βουλεύοντε τοῦτο δρᾶν ἀεί.
Βλ. καὶ νὴ τὸν Ἑρμῆν τοῦτό γ᾽ οὐκ ἐψεύσατο
Χρ. ἔπειτα συμβάλλειν πρὸς ἀλλήλας ἔφη
ἱμάτια, χρυσί᾽, ἀργύριον, ἐκπώματα.
μόνας μόναις οὐ μαρτύρων γ᾽ ἐναντίον
καὶ ταῦτ᾽ ἀποφέρειν πάντα κοὐκ ἀποστερεῖν
ἡμῶν δὲ τοὺς πολλοὺς ἔφασκε τοῦτο δρᾶν.
Βλ. νὴ τὸν Ποσειδῶ μαρτύρων τ᾽ ἐναντίον
Χρ. οὐ συκοφαντεῖν, οὐ διώκειν, οὐδὲ τὸν
δῆμον καταλύειν, ἀλλὰ πολλά τε κἀγαθὰ
ἕτερά τε πλεῖστα τὰς γυναῖκας εὐλόγει.
Βλ. τί δῆτ᾽ ἔδοξεν. Χρ. ἐπιτρέπειν σφι τὴν πόλιν
ταύταις· ἐδόκει γὰρ τοῦτο μόνον ἐν τῇ πόλει
οὔπω γεγενῆσθαι. Βλ. καὶ δέδοκται. Χρ. φήμ᾽ ἐγώ.

Κλάειν μακρά. τὸ λέγει γελῶτος χάριν. Ναυσικύδους. οἱ μὲν ὅτι ἀλφιταμοιβοὺς· οἱ δὲ ὅτι πένης· οἱ δὲ, ὅποι ἀλφιταμοιβοὶ τὸ ναυσικύδους τὸ ἀπέλαυσαν. Ἀνεβορβόρυξαν. ἀνέκραγον. Νοῦν γὰρ εἶχον νὴ δία. ἀγνῶτες εἰς ἄνδρας διασκευασθεῖσαι. Νουβυστικόν. νοῦ πεπληρωμένον. Συμβάλλειν μετὰ διδόναι καὶ χρᾶν.

Φήμ᾽ ἐγώ. ἐς φιλούντων αὐτῶν τὰ μὴ γενόμενα καινοποιεῖν.

Σκυτοτόμοι. ἐπειδὴ οἱ σκυτοτόμοι ἐν σκιᾷ καθεζόμενοι ἐργάζονται, τοῦτο ἔφη.

Τὸ δεύτερον. ὁ γὰρ ἀλεκτρυὼν τρίτον φθέγγεται. Ἀποίμωξόν με. παρὰ τὰ ἐξ Αἰσχύλου μυρμιδόνων. Ἀντίλοχ' ἀποίμωξόν με τοῦ τεθνηκότος τὸν ζῶντα μᾶλλον. Τἀμὰ γὰρ διοίχεται. αἰτίου τοῦ ἀπόλωλα. Ἐν ὥρᾳ. τοῦ ὄρθρου δηλονότι.

Τοῖς πρυτάνεσι. τὸ δέκατον μέρος τῆς βουλῆς τῶν φ', ν', ἄνδρες ἀπὸ μιᾶς φυλῆς οἱ διοικοῦντες ἅπαντα τὰ ὑπὸ τῆς βουλῆς πραττόμενα. ἐπρυτάνευον δὲ ἐκ διαδοχῆς ἀλλήλοις αἱ δέκα φυλαὶ, κλήρῳ λαχοῦσαι. Παρείρπυσεν. ὡς ἀπὸ ὄφεως εἶπεν. ἐπειδὴ τυφλὸς ἦν. Ὀπῷ. πάνυ γὰρ δριμύτατος ὁ ὀπός. τιθύμαλλον δὲ εἶδος βοτάνης δριμυτάτης. ἴσως δὲ αὕτη παρὰ λάκωσιν εὑρίσκεται. εἰώθασι δὲ οἱ ἰατροὶ καὶ ἐκ πατρίδος ὑπ' ἀλαζονείας τὰς βοτάνας ὀνομάζειν. οἷον, κυρηναϊκὸν ὀπὸν καὶ σμυρναϊκόν. νῦν μέντοι διαβόητος καὶ ὁ λακωνικὸς τιθύμαλλος. Ἥλιος τράπῃ. εἰς χειμερινὰς δηλονότι τροπάς.

μὰ τὸν Δί' οὐδὲν ἄλλον ἢ τὸν θύλακον.
Βλ. τὸ δ' αἴτιον τί; Χρ. πλεῖστος ἀνθρώπων ὄχλος
ὅσος οὐδεπώποτ' ἦλθεν ἀθρόος ἐς τὴν πύκνα.
καὶ δῆτα πάντες σκυτοτόμοις ἠκάζομεν
ὁρῶντες αὐτούς. οὐ γὰρ ἀλλ' ὑπερφυῶς
ὡς λευκοπληθὴς ἦν ἰδεῖν ἡ 'κκλησία.
ὥστ' οὐκ ἔλαβον οὔτ' αὐτὸς οὔτ' ἄλλοι συχνοί.
Βλ. οὐδ' ἄρ' ἂν ἐγὼ λάβοιμι νῦν ἐλθών; Χρ. πόθεν;
οὐδ' εἰ μὰ Δία τότ' ἦλθες, ὅτε τὸ δεύτερον
ἀλεκτρυὼν ἐφθέγγετο. Βλ. οἴμοι δείλαιος
Ἀντίλοχ' ἀποίμωξόν με τοῦ τριωβόλου
τὸν ζῶντα μᾶλλον. τἀμὰ γὰρ διοίχεται.
ἀτάρ, τί τὸ πρᾶγμ' ἦν ὅτι τοσοῦτο χρῆμ' ὄχλου
οὕτως ἐν ὥρᾳ ξυνελέγη; Χρ. τί δ' ἄλλο γ' ἢ
ἔδοξε τοῖς πρυτάνεσι περὶ σωτηρίας
γνώμας καθεῖναι τῆς πόλεως. κᾆτ' εὐθέως
πρῶτος Νεοκλείδης ὁ γλάμων παρείρπυσεν.
κἄπειθ' ὁ δῆμος ἀναβοᾷ πόσον δοκεῖς.
οὐ δεινὰ τολμᾶν τουτονὶ δημηγορεῖν
καὶ ταῦτα περὶ σωτηρίας προκειμένου
ὃς αὐτὸς αὑτῷ βλεφαρίδ' οὐκ ἐσώσατο.
ὁ δ' ἀναβοήσας καὶ περιβλέψας ἔφη
τί δαί με χρὴ δρᾶν; Βλ. σκόροδ' ὁμοῦ τρίψαντ' ὀπῷ.
τιθύμαλλον ἐμβαλόντα τοῦ λακωνικοῦ
σαυτοῦ παραλείφειν τὰ βλέφαρα τῆς ἑσπέρας
ἔγωγ' ἂν εἶπον εἰ παρὼν ἐτύγχανον.
Χρ. μετὰ τοῦτον Εὐαίων ὁ δεξιώτατος
παρῆλθε γυμνὸς ὡς ἐδόκει τοῖς πλείοσιν.
αὐτός γε μέντοὔφασκεν ἱμάτιον ἔχειν,
κἄπειτ' ἔλεξε δημοτικωτάτους λόγους.
ὁρᾶτε μέν με δεόμενον σωτηρίας
τετραστατήρου καὐτὸν, ἀλλ' ὅμως ἐρῶ.
ὡς τὴν πόλιν καὶ τοὺς πολίτας σώσετε.
ἢν γὰρ παρέχωσι τοῖς δεομένοις οἱ κναφῆς
χλαίνας ἐπειδὰν πρῶτον ἥλιος τράπῃ,
πλευρῖτις ἡμῶν οὐδέν' ἂν λάβοι ποτέ.
ὅσοις δὲ κλίνη μή 'στι μηδὲ στρώματα
ἰέναι καθευδήσοντας ἀπονενιμμένους.

Κλάθρ

ΑΝ. μῶν ἦν Θρασύβουλος ἔστι τοῖς λακωνικοῖς;
ΒΛ. νὴ τὸν διόνυσον ἐνέχεται γοῦν μοι σφόδρα.
ἀτὰρ τί δράσω; καὶ γὰρ οὐδὲ τοῦτό με
μόνον τὸ λυποῦν ἐστιν. ἀλλ' ὅταν φάγω,
ὅποι βαδιεῖταί μοι τὸ λοιπὸν ἡ κόπρος.
νῦν μὲν γὰρ οὗτος βεβαλάνωκε τὴν θύραν,
ὅστις ποτ' ἔστ' ἄνθρωπος ἀχραδούσιος.
τίς ἂν οὖν ἰατρόν μοι μετέλθοι καὶ τίνα.
τίς τῶν καταπρώκτων δει/
νός ἐστι τὴν τέχνην.
ἆρ' οἶδ' ἀμύνων. ἀλλ' ἴσως ἀρνήσεται.
ἀντισθένην τις καλεσάτω πάσῃ τέχνῃ,
οὗτος γὰρ ἁνὴρ ἕνεκά γε στεναγμάτων
οἶδε τί πρωκτὸς βούλε/
ται χεζητιῶν.
ὦ πότνι' εἰλείθυια μή με περιίδῃς.
διαρραγέντα μηδὲ βεβαλανωμένον.
ἵνα μὴ γένωμαι σκωραμὶς κωμῳδική.
ΧΡ. οὗτος τί ποιεῖς, οὔτι που χέζεις; ΒΛ. ἐγώ;
ΒΛ. οὐ δῆτ' ἔτι γε μὰ τὸν δί' ἀλλ' ἀνίσταμαι.
ΧΡ. τὸ τῆς γυναικὸς δ' ἀμπέχει χιτώνιον.
ΒΛ. ἐν τῷ σκότῳ γὰρ τοῦτ' ἔτυ/
χον ἔνδον λαβών.
ἀτὰρ πόθεν ἥκεις ἐτεόν. ΧΡ. ἐξ ἐκκλησίας.
ΒΛ. ἤδη λέλυται γάρ. ΧΡ. νὴ δί' ὄρθριον μὲν οὖν
καὶ δῆτα πολὺν ἡ μίλ/
τος ὦ ζεῦ φίλτατε.
γέλων παρέσχεν ἣν προσέρραινον κύκλῳ.
ΒΛ. τριώβολον δῆτ' ἔλαβες. ΧΡ. εἰ γὰρ ὤφελον.
ἀλλ' ὕστερος νῦν δ' ἦλθον, ὥστ' αἰσχύνομαι.

Θρασύβουλος. οὗτος ἀντιλέγειν μέλλων τοῖς λακεδαιμονίοις πρέσβεσι περὶ σπονδῶν ἐληλυθόσιν, εἶτα δωροδοκήσας, ἀχράδας προσεποιήσατο βεβρωκέναι καὶ μὴ δύνασθαι λέγειν.

Ἀλλ' ὅταν φάγω. ἀγωνιῶ δὲ ἐὰν φάγω οὕτω τὴν γαστέρα στενούμενος εἰς ποῖον τόπον χωρήσει ἡ ἔνδον κόπρος.

Βεβαλάνωκεν. ἔκλεισεν. βαλανεῖος γὰρ τὸν μοχλὸν σιδήριον ὃ καλοῦμεν μάγγανον. ταῦτα δ' εἴρηται καὶ ἐν ἄλλοις. Ἀμύνων. ῥήτωρ ἑταιρηκώς. οὐκ ἰατρὸς ὁ ἀμύνων. καὶ ὁ ἀντισθένης δὲ ἰατρὸς θηλυδρώδης.

Εἰλείθυια, ἐπεὶ αἱ ὠδίνουσαι ἐπικαλοῦνται τὴν εἰλείθυιαν. καὶ αὐτὸς οὖν στενοχωρούμενος. οὖν καλεῖ ταύτην.

Σκωραμίς. ἀμὶς μὲν ἐν ᾧ οὐροῦσι. σκωραμὶς δὲ ἐν ᾧ ἀποπατοῦσιν.

Οὗτος τί ποιεῖς. ἀνήρ τις ἐπανιὼν ἀπὸ τῆς ἐκκλησίας χρέμης.

Ἡ μίλτος. κατὰ γὰρ τὴν ἀγορὰν ἐσόβουν εἰς ἐκκλησίαν τοὺς ἀθηναίους μεμιλτωμένῳ σχοινίῳ. μίλτος δὲ χρώματος εἶδος ἐρυθροῦ. καὶ ὅμηρος νῆες μιλτοπάρῃοι. προσέρραινον δὲ προσέβαλον. θύλακον δὲ ἀρτοθήκην σημαίνει καὶ ἐν πλούτῳ ζητητέον. αἰσχύνομαί φησιν ἐπεὶ κενὸς ἔσται.

τουτὶ γὰρ τῆς γυναικὸς ἡμιδιπλοΐδιον
καὶ τὰς ἐκείνης περσικὰς ὑφέλκομαι.
ἀλλ' ἐν καθαρῷ ποῦ ποῦ τις ἂν χέσας τύχοι,
ἢ πανταχοῦ τοι νυκτός ἐστιν ἐν καλῷ.
οὐ γάρ με νῦν χέζοντά γ' οὐδεὶς ὄψεται.
οἴμοι κακοδαίμων, ὅτι γέρων ὢν ἠγόμην
γυναῖχ'. ὅσας εἴμ' ἄξιος πληγὰς λαβεῖν.
οὐ γάρ ποθ' ὑγιὲς οὐδὲν ἐξελήλυθε
δράσουσ'. ὅμως δ' οὖν ἐστιν ἀποπατητέον.
Αν. τίς ἐστιν. οὐ δήπου Βλέπυρος ὁ γειτνιῶν.
Βλ. νὴ τὸν Δί' αὐτὸς δῆτ' ἐκεῖνος. Αν. εἰπέ μοι
τί τοῦτό σοι τὸ πυρρόν ἐστιν οὔτι που
Κινησίας σου κατατετίληκεν. Βλ. πόθεν
οὐκ. ἀλλὰ τῆς γυναικὸς ἐξελήλυθα
τὸ κροκώτιον ἀμπισχόμενος, ὃ 'νδύεται.
Αν. τὸ δ' ἱμάτιόν σου ποῦ 'στιν. Βλ. οὐκ ἔχω φράσαι.
ζητῶν γὰρ αὔτ' οὐχ εὗρον ἐν τοῖς στρώμασιν.
Αν. εἶτ' οὐδὲ τὴν γυναῖκ' ἐκέλευσάς σοι φράσαι,
Βλ. μὰ τὸν Δί' οὐ γὰρ ἔνδον οὖσα τυγχάνει.
ἀλλ' ἐκτετρύπηκε λαθοῦσά μ' ἔνδοθεν.
ὃ καὶ δέδοικα μή τι δρᾷ νεώτερον.
Αν. νὴ τὸν Ποσειδῶ, ταυτὰ τοίνυν ἄντικρυς
ἐμοὶ πέπονθας. καὶ γὰρ ᾗ ξύνειμ' ἐγώ,
φρούδη 'στ' ἔχουσα θοἰμάτιον ὃ 'γὼ 'φόρουν.
κοὐ τοῦτο λυπεῖ μ', ἀλλὰ καὶ τὰς ἐμβάδας
οὔκουν λαβεῖν γ' αὐτὰς ἐδυνάμην οὐδαμοῦ.
Βλ. μὰ τὸν Διόνυσον, οὐδ' ἐγὼ γὰρ τὰς ἐμὰς
λακωνικάς. ἀλλ' ὡς ἔτυχον χεζητιῶν,
ἐς τὼ κοθόρνω τὼ πόδ' ἐνθεὶς ἵεμαι.
ἵνα μὴ 'γχέσαιμ' ἐς τὴν σισύ-
ραν. φανὴ γὰρ ἦν.
τί δῆτ' ἂν εἴη μῶν ἐπ' ἄριστον γυνὴ
κέκληκεν αὐτὴν τῶν φίλων. Βλ. γνώμην γ' ἐμήν.
Αν. οὔκουν πονηρά γ' ἐστὶν ὅτι κἄμ' εἰδέναι.
ἀλλὰ σὺ μὲν, ἱμονιάν τιν' ἀποπατεῖς. ἐμοὶ
δ' ὥρα βαδίζειν ἐστὶν ἐς τὴν ἐκκλησίαν.
ἤνπερ λάβω θοἰμάτιον ὅπερ ἦν μοι μόνον.
κἀγὼ γ' ἐπειδὰν ἀποπατήσω. νυνὶ δέ μου
ἀχράς τις ἐγκλείσασ' ἔχει τὰ σιτία.

Ἡμιδιπλοΐδιον. τὸ γυναικεῖον ἱμάτιον. ἢ ἀναβόλαιον γυναικῶν. Περσικάς. εἶδος ὑποδήματος. Ὑφέλκομαι. ἀντὶ τοῦ περιδεσμοῦμαι. ὑποδέδεμαι.

Ἐν καθαρῷ. ἐν ἐρημίᾳ.

Κροκώτιον. ὑποκοριστικῶς. εἴρηται δ' ἐν βατράχοις ὅτι ἔνδυμά ἐστι διονυσιακὸν ὁ κροκωτός. ἐνταῦθα δὲ δῆλον ὡς γυναικεῖον. ἀμπισχόμενος δὲ, περιβεβλημένος. Νεώτερον. καινὸν καὶ ἄτοπον φανερῶς.

Κοθόρνω. κόθορνος εἶδος ὑποδήματος ἁρμόζον ἀμφοτέροις ποσί. Τὴν σισύραν. τὸ μαλλωτὸν στρῶμα. φανὴ δὲ, λαμπρὰ καθαρά.

Γνώμην ἐμὴν κατὰ τὴν ἐμὴν γνώμην καὶ οἴκοθεν. Ἱμονιάν. ἱμονιὰ καλεῖται τὸ σχοινίον ἐν ᾧ ἀρύονται τοῦ ὕδατος. ταῦτα δὲ λέγει, ὡς ἂν τοῦ μακρὰ ἀποπατοῦντος καὶ χέζοντος. Ἀχράς τις. στένωσιν τῇ γαστρὶ παρέχει ὁ λεγόμενος παρ' ἡμῖν ἄπιος. Οὕτω γὰρ καὶ Πλάτων ἐν νόμοις ἀπίους εἴρηκεν. οὐ μόνον δὲ ἀλλὰ καὶ παρ' Ἀλέξιδι. καὶ ἐν ἀγρίοις Φερεκράτει. πρὶν ἀλακυκῆσαι τοὺς ἀπίους ἁρπαζέτω. ἐπέχει δὲ τὴν γαστέρα ἡ ἀχράς.

ὑπαποτρέχειν ἔχουσι, μὴ δὲ πάτταλον
ΧΟ. ὥρα προβαίνειν ὦνδρες ἡμῖν ἐστι. τοῦτο γὰρ χρὴ
μεμνημένας ἀεὶ λέγειν ὡς μή ποτ' ἐξολίσθῃ
ἡμᾶς. ὁ κίνδυνος γὰρ οὐχὶ μικρὸς ἢν ἁλῶμεν
ἐνδούμεναι κατὰ σκότον τόλμημα τηλικοῦτον.
χωρῶμεν εἰς ἐκκλησίαν ὦνδρες. ἠπείλησε γὰρ
ὁ θεσμοθέτης ὡς ἂν μὴ πρῷ πάνυ τοῦ κνέφους,
ἥκῃ κεκονιμένος βλέπων ὑπότριμμα.
στέργων σκοροδάλμην μὴ δώσειν τριώβολον
ἀλλ' ὦ Χαριτιμίδη καὶ Σμίκυθε καὶ Δράκη
ἕπου κατεπείγων σαυτῷ προσέχων ὅπως
μηδὲν παραχορδιεῖς ὧν δεῖ σ' ἀποδεῖξαι.
ὅπως δὲ τὸ σύμβολον λαβόντες ἔπειτα πλησίοι καθεδούμεθ' ὡς ἂν χειροτονῶμεν.
ἅπανθ' ὅσ' ἂν δέῃ τὰς ἡμετέρας φίλας
καί τοι τί λέγω, φίλους γὰρ χρῆν μ' ὀνομάζειν.
ὅρα δ' ὅπως ὠθήσομαι τούσδε τοὺς ἐξ ἄστεως
ἥκοντας. ὅσοι πρὸ τοῦ μὲν ἡνίκ' ἐλθόντ' ἔδει
λαβεῖν ὀβολὸν μόνον, καθῆντο λαλοῦντες.
νυνὶ δ' ἐνοχλοῦσ' ἄγαν. ἀλλ' οὐχὶ Μυρωνίδης
ὅτ' ἦρχεν ὁ γεννάδας. οὐδεὶς ἂν ἐτόλμα.
τὰ τῆς πόλεως διοικεῖν, ἀργύριον φέρων.
ἀλλ' ἧκεν ἕκαστος ἐν ἀσκιδίῳ φέρων
πιεῖν ἅμα τ' ἄρτον αὖ καὶ δύο κρομμύω.
καὶ τρεῖς ἂν ἐλάας. νυνὶ δὲ τριώβολον.
ζητοῦσι λαβεῖν, ὅταν πράττωσί τι κοινὸν ὥσπερ πηλοφοροῦντες.

ΒΛ. τί τὸ πρᾶγμα. ποῖ ποθ' ἡ γυνὴ φρούδη 'στί μοι.
ἐπεὶ πρὸς ἕω νῦν γ' ἐστὶν, ἡ δ' οὐ φαίνεται
ἐγὼ δὲ κατάκειμαι πάλαι χεζητιῶν
τὰς ἐμβάδας ζητῶν λαβεῖν ἐν τῷ σκότῳ
καὶ θοἰμάτιον. ὅτε δ' ἤδη 'κεῖνο ψηλαφῶν,
οὐκ ἐδυνάμην εὑρεῖν, ὁ δ' ἤδη τὴν θύραν
ἐπεῖχε κρούων ὁ κοπρεαῖος, λαμβάνω

Υπαποτρέχειν. ὀπίσω τρέχειν. Πάτταλον τὸ τυχόν, οἱ γὰρ ὕστερον ἐλθόντες, οὐκ ἐλάμβανον τὸ ἐκκλησιαστικόν.
Ἐνδούμεναι. καταδυόμεναι εἰς τηλικαύτην τόλμαν λάθρα. Χωρῶμεν. τοῦτ' ἔστι τὸ μέλλος. ὃ εἶπεν ἔνδον αὐταῖς τὸ ἀγροικικόν.
Θεσμοθέτης. ἀρχή τις Ἀθήνησιν ἐξ ὄντων τὸν ἀριθμόν. καί τοι ἐκ τῶν καλουμένων ἐννέα ἀρχόντων. καλοῦνται δὲ οὕτως ὅτι τῶν νόμων τὴν ἐπιμέλειαν εἶχον. ὅτι δὲ τοὺς νόμους οὗτοι διώρθουν κατ' ἐνιαυτὸν ἕκαστον, εἴρηκεν αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. Πρῷ δὲ μονοσυλλάβως. ἀντὶ τοῦ πρωΐ. ἐπὶ κνέφους ὄντος. Υπότριμμα δριμύ, οἱ γὰρ δικάζοντες ὀφείλουσι δριμεῖς εἶναι. Στέργων. ἡδόμενος σκορόδοις. καὶ τοῦτο τὸ ἀγροικικόν. Μηδὲν παραχορδιεῖς. παρὰ ῥυθμὸν ποιήσῃς μηδὲν παραφθέγξῃ. ἀλλὰ δεῖ εἰπεῖν ὅπως. Σύμβολον δὲ τὸ δηλοῖ φανερὸν ἤδη. Ὅρα δ' ὅπως. ὁρᾷ ἄνδρας προσιόντας ἐν τῇ ἐκκλησίᾳ. Μυρωνίδης. τῶν εὐδοκιμούντων οὗτος ὁ στρατηγός. Ἐν ἀσκιδίῳ. πρὸς τὸ ἀρχαῖον ἔθος σεσημείωται. Πηλοφοροῦντες. ὡς χειροτέχναι καὶ μισθωτοί. Ὁ κοπρεαῖος βούλεται εἰπεῖν ὡς ὅτι ἠπειγόμην ἀποπατῆσαι.

Κέφαλός σοι δημαγωγὸς οὗτος ἕτερος οὐχ ὃν λέγει δημοσθένης ἀλλὰ λοίδορος. Τρύβλια. εἶδος ὀξυβάφου τὸ τρύβλιον. Κεραμεύειν. ἀπὸ κοινοῦ τὸ κεραμεύειν. ἀντὶ τοῦ κατεργάζεσθαι. ἦν δὲ κεραμέως πατρὸς ὁ κέφαλος. ἔλεγε τὸ δὲ κεραμεύειν, καὶ τὸ κακῶς ποιεῖν τὰ κοινά. Νεοκλείδης ὁ Γλάμων. ὁ ἔχων τοὺς ὀφθαλμοὺς μεστοὺς ἀκαθαρσίας. ὁ λημῶν. ἐκωμῳδεῖτο δέ, ὡς συκοφάντης καὶ ξένος καὶ κλέπτης. Ἐς κυνὸς πυγήν. παροιμία. ἐς κυνὸς πυγὴν ὁρᾶν καὶ τριῶν ἀλωπέκων. λέγεται δὲ ἐπὶ τῶν ὀφθαλμιώντων. Ὑποκρούωσί σε. ὑποβάλλωσί σε. λαμβάνωνταί σου.

214. a

Πολλῶν κρουμάτων. ἔπαιξε παρὰ τὴν ὁμωνυμίαν τῆς συνουσίας. Ἐξαγκωνιῶ. τοὺς ἀγκῶνας ὑπὸ τὰς πλευρὰς ποιήσω. οὐδέποτε γὰρ οὕτω μέση ληφθήσομαι. Ἄλλως.

Παραδῶσ' ἵνα τῶν χειρῶν ἕλκῃ με καὶ μὴ μέσην ἄρας με, γνῷ ὅτι γυνή εἰμι ἐκ τῶν τιτθίων. Τὰς χεῖρας αἴρειν. ὥσπερ οἱ ῥήτορες οἱ κρινόμενοι. Ἐξωμισάσαις. ἄχρι τῶν ὤμων γυμνωθείσαις. Ὑποδεῖσθε. ὑποδεσμεύσατε.

ἀτὰρ ἢν κέφαλός σοι λοιδορῆται προσφθαρείς,
πῶς ἀντερεῖς πρὸς αὐτὸν ἐν τῇ κλησίᾳ.
Πρ. φήσω παραφρονεῖν αὐτόν; Γυ. ἀλλὰ τοῦτό γε
ἴσασι πάντες. Πρ. ἀλλὰ καὶ μελαγχολᾶν.
Γυ. καὶ τοῦτ' ἴσασιν. Πρ. ἀλλὰ καὶ τὰ τρύβλια.
κακῶς κεραμεύειν. τὴν δὲ πόλιν καλῶς.
Γυ. τί δ' ἢν νεοκλείδης ὁ γλάμων σε λοιδορῇ.
Πρ. τούτῳ μὲν εἶπον ἐς κυνὸς πυγὴν ὁρᾶν.
Γυ. τί δ' ἢν ὑποκρούωσί σε. Πρ. προσκινήσομαι,
ἅτ' οὐκ ἄπειρος οὖσα πολλῶν κρουμάτων.
Γυ. ἐκεῖνο μόνον ἄσκεπτον ἤν σοι τοξόται
ἕλκωσιν ὅτι δράσεις ποτέ. Πρ. ἐξαγκωνιῶ.
ὡδί, μέση γὰρ οὐδέποτε ληφθήσομαι.
Γυ. ἡμεῖς δέ γ' ἢν αἴρωσ' ἐᾶν κελεύσομεν.
Πρ. ταυτὶ μὲν ἡμῖν ἐντεθύμηται καλῶς.
Φυ. ἐκεῖνο δ' οὐ πεφροντίκαμεν, ὅτῳ τρόπῳ,
τὰς χεῖρας αἴρειν μνημονεύσομεν τότε.
εἰθισμέναι γὰρ ἐσμὲν αἴρειν τὰ σκέλη.
Πρ. χαλεπὸν τὸ πρᾶγμ' ὅμως δὲ χειροτονητέον.
ἐξωμισάσαις. τὸν ἕτερον βραχίονα.
ἄγε νῦν ἀναστέλλεσθ' ἄνω τὰ χιτώνια
ὑποδεῖσθε δ' ὡς τάχιστα τὰς λακωνικάς.
ὥσπερ τὸν ἄνδρα θεᾶσθ' ὅτ' εἰς ἐκκλησίαν
μέλλοι βαδίζειν ἢ θύραζ' ἑκάστοτε
ἔπειτ' ἐπειδὰν ταῦτα πάντ' ἔχῃ καλῶς.
περιδεῖσθε τοὺς πώγωνας. ἡνίκ' ἂν δέ γε
τούτοις ἀκριβώσητε περιηρμοσμέναι
καὶ θοἰμάτια τἀνδρεῖα τάπερ ἐκλέψατε
ἐπαναβάλλεσθε. κᾆτα ταῖς βακτηρίαις
ἐπερειδόμεναι, βαδίζετ' ᾄδουσαι μέλος,
πρεσβυτικόν τι. τὸν τρόπον μιμούμεναι
τὸν τῶν ἀγροίκων. Γυ. εὖ λέγεις. ἡμεῖς δέ γε,
προΐωμεν αὐτῶν. καὶ γὰρ ἑτέρας οἴομαι
ἐκ τῶν ἀγρῶν εἰς τὴν πύκν' ἥξειν ἄντικρυς
γυναῖκας. ἀλλὰ σπεύσαθ' ὡς εἰώθ' ἐκεῖ
τοῖς μὴ παροῦσιν ὀρθρίοις ἐς τὴν πύκνα,

Προΐωμεν αὐτῶν. προηγησώμεθα τῶν λοιπῶν γυναικῶν.

ταύταις ἐπιτρόποις καὶ ταμίαισι χρώμεθα.
Γυ. εὖγ᾽ εὖγε νὴ Δί᾽ εὖγε. λέγε λέγ᾽ ὦγαθέ.
ὡς δ᾽ εἰσὶν ἡμῶν τοὺς τρόπους βελτίονες
ἐγὼ διδάξω. πρῶτα μὲν γὰρ τἄρια
βάπτουσι θερμῷ κατὰ τὸν ἀρχαῖον νόμον
ἁπαξάπασαι, κοὐχὶ μεταπειρωμένας
ἴδοις ἂν αὐτάς. ἡ δ᾽ ἀθηναίων πόλις
εἰ τοῦτο χρηστῶς εἶχεν, οὐκ ἂν ἐσώζετο.
εἰ μή τι καινὸν ἄλλο περιηργάζετο.
καθήμεναι φρύγουσιν ὥσπερ καὶ προτοῦ.
ἐπὶ τῆς κεφαλῆς φέρουσιν ὥσπερ καὶ προτοῦ.
τὰ θεσμοφόρι᾽ ἄγουσιν ὥσπερ καὶ προτοῦ.
τοὺς ἄνδρας ἐπιτρίβουσιν ὥσπερ καὶ προτοῦ.
μοιχοὺς ἔχουσιν ἔνδον ὥσπερ καὶ προτοῦ.
αὑταῖς παροψωνοῦσιν, ὥσπερ καὶ προτοῦ.
τὸν οἶνον εὔζωρον φιλοῦσ᾽ ὥσπερ προτοῦ.
βινούμεναι χαίρουσιν, ὥσπερ καὶ προτοῦ.
ταύταισιν οὖν ὦνδρες παραδόν/
τες τὴν πόλιν
μὴ περιλαλῶμεν μηδὲ πυνθανώμεθα
τί ποτ᾽ ἄρα δρᾶν μέλλουσιν. ἀλλ᾽ ἁπλῷ τρόπῳ.
ἐῶμεν ἄρχειν σκεψάμενοι ταυτὶ μόνα.
ὡς τοὺς στρατιώτας πρῶτον οὖσαι μητέρες
σῴζειν ἐπιθυμοῦσιν. εἶτα σιτία
τίς τῆς τεκούσης μᾶλλον ἐπιπέμ/
ψειεν ἄν.
χρήματα πορίζειν εὐπορώτατον γυνή.
ἄρχουσά τ᾽ οὐκ ἂν ἐξαπατηθείη ποτέ.
αὐταὶ γάρ εἰσιν ἐξαπατᾶν εἰθισμέναι.
τὰ δ᾽ ἄλλ᾽ ἐάσω. ταῦτα κἂν πείθησθέ μοι,
εὐδαιμονοῦντες τὸν βίον διάξετε
Γυ. εὖγ᾽ ὦ γλυκυτάτη πραξαγόρα καὶ δεξιῶς
πόθεν ὦ τάλαινα ταῦτ᾽ ἔμα/
θες οὕτω καλῶς.
Πρ. ἐν ταῖς φυγαῖς μετ᾽ ἀνδρὸς ᾤκησ᾽ ἐν πυκνὶ
ἔπειτ᾽ ἀκούσ᾽ ἐξέμαθον τῶν ῥητόρων.
Γυ. οὐκ ἐτὸς ἄρ᾽ ὦ μέλ᾽ ἦσθα δεινὴ καὶ σοφή.
καί σε στρατηγὸν αἱ γυναῖκες αὐτόθεν

διοικητρίαις. Βάπτουσι. πλύ/
νουσι. Εἰ μή τι καινὸν ἄλλο.
ἀντὶ τοῦ εἰ μὴ ἐπολυπραγμό/
νει καὶ καινὰς ἔφερε πολιτεί/
ας. Φρύγουσι. λείπει τὸ τρί/
χας. ἐπιτρίβουσι. μοιχεύουσιν
ἢ ἐν τῷ μηδὲν πράττειν. Παρο/
ψωνοῦσιν. ἀντὶ τοῦ λάθρα ὀψω/
νοῦσιν. Εὔζωρον. ἄκρατον.
Μὴ περιλαλῶμεν. φλυαρῶ/
μεν. Σκεψάμενοι. οἷον ἐκ τῶν
ἐπαγομένων λογισάμενοι. Πο/
ρίζειν. εὑρίσκειν. συνάγειν. Εἰ μή
τι καινὸν ἄλλο. ἀντὶ τοῦ εἰ μὴ
ἐπολυπραγμόνει, καὶ καινὰς
ἔφερε πολιτείας. Τὰ δ᾽ ἄλλα.
μετὰ τὸ ἐάσω στικτέον. τὸ δὲ ταῦ/
τα, οἷον ταῦτα συμβουλεύων.
Ἐν ταῖς φυγαῖς. τόπος τοῦ δικα/
στηρίου ἀποκεκρυμμένος. Ἐν
πυκνί. ἀντὶ τοῦ ἐν τῇ ἐκκλησίᾳ.
ὡς ἀποκεκρυμμένων ἐκείνων
τῶν μερῶν καὶ δυναμένων ἐκεῖ
κρύπτεσθαι ἐπὶ τῆς φυγῆς τῶν
τριάκοντα. Ὦ μέλ᾽ ἦσθα.
παρέλκει τὸ μέλε. Αὐτόθεν.
ἀπὸ τοῦ παρόντος χρόνου.

Τ ὰ τῆς πόλεως· ἐντεῦθεν ἡ ὑπόκρισις τῆς δημηγορίας

Τ οὺς μισθοφορεῖν· τοὺς μισθοὺς βουλομένους λαβεῖν. καὶ γὰρ παρὰ τῶν δημαγωγῶν λαμβάνουσι καὶ ὁ μὴ λαβὼν μισεῖ θέλων λαβεῖν. Τὸ συμμαχικόν. ἡ μὲν γνώμη τίς ἦν, καὶ ὑπό τινος, ἄδηλον. περὶ δὲ τοῦ συμμαχικοῦ φιλόχορος ἱστορεῖ ὅτι πρὸ δύο ἐτῶν ἐγένετο συμμαχία λακεδαιμονίων καὶ βοιωτῶν

Ο τοῦτ' ἀναπείσας· κόνωνα λέγει. Γεωργοῖς· ἐβαροῦντο γὰρ ταῖς τριηραρχίαις.

Κορινθίοις ἦσαν γὰρ διάφοροι. τὸ δὲ σοί, ὡς πρὸς τὸν δῆμον. Ἱερώνυμος σοφός. κατ' εἰρωνείαν. ὁ γὰρ ἀργεῖος σοφός. ὁ δ' Ἱερώνυμος, ἀμαθής. ταῦτα δὲ εἰς τὸ κωμωδῆσαί τινας. τὸ δὲ ἀργεῖος. ὄνομα κύριον. Θρασύβουλος. οὗτος αὐθάδης καὶ δωροδόκος. ὑπερόπτης ὢν τοῦ δήμου, ἠβούλετο δι' αὐτοῦ πάντα πράττεσθαι. Τὰ δημόσια γὰρ μισθοφοροῦντες. ὅπως μὲν αὐτοὶ κερδανεῖτε σκοπεῖσθαι. ὅπως δὲ φροντίσητε περὶ τῶν κοινῶν ἐξ ὧν μισθοφορεῖα ἀμελεῖτε τοῦ κοινοῦ. Αἴσιμος. χωλὸς ἄτιμος καὶ ἀμαθής. Σωθήσεσθ' ἔτι. παρέλκει τὸ ἔτι παρὰ τοῖς ἀττικοῖς.

Τ αμίαις· ἐφόροις· φύλαξι

τὰ τῆς πόλεως ἅπαντα βαρέως πράγματα.
ὁρῶ γὰρ αὐτὴν προστάταισι χρωμένην
ἀεὶ πονηροῖς. κἄν τις ἡμέραν μίαν
χρηστὸς γένηται, δέκα πονηρὸς γίνεται.
ἐπέτρεψας ἑτέρῳ, πλεῖον' ἔτι δράσει κακά.
χαλεπὸν μὲν οὖν ἄνδρας δυσαρέστους νουθετεῖν
οἳ τοὺς φιλεῖν βουλομένους δεδοίκατε.
τοὺς δ' οὐκ ἐθέλοντας ἀντιβολεῖθ' ἑκάστοτε.
ἐκκλησίαισιν ἦν ὅτ' οὐκ ἐχρώμεθα.
οὐδὲν τὸ παράπαν. ἀλλὰ τόν γ' Ἀγύρριον
πονηρὸν ἡγούμεσθα. νῦν δὲ χρωμένων,
ὁ μὲν λαβὼν ἀργύριον, ὑπερεπῄνεσεν
ὁ δ' οὐ λαβὼν εἶναι θανάτου φησ' ἀξίους,
τοὺς μισθοφορεῖν ζητοῦντας ἐν τἠκκλησίᾳ.
Γυ. νὴ τὴν ἀφροδίτην εὖ γε ταυταγὶ λέγεις.
Πρ. τάλαιν' ἀφροδίτην ὠνόμασας, χαρίεντά γ' ἂν
ἔδρασας εἰ τοῦτ' εἶπας ἐν τἠκκλησίᾳ.
Γυ. ἀλλ' οὐκ ἂν εἶπω. Πρ. μή νυν ἐθίζου νῦν λέγειν.
Γυ. τὸ συμμαχικὸν αὖ τοῦθ' ὅτ' ἐσκοπούμεθα
εἰ μὴ γένοιτ' ἀπολεῖν ἔφασκον τὴν πόλιν.
ὅτε δὴ γ' ἐγένετ' ἤχθοντο τῶν δὲ ῥητόρων
ὁ τοῦτ' ἀναπείσας εὐθὺς ἀποδρὰς ᾤχετο.
ναῦς δεῖ καθέλκειν τῷ πέ-
νητι μὲν δοκεῖ,
τοῖς πλουσίοις δὲ καὶ γεωργοῖς, οὐ δοκεῖ.
Κορινθίοις ἄχθεσθε κἀκεῖνοί γε σοι
νῦν εἰσὶ χρηστοὶ καὶ σὺ νῦν χρηστὸς γενοῦ.
ἀργεῖος ἀμαθής, ἀλλ' Ἱερώνυμος σοφός.
σωτηρία παρέκυψεν ἀλλ' ὀρίζεται
θρασύβουλος αὐτὸς οὐχὶ παρα-
καλούμενος.
Πρ. ὡς ξυνετὸς ἀνήρ. Γυ. νῦν καλῶς ἐπῄνεσας.
ὑμεῖς γάρ ἐστ' ὦ δῆμε τούτων αἴτιοι
τὰ δημόσια γὰρ μισθοφοροῦντες χρήματα
ἰδίᾳ σκοπεῖσθ' ἕκαστος ὅ,τι τις κερδανεῖ
τὸ δὲ κοινὸν ὥσπερ αἴσιμος κυλίνδεται.
ἢν οὖν ἐμοὶ πείθησθε, σωθήσεσθ' ἔτι
ταῖς γὰρ γυναιξὶ φημὶ χρῆναι τὴν πόλιν
ὑμᾶς παραδοῦναι. καὶ γὰρ ἐν ταῖς οἰκίαις

Πρ. ἰδού γέ σοι πίνουσιν. Γυ. νὴ τὴν ἄρτεμιν.
καὶ ταῦτά γ' εὔζωρον. τὰ γοῦν βουλεύματα
αὐτῶν ὅσ' ἂν πράξωσιν ἐνθυμουμένοις
ὥσπερ μεθύοντ' ἐστὶ παραπεπληγμένα.
καὶ νὴ δία σπένδουσί γ'. ἢ τίνος χάριν
τοσαῦτά γ' ηὔχοντ' εἴπερ οἶνος μὴ παρῆν.
καὶ λοιδοροῦνταί γ' ὥσπερ ἐκπεπωκότες.
καὶ τὸν παροινοῦντ' ἐκφέρουσ' οἱ τοξόται.
Πρ. σὺ μὲν βάδιζε. καὶ κάθησ' οὐδὲν γὰρ εἶ.
Γυ. νὴ τὸν δί' ἤ μοι μὴ γενειᾶν κρεῖττον ἦν.
δίψει γὰρ ὡς ἔοικεν ἀφαυανθήσομαι.
Πρ. ἔσθ' ἥτις ἑτέρα βούλεται λέγειν, Γυ. ἐγώ.
Πρ. ἴθι δὴ στεφανοῦ καὶ γὰρ τὸ χρῆμ' ἐργάζεται.
ἄγε νῦν ὅπως ἀνδριστὶ καὶ καλῶς ἐρεῖς.
διερεισμένη τὸ σχῆμα τῇ βακτηρίᾳ.
Γυ. ἐβουλόμην μὲν ἕτερον ἂν τῶν ἠθάδων.
λέγειν τὰ βέλτισθ' ἵν' ἐκαθήμην ἥσυχος.
νῦν δ' οὐκ ἐάσω. κατά γε τὴν ἐμὴν μίαν.
ἐν τοῖσι καπηλείοισι λάκκους ἐμποιεῖν.
ὕδατος. ἐμοὶ μὲν οὐ δοκεῖ μὰ τὼ θεώ.
Πρ. μὰ τὼ θεὼ τάλαινα ποῦ τὸν νοῦν ἔχεις;
Γυ. τί δ' ἐστίν. οὐ γὰρ δὴ πιεῖν ᾔτησά σε.
Πρ. μὰ δί' ἀλλ' ἀνὴρ ὢν τὼ θεὼ κατώμοσας.
καί τοι τά γ' ἄλλ' εἰποῦσα δεξιώτατα.
Γυ. ὢ νὴ τὸν ἀπόλλω. Πρ. παῦε τοίνυν ὡς ἐγὼ
ἐκκλησιάζουσ' οὐκ ἂν προβαίην τὸν πόδα
τὸν ἕτερον, εἰ μὴ ταῦτ' ἀκριβωθήσεται.
Γυ. φέρε τὸν στέφανον. ἐγὼ γὰρ αὖ λέξω πάλιν.
οἶμαι γὰρ ἤδη μεμελετη/
κέναι καλῶς
ἐμοὶ γὰρ ὦ γυναῖκες αἱ καθήμεναι,
Πρ. γυναῖκας αὖ δύστηνε τοὺς ἄνδρας λέγεις,
Γυ. μὰ δί' ἐπίγονόν γ' ἐκεῖνον. ἐπιβλέψασα γὰρ
ἐκεῖσε πρὸς γυναῖκας ᾠόμην λέγειν.
Πρ. ἄπερρε καὶ σὺ καὶ κάθησ' ἐνθευτενὶ
αὐτὴ γὰρ ὑμῶν γ' ἕνεκά μοι λέξειν δοκῶ.
τονδὶ λαβοῦσα. τοῖς θεοῖς μὲν εὔχομαι.
τυχεῖν κατορθώσασα τὰ βεβουλευμένα.
ἐμοὶ δ' ἴσον μὲν τῆς δὲ τῆς χώρας μέτα,
ὅσον περ ὑμῖν. ἄχθομαι δὲ καὶ φέρω,

Ἀρφράδες. ὡς αἰσχρὰ μεμιγμένου αὐταῖς. λοιδορεῖται δὲ πρὸς γυναῖκας αἰσχρὸς ὢν κιθαρῳδός.

Μ εθύοντ' ἐστί. διαβάλλει τοὺς ἀθηναίους, ὡς ἀεὶ κακὰ βουλευομένους. Ἀφαυανθήσομαι ξηρανθήσομαι. ὡς καὶ ἀλλαχοῦ. τοὺς ἀλλοτρίους ἀμῶν ταχύς, τύπτεις ἐν ξύλῳ δήσας ἀφαυῇ. Ἐργάζεται. ἀνύεται ὅπερ λοιπὸν οὐκ ἂν γένοιτο.

Δ ιερεισμένη. διαταξαμένη ἀσφαλισαμένη. Τῶν ἠθάδων. τῶν ἔθος ἐχόντων λέγειν. Ἐμὴν μίαν. λείπει γνώμην. Λάκκους ἐμποιεῖν. ἀθηναῖοι καὶ οἱ ἄλλοι τῶν ἑλλήνων ὀρύγματα ὑπὸ τὴν γῆν ποιοῦντες εὐρύχωρα καὶ στρογγύλα καὶ τετράγωνα καὶ ταῦτα κονιῶντες οἶνον ὑπεδέχοντο καὶ ἔλαιον εἰς αὐτά. καὶ ταῦτα λάκκους ἐκάλουν. Μὰ τὼ θεώ. ἐπειδὴ γυναικῶν ὁ ὅρκος, παίζει. οὐ γὰρ δεῖ φησιν ὑποκρινομένην ἄνδρα γυναικεῖον ὅρκον ὀμνύναι τοῖς θεοῖς. Ἀκριβωθήσεται. ἀκριβῶς μελετήσεται. Ἐπίγονόν γ' ἐκεῖνον. οὗτος κωμῳδεῖται ὡς μαλακὸς καὶ ὡς μετὰ γυναικῶν ἀεὶ εὑρισκόμενος.

Χ περιβαίνουσαν ἀντὶ τοῦ τὸ βῆμα ἀναβαίνουσαν. φορμίσιος. καὶ οὗτος δασὺς ἦν, αἰνί-
ττεται δὲ τὸ γυναικεῖον αἰδοῖον. Ἀγύρριος. στρατηγὸς θηλυδριώδης, ἄρξας ἐν Λήμνῳ
καὶ τὸν μισθὸν δὲ τῶν ποιητῶν συνέτεμε καὶ πρῶτος ἐκκλησιαστικὸν δέδωκεν.
ὁ δὲ πρόνομος αὐλητὴς μέγαν ἔχων πώγωνα. ἀγύρριος γὰρ εὐρύπρωκτος. οὗτος οὖν
τὸν προνόμου ἔχων πώγω-
να, λανθάνει ὢν γυνή.

Τούτου γέ τοι. ὑπερβατὸν
καὶ τὸ ἑξῆς. τούτου γέ μοι
οὕνεκα τοσοῦτον τόλμημα
τολμῶμεν, ἵν' ἢ τὴν ἐπιοῦσαν
ἡμέραν ἤν πως παραλα-
βεῖν. Νῦν μὲν γάρ.
ἀντὶ τῇ παροιμίᾳ ὁ κἀγύ-
ριον ἡ πάντα θεῖ καλῶς νε-
ται. ὅ ἐστιν, οὔτε ἀνέμοις οὔ-
τε κώπαις πλέομεν. Καὶ
πῶς γυναικῶν. ἐκ τραγω-
δίας τοῦτο. Σποδοῦνται.
κοινοῦνται. Κατὰ τύχην.
ἤγουν κατὰ συνουσίαν.
Ἡ μὴ 'μπειρία. τὸ ἄπειρες. ἡ ἐμ-
πειρία. Περιδουμένη.
περιδεσμεύουσα τὴν τριχί-
νην γενειάδα. γένειον γὰρ ὁ
τόπος. Περίδου. περίθες.
Περιδήσομαι. ὅτι οἱ δημαγω-
γοὶ ἐστέφοντο. τάλαν,
παρέλκει τὸ τάλαν.
Καταγέλαστον τὸ ἡμᾶς πώ-
γωνας ἔχειν.
Σηπίαις. σηπία εἶδος ἰχθύ-
ος. ἀπρόσλογος δὲ ἡ εἰκα-
σία. ἐσταθευμέναις ἦ, ἐξ ἐπι-
πολῆς ὀπτηθείσαις. σταθεύειν
γὰρ τὸ μὴ λίαν ὀπτῆσαι. ἢ
χλιανθείσαις πυρί.
Περιστίαρχος. ὁ τῶν καθαρσίων
προηγούμενος ἐν ταῖς ἐκ-
κλησίαις. περιστίαρχος ἐκα-
λεῖτο, περίστια γάρ, τὰ κα-
θάρσια.

τούτου γέ τοι νὴ τὴν ἐπιοῦσαν ἡμέραν
τόλμημα τολμῶμεν τοσουτονί, οὕνεκα
ἤν πως παραλαβεῖν τῆς πόλεως τὰ πράγματα
δυνώμεθ', ὥστ' ἀγαθόν τι πρᾶξαι τὴν πόλιν.
νῦν μὲν γὰρ οὔτε θέομεν οὔτ' ἐλαύνομεν.
Γυ. καὶ πῶς γυναικῶν θηλύφρων ἐξουσία
δημηγορήσει. Πρ. πολὺ μὲν οὖν ἄριστα που.
λέγουσι γὰρ καὶ τῶν νεανίσκων, ὅσοι
πλεῖστα σποδοῦνται, δεινοτάτους εἶναι λέγειν.
ἡμῖν δ' ὑπάρχει τοῦτο κατὰ τύχην τινά.
Γυ. οὐκ οἶδα. δεινὸν δ' ἐστὶν ἡ μὴ 'μπειρία.
Πρ. οὐκοῦν ἐπίτηδες ξυνελέγημεν ἐνθάδε.
ὅπως προμελετήσωμεν ἁκεῖ δεῖ λέγειν.
οὐκ ἂν φθάνοις τὸ γένειον ἂν περιδουμένη.
ἄλλαι θ' ὅσαι λαλεῖν μεμελετήκασί που.
Γυ. τίς δ' ὦ μέλ' ἡμῶν οὐ λαλεῖν ἐπίσταται.
Πρ. ἴθι δὴ σὺ περίδου. καὶ ταχέως ἀνὴρ γενοῦ.
ἐγὼ δὲ θεῖσα τοὺς στεφά-
νους περιδήσομαι
καὐτὴ μεθ' ὑμῶν, ἤν τί μοι δόξῃ λέγειν.
Γυ. δεῦρ' ὦ γλυκυτάτη Πραξα-
γα σκέψαι τάλαν
ὡς καὶ καταγέλαστον τὸ πρᾶγμα φαίνεται.
Πρ. πῶς καταγέλαστον. Γυ. ὥσπε-
ρεί τις σηπίαις
πώγωνα περιδήσειεν ἐσταθευμέναις.
Πρ. ὁ περιστίαρχος περιφέρειν χρὴ τὴν γαλῆν.
πάριτ' ἐς τὸ πρόσθεν. Ἀρίφρα-
δες παῦσαι λαλῶν.
κάθιζε παριών. τίς ἀγορεύειν βούλεται.
Γυ. ἐγώ. Πρ. περίθου δὴ τὸν στέφανον τύχ' ἀγαθῇ.
Γυ. ἰδού. Πρ. λέγοις ἄν. Γυ. εἶτα πρὶν πιεῖν λέγω;
Πρ. ἰδοὺ πιεῖν. Γυ. τί γὰρ ὦ μέλ' ἐστεφανωσάμην.
Πρ. ἄπιθ' ἐκποδών. τοιαῦτ' ἂν ἡμᾶς εἰργάσω
κἀκεῖ. Γυ. τί δ' οὐ πίνουσι
κἀν τῇ 'κκλησίᾳ.

ἐχλιαινόμην ἑστῶσα πρὸς τὸν ἥλιον.
Γυ. κἄγωγε· τὸ ξυρὸν δέ γ' ἐκ τῆς οἰκίας
ἔρριψα πρῶτον, ἵνα δασυνθείην ὅλη,
καὶ μηδὲν εἴην ἔτι γυναικὶ προσφερής.
Πρ. ἔχετε δὲ τοὺς πώγωνας, οὓς εἴρητ' ἔχειν
πάσαισιν ἡμῖν, ὁπότε συλλεγοίμεθα;
Γυ. νὴ τὴν ἑκάτην καλόν γ' ἔγωγε τουτονί.
Ετ. κἄγωγ' ἐπικράτους οὐκ ὀλίγῳ καλλίονα.
Πρ. ὑμεῖς δὲ, τί φατε. Γυ. φασί· κατανεύουσι γοῦν.
Πρ. καὶ μὴν τά γ' ἄλλ' ὑμῖν ὁρῶ πεπραγμένα.
λακωνικὰς γὰρ ἔχετε καὶ βακτηρίας
καὶ θοἰμάτια τἀνδρεῖα καθάπερ εἴπομεν.
Γυ. ἔγωγέ τοι τὸ σκύταλον ἐξηνεγκάμην.
τὸ τοῦ λαμίου τουτὶ καθεύδοντος λάθρα.
Πρ. τοῦτ' ἔστ' ἐκεῖνο τῶν σκυτάλων ὧν πέρδεται.
νὴ τὸν δία τὸν σωτῆρα. ἐπιτήδειος γ' ἂν ἦν.
τὴν τοῦ πανόπτου διφθέραν ἐνημμένος,
εἴπερ τις ἄλλος βουκολεῖν τὸν δήμιον.
Γυ. λέγ' εἶθ' ὅπως καὶ τἀπὶ τούτοις δρασόμεθα
ἕως ἔτ' ἐστὶν ἄστρα κατὰ τὸν οὐρανόν.
ἡ ἐκκλησία δ' εἰς ἣν παρεσκευάσμεθα
ἡμεῖς βαδίζειν. ἐξ ἕω γενήσεται;
Πρ. νὴ τὸν δί' ὥστε δεῖ σε καταλαβεῖν ἕδρας
ὑπὸ τῷ λίθῳ τῶν πρυτάνεων καταντικρύ.
Αλ. ταυτί γέ τοι νὴ τὸν δί' ἐφερόμην ἵνα
πληρουμένης ξαίνοιμι τῆς ἐκκλησίας.
Πρ. πληρουμένης τάλαινα; Γυ. νὴ τὴν ἄρτεμιν
ἔγωγε. τί γὰρ ἂν χεῖρον ἀκροῴμην ἄρα
ξαίνουσα. γυμνὰ δ' ἐστί μου τὰ παιδία.
Πρ. ἰδού γε σε ξαίνουσαν ἣν τοῦ σώματος
οὐδὲν παραφῆναι τοῖς καθημένοις ἔδει,
οὐκοῦν καλά γ' ἂν πάθοιμεν εἰ πλήρης τύχοι
ὁ δῆμος ὤν. κἄπειθ' ὑπερβαίνουσά τις
ἀναβαλλομένη δείξειε τὸ φορμίσιον.
ἢν δ' ἐγκαθιζώμεσθα πρότεραι λήσομεν
ξυστειλάμεναι θοἰμάτια, τὸν πώγωνά τε
ὅταν καθῶμεν ὃν περιδησόμεσθ' ἐκεῖ.
τίς οὐκ ἂν ἡμᾶς ἄνδρας ἡγήσαιθ' ὁρῶν.
Ἀγύρριος γοῦν τὸν προνόμου πώγων' ἔχων
λέληθε. καίτοι πρότερον ἦν οὗτος γυνή.
νυνὶ δ' ὁρᾷς πράττει τὰ μέγιστ' ἐν τῇ πόλει.

τὴν εἴρηκεν. τὴν λαμπάδα. τὴν δᾷδα λέγει διὰ τὸ ἔτι νύκτα.
Ἐς ὠφελος. τουτέστιν εὐγενές. Τριχίδον. λέγει νῦν, τῶν καλουμένων θριασῶν. αὗται ἐσθιόμεναι, βῆχα ἀναγείρουσιν. Ἔχω τὰς μασχάλας. ἔθρεψα γὰρ τρίχας ἵνα ὅταν χειροτονῶσι, δοκῶσιν ἄνδρες εἶναι. Πρὸς τὸν ἥλιον. ὥστε μελανθῆναι ὡς ὁ ἀνήρ. ἔρριψα. ἵνα μὴ βλέπουσα αὐτὸ ξυρίζοίμην.
Ἐπικράτους. οὗτος εἰς δασύτητα κωμῳδεῖται. ἦν δὲ ῥήτωρ καὶ δημαγωγός. οὗτος μέγα πώγωνα ἔχων, ἐπεκλήθη σακεσφόρος. καὶ πλάτων ὁ κωμικός φησιν ἄναξ ὑπήνης ἐπίκρατες σακεσφόρε. Λακωνικάς. εἶδος ὑποδήματος. Λάμιον. λάμιός τις πένης καὶ ἀπὸ ξυλοφορίας ζῶν. διὸ καὶ βακτηρίαν ἐξενέγκασα αὐτοῦ φησιν ἔτι. κωμῳδεῖται καὶ ὡς δεσμοφύλαξ. ἀρσενικῶς δὲ τὴν λαμίαν. ὑπὲρ ἧς ὁ φερεκράτης λέγει ἐν τῷ ὁμωνύμῳ δράματι ὅτι σκυτάλην ἔχουσα ἐπέρδετο.
Ὧν πέρδεται. ἀντὶ τοῦ ὧν φέρει. ἢ ἴσως ὑπὸ τοῦ βάρους ἐπέρδετο. Τὴν τοῦ πανόπτου. τὴν ἰὼ φυλάττοντος. αἰνίττεται δὲ ὡς ὄντος αὐτοῦ δεσμοφύλακος. ἀναφέρει δὲ τοῦτο ἐπὶ τὸν παρὰ σοφοκλεῖ ἐν ἰνάχῳ ἄργον. Ὑπὸ τῷ λίθῳ. τῷ βήματι.
Ταυτί γέ τοι. γυνὴ ἔρχεται φέρουσα καὶ ξαίνουσα αὐτά, πρὶν ἀπελθεῖν ἐκεῖσε. Πληρουμένης. φθάσαι γάρ φησι δεῖ, καὶ μὴ μεῖναι ἕως πληρωθῇ. Παραφῆναι, δεῖξαι.

ρῶνται ἥ τε τῆς ἀθηνᾶς ἱέρεια
καὶ ὁ τοῦ ἡλίου. κομίζουσι δὲ τοῦτο
ἐτεοβουτάδαι. σύμβουλον δὲ
τοῦτο γίνεται τοῦ δεῖν οἰκοδομεῖν.
καὶ σκαπάνας ποιεῖν ὡς τοῦ χρόνου
ἀρίστου ὄντος πρὸς οἰκοδομίαν. καὶ
ἀθηνᾶν δὲ σκιρράδα τιμῶσιν ἀθη
ναῖοι, ἣν φιλόχορος μὲν ἐν δευτέ
ρῳ ἀτθίδος ἀπὸ σκίρου τινὸς ἐλευ
σινίου μάντεως κεκλῆσθαι, πραξί
ων δὲ ἐν δευτέρῳ μεγαρικῶν ἀπὸ
σκίρωνος τοῦ συνοικίσαντος σαλα
μῖνα. σκιράδα δὲ ἀθηνᾶν θησεὺς
ἐποίησεν ὅτε ἐπανῄει ἀποκτεί
νας τὸν μινώταυρον. ἀλλ' ὡς σφυρό
μαχος γράφεται. ὡς λεόμαχος
καὶ φασὶ κλεόμαχον τραγικὸν
ὑποκριτήν. οὗτος φαίνεται ὑπο
κρινόμενός ποτε εἰρηκέναι τι ἐν
δράματι καὶ ἐσκῶφθαι διὰ τὸ
κακέμφατον. ὁ δὲ σφυρόμαχος,
ψήφισμα εἰσηγήσατο, ὥστε δεῖν
τὰς γυναῖκας τὰς ἑταίρας χωρὶς
τῶν ἐλευθέρων καθέζεσθαι. οἱ δὲ
ὅτι τὰς γυναῖκας καὶ τοὺς ἄνδρας
χωρὶς καθίζεσθαι. Ὥρα βαδί
ζειν. μία τῶν ἐρχομένων πρὸς τὴν
πραξαγόραν ταῦτα λέγει. Θρυ
γονῶσα. ἡσύχως κνῶσα. Ὑπο
δουμένη. ὑποδήματα βαλοῦ
σα. τὸ κνῖσμα δὲ τὸν ἠρεμαῖον
χνασμόν. Σαλαμίνιος. ὡς ναυ
τικῶν ὄντων τῶν σαλαμινίων ἢ
καταφερῶν. δύναται δὲ καὶ ἀπὸ
τῆς σαλαμινίας νεὼς νοεῖσθαι ὁ
σαλαμίνιος. ὡς ἀπὸ τῆς παράλου
πάραλιος. κἀρεβίνθων. ὑποπίνον
τες ἔκοπτον φρυκτοὺς ἐρεβίνθους.
Τὴν σμικυθίων λείπει γυναῖκα. Ἐμ
βάσιν. ἐμβὰς ἀνδρεῖον ὑπόδημα.
Γευσιστράτην. παρὰ τὴν λυσιστρά

δεῖ τὰς ἑταίρας κἀγκαθιζομένας λαθεῖν.
τί δῆτ' ἂν εἴη; πότερον οὐκ ἐρραμμένους
ἔχουσι τοὺς πώγωνας οὓς εἴρητ' ἔχειν.
ἢ θοἰμάτια τἀνδρεῖα κλέψασαις λαθεῖν
ἦν χαλεπὸν αὐταῖς. ἀλλ' ὁρῶ τονδὶ λύχνον
προσιόντα. φέρε νῦν ἐπαναχωρήσω πάλιν
μὴ καί τις ὢν ἀνὴρ ὁ προσιὼν τυγχάνῃ.
Γυ. ὥρα βαδίζειν ὡς ὁ κῆρυξ ἀρτίως
ἡμῶν προσιόντων, δεύτερον κεκόκκυκεν.
Πρ. ἐγὼ δ' ἐγ' ὑμᾶς προσδοκῶσ' ἐγρηγορῶ
τὴν νύκτα πᾶσαν. ἀλλὰ φέρε τὴν γείτονα
τήνδ' ἐκκαλέσωμαι θρυγονῶσα τὴν θύραν.
δεῖ γὰρ τὸν ἄνδρ' αὐτῆς λαθεῖν. Γυ. ἤκουσά τοι
ὑποδουμένη τὸ κνῖσμά σου τῶν δακτύλων.
ἅτ' οὐ καταδαρθοῦσ'. ὁ γὰρ ἀνὴρ ὦ φιλτάτη
σαλαμίνιος γάρ ἐστιν ᾧ ξύνειμ' ἐγώ.
τὴν νύχθ' ὅλην ἤλαυνέ μ' ἐν τοῖς στρώμασιν.
ὥστ' ἄρτι τουτὶ θοἰμάτιον αὐτοῦ λαβεῖν.
καὶ μὴν ὁρῶ καὶ κλειναρέτην καὶ σωστράτην
προσιοῦσαν ἤδη τήνδε καὶ φιλαινέτην.
Πρ. οὐκοῦν ἐπείξεσθ'; ὡς γλύκη κατώμοσε
τὴν ὑστάτην ἥκουσαν οἴνου τρεῖς χόας,
ἡμῶν ἀποτίσειν κἀρεβίνθων χοίνικα.
τὴν σμικυθίωνος οὐχ ὁρᾷς μελιστίχην
σπεύδουσαν ἐν ταῖς ἐμβάσιν. καί μοι δοκεῖ
κατὰ σχολὴν παρὰ τἀνδρὸς ἐξελθεῖν μόνη.
Γυ. τὴν τοῦ καπήλου δ' οὐχ ὁρᾷς γευσιστράτην
ἔχουσαν ἐν τῇ δεξιᾷ τὴν λαμπάδα.
καὶ τὴν φιλοδωρίτου τε καὶ χαιρητάδου;
Πρ. ὁρῶ προσιούσας χἀτέρας πολλὰς πάνυ
γυναῖκας, ὅτι πέρ ἐστ' ὄφελος ἐν τῇ πόλει.
Γυ. καὶ πάνυ ταλαιπώρως ἔγωγ' ὦ φιλτάτη.
ἐκδρᾶσα παρέδυν. ὁ γὰρ ἀνὴρ τὴν νύχθ' ὅλην
ἔβηττε. τριχίδων ἑσπέρας ἐμπλήμενος.
Πρ. κάθησθε τοίνυν ὡς ἀνέρωμαι τάδε
ὑμᾶς, ἐπειδὴ συλλελεγμένας ὁρῶ.
ὅσα σκίροις ἔδοξεν, εἰ δεδράκατε.
Γυ. ἔγωγε. πρῶτον μέν γ' ἔχω τὰς μασχάλας.
λόχμης δασυτέρας καθάπερ ἦν ξυγκείμενον.
ἔπειθ' ὁπότ' ἀνὴρ εἰς ἀγορὰν οἴχοιτό μου,
ἀλειψαμένη τὸ σῶμ' ὅλον δι' ἡμέρας,

ἈΡΙΣΤΟΦΆΝΟΥΣ ἘΚΚΛΗΣΙΆΖΟΥΣΑΙ

ΠΡΑΞΑΓΌΡΑ.

λαμπρόν. πραξαγόρα λύχνον ἔχουσα προέρχεται. ὑποκρίνεται δὲ ὁ ἴαμβος, ἢ τοῦ ἀγάθωνος, ἢ τοῦ δικαιογένους διὰ τὰς ἑταίρας ἐγκαθιζομένας. πρὸς ὃ οὐδὲν εἶπεν ἀλλὰ μόνον ὅτι τὰς ἑταίρας δεῖ πως. βούλεται δὲ εἰπεῖν, ὅτι τοὺς ἄνδρας προλάβωμεν εἰς τὴν ἐκκλησίαν. Τοῦ τροχηλάτου. διὰ τὸν κεραμέον τρόχον. καταχρηστικῶς δὲ εἶπεν. οὐ γὰρ ἐν τροχῷ ἐλαύνεται ἀλλὰ τύπῳ γίνεται. κάλλιστα. ἡ ἔννοια, κάλλιστα τοῖς σοφοῖς εὑρημένων, τοῖς δὲ σκεπτομένοις. οἱ δέ, τοῖς φύλαξιν, ὅτι μετὰ λύχνου σκοποῦσιν. ῥύμης δέ, τῆς ὁρμῆς.

ὦ Λαμπρὸν ὄμμα τοῦ τροχηλάτου λύχνου.
κάλλιστ' ἐν εὐσκόποισιν ἐξητημένον.
γονάς τε γὰρ σὰς καὶ τύχας δηλώσομεν.
τροχῷ γὰρ ἐλαθεὶς κεραμικῆς ῥύμης ἄπο,
μυκτῆρσι λαμπρὰς ἡλίου τιμὰς ἔχεις.
ὅρμα φλογὸς σημεῖα τὰ ξυγκείμενα,
σοὶ γὰρ μόνῳ δηλοῦμεν εἰκότως. ἐπεὶ
κἀν τοῖσιν δωματίοισιν ἀφροδίτης τρόπων
πειρωμέναισι πλησίον παραστατεῖς.
χορδουμένων σωμάτων ἐπιστάτην,
ὀφθαλμὸν οὐδεὶς τὸν σὸν ἐξείργει δόμων.
μόνος δὲ μηρῶν εἰς ἀπορρήτους μυχοὺς
λάμπεις καὶ ἀφεύων τὴν ἐπανθοῦσαν τρίχα.
στοάς τε καρποῦ βακχείου τε νάματος,
πλήρεις ὑποιγνύσαισι συμπαραστατεῖς
καὶ ταῦτα συνδρῶν, οὐ λαλεῖς τοῖς πλησίον.
ἀνθ' ὧν συνοίσει καὶ τὰ νῦν βουλεύματα.
ὅσα σκίροις ἔδοξε ταῖς ἐμαῖς φίλαις.
ἀλλ' οὐδεμία πάρεστιν ἃς ἥκειν ἐχρῆν.
καίτοι πρὸς ὄρθρον γ' ἐστὶν ἡ δ' ἐκκλησία.
αὐτίκα μάλ' ἔσται καταλαβεῖν ἡμᾶς ἕδρας,
ἃς σφυρόμαχός ποτ' εἶπεν εἰ μέμνησθ' ἔτι

Ὅρμα φλογός. σύμβολον ἡμῖν δίδου περὶ τῶν συγκειμένων διὰ τῆς φλογός. χορδουμένων κινουμένων. τοῦτο λέγει, ἐπεὶ οἱ συνουσιάζοντες κινοῦνται. Ἀπορρήτους μυχούς. τὸ αἰδοῖον τῆς γυναικὸς λέγει, διὰ τὸ μηδένα αὐτὸ βλέπειν. Ἀφεύων, ἀποξυρῶν. Τρίχα. τοῦ αἰδοίου τὴν ἐπικειμένην τρίχα. Στοάς. τὰ ταμεῖα ἐν αἷς ὅσοι τινες στοὰς λέγουσι. καὶ γὰρ περιμήκη. Σκίροις. σκίρα ἑορτή ἐστι τῆς σκιράδος ἀθηνᾶς, σκιροφοριῶνος ιβ'. οἱ δέ, δήμητρος καὶ κόρης. ἐν ᾗ ὁ ἱερεὺς τοῦ ἐρεχθέως φέρει σκιάδειον λευκόν, ὃ λέγεται σκίρον. Ἄλλως. σκίρα ἑορτὴ παρ' ἀθηναίοις ἀφ' ἧς καὶ ὁ μὴν σκιροφοριών. φασὶ δὲ οἱ γράψαντες περὶ τῶν μηνῶν καὶ ἑορτῶν τῶν ἀθήνησιν ὡς τὸ σκίρον σκιάδιόν ἐστι, μεθ' οὗ φερόμενοι ἐξ ἀκροπόλεως ἔς τινα τόπον καλούμενον σκίρον, πο-

καὶ μὴ κενὰς παρέλκειν·
ἀλλ' ἀνδρικῶς ἐμβάλλετε
καὶ σμύχετ' ἀμφοῖν ταῖν γνάθοιν·
οὐδὲ γὰρ ὦ πόνηροι
λευκῶν ὀδόντων ἔργον ἐστίν,
ἢν μή τι καὶ μασῶνται
ἡμῖν μελήσει ταῦτα γ' εὖ ποιεῖς δὲ καὶ σὺ φράζων.
ἀλλ' ὦ πρὸ τοῦ πεινῶντες, ἐμβάλλεσθε τῶν λαγώων·
ὡς οὐχὶ πᾶσαν ἡμέραν,
πλακοῦσιν ἐστὶν ἐντυχεῖν πλανωμένοις ἐρήμοις
πρὸς ταῦτα βρύκετ' ἢ τάχ' ὑμῖν φημὶ μεταμελήσειν
εὐφημεῖν χρὴ καὶ τὴν νύμφην ἔξω τινὰ δεῦρο κομίζειν
δᾷδάς τε φέρειν, καὶ πάντα λεὼν συγχαίρειν κἀπικελεύειν
καὶ τὰ σκεύη πάλιν εἰς τὸν ἀγρὸν νῦν χρὴ πάντα κομίζειν·
ὀρχησαμένους καὶ σπείσαντας καὶ ὑπέρβολον ἐξελάσαντας
κἄπειτ' ἐπευξαμένους τοῖσι θεοῖς
διδόναι πλοῦτον τοῖς Ἕλλησι·
κριθάς τε ποιεῖν ἡμᾶς πολλὰς
πάντας ὁμοίως, οἶνόν τε πολὺν
σῦκα τετρώγειν·
τάς, τε γυναῖκας τίκτειν ἡμῖν.
καὶ τἀγαθὰ πάνθ' ὅσα ἀπωλέσαμεν,
συλλέξασθαι πάλιν ἐξ ἀρχῆς·
λῆξαι δ' αἴθωνα σίδηρον.
δεῦρ' ὦ γύναι εἰς ἀγρόν·
χ' ὤπως μετ' ἐμοῦ καλὴ
καλῶς κατακείσει
ὑμὴν ὑμέναι' ὦ ὑμὴν ὑμέναι' ὦ·
ὦ τρισμάκαρ ὡς δικαίως
τἀγαθὰ νῦν ἔχεις
ὑμὴν ὑμέναι' ὦ
ὑμὴν ὑμέναι' ὦ
τί δράσομεν αὐτὴν
τί δράσομεν αὐτήν,
τρυγήσομεν αὐτήν.
τρυγήσομεν αὐτήν.
ἀλλ' ἀράσομεν φέρωμεν·
οἱ πρὸς τεταγμένοι οἱ χοροῦ ταῖς ἀλαβόντες
τὸν νυμφίον ὦνδρες.

ὁ προτέρους. παρὰ τὸ ὅμηρον παίζει. ἔκλυον ἱδρώοντας. ἀπέλυον. ἐξέλυον. οὗτοι ἐν εἰσθέσει στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ιβ'. Θωρήσσοντ' ἄρ' ἔπειτα. ἀντὶ τοῦ ἔπινον παρὰ τὸ εἰς τὸν θώρακα πέμπειν τὸν οἶνον. ἄσμενοι οἶμαι. πρὸς τὸ πεπαυμένοι. οὐ πρὸς τὸ θωρήσσοντο. εἰ μὴ ὅτι ὁμωνύμως θωρήσσεσθαι ἔλεγον καὶ πίνειν παρὰ τὸν θώρακα. ὅτι αὐτῷ τὸ ὑγρὸν λέγεται ἐστί. υἱὸς λαμάχου τοῦ ἀεὶ βουλομένου μάχεσθαι. ἔπαιξε δὲ παρὰ τὸ τέλος τοῦ λαμάχου ὀνόματος. τὸ δὲ αἰβοῖ γελῶν λέγει. οὐ πράγματ' ᾄσεις. οὐδὲν τῆς εἰρωνίας ἥδιον. καὶ γὰρ ὡς κιναιδιζόμενον τὸν κλεώνυμον κωμῳδεῖν βούλεται. ἀσπίδι μὲν σαΐων. καὶ ἐλεγεῖον ἀρχιλόχου. καὶ στίχοι ἐπικοὶ β'. ἀρχιλόχου δ' ἐστὶ τὸ δίστιχον. οὕτως δὲ ἐγράφη ἐπὶ τῇ ἀπορρίψει τῆς ἀσπίδος. ἐπιτηδείως δὲ καὶ ἐνταῦθα πρὸς ῥίψασπιν εἴρηται. Ἄλλως. ἀσπίδι μὲν σαΐων. ἀρχίλοχος ποιητὴς ἦν καὶ πάντας διέβαλλεν. ὅθεν καὶ πίνδαρος πυθικῶν εἶδον κατὰ γὰρ ἑκὰς ἐόντα πολλὰ ψογερὸν ἀρχίλοχον βαρυλόγοις ἔχθεσι πιαινόμενον. Ἄλλως. οὗτος ὁ ἀρχίλοχος ἐξῆλθεν εἰς πόλεμον ἐν τῇ πρὸς σαΐους μάχῃ. ἔστι δὲ ἔθνος θρᾴκης. καὶ φοβηθεὶς, ἔφυγε ῥίψας ἔξω τὰ ὅπλα. καὶ τὸν [illegible] διαβάλλων λέγει. Πόσθων. ὑποκοριζόμενοι οὕτως ἔλεγον τὰ παιδία. ἢ οὕτω λέγεται τοῖς βρέφεσι τὸ αἰδοῖον. εἰς τὸν σαυτοῦ πατέρ' ᾄδεις ὦ παῖ χρέ. εἰς τὸν κλεώνυμον ὅτι ῥίψασπις. Τρυγήσομεν αὐτήν. εὐτιμότερον φορεῖται διὰ τὰ μέτρα.

Παι. ἀλλὰ τί δῆτ' ᾄδω; σὺ γὰρ εἰπέ μοι, οἷστισι χαίρεις.
Τρ. ὡς οἱ μὲν δαίνυντο βοῶν κρέα, κἀνὰ τὰ τοιαυτί·
ἄριστον προτίθετο καὶ ἅττ' ἥδιστα μάσασθαι.
Παι. ὣς οἱ μὲν δαίνυντο βοῶν κρέα, καὐχένας ἵππων
ἔκλυον ἱδρώοντας, ἐπεὶ πολέμου ἐκόρεσθεν.
Τρ. εἶεν. ἐκόρεσθεν. τοῦ πολέμου κᾆτ' ἤσθιον.
ταυτὶ ἄδε. ταῦθ' ὡς ἤσθιον κεκορημένοι.
Παι. θωρήσσοντ' ἄρ' ἔπειτα πεπαυμένοι. Τρ. ἄσμενοι.
Παι. πύργων δ' ἐξεχέοντο. βοὴ δ' ἄσβεστος ὀρώρει.
Τρ. κάκιστ' ἀπόλοιο παιδάριον αὐταῖς μάχαις.
οὐδὲν γὰρ ᾄδεις, πλὴν πολέμους. τοῦ καὶ ποτ' εἶ.
Παι. ἐγώ. Τρ. σὺ μέντοι νὴ Δί'. Παι. υἱὸς λαμάχου.
Τρ. αἰβοῖ.
ἦ γὰρ ἐγὼ 'θαύμαζον ἀκούων εἰ σὺ μὴ 'ης.
ἀνδρὸς βουλομάχου, καὶ κλαυσιμάχου τινὸς υἱός.
ἄπερρε. καὶ τοῖς λογχοφόροισιν ᾆδ' ἰών.
ποῦ μοι τὸ τοῦ κλεωνύμου 'στὶ παιδίον.
ᾆσον πρὶν εἰσιέναι τι. σὺ γὰρ εὖ οἶδ' ὅτι
οὐ πράγματ' ᾄσεις. σώφρονος γὰρ εἶ πατρός.
Παι. ἀσπίδι μὲν σαΐων τις ἀγάλλεται, ἣν παρὰ θάμνῳ
ἔντος ἀμώμητον κάλλιπον οὐκ ἐθέλων.
Παι. εἰπέ μοι ὦ πόσθων, εἰς τὸν σαυτοῦ πατέρ' ᾄδεις.
Παι. ψυχὴν δ' ἐξεσάωσα. Τρ. κατῄσχυνας γε τοκῆας.
ἀλλ' εἰσίωμεν. εὖ γὰρ οἶδ' ἐγὼ σαφῶς
ὅτι ταῦθ' ὅσ' ᾖσας ἄρτι περὶ τῆς ἀσπίδος.
οὐ μὴ 'πιλάθῃ ποτ' αὖ ἐκείνου τοῦ πατρός.
ὑμῶν τὸ λοιπὸν ἔργον ἤδη 'νταῦθα τῶν μενόντων
φλᾶν ταῦτα πάντα καὶ σποδεῖν.

Σ παρτίοις, ἠρτημένην. τὸ μεσαίτατόν φησιν ἐκδῦσον παρ' αὐτῷ τρυπαίῃ γένηται ἐκ τοῦ αὐλοῦ τῆς σάλπιγγος. Ὅτ' ἀντίδωκα. τότε με ἀπώλεσας. ὅτε καὶ ἀντὶ τούτων μνᾶν ἔδωκα. Συρμαίαν μετρεῖν. οἱ μὲν ἀξιοῦσι χυλὸν βοτάνης εἶναι τὴν συρμαίαν. ᾗ χρῶνται αἰγύπτιοι πρὸς διαρροίας. Ἄλλως. φαίνονται τὸν χυλοῦ τῆς συρμαίας πίνειν οἱ αἰγύπτιοι πρὸς διαρροίας. ὡς δίδυμος. ἁλμαία ἐκ ῥαφανίδων αἰγυπτιακή, πρὸς κάθαρσιν ἐπιτήδειος.

ἐντευθενὶ δὲ σπαρτίοις ἠρτημένῃ
πλάστιγγα πρόσθες, καὐτός σοι γενήσεται
τὰ σῦκ' ἐν ἀγρῷ τοῖς οἰκέταισιν ἱστάναι.
Κρα. ὦ δυσκάθαρτε δαῖμον ὅς μ' ἀπώλεσας
Ὅτ' ἀντίδωκά γ' ἀντὶ τῶνδε μνᾶν ποτε
καὶ νῦν τί δράσω. τίς γὰρ αὔτ' ὠνήσεται;
Τρ. πώλει βαδίζων αὐτὰ τοῖς αἰγυπτίοις
ἔστι γὰρ ἐπιτήδεια συρμαίαν μετρεῖν
Δο. οἴμοι ὦ κρανοποιὲ ὡς ἀθλίως πεπράγαμεν
Τρ. οὗτος μὲν οὐ πέπονθεν οὐδέν. Κρα. ἀλλὰ τί
ἔτ' ἐστὶ τοῖσι κράνεσιν ὅ,τι τις χρήσεται
Τρ. ἐὰν ποιῶ ταυτασὶ μάτη λαβὰς ποιεῖν,
ἄμεινον ἢ νῦν αὔτ' ἀποδώσεται πολύ
Κρ. ἀπίωμεν ὦ δορυξέ. Τρ. μηδαμῶς, ἐπεὶ
τούτου γ' ἐγὼ τὰ δόρατα ταῦτ' ὠνήσομαι.
Δο. πόσον δίδως δῆτ'. Τρ. εἰ διαπρισθεῖεν δίχα
λάβοιμ' ἂν αὔτ' ἐς χάρακας ἑκατὸν τῆς δραχμῆς
Δο. ὑβριζόμεσθα. χωρῶμεν ὦ τᾶν ἐκποδών.
Τρ. νὴ τὸν Δί' ὡς τὰ παιδία γ' ἤδη 'ξέρχεται
οὐρησόμενα τὰ τῶν ἐπικλήτων δεῦρ' ἵνα
ἅττ' ᾄσεται, προαναβάληταί μοι δοκεῖ.
ἀλλ' ὅτι περ ᾄδειν ἐπινοεῖς ὦ παιδίον
αὐτοῦ παρ' ἔμ' ἑστὼς πρότερον ἀναβαλοῦ 'νθαδί.
Παι. νῦν αὖθ' ὁπλοτέρων ἀνδρῶν ἀρχώμεθα. Τρ. παῦσαι
ὁπλοτέρους ᾄδων. καὶ ταῦτ' ὦ τρισκακόδαιμον
εἰρήνης γ' οὔσης. ἀμαθές γ' εἶ καὶ κατάρατον
Παι. οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
σύν ῥ' ἔβαλον ῥινούς τε καὶ ἀσπίδας ὀμφαλοέσσας
Τρ. ἀσπίδας; οὐ παύσει μεμνημένος ἀσπίδας ἡμῖν.
Παι. ἔνθα δ' ἅμ' οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν
Τρ. ἀνδρῶν οἰμωγή, κλαύσει νὴ τὸν Διόνυσον
οἰμωγὰς ᾄδων. καὶ ταύτας ὀμφαλοέσσας.

Λαβὰς ποιεῖν. ὠτάρια τοῖς κράνεσιν. ἵνα γένωνται κάδοι. δείκνυσι δὲ τὰ ὦτα αὐτοῦ καὶ ἔστι παρεπιγραφή. Τούτου γ' ἐγὼ τὰ δόρατα. ἀττικῶς εἶπε τούτῳ ὠνήσομαι. ἀντὶ τοῦ παρὰ τούτου ὠνήσομαι. Ἅττ' ᾄσεται. τὸ ἑξῆς. δοκεῖ δέ μοι ἵνα δεῦρο προοιμιάσηται ἅττινα μέλλει ᾄσαι καὶ προμελετῆσαι.

N νῦν αὖθ' ὁπλοτέρων ἀνδρῶν. οὐδὲν ἀστειότερον τῆς εὑρέσεως. δύο γὰρ δῆθεν ἐστήσει παιδία ᾄδοντα. ἵνα ἀφορμὴν σχῇ τοῖς πατράσιν αὐτῶν ὀνειδίσαι καὶ διαβαλεῖν, τὸν μὲν ὡς φιλοπόλεμον ὄντα. τὸν δέ, ὡς ῥίψασπιν. πρῶτον οὖν πεποίηκε τὸ τοῦ φιλοπολέμου ᾆδον παιδίον καὶ θέασαι ὡς πρόσφορα αὐτῷ περιέθηκε πράγματα. ἀρχὴ δὲ τῶν ἐπιγόνων ἀντιμάχου.

Οὐδὲ κολλύβου. εἶδος εὐτελοῦς νομίσματος. ἀντὶ τοῦ οὐδὲ ὀβολοῦ. Τοὺς κάδους εἰς τοὺς ἀγρούς. ἐπιπράσκει δηλονότι. κάδοις δὲ [illegible] αὐτῷ. Τῶν δρεπάνων. χαλκεὺς ὤν, δρέπανον αὐτῷ δίδωσιν ἐν εἰρήνῃ πρέποι καὶ [illegible] ειν, ὡς τῆς τέχνης αὐτοῦ χρηματιζούσης. Καὶ τῶνδ' ὅ τι βούλει. σαφὲς [illegible] ἐπὶ τοῦ δράματος, τὸ κέντρον ἐγκατέλιπε τοῖς ἀκροωμένοις. ἐκ [illegible] κρίνω, τά τε τοῦ πολέμου ἔργα καὶ τῆς εἰρήνης αἱ τῆς ἀγα[illegible]

Δρ. ὦ φίλταθ' ὦ Τρυγαῖ' ὅσ' ἡμᾶς τἀγαθὰ
δέδρακας, εἰρήνην ποιήσας. ὡς πρὸ τοῦ,
οὐδεὶς ἐπρίατ' ἂν δρέπανον οὐδὲ κολλάβου.
νυνὶ δὲ πεντήκοντα δραχμῶν ἐμπολῶ.
ὁδὶ δὲ τριδράχμους τοὺς κάδους εἰς τοὺς ἀγρούς.
ἀλλ' ὦ Τρυγαῖε τῶν δρεπάνων τε λάμβανε.
καὶ τῶνδ' ὅ τι βούλει, προῖκα γάρ. καὶ ταυτὶ δέχου.
ἀφ' ὧν γὰρ ἀπεδόμεσθα κἀκερδαίνομεν.
τὰ δῶρα ταυτί σοι φέρομεν εἰς τοὺς γάμους
Τρ. ἴθι νυν καταθέμενοι παρ' ἐμοὶ ταῦτ' εἴσιτε.
ἐπὶ δεῖπνον ὡς τάχιστα. καὶ γὰρ οὑτοσὶ
ὅπλων κάπηλος, ἀχθόμενος προσέρχεται.
Λο. οἴμ' ὡς προθέλυμνόν μ' ὦ Τρυγαῖ' ἀπώλεσας.
Τρ. τί δ' ἐστιν ὦ κακόδαιμον. οὔτι που λοφᾷς.
Λο. ἀπώλεσάς μου τὴν τέχνην, καὶ τὸν βίον.
καὶ τουτονὶ, καὶ τοῦ δορυξοῦ κἀνουνί.
Τρ. τί δῆτα τουτοινὶ καταθῶ σοι τοῖν λόφοιν.
Λο. αὐτὸς σὺ, τί δίδως; Τρ. ὅ τι δίδωμ' αἰσχύνομαι.
ὅμως δ' ὅτι τὸ σφήκωμ' ἔχει πόνον πολὺν,
δοίην ἂν αὐτοῖν ἰσχάδων τρεῖς χοίνικας.
ἵν' ἀπομαθαίρω τὴν τράπεζαν τουτῳί.
Λο. ἔνεγκε τοίνυν εἰσιὼν τὰς ἰσχάδας.
κρεῖττον γὰρ ὦταν ἐστὶν ἢ μηδὲν λαβεῖν.

ὃ βούλεται καλλ[illegible] αὐτοῖς ἀναγκ[illegible] στολὴν τοῦ δράματος εἰσοίσειν, ὁμοίως [illegible] χαρίζεσιν ἐπεὶ κἀκεῖ τὸ μὲν πρυτανεῖ[illegible] τὴν εἰρήνην. δῶρα δίδονται παρὰ πάντων ὡς εἰπεῖν τῶν ἑλλήνων. τῷ δὲ λαμάχῳ οὐδέν. Προθέλυμνον. ὅ ἐστιν ἄρδην ἀπολέλεκάς με τὴν εἰρήνην προξενήσας. φαίνεται δὲ καὶ οὕτως. καὶ ἄλλοι πολλοὶ τὸ προθέλυμνον, ἀντὶ τοῦ πρόρριζον ἀκούειν. καὶ παρ' ὁμήρῳ πολλὰ δ' ἔγε προθέλυμνα. ἀρίσταρχος δὲ, τὸ συνεχὲς καὶ ἄλλο ἐπ' ἄλλῳ δηλοῦσθαί φησι φράξαντες δόρυ δουρὶ, καὶ σάκος σάκει προθελύμνῳ. καὶ σάκος θέτο τετραθέλυμνον. τουτέστι τέσσαρας ἐπ' ἀλλήλων ἔχον πτύχας. καὶ ὁ λοφοποιὸς δὲ ἐναντία τοῦ δρεπανουργοῦ φρονῶν, ἔρχεται καταβοῶν τοῦ τρυγαίου ὡς πεποιηκότος εἰρήνην. καὶ μηδὲν χρησιμευούσης τῆς τέχνης αὐτοῦ. Λοφᾷς. λόφους πολλοὺς ἔχεις ἐν πράσει. ὄνομα δὲ πεποίηκε νοσήματος. ὡς λέγομεν τινὰ ὑδεριᾶν. σπληνιᾶν. χαλαζᾶν. σημαίνει δὲ τὸ, πλῆθος ἔχειν λόφων. Αἰσχύνομαι. ἐλάχιστον γάρ ἐστιν ὃ μέλλω δοῦναι τίμημα. Τὸ σφήκωμα. τόπος τῆς περικεφαλαίας ὅπου τὰ πτερὰ δέδεται. Ἄλλως τὸ πλέγμα οἷον ὅτι ἐπιμελῶς τοῖς ἱμᾶσιν ἐνδέδεται. καὶ ὅμηρος. πλοχμοί θ' οἳ χρυσῷ τε καὶ ἀργύρῳ ἐσφήκωντο. ὅτι οὐ

ὤν κατακτῶν κοττάβων. διττὸς ὁ τρόπος τῶν κοττάβων. ὧν ὁ μὲν ἕτερος, τοιοῦ/

Τ τος. ἵστασαν ξύλον τι λυχνίῳ παραπλήσιον. ἐν μέσῳ. καὶ ἐπ' ἐκείνου ἤρτητο τὸ ἀγ/
γεῖον ὅμοιον ὀξυβάφῳ. εἰς ὃ τὸ καταλειπόμενον ἐν τῷ ποτηρίῳ κότταβον. καὶ ὁ
ἐπιτυχὼν, ἐνίκα. ὁ δὲ ἕτερος, τοιοῦτος. κατὰ τοῦ συμποσίου ἐτίθεσαν ἀγγεῖον
ὅμοιον λεκάνῃ. ὕδατος πλῆρες. καὶ ἐν τῷ ἀγγείῳ τούτῳ, ὅμοιόν τι ποτήριον περιε
πήγνυσαν. καὶ κύκλῳ τῆς λεκάνης μυρσίνας. καὶ ἔβαλλον εἰς τὸ ποτήριον, ἐ/
κεῖνο τὸ ἀπολειπόμενον.

καὶ ὁ καταδύσας τὸ ποτή/
ριον ἐνίκα. νῦν δὲ αὐτὸ τὸ
ἀγγεῖον κότταβον εἴρηκεν
ἀπὸ τῆς κατάγης. Ἄλλως
ὢν κοττάβων δύο ἦσαν εἴδη.

ἔπειτ' ἀλλ' ἐν ῥάβδον ἐνθεὶς ὑπόμακρον,
γενήσεται σοι τῶν κατακτῶν κοττάβων.
Σαλ. Οἴμοι καταγελᾷς. Τρ. ἀλλ' ἕτερον παραινέσω
τὸν μὲν μόλιβδον, ὥσπερ εἶπον ἔγχεον.

Τ ἓν μὲν τοῦ κατακτοῦ λεγομένου. ἦν δὲ ὅμοιον λυχνίον ὑψηλὸν ἔχον ἐν αὐτῷ πρόσω/
πον. ὃ μάνην ἐκάλουν ἐφ' οὗ ἔδει πεσεῖν, καταβαλλομένην τὴν πλάστιγγα. ἕτερον
δὲ ἐν λεκανίῳ τινὶ ἐοικὸς λουτῆρι πλῆρες ὕδατος. ἐν ᾧ ὀξύβαφον ἦν ἐπιπλέον τὸ πλῆθος
ὅπερ καταλούειν τοῖς λάταξιν ἐπειρῶντο. Ἄλλως. Κότταβος, ἀθήναιος

317. α.

ἐν τῇ ιε. φησίν. ὅτι σικελική τις ἐστὶ παιδιά, πρώτων εὑρόντων σικελῶν. ὥς φησι
κριτίας ἐν τοῖς ἐλεγείοις. κότταβος ἐκ σικελικῆς ἐστὶ χθονὸς, ἐκπρεπὲς ἔργον. δι/
καίαρχος δὲ ὁ μεσσήνιος, Ἀριστοτέλους μαθητής. ἐν τῷ περὶ ἀλκαίου. καὶ τὴν λά/
ταγα αὐτὴν εἶναι σικελικὸν ὄνομα. λατάγη δέ ἐστι, τὸ ὑπολειπόμενον ἐκ τοῦ
ἐκποθέντος ποτηρίου ὑγρόν. ὃ συνεστραμμένῃ τῇ χειρὶ, ἄνωθεν ἐρρίπτουν οἱ παί/
ζοντες εἰς τὸ κοττάβιον. κότταβος δὲ ἐκαλεῖτο. καὶ τὸ τιθέμενον ἆθλον τοῖς νικῶ/
σιν ἐν τῷ πότῳ καὶ τὸ ἄγγος, εἰς ὃ ἐνέβαλλον τὰς λάταγας. ὡς κρατῖνος ἐν νε/
μέσει [illegible]. ὅτι δὲ καὶ χαλκοῦν ἦν, εὔπολις ἐν βάπταις λέγει χαλκῷ περὶ κοτ
ταβίῳ. [illegible], ἐνίοτε καλουμένῳ. παιδιᾶς εἶδος παροίνιον κότταβον ἢ ἀπο
[illegible] σκευαρίων οἱ διακυβεύοντες ἐκάλουν δὲ ἀγκύλην, τὴν
τῆς κοττάβου πρόεσιν. διὰ τὸ ἐπαγκυλοῦν τὴν δεξιὰν χεῖρα ἐν τοῖς ἀποκοτταβισμοῖς.
καὶ ἀγκυλητοὺς ἔλεγον κοττάβους. ὅτι δὲ ἆθλον προὔκειτο τῷ προεμένῳ, προει/
ρημένον. ἐλέγοντο δέ τινες κατακτοὶ κότταβοι ἦν δὲ λύχνιον ἀγόμενον, πάλιν τε
συμπῖπτον ὑψηλὸν ἔχον τὸν μάνην καλούμενον. ἐφ' ὃν τὴν καταβαλλομένην ἔδει πε
σεῖν πλάστιγγα, ἐντεῦθεν δὲ ἐμπίπτειν εἰς λεκάνην ὑποκειμένην πηγεῖσαν τῷ
κοττάβῳ. καί τις ἦν ἀκριβὴς εὐχέρεια τῆς βολῆς τοῦ δὲ μάνου πολλοὶ μέμνηνται
ἦν δὲ ἕτερον εἶδος [illegible] τῆς ἐν λεκάνῃ αὕτη δὲ ὕδατος πληροῦται. ἐπέκειτο
δὲ ἐπ' αὐτῇ ὀξύβαφα κενὰ, ἃ βάλλοντες τὰς λάταγας, ἐκ χρυσίων ἐπειρῶν/
το καταλούειν. ᾑρεῖτο δὲ τὰ κοττάβια, ὁ πλείω καταδύσας, ὅτι δὲ τῶν ἐρωμένων
ἐμέμνηντο ἀφιέντες ἐπ' αὐτοὺς τοὺς λεγομένους κοττάβους, δῆλον ποιεῖ ἀχαι-
ὸς καὶ καλλίμαχος. πολλοὶ δὲ τιμῶντες ἀκόντιον [illegible] σικελὰς
ἐκκυλίκων λάταγας. σικελὰς ἢ [illegible], οὐκ ἀπεικότως ὠνόμασεν. ἐπειδὰν προεί
ρημεν, σικελῶν τὸ εὕρημα. καὶ ἐσπούδασαι σφόδρα παρ' αὐτοῖς ὁ κότταβος.

Σπαρτίοις

Οὐδὲ κολλύβου. εἶδος εὐτελοῦς νομίσματος. ἀντὶ τοῦ οὐδὲ ὀβολοῦ. Τοὺς κάδους εἰς τοὺς ἀγρούς. πιπράσκει δηλονότι. καδοποιὸς δὲ ἦν ὁ σὺν αὐτῷ. Τῶν δρεπάνων. χαλκεὺς ὤν, δρέπανον αὐτῷ δίδωσιν εἰρήνην πρέπον καὶ ὁμολογεῖ χάριν, ὡς τῆς τέχνης αὐτοῦ χρηματιζούσης. Καὶ τῶνδ' ὅτι βούλει. σαφῶς ἀγωνιστὴς τοῦ δράματος, τὸ κέντρον ἐγκατέλιπε τοῖς ἀκροωμένοις. ἐκ τούτου ὁ [illegible], κρίνων, τά, τε τοῦ πολέμου ἔργα καὶ τῆς εἰρήνης αὐτῆς ἀγωνιστὰ ὄψιν. ἵνα εἰς ὃ βούλεται μᾶλλον αὐτοὺς ἀγάγῃ. τὴν δὲ καταστολὴν τοῦ δράματος ἐποίησεν, ὁμοίαν τῇ ἐν τοῖς Ἀχαρνεῦσιν. ἐπεὶ κἀκεῖ τῷ μὲν πρυτανεύσαντι τὴν εἰρήνην, δῶρα δίδοται παρὰ πάντων ἀπὸ εἰπεῖν τῶν Ἑλλήνων. τῷ δὲ Λαμάχῳ οὐδέν. Προβέλυμνον. ὅ ἐστιν ἄρδην ἀπολέλακάς με τὴν εἰρήνην προξενήσας. φαίνεται δὲ καὶ οὗτος καὶ ἄλλοι πολλοὶ τὸ προβέλυμνον, ἀντὶ τοῦ πρόρριζον ἀκούειν. καὶ παρ' Ὁμήρῳ. πολλὰ δ' ὅγε προθέλυμνα. Ἀρίσταρχος δέ, τὸ συνεχὲς καὶ ἄλλο ἐπ' ἄλλῳ δηλοῦσθαί φησι. φράξαντες δόρυ δουρί, καὶ σάκος σάκει προθελύμνῳ. καὶ σάκος θέτο τετραθέλυμνον. τουτέστι τέσσαρας ἐπ' ἀλλήλων ἔχον πτύχας. καὶ ὁ λοφοποιὸς δὲ ἐναντία τοῦ δρεπανουργοῦ φρονῶν, ἔρχεται καταβοῶν τοῦ Τρυγαίου ὡς πεποιηκότος εἰρήνην. καὶ μηδὲν χρησιμευούσης τῆς τέχνης αὐτοῦ. Λοφᾷς. λόφους πολλοὺς ἔχεις ἐν πράσει. ὄνομα δὲ πεποίηκε νοσήματος. ὡς λέγομεν τινὰ ὑδεριᾷ· σπληνιᾷ· χαλαζᾷ. σημαίνει δὲ τό, πλῆθος ἔχειν λόφων. Αἰσχύνομαι. ἐλάχιστον γάρ ἐστιν ὃ μέλλω δοῦναι τίμημα. Τὸ σφήκωμα. τόπος τῆς περικεφαλαίας ὅπου τὰ πτερὰ δίδεται. Ἄλλως τὸ πλέγμα οἷον ὅτι ἐπιμελῶς τοῖς ἱμᾶσιν ἐνδέδεται. καὶ Ὅμηρος. πλοχμοί θ' οἳ χρυσῷ τε καὶ ἀργύρῳ ἐσφήκωντο. ὅτι οὐ

Δρ. ὦ φίλτατ' ὦ Τρυγαῖ', ὅσ' ἡμᾶς τἀγαθὰ
δέδρακας, εἰρήνην ποιήσας. ὡς πρὸ τοῦ,
οὐδεὶς ἐπρίατ' ἂν δρέπανον οὐδὲ κολλάβου.
νυνὶ δὲ πεντήκοντα δραχμῶν ἐμπολῶ.
ὁδὶ δὲ τριδράχμους τοὺς κάδους εἰς τοὺς ἀγρούς.
ἀλλ' ὦ Τρυγαῖε τῶν δρεπάνων τε λάμβανε.
καὶ τῶνδ' ὅτι βούλει, προῖκα γὰρ ταυτὶ δέχου.
ἀφ' ὧν γὰρ ἀπεδόμεθα κἀκερδαίνομεν.
τὰ δῶρα ταυτί σοι φέρομεν εἰς τοὺς γάμους.
Τρ. ἴθι νυν καταθέμενοι παρ' ἐμοὶ ταῦτ' εἴσιτε
ἐπὶ δεῖπνον ὡς τάχιστα. καὶ γὰρ οὑτοσὶ
ὅπλων κάπηλος, ἀχθόμενος προσέρχεται.
Λο. οἴμ' ὡς προθέλυμνόν μ' ὦ Τρυγαῖ' ἀπώλεσας.
Τρ. τί δ' ἐστὶν ὦ κακόδαιμον. οὔ τι που λοφᾷς.
Λο. ἀπώλεσάς μου τὴν τέχνην, καὶ τὸν βίον.
καὶ τουτονί. καὶ τοῦ δορυξοῦ κἀνουγί.
Τρ. τί δῆτα τουτοινὶ καταθῶ σοι τοῖν λόφοιν.
Λο. αὐτὸς σύ, τί δίδως; Τρ. ὅτι δίδωμ'; αἰσχύνομαι.
ὅμως δ' ὅτι τὸ σφήκωμ' ἔχει πόνον πολύν,
δοίην ἂν αὐτοῖν ἰσχάδων τρεῖς χοίνικας.
ἵν' ἀποκαθαίρω τὴν τράπεζαν τουτῳί.
Λο. ἔνεγκε τοίνυν εἰσιὼν τὰς ἰσχάδας.
κρεῖττον γάρ ὦ τᾶν ἐστιν ἢ μηδὲν λαβεῖν.

Ὥσπερ ξουθός. ὡς φοινικᾶ πτερὰ ἔχοντα δηλοῖ. ὅτι τοῦ παρ' αἰσχύλῳ κληθέντος ἱππαλεκτρυόνος ἐν μυρμιδόσι μέμνηται. Ἐγὼ δ' ἕστηκα λινοπτώμενος. ἐγὼ δ' ἕστηκα ἐν τῷ αὐτῷ τόπῳ παρατηρῶν καὶ περιβλεπόμενος ὅπου ἀπαχθῶ. λινόπτας γάρ φησιν Ἀριστοτέλης, τοὺς τὰ θηρευτικὰ λίνα φυλάττοντας. ὡς καὶ οἰνόπτας τοὺς οἰνοφύλακας. ἀπείρως δὲ ἀπὸ τῶν εἰς τὰ λίνα ἐμπιπτόντων ὀρνίθων. οἱ δὲ περιεργότεροι τὸ λίαν κατεπτηχέναι, τοῦτο λινοπτᾶσθαι λέγουσιν. Ἐξαλείφοντες. ὅτι τοὺς μὲν ἐξήλειφον, τοὺς δὲ ἐνέγραφον εἰς τὸν κατάλογον τῶν πολεμίων. Οὐ γὰρ ᾔδειν. ἀττικῶς ἀντὶ τοῦ ᾔδει. ὡς τὸ ὁ δὲ θεὸς ὑμῖν οὐ προσῄειν.

Πρὸς τὸν ἀνδριάντα. εἷς ἐστι τῶν ιβ΄. ἀνδριάντων ἐν οἷς ἐγράφοντο οἱ στρατιωτικοὶ κατάλογοι καὶ τὰ κηρύγματα. εἶδεν οὖν φησι τὸ ἑαυτοῦ ὄνομα γεγραμμένον τῷ ἀνδριάντι τοῦ πανδίονος.

Ὀπόν. δριμεῖαν καὶ πικρότητα. ὀπὸς γάρ ἐστι τὸ τῶν δένδρων δάκρυον, καὶ τὸ ἀποστάλαγμα τοῦ γάλακτος.

Οἴκοι λέοντες. παροιμία παρὰ τοὺς ἐν ἀσίᾳ λάκωνας ἀτυχήσαντας. οἴκοι λέοντες, ἐν ἐφέσῳ δὲ λάκοιες.

Ἰοὺ ἰού. κορωνὶς εἰσιόντων τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι

κᾆτα φεύγει πρῶτος ὥσπερ ξουθὸς ἱππαλεκτρυὼν
τοὺς λόφους σείων. ἐγὼ δ' ἕστηκα λινοπτώμενος.
ἡνίκα δ' αὖ οἴκοι γένωνται, δρῶσιν οὐκ ἀνασχετά.
τοὺς μὲν, ἐγγράφοντες ἡμῶν. τοὺς δ' ἄνω τε καὶ κάτω,
ἐξαλείφοντες δὶς ἢ τρίς. αὔριον γ' ἔσθ' ἡ 'ξοδος
τῷ δ' ἐσιτί' οὐκ ἐώνητ' οὐ γὰρ ᾔδειν ἐξιών.
εἶτα προστὰς πρὸς τὸν ἀνδριάντα τὸν πανδίονος,
εἶδεν αὑτόν. κἀπορῶν, θεῖ δὲ κακὸν βλέπων ὀπόν.
ταῦτα δ' ἡμᾶς τοὺς ἀγροίκους δρῶσι. τοὺς δ' ἐξ ἄστεος,
ἧττον οἱ θεοῖσιν οὗτοι κἀνδράσι ῥιψάσπιδες.
ὧν ἔτ' εὐθύνας ἐμοὶ δώσουσιν ἢν θεὸς θέλῃ.
πολλὰ γάρ δή μ' ἠδίκησαν.
ὄντες οἴκοι μὲν λέοντες,
ἐν μάχῃ δ' ἀλώπεκες
Τρ. ἰοὺ, ἰού.
ὅσον τὸ χρῆμ' ἐπὶ δεῖπνον ἦλθ' ἐς τοὺς γάμους.
ἔχ' ἀποκάθαιρε τὰς τραπέζας ταυτηί.
πάντως γὰρ οὐδὲν ὄφελος ἔστ' αὐτῆς ἔτι.
ἔπειτ' ἐπείσφερε τὰς ἀμύλους, καὶ τὰς κίχλας.
καὶ τῶν λαγῴων πολλὰ καὶ τοὺς κολλάβους.
Δρ. ποῦ ποῦ τρυγαῖός ἐστιν. Τρ. ἀναβάπτω κίχλας.

εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, οη΄. τὸ μέντοι πρῶτον, μονόμετρόν ἐστιν. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει κορωνίς. Ἔχ' ἀποκάθαιρε τὰς τραπέζας ταυτηί. περικεφαλαίαν δίδωσιν ἵνα τοῖς λόφοις ἀπομάττῃ τὴν τράπεζαν. ἔστι δὲ παρεπιγραφή. Ὄφελος ἔστ' αὐτῆς ἔτι. πεπαυμένου γὰρ τοῦ πολέμου, οὐκ ἔστιν οὐδεμία χρεία τῶν πολεμικῶν. Τὰς ἀμύλους. ἄμυλοι. πλακοῦντές τινες. οἱ δὲ, ζωμοὶ πλακουντώδεις. ὃ νῦν ἀμυλατὸν φασιν. Κολλάβους. εἶδος ἄρτων. εἰσὶ δὲ μικροὶ ἀρτίσκοι. ἐκ τῶν μεγάλων κεκολλαβισμένοι. οὓς καθάπαξ ἄρτους οὐκ ἠξίουν καλεῖν. καὶ ἐν βατράχοις μέμνηται. ἄρτεις ἔπειτα κολλάβους σχήματος δέ ἐστιν ὄνομα. ὥσπερ κολλύραν λέγουσί τινες.

βωσάτω δὲ, βοησάτω. Τἀρώματα. τὰ ἀροτριώματα. παρὰ τὸ ἀροτριοῦν. τὰ προηροτριωμένα. λέγουσι δὲ ἔνιοι, τὰ ἄλφιτα καὶ τὸν λιβανωτὸν, ἀρώματα ὡς παρ' Εὐπόλιδι. καὶ εἶεν ἂν τῶν ἀρωμάτων ἀντὶ τοῦ τῶν ἀλφίτων. ἐκτείνεται δὲ διὰ τὴν συναλοιφήν. Ἡνίκ' ἂν. ἡ ἀντῳδὴ αὕτη καὶ ἀντιστροφὴ κώλων ἐστὶν ὁμοίων τοῖς τῆς στροφῆς. ιγ'. καὶ ἰσομέτρων. ἐπὶ τῷ τέλει αἱ δύο διπλαῖ. Ἀχέτας. ὁ τέττιξ παρὰ τὸ Ἡσιόδειον ἦμος δὲ σκόλυμός τ' ἀνθεῖ καὶ ἠχέτα τέττιξ. τοὺς ἄρρενας δὲ ᾄδοντας τῶν τεττίγων. οὕτως Ἀρίσταρχος. Τὰς Λημνίας· εἶδος ἀμπέλου ὡς ἱστορεῖ Ἀνδροτίων. φίτυ, σπέρμα καὶ φιτῦσαι γεννῆσαι. καὶ τὸ γέννημα φίτυμα. Εὔπολις αὐτολύκῳ. αὐτὰρ ἤγαγες καινὸν φίτυμα βοῶν. Πρῷον δὲ, πρώϊμον δισυλλάβως. Φήληκα. τὸν ὄλυνθον κυρίως μὲν οὖν. ὃ ἤδη σκληρὸς καὶ πάρωρος. ὁ ὄψιν μὲν πεπάνσεως ἔχων, ἄωρος δὲ ὤν. καὶ μήποτε φήληξ τίς ἐστιν ὁ ἀπατεὼν καὶ ψευδόμενος τὴν ὄψιν εἰς βρῶσιν καὶ φηλὸς ὁ ἀπατεών. Μένανδρος. ἁλιεῖ. δι' οἰκίας φηλῶν γερόντων. καὶ φηλώματα ἐξαπάτας παρ' Ἀντιφῶντι.

τοῦ θεοῦ τἀρώματα.
ἡνίκ' ἂν ἀχέτας.
ᾄδῃ τὸν ἡδὺν νόμον
διασκοπῶν ἥδομαι
τὰς Λημνίας ἀμπέλους,
εἰ πεπαίνουσιν ἤδη
τὸ γὰρ φίτυ πρῷον φύει
τόν τε φήληχ' ὁρῶν οἰδάνον
τ'. εἶθ' ὁπόταν ᾖ πέπων, Ἐσθίω κἀπέχω.
χἄμα φήμ', ὧραι φίλαι, καὶ
τοῦ θύμου τρίβων κυκῶμαι.
κᾆτα γίνομαι παχύς.
τηνικαῦτα τοῦ θέρους
μᾶλλον ἢ θεοῖσιν ἐχθρὸν ταξίαρχον προσβλέπων
τρεῖς λόφους ἔχοντα καὶ φοινικίδ' ὀξεῖαν πάνυ.
ἣν ἐκεῖνός φησιν εἶναι βάμμα σαρδιανικόν.
ἢν δέ που δέῃ μάχεσθ' ἔχοντα τὴν φοινικίδα,
τηνικαῦτ' αὐτὸς βέβαπται βάμμα κυζικηνικόν.

Κ ἀπέχω. τῷ στόματι προσάγω. καὶ Ὅμηρος. ὄψον ἅσσαμι προταμών. καὶ οἶνον ἐπιχεύ. Κυκῶμαι. κυκεῶνας ἐσθίω αὐτῷ τῷ πότῳ τῷ ὑπὸ τῆς γλήχωνός φησι χρῆσθαι πρὸς τὴν ὀπώραν. νῦν δὲ τῷ θύμῳ χρῶνται. μετὰ δὲ τὸ τὴν ὀπώραν φαγεῖν, κυκεῶνα πίνουσι καὶ οὐ βλάπτονται ἀλλὰ καὶ παχεῖς γίνονται. Γίνομαι παχύς. ἐπειδὴ ἀργοῦσιν οἱ γεωργοὶ τότε τοῦ ἀμητοῦ. ὡς Ἡσίοδός φησι. δμῶας ἀναψύξαι φίλα γούνατα. Φοινικίδα περικεφαλαίαν φοινικῷ χρώματι βεβαμμένην. οἱ δὲ, κόκκινα περιβλήματα. ταῖς γὰρ φοινικίσιν ἐχρῶντο Λακεδαιμόνιοι ἵνα μὴ αἰσθάνοιντο τοῦ αἵματος διὰ τὴν ὁμοιότητα. καὶ ἵνα τρωθέντες, μὴ γνωσθῶσι τοῖς πολεμίοις. Σαρδιανικόν. διαφέρουσι γὰρ αἱ κυζικηναὶ βαφαί. Κυζικηνικόν. εἰς κιναιδίαν διαβάλλεται. ὥστε μὴ δὲ τῶν ἀναγκαίων κρατεῖν δύνασθαι.

F ρὸς τὸ πῦρ. συμπίνω καὶ δύω χοῦμαι πρὸς τὸ πῦρ. τουτέστι μέσον τῆς οἰκίας καθεζόμενος. Διέλκων διάγων παρὰ τῇ ἑστίᾳ. ἅμα τε θερμαινόμενος. καὶ τῆς τοῦ θερμοῦ διακονίας πλησίον ὤν. Κἀνθρακίζων. φρύγων τὸν ἐρέβινθον καὶ ξηρὸν ποιῶν. ταῦτα καὶ ἐσθιόμενα προτρέπεται εἰς τὸν πότον. Τὴν φηγόν. φηγὸς εἶδος φυτοῦ. ὃ τὰς ἀγρίας βαλάνους φασὶν ἔχειν. περιεσταλμένως δὲ τὸ αἰδοῖον βούλεται λέγειν. ἐπεὶ καὶ αὐτό τινες βάλανον καλοῦσιν. Ἐκπιεῖν ἐμοί. τοῦ θεοῦ ὕοντος, ἀρέσκει μοι τὸ σχολάζειν τῷ πότῳ.

ἀλλὰ πρὸς πῦρ διέλκων
μετ' ἀνδρῶν ἑταίρων φίλων
οὐκ ἐᾶς τῶν ξύλων ἅττ' ἂν ᾖ
δανότατα τοῦ θέρους. ἐκπεπρισμένα
κἀνθρακίζων τοὐρεβίνθου.
τήν τε φηγὸν ἐμπυρεύων
χ' ἅμα τὴν Θρᾶτταν κυνῶν
τῆς γυναικὸς λουμένης
Χο. οὐ γάρ ἐστιν ἥδιον, ἢ τυχεῖν μὲν ἤδη σπαρμένα.
τὸν θεὸν δ' ἐπιψεκάζειν. καί τιν' εἰπεῖν γείτονα.
εἰπέ μοι τί τηνικάδε δρῶμεν ὦ κωμαρχίδη.
ἐμπιεῖν ἔμοιγ' ἀρέσκει. τοῦ θεοῦ δρῶντος καλῶς.
ἀλλ' ἄφαυε τῶν φασήλων ὦ γύναι τρεῖς χοίνικας
τῶν τε πυρῶν μῖξον αὐτοῖς. τῶν τε σύκων ἔξελε.
τόν τε μανῆν ἡ σύρα βωστρησάτω τοῦ χωρίου.
οὐ γὰρ οἷόν τ' ἐστὶ πάντως οἰναρίζειν τήμερον.
οὐδὲ τυντλάζειν. ἐπειδὴ παρδακὸν τὸ χωρίον.
κἀξ ἐμοῦ δ' ἐνεγκάτω τις τὴν κίχλην καὶ τὼ σπίνω.
ἦν δὲ καὶ πυός τις ἔνδον. καὶ λαγῷα τέτταρα.
εἴ τι μὴ 'ξήνεγκεν αὐτῶν ἡ γαλῆ τῆς ἑσπέρας.
ἐψόφει γοῦν ἔνδον. οὐκ οἶδ' ἅττα κἀκυδοιδόπα.
ὧν ἔνεγκ' ὦ παῖ τρί' ἡμῖν. ἓν δὲ δοῦναι τῷ πατρί.
μυρρίνας αἴτησον ἐξ αἰσχινάδου τῶν καρπίμων.
χ' ἅμα τῆς αὐτῆς ὁδοῦ, χαρινάδην τις βωσάτω.
ὡς ἂν ἐμπίῃ μεθ' ἡμῶν
εὖ ποιοῦντος κὠφελοῦντος.

Ἄφαυε. φρύξον τινὲς γράφουσι, ἄφαυσον ἀντὶ ζέσον. Τῶν τε πυρῶν. ἀντὶ τοῦ ἐμβαλοῦσα καὶ μίξασα καὶ τῶν πυρῶν σὺν αὐτοῖς δοκοῦσι γὰρ ἐφέλκεσθαι τὸν πότον. τὸ δὲ ἔξελε, ἀντὶ τοῦ πρόελε. ἀνάλεξον τὰ σῦκα. Οἰναρίζειν. τὸ ἀποφυλλίζειν. οἴναρα γὰρ τὰ φύλλα τῆς ἀμπέλου. τινὲς γράφουσιν ἀμπελουργεῖν οὐκ ὀρθῶς. οἰναρίζειν δέ, τὰς οἴνας ἐργάζεσθαι. καὶ οἴναρα τὰ φύλλα.
Τυντλάζειν. πηλοπατεῖν τύντλος γὰρ ὁ πηλός. ἀντὶ τοῦ βολοκοπεῖν. παρδακὸν δὲ ὁ ὑγρόν. οὕτω καὶ γὰρ ἀρχίλοχος καὶ σιμωνίδης. Σπίνω σπίνος εἶδος στρουθοῦ.
Πυός. τὸ πρῶτον γάλα. ὃ καὶ ἑψόμενον πήγνυται. καὶ ἡμεῖς χυτρίπην λέγομεν. τὸ μεταβεβληκὸς αἷμα τὸ γαλακτῶδες ὑγρόν. γάλα νέον μετὰ χρόνου γάλακτος ἀμελχθέν. Αἰσχινάδου. ὡς τοῦ αἰσχινάδου μᾶλλον τῶν ἄλλων ἐχόντος καρπίμους μυρρίνας. ἢ ἀπὸ τῶν καρπῶν. ἢ ὄνομα κύριον αὐλητοῦ, ἢ φίλου.

ρὶν κεν λύκος οἶν ὑμεναιοῖ αἰτεμπαίζουσιν αὐτῷ, αὐτοὺς τοὺς στίχους ἀποκρινό-
μενοι πρὸς αὐτὸν κατὰ τὰς ἀξιώσεις αὐτοῦ. οὓς ὀλίγῳ πρότερον αὐτοῖς εἶπεν,
οὐκ ἐπιτρέποντος ἤδη τὴν εἰρήνην γενέσθαι. Ἄλλως ὦ ταν. αἰτεῖ τὴν μάτην. οὐ
γὰρ πείσεις. Συσπλαγχνεύετε. συγγεύεσθε τῶν σπλάγχνων. ἀλλ' ἁρπάσομαι. παρ-
ὲς ἐπιγραφή. Ταῦτα γὰρ εἰπών, χλευάζει καὶ αὐτοὺς ὡς ἁρπάζει. καὶ ἐπιδραμοῦντές κα-
τέλαβον καὶ ἐτύπτησαν. Τὸν βάκιν τὸν βάκιδος χρησμοὺς λέγοντα. τυπτόμε-
νος δὲ λέγει ὁ ἱεροκλῆς. μαρ-

ἡμῖν πρὶν διδόναι πρὶν καὶ λύκος οἶν ὑμεναιοῖ.
ναὶ πρὸς τῶν γονάτων. Τρ. ἄλλως ὦ ταν ἱκετεύεις.
οὐ γὰρ ποιήσεις λεῖον τὸν τραχὺν ἐχῖνον.
ἄγε δὴ θεαταὶ δεῦρο συσπλαγχνεύετε
μετὰ νῷν. Ἱε. τί δ' ἔγωγε. Τρ. τὴν σίβυλλαν ἔσθιε.
Ἱε. οὔτοι μὰ τὴν γῆν, ταῦτα κατέδεσθον μόνω.
ἀλλ' ἁρπάσομαι σφῷν. αὐτὰ κεῖται δ' ἐν μέσῳ.
Τρ. παῖε παῖε τὸν βάκιν. Ἱε. μαρτύρομαι.
Τρ. κἀγὼ γ' ὅτι τένθης εἶ κἀλαζὼν ἀνήρ
παῖ' αὐτὸν ἐπέχων τῷ ξύλῳ τὸν ἀλαζόνα.
Θε. σὺ μὲν οὖν. ἐγὼ δὲ τουτονὶ τὸν κωδίων
ἃ λάμβαν' αὐτὸς ἐξαπατῶν ἐκβολβιῶ.
οὐ καταβαλεῖς τὰ κώδι' ὦ θυηπόλε,
Ἱε. ἤκουσας ὁ κόραξ οἷος ἦλθ' ἐξ ὠρεοῦ;
Θε. οὐκ ἀποπετήσει θᾶττον εἰς ἐλύμνιον.
Χο. ἥδομαι ἥδομαι. Κρανοὺς ἀπηλλαγμένος
τυροῦ τε καὶ κρομμύων.
οὐ γὰρ φιληδῶ μάχαις.

τύρομαι. Τένθης. λίχνος.
γίνεσθαι γὰρ τοιαῦτα εἰ. Ἀλλάμ-
βανε αὐτὸς ὡς τῶν μάντεων
ἐξαπατώντων καὶ οὐδὲν
ὄντως κερδαινόντων, καὶ
λαμβανόντων τὰ κώδια.
Ἐκβολβιῶ. ἐξορύξω. ἀπὸ τῶν
τοὺς βολβοὺς χαμόθεν ἐκ-
βαλλόντων ἡ μεταφορά.
ὑπὸ γῆς γὰρ ὄντες κἀκεῖνοι
ὀρύσσονται. Ἐξ ὠρεοῦ.
κόρακα εἶπεν ἐπειδὴ ἥρ-
παξεν. Ἐλύμνιον. Καλ-
λίστρατός φησι τόπον εὐ-
βοίας τὸ ἐλύμνιον. Ἀπολ-
λώνιος δὲ, ναὸν φησὶν εἶναι
πλησίον εὐβοίας. νυμφικὸν
δ' ἔπνεες αὐτόφασιν. ὅτι ὁ
ζεὺς τῇ ἥρᾳ ἐκεῖ συνεγένε-
το, μέμνηται καὶ σοφοκλῆς.

πρὸς πέτραις ἐλυμνίαις. καὶ ἐννεωτηρίῳ νυμφικὸν ἐλύμνιον. Ἥδομαι.
καὶ ταῦτα παράβασίς ἐστιν. ἀλλ' οὐκ ἔχει πάντα τὰ μέρη. μόνην δὲ τὴν ᾠδὴν
καὶ στροφήν. τὸ ἐπίρρημα. τὴν ἀντῳδὴν καὶ ἀντιστροφὴν καὶ τὸ ἀντεπίρρημα. ἔστι
νῦν τῆς παρούσης ᾠδῆς καὶ στροφῆς τὰ κῶλα ιγ'. τὰ α θ'. χοριαμβικὰ ἡ-
μιόλια. τὰ β'. γ'. δ'. ε'. ὅμοια ἑφθημιμερῆ ἐξ ἀντιτρίτων. τὸ ϛ'. ἀντισπαστικὸν
γλυκώνειον τὸ ζ'. ὅμοιον ὑπερκατάληκτον. τὸ η'. παιωνικὸν δίμετρον ἀκατάλη-
κτον. τὰ ι'. ια'. τροχαϊκὰ δίμετρα ἀκατάληκτα. τὰ γὰρ λοιπὰ ἑφθημιμερῆ. τὸ
πλουταῖον παραγραφέσθω. καὶ τῇ ἔσω διπλῇ σημειούσθω. τῇ αὐτῇ καὶ τὸ ἐπίρ-
ρημα. τοῦτο δὲ ὅλον ὡς τροχαϊκῶν ἐστὶ τετραμέτρων ιϛ'. ἔχον καὶ ἐν ἐκθέσει κῶ-
λα ὅμοια τρία. πλὴν τοῦ τρίπου δίμετρα ἀκατάληκτα. ὡσαύτως δὲ καὶ τὸ ἀντε-
πίρρημα. ὑφ' ὃ ἡ ἔξω διπλῆ.

Ὥσοι μέν. ἀστείως πάνυ παρέπλεξε τὰ ὁμήρου. Ἱδρύσανθ' ἱερείῳ. οὐ χύτραις ὡς αὐτοὶ ἔλεγον. Ὁδὸν ἡγεμόνευον. τῆς θυσίας ἠρξάμην. Κώθωνα. νῦν τὸ ποτήριον ἀλλαχοῦ δὲ κάνθαρον. διὰ δὲ τὸ ἠπορῆσθαι τὸν μάντιν ἐκ τῆς θυσίας αὐτὸν μηδὲν ταύτης ἀποκερδῆσαι, ἀλλὰ μὴ δὲ σπονδῆς μεταχεῖν. τοῦτο ἔπαιξε. κώθωνα δὲ λέγει τὸν νῦν λεγόμενον κύαθον εἶδος ποτηρίου λακωνικοῦ μονώτου ὀστρακόνου ὃν ἐρισκὸν καλοῦσι πυτάριον. ἐπειδὴ μεριστὸν ὕδωρ ἐλάμβανον οἱ ναῦται, κώθωνας εἶχον. καὶ κωθωνίσαι μεθύσαι ὡς τὸ ἐρῶν δὲ καὶ κωθωνιζόμενος ἀφ' ἡμέρας.

ὡς οἱ μὲν, νέφος ἐχθρὸν ἀπωσάμενοι πολέμοιο,
εἰρήνην εἵλοντο· καὶ ἱδρύσανθ' ἱερείῳ.
αὐτὰρ ἐπεὶ κατὰ μῆρ' ἐκάη, καὶ σπλάγχν' ἐπάσαντο,
ἔσπενδον δεπάεσσιν. ἐγὼ δ' ὁδὸν ἡγεμόνευον.
χρησμολόγῳ δ' οὐδεὶς ἐδίδου κώθωνα φαεινόν.
Ἱε. οὐ μετέχω τούτων· οὐ γὰρ ταῦτ' εἶπε σίβυλλα.
Τρ. ἀλλ' ὁ σοφός τοι νὴ δί' ὅμηρος, δεξιὸν εἶπεν.
ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιός ἐστιν ἐκεῖνος,
ὃς πολέμου ἔραται ἐπιδημίου ὀκρυόεντος.
Ἱε. φράζεσθαι δή. μή πως σε δόλῳ φρένας ἐξαπατήσας
ἴκτινος μάρψῃ. Τρ. τουτὶ μέντοι σὺ φυλάττου.
ὡς οὗτος φοβερὸς τοῖς σπλάγχνοις ἐστὶν ὁ χρησμός.
ἔγχει δὴ σπονδήν· καὶ τῶν σπλάγχνων φέρε δευρί.
Ἱε. ἀλλ' εἰ ταῦτα δοκεῖ, κἀγὼ 'μαυτῷ βαλανεύσω.
Τρ. σπονδή. σπονδή.
Ἱε. ἔγχει δὴ κἀμοὶ καὶ σπλάγχνων μοῖραν ὄρεξον.
Τρ. ἀλλ' οὔπω τοῦτ' ἐστὶ φίλον μακάρεσσι θεοῖσιν
ἀλλὰ τόδε πρότερον σπένδειν ἡμᾶς. σὲ δ' ἀπελθεῖν.
ὦ πότνι' εἰρήνη. παράμεινον τὸν βίον ἡμῖν.
Ἱε. πρόσφερε τὴν γλῶτταν. Τρ. σὺ δὲ τὴν σαυτοῦ γ' ἀπένεγκε.
Ἱε. σπονδή. Τρ. καὶ ταυτὶ μετὰ τῆς σπονδῆς λαβὲ θᾶττον.
Ἱε. οὐδεὶς δώσει μοι τῶν σπλάγχνων. Τρ. οὐ γὰρ οἷόν τε

Σίβυλλα. οὐ γὰρ κεῖται ταῦτα παρὰ σιβύλλῃ τῇ χρησμολόγῳ. Ἄλλως. τὰ ἔπη φησὶ ταῦτα μὴ ἐπιγινώσκειν. μόνα δὲ εἰδέναι τὰ σιβύλλεια. οὐ γὰρ κεῖται ταῦτα παρὰ σιβύλλῃ.

Ἐπιδημίου. τὸ ἐπιδημίου, οὐκ ἔστι πρὸς τὰ προκείμενα, πρὸς ἀλλοχώρους γὰρ ἦν ὁ πόλεμος, ἀλλὰ μᾶλλον πρὸς τὸ πολέμου ἔραται. εἰ μὴ ἄρα τῇ τῶν ἑλλήνων ὀνομασίᾳ, ἐπιδήμιος δόξει λακεδαιμονίοις καὶ ἀθηναίοις ὁ πόλεμος. Ὡς οὗτος φοβερός. ἀντὶ τοῦ εἰπεῖν ὁ ἴκτινος. χαλεπὸς γὰρ οὗτος τοῖς σπλάγχνοις. Ἄλλως. εἰώθασι γὰρ οἱ μάντεις μετὰ τὴν ἔκβασιν τῶν πραγμάτων λέγειν, ὅτι προῄδειν τοῦτο τὸ ἐσόμενον. πρὶν δὲ γενέσθαι οὔτε προσίασιν οὐδὲν οὔτε λέγουσιν. Βαλανεύσω. διακονήσω, ὑπουργήσω καὶ ἐγχέω ἐμαυτῷ τῶν σπονδῶν ἀπὸ τοῦ ἑαυτοῖς ἐπιχεόντων ὕδωρ, ἢ τοὺς βαλανεῖς κρυσταινόντων τῷ πυρί. τὸ δὲ σπονδὴ σπονδή, παρεπιγραφὴ ἐν εἴδει σκώλου δισπονδείου. Πρόσφερε τὴν γλῶτταν. κἀκ τούτου δηλοῖ ὅτι ἰδίᾳ τετμημένη προσεφέρετο ἡ γλῶττα παρὰ τῶν παλαιῶν. Ἀπένεγκε. ἀπόπεμπε. ἤτοι μὴ γευσαμένην τῶν σπλάγχνων μὴ δὲ μεταχοῦσαν τῆς σπονδῆς ὡς βλάσφημα καὶ πονηρὰ μαντευομένην.

λέγειν τοὺς χρησμῳδοὺς μιμούμενος κατὰ τὴν χρησμῶν λοξά. Χἠ κώδων. παρὰ τὸ κραυγαστικὸν, ἢ κύων τὸ ζῶον. ἔστι δὲ ἀδιανόητον καὶ τοῦτο, παρὰ τὴν παροιμίαν ἡ κύων σπεύδουσα, τυφλὰ τίκτει. τὸ δὲ ἀκαλανθὶς εἶδος ὀρνέου. τινὲς δὲ, τὸ ἀκαλανθὶς, ὑφ' ἕν. ταύτας δὲ τὰς ἀκαλανθίδας τινὲς βασιλικοὺς ὀνομάζουσι. κώδων δὲ εἶπεν. ὅτι λάλον τὸ ζῶον. ταῦτα δὲ πάντα, ἐπίτηδες ἀδιανόητα, ἔφρασεν, τὸ ἀσαφὲς τῶν χρησμῶν μιμούμενος. ἐπεὶ καὶ παρ' ἱστορίαις λελέχθαι δοκεῖ. οὐδὲν γὰρ τῶν ζώων ὅτι μὴ κύων, σπεύδουσα τὰς ὠδῖνας, τοὺς κύνας τίκτει τυφλούς.

Χἠ κώδων ἀκαλανθὶς ἐπειγομένη, τυφλὰ τίκτει
τουτάκις οὔπω χρῆν τὴν εἰρήνην πεποιῆσθαι.

Τρ. ἀλλὰ τί χρῆν ἡμᾶς. οὐ παύσασθαι πολεμοῦντας;
ἢ διακαυνιάσαι. πότεροι κλαυσούμεθα μεῖζω.
ἐξὸν σπεισαμένοις κοινῇ, τῆς Ἑλλάδος ἄρχειν.

Ἱε. οὔποτε ποιήσεις τὸν καρκίνον ὀρθὰ βαδίζειν.

Τρ. οὔποτε δειπνήσεις ἔτι τοῦ λοιποῦ γ' ἐν πρυτανείῳ
οὐδ' ἐπὶ τῷ πραχθέντι ποιήσεις ὕστερον οὐδέν.

Ἱε. οὐδέποτ' ἂν θείης λεῖον τὸν τραχὺν ἐχῖνον.

Τρ. ἆρα φενακίζων ποτ' Ἀθηναίους ἔτι παύσει;

Ἱε. ποῖον γὰρ κατὰ χρησμὸν ἐκαύσατε μηρία θεοῖσιν

Τρ. ὥσπερ κάλλιστον δήπου πεποίηκεν Ὅμηρος.

Ἀκαλανθίς. ὄνομα κυνὸς ἐπισήμου. οἱ δὲ, ὀρνέου. ὁ δὲ νοῦς τοιοῦτος, ὡς φυσικῶς ἀπαράλλακτα τὰ εἰρημένα, οὕτως ἀμετάτρεπτα τὰ λεγόμενα. διό φησι τὴν εἰρήνην οὐκ ἔδει γενέσθαι.

Ἢ διακαυνιάσαι. ἢ διακληρώσασθαι, πότεροι ἐξ ἡμῶν πλέον διαφθαρήσονται. καῦνον γὰρ τὸν κλῆρόν φασι. καὶ ἐν ἄλλοις. πόσος ἐσθ' ὁ καῦνος. τὸ δὲ λεγόμενον, τοιοῦτόν ἐστιν, οὐκ ἐχρῆν ἡμᾶς φησὶν καταπαύεσθαι τὸν πόλεμον οὐδὲ σπείσασθαι. ἀλλὰ προσμεῖναι, ἕως ἂν εἷς ἐξ ὑμῶν ἄρδην ἀπόληται. Ἄλλως. καυνιάσαι. κληρωθῆναι. ὁ δὲ νοῦς, ἔδει ἡμᾶς μὴ εἰρήνην ἄγειν. ἀλλὰ κληρωθῆναι. ἐπὶ τῷ, γνῶναι τίνες ἡμῶν δυστυχήσουσι. καὶ τῶν πολεμίων. καὶ Κρατῖνος πυτίνῃ. ἀπὸ προτέρου τὸν καῦνον ἀριθμήσεις. Ἄλλως. αἰτὶ τοῦ κληρωθῆναι. ὡς τῶν καυνίων μάλιστα χρωμένων, καὶ σφηνιάζειν καὶ βιάζειν.

Κοινῇ τῆς Ἑλλάδος. ἐξ ἀρχῆς γὰρ οἱ Λακεδαιμόνιοι τῆς γῆς ἐκράτουν. οἱ δὲ Ἀθηναῖοι τῆς θαλάσσης. Οὔποτε ποιήσεις τὸν καρκίνον. οὔτε τοὺς Λακεδαιμονίους δηλονότι ὀρθὰ καὶ ἁπαλὰ φρονεῖν. Οὔποτε δειπνήσεις. ὅτι καὶ οἱ χρησμολόγοι μετεῖχον τῆς ἐν πρυτανείῳ σιτήσεως, δῆλον ἐκ τοῦ Λάμπωνος. ὃς τούτου ἠξίωτο. φησὶν οὖν, οὐκέτι ἔσται πόλεμος. τούτου γὰρ μὴ ὄντος, οὐδὲν ἐλάμβανεν ἐκ τοῦ δημοσίου οὗτος. ἐπεὶ γὰρ τοῦ πολέμου χρεία τῶν μάντεων. Ἐπὶ τῷ πραχθέντι. ἐπὶ τῷ γενέσθαι τὴν εἰρήνην. Τὸν τραχὺν ἐχῖνον. οὐδὲ ὑμεῖς φιλίαν πρὸς Λακεδαιμονίους. Ἄλλως. κάλλιστα πάμπαν τοῦ εἰρημένου εἰς τὸ αὐτῶν μετήνεγκαν πρόσωπον. οὐκοῦν φησὶν, οὔτε ἡμᾶς πείσας ἄν ποτε μεταδοῦναί σοι τινὸς, οὐδ' ἠπίους σοι γεγονέναι, ὥσπερ οὐκ ἄν ποτε λεῖος ὁ τραχὺς ἐχῖνος γένοιτο.

Οὐκ ἀΐοντες. οὐ νοοῦντες. οἵτινες διὰ τὴν ἀβουλίαν τὴν ἑαυτῶν τῆς τῶν θεῶν οὐ στογίενται προνοίας. Χαροποῖσι. φοβεροῖς. πιθήκοις δὲ τοῖς Λακεδαιμονίοις. ἀντὶ τοῦ εἰπεῖν λέουσιν. Αἰβοῖ. αἰβοῖ. παρεπιγραφή. ἀκούσαντες γὰρ τοῦ χρησμοῦ ἐγέλασαν. γελοῖος γάρ ἐστι τοῦτο τὸ μίμημα. Καὶ κέπφοι. εὐήθες ζῷον ὁ κέπφος. οὗ μέμνηται καὶ Νίκανδρος καὶ Ἄρατος. περὶ τῶν διοσημείων διαλεγόμενοι. καὶ Καλλίμαχος ἐν τοῖς ἰάμβοις. ἐκ δὲ τῆς θαλάσσης ζῆν αὐτὸν λέγουσιν, ἐσθίοντα τὸν ἀφρόν. ζῆν δὲ αὐτὸν, πολὺν μὲν ἐν τοῖς πτεροῖς. ὀλίγον δὲ ἐν τοῖς κρέασι καὶ κεκραγέναι ὠδίνοντα. ὅθεν γενέσθαι τὴν παροιμίαν κέπφος ὠδίνει. ἐπὶ τῶν ἐπαγγελλομένων μὲν μεγάλα. μηδὲν δὲ ἄξιον τῆς ἐπαγγελίας ποιούντων. Τρήρωνες. οὐκ ἐπὶ τοῦ κέπφου. ἀλλὰ καθ' αὑτό. κέπφοι γὰρ οἱ κοῦφοι ἀπὸ τῶν ὀρνέων. ὅθεν καὶ τοὺς ἐλαφροὺς ταῖς φρεσὶ. κούφους καλοῦμεν.

Ἱε. οἵτινες ἀφραδίῃσι θεῶν νόον οὐκ ἀΐοντες.
συνθήκας πεποίησθ' ἄνδρες χαροποῖσι πιθήκοις.
Θε. αἰβοῖ αἰβοῖ. Ἱε. τί γελᾷς. Θε. ἥσθην χαροποῖσι πιθήκοις.
Ἱε. καὶ κέπφοι τρήρωνες, ἀλωπεκιδεῦσι πέπειθε.
ὧν δόλιαι ψυχαί. δόλιαι φρένες. Τρ. εἴθε σου εἶναι.
ὤφελεν. ὦ λαζὼν οὑτωσὶ θερμὸς ὁ πλεύμων.
Ἱε. εἰ γὰρ μὴ νύμφαι γε θεαὶ βάκιν ἐξαπάτασκον
μηδὲ βάκις θνητούς. μηδ' αὖ νύμφαι βάκιν αὐτόν,
Τρ. ἐξώλης ἀπόλοι' εἰ μὴ παύσαιο βακίζων.
Ἱε. οὔπω θέσφατον ἦν εἰρήνης δέσμ' ἀναλῦσαι.
ἀλλὰ τόδε πρῶτον. Τρ. τοῖς ἁλσί γε παστέα ταυτί.
Ἱε. οὐ γάρ πω τοῦτ' ἐστὶ φίλον μακάρεσσι θεοῖσιν
φυλόπιδος λῆξαι, πρίν κεν λύκος, οἶν ὑμεναιοῖ.
ὡς ἡ σφονδύλη φεύγουσα πονηρότατον.

Ὧν δόλιαι ψυχαί. ἀεὶ τοὺς Λακεδαιμονίους εἰς τοῦτο κωμῳδοῦσιν, καὶ Εὐριπίδης. Σπάρτης ἔνοικοι δόλια βουλευτήρια. Θερμὸς ὁ πλεύμων. κεκαυμένος. ἐσθίοντες γὰρ τὰ σπλάγχνα θερμὰ ὄντα, τοῦτό φασι πρὸς Ἱεροκλῆν. ἀττικῶς δὲ διὰ τοῦ λ. ὁ πλεύμων. Εἰ γὰρ μὴ νύμφαι. αἱ ἔφοροι τῆς μαντικῆς νύμφαι. οὕτω δὲ εἶπεν, ὥσπερ εἰ ἔλεγεν ἐξεπαίδευον. Βάκις. χρησμολόγος ὁ Βάκις. Βάκιδες δὲ τρεῖς. ὧν πρεσβύτατος ἐξ Ἐλεῶνος τῆς Βοιωτίας. ὁ δὲ δεύτερος. ἀττικός. τρίτος ἀρκὰς ἐκ πόλεως Καφύης. ὃς καὶ Κύδας ἐκαλεῖτο καὶ Ἀλήτης ὥς φησι Φιλητᾶς ὁ Ἐφέσιος. Θεόπομπος δὲ ἐν τῇ θ'. τῶν Φιλιππικῶν, ἄλλα τε πολλὰ περὶ τούτου τοῦ Βάκιδος ἱστορεῖ παράδοξα καὶ ὅτι ποτὲ τῶν Λακεδαιμονίων τὰς γυναῖκας μανείσας ἐκάθηρεν. Ἀπόλλωνος τούτοις τοῦτον καθαρτὴν δόντος. ἔστι δὲ καὶ ἐπίθετον Πεισιστράτου. Βακίζων. εἰ μὴ παύσαιο μεμνημένος Βάκιδος, Βάκιδος μνημονεύων. Τοῖς ἁλσί γε. ἐπίτηδες ἀποκεκοφὼς τὸν λόγον λέγει. φησὶ δὲ, τὰ κρέα χρῆναι πρότερον τοῖς ἁλσὶ πασθῆναι τὰ ὠπτημένα. Ὑμεναιοῖ. εἰς γάμους ἄγοιτο. τὸ ἀδύνατον δὲ εἶπε παρὰ τὸ ὡς οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστά. οὐδὲ λύκοι τε καὶ ἄρνες ὁμόφρονα θυμὸν ἔχουσιν. Ὡς ἡ σφονδύλη. ἴλφης ἐστὶν ἡ σφονδύλη. οὐδὲ ἄλλη προσομοία, δυσώδης οὕτως. ἔρχεται δὲ ἀδιαγόντα

κλῆς ἐστιν. ὡς ἀπὸ τοῦ ὀνόματος αὐτοῦ γινωσκομένου μᾶλλον. ἢ τῆς τέχνης. καὶ εὔπολις πόλεσιν. ἱερόκλεες βέλτιστε χρησμῳδῶν ἄναξ. Οὑξ ὠρεοῦ. διαβάλλει, αὐτὸν ὡς οὐ πολίτην. ἀλλ' εὐβοέα. διὸ δηλοῖ, ὅτι ὡς ξένος οὐχ εὐνοεῖ τῇ εἰρήνῃ. ὠρεὸς καὶ εὐβοίας πόλις. ἣν ὅμηρος ἱστιαίαν φησίν. Δῆλος ἔσθ' οὗτος γ' ὅτι. προείπομεν γὰρ περὶ εὐβοέων. ὡς ἀήθιστον προθυμουμένων τῇ εἰρήνῃ. Κατὰ τὴν κνίσαν. ὡς διὰ προφάσεως τοῦ σχήματος τῆς μαντείας, ἐπεισπηδῶντος ἱεροκλέους καὶ μετέχοντος τῶν εὐωχιῶν. Μὴ νῦν ὁρᾶν δοκῶμεν. μὴ προσποιησώμεθα αὐτὸν ἑωρακέναι. μὴ δ' αὐτῷ προσλαλήσωμεν. ἵνα ἀπορηθεὶς, παρέλθῃ μηδὲν ἐξοχλήσας ἡμῖν. Τίς ἡ θυσία. ἱεροκλῆς ἐπιστὰς ἄκλητος. καὶ ταῦτα περιεργαζόμενος, τίνι οὖν φησὶ τῶν θεῶν. Ὄπτα σὺ σιγῇ. ἀπαλλαγῆναι αὐτὸν ποιεῖ. μὴ προσέχων. μὴ δὲ ἀκηκοέναι προσποιούμενος. οἷον, μηδὲν ἀποκρίνῃ πρὸς τὸ ἐρωτηθέν. Ἀπὸ τῆς ὀσφύος. ἐπὶ τοῦ βωμοῦ τὰ σπλάγχνα ὄπτα ἐν σιγῇ λέγει οὖν, ἀπὸ τῆς ὀσφύος τὸν ὀβελίσκον ἀπάγαγε.

μάντις τίς ἐστιν; Τρ. οὐ μὰ Δί'. ἀλλ' ἱεροκλέης
Θε. αὐτός γε ποῦ 'σθ' ὁ χρησμολόγος. οὑξ ὠρεοῦ
τί ποτ' ἄρα λέξει. Τρ. δῆλος ἔσθ' οὗτος γ' ὅτι
ἐναντιώσεταί τι ταῖς διαλλαγαῖς.
Θε. οὐκ, ἀλλὰ κατὰ τὴν κνῖσαν εἰσελήλυθεν.
Τρ. μὴ νῦν ὁρᾶν δοκῶμεν αὐτόν. Θε. εὖ λέγεις.
Ἱε. τίς ἡ θυσία ποθ' αὑτηί; καὶ τῷ θεῶν;
Τρ. ὄπτα σὺ σιγῇ. κἄπαγ' ἀπὸ τῆς ὀσφύος.
Ἱε. ὅτῳ δὲ θύετ' οὐ φράσεθ'; Τρ. ἡ κέρκος ποιεῖ.
καλῶς. Θε. καλῶς δῆτ' ὦ πότνι' εἰρήνη φίλη.
Ἱε. ἄγε νῦν ἀπάρχου. κᾆτα δὸς τἀπάργματα.
Τρ. ὀπτᾶν ἄμεινον πρῶτον. Ἱε. ἀλλὰ ταυταγί
ἤδη 'στὶν ὀπτά. Τρ. πολλὰ πράττεις ὅστις εἶ.
κατάτεμνε. ποῦ τράπεζα; τὴν σπονδὴν φέρε.
Ἱε. ἡ γλῶττα χωρὶς τέμνεται. Τρ. μεμνήμεθα
Ἱε. ἀλλ' οἶσθ' ὃ δρᾶσον. Θε. ἢν φράσῃς. Τρ. μὴ διαλέγου
νῷν μηδέν. εἰρήνῃ γὰρ ἱερὰ θύομεν.
Ἱε. ὦ μέλεοι θνητοὶ καὶ νήπιοι. Τρ. ἐς κεφαλήν σοι.

οἷον πρόσεχε μὴ ἅψῃ αὐτῆς. ταύτῃ γὰρ μαντεύονται. Εἰς τὸ αὐτό. ἀναχώρει ἀπὸ τῶν ἱερείων καὶ ἀφίστασο φησίν. Ἡ κέρκος ποιεῖ. ἡ οὐρὰ καλὰ σημαίνει. ἔθος γὰρ εἶχον τὴν ὀσφὺν καὶ τὴν κέρκον ἐπιτιθέναι τῷ πυρί. καὶ ἐξ αὐτῆς, σημείοις τισὶ καταγοεῖν, εἰ εὐπρόσδεκτος ἡ θυσία. καὶ ἄλλα τινὰ πρὸς τὰ γνώματα σημεῖα λαμβάνειν, περὶ ὧν τὴν θυσίαν ἐποίουν. Τἀπάργματα. τὰς ἀπαρχὰς ἃς εἰώθασιν οἱ ἱερεῖς λαμβάνειν. ὁ ἱεροκλῆς, ταῦτα σημαίνει. Πολλὰ πράττεις. οἷον πολλὰ ἐργάζῃ καὶ πολυπραγμονεῖς. Γλῶττα χωρὶς τέμνεται. καὶ τοῦτο παροιμιακὸν ἀπὸ ὁμήρου. ἀλλ' ἄγε τάμνετε μὲν γλώσσας. ὥς φησι καλλίστρατος. καὶ τοῦτο δὲ ἱεροκλέους πρὸς τὸ ἔθος. προειρήκαμεν δὲ, ὅτι χρησμολόγος ἱεροκλῆς. διόπερ νῦν χρησμοῦ τινος αὐτὸν προσάγει μνημονεύοντα. Ἐς κεφαλήν σοι. ὡς καταρασαμένου αὐτοῦ καὶ βλασφημήσαντος φησὶν, εἰς τὴν κεφαλὴν ἔλθοι τὸ δεινόν. τουτέστι σοὶ αὐτῷ, μαντευσαμένῳ. ὅπερ εἶπας δυσχερές. μιμεῖται δὲ τοὺς χρησμολόγους. διόπερ νῦν τινος χρησμοῦ μνημονεύει.

μεμιγμένα παίοσι καὶ κρητικοῖς, ἀκατάληκτα πλὴν τοῦ πέμπτου καταληκτικοῦ καὶ τοῦ ϛ'. ἡμιολίου. ὑφ' ὃ αἱ ἀμφοτέρωθεν ἔξω διπλαῖ. Τιθέαται ὥσπερ δὲ κἀν ταῖς ἀρχαίαις αἱ παράγραφοι. ἐν ὅσῳ δ' ἔφησεν. ἐκ τῶν θεῶν τὰ κατὰ τὸν πόλεμον ἐκπέπτωκε καὶ λελώφηκεν. σπουδάσωμεν ἱδρύσασθαι τὴν θεωρίαν. τὴν τῆς εἰρήνης ἀγαθῶν αἰτίαν γεγενημένην. Σοβαρὰ δὲ στεροβημένη δὲ κίνησις. μετάτροπος δὲ ἀντὶ τοῦ ἐκ κράτους μεταβληθεῖσα.

σοβαρὰ θεόθεν.
κατέχει πολέμου.
μετάτροπος αὔρα.
νῦν γὰρ δαίμων φανερῶς
εἰς ἀγαθὰ μεταβιβάζει.
τὸ κανοῦν πάρεστιν, ὀλὰς ἔχον καὶ στέμμα καὶ μά-
χαιραν.
καὶ πῦρ γε τουτί. κοὐδὲν ἴσχει πλὴν τὸ πρόβατον ὑμᾶς.
Χο. οὔκουν ἁμιλλήσεσθον
ὡς ἣν Χαῖρις ὑμᾶς ἴδῃ
πρόσεισιν αὐλήσων ἄκλη-
τος. κᾆτα τοῦτ' εὖ οἶδ' ὅτι,
φυσῶντι καὶ πονουμένῳ
προσδώσετε δήπου.
Τρ. Ἄγε δὴ τὸ κανοῦν λαβὼν σὺ καὶ τὴν χέρνιβα
περίιθι τὸν βωμὸν ταχέως ἐπὶ δεξιά.
Θε. ἰδοὺ. λέγοις ἂν ἄλλο. περιελήλυθα.
φέρε δὴ τὸ δαλίον τόδ' ἐμβάψω λαβὼν
σείου σὺ ταχέως. σὺ δὲ πρότεινε τῶν ὀλῶν.
καὐτός τι χερνίπτου παραδοὺς ταύτην ἐμοί.
καὶ ῥῖπτε τοῖς θεαταῖς τῶν κριθῶν. ἰδού.
Τρυ. ἔδωκας ἤδη; Θε. νὴ τὸν Ἑρμῆν, ὥστε γε
τούτων ὅσοιπέρ εἰσι τῶν θεωμένων.
οὐκ ἔστιν οὐδεὶς ὅστις οὐ κριθὴν ἔχει.
Τρυ. οὐχ αἱ γυναῖκες ἔλαβον. Θε. ἀλλ' ἐς ἑσπέραν
δώσουσιν αὐταῖς ἄνδρες. ἀλλ' εὐχώμεθα.
τίς τῇδε; ποῦ ποτ' εἰσὶ πολλοὶ κἀγαθοί.
τοισὶ φέρε δῶ. πολλοὶ γάρ εἰσι κἀγαθοί.
Τρυ. τούτους ἀγαθοὺς ἐνόμισας. Θε. οὐ γὰρ οἵτινες
ἡμῶν καταχεόντων ὕδωρ τοσουτονὶ
ἐς ταυτὶ τοῦτ' ἑστᾶσ' ἰόντες χωρίον.
ἀλλ' ὡς τάχιστ' εὐχώμεθα, εὐχώμεθα δή.

Ὀλάς. ἀντὶ κριθάς. ὅτι ἐνέκρυπτο ἐν τῷ κανῷ ἡ μάχαιρα ταῖς ὀλαῖς καὶ τοῖς στέμμασι. καὶ ἐντεῦθεν κανοῦν. ἀπὸ τοῦ κνεῖν. πράττων παιδαρίῳ. φέρε τοῦτ' ἐμοὶ δεῖξον τὸ κανοῦν μοι δεῦρο τὴν μάχαιραν.
Χαῖρις. τῶν περὶ τὰς θυσίας αὐλητῶν ἦν ὁ Χαῖρις. ἦν δὲ καὶ ἕτερος κιθαρῳδός.
Περίιθι. τοῦτο πρῶτον ἐποίουν καθαίροντες τὸν βωμόν.
Τὸ δαλίον. τὸ ὕδωρ ἐδόκουν ἀποβάπτοντες τοῦ πυρός. καθαρτικὸν γὰρ πάνταν τὸ πῦρ. ὡς καὶ Εὐριπίδης ἐν Ἡρακλεῖ.
Ῥῖπτε τὴν κριθὴν παίζει. ὅτι τὸ τῆς ἀνδρεῖας αἰδοῖον, κριθὴν ἔλεγον. τὸ δὲ γυναικεῖον βύρσον.
Τῇδε. σπένδοντες γὰρ ἔλεγον τί τῇδε ἀντὶ τοῦ τίς πάρεστιν. ἀνθ' οἱ παρόντες εὐφημιζόμενοι ἔλεγον. πολλοὶ κἀγαθοί.
Τοῖς χερνίπτοις. καταχεῖ δὲ αὐτῶν ὕδωρ ἐπὶ γέλωτι πρὸς οὐδενὶ ἑτέρῳ.

Σ ιλβίδην. ὁ στιλβίδης, εὐδόκιμος καὶ περιβόητος μάντις, τῶν τοὺς παλαιοὺς χρησμοὺς ἐξηγουμένων. ἀστειότατα δὲ τοῦτο παρέπλεξε τὴν φλόγα λέγων παρὰ τὸ στίλβειν ἅμα δὲ καὶ παρὰ τὸν μάντιν στιλβίδην, ὅν φησι φιλόχορος ἀκολουθῆσαι ἐν σικελίᾳ. ἡνίκα ἐπολέμουν ἀθηναῖοι καὶ ἐν σικελίᾳ ἐστράτευον. μέμνηται δὲ αὐτοῦ καὶ εὔπολις πόλεσιν. ὡς αὐτίγ' ἔλθω δῆτά σοι τῶν μάντεων. πότερος ἀμείνων ἀμφοτέρων, ἢ στιλβίδης. Πιέζει. λυπεῖ. ὡς λοιπὸν ἐκείνου ἀπορουμένου διὰ τὸ τοῦτον εὐδοκιμῆσαι. Καὶ παιδὸς οὐδὲν δεήσει. ἐμαυτῷ φησιν ὑπηρετῶ. καὶ χρεία οὐκ ἔσται παιδός. φιλοτιμεῖται δὲ περὶ τὰς ὑπηρεσίας κατὰ πάντα. καὶ στιλβίδην πλεονεκτῶν καὶ θύων. καὶ ὑπηρετῶν. Ἄλλως. φιλοτιμεῖται περὶ τὰς ὑπηρεσίας. ἵνα κατὰ πάντα τὸν στιλβίδην πλεονεκτεῖν δοκῇ. καὶ θύων καὶ ὑπηρετῶν. ἐγὼ οὖν φησιν οἴσω καὶ τράπεζαν ὡς μὴ δεῖσθαι παιδός.

Ἔστι χρεὼν τόνγε σοφὸν δόκιμον
φρενὶ καὶ πρίμω τῇ τόλμῃ
Τρ. ἥσχιζα γοῦν ἐνημμένη, τὴν στιλβίδην πιέζει.
καὶ τὴν τράπεζαν οἴσομαι. καὶ παιδὸς οὐ δεήσει.
τίς οὐκ ἂν ἐπαινέσει
εν ἄνδρα τοιοῦτον. ὅς
τις πόλλ' ἀνατλὰς, ἔσω
σε τὴν ἱερὰν πόλιν
ὥστ' οὐχὶ μὴ παύσει ποτ' ἂν
ζηλωτὸς ἅπασιν.
Θε. ταυτὶ δέδραται. τίθεσο τὼ μηρὼ λαβών.
ἐγὼ δ' ἐπὶ σπλάγχν' εἶμι καὶ θυλήματα.
Τρ. ἐμοὶ μελήσει ταῦτά γ'. ἀλλ' ἥκειν ἐχρῆν.
Θε. ἰδοὺ πάρειμι. μῶν ἐπισχεῖν σοι δοκῶ;
Τρ. ὄπτα καλῶς νῦν ταῦτα. καὶ γὰρ οὑτοσὶ
προσέρχεται δάφνῃ τις ἐστεφανωμένος.
τίς ἆρα ποτ' ἐστίν. Θε. ὡς ἀλαζὼν φαίνεται.

Τ αυτὶ δέδραται. κορωνὶς εἰσιόντων ἑτέρων ὑποκριτῶν. οἱ δὲ στίχοι εἰσὶ πζ΄. ὧν οἱ μὲν κδ΄. ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. οἱ ἑξῆς μα΄, δακτυλικοὶ ἑξάμετροι, ἐξ ὧν τούτων κῶλον ὅμοιον ἐκ σπονδείων. οἱ ἑξῆς δέκα δακτυλικοὶ ἑξάμετροι. μεθ' οὓς ἰαμβεῖα ιβ΄. ὧν τελευταίῳ. οὐκ ἀποπειρήσει θᾶττον εἰς ἐλύμιον. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ τῷ τέλει κορωνίς. δέδραται δὲ αὐτὶ τοῦ δέδαρται. καὶ ὅμηρος περὶ δὲ δρατὰ σώματα νέει. ὁ δὲ λόγος ταῦτα πάντα παρεσκεύασται καὶ πέπρακται.

Θ υλήματα. τὰ τοῖς θεοῖς ἐπιθυόμενα ἄλφιτα. ἐκαλεῖτο δὲ οὕτως. καὶ ἐλαιῶ. ἐν λεκλεῖ ἱεροῖς. ὧ δὲ ἀπολείπων καὶ πέρι τὸ θυλημάτων. Δάφνῃ τις ἐστεφανωμένος, οἱ ἱερεῖς καὶ οἱ μάντεις δάφνῃ ἐστεφανοῦντο. εἰς γνώρισμα τῆς τέχνης. Ὡς ἀλαζὼν. ὡς ἀπὸ τῆς ὄψεως ἀλαζὼν φαίνεται. ἱεροκλῆς. ὡς ἐκ τοῦ ὀνόματος αὐτοῦ γινωσκομένου μᾶλλον, ἤπερ ἀπὸ τῆς τέχνης. οὗτος δὲ μάντις ἦν καὶ χρησμολόγος, τοὺς προγεγενημένους χρόνους ἐξηγούμενος ὡς ἀνύποπτον ἀκριβῆ μάντιν αὐτὸν κωμῳδεῖν βούλεται καὶ ὥσπερ ἀκαθαρσίαν ἐκείνου γὰρ εἰπόντος ὅτι μαντείαις πρόεισιν, οὐ συγκατατίθεται, ἀλλ' ἔφησεν. οὐ μὰ δί' ἀλλ' ἱερο/

μεμιγμένα παίοσι καὶ κρητικοῖς, ἀκατάληκτα ἤγουν τοῦ πέμπτου καταληκτικοῦ καὶ τοῦ ς΄. ἡμιολίου. ὑφ' ὃ αἱ ἀμφοτέρωθεν ἔξω διπλαῖ. τιθέασι ὥσπερ δὲ κἀν ταῖς ἀρχαῖς ἐστιν αἱ παράγραφοι. ἐν ὅσῳ δ' ἔφησαν. ἐκ τῶν θεῶν τὰ κατὰ τὸν πόλεμον, ἐκπέπαυκε καὶ λελώφηκεν. σπουδάσωμεν ἱδρύσασθαι τὴν θεωρίαν. τῶν τῆς εἰρήνης ἀγαθῶν ἀντεισαχθέντων. Σοβαρὰ δὲ σεσοβημένη ἡ κίνηθος. μετάτροπος δὲ αὔτη τοῦ ἔκρατος μεταβληθεῖσα.

σοβαρὰ θεόθεν.
κατέχει πολέμου.
μετάτροπος αὔρα.
νῦν γὰρ δαίμων φανερῶς
εἰς ἀγαθὰ μεταβιβάζει.
τὸ κανοῦν πάρεστιν, ὀλὰς ἔχον καὶ στέμμα. καὶ μάχαιραν.
καὶ πῦρ γε τουτί. κοὐδὲν ἴσχει πλὴν τὸ πρόβατον ἡμᾶς.

Χο. οὐκοῦν ἁμιλλήσεσθον
ὡς ἣν Χαῖρις ὑμᾶς ἴδῃ
πρόσεισιν αὐλήσων ἄκλητος. κἆτα τοῦτ' εὖ οἶδ' ὅτι
φυσῶντι καὶ πονουμένῳ
προσδώσετε δή που.

Τρ. ἄγε δὴ τὸ κανοῦν λαβὼν σὺ καὶ τὴν χέρνιβα
περίιθι τὸν βωμὸν ταχέως ἐπιδέξια.

Θε. ἰδού. λέγοις ἂν ἄλλο. περιελήλυθα.
φέρε δὴ τὸ δαλίον τόδ' ἐμβάψω λαβών
σείου σὺ ταχέως. σὺ δὲ πρότεινε τῶν ὀλῶν.
καὐτός τε χερνίπτου παραδοὺς ταύτην ἐμοί.
καὶ τοῖσι θεαταῖς ῥίπτε, τῶν κριθῶν. ἰδού.

Τρυ. ἔδωκας ἤδη. Θε. νὴ τὸν Ἑρμῆν, ὥστε γε
τούτων ὅσοιπέρ εἰσι τῶν θεωμένων.
οὐκ ἔστιν οὐδεὶς ὅστις οὐ κριθὴν ἔχει.

Τρυ. οὐχ αἱ γυναῖκες ἔλαβον. Θε. ἀλλ' ἐς ἑσπέραν
δώσουσιν αὐταῖς ἄνδρες. ἀλλ' εὐχώμεθα.
τίς τῇδε; ποῦ ποτ' εἰσί; πολλοὶ κἀγαθοί.
τοῖσι φέρε δῶ. πολλοὶ γάρ εἰσι κἀγαθοί.

Τρυ. τούτους ἀγαθοὺς ἐνόμισας. Θε. οὐ γὰρ οἵτινες
ἡμῶν καταχεόντων ὕδωρ τοσουτονὶ
ἐς ταυτὶ τοῦτ' ἑστᾶσιν ἰόντες χωρίον.
ἀλλ' ὡς τάχιστ' εὐχώμεθα, εὐχώμεθα δή.

Ὀλάς. ἀντὶ κριθάς. ὅτι ἐκέκρυπτο ἐν τῷ κανῷ ἡ μάχαιρα ταῖς ὀλαῖς καὶ τοῖς στέμμασι. καὶ ἐντεῦθεν κανοῦν. ἀπὸ τοῦ κνεῖν. Πλάτων παιδαρίῳ. φέρε τοῦτ' ἐμοὶ δεῖξον τὸ κανοῦν μοι δεῦρο ποῖ μάχαιρ' ἔνι.

Χαῖρις. τῶν περὶ τὰς θυσίας αὐλητῶν ἦν ὁ Χαῖρις ἦν δὲ καὶ ἕτερος κιθαρῳδός.

Περίιθι. τοῦτο πρῶτον ἐποίουν καθαίροντες τὸν βωμόν.

Τὸ δαλίον. τὸ ὕδωρ ἐδόκουν ἀποβάπτοντες τοῦ πυρός. καθαρτικὸν γὰρ πάντων τὸ πῦρ. ὡς καὶ Εὐριπίδης ἐν Ἡρακλεῖ.

Πρὸς τὴν κριθὴν παίζει. ὅτι τὸ τῶν ἀνδρῶν αἰδοῖον, κριθὴν ἔλεγον. τὸ δὲ γυναικεῖον βύρσον.

Τῇδε. σπένδοντες γὰρ ἔλεγον τίς τῇδε. ἀντὶ τοῦ τίς πάρεστιν. εἶτα οἱ παρόντες εὐφημιζόμενοι ἔλεγον. πολλοὶ κἀγαθοί.

Τοῖς χορευταῖς. καταχεῖ δὲ αὐτῶν ὕδωρ ἕνεκα γέλωτος πρὸ οὐδενὶ ἑτέρῳ.

Ἄγε δὴ τί νῷν. κορωνὶς ἑτέρα ὁμοία τῇ ἐκτεθείσῃ. ἧς οἱ μὲν ιζ´. στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. ὁ ιη´. ὅμοιος τετράμετρος καταληκτικός. τὰ ἑξῆς δύο κῶλα ἀναπαιστικὰ δίμετρα. ὧν τὸ μὲν ἀκατάληκτον, τὸ δ᾽ οὔ. ὁ τελευταῖος, ἰαμβικὸς τετράμετρος ἀκατάληκτος, ὑφ᾽ ὃν κορωνίς. Χύτραις ἱδρυτέον. ὅτε μὲν ταῖς χύτραις ὄσπρια ἧψον. ὅτε δὲ ἄλλο τι πολυτελέστερον ἱερεῖον, καὶ οὕτως ἵδρυον. καὶ πρὸς τὸ θυόμενον ἔλεγον. βοῒ ἱδρύεσθαι, ἢ αἰγί, ἢ προβάτῳ.

θρώποις γεγένησαι.

Τρ. φύσεις ἐπειδὰν ἐκπίῃς οἴνου νέου λεπαστήν.

Χο. καὶ πλήν γε τῶν θεῶν, ἀεί σ᾽ ἡγησόμεσθα πρῶτον.

Τρ. πολλῶν γὰρ ὑμῖν ἄξιος Ἀθμονεὺς ἐγώ.

δεινῶν ἀπαλλάξας πόνων τὸν δημότην ὅμιλον.

καὶ τὸν γεωργικὸν λεών. Ὑπέρβολόν τε παύσας

Χο. ἄγε δὴ τί νῷν ἐντευθενὶ ποιητέον.

Τρ. τί δ᾽ ἄλλο γ᾽ ἢ ταύτην χύτραις ἱδρυτέον.

Χο. χύτραισιν ὥσπερ μεμφόμενον Ἑρμίδιον;

Τρ. τί δαὶ δοκεῖ. βούλεσθε λαρινῷ βοΐ.

ἢ δι᾽ οὗ ἂν ᾖ τὸ ἱερεῖον. ὥσπερ ἐν τούτῳ. Ἄλλως. ἔθος εἶχον ἑρμᾶς ἱδρύοντες πρὸ τῶν θυρῶν, καὶ ἄλλα τινὰ ἀγάλματα. ὑπὲρ τοῦ μὴ βραδύνειν τὴν ἀνάστασιν, χύτραις ἀθάραις ἱδρύεσθαι. καὶ ἄλλοις τισίν. Ἄλλως. ὁπότε μέλλοιεν βωμοὺς καθιδρύειν ἢ ἀγάλματα θεοῦ, ἕψοντες ὄσπρια ἀπήρχοντο τούτοις, τοῖς ἀφιδρυμένοις χαριστήρια ἀπονέμοντες τῆς πρώτης διαίτης. ὡς οὗτος εἶπεν ἐν Δαναΐσι. μαρτύρομαι δὲ Ζηνὸς ἑρκείου χύτρας. μεθ᾽ ὧν ὁ βωμὸς οὗτος ἱδρύνθη ποτέ. ποτὲ δὲ καὶ πολυτελεστέρῳ ἱερείῳ ἀφιδρύετο ὥς φησι καὶ ἐν τοῖς ἑξῆς. μεμφόμενοι δὲ ὡς πολυτίμητον οὖσαν ἄλλαις ἱερωσύναις αὐτὴν ἱδρύσαντο. ὡς οἱ μὲν νέφος ὀξὺ ἀπωσάμενοι πολέμοιο. εἰρήνην εἵλοντο, καὶ ἱδρύσαντο ἱερείῳ. ἐν δὲ τῷ τοιούτῳ, τὰς χύτρας αἷς τὸν θεὸν ἱδρυσόμεθα, λαβοῦσα ἐπὶ τῆς κεφαλῆς φέρε. Χύτραισιν ὥσπερ μεμφόμενοι. ἠγανάκτησαν ἐν χύτραις ἀκούσαντες ἱδρύεσθαι τὴν εἰρήνην, ὡς εὐτελοῦς οὔσης τῆς θυσίας ἐκ τῶν ἄλλων. διό φασιν ἄλλαις ἱερωσύναις αὐτὴν ὥσπερ πολυτίμητον θεραπεύσωμεν. ἐν δὲ τοῖς ἑξῆς, ἱερείῳ φησὶν ἱδρύσασθαι οὕτως αὐτήν. ὡς οἱ μέν, νέφος ἐχθρὸν ἀπωσάμενοι πολέμοιο, εἰρήνην εἵλοντο, καὶ ἱδρύσαντο ἱερεῖον. Ἑρμίδιον. ἀντὶ τοῦ εὐτελές. ὡς τοῦ Ἑρμοῦ χύτραις ἱδρυμένου ἐπὶ πολὺ ὡς μέμφεσθαι αὐτόν. Λαρινῷ βοΐ. ἐπειδὴ ἑώρα αὐτοὺς πρὸς τὴν διὰ τῶν χυτρῶν καθίδρυσιν ἀχθεσθέντας, ἄλλον τρόπον καθιερώσεως ὑποτίθεται. καὶ φησίν, βούλεσθε λαρινῷ βοΐ. περὶ δὲ τῶν λαρινῶν βοῶν, Λύκος μὲν ὁ Ῥηγῖνος, ἐπὶ τοῖς πρὸς Ἀλέξανδρόν φησιν ἀπὸ Λαρίνου τινὸς βουκόλου ταύτην αὐτοὺς τὴν προσηγορίαν ἐσχηκέναι. εἰσὶ δέ τινες, οἳ παρὰ τὸν λάρον ἀξιοῦσιν αὐτοὺς οὕτω καλεῖσθαι, οἱ δὲ τὴν ρι συλλαβὴν δασύνουσιν. ἵν᾽ ᾖ λαρινοὺς τοὺς μεγαλορίνους. ἐν δὲ τῇ Χαονίᾳ φασὶ τοιούτους εἶναι βοῦς. οὓς καὶ κεστρίνους καλοῦσιν. Ἄλλως. Μεγάλῳ καὶ εὐτραφεῖ. τοὺς δὲ ἠπειρωτικοὺς βοῦς, οὕτω λέγουσιν ἀπό τινος Λαρινοῦ βουκόλου, παραλαβόντι παρὰ Ἡρακλέους τοὺς Γηρυόνου βοῦς. καὶ θρέψαντος εἰς εὐεξίαν. τοῦτο δὲ Ἡρωδιανὸς ὀξύνει ἐν τῷ ζ´. τῆς καθόλου. λαρινὸς ὡς ἀληθινός. ὥστε περισπαστέον τὴν δοτικὴν λαρινῷ.

Ρ ροσκινήσεται. ὅρα τὸ ἀστεῖον δίον. δῆλον γάρ ἐστιν ὁ διὰ τῆς προσῆς λέγει. Κ άμπαις συστροφαῖς. καὶ κάμπιος δρόμος οὐκ εὐθὺς καὶ ἁπλοῦς. ἀλλὰ καμπὰς ἔχων. Ἀλλ' ὦ πρυτάνεις. τοῖς πρυτάνεσιν ἔθος ἦν. προάγειν τοὺς δεομένους εἰς τὴν βουλήν. καὶ δῆλον ὅτι ἐδωροδοκοῦντο παρὰ τῶν χρηζόντων προσελθεῖν. καὶ εἰ μέν τις αὐτοὺς ἐχρημάτιζε προθύμως συνεπελαμβάνοντο. τοὺς δὲ προῖκα προσιέναι θέλοντας, οὐκέτι μετ' ἴσης προθυμίας προσῆγον. σκώπτει γοῦν αὐτοὺς λήμματος.

φυσῶντα καὶ πνέοντα προσκινήσεται.
ἕτεροι δὲ κείσονταί γ' ἀπεψωλημένοι.
ὑπὸ δὲ ταῖσι κάμπαισ ἡνίοχοι πεπτωκότες.
ἀλλ' ὦ πρυτάνεις· δέχεσθε τὴν θεωρίαν.
ἴδ' ὡς προθύμως ὁ πρύτανις παρεδέξατο.
ἀλλ' οὐκ αὖ εἴ τι προῖκα προσαγαγεῖν σ' ἔδει.
ἀλλ' εὗρον αὖ σ' ὑπέχοντα τὴν ἐκεχειρίαν.
Χο. ἦ χρηστὸς ἀνὴρ πολί-
της ἐστὶν ἅπασιν. ὅς
τις γ' ἐστὶ τοιοῦτος.
Τρ. ὅταν τρυγᾶτ' εἴσεσθε πολλῷ μᾶλλον οἷός εἰμι.
Χο. καὶ νῦν σύ γε δῆλος εἶ
σωτὴρ γὰρ ἅπασιν ἀν-

Ἀλλ' οὐκ αὖ ἔτι προῖκα. τοῖς πρυτάνεσιν ἔθος προσάγειν τοὺς δεομένους προσόδου ἐν τῇ βουλῇ. καὶ ἐδωροδοκοῦντο δὲ παρὰ τῶν δεομένων. τὴν δὲ ἐκεχειρίαν ἅμα μέν, ὡς προφασιζομένων ὅτι ἐκεχειρία ἐστὶν οὐ δυνάμεθα τήμερος προσαγεῖν. καὶ μὴ προσαγόντων τῇ βουλῇ καὶ μὴ δεδωκότων αὐτοῖς τοῖς δεομένοις. ἅμα δὲ πρὸς τὸ ὑπάρχειν τὰς χεῖρας ἐπὶ τὸ λαβεῖν. ἀναβάλλονται γὰρ ἐπὶ τῶν μηδὲν διδόντων. οὕτως. ἐκεχειρία δὲ ἡ ἀνοχὴ τοῦ πολέμου παρὰ τὸ ἀπέχειν τὰς χεῖρας. νῦν δὲ ἀπέχειν τὰς χεῖρας. νῦν δὲ παίζει τὸ ἔχειν τι τῇ χειρὶ παρὰ τῶν δεομένων. Ἀλλ' εὗρον αὖ σ' ὑπέχοντα. ἀλλὰ κατέλαβόν σε ὑπέχοντα ἑτοίμην χεῖρα πρὸς τὸ λῆμμα. ἐπειδὴ ἐκεχειρίαι τότε πρὸς τοὺς Λάκωνας ἦσαν αὐτοῖς. πρὸς τοῦτο ἔπαιξεν. ἅμα δὲ καὶ σκώπτων αὐτούς. ὡς ἥττους λήμματος. Τὴν ἐκεχειρίαν. ἐκεχειρία ἡ ἀνοχή. ὅτι δεῖ τὰς χεῖρας ἐπέχειν τῶν ἔργων. νῦν δὲ παίζει πρὸς τὸ ἔχειν τι ἐν τῇ χειρί. παρὰ τὴν χεῖρα δὲ παίζει. ἐπεὶ εἰώθασι λέγειν. ἐκεχειρία ἐστίν, οὐ δυνάμεθα σήμερον εἰσάγειν. Ἦ χρηστὸς ἀνήρ. ἰδοὺ ἡ ἀντιστροφὴ τοῖς εὐδαιμονικῶς στροφῆς ἀλλὰ τοσαύτη ἐκείνη καὶ τὸ κατὰ περικοπὴν ἔχουσα σύστημα. ἐπὶ τῷ τέλει ἀμφοτέρωθεν ἔξω διπλαῖ τῆς ἀντιστροφῆς. τὰ γὰρ τετράμετρα τῶν ἰαμβείων παραγράφῳ περατοῦται. Πολίτης ἐστίν. οὔτε συμπολίτην, οὔτε συνδημότην λέγουσιν. ὁ μέντοι Εὐριπίδης προλόγῳ ὦ ἐμπολῖται τῇ τε βοσκούσῃ χθονὶ καὶ τῇ τεκούσῃ νῦν τιν' ἀρκέσαι χρεών. Λεπαστήν. εἶδος ποτηρίου μεῖζον ἢ κύλιξ. οὕτω Σύμμαχος. ὁ δὲ Παλαμήδης τὸ πιθάριον ἐκδέχεται. Δημότην. δημοτικόν.

τῶν αὐτῶν εἰς τὸ ἀφωρισμένον πεδίον ἐπὶ τὸ μονομαχῆσαι. ὁ μελάνθιος δόλῳ ἀναιρεῖ τὸν ξάνθον. προσιόντι γὰρ αὐτῷ ἔφη. ἀδικεῖς ὦ ξάνθε μόνος φήσας παραγενέσθαι. καὶ δεύτερος παραγενόμενος. ἐφ' ᾧ στραφεὶς ὁ ξάνθος, ὡς θεασόμενος τὸν ἥκοντα, ἐτρώθη παρὰ μελανθίου καὶ ἀπώλετο. ἀφ' οὗ καὶ τὴν ἑορτὴν ἀθηναῖοι ταύτην ἄγουσιν ἀπὸ τῆς ἀπάτης μελανθίου, ἀπατούρια προσαγορεύσαντες. τινὲς δέ φασι παραστῆναι τῷ ξάνθῳ σὺν ἀγροικικῷ σχήματι. ὃν θεασάμενος μελάνθιος,

καταθήσομαι γὰρ εἰς μέσους αὐτοὺς ἄγων.
Θε. ἐκεινοσὶ νεύει. Τρ. τίς; Θε. ὅστις; ἀριφράδης.
ἄγειν παρ' αὐτὸν ἀντιβολῶν. Τρ. ἀλλ' ὦ μέλε.
τὸν ζωμὸν αὐτῆς προσπεσὼν ἐκλάψεται.
ἄγε δὴ σὺ κατάθου πρῶτα τὰ σκεύη χαμαί.
βουλή. πρυτάνεις. ὁρᾶτε τὴν θεωρίαν;
σκέψασθ' ὅσ' ὑμῖν ἀγαθὰ παραδώσω φέρων.
ὥστ' εὐθέως ἄραντας ὑμᾶς τὼ σκέλη
ταύτης μετέωρα καταγαγεῖν ἀνάρρυσιν.
τουτὶ δ' ὁρᾶτε τοὐπτάνιον ὑμῖν ὡς καλόν.
διὰ ταῦτα καὶ κεκάπνικ' ἄρ' ἐνταῦθα γὰρ
πρὸ τοῦ πολέμου τὰ λάσανα τῇ βουλῇ ποτ' ἦν.
ἔπειτ' ἀγῶνά γ' εὐθὺς ἐξέσται ποιεῖν
ταύτην ἔχουσιν αὔριον καλὸν πάνυ
ἐπὶ γῆς παλαίειν. τετραποδηδὸν ἑστάναι.
καὶ παγκράτιόν γ' ὑπαλειψαμένοις νεανικῶς.
παίειν. ὀρύττειν. πὺξ ὁμοῦ καὶ τῷ πέει;
τρίτῃ δὲ μετὰ ταῦθ' ἱπποδρομίαν ἄξετε.
ἵνα δὴ κέλης κέλητα παρακελητιεῖ.
ἅρματα δ' ἐπ' ἀλλήλοισιν ἀνατετραμμένα.

τὰ εἰρημένα διεπράξατο. ὅθεν καὶ αὐτῷ ἦγον τὴν ἑορτὴν ταύτην. Τοὐπτάνιον. τὸ μαγειρεῖον, ὅπου τῇ βουλῇ σκευάζεται μετὰ τὰς θυσίας κρέα ὅπερ καὶ μᾶλλον τὸ αἰδοῖον αὐτῆς δείκνυσι. τὸ κεκάπνικε δὲ, ἐπειδὴ μέλαν ἐστὶ διὰ τὰς τρίχας, καὶ αὐτὴ διαφορεῖ ἡ ἐξήγησις τῶν λεγόντων αὐτὴν ἀποπυγματίσαι ἣν καὶ ἐπλάσαντο τὴν ἄλλην μὴ νοήσαντες. Καὶ κεκάπνικ᾽. ὡς ἀποπυγματισάσης δ' δὲ κεκάπνικεν. ὡς ἐπὶ ὀπτανίου. Τὰ λάσανα. ὅτι οὕτως οἱ χυτρόποδες. ἐπὶ δὲ ὅτε τὸ ὀπτανεῖον, ἐπήγαγε καὶ τὰ λάσανα. δηλοῖ δὲ τοὺς δασεῖς αὐτῆς μηρούς. δηλοῖ δὲ, καὶ τὰ μαγειρεῖα. ὅπου τῇ βουλῇ σκευάζεται μετὰ τὰς θυσίας κρέα. Ἐξέσται ποιεῖν οὐδὲν εὐφυέστερον τῆς παρενθέσεως. ἵνα ἐπὶ πλέον χρήσασθαι δυνηθῇ τοῖς μέσοις ῥήμασιν. Ἐπὶ γῆς παλαίειν. ἅπαντα ὡς ἐπὶ συνουσίας σχημάτων καὶ θεωρίας. Πὺξ ὁμοῦ παρὰ τὸ λεγόμενον πὺξ ὁμοῦ καὶ τῷ σκέλει. παρὰ προσδοκίαν οὖν. ἀντὶ τοῦ τῷ σκέλει. δεικνύς τι τὰ μὲν. ὡς ἐπὶ παλαισμάτων. τὰ δὲ ὡς ἐπὶ γυναικείαν σχημάτων. Ἱπποδρομίαν, τὸ γὰρ παλαιόν. ταῖς ὑστέραις ἡμέραις τὰς ἱπποδρομίας ἦγον ἐν τοῖς ἀγῶσι. Κέλης κέλητα. παρὰ τὴν συνουσίαν καὶ τοὺς κέλητας ἵππους οἵ εἰσι μονάτορες. Ἅρματα. ἀντὶ τοῦ εἰπεῖν σώματα. περικείμενα ἀλλήλων, ἅρματα ἅπερ τῇ δὲ τρίτῃ, ἐν ἀπατουρίοις, ἱπποδρομία ἄγεται.

αἴθριον ἀστὴρ, παίζει. Οἱ καόμενοι. οἱ σπινθηρίζοντες. οἱ καλούμενοι διάπυροι ὄντες. οἱ ἐν τῷ λάμπειν τοὺς σπινθῆρας πέμποντες. Ἴπνους. οὓς νῦν ἡμεῖς λαμπτῆρας ἢ φανοὺς καλοῦμεν τοὺς δὲ νῦν φανοὺς καλουμένους λύχνους, τινάς φασι λέγειν τῶν παλαιῶν. τὰς δὲ λαμπάδας, τοὺς τραγικοὺς, φανοὺς, ἢ πανοὺς διὰ τοῦ π. Ταυτηνὶ λαβών. ἐλέγετο ὅτι δύο πόρνας εἶχε τῇ εἰρήνῃ συναφθείσας τήν, τε ὀπώραν καὶ τὴν θεωρίαν ὧν τὴν μὲν ὀπώραν, ἔδωκε τοῖς γεωργοῖς. τὴν δὲ βουλὴν τῇ θεωρίᾳ, τούτων οὖν τὴν μὲν ὀπώραν τοῖς οἰκέταις ὁ τρυγαῖος δίδωσιν ἀπάγειν εἰς τὴν οἰκίαν. ὡς αὐτὸς αὐτὴν γαμήσων. καὶ παρακελεύεται τὰ πρὸς τοὺς γάμους αὐτῆς εὐτρεπίσαι. τὴν δὲ θεωρίαν αὐτός φησιν ἀπομόσας, δώσειν τῇ βουλῇ. ἴσως δὲ ἡ εἰρήνη, ἐν τῷ οὐρανῷ ἔμενεν. Πορνοβοσκοῦσι. πιθανῶς ἐδήλωσεν, ὅτι πόρναι ἦσαν, ἡ ὀπώρα καὶ ἡ θεωρία. Οὐκ ἀλλά. οὐχ ὡς ἐναντία ἀποφάσει ἀλλ' ὡς εἰ εἶπεν οὐχὶ κἀκεῖ τινες εἰσὶν ἀπὸ τούτου. ἐπεὶ πῶς ἀπαρνησάμενος συντίθεται

οἱ καόμενοι θέουσιν. Τρ. ἀπὸ δείπνου τινὲς
τῶν ἀστερίων οὔπι βαδίζουσ' ἀστέρων.
ἴπνους ἔχοντες. ἐν δὲ τοῖς ἰπνοῖσι πῦρ.
ἀλλ' εἴσαγ' ὡς τάχιστα ταυτηνὶ λαβὼν
καὶ τὴν πύελον κατάκλυζε. καὶ θέρμαιν' ὕδωρ.
στόρνυτέ μοι καὶ τῇδε κουρίδιον λέχος.
καὶ ταῦτα δράσας, ἧκε δεῦρ' αὖθις πάλιν.
ἐγὼ δ' ἀποδώσω τήνδε τῇ βουλῇ πέως.

Θε. πόθεν δ' ἔλαβες ταῦτα σύ. Τρ. πόθεν ἐκ τοὐρανοῦ
Θε. οὐκ ἂν ἔτι δοίην τῶν θεῶν τριώβολον.
εἰ πορνοβοσκοῦσ' ὥσπερ ἡμεῖς οἱ βροτοί.
Τρ. οὔκ. ἀλλὰ κἀκεῖ ζῶσιν ἀπὸ τούτων τινές.
Θε. ἄγε νῦν ἴωμεν. εἰπέ μοι δῶ καταφαγεῖν
ταύτῃ τί; Τρ. μηδέν. οὐ γὰρ ἐθελήσει φαγεῖν.
οὔτ' ἄρτον. οὔτε μᾶζαν. εἰωθυῖ' ἀεὶ
παρὰ τοῖς θεοῖσιν ἀμβροσίαν λείχειν ἄνω.
Θε. λείχειν; ἄρ' αὐτῇ καὶ κἀνθάδε σκευαστέον.
Χο. εὐδαιμονικῶς γ' ὁ πρεσ-
βύτης ὅσα γ' ὧδ' ἰδεῖν,
τανῦν τάδε πράττει.
Τρ. τί δῆτ' ἐπειδὰν νυμφίον μ' ὁρᾶτε λαμπρὸν ὄντα.
Χο. ζηλωτὸς ἔσει γέρον

πάλιν. Ἄγε νῦν. ὁ θεράπων λέγει τῇ ὀπώρᾳ. εἶτα ἐρωτᾷ τὸν δεσπότην περὶ τῆς ὀπώρας. Λείχειν ἄνω. τοῦτο καὶ τὸ ἑξῆς διὰ τὸ κακέμφατόν τινες παραιτοῦνται. ὅτι ἐπαμφοτεριζόντως λέλεκται καὶ πρὸς τὸ πρᾶγμα καὶ πρὸς τὸ ἀσελγές. Κανᾶ. κανίσκια. Εὐδαιμονικῶς. στροφὴ ἀμοιβαία κώλων ζ΄. ἔχει δὲ καὶ ἀντιστροφὴν τὸ ἦ χρηστὸς ἀνήρ. καὶ εἰσὶ τοῦ μὲν χοροῦ τὰ κῶλα ἰωνικὰ ἀπὸ μείζονος. τὰ μὲν β΄. δίμετρα ἀκατάληκτα. τὸ δὲ γ΄. ἡμιόλιον. ὁ δὲ τοῦ ὑποκριτοῦ στίχος. ἰαμβικὸς τετράμετρος καταληκτικός. καὶ

θέτοις εἶναι παρ᾽ αὐτοῖς. Ἀναβολάς. τὰς ἀρχὰς τῶν ᾀσμάτων. ὅμηρος. ἤτοι ὁ φορμίζων, ἀνεβάλλετο καλὸν ἀείδειν. Τὰς ἐνδιαεριαυερινηχέτους. κωμῳδεῖ τοὺς διθυραμβοποιούς. ὡς ἀπὸ τοῦ ἀέρος ἀρχομένους καὶ λέξεις τινὰς αὐτῶν διαβάλλει. ὡς τοιαῦτα λεγόντων. δίδυμος δὲ πεπλάνηται λέγων ἀερινηχέτους. οὐ γὰρ λέγουσιν αὔρα οὗτοι. συνεχῶς δὲ αὐτοὺς κωμῳδοῦσιν ὡς αὔρας καὶ νεφέλας. καὶ τὰ ἐκ τούτων σύνθετα ποιοῦντας. μήποτε δὲ οὐκ ἀορίστως μόνον, ἀλλὰ καί τινας τῶν διθυραμβοποιῶν λέξεις χλευάζει. Ἄλλως τὰ προοίμια τῶν διθυραμβοποιῶν, ὡς αὐτὸ τὸ σημεῖον ἀπᾷδον γάρ ἐστι. καὶ οὐδὲν πρὸς τὸ πρᾶγμα δηλοῖ. τὸ δὲ τοιοῦτον μετεώρων ἀνδρῶν. Ἴων ὁ Χῖος. διθυράμβων καὶ τραγῳδίας καὶ μελῶν ποιητής. ἐποίησε δὲ ᾠδήν. ἧς ἡ ἀρχή, ἀοῖον ἀεροφοίταν ἀστέρα μείνομεν ἀελίου λευκῇ πτέρυγι πρόδρομον. φαίνεται δὲ τετελευτηκὼς ἐκ τούτων. παίζων οὖν ὁ ἀριστοφάνης, ἀοῖον αὐτόν φησιν ἀστέρα κληθῆναι. περιβόητος δὲ ἐγένετο. ἔγραψε δὲ καὶ κωμῳδίας καὶ ἐπιγράμματα καὶ παιᾶνας καὶ ὕμνους. καὶ σκολιά. καὶ ἐλεγεῖα. καὶ καταλογάδην τὸν πρεσβευτικὸν λεγόμενον. ὃν νόθον ἀξιοῦσί τινες εἶναι οὐχὶ αὐτοῦ. φαίνεται δὲ αὐτοῦ καὶ κτίσις. καὶ κοσμολογικός. καὶ ὑπομνήματα. καὶ ἄλλα τινά. καὶ πάνυ δόκιμος ἦν. φασὶ δὲ αὐτὸν ὁμοῦ διθύραμβον καὶ τραγῳδίαν ἀγωνισάμενον ἀθήνησι καὶ νικήσαντα, ἑκάστῳ τῶν ἀθηναίων δοῦναι χῖον κεράμιον. υἱὸς δὲ ἦν ὀρθομένους ἐπίκλησιν δὲ ξούθου. ἤρξατο δὲ τὰς τραγῳδίας διδάσκειν ἐπὶ τῆς ὀγδοηκοστῆς δευτέρας ὀλυμπιάδος. δράματα δὲ αὐτοῦ δώδεκα. οἱ δὲ τριάκοντα. ἄλλοι δὲ τεσσαράκοντα φασίν. Ὡς δ᾽ ἦλθεν. ἐνθάδε, ἀντὶ τοῦ εἰς τὸν οὐρανὸν ἀπέθανεν. Ἀοῖον αὐτόν. ὅτι μὲν Ἴων ἤδη τέθνηκε, δῆλον. οὐκ ἄδηλον δέ ἐστιν. ὅτι πρὸς τὸ ὑπ᾽ αὐτοῦ ἔν τινι τῶν διθυράμβων λεγόμενον τὸ

Θε. τί δ᾽ ἔπαθες; Τρ. ἤλγουν τὼ σκέλη μακρὰν ὁδὸν
διεληλυθώς. Θε. ἴθι νυν κάτειπέ μοι. Τρ. τὸ τί.
Θε. ἄλλον τιν᾽ εἶδες ἄνδρα κατὰ τὸν ἀέρα,
πλανώμενον πλὴν σαυτόν; Τρ. οὐκ. εἰ μή γέ που
ψυχὰς δύ᾽ ἢ τρεῖς διθυραμβοδιδασκάλων.
Θε. τί δ᾽ ἔδρων. Τρ. ξυνελέγοντ᾽ ἀναβολὰς ποτώμεναι.
τὰς ἐνδιαεριαυερινηχέτους τινάς.
Θε. οὐκ ἦν ἄρ᾽ οὐδ᾽ ἃ λέγουσι κατὰ τὸν ἀέρα;
ὡς ἀστέρες γινόμεθ᾽ ὅταν τις ἀποθάνῃ;
Τρ. μάλιστα. Θε. καὶ τίς ἐστιν ἀστὴρ νῦν ἐκεῖ.
Τρ. Ἴων ὁ Χῖος. ὅσπερ ἐποίησε πάλαι.
ἐνθάδε τὸν ἀοῖόν ποθ᾽ ὡς τε γ᾽ εὐθέως,
ἀοῖν αὐτὸν πάντες ἐκάλουν ἀστέρα.
Θε. τίνες γάρ εἰσ᾽ οἱ διατρέχοντες ἀστέρες.

Ἄμφω. τινὲς γράφουσιν εἰς τὸ ἄμφω. ὅτι τραγικοὶ ἀμφότεροι, μελάνθιος καὶ ὁ τούτου ἀδελφὸς, δῆλον. τὸ δὲ γοργόνες καὶ ὀψοφάγοι, ἀντὶ μελανθίου μόνου. τοιοῦτος γὰρ οὗτος διαβάλλεται. τινὲς δὲ εἰς δ' εἶχον στίζουσιν. ἵνα μελάνθιος μὲν ἔχῃ τὸν χορόν. ἀμφότεροι δὲ ὦσιν ὀψοφάγοι. Βατιδοσκόποι. βάτις εἶδος ἰχθύος. ἢ καθόλου οἱ ἰχθύες. ἅρπυιαι δὲ, ἅρπαγες τῶν ἰχθύων. ἅρπυια γὰρ, ἁρπακτικὸν ζῶον. Γραοσόβαι. ἀπὸ τῶν ἰχθύων ἀποσοβοῦντες γραΐδας. ὡς μὴ ἀγοράζειν. ἢ γραὶ συγκοιμάμενοι σοβάδας γὰρ τὰς πόρνας λέγουσιν ἀλλὰ πόλις. παρὰ τὴν δὲ σὺ τὴν σοβάδι κατηγοροῦ ὡς γραοφίλους δὲ αὐτοὺς εἰσάγει. καὶ περὶ γραῶν ἐρωτοπληροῦμένους ἀντὶ τοῦ γραῶν ὀχλοῦντας.

Τραγομάσχαλοι. δύσοσμοι. οἱ γὰρ ἄρρενες τῶν αἰγῶν, τοιοῦτοι.

Ἰχθυολῦμαι. οἱ γὰρ ἀθηναῖοι τοὺς ἰχθύας εἶχον ὡς μέγα ἔδεσμα.

φός τι καὶ αὐτὸς ἄμφω.
Γοργόνες ὀψοφάγοι.
βατιδοσκόποι. ἅρπυιαι.
Γραοσόβαι. μιαροὶ,
τραγομάσχαλοι
ἰχθυολῦμαι.
ὧν καταχρεμψαμένη
μέγα καὶ πλατὺ
μοῦσα θεά, μετ' ἐμοῦ
ξυμπαιζε τὴν ἑορτήν.
Τρ. ὡς χαλεπὸν ἦν ἐλθεῖν ἄρ' εὐθὺ τῶν θεῶν.
ἔγωγέ τοι πεπόνηκα κομιδῇ τὰ σκέλη.
μικροὶ δ' ὁρᾶν ἄνωθεν ἦστ' ἔμοιγέ τοι,
ἀπ' οὐρανοῦ φαίνεσθε κακοήθεις πάνυ.
ἐντευθενὶ δὲ, πολύ τι κακοηθέστεροι.
Θε. ὦ δέσποθ' ἥκεις; Τρ. ὡς ἔγωγ' ἐπυθόμην τινός.

Καταχρεμψαμένη. μέγα καταπτύσασα αὐτῶν ὦ μοῦσα τῶν προειρημένων ποιητῶν καὶ τῶν παίδων τοῦ καρκίνου. Ὡς χαλεπόν. κορωνίς. προϊᾶσι γὰρ οἱ ὑποκριταί. καὶ τὰ πρῶτα ἰαμβικὰ τρίμετρα ἀκατάληκτα. λγ'. ἐπὶ τῷ τέλει κορωνίς. ὁ τρυγαῖος δέ ἐστι κατελθὼν ἐκ τοῦ οὐρανοῦ, καὶ λοιπὸν τῇ οἰκίᾳ πλησιάσας, καὶ τὸν κόπον. ὃν ὑπέστη, διηγεῖται. Κακοήθεις πάνυ. ἀνθυπήλλαξεν. ἀντὶ τοῦ εἰπεῖν μικρότεροι. παρ' ὑπόνοιαν διαβάλλων ἀθηναίους ὡς κακουργεῖν ἑτοίμους. δοκεῖ, δὲ καὶ τοῖς ἄνω τὰ κάτω μικρὰ φαίνεσθαι. Ἐπυθόμην τινός. ἀντὶ τοῦ εἰπεῖν ὡς νομίζω, ὡς περὶ ἄλλου φησί. Ψυχὰς δύ' ἢ τρεῖς. διαβάλλει αὐτοὺς ὡς μετεώρους. ἐπεὶ περὶ τῶν νεφελῶν λέγουσι πολλά. συνεχῶς δὲ κωμῳδοῦσι τοὺς διθυραμβοποιούς. ὡς ἐκ τοῦ καὶ ἀέρος, τῶν νεφελῶν σπῶντας τὰς λέξεις. διὰ τὸ συν/

Τοιάδε χρὴ Χαρίτων. τῇ στροφῇ ἀποδέδωκε τὴν ἀντίστροφον. πάλιν γὰρ αὐτὸν τὸν οἰκεῖον ἐπανέδραμεν ἔπαινον. φάσκων ὅτι διὰ ταῦτα πάντα χρὴ τοὺς θεατὰς μετὰ πάσης εὐνοίας ἀποδέχεσθαι τὰ ὑπ' αὐτοῦ ποιήματα. εἴδομεν οὖν τὴν στροφὴν πῇ ἐστι, καὶ πῶς τὴν ἀντιστροφὴν ἐπήγαγε. κἀν ταῖς νεφέλαις δὲ εἴπομεν. ὅτι δεῖ πάντως ἀνταποδίδοσθαι τῇ στροφῇ τὴν ἀντίστροφον. εἶτα ἀμφοτέροις ἐπαγαγεῖν τὸν ἐπῳδόν. ἐκ τούτων γὰρ τὰ χορικὰ συνέσταται, στροφῆς. ἀντιστρόφου, ἐπῳδοῦ. ἀντίστροφος δὲ εἴρηται διὰ τὸ ἀναστρέφειν ἐπὶ τὸν ἐξ ἀρχῆς νοῦν τοῦ λόγου μεταξὺ λεγομένων τῶν περιττῶν. καὶ ὥσπερ ἐντεθειμένων καὶ δυναμένων ὑπεξαιρεῖσθαι. οὐδὲν ἧττον τῆς ἀκολουθίας σωζομένης. ἔχει δὲ οὕτως ἀνδρῶν τ' ἐς δαῖτας καὶ θαλίας μακάρων. σοὶ γὰρ τάδ' ἐξ ἀρχῆς μέλει. εἶτα, τοιάδε χρὴ Χαρίτων. διὰ μέσου δὲ τὰ περὶ τῶν Καρκίνου παίδων. ἔστι δὲ παρὰ τὰ Στησιχόρου ἐκ τῆς Ὀρεστείας. τοιάδε χρὴ Χαρίτων δαμώματα καλλικόμων ὑμνεῖν, Φρύγιον μέλος ἐξευρόντα ἁβρῶς ἦρος ἐπερχομένου. δαμώματα δέ, τὰ δημόσια ᾀδόμενα.

τοιάδε χρὴ Χαρίτων
δαμώματα καλλικόμων
τὸν σοφὸν ποιητὴν
ὑμνεῖν. ὅταν ἠρινὰ μὲν
φωνῇ χελιδὼν
ἑζομένη κελαδῇ
χορὸν δὲ μὴ 'χῃ Μόρσιμος.
μηδὲ Μελάνθιος. οὗ δὴ
πικροτάτην ὄπα γηρύ-
σαντος ἤκου-
σ' ἡνίκα τῶν τραγῳδῶν
τὸν χορὸν εἶχον ἀδελ-

Ὅταν ἠρινή. καὶ αὕτη πλοκὴ Στησιχόρειος. φησὶ γὰρ οὕτως ὅταν ἦρος ὥρᾳ κελαδῇ χελιδών. Μόρσιμος μηδὲ Μελάνθιος. τραγικοὶ ποιηταὶ ἀμφότεροι. ὁ δὲ Μόρσιμος Φιλοκλέους τοῦ τραγικοῦ υἱός, πονηρὸς καὶ ἄμετρος. ὁ δὲ Μελάνθιος κωμῳδεῖται εἰς μαλακίαν καὶ ὀψοφαγίαν. καὶ πολὺ μᾶλλον ἐν τοῖς Κόλαξιν. Εὔπολις, ὡς κίναιδον αὐτὸν διαβάλλει καὶ κόλακα. ἀλλὰ καὶ ὡς λευκὰς ἔχοντα καὶ λεπράς Ἀριστοφάνης ἐν Ὄρνισιν ὡς οὐκ ἰδὼν βδελύττομαι τὸν λέπρεον ἀπὸ Μελανθίου. Ἀδελφός τε καὶ αὐτός. ὡς καὶ τοῦ ἀδελφοῦ τοῦ Μελανθίου τραγικοῦ ὄντος ἀσήμου. εἰς τὸ αὐτὸ. δέχονταί τινες ὡς καὶ τοῦ ἀδελφοῦ τοῦ Μελανθίου τραγικοῦ ποιητοῦ ὄντος. ἀσήμου δέ. οὐκ ἀνάγκη δὲ διαιρεῖν καὶ ποιεῖν, πρὸς τό, τὸν χορὸν ἔχειν τό, ἀδελφός τε καὶ αὐτός. ἀλλὰ τὰ μὲν πρῶτα, ἰδίᾳ περὶ τοῦ Μελανθίου μέχρι τοῦ χοροῦ εἶπεν. ἀπ' ἄλλης δὲ ἀρχῆς. περί τε αὐτοῦ καὶ τοῦ ἀδελφοῦ, τὰ εἰς ὀψοφαγίαν. ὅτι καὶ ὁ Μελάνθιος ὀψοφάγος, προείρηται δὲ παρ' Εὐπόλιδι ἐν Ἀστρατεύτοις.

γας ἐκτείνεται. νῦν δὲ διὰ τὸ μέτρον συνέσταλται. Γυλιαύχενας. αὐχένας οὐκ ἔχοντας. ὥσπερ ὁ γύλιος. ὡς μικροὺς δὲ καὶ γογγυλώδεις σκώπτει. ἐχόρευον δὲ οὗτοι τῷ πατρί. Ἄλλως. μακροτραχήλους. γύλιος γάρ, πλέγμα ἐστὶ στρατιωτικὸν ἐπιμήκες. τουτέστιν εἰς ὀξὺ λῆγον. κολοβοὺς οὖν εἰκὸς εἶναι τὸ ὅλον σῶμα. καὶ μόνον τὸν τράχηλον μακρόν. Ἄλλως. γύλιος πλεκτόν τι σκεῦος στρατιωτικόν. στενόστομον. ἐν ᾧ τὰ σιτία ἐμβάλλουσι. διαβάλλει δὲ αὐτούς, ὡς λεπροὺς καὶ λεπτούς. καὶ μακροὺς τραχήλους ἔχοντας. ἐν τοῖς ἀποφερομένοις δὲ ἐξηγήσεται, ὅτι ἐστὶ τὸ γυλιαύχενας. ὀρχηστὰς δέ, εἰσέφερε γὰρ αὐτοὺς ὁ πατὴρ ἐν τοῖς δράμασιν ὀρχουμένους. Ναννοφυεῖς. νάνοι γὰρ λέγονται, οἱ κολοβοὶ τῶν ἀνθρώπων, οἱ δὲ κολοβοὶ τῶν ἵππων, γάννοι λέγονται.

γυλιαύχενας ὀρχηστὰς
ναννοφυεῖς, σφυράδων
ἀποκνίσματα.
μηχανοδίφας.
καὶ γὰρ ἔφασχ' ὁ πατὴρ
ὅ παρ' ἐλπίδας
εἶχε τὸ δρᾶμα, γαλῆν
τῆς ἑσπέρας ἀπάγξαι

Σφυράδων ἀποκνίσματα. ταπεινούς, καὶ μικρούς. οὐδὲ ὅλας σφυράδας. σφυράδες δέ εἰσι, τὰ τῶν αἰγῶν καὶ προβάτων ἀποπατήματα. δύσπολις αἰξί, σφυράδων πολλῶν ἀναμέστη. ἡ δὲ σφυρὰς κυάμου ἔχει τὸ μέγεθος. ταύταις οὖν ἀπεικάζει αὐτούς. μᾶλλον δὲ οὐδὲ ταύταις. ἀλλὰ τοῖς ἀποκνίσμασιν αὐτῶν καὶ ἀποτμήμασιν εὐτελίζει οὖν αὐτοὺς διὰ τὸ βραχύ. ἡ γὰρ τοῦ μικροῦ μερὶς μικρά, οὐδὲν εἴη.

Μηχανοδίφας. ἀπὸ μέρους τοῦτο. ξενοκλῆς γὰρ ὁ καρκίνου, δοκεῖ μηχανὰς καὶ τερατείας εἰσάγειν ἐν τοῖς δράμασι. πλάτων σοφισταῖς. ξενοκλῆς ὁ δωδεκάμηχανος ὁ καρκίνου παῖς τοῦ θαλαττίου. μηχανοδίφας δὲ εἶπεν αὐτούς, ἐπειδὴ πολλάκις ὡς τραγῳδοὶ μηχανὰς προσέφερον. ἡνίκα θεοὺς ἐμιμοῦντο ἀνερχομένους ἢ κατερχομένους ἐκ τοῦ οὐρανοῦ. Ὃ παρ' ἐλπίδας. τοῦτο πρὸς τὸ ἄνω. μή τ' ἔλθῃς αὐτοῖς συνέριθος. καὶ γὰρ εἶχεν ὁ πατὴρ γαλῆν τινα τῆς ἑσπέρας ἀπάγξαι τὸ δρᾶμα αὐτοῦ ὅπερ εἶχε παρὰ προσδοκίαν. τουτέστιν ὃ μετὰ μόσχου συνεγράψατο. διαβάλλει δὲ αὐτὸν ὡς νόθον περὶ τὰ κλέμματα. δρᾶμα δὲ ἐποίησε τοὺς μύας. διὰ τοῦτο καὶ γαλῆν εἶπεν ἀπάγξαι. Γαλῆν τῆς ἑσπέρας. ἀντὶ τοῦ ὑπὸ τῆς γαλῆς τὸ δρᾶμα ἀπαγχθῆναι. δρᾶμα δὲ ποιήσας ὁ καρκίνος ἢ ὁ ξενοκλῆς παρῆλθε μέγα καυχώμενος ἐπ' αὐτῷ καὶ παρελθὼν ἡττήθη. ὡς ἡττηθέντος οὖν εἶπεν, ἐν ᾧ μεγάλας ἐλπίδας εἶχε δρᾶμα. ἐπειδὴ δὲ αἱ γαλαῖ τοὺς μῦς νυκτὸς πνίγουσι, παρὰ τοῦτο παίζει.

TT iiii

Καὶ μὴ ἀφαίρει γενναιότατου μηδὲν ἀφαίρει τῶν προκειμένων· ἀλλὰ πάντα παρά/θες. ὁ δὲ σχῆμα, ἀττικὸν τὸ, γενικὴν εἰπεῖν ἀντὶ αἰτιατικῆς. ὡς νῦν εἶπε τῶν τρωγαλίων· ἀντὶ τοῦ τὰ τρωγάλια. Μοῦσα σὺ μὲν πολέμους. τὸ χ, πρὸς τὴν ἀλλαγὴν τοῦ μέτρου. αὕτη δὲ τροχή ἐστι καὶ ἔλαβεν· σφόδρα δὲ γλαφυρὸν εἴρηται. καὶ ἔστι στησιχόρειον. Μοῦσα σὺ μέν. ἡ ᾠδὴ αὕτη καὶ στροφὴ κώλων ἐστὶ κβ΄, τοσούτων δὲ καὶ ἡ ἀντῳδὴ καὶ ἀντιστροφή· οὐ γὰρ διῄρηνται· ἀλλ' ἐχόμεναι εἰσὶν ἀλλήλων· ἐπεὶ οὐκ εἶται μεταξὺ τὸ ἐπίρρημα. τὰ μὲν οὖν· α΄ ς΄ ιδ΄. ιϛ΄. ιθ΄. κα΄. δακτυλι/κὰ πενθημιμερῆ· τὰ δὲ β΄ δ΄· προσῳδιακὰ δίμετρα ἀκα/τάληκτα ἐκ παίω/νος β΄. καὶ χοριάμ/βου. τὸ δὲ γ΄. τρο/χαϊκὸν ἰθυφαλλι/κόν. τὸ ε΄. ἰαμβικὸν πενθημιμερές. τὸ δὲ ζ΄. ἀκατάληκτον δίμετρον. τὰ η΄. θ΄. ια΄. δακτυλικὰ τρί/μετρα. τὸ ι΄. τρο/χαϊκὴ βάσις. τὰ ιβ΄. ιγ΄. χοριαμβικὰ εἰς βακχεῖον περαιούμενα δίμε/τρα. τὸ ιε΄. ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. τὰ ιζ΄. κ΄. ἀνα/παιστικαὶ βάσεις. τὸ ιη΄. δακτυλικὸν δίμετρον. δ' τελευταῖον ἰαμβικὸν ἑφθημιμερές. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος. τῆς δ' ἀντιστροφῆς κορωνίς. Κλείουσα θεῶν τε γάμους. ὅτι σύνηθες ἦν τοῖς παλαιοῖς, ᾄδειν θεῶν τε καὶ ἡρώων γάμους· σημειοῦται δὲ ταῦτα, ὁ μόσχος πρὸς τοὺς ἀθετοῦντας τὴν ἐν ὀδυσσείᾳ ἄρεος καὶ ἀφροδίτης μοιχείαν. Ἢν δέ σε καρκίνος. καρκίνος τραγῳδίας ποιητής. ὃς εἶχε ταπεινούς τινας παῖδας· ἐν δὲ τῷ ἀντιγράφῳ παροξύτονον εὗρον τὸ καρκίνος· ἴσως οὖν συνέστειλεν αὐτό, ὡς καὶ ἄρατος. παῖδες δὲ καρκίνου τρεῖς. ξενοκλῆς. ξενότιμος. ξέναρχος. τραγικοὶ δὲ οὗτοι χορευταί. οἵτινες διὰ τὴν σμικρότητα τῶν σωμάτων ὄρτυγες ἐκαλοῦντο. Ὄρτυγας οἰκο/γενεῖς. δέον ὄρνιθας οἰκογενεῖς εἰπεῖν, ὄρτυγας εἶπε. πρᾶγμα τῆς φύσεως ἀλ/λότριον. πλὴν εἰ μὴ ὡς μαχίμους διαβάλλοι τοὺς παῖδας τοῦ καρκίνου. φιλεριστι/κὴ γὰρ τῶν ἀρρένων ὀρτύγων ἡ φύσις. οἰκογενεῖς δέ, ἀντὶ τοῦ ἡμέρους ἐν οἴκῳ τε/θραμμένους. προείρηται δὲ περὶ τῶν καρκίνου υἱῶν. ὅτι μικροί. ἀεὶ μέντοι τὸ ὄρτυ/

τῶν τρωγαλίων· καὶ μὴ ἀφαίρει
γενναιότατου τῶν ποιητῶν
ἀνδρὸς τὸ μέτωπον ἔχοντος.
ΧΟ. μοῦσα. σὺ μὲν πολέμους
ἀπωσαμένη μετ' ἐμοῦ
τοῦ φίλου χόρευσον.
κλείουσα θεῶν τε γάμους,
ἀνδρῶν τε δαῖτας.
καὶ θαλίας μακάρων.
σοὶ γὰρ τάδ' ἐξ ἀρχῆς μέλει.
ἢν δέ σε καρκίνος ἐλθὼν
ἀντιβολεῖ μετὰ τῶν παίδων χορεῦσαι,
μὴ ὑπακούσῃς, μὴ τ' ἔλ/
θῃς συνέριθος αὐτοῖς.
ἀλλὰ νόμιζε πάντας
ὄρτυγας οἰκογενεῖς.

Λαμίας ὄρχεις. δραστικοὶ γὰρ οἱ ὄρχεις. Δίδυμος δὲ, εἰδωλοποιεῖ τινας ὄρχεις λαμίας θῆλυ γάρ. ἐντεῦθεν καὶ λάμος ἡ πόλις τῶν λαιστρυγόνων. λέγεται ἡ λαμία βήλου καὶ λιβύης θυγάτηρ. ταύτης ἐρασθῆναι τὸν δία φασίν. μεταγαγεῖν δὲ αὐτὴν ἀπὸ λιβύης εἰς ἰταλίαν, ἀφ' ἧς καὶ πόλις ἐν ἰταλίᾳ, λάμια προσαγορεύεται. ἔνθεν αὐτῇ συνελθὼν ὁ ζεὺς, οὐκ ἔλαθε τὴν ἥραν. ἥτις ζηλοτυποῦσα τὴν λάμιαν, τὰ γινόμενα αὐτῆς τέκνα ἀνῄρει. ἡ δὲ ἀποθνησκόντων αὐτῆς τῶν παιδίων βαρυθυμοῦσα, τὰ τῶν ἄλ-

φώκης δ' ὀσμήν. λαμίας ὄρχεις ἀπλύτους. πρωκτὸν δὲ καμήλου
τοιοῦτον ἰδὼν τέρας, οὐ κατέδεισ' ἀλλ' ὑπὲρ ὑμῶν πολεμίζων,
ἀντεῖχον ἀεὶ, καὶ τῶν ἄλλων νήσων. ὧν εἵνεκα νυνὶ.
ἀποδοῦναι τὴν χάριν εἰκὸς ὑμᾶς. καὶ μνήμονας εἶναι.
καὶ γὰρ πρότερον πράξας κατὰ νοῦν, οὐχὶ παλαίστρας
παῖδας ἐπείρων ἀλλ' ἀράμενος τὴν σκευὴν, εὐθὺς ἐχώρουν,
παῦρ' ἀνιάσας. πόλλ' εὐφράνας.
πάντα παρασχὼν τὰ δέοντα.
πρὸς ταῦτα χρεὼν εἶναι μετ' ἐμοῦ,
καὶ τοὺς ἄνδρας καὶ τοὺς παῖδας
καὶ τοῖς φαλακροῖσι παραινοῦμεν.
ξυσπουδάζειν περὶ τῆς νίκης
πᾶς γάρ τις ἐρεῖ νικῶντος ἐμοῦ
κἀπὶ τραπέζῃ καὶ ξυμποσίοις. C
φέρε τῷ φαλακρῷ. δὸς τῷ φαλακρῷ.

λων παιδία διὰ φθόνον ὑπεκλέπτουσα ἀναιρεῖ. διὰ τοῦτο καὶ τὰς τίτθας ἐκφοβούσας τὰ βρέφη καλεῖν ἐπ' αὐτοῖς τὴν λάμιαν. μυθεύεται δὲ ὡς ἄυπνος αὕτη διατελεῖ βουλῇ ἥρας. ἵνα καὶ ἡμέρας καὶ νύκτας ἐν τῷ πένθει ᾖ. ἕως οὗ αὐτὴν ἐλεήσας ὁ ζεὺς, ἀφαιρετοὺς αὐτῆς καὶ τοὺς ὀφθαλμοὺς ἐποίησεν. ὅπως ἐν αὐτῇ ᾖ ἐξαιρεῖσθαι καὶ πάλιν θεῖναι. λέγεται δὲ ἐσχηκέναι παρὰ διός. καὶ τὸ μεταμορφοῦσθαι εἰς ὅ, τι ἂν βούλεται ἀλλόκοτον δέ τι τέρας ὑποστήσασθαι βούλεται τὸν κλέωνα. τὴν γὰρ λάμιαν φησὶν ἄγριον εἶναι ζῶον καὶ δύσοσμον καὶ ἀνήμερον. οὐκ ἀρκεσθεὶς δὲ τούτοις αὐτὸν εἰκάσαι μόνοις προσέθηκεν ἄπλυτον. ἵνα μᾶλλον αὐξήσῃ τὴν περὶ τὸν κλέωνα δυσοσμίαν. Τοιοῦτον ἰδὼν τέρας. εἰρηκὼς τῶν σκωμμάτων αὐτοῦ τὸ κατ' εἶδος, ἔσκωψεν αὐτὸν πάλιν ἐπὶ τὸ γενικὸν ἀναδραμών. διὸ οὐ τέρας αὐτὸν καλεῖ μείζονα δόξαν τῶν προειρημένων, καταλιπὼν ἔχειν τοῖς ἀκηκοόσι περὶ αὐτοῦ. Παῖδας ἐπείρων. ὡς τῶν ἄλλων ἐξιόντων καὶ δεομένων τῶν νέων καὶ τῶν παίδων. εἰς τὸ σπουδάζειν αὐτοὺς, ἵνα νικήσωσιν. εἰώθασι δὲ καὶ παιδερασταὶ ἁβρυνόμενοι τῇ νίκῃ. αἰνίττεται δὲ εἰς εὔπολιν καὶ τοὺς περὶ αὐτὸν ὡς παιδεραστὰς καὶ παλαίστρας περιερχομένους. Παῦρ' ἀνιάσας. ὡς τῶν νικώντων ταῦτα ποιούντων καὶ εἰς ὕβριν ἐξελκομένων. ὀλίγα κωμῳδήσας ἢ οὐδὲν λυπήσας. ὁμοίως. τῷ, ἦ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο τυδεύς. Πρὸς ταῦτα χρεών. διὰ ταῦτα ὑμᾶς ἀξιῶ συλλαμβάνεσθαι, ἢ δι' αὐτὰ τὰ δίκαια. Καὶ τοῖς φαλακροῖσι. τοῦτο εἰς ἑαυτόν. φαλακρὸς γὰρ ἦν ὁ ἀριστοφάνης. τρωγαλίων δὲ τῶν τραγημάτων. οὕτως οἱ παλαιοί.

Ἀλλ' ἡρακλέους ὀργήν. ἐνδόξας πάλιν παρέλαβεν αὐτὸς τὸν ἡρακλῆν. λέγει γὰρ, οὐ, κατὰ τοὺς ἄλλους ποιητὰς μετρίους τινὰς καὶ φαύλους λοιδορεῖν καὶ κωμῳδεῖν, προειλόμην. ἀλλ' ὥσπερ ἡρακλῆς τοὺς μεγάλους ἄθλους ὑπέστη, οὕτω κἀγὼ τοὺς ἀρίστους καὶ μέγα δυναμένους παρ' ἡμῖν, κωμῳδεῖν εἱλόμην. ἡρακλέα γὰρ μιμούμενος, οὐκ εὐτελεῖς ἄνδρας κωμῳδεῖν ἐπεχείρισα.

Διαβὰς βυρσῶν ὀσμάς. ὡσανεὶ ἔλεγε ποταμοὺς ἢ χαράδρας. διὰ δὲ τὸν κλέωνα ταῦτα. εἰκὸς γὰρ ἦν αὐτὸν ἀπειλεῖν τῷ ἀριστοφάνει διὰ τὰς ὕβρεις. τὸ βάρβαρῶδες δὲ τοῦ κλέωνος δηλοῖ, διὰ τοὺς βαρβαρισμούς. παφλαγὼν γὰρ ἦν. τοῦ ἡρακλέους δὲ μνημονεύσας, ἑξῆς τὸ, βυρσῶν ὀσμὴν ἐπήγαγεν. ἐπεὶ δοκεῖ ὁ ἡρακλῆς τὴν αὐγέου κόπρον ἐκκεκαθαρκέναι.

Οὐκ ἰδιώτας ἀνθρωπίσκους κωμῳδῶν. οὐδὲ γυναῖκας.
Ἀλλ' ἡρακλέους ὀργήν τιν' ἔχων, τοῖσι μεγίστοις ἐπιχειρεῖ.
διαβὰς βυρσῶν ὀσμὰς δεινάς. κἀπειλὰς βορβοροθύμους
καὶ πρῶτον μὲν μάχομαι πάντων αὐτῷ τῷ καρχαρόδοντι
οὗ δεινόταται μὲν ἀπ' ὀφθαλμῶν κύννης ἀκτῖνες ἔλαμπον.
ἑκατὸν δὲ κύκλῳ κεφαλαὶ κολάκων οἰμωξομένων, ἐλιχμῶντο.
περὶ τὴν κεφαλήν. φωνὴν δ' εἶχε χαράδρας ὄλεθρον τετοκυίας.

Οὗ δεινόταται. ἐραποθένης ἀγνοήσας τὰ κατὰ τὴν κύνναν, κυνὸς γράφει. κυνὸς ὡς ἀκτῖνες ἔλαμπον. κύννα δὲ καὶ σαλαβακχὼ πόρναι ἀθήνησι, ἀναίδειαν δὲ αὐτοῦ καὶ τραχύτητα τῶν τρόπων δείκνυσι διὰ τῶν ὄψεων. ὡς καὶ ὅμηρος. ὄσσε δέ οἱ, πυρὶ λαμπετόωντι εἴκτην. τῆς δὲ κύννης μέμνηται καὶ ἐν τοῖς ἱππεῦσι λέγων. καὶ κύνναν καὶ σαλαβακχώ.

Ἄλλως. κύννη ἑτέρα ἐστίν. δῆλον δὲ, ὅτι καὶ ἀναιδὴς καὶ πόρνης ὀφθαλμοὺς εἶχεν.

Ἑκατὸν δὲ κύκλῳ. ὡσεὶ ἔλεγεν ὄφεων. εἰκὸς γὰρ πλῆθος κολάκων ἔχειν τὸν κλέωνα. χαράδρα δέ ἐστι διαίρεσις εἴτε διῶρυξ πηλοῦ μεστή. ὄλεθρον δὲ εἶπεν οὐχ ὕδωρ ἔχουσα. δέον δὲ εἰπεῖν ἐλιχμῶντο, ἐλιχνῶντο εἶπε. διὰ τὸ λίχνον τῶν κολάκων.

Ἄλλως. Εἰκὸς γὰρ σύστημα τὸν κλέωνα ἔχειν μέγα δυνάμενον, τῶν ὑποτρεχόντων αὐτῷ καὶ θεραπευόντων. ὁ δὲ εἶπεν, ὡσεὶ ἔλεγεν δρακόντων ἑκατὸν κεφαλαῖς αὐτὸν καθωπλίσθαι. καὶ τοῦτο πρὸς ἕνα τῶν ἡρακλέους αἰνιττόμενος ἄθλων. τὴν ἑκατοντακέφαλον ὕδραν. καὶ γὰρ τυφῶνα αὐτὸν εἶπεν ἐν τοῖς ἱππεῦσι. τοσαύταις δὲ ἐκεῖνος κεφαλαῖς ὥπλιστο, ἢ διὰ τοὺς περὶ αὐτὸν κόλακας. Χαράδρας. ἀντὶ τοῦ χειμάρρου ποταμοῦ. κατάγουσι δὲ οὗτοι παντοῖα μετὰ τοῦ ῥεύματος. οὐκ ἔστι δὲ πηλόν. ἀλλ' ὄλεθρον.

Φώκης δ' ὀσμήν. θαλάσσιον ζῷον ἡ φώκη. ὅμηρος φωκάων ἁλιοτρεφέων ὀλοώτατος ὀδμή.

παραβὰς ἐν τοῖς ἀναπαίστοις. πᾶσαν παράβασιν ἀνάπαιστον καλεῖ. Ἐς τὰ ῥάκια. ὡς τοιαῦτα εἰσαγόντων τῶν ἄλλων κωμικῶν ῥακοφοροῦντας, αἰνίττεται δὲ, καὶ εἰς εὔπολιν. Καὶ τοῖς φθεῖρσιν. αὐτὶ τοῦ εὐτελεῖς καὶ ἀδόξους ἄνδρας. Τοὺς θ' ἡρακλέας. μάττειν τὸ πολλὰ ἐσθίειν. ἀπὸ τῆς ματτομένης ζύμης. αἰνίττεται δὲ ταῦτα εἰς εὐριπίδην. ὃς ἐποίησε τὸν ἡρακλέα πίνοντα. καὶ διόνυσον δειλόν. καὶ δία μοιχὸν καὶ δοῦλον κλαίοντα. τινὲς δέ φασιν εἰς κρατῖνον αἰνίττεσθαι, ὡς τοιαῦτα ποιοῦντα δράματα. ἐπεπόλασε τότε ταῦτα τὰ λήμματα. καὶ αὐτὸς δὲ ἀριστοφάνης ὡς γαστρίμαργον τὸν ἡρακλέα κωμῳδεῖ καὶ ἐν ὄρνισι. καὶ ἐν αἰολοσίκωνι. καὶ ἐν τοῖς σφηξὶ περὶ τοῦ φησὶ, τοῦ τε ἡρακλέους καὶ τοῦ δούλου. ἐπεπόλαζε γὰρ τότε ταῦτα. ἡρακλῆς πεινῶν. καὶ διόνυσος δειλός. καὶ μοιχὸς ζεύς, ὥστε καὶ αὐτοὺς δοκεῖν

αὐτὸν ἐπῄνει πρὸς τὸ θέατρον παραβὰς ἐν τοῖς ἀναπαίστοις.
εἰ δ' οὖν εἰκός τινα τιμῆσαι, θύγατερ διός, ὅστις ἄριστος
κωμῳδοδιδάσκαλος ἀνθρώπων καὶ κλεινότατος γεγένηται,
ἄξιος εἶναι φησ' εὐλογίας μεγάλης ὁ διδάσκαλος ἡμῶν.
πρῶτον μὲν γὰρ τοὺς ἀντιπάλους μόνος ἀνθρώπων κατέπαυσεν.
ἐς τὰ ῥάκια σκώπτοντας ἀεὶ. καὶ τοῖς φθειρσὶ πολεμοῦντας.
τοὺς θ' ἡρακλέας τοὺς μάττοντας καὶ τοὺς πεινῶντας ἐκείνους.
τοὺς φεύγοντας κἀξαπατῶντας καὶ τυπτομένους ἐπίτηδες
ἐξήλασ' ἀτιμώσας πρῶτος. καὶ τοὺς δούλους κατέλυσεν.
οὓς ἐξῆγον κλαίοντας ἀεὶ καὶ τούτους οὕνεκα τουδί.
ἵν' ὁ σύνδουλος σκώψας αὐτοῦ τὰς πληγὰς εἶτ' ἀνέροιτο.
ὦ κακόδαιμον. τί τὸ δέρμ' ἔπαθες μῶν ὑστριχὶς εἰσέβαλέν σοι
εἰς τὰς πλευρὰς πολλῇ στρατιᾷ κἀδενδροτόμησε τὰ νῶτα;
τοιαῦτ' ἀφελὼν κακὰ, καὶ φόρτον. καὶ βωμολοχεύματ' ἀγεννῆ,
ἐποίησε τέχνην μεγάλην ἡμῖν. κἀπύργωσ' οἰκοδομήσας
ἔπεσιν μεγάλοις καὶ διανοίαις. καὶ σκώμμασιν οὐκ ἀγοραίοις.

ἄρχεσθαι. κρατῖνος. ὑπὸ δὲ ἡρακλέους πεινῶντος ἄγειν ταῦτα καὶ σκώπτοντος, οὐ βοιωτόν ἐστι. περὶ δὲ τοῦ δούλου καὶ ἐν βατράχοις φησίν. Ἵν' ὁ σύνδουλος σκώψας αὐτὶ τοῦ, καὶ τούτους τοὺς συνδούλους ἐξέφερον, κλαίοντας τούτου ἕνεκα, ἵνα ὁ σύνδουλος χλευάζων, ἀνέρηται αὐτόν. Ὑστριχίς. ἡ ἐξ ὑείων τριχῶν μάστιξ. ἔστι δὲ καὶ ὕστριξ θηρίον τρίχας ἔχον ὑός. ἃς ἐν τῷ διώκεσθαι ἐξακοντίζει τοῖς τῶν διωκόντων. Εἰσέβαλεν. ἀπὸ μεταφορᾶς λέγει τῶν τὰς πόλεις πορθούντων, εἰσέβαλεν. καὶ ἔμεινεν ἐν τῇ τροπῇ. κυρίως γὰρ εἰσβαλεῖν ἐστι, τὸ πολεμίους τινὰς εἰσελθεῖν ἐς τὴν πόλιν. Βωμολοχεύματα. τουτέστι βωμολόχα σκώμματα ὅ ἐστι σκώπτοντας εὐτελεῖς τινας καὶ ἀσθενεῖς ἄνδρας. Ἐποίησε τέχνην. τοῦτο καὶ φερεκράτης ἐποίησε τὸν αἰσχύλον λέγοντα ἐν τοῖς κραπατάλοις, ὅστις αὐτοῖς παρέδωκε τέχνην μεγάλην, ἐξοικοδομήσας. Κἀπύργωσεν. ὕψωσεν. ηὔξησεν, ἐμεγάλυνεν, ἠσφαλίσατο. καὶ οὕτω τὸ σεμνότερον τὰ ποιήματα ἤγαγεν. καὶ ἐν ἄλλοις περὶ αὐτοῦ φησιν. ἀλλ' ὦ πρῶτος τῶν ἑλλήνων πυργώσας ῥήματα σεμνά. Οὐκ ἀγοραίοις. οὐ κατημαξευμένοις.

Ἐκ ποιοῦ σαυτῷ οὐκ ἔτι τοὺς παῖδας, ἀλλὰ τοὺς βότρυς διὰ τὴν ὀπώραν. Διὰ χρόνου τι σοὶ δοκῶ. ὅτι οἱ διὰ χρόνου ἐσθίοντες ὀπώραν πολλὴν, βλάπτονται. καὶ οἱ συνουσιάζοντες συνεχῶς. ἐπειδὴ οὖν ἐδόκει ὀπώρα εἶναι καὶ ἡ πόρνη, πρὸς ἀμφότερα ἔπαιξεν. Βληχωνίαν. βλήχωνα Ἀττικοὶ διὰ τοῦ β'. οὐ διὰ τοῦ γ'. οἱ δὲ πολλὴν ὀπώραν ἐσθίοντες, ἐὰν κυκεῶνα βληχωνίαν πίωσιν, οὐ βλάπτονται. βρέχοντες οὖν γλήχωνα ἐπιπίνουσι διὰ τὸ, ὑπὸ τοῦ ὀποῦ τὴν καρδίαν κατεσθίεσθαι. ἵνα οὖν ἡ δριμύτης ἀποστύφῃ, γλήχωνας ἔλαβον. Ἄλλως. οἱ ὀπώραν πολλὴν ἐσθίοντες, κυκεῶνα πίνουσιν ὑπὲρ τοῦ πέψαι τὴν τροφὴν καὶ μὴ ναυτιᾶν. καὶ γὰρ τὸ πολὺ τῆς ὀπώρας προσίσταται τῷ στομάχῳ. Ἄλλως. τοὺς ὑπὸ τῆς ὀπώρας βαρυνομένους ἰᾶσθαί φασιν εἰ ἀποβρέξαντες γλήχωνα εἰς ὕδωρ πίοιεν. ἰᾶσθαι γὰρ οὕτω τοὺς καρδιῶν πόνους. Τὴν θεωρίαν. τοῖς μὲν γεωργοῖς φέρουσα τὴν ὀπώραν δέδωκε. τῇ δὲ βουλῇ τὴν θεωρίαν ἀπένεμεν. ἐδόκει γὰρ ἡ βουλὴ τῆς θεωρίας. Τῆς θεωρίας. ἡ γὰρ βουλὴ τὰς θεωρίας ἐξέπεμπε. τινὲς δὲ στίζουσιν εἰς τὸ βουλή. καὶ συνάπτουσι τὸ σὺ τῆς θεωρίας ὅσον ζωμὸν ῥοφήσεις, ὡς ψηφιουμένης τῆς βουλῆς θύσαι ἐπὶ τούτοις. Ἡμερῶν τριῶν. ἐπὶ γ'. γὰρ ἡμέρας, ἐψηφίσατο ἡ βουλὴ βοῦς θύειν. ἀφ' ὧν καὶ ἕτερα ζῷα. Χόλικας. τὰ τῶν βοῶν παχέα ἔντερα. ταῦτα γὰρ οὐχ ἱεροῦντο, ὡς τὸ ἄλλο σῶμα. τινὲς δὲ, χόλικά φασιν εἶδος ἰχθύος. Ἀστραπηφορεῖν. ὁ στίχος ἐκ Βελλεροφόντου Εὐριπίδου, παρὰ τὸ ἀστραπαῖς ὑπηρετεῖν. Τὴν τοῦ Γανυμήδους ἀμβροσίαν. ἀντὶ τοῦ τὴν κόπρον. ὅτι οὗτος μόνος θνητὸς ἐν θεοῖς. τινὲς δὲ, διὰ τὸ ἐν ἀρχῇ ἐκθῆναι αὐτῷ. ἑτέραν ἑτέραν παιδὸς ἡ ταυρικότης. ἐδόκει γὰρ καὶ ὁ Γανυμήδης, ἐρώμενος εἶναι Διός. Τηδί. παρὰ τὴν θεόν. τινὲς οὐ παρὰ τὴν Εἰρήνην. λέγουσι γὰρ ἐν τῷ οὐρανῷ μεῖναι. καὶ ἐκεῖθεν ἐνεργεῖν. ὥσπερ καὶ τὸν πόλεμον. οὐδαμοῦ γὰρ αὐτῆς μέμνηται ἐν τοῖς ἑξῆς, ὡς καταπλεούσης παρὰ τὴν θεὸν οὖν τὴν Ἀθηνᾶν. ἄγαλμα γὰρ ἦν ἐν τῷ θεάτρῳ τῆς Ἀθηνᾶς.

ταύτῃ ξυνοικῶν, ἐκ ποιοῦ σαυτῷ βότρυς.
Τρ. ὦ φιλτάτη δεῦρ' ἐλθὲ καὶ δός μοι κύσαι.
ἆρ' ἂν βλαβείην διὰ χρόνου τι σοὶ δοκῶ
ὦ δέσποθ' Ἑρμῆ τῆς ὀπώρας κατελάσας;
Ερ. οὐκ. εἴ γε κυκεῶν' ἐπιπίοις βληχωνίαν.
ἀλλ' ὡς τάχιστα τήνδε θεωρίαν,
ἀπάγαγε τῇ βουλῇ λαβὼν ἧσπερ ποτ' ἦν.
Τρ. ὦ μακαρία σὺ βουλὴ τῆς θεωρίας.
ὅσον ῥοφήσεις ζωμὸν ἡμερῶν τριῶν.
ὅσας δὲ κατέδῃ χόλικας ἑφθὰς καὶ κρέα.
ἀλλ' ὦ φίλ' Ἑρμῆ. χαῖρε πολλά. Ερ. καὶ σύ γε
ὤνθρωπε χαίρων ἄπιθι καὶ μέμνησό μου.
Τρ. ὦ κάνθαρ'. οἴκαδ' οἴκαδ' ἀποπετώμεθα.
Ερ. οὐκ ἐνθάδ' ὦ τᾶν ἐστι. Τρ. ποῖ γὰρ οἴχεται.
Ερ. ὑφ' ἅρματ' ἐλθὼν Ζηνὸς, ἀστραπηφορεῖ.
Τρ. πόθεν οὖν ὁ τλήμων ἐνθάδ' ἕξει σιτία.
Ερ. τὴν τοῦ Γανυμήδους ἀμβροσίαν σιτήσεται.
Τρ. πῶς δῆτ' ἐγὼ καταβήσομαι. Ερ. θάρσει καλῶς.

ὅ τι πράττει σοφοκλῆς. γελοῖα ταῦτα. ὡς γὰρ περὶ σπουδαίων τὴν ἔμφασιν ποιούμενος ἐπήνεγκεν. ὅτι περὶ σοφοκλέους ἐπύθετό μου. Ἐκ τοῦ σοφοκλέους γίνεται. ὅτι ἐπὶ μισθῷ ἔγραφε τὰ μέλη. καὶ γὰρ σιμωνίδης δοκεῖ πρῶτος σμικρολογίαν εἰσενεγκεῖν εἰς τὰ ᾄσματα. καὶ γράψαι ᾆσμα μισθοῦ. τοῦτο δὲ καὶ πίνδαρός φησιν αἰνιττόμενος. οἱ μὲν πάλαι ὦ θρασύβουλε φῶτες οἱ χρυσάμπυκες ἐς δίφρον μοισᾶν ἔβαινον. κλυτᾷ φόρμιγγι συναντώμενοι. ῥίμφα παιδείους ἐτόξευον μελιγάρυας ὕμνους ἁ μοῦσα γὰρ φιλοκερδής. τὸ μέν τοι περὶ κιβωτῶν περὶ σιμωνίδου λεγόμενον, ὅτι παρακειμένας εἶχε δύο τὴν μὲν, κενήν. τὴν δὲ, μεστήν. καὶ τὴν μὲν κενὴν, χαρίτων ἔλεγεν εἶναι. τὴν δὲ, γνώριμον, περιφερόμενον εὑρίσκεται καθ᾽ ἱστορίαν γὰρ οὐδεὶς εἴρηκεν. Ἄλλως. ὁ σιμωνίδης διεβέβλητο ἐπὶ φιλαργυρίᾳ. καὶ τὸν σοφοκλέα οὖν διὰ φιλαργυρίαν, ἐοικέναι τῷ σιμωνίδῃ λέγει. δὲ ὅτι ἐκ τῆς στρατηγίας τῆς ἐν σάμῳ ἠργυρίσατο χαριέντως δὲ πάνυ αὐτὸ λόγῳ διέσυρε τοὺς β΄. ἰαμβοποιούς.

δι᾽ ἃ μ᾽ ἐκέλευσεν ἀναπυθέσθαι σου. Τρ. τὰ τί

Ἑρ. πάμπολλα. καὶ τἀρχαῖ᾽ ἃ κατέλιπεν τότε.

πρῶτον δ᾽ ὅ τι πράττοι σοφοκλέης ἤρετο.

Τρ. εὐδαιμονεῖ. πάσχει δὲ θαυμαστόν. Ἑρ. τὸ τί.

Τρ. ἐκ τοῦ σοφοκλέους γίνεται σιμωνίδης.

Ἑρ. σιμωνίδης; πῶς. Τρ. ὅτι γέρων ὢν καὶ σαπρός.

κέρδους ἕκατι, κἂν ἐπὶ ῥιπὸς πλέοι.

Ἑρ. τί δαὶ κρατῖνος ὁ σοφὸς ἔστιν; Τρ. ἀπέθανεν.

ὅθ᾽ οἱ λάκωνες ἐνέβαλον. Ἑρ. τί παθών. Τρ. ὅ τι.

ὡρακιάσας. οὐ γὰρ ἐξηνέσχετο.

ἰδὼν πίθον καταγνύμενον οἴνου πλέων.

χἄτερα πόσ᾽ ἄττ᾽ οἴει γεγενῆσθ᾽ ἐν τῇ πόλει.

ὥστ᾽ οὐδέποτ᾽ ὦ δέσποιν᾽ ἀφεξόμεσθά σου.

Ἑρ. ἴθι νυν ἐπὶ τούτοις τὴν ὀπώραν λάμβανε.

γυναῖκα σαυτῷ τήνδε. κᾆτ᾽ ἐν τοῖς ἀγροῖς.

καὶ μέμνηται, ὅτι σμικρολόγοι. ὅθεν ξενοφάνης, κίμβικα αὐτὸν προσαγορεύει. μήποτε δὲ ἐδόκει σοφοκλῆς περὶ τοὺς μισθοὺς καὶ τὰς νεμέσεις ὀψέ ποτε φιλοτιμότερος. Γέρων ὢν ἀρχαῖος καὶ παλαιός. οἷον γηράσας. φιλάργυρος ἐγένετο. Κἂν ἐπὶ ῥιπὸς πλέοι φρυγανίου. ψιάθου. λέγοιτο δ᾽ ἂν ἐπὶ φιλοκερδεῖ. λέγεται δὲ καὶ ἄλλως. θεοῦ θέλοντος. κἂν ἐπὶ ῥιπὸς πλέοις. ῥὶψ δέ ἐστιν ἱμαντῶδες φυτὸν παρὰ τὸ ἔρπω ῥὶψ καὶ ῥίψ. καὶ ῥίπεσι τῆς ἰτέας κλάδοις. Ἐνέβαλον αὐτὶ τοῦ ἐπῆλθον τῇ πόλει. Ὡρακιάσας. οἷον, ὠχριάσας. ἢ ἑλκυσθείς. ἑλκυσθεὶς. ἢ λειποψυχήσας. ἢ ἀθυμήσας. ὡς φιλοπότην δὲ πάλιν διαβάλλει τὸν κρατῖνον. μετὰ ἐκλύσεως ἐσκοτωμένον. ᾧ ἴσως ἀκολουθεῖ καὶ τὸ, ὡρακιάσας; τοιοῦτοι δὲ οἱ λειποψυχοῦντες. τρέπεται γὰρ αὐτῶν ἡ χροιά, λυκόφρων δὲ τὸ ὠρακιᾷ. ἀντὶ τοῦ ὠχριᾷ. ἐρατοσθένης δὲ, τὸ ὑπὸ ἐκλύσεως ἐσκοτῶσθαι. ὅτι δὲ φίλοινος ὁ κρατῖνος, καὶ αὐτὸς ἐν τῇ πυτίνῃ λέγει σαφῶς. Χἄτερα πόσ᾽ ἄττ᾽ οἴει. ὡς περὶ ἐκπεσούσης τῆς εἰρήνης ἐπήγαγε τὸ, καὶ ἕτερα τοιαῦτα γέγονεν ἐν τῇ πόλει. Ἴθι νῦν. μίαν τῶν συνανελθουσῶν τῇ εἰρήνῃ, πρὸς γάμον αὐτῷ δίδωσι. προειρήκαμεν δὲ, ὅτι συνανειλκύσθησαν αὐτῇ, ἥ τε ὀπώρα καὶ ἡ θεωρία. ἦσαν δὲ, ἑταῖραι.

Ἐκ τοῦ

Εὐνούστατος μὲν ἦν. ὅτι ῥίψασπις καὶ δειλὸς ἦν. Οὐκ ἦν ἄρ' ὥσπερ φησίν. οὔτε γνήσιος ἦν τῷ πατρί· ἀλλὰ καὶ ῥίψασπις ἦν, τὰ δύο οὖν αὐτῷ προστρίβεται.

Ἀποβολιμαῖος ἅμα μὲν, καὶ διὰ τὸ ἀποβαλεῖν τὰ ὅπλα· καὶ παρὰ τὸ ὑποβολιμαῖος εἶναι. Ὑπέρβολος νῦν. ὅτι μετὰ τὸν Κλέωνα, Ὑπέρβολος ἐπολιτεύσατο. Χρεμύδος δὲ, υἱὸς ἦν Ὑπέρβολος. ἀδελφὸς δὲ, Χάρωνος. λυχνοπώλης, φαῦλος τοὺς τρόπους. οὗτος μετὰ τὴν τοῦ Κλέωνος δυναστείαν, διεδέξατο τὴν δημαγωγίαν. ἀπ' αὐτοῦ δὲ πρῶτον ἤρξαντο οἱ Ἀθηναῖοι φαύλοις παραδιδόναι τὴν πόλιν καὶ τὴν δημαγωγίαν, πρότερον δημαγογούντων πάνυ λαμπρῶν πολιτῶν, προείλετο δὲ τοὺς τοιούτους ὁ δῆμος, ἀπιστῶν διὰ πόλεμον τὸν πρὸς Λακεδαιμονίους, τοὺς ἐν δόξαις τῶν πολιτῶν, μὴ τὴν δημοκρατίαν καταλύσαιεν. ἐξωστρακίσθη οὕτως, οὐ διὰ δυνάμεως φόβον καὶ ἀξιώματος· ἀλλὰ πονηρίαν καὶ αἰσχύνην τῆς πόλεως. ἐν Σάμῳ δὲ διατρίβων, ὑπὸ τῶν Ἀθηναίων ἐχθρῶν ἐπιβουλευθεὶς ἀπέθανε καὶ τὸν νεκρὸν αὐτοῦ βαλόντες εἰς σάκκον, ἔρριψαν εἰς τὸ πέλαγος.

Τρ. εὐνούστατος μὲν ἦν μακρῷ Κλεώνυμος.
Ἑρ. ποῖός τις οὖν ἐδόκει τὰ πολεμικὰ
ὁ Κλεώνυμος. Τρ. ψυχήν γ' ἄριστος πλήν γ' ὅτι
οὐκ ἦν ἄρ' ὥσπερ φησὶν εἶναι τοῦ πατρός.
εἰ γάρ ποτ' ἐξέλθοι στρατιώτης, εὐθέως
ἀποβολιμαῖος τῶν ὅπλων ἐγίνετο.
Ἑρ. ἔτι νυν ἄκουσον οἷον ἄρτι μ' ἤρετο.
ὅστις κρατεῖ νῦν τοῦ λίθου τοῦ 'ν τῇ πνυκί.
Τρ. Ὑπέρβολος νῦν τοῦτ' ἔχει τὸ χωρίον.
αὕτη, τί ποιεῖς; τὴν κεφαλὴν ποῖ περιάγεις;
Ἑρ. ἀποστρέφεται τὸν δῆμον ἀχθεσθεῖσ' ὅτι
αὑτῷ πονηρὸν προστάτην ἐπεγράψατο.
Τρ. ἀλλ' οὐκέτ' αὐτῷ χρησόμεσθ' οὐδέν. ἀλλὰ νῦν
ἀπορῶν ὁ δῆμος ἐπιτρόπου καὶ γυμνὸς ὤν,
τοῦτον τέως τὸν ἄνδρα περιεζώσατο.
Ἑρ. πῶς οὖν ξυνοίσει ταῦτ' ἐρωτᾷ τῇ πόλει.
Τρ. εὐβουλότεροι γενησόμεσθα τρόπῳ τινί.
ὅτι τυγχάνει λυχνοποιὸς ὤν. πρὸ τοῦ μὲν οὖν
ἐψηλαφῶμεν ἐν σκότῳ τὰ πράγματα.
νυνὶ δ' ἅπαντα πρὸς λύχνον βουλεύσομεν.
Ἑρ. ὢ ὢ

Περιάγεις. ἀποστρέφεται τὸ ὄνομα τοῦ Ὑπερβόλου ἀκούσασα ἡ Εἰρήνη.

Ἐπεγράψατο. ἀντὶ τοῦ ἐχειροτόνησε. κατέστησεν. ἡ δὲ μεταφορὰ, ἀπὸ τῶν μετοίκων τοὺς προστάτας προγραφόντων ἑαυτοῖς. Καὶ γυμνὸς ὤν. τοῦ προεστῶτος δηλονότι. Περιεζώσατο. οἱ γὰρ μικροὶ ἐπιθυμοῦσι καὶ περιζώματος τυχεῖν. ὁ δὲ νοῦς δι' ἀνάγκην τέως οὐ τοῦτον ἐζώσατο μὴ ἔχουσα πολυτελέστερον.

Πῶς οὖν ξυνοίσει. ἐν ἴσῳ εἴρηκε τούτῳ. πῶς ταῦτα ἡ πόλις οἰκονομήσει καὶ θήσεται. τὸ δὲ ἑξῆς, πῶς συνοίσει τῇ πόλει ταῦτα, ἐρωτᾷ.

Ἐψηλαφῶμεν. ἀπὸ τοῦ συμβεβηκότος εἴληφε τὸ ἐψηλαφῶμεν. οἱ γὰρ ἐν σκότει ζητοῦντες, τοῦ ζητουμένου τὴν ἀκριβῆ ὄψιν οὐχ ὁρῶντες, ψηλαφῶντες ἀνευρίσκουσιν αὐτό. Πρὸς λύχνον βουλεύσομεν. ὅτι λυχνοπώλης ὁ Ὑπέρβολος. τινὲς δέ φασιν αὐτὸν σύρον. καὶ Κρατῖνος δὲ ἐν Πυτίνῃ. Ὑπέρβολον δὲ ἀποσβέσας ἐν τοῖς λύχνοις γράψω.

Ἄλλ' ὅτι σιωπᾷς. πρὸς τὴν εἰρήνην φησί. κωφὸν γὰρ εἰσάγει τὸ πρόσωπον.
Ἀλλ' οὐκ ἂν εἴποι. διπλῆ καὶ εἴσθεσις παρὰ τὸ τετράμετρον εἰς ἰαμβικὰ τρίμετρα οβ'. μετὰ δὲ τὰ λε'. ἔστι προαναφώνημα τὸ, ὦ ὦ. Ὀργὴν γὰρ αὐτοῖς. ἀττικῶς. ἀντὶ τοῦ ὀργίζεται. λείπει δὲ ἡ ὑπέρ. ὑπὲρ ὧν ἔπαθεν. Μισοπορπακιστάτη. ἀντὶ τοῦ μισοπόλεμε παρὰ τὸν πόρπακα. πόρπαξ δὲ κατά τινας μὲν, ὁ ἀναφορεύς, τῆς ἀσπίδος. ὡς δέ τινες, τὸ διῆκον μέσον τῆς ἀσπίδος σιδήριον. ᾧ κρατεῖ τὴν ἀσπίδα ὁ στρατιώτης.

Εἶεν, ἀκούω. ὡς τῆς εἰρήνης καλεσάσης τὸν ἑρμῆν. καὶ λαλησάσης αὐτῷ τὸ δὲ ἐπικαλεῖς, ἀντὶ τοῦ ἐγκαλεῖς. Ἐλθοῦσα φησί. φιλόχορος φησὶν οὕτως. λακεδαιμόνιοι περὶ διαλύσεων ἐπέμψαντο πρέσβεις πρὸς ἀθηναίους, σπονδὰς ποιησάμενοι πρὸς τοὺς ἐν πύλῳ. καὶ τὰς ναῦς αὐτῶν παραδόντες οὔσας ξ'. κλέωνος δὲ ἀντειπόντος ταῖς διαλύσεσι, στασιάσαι λέγεται τὴν ἐκκλησίαν. ἐρωτῆσαι δὲ συνέβη τὸν ἐπιστάτην. ἐνίκησαν δὲ οἱ πολεμεῖν βουλόμενοι. Ἄλλως ἀπὸ κλέωνος γὰρ πρεσβευσαμένων λακεδαιμονίων ἐστασίασαν ἐν τῇ ἐκκλησίᾳ.

τοὺς σαυτοῦ λοιδορεῖς.
ἀλλ' ὅ,τι σιωπᾷς ὦ πότνια, κάτειπέ μοι.
Ερ. ἀλλ' οὐκ ἂν εἴποι πρός γε τοὺς θεωμένους.
ὀργὴν γὰρ αὐτοῖς ὧν ἔπαθε πολλὴν ἔχει.
Τρ. ἡ δ' ἀλλὰ πρὸς σὲ μικρὸν εἰπάτω μόνον.
Ερ. εἴφ' ὅ,τι νοεῖς αὐτοῖς πρὸς ἔμ' ὦ φιλτάτη.
ἴθ' ὦ γυναικῶν μισοπορπακιστάτη.
εἶεν ἀκούω. ταῦτ' ἐπικαλεῖς; μανθάνω.
ἀκούσαθ' ὑμεῖς ὧν ἕνεκα μομφὴν ἔχει.
ἐλθοῦσα φησὶν αὐτομάτη μετὰ τἀν πύλῳ,
σπονδῶν φέρουσα τῇ πόλει κίστην πλέαν,
ἀποχειροτονηθῆναι τρὶς ἐν τῆκκλησίᾳ.
Τρ. ἡμάρτομεν ταῦτ'. ἀλλὰ συγγνώμην ἔχε.
ὁ νοῦς γὰρ ἡμῶν ἦν τότ' ἐν τοῖς σκύτεσιν.
Ερ. ἴθι νυν ἄκουσον οἷον ἀρτίως μ' ἤρετο
ὅστις κακόνους αὐτῇ μάλιστ' ἦν ἐνθάδε,
χὤστις φίλος κἄσπευδεν εἶναι μὴ μάχας.

Μετὰ τἀν πύλῳ. μετὰ τὰ ἐν πύλῳ καὶ τοὺς αἰχμαλώτους οὓς ἔλαβεν ὁ κλέων, ἔπεμψαν λακεδαιμόνιοι πρὸς ἀθηναίους ἐπαγγελλόμενοι δώσειν τὰς τριήρεις ἃς εἰλήφεσαν τῶν ἀθηναίων ἐν τῷ πολέμῳ. ἅμα δὲ καὶ περὶ εἰρήνης καὶ σπονδῶν. ἀντεῖπεν οὖν τότε κλέων. καὶ τοῦ ἐπιστάτου τρίτον ἐρωτήσαντος τὴν βουλήν, τί βούλεται εἰρήνην ἢ πόλεμον, εἵλετο ἡ βουλὴ τὸν πόλεμον συνεστάναι. Κίστην πλέαν. πήρη κυτίδια. κυτίδας δὲ ἐκάλουν τὰς κίστας. πλέαν δὲ προσέθηκεν. ὅτι ἐξῆν τοῖς ἀθηναίοις τότε ἐκ περιουσίας τὴν εἰρήνην ποιήσασθαι. οὕτω λαμπρῶς τῷ πολέμῳ κεκρατηκόσι. Ἀποχειροτονηθῆναι τρίς. ὡς τρὶς ἀποχειροτονηθείσης. καὶ διὰ τούτων δὲ σεμνύνει τοὺς ἀθηναίους, ὡς ἐξουσίαν ἐσχηκότας ποιῆσαι εἰρήνην. Ἐν τοῖς σκύτεσι. διὰ τὴν δειλίαν. ἡ παροιμία, ἀπὸ σκύτη βλέπειν. ἢ σκύτη. ἀντὶ τοῦ πρὸς τὰ πολεμικὰ ἢ πρὸς τὸν κλέωνα. ὅτι σκυτεὺς ἦν. ἀντὶ τοῦ ἐν τῷ φόβῳ τοῦ κλέωνος ὁ νοῦς ἦν ἡμῶν. Ψυχὴν γὰρ γ' ἄριστος. τοῦτο μετὰ εἰρωνείας. ὡς δηλοῖ καὶ τὸ ἑξῆς. καὶ ὅτι κατέλιπε τὸν λόγον μηδὲν αὐτῷ ἐπαγαγών.

τῶν αὐτῶν εἰς τὸ ἀφωρισμένον πεδίον ἐπὶ τὸ μονομαχῆσαι. ὁ μελάνθιος δόλῳ ἀναιρεῖ τὸν ξάνθον. προσιόντι γὰρ αὐτῷ ἔφη. ἀδικεῖς ὦ ξάνθε μόνος φήσας παραγενέσθαι. καὶ δεύτερος παραγενόμενος. ἐφ᾽ ὧ στραφεὶς ὁ ξάνθος, ὡς θεασόμενος τὸν ἥκοντα, ἐτρώθη παρὰ μελανθίου καὶ ἀπώλετο. ἀφ᾽ οὗ καὶ τὴν ἑορτὴν ἀθηναῖοι ταύτην ἄγουσιν ἀπὸ τῆς ἀπάτης μελανθίου, ἀπατούρια προσαγορεύσαντες. τινὲς δέ φασι παραστῆναι τῷ ξάνθῳ σὺν ἀγροικικῷ σχήματι. ὃν θεασάμενος μελάνθιος,

κατάθήσομαι γὰρ εἰς μέσους αὐτοὺς ἄγων.
Θε. ἐκεινοσὶ νεύει. Τρ. τίς. Θε. ὅστις; ἀριφράδης·
ἄγειν παρ᾽ αὑτὸν ἀντιβολῶν. Τρ. ἀλλ᾽ ὦ μέλε.
τὸν ζωμὸν αὐτῆς προσπεσὼν ἐκλάψεται.
ἄγε δὴ σὺ κατάθου πρῶτα τὰ σκεύη χαμαί.
βουλὴ. πρυτάνεις. ὁρᾶτε τὴν θεωρίαν;
σκέψασθ᾽ ὅσ᾽ ὑμῖν ἀγαθὰ παραδώσω φέρων.
ὥστ᾽ εὐθέως ἄραντας ὑμᾶς τὼ σκέλη
ταύτης μετέωρα καταγαγεῖν ἀνάρρυσιν.
τουτὶ δ᾽ ὁρᾶτε τοὐπτάνιον ὑμῖν ὡς καλόν.
διὰ ταῦτα καὶ κεκάπνικ᾽ ἄρ᾽ ἐνταῦθα γὰρ
πρὸ τοῦ πολέμου τὰ λάσανα τῇ βουλῇ ποτ᾽ ἦν.
ἔπειτ᾽ ἀγῶνά γ᾽ εὐθὺς ἐξέσται ποιεῖν
ταύτην ἔχουσιν αὔριον καλὸν πάνυ
ἐπὶ γῆς παλαίειν. τετραποδηδὸν ἑστάναι.
καὶ παγκράτιόν γ᾽ ὑπαλειψαμένοις νεανικῶς.
παίειν. ὀρύττειν. πὺξ ὁμοῦ καὶ τῷ πέει;
τρίτῃ δὲ μετὰ ταῦθ᾽ ἱπποδρομίαν ἄξετε.
ἵνα δὴ κέλης κέλητα παρακελητιεῖ.
ἅρματα δ᾽ ἐπ᾽ ἀλλήλοισιν ἀνατετραμμένα.

τὰ εἰρημένα διεπράξατο. ὅθεν καὶ αὐτῷ ἦγον τὴν ἑορτὴν ταύτην. Τοὐπτάνιον. τὸ μαγειρεῖον, ὅπου τῇ βουλῇ σκευάζεται μετὰ τὰς θυσίας κρέα ὅπερ καὶ μᾶλλον τὸ αἰδοῖον αὐτῆς δείκνυσι. τὸ κεκάπνικε δέ, ἐπειδὴ μέλαν ἐστὶ διὰ τὰς τρίχας, καὶ αὐτὴ διαφόρει ἡ ἐξήγησις τῶν λεγόντων αὐτὴν ἀποπυδματίσαι ἣν καὶ ἐπλάσαντο τὴν ἄλλην μὴ νοήσαντες. Καὶ κεκάπνικ᾽. ὡς ἀποπυδματισάσης δὲ κεκάπνικεν. ὡς ἐπὶ ὀπτανίου. Τὰ λάσανα. ὅτι οὕτως οἱ χυτρόποδες. ἐπὶ δὲ ἔστε τὸ ὀπτανεῖον, ἐπήγαγε καὶ τὰ λάσανα. δηλοῖ δὲ τοὺς δασεῖς αὐτῆς μηρούς. δηλοῖ δὲ, καὶ τὰ μαγειρεῖα. ὅπου τῇ βουλῇ σκευάζεται μετὰ τὰς θυσίας κρέα. Ἐξέσται ποιεῖν οὐδὲν εὐφυέστερον τῆς παρενθέσεως. ἵνα ἐπὶ πλέον χρήσασθαι δυνηθῇ τοῖς μέσοις ῥήμασιν. Ἐπὶ γῆς παλαίειν. ἅπαντα ὡς ἐπὶ συνουσίας σχημάτων καὶ θεωρίας. Πὺξ ὁμοῦ παρὰ τὸ λεγόμενον πὺξ ὁμοῦ καὶ τῷ σκέλει. παρὰ προσδοκίαν οὖν. ἀντὶ τοῦ τῷ σκέλει. δεικνύς τι τὰ μέν. ὡς ἐπὶ παλαισμάτων. τὰ δὲ ὡς ἐπὶ γυναικείων σχημάτων. Ἱπποδρομίαν, τὸ γὰρ παλαιόν. ταῖς ὑστέραις ἡμέραις τὰς ἱπποδρομίας ἦγον ἐν τοῖς ἀγῶσι. Κέλης κέλητα. παρὰ τὴν συνουσίαν καὶ τοὺς κέλητας ἵππους οἵ εἰσι μονάτορες. Ἅρματα. ἀντὶ τοῦ εἰπεῖν σώματα. περικείμενα ἀλλήλων, ἅρματα δέ ποτε τῇ δὲ τρίτῃ, τῶν ἀπατουρίων, ἱπποδρομία ἄγεται.

αὖθις τὰ τοῦ χοροῦ τρία τοῖς αὐτῷ κατ᾽ ἴσα κώλοις. ὑφ᾽ ἃ παράγραφος καὶ ἡ ἔσω δίπλη. ἑξῆς δ᾽ ἐν εἰσθέσει σύστημα κατὰ περικοπὴν στίχων ἰαμβικῶν τετραμέτρων καταληκτικῶν. ε. ὑφ᾽ οὓς κορωνίς. Εὐδαιμονέστερος. κακοδαιμονέστερος ἐν εἰρωνείᾳ. στροβίλους δέ φησι τούτους. ἢ διὰ τὸ παχὺ τοῦ σώματος, ἢ πρὸς τὸ τοῦ καρκίνου ὄνομα παίζων. ὀστρακόδερμοι γὰρ οἱ καρκίνοι. καθάπερ καὶ οἱ στρόβιλοι. τουτέστιν οἱ κοχλίαι ἢ οἱ θαλάττιοι κήρυκες. ἢ διὰ τὸ ἐν τῇ ὀρχήσει στροβεῖσθαι. ἐπειδὴ καὶ οἱ στρόβιλοι κωνοῦ ἐπέχουσι δίκην. στρόβιλος δέ ἐστιν ἡ συστροφή. στροβίλους οὖν εἶπε καθὰ καὶ ἀλλαχοῦ γυλιαύχενας. Ἡ παῖς λέλουται. κορωνὶς ἑτέρα εἰσιόντων τῶν ὑποκριτῶν. ἐξ ἰαμβείων μα᾽. ἐπὶ τῷ τέλει κορωνίς.

Σησαμῆ. παρὰ τὸ ἐν τοῖς γάμοις ἔθος. ἐδόκουν γὰρ ἐν τοῖς γάμοις σήσαμον διδόναι. ὅς ἐστι πλακοῦς γαμικὸς ἀπὸ σησάμου πεποιημένος διὰ τὸ πολύγονον. ὡς φησὶ Μένανδρος, σησαμοῦς δὲ καὶ σησαμῆ διαφέρει. σησαμοῦς μὲν εἶδος πλακοῦντος. σησαμῆ ἣν φαμὲν ἡμεῖς σησαμίδα. σήσαμα δὲ καὶ μήκωνες καὶ σισύμβρια φύλλα οἷς στεφανοῦνται οἱ νυμφίοι. καὶ σησαμοῦντα πόπανα. Βραυρῶνα δ᾽ ὑποπεπωκότες Βραυρὼν, πόλις τῆς Ἀττικῆς ἐν ᾧ τὰ Διονύσια ἦγον. καὶ μεθύοντες πολλὰς πόρνας ἥρπαζον. Πρωκτοπεντετηρίδα. παρ᾽ ὅσον διὰ πενταετηροὺς χρόνου ἤγοντο αἱ θεωρίαι τῶν Διονυσίων.

αὖθις νέος ὢν πάλιν.
μύρῳ κατάλειπτος.
Τρ. οἶμαι· τί δῆθ᾽ ὅταν ξυνὼν τῶν τιτθίων ἔχωμαι;
εὐδαιμονέστερος φανεὶς τῶν Καρκίνου στροβίλων.
οὔκουν δικαίως; ὅστις εἰς ὄχημα κανθάρου βὰς
ἔσωσα τοὺς Ἕλληνας, ὥστ᾽ ἐν τοῖς ἀγροῖσιν αὐτοὺς
ἅπαντας ὄντας, ἀσφαλῶς κινεῖν τε καὶ καθεύδειν.
Θε. ἡ παῖς λέλουται καὶ τὰ τῆς πυγῆς καλά.
ὁ πλακοῦς πέπεπται, σησαμῆ ξυμπλάττεται.
καὶ τἄλλ᾽ ἅπαξ ἅπαντα. τοῦ πέους δὲ δεῖ.
Τρ. ἴθι νυν ἀποδῶμεν τήνδε τὴν θεωρίαν,
ἀνύσαντε τῇ βουλῇ. Θε. τίς ἐσθ᾽ αὑτη; τί φῄς;
Τρ. αὕτη θεωρία ᾽στίν. ἣν ἡμεῖς ποτε
ἐπαίομεν Βραυρῶνάδ᾽ ὑποπεπωκότες.
σάφ᾽ ἴσθι κἀλήφθη μόλις. Θε. ὦ δέσποτα,
ὅσην ἔχει τὴν πρωκτοπεντετηρίδα.
Τρ. εἶεν. τίς ἐσθ᾽ ὑμῶν δίκαιος; τίς ποτε;
τίς διαφυλάξει τήνδε τῇ βουλῇ λαβών;
οὗτος τί περιαγράφεις; Θε. τὸ δεῖν᾽ ἐς Ἴσθμια
σκηνὴν ἐμαυτοῦ τῷ πέει καταλαμβάνω.
Τρ. οὔπω λέγεθ᾽ ὑμεῖς τίς ὁ φυλάξων; δεῦρο σύ.

Ἀνάρρυσιν. ἀνάρρυσις κυρία τῶν ἀπατουρίων ἡμέρα. ἀπατούρια δὲ ἑορτὴ παρ᾽ Ἀθηναίοις τὸ συμβὰν δηλοῦσα τῇ προσηγορίᾳ. καὶ ἀναρρύσειν τὸ ἐπιθύειν. ἀντὶ τοῦ θυσίαν ἐπιτελεῖν. τρεῖς δὲ ἦσαν αἱ ἡμέραι τῶν ἀπατουρίων. δόρπεια. κουρεῶτις, ἀνάρρυσις. τὴν δ᾽ αἰτίαν καίπερ ἐν ἄλλοις ἐκθεῖσαν ἡμῖν οὐ χεῖρον καὶ ἐνταῦθα θεῖναι. Ἀθηναίων γὰρ περὶ Κελαινῶν πρὸς Βοιωτοὺς πόλεμον ἀραμένων, Ξάνθιος Βοιωτὸς προεκαλέσατο τὸν Ἀθηναίων βασιλέα Θυμοίτην. καὶ οὗτος μὲν οὐκ ἐδέξατο. Μελάνθιος δέ τις Ἀρκὰς τὸ γένος ἐν Ἀττικῇ ὢν καὶ οἰκῶν, ὑπέστη τὸ μονομάχιον. καὶ κατελθὼν

220. a

193. b

ἀοῖον ἀστὴρ, παίζει. Οἱ καόμενοι. οἱ σπινθηρίζοντες. οἱ καλούμενοι διάπυροι ὄντες. οἱ ἐν τῷ λάμπειν τοὺς σπινθῆρας πέμποντες. Ἰπνούς. οὓς νῦν ἡμεῖς λαμπτῆρας ἢ φανοὺς καλοῦμεν τοὺς δὲ νῦν φανοὺς καλουμένους λύχνους, τινάς φασι λέγειν τῶν παλαιῶν. τὰς δὲ λαμπάδας, τοὺς τραγικούς, φανούς, ἢ πανοὺς διὰ τοῦ π. Ταυτηνὶ λαβών. ἐλέγετο ὅτι δύο πόρνας εἶχε τῇ εἰρήνῃ συναφθείσας τήν τε ὀπώραν καὶ τὴν θεωρίαν ὧν τὴν μὲν ὀπώραν, ἔδωκε τοῖς γεωργοῖς. τὴν δὲ βουλὴν τῇ θεωρίᾳ. τούτων οὖν τὴν μὲν ὀπώραν τοῖς οἰκέταις ὁ Τρυγαῖος δίδωσιν ἀπάγειν εἰς τὴν οἰκίαν. ὡς αὐτὸς αὐτὴν γαμήσων. καὶ παρακελεύεται τὰ πρὸς τοὺς γάμους αὐτῆς εὐτρεπίσαι. τὴν δὲ θεωρίαν αὐτός φησιν ἀπομόσας, δώσειν τῇ βουλῇ. ἴσως δὲ ἡ εἰρήνη, ἐν τῷ οὐρανῷ ἔμενεν. Πορνοβοσκοῦσι. πιθανῶς ἐδήλωσεν, ὅτι πόρναι ἦσαν, ἥ τε ὀπώρα καὶ ἡ θεωρία. Οὔκ. ἀλλά. οὐχ ὡς ἐναντίαν ἀπόφασιν ἀλλ' ὡσεὶ ἔλεγεν οὐχὶ κἀκεῖ τινές εἰσιν ἀπὸ τούτου. ἐπεὶ πῶς ἀπαρνησάμενος συντίθεται

οἱ καόμενοι θέουσιν. Τρ. ἀπὸ δείπνου τινὲς
τῶν πλουσίων οὗτοι βαδίζουσ' ἀστέρων.
ἰπνοὺς ἔχοντες. ἐν δὲ τοῖς ἰπνοῖσι πῦρ.
ἀλλ' εἴσαγ' ὡς τάχιστα ταυτηνὶ λαβὼν
καὶ τὴν πύελον κατάκλυζε. καὶ θέρμαιν' ὕδωρ.
στόρνυτέ μοι καὶ τῇδε κουρίδιον λέχος.
καὶ ταῦτα δράσας, ἧκε δεῦρ' αὖθις πάλιν.
ἐγὼ δ' ἀποδώσω τήνδε τῇ βουλῇ πέως.
Θε. πόθεν δ' ἔλαβες ταύτας σύ. Τρ. πόθεν ἐκ τοῦ οὐρανοῦ
Θε. οὐκ ἂν ἔτι δοίην τῶν θεῶν τριώβολον.
εἰ πορνοβοσκοῦσ' ὥσπερ ἡμεῖς οἱ βροτοί.
Τρ. οὔκ. ἀλλὰ κἀκεῖ ζῶσιν ἀπὸ τούτων τινές.
Θε. ἄγε νῦν ἴωμεν. εἰπέ μοι δῶ καταφαγεῖν
ταύτῃ τί; Τρ. μηδέν. οὐ γὰρ ἐθελήσει φαγεῖν.
οὔτ' ἄρτον. οὔτε μᾶζαν. εἰωθυῖ' ἀεὶ
παρὰ τοῖς θεοῖσιν ἀμβροσίαν λείχειν ἄνω.
Θε. λείχειν; ἄρ' αὐτῇ κἀνθάδε σκευαστέον.
Χο. εὐδαιμονικῶς γ' ὁ πρεσ-
βύτης ὅσα γ' ὧδ' ἰδεῖν,
τανῦν τάδε πράττει.
Τρ. τί δῆτ' ἐπειδὰν νυμφίον μ' ὁρᾶτε λαμπρὸν ὄντα.
Χο. ζηλωτὸς ἔσει γέρον

πάλιν. Ἄγε νῦν. ὁ θεράπων λέγει τῇ ὀπώρᾳ. εἶτα ἐρωτᾷ δὲ τὸν δεσπότην περὶ τῆς ὀπώρας. Λείχειν αἰῶ. τοῦτο καὶ τὸ ἑξῆς διὰ τὸ κακέμφατον τινὲς παραιτοῦνται. ὅτι ἐπαμφοτεριζόντως λέλεκται καὶ πρὸς τὸ πρᾶγμα καὶ πρὸς τὸ ἀσελγές. Κανᾶ. κανίσκια. Εὐδαιμονικῶς. στροφὴ ἀμοιβαία κώλων ζ΄. ἔχει δὲ καὶ ἀντιστροφὴν τὸ ἢ χρηστὸς ἀνήρ. καὶ εἰσὶ τοῦ μὲν χοροῦ τὰ κῶλα ἰωνικὰ ἀπὸ μείζονος. τὰ μὲν β΄. δίμετρα ἀκατάληκτα. τὸ δὲ γ΄. ἡμιόλιον. ὁ δὲ τοῦ ὑποκριτοῦ στίχος. ἰαμβικὸς τετράμετρος καταληκτικός. καὶ

θέτους εἶναι παρ' αὐτοῖς. Ἀναβολάς. τὰς ἀρχὰς τῶν ᾀσμάτων. Ὅμηρος. ἤτοι ὁ φορμίζων, ἀνεβάλλετο καλὸν ἀείδειν. Τὰς ἐνδιαεριαυερινηχέτους. κωμῳδεῖ τοὺς διθυραμβοποιούς. ὡς ἀπὸ τοῦ ἀέρος ἀρχομένους καὶ λέξεις τινὰς αὐτῶν διαβάλλει. ὡς τοιαῦτα λεγόντων. Δίδυμος δὲ πεπλάνηται λέγων αἰερινηχέτους. οὐ γὰρ λέγουσιν αἴθερα οὗτοι. συνεχῶς δὲ αὐτοὺς κωμῳδοῦσιν ὡς αὔρας καὶ νεφέλας. καὶ τὰ ἐκ τούτων σύνθετα ποιοῦντας. μήποτε δὲ οὐκ ἀορίστως μόνον, ἀλλὰ καί τινας τῶν διθυραμβοποιῶν λέξεις χλευάζει.

Ἄλλως τὰ προοίμια τῶν διθυραμβοποιῶν, ὡς ἐπὶ τὸ πλεῖστον ἀπᾴδοντά ἐστι. καὶ οὐδὲν πρὸς τὸ πρᾶγμα δηλοῖ. τὸ δὲ τοιοῦτον μετεώρων ἀνδρῶν.

Θε. τί δ' ἔπαθες. Τρ. ἤλγουν τὼ σκέλη μακρὰν ὁδὸν
διεληλυθώς. Θε. ἴθι νυν κάτειπέ μοι. Τρ. τὸ τί.
Θε. ἄλλον τιν' εἶδες ἄνδρα κατὰ τὸν ἀέρα,
πλανώμενον πλὴν σαυτόν; Τρ. οὔκ. εἰ μή γέ που
ψυχὰς δύ' ἢ τρεῖς διθυραμβοδιδασκάλων.
Θε. τί δ' ἔδρων. Τρ. ξυνελέγοντ' ἀναβολὰς ποτώμεναι.
τὰς ἐνδιαεριαυερινηχέτους τινάς.
Θε. οὐκ ἦν ἄρ' οὐδ' ἃ λέγουσι κατὰ τὸν ἀέρα;
ὡς ἀστέρες γινόμεθ' ὅταν τις ἀποθάνῃ;
Τρ. μάλιστα. Θε. καὶ τίς ἐστιν ἀστὴρ νῦν ἐκεῖ.
Τρ. Ἴων ὁ Χῖος. ὅσπερ ἐποίησε πάλαι.
ἐνθάδε τὸν ἀοῖόν ποθ' ὡς δ' ἦλθ' εὐθέως,
ἀοῖον αὐτὸν πάντες ἐκάλουν ἀστέρα.
Θε. τίνες γάρ εἰσ' οἱ διατρέχοντες ἀστέρες.

Ἴων ὁ Χῖος. διθυράμβων καὶ τραγῳδίας καὶ μελῶν ποιητής. ἐποίησε δὲ ᾠδὴν ἧς ἡ ἀρχή, ἀοῖον ἀεροφοίταν ἀστέρα μείνομεν ἀελίου λευκοπτέρυγι πρόδρομον. φαίνεται δὲ τετελευτηκὼς ἐκ τούτου. παίζων οὖν ὁ Ἀριστοφάνης, ἀοῖον αὐτόν φησιν ἀστέρα κληθῆναι. περιβόητος δὲ ἐγένετο. ἔγραψε δὲ καὶ κωμῳδίας καὶ ἐπιγράμματα καὶ παιᾶνας καὶ ὕμνους. καὶ σκολιά. καὶ ἐλεγεῖα. καὶ καταλογάδην τὸν πρεσβευτικὸν λεγόμενον. ὃν νόθον ἀξιοῦσί τινες εἶναι οὐχὶ αὐτοῦ. φαίνεται δὲ αὐτοῦ καὶ κτίσις. καὶ κοσμολογικός. καὶ ὑπομνήματα. καὶ ἄλλα τινά. καὶ πάνυ δόκιμος ἦν. φασὶ δὲ αὐτὸν ὁμοῦ διθύραμβον καὶ τραγῳδίαν ἀγωνισάμενον Ἀθήνησι καὶ νικήσαντα, ἑκάστῳ τῶν Ἀθηναίων δοῦναι Χῖον κεράμιον. υἱὸς δὲ ἦν Ὀρθομένους ἐπίκλησιν δὲ Ξούθου. ἤρξατο δὲ τὰς τραγῳδίας διδάσκειν ἐπὶ τῆς ὀγδοηκοστῆς δευτέρας ὀλυμπιάδος. δράματα δὲ αὐτοῦ δώδεκα. οἱ δὲ τριάκοντα. ἄλλοι δὲ τεσσαράκοντά φασιν. Ὡς δ' ἦλθεν. ἐνθάδε, ἀντὶ τοῦ εἰς τὸν οὐρανὸν ἀπέθανεν. Ἀοῖον αὐτόν. ὅτι ὁ μὲν Ἴων ἤδη τέθνηκε, δῆλον. οὐκ ἄδηλον δὲ ἐστὶν ὅτι πρὸς τὸ ὑπ' αὐτοῦ ἔν τινι τῶν διθυράμβων λεγόμενον τὸ

Ἄμφω. στιχιδίον εἰς τὸ ἄμφω. ὅτι τραγικοὶ ἀμφότεροι, μελάνθιος καὶ ὁ τούτου ἀδελφὸς, δῆλον. τὸ δὲ γοργόνες καὶ ὀψοφάγοι, ἀπὸ μελανθίου μόνου. τοιοῦτος γὰρ οὗτος διαβάλλεται. τινὲς δὲ εἰς δ' εἶχον στίζουσιν. ἵνα μελάνθιος μὲν ἔχῃ τὸν χορόν. ἀμφότεροι δὲ ὦσιν ὀψοφάγοι. Βατιδοσκόποι. βάτις εἶδος ἰχθύος. ἢ καθόλου οἱ ἰχθύες. ἅρπυιαι δὲ, ἅρπαγες τῶν ἰχθύων. ἅρπυια γὰρ, ἁρπακτικὸν ζῶον. Γραοσόβαι. ἀπὸ τῶν ἰχθύων ἀποσοβοῦντες γραΐδας. ὡς μὴ ἀγοράζειν. ἢ γραῒ συγκοιμώμενοι σοβάδας γὰρ τὰς πόρνας λέγουσιν ἐν τῇ πόλις. παρὰ τὴν δὲ σὺ τὴν σοβάδι κατήγου ὡς γραοφίλους δὲ αὐτοὺς εἰσάγει. καὶ περὶ γραῶν ἐρωτοπεπονημένους ἀντὶ τοῦ γραῶν ὀχλοῦντας.

φός τι καὶ αὐτὸς ἄμφω.
Γοργόνες ὀψοφάγοι.
βατιδοσκόποι. ἅρπυιαι.
Γραοσόβαι. μιαροί,
τραγομάσχαλοι
ἰχθυολῦμαι.
ὧν καταχρεμψαμένη
μέγα καὶ πλατὺ
μοῦσα θεά, μετ' ἐμοῦ
ξύμπαιζε τὴν ἑορτήν.

Τρ. ὡς χαλεπὸν ἦν ἐλθεῖν ἄρ' εὐθὺ τῶν θεῶν.
ἔγωγέ τοι πεπόνηκα κομιδῇ τὰ σκέλη.
μικροὶ δ' ὁρᾶν ἄνωθεν ἦστ' ἔμοιγέ τοι,
ἀπ' οὐρανοῦ φαίνεσθε κακοήθεις πάνυ.
ἐντευθενὶ δὲ, πολύ τι κακοηθέστεροι.
Θε. ὦ δέσποθ' ἥκεις; Τρ. ὡς ἔγωγ' ἐπυθόμην τινός.

Τραγομάσχαλοι. δύσοσμοι. οἱ γὰρ ἄρρενες τῶν αἰγῶν, τοιοῦτοι. Ἰχθυολῦμαι οἱ γὰρ ἀθηναῖοι τοὺς ἰχθύας εἶχον ὡς μέγα ἔδεσμα.

Καταχρεμψαμένη. μέγα καταπτύσασα αὐτῶν ὦ μοῦσα τῶν προειρημένων ποιητῶν καὶ τῶν παίδων τοῦ καρκίνου. Ὡς χαλεπόν. κορωνίς. προΐασι γὰρ οἱ ὑποκριταί. καὶ τὰ πρῶτα ἰαμβικὰ τρίμετρα ἀκατάληκτα. λε΄. ἐπὶ τῷ τέλει κορωνίς. ὁ τρυγαῖος δέ ἐστι κατελθὼν ἐκ τοῦ οὐρανοῦ, καὶ λοιπὸν τῇ οἰκίᾳ πλησιάσας, καὶ τὸν κόπον. ὃν ὑπέστη, διηγεῖται. Κακοήθεις πάνυ. ἀντυπήλλαξεν. ἀντὶ τοῦ εἰπεῖν μικρότεροι. παρ' ὑπόνοιαν διαβάλλων ἀθηναίους ὡς κακουργεῖν ἑτοίμους. δοκεῖ, δὲ καὶ τοῖς ἄνω τὰ κάτω μικρὰ φαίνεσθαι. Ἐπυθόμην τινός. ἀντὶ τοῦ εἰπεῖν ὡς νομίζω, ὡς περὶ ἄλλου φησί. Ψυχὰς δύ' ἢ τρεῖς. διαβάλλει αὐτοὺς ὡς μετεώρους. ἐπεὶ περὶ τῶν νεφελῶν λέγουσι πολλά. συνεχῶς δὲ κωμῳδοῦσι τοὺς διθυραμβοποιούς. ὡς ἐκ τοῦ καὶ ἀέρος, τῶν νεφελῶν σπῶντας τὰς λέξεις. διὰ τὸ, συν

Τοιάδε χρὴ χαρίτων. τῇ στροφῇ ἀποδέδωκε τὴν ἀντίστροφον. πάλιν γὰρ αὐτῷ τὸν οἰκ- ον ἐπανέδραμεν ἔπαινον. φάσκων ὅτι διὰ ταῦτα πάντα χρὴ τοὺς θεατὰς μετὰ πάσης εὐνοίας ἀποδέχεσθαι τὰ ὑπ᾽ αὐτοῦ ποιήματα. εἴδομεν οὖν τὴν στροφὴν τί ἐστι, καὶ πῶς τὴν ἀντιστροφὴν ἐπήγαγε. καὶ ταῖς νεφέλαις δὲ εἴπομεν. ὅτι δεῖ πάντως ἀνταποδίδοσθαι τῇ στροφῇ τὴν ἀντίστροφον. εἶτα ἀμφοτέραις ἐπαγαγεῖν τὸν ἐπῳδόν. ἐκ τούτων γὰρ τὰ χορικὰ συνεστᾶσι στροφῆς. ἀντιστρόφου, ἐπῳδοῦ. ἀντίστροφος δὲ εἴρηται διὰ τὸ ἀναστρέφειν ἐπὶ τὸν ἐξ ἀρχῆς νοῦν τοῦ λόγου μεταξὺ λεγομένων τῶν περιττῶν. καὶ ὥσπερ ἐντεθειμένων καὶ δυναμένων ὑπεξαιρεῖσθαι. οὐδὲν ἧττον τῆς ἀκολουθίας σωζομένης. ἔχει δὲ οὕτως ἀνδρῶν τε ἐς δαῖτας καὶ θαλίας μακάρων. σοὶ γὰρ τάδ᾽ ἐξ ἀρχῆς μέλει. εἶτα, τοιάδε χρὴ χαρίτων. διὰ μέσου, δὲ τὰ περὶ τῶν καρκίνου παίδων. ἔστι δὲ παρὰ τὰ στησιχόρου. ἐκ τῆς ὀρεστείας. τοιάδε χρὴ χαρίτων δαμώματα καλλικόμων ὑμνεῖν, φρύγιον μέλος ἐξευρόντα ἁβρῶς ἦρος ἐπερχομένου. δαμώματα δὲ, τὰ δημόσια ᾀδόμενα.

τοιάδε χρὴ χαρίτων
δαμώματα καλλικόμων
τὸν σοφὸν ποιητὴν
ὑμνεῖν. ὅταν ἠρινὰ μὲν
φωνῇ χελιδὼν
ἑζομένη κελαδῇ
χορὸν δὲ μὴ ᾽χῃ μόρσιμος.
μηδὲ μελάνθιος. οὗ δὴ
πικροτάτην ὄπα γηρύ-
σαντος ἤκουσ᾽
ἡνίκα τῶν τραγῳδῶν
τὸν χορὸν εἶχον ἀδελ-

Ὅταν ἠρινή. καὶ αὕτη δοκεῖ στησιχόρειος. φησὶ γὰρ οὕτως ὅταν ἦρος ὥρᾳ κελαδῇ χελιδών. Μόρσιμος μηδὲ μελάνθιος. τραγικοὶ ποιηταὶ ἀμφότεροι. ὁ δὲ μόρσιμος φιλοκλέους τοῦ τραγικοῦ υἱὸς, πονηρὸς καὶ ἄμετρος. ὁ δὲ μελάνθιος κωμῳδεῖται εἰς μαλακίαν καὶ ὀψοφαγίαν. καὶ πολὺ μᾶλλον ἐν τοῖς κόλαξιν. εὔπολις, ὡς κίναιδον αὐτὸν διαβάλλει καὶ κόλακα. ἀλλὰ καὶ ὡς λευκὰς ἔχοντα καὶ λεπράς Ἀριστοφάνης ἐν ὄρνισιν ὡς οὐκ ἰδὼν βδελύττομαι τὸν λέπρεον ἀπὸ μελανθίου. Ἀδελφός τε καὶ αὐτός. ὡς καὶ τοῦ ἀδελφοῦ τοῦ μελανθίου τραγικοῦ ὄντος αἰσχίμου. Εἰς τὸ αὐτό. δέχονταί τινες ὡς καὶ τοῦ ἀδελφοῦ τοῦ μελανθίου τραγικοῦ ποιητοῦ ὄντος. αἰσχίμου δέ. οὐκ ἀνάγκη δὲ διαιρεῖν καὶ ποιεῖν, πρὸς τὸ, τὸν χορὸν ἔχειν τὸ, ἀδελφός τε καὶ αὐτός. ἀλλὰ τὰ μὲν πρῶτα, ἰδία περὶ τοῦ μελανθίου μέχρι τοῦ χοροῦ εἶπεν. ἀπ᾽ ἄλλης δὲ ἀρχῆς. περί τε αὐτοῦ καὶ τοῦ ἀδελφοῦ, τὰ εἰς ὀψοφαγίαν. ὅτι καὶ ὁ μελάνθιος ὀψοφάγος, προείρηται δὲ παρ᾽ εὐπόλιδι ἐν ἀστρατεύτοις.

γας ἐκτείνεται. νῦν δὲ διὰ τὸ μέτρον συνέσταλται. Γυλιαύχενας. αὐχένας οὐκ ἔχοντας. ὥσπερ ὁ γύλιος. ὡς μικροὺς δὲ καὶ γογγυλώδεις σκώπτει. ἐχόρδιον δὲ οὔτοι τῷ πατρί. Ἄλλως. μακροτραχήλους. γύλιος γάρ, πλέγμα ἐστὶ στρατιωτικὸν ἐπιμήκες. τουτέστιν εἰς ὀξὺ λῆγον. κολοβὸν οὖν εἰκὸς εἶναι τὸ ὅλον σῶμα. καὶ μόνον τὸν τράχηλον μακρόν. Ἄλλως. γύλιος πλεκτόν τι σκεῦος στρατιωτικόν. στενόστομον. ἐν ᾧ τὰ σιτία ἐμβάλλουσι. διαβάλλει δὲ αὐτούς, ὡς λεπτοὺς καὶ λεπτούς. καὶ μακροὺς τραχήλους ἔχοντας. ἐν τοῖς ἀντιφερομένοις δὲ ἐξηγήσεται, ὅτι ἐστὶ τὸ γυλιαύχενας. ὀρχηστὰς δέ, εἰσέφερε γὰρ αὐτοὺς ὁ πατὴρ ἐν τοῖς δράμασιν ὀρχουμένους.

γυλιαύχενας ὀρχηστὰς
ναννοφυεῖς, σφυράδων
ἀποκνίσματα.
μηχανοδίφας.
καὶ γὰρ ἔφασχ' ὁ πατὴρ
ὁ παρ' ἐλπίδας
εἶχε τὸ δρᾶμα, γαλῆν
τῆς ἑσπέρας ἀπάγξαι

Ναννοφυεῖς. νάννοι γὰρ λέγονται, οἱ κολοβοὶ τῶν ἀνθρώπων· οἱ δὲ κολοβοὶ τῶν ἵππων, γίννοι λέγονται. Σφυράδων ἀποκνίσματα. ταπεινοὺς, καὶ μικρούς. οὐδὲ ὅλας σφυράδας. σφυράδες δέ εἰσι, τὰ τῶν αἰγῶν καὶ προβάτων ἀποπατήματα. εὔπολις αἰξί, σφυράδων πολλῶν ἀναμέστη. ἡ δὲ σφυρὰς κυάμου ἔχει τὸ μέγεθος. ταύταις οὖν ἀπεικάζει αὐτούς. μᾶλλον δὲ οὐδὲ ταύταις. ἀλλὰ τοῖς ἀποκνίσμασιν αὐτῶν καὶ ἀποτμήμασιν ἀπεικάζει οὖν αὐτοὺς διὰ τὸ βραχύ. ἡ γὰρ τοῦ μικροῦ μερὶς μικρά, οὐδὲν εἴη.

Μηχανοδίφας. ἀπὸ μέρους τούτου. ξενοκλῆς γὰρ ὁ καρκίνου, δοκεῖ μηχανὰς καὶ τερατείας εἰσάγειν ἐν τοῖς δράμασι. πλάτων σοφισταῖς. ξενοκλῆς ὁ δωδεκάμηχανος ὁ καρκίνου παῖς τοῦ θαλαττίου. μηχανοδίφας δὲ εἶπεν αὐτούς, ἐπειδὴ πολλάκις ὡς τραγῳδοὶ μηχανὰς προσέφερον. ἡνίκα θεοὺς ἐμιμοῦντο ἀνερχομένους. ἢ κατερχομένους ἐκ τοῦ οὐρανοῦ. Ὁ παρ' ἐλπίδας. τοῦτο πρὸς τὸ ἄνω. μὴ τ' ἔλθῃς αὐτοῖς συνέριθος. καὶ γὰρ εἶχεν ὁ πατὴρ γαλῆν τινα τῆς ἑσπέρας ἀπάγξαι τὸ δρᾶμα αὐτοῦ ὅπερ εἶχε παρὰ προσδοκίαν. τουτέστιν ὃ μετὰ μόχου συνεγράψατο. διαβάλλει δὲ αὐτὸν ὡς νόθον περὶ τὰ κλέμματα δράμα δὲ ἐποίησε τοὺς μύας. διὰ τοῦτο καὶ γαλῆν εἶπεν ἀπάγξαι. Γαλῆν τῆς ἑσπέρας. ἀντὶ τοῦ ὑπὸ τῆς γαλῆς τὸ δρᾶμα ἀπαγχθῆναι. δρᾶμα δὲ ποιήσας ὁ καρκίνος ἢ ὁ ξενοκλῆς παρῆλθε μέγα καυχώμενος ἐπ' αὐτῷ καὶ παρελθὼν ἡττήθη. ὡς ἡττηθέντος οὖν εἶπεν, ἐν ᾧ μεγάλας ἐλπίδας εἶχε δρᾶμα. ἐπειδὴ δὲ αἱ γαλαῖ τοὺς μῦς νυκτὸς ἀγρεύουσι, παρὰ τοῦτο παίζει.

Καὶ μὴ ἀφαίρει γενναιοτάτου. μηδὲν ἀφαίρει τῶν προκειμένων. ἀλλὰ πάντα παράθες. τὸ δὲ σχῆμα, ἀττικὸν τὸ, γενικὴν εἰπεῖν ἀντὶ αἰτιατικῆς. ὡς νῦν εἶπε τῶν τρωγαλίων. ἀντὶ τοῦ τὰ τρωγάλια. Μοῦσα σὺ μὲν πολέμου. τὸ χ, πρὸς τὴν ἀλλαγὴν τοῦ μέτρου. αὕτη δὲ πλοκή ἐστι καὶ ἔλαβεν. σφόδρα δὲ γλαφυρὸν εἴρηται. καὶ ἔστι στησιχόρειον. Μοῦσα σὺ μέν. ἡ ᾠδὴ αὕτη καὶ στροφὴ κώλων ἐστὶ κβ΄, τοσούτων δὲ καὶ ἡ ἀντῳδὴ καὶ ἀντιστροφή. οὐ γὰρ διήρηνται. ἀλλ' ἐχόμεναι εἰσὶν ἀλλήλων. ἐπεὶ οὐ κεῖται μεταξὺ τὸ ἐπίρρημα. τὰ μὲν οὖν α΄ ϛ΄ ιδ΄. ιϛ΄. ιθ΄. κα΄. δακτυλικὰ πενθημιμερῆ. τὰ δὲ β΄ δ΄. προσῳδιακὰ δίμετρα ἀκατάληκτα ἐκ παίωνος β΄. καὶ χοριάμβου. τὸ δὲ γ΄. τροχαϊκὸν ἰθυφαλλικόν. τὸ ε΄. ἰαμβικὸν πενθημιμερές. τὸ δὲ ζ΄. ἀκατάληκτον δίμετρον. τὰ η΄. θ΄. ια΄. δακτυλικὰ τρίμετρα. τὸ ι΄. τροχαϊκὴ βάσις. τὰ ιβ΄. ιγ΄. χοριαμβικὰ εἰς βακχεῖον περαιούμενα δίμετρα. τὸ ιε΄. ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. τὰ ιζ΄. κ΄. ἀναπαιστικαὶ βάσεις. τὸ ιη΄. δακτυλικὸν δίμετρον. τὸ τελευταῖον ἰαμβικὸν ἑφθημιμερές. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος. τῆς δ' ἀντιστροφῆς. κορωνίς.

τῶν τρωγαλίων. καὶ μὴ ἀφαίρει
γενναιοτάτου τῶν ποιητῶν
ἀνδρὸς τὸ μέτωπον ἔχοντος.
ΧΟ. μοῦσα. σὺ μὲν πολέμους
ἀπωσαμένη μετ' ἐμοῦ
τοῦ φίλου χόρευσον.
κλείουσα θεῶν τε γάμους,
ἀνδρῶν τε δαῖτας.
καὶ θαλίας μακάρων.
σοὶ γὰρ τάδ' ἐξ ἀρχῆς μέλει.
ἢν δέ σε καρκίνος ἐλθὼν
ἀντιβολεῖ μετὰ τῶν παίδων χορεῦσαι,
μήθ' ὑπακούσῃς, μήτ' ἔλ-
θῃς συνέριθος αὐτοῖς.
ἀλλὰ νόμιζε πάντας
ὄρτυγας οἰκογενεῖς.

Κλείουσα θεῶν τε γάμους. ὅτι σύνηθες ἦν τοῖς παλαιοῖς, ᾄδειν θεῶν τε καὶ ἡρώων γάμους. σημειοῦται δὲ ταῦτα, ὁ μόσχος πρὸς τοὺς ἀθετοῦντας τὴν ἐν ὀδυσσείᾳ ἄρεος καὶ ἀφροδίτης μοιχείαν. Ἢν δέ σε καρκίνος. καρκίνος τραγῳδίας ποιητής. ὃς εἶχε ταπεινούς τινας παῖδας. ἐν δὲ τῷ ἀντιγράφῳ παροξύτονον εὗρον τὸ καρκίνος ἴσως οὖν συνέστελλεν αὐτό, ὡς καὶ ἄρατος. παῖδες δὲ καρκίνου τρεῖς. ξενοκλῆς. ξενότιμος. ξέναρχος. τραγικοὶ δὲ οὗτοι χορευταί. οἵτινες διὰ τὴν σμικρότητα τῶν σωμάτων ὄρτυγες ἐκαλοῦντο. Ὄρτυγας οἰκογενεῖς. δέον ὄρνιθας οἰκογενεῖς εἰπεῖν, ὄρτυγας εἶπε. πρᾶγμα τῆς φύσεως ἀλλότριον. πλὴν εἰ μὴ ὡς μαχίμους διαβάλλοι τοὺς παῖδας τοῦ καρκίνου. φιλεριστικὴ γὰρ τῶν ἀρρένων ὀρτύγων ἡ φύσις. οἰκογενεῖς δέ, ἀντὶ τοῦ ἡμέρους ἐν οἴκῳ τεθραμμένους. προείρηται δὲ περὶ τῶν καρκίνου υἱῶν. ὅτι μικροί. ἀεὶ μέντοι τὸ ὀρτυ-

Λαμίας ὄρχεις. δραστικοὶ γὰρ οἱ ὄρχεις. Δίδυμος δέ, εἰδωλοποιεῖ τινας ὄρχεις λαμίας θηλυγαρ· ἐντεῦθεν καὶ Λάμος ἡ πόλις τῶν Λαιστρυγόνων. λέγεται ἡ Λαμία βήλου καὶ Λιβύης θυγάτηρ. ταύτης ἐρασθῆναι τὸν Δία φασίν. μεταγαγεῖν δὲ αὐτὴν ἀπὸ Λιβύης εἰς Ἰταλίαν, ἀφ' ἧς καὶ πόλις ἐν Ἰταλίᾳ, Λάμια προσαγορεύεται. ἔνθεν αὐτῇ συνελθὼν ὁ Ζεύς, οὐκ ἔλαθε τὴν Ἥραν. ἥτις ζηλοτυποῦσα τὴν Λάμιαν, τὰ γινόμενα αὐτῇ τέκνα ἀνῄρει. ἡ δὲ ἀποθνησκόντων αὐτῆς τῶν παιδίων βαρυθυμοῦσα, τὰ τῶν ἄλλων παιδία διὰ φθόνον ὑπεκλέπτουσα ἀνῄρει. διὰ τοῦτο καὶ τὰς τίτθας ἐκφοβούσας τὰ βρέφη καλεῖν ἐπ' αὐτοῖς τὴν Λάμιαν. μυθεύεται δὲ ὡς ἄϋπνος αὕτη διατελεῖ θυλασθήρας. ἵνα καὶ ἡμέρας καὶ νύκτας ἐν τῷ πένθει ᾖ. ἕως οὗ αὐτὴν ἐλεήσας ὁ Ζεύς, ἀφεῖλε τοὺς αὐτῆς καὶ τοὺς ὀφθαλμοὺς ἐποίησεν ὅπως ἐν αὐτῇ ᾖ ἐξαιρεῖσθαι καὶ πάλιν θεῖναι. λέγεται δὲ ἐσχηκέναι παρὰ Διός καὶ τὸ μεταμορφοῦσθαι εἰς ὅ,τι οὖν βούλεται. ἀλλόκοτον δέ τι τέρας ὑποστήσασθαι βούλεται τὸν Κλέωνα. τὴν γὰρ λάμιαν φησὶν ἄγριον εἶναι ζῶον καὶ δύσοσμον καὶ ἀνήμερον. οὐκ ἀρκεσθεὶς δὲ τούτοις αὐτὸν εἰκάσαι μόνοις προσέθηκεν ἄπλυτον, ἵνα μᾶλλον αὐξήσῃ τὴν περὶ τὸν Κλέωνα δυσοσμίαν. Τοιοῦτον ἰδὼν τέρας. εἰρηκὼς τῶν σκωμμάτων αὐτοῦ τὸ κατ' εἶδος, ἔσκωψεν αὐτὸν πάλιν ἐπὶ τὸ γενικὸν ἀναδραμών. διὸ οὐ τέρας αὐτὸν καλεῖ μείζονα δόξαν τῶν προειρημένων, καταλιπὼν ἔχειν τοῖς ἀκηκοόσι περὶ αὐτοῦ. Παῖδας ἐπείρων. ὡς τῶν ἄλλων ἐξιόντων καὶ δεομένων τῶν νέων καὶ τῶν παίδων. εἰς τὸ σπουδάζειν αὐτούς, ἵνα νικήσωσιν. εἰώθασι δὲ καὶ παιδεραστεῖν ἀβρυνόμενοι τῇ νίκῃ. αἰνίττεται δὲ εἰς Εὔπολιν καὶ τοὺς περὶ αὐτὸν ὡς παίδων ἐρῶντας καὶ παλαίστρας περιερχομένους. Παῦρ' ἀνιάσας. ὡς τῶν νικώντων ταῦτα ποιούντων καὶ εἰς ὕβριν ἐξελκομένων. ὀλίγα κωμῳδήσας ἢ οὐδὲν λυπήσας. ὁμοίως τῷ, ἢ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο Τυδεύς. Πρὸς ταῦτα χρεών. διὰ ταῦτα ὑμᾶς ἀξιῶ συλλαμβάνεσθαι, ἢ δι' αὐτὰ τὰ δίκαια. Καὶ τοῖς φαλακροῖσι. τοῦτο εἰς ἑαυτόν. φαλακρὸς γὰρ ἦν ὁ Ἀριστοφάνης. τρωγαλίων δὲ τῶν τραγημάτων. οὕτως οἱ παλαιοί.

φώκης δ' ὀσμήν. Λαμίας ὄρχεις ἀπλύτους. πρωκτὸν δὲ καμήλου
τοιοῦτον ἰδὼν τέρας, οὐ κατέδεισ' ἀλλ' ὑπὲρ ὑμῶν πολεμίζων,
ἀντεῖχον ἀεί, καὶ τῶν ἄλλων νήσων. ὧν εἵνεκα νυνί.
ἀποδοῦναι τὴν χάριν εἰκὸς ὑμᾶς, καὶ μνήμονας εἶναι.
καὶ γὰρ πρότερον πράξας κατὰ νοῦν, οὐχὶ παλαίστρας
παῖδας ἐπείρων ἀλλ' ἀράμενος τὴν σκευήν, εὐθὺς ἐχώρουν,
παῦρ' ἀνιάσας. πόλλ' εὐφράνας.
πάντα παρασχὼν τὰ δέοντα.
πρὸς ταῦτα χρεὼν εἶναι μετ' ἐμοῦ,
καὶ τοὺς ἄνδρας καὶ τοὺς παῖδας
καὶ τοῖς φαλακροῖσι παραινοῦμεν.
ξυσπουδάζειν περὶ τῆς νίκης
πᾶς γάρ τις ἐρεῖ νικῶντος ἐμοῦ
κἀπὶ τραπέζῃ καὶ ξυμποσίοις. Ϲ
φέρε τῷ φαλακρῷ. δὸς τῷ φαλακρῷ.

Ἀλλ' ἡρακλέους ὀργήν. ἐνδόξας πάλιν παρέλαβεν αὐτὸς τὸν ἡρακλῆν. λέγει γάρ, οὐ κατὰ τοὺς ἄλλους ποιητὰς μετρίους τινὰς καὶ φαύλους λοιδορεῖν καὶ κωμῳδεῖν, προειλόμην. ἀλλ' ὥσπερ ἡρακλῆς τοὺς μεγάλους ἄθλους ὑπέστη, οὕτω κἀγὼ τοὺς ἀρίστους καὶ μέγα δυναμένους παρ' ἡμῖν, κωμῳδεῖν εἱλόμην. ἡρακλέα γὰρ μιμούμενος, οὐκ εὐτελεῖς ἄνδρας κωμῳδεῖν ἐπεχείρισα.

Διαβὰς βυρσῶν ὀσμάς. ὡσανεὶ ἔλεγε ποταμοὺς ἢ χαράδρας. διὰ δὲ τὸν κλέωνα ταῦτα. εἰκὸς γὰρ ἦν αὐτὸν ἀπειλεῖν τῷ ἀριστοφάνει διὰ τὰς ὕβρεις. τὸ βαρβαρῶδες δὲ τοῦ κλέωνος δηλοῖ, διὰ τοὺς βαρβαρισμούς. παφλαγὼν γὰρ ἦν. τοῦ ἡρακλέους δὲ μνημονεύσας, ἐξῆς τό, βυρσῶν ὀσμὴν ἐπήγαγεν. ἐπεὶ δοκεῖ ὁ ἡρακλῆς τὴν αὐγέου κόπρον ἐκκεκαθαρκέναι.

Οὐκ ἰδιώτας ἀνθρωπίσκους κωμῳδῶν. οὐδὲ γυναῖκας.
Ἀλλ' ἡρακλέους ὀργήν τιν' ἔχων, τοῖσι μεγίστοις ἐπιχειρεῖ.
διαβὰς βυρσῶν ὀσμὰς δεινάς. κἀπειλὰς βορβοροθύμους
καὶ πρῶτον μὲν μάχομαι πάντων αὐτῷ τῷ καρχαρόδοντι
οὗ δεινότατα μὲν ἀπ' ὀφθαλμῶν κύννης ἀκτῖνες ἔλαμπον.
ἑκατὸν δὲ κύκλῳ κεφαλαὶ κολάκων οἰμωξομένων, ἐλιχμῶντο.
περὶ τὴν κεφαλήν. φωνὴν δ' εἶχε χαράδρας ὄλεθρον τετοκυίας.

Οὗ δεινότατα. ἐρατοσθένης ἀγνοήσας τὰ κατὰ τὴν κύνναν, κυνὸς γράφει. κυνὸς ὡς ἀκτῖνες ἔλαμπον. τὸ κύννα δὲ καὶ σαλαβακχὼ πόρναι ἀθήνησι, ἀναίδειαν δὲ αὐτοῦ καὶ τραχύτητα τῶν τρόπων δείκνυσι διὰ τῶν ὄψεων. ὡς καὶ ὅμηρος. ὄσσε δέ οἱ, πυρὶ λαμπετόωντι ἐΐκτην. τῆς δὲ κύννης μέμνηται καὶ ἐν τοῖς ἱππεῦσι λέγων. καὶ κύνναν καὶ σαλαβακχώ.

Ἄλλως. κύννη ἑταίρα ἐστίν. δῆλον δέ, ὅτι καὶ ἀναιδῆς καὶ πόρνης ὀφθαλμοὺς εἶχεν.

Ἑκατὸν δὲ κύκλῳ. ὡσεὶ ἔλεγεν ὄφεων. εἰκὸς γὰρ πλῆθος κολάκων ἔχειν τὸν κλέωνα. χαράδρα δέ ἐστι διαίρεσις εἴτε διῶρυξ πηλοῦ μεστή. ὄλεθρον δὲ εἶπεν οὐχ ὕδωρ ἔχουσα. δέον δὲ εἰπεῖν ἐλιχμῶντο, ἐλιχνῶντο εἶπε. διὰ τὸ λίχνον τῶν κολάκων.

Ἄλλως. Εἰκὸς γὰρ σύστημα τὸν κλέωνα ἔχειν μέγα δυνάμενον, τῶν ὑποτρεχόντων αὐτῷ καὶ θεραπευόντων. ὁ δὲ εἶπεν, ὡσεὶ ἔλεγεν δρακόντων ἑκατὸν κεφαλαῖς αὐτὸν καθωπλίσθαι. καὶ τοῦτο πρὸς ἕνα τῶν ἡρακλέους αἰνιττόμενος ἄθλων. τὴν ἑκατοντακέφαλον ὕδραν. καὶ γὰρ τυφῶνα αὐτὸν εἶπεν ἐν τοῖς ἱππεῦσι. τοσαύταις δὲ ἐκεῖνος κεφαλαῖς ὥπλιστο, ἢ διὰ τοὺς περὶ αὐτὸν κόλακας. Χαράδρας. ἀντὶ τοῦ χειμάρρου ποταμοῦ. κατάγουσι δὲ οὗτοι παντοῖα μετὰ τοῦ ῥεύματος. οὐκ εἶπε δὲ πηλόν. ἀλλ' ὄλεθρον.

Φώκης δ' ὀσμήν. θαλάσσιον ζῷον ἡ φώκη. ὅμηρος φωκάων ἁλιοτρεφέων ὀλοώτατος ὀδμή.

παραβὰς ἐν τοῖς ἀναπαίστοις. πᾶσαν παράβασιν ἀνάπαιστον καλεῖ. Ἐς τὰ ῥάκια. ὡς τοιαῦτα εἰσαγόντων τῶν ἄλλων κωμικῶν ῥακοφοροῦντας, αἰνίττεται δὲ, καὶ εἰς εὔπολιν. Καὶ τοῖς φθειρσίν. ἀντὶ τοῦ εὐτελεῖς καὶ ἀδόξους ἄνδρας. Τούς θ' ἡρακλέας. μάττειν τὸ πολλὰ ἐσθίειν. ἀπὸ τῆς ματτομένης ζύμης. αἰνίττεται δὲ ταῦτα εἰς εὐριπίδην. ὃς ἐποίησε τὸν ἡρακλέα πίνοντα. καὶ διόνυσον δειλόν. καὶ δία μοιχὸν καὶ δοῦλον κλαίοντα. τινὲς δέ φασιν εἰς κρατῖνον αἰνίττεσθαι, ὡς τοιαῦτα ποιοῦντα δράματα. ἐπεπόλασε τότε ταῦτα τὰ λήμματα. καὶ αὐτὸς δὲ ἀριστοφάνης ὡς γαστρίμαργον τὸν ἡρακλέα κωμῳδεῖ καὶ ἐν ὄρνισι. καὶ ἐν αἰολοσίκωνι. καὶ ἐν τοῖς σφηξὶ περὶ τούτου φησὶ, τοῦ τε ἡρακλέους καὶ τοῦ δούλου. ἐπεπόλαζε γὰρ τότε ταῦτα. ἡρακλῆς πεινῶν. καὶ διόνυσος δειλός. καὶ μοιχὸς ζεὺς, ὥστε καὶ αὐτοὺς δοκεῖν

αὐτὸν ἐπῄνει πρὸς τὸ θέατρον παραβὰς ἐν τοῖς ἀναπαίστοις.
εἰ δ' οὖν εἰκός τινα τιμῆσαι, θύγατερ διός, ὅστις ἄριστος
κωμῳδοδιδάσκαλος ἀνθρώπων καὶ κλεινότατος γεγένηται
ἄξιος εἶναι φησ' εὐλογίας μεγάλης ὁ διδάσκαλος ἡμῶν.
πρῶτον μὲν γὰρ τοὺς ἀντιπάλους μόνος ἀνθρώπων κατέπαυσεν.
ἐς τὰ ῥάκια σκώπτοντας ἀεὶ καὶ τοῖς φθειρσὶ πολεμοῦντας.
τούς θ' ἡρακλέας τοὺς μάττοντας καὶ τοὺς πεινῶντας ἐκείνους.
τοὺς φεύγοντας κἀξαπατῶντας καὶ τυπτομένους ἐπίτηδες
ἐξήλασ' ἀτιμώσας πρῶτος. καὶ τοὺς δούλους κατέλυσεν.
οὓς ἐξῆγον κλαίοντας ἀεὶ καὶ τούτους οὕνεκα τουδί.
ἵν' ὁ σύνδουλος σκώψας αὐτοῦ τὰς πληγὰς ἐπανέροιτο.
ὦ κακόδαιμον. τί τὸ δέρμ' ἔπαθες μῶν ὑστριχὶς εἰσέβαλέν σοι
εἰς τὰς πλευρὰς πολλῇ στρατιᾷ κἀδενδροτόμησε τὰ νῶτα;
τοιαῦτ' ἀφελὼν κακὰ, καὶ φόρτον. καὶ βωμολοχεύματ' ἀγεννῆ,
ἐποίησε τέχνην μεγάλην ἡμῖν. κἀπύργωσ' οἰκοδομήσας
ἔπεσιν μεγάλοις καὶ διανοίαις. καὶ σκώμμασιν οὐκ ἀγοραίοις.

ἄχθεσθαι. κρατῖνος. ὑπὸ δὲ ἡρακλέους πεινῶντος ἄγειν ταῦτα καὶ σκώπτοντος, οὐ βοιωτόν ἐστι περὶ ἢ τοῦ δούλου καὶ ἐν βατράχοις φησίν. Ἵν' ὁ σύνδουλος σκώψας αὐτὸν. καὶ τούτους τοὺς συνδούλους ἐξέφερον, κλαίοντας τούτου ἕνεκα, ἵνα ὁ σύνδουλος χλευάζων, ἀνέρηται αὐτόν. Ὑστριχίς. ἡ ἐξ ὑείων τριχῶν μάστιξ. ἔστι δὲ καὶ ὕστριξ θηρίον τρίχας ἔχον ὑός. ἃς ἐν τῷ διώκεσθαι ἐξακοντίζει τὰ τῶν διωκόντων. Εἰσέβαλεν. ἀπὸ μεταφορᾶς λέξεως τῶν τὰς πόλεις πορθούντων, εἰσέβαλεν καὶ ἔμεινεν ἐν τῇ τροπῇ. κυρίως γὰρ εἰσβαλεῖν ἐστι, τὸ πολεμίους τινὰς εἰσελθεῖν εἰς τὴν πόλιν. Βωμολοχεύματα. τουτέστι βωμολόχα σκώμματα ὅ ἐστι σκώπτοντας εὐτελεῖς τινας καὶ ἀσθενεῖς ἄνδρας. Ἐποίησε τέχνην. τοῦτο καὶ φερεκράτης ἐποίησε τὸν αἰσχύλον λέγοντα ἐν τοῖς κραπατάλοις, ὅστις αὐτοῖς παρέδωκε τέχνην μεγάλην, ἐξοικοδομήσας. Κἀπύργωσεν. ὕψωσεν. ηὔξησεν, ἐμεγάλυνεν, ἠσφαλίσατο. καὶ οὗτοι τὸ σεμνότερον τὰ ποιήματα ἦγαγεν. καὶ ἐν ἄλλοις περὶ αὐτοῦ φησιν. ἀλλ' ὦ πρῶτος τῶν ἑλλήνων πυργώσας ῥήματα σεμνά. Οὐκ ἀγοραίοις. οὐ καθημαξευμένοις.

ταύτῃ ξυνοικῶν, ἐκ τοῦ σαυτῷ βότρυς.
Τρ. ὦ φίλτατ', ἀλλὰ δεῦρ' ἐλθὲ καὶ δός μοι κύσαι.
ἆρ' ἂν βλαβῆναι διὰ χρόνου τί σοι δοκῶ
ὦ δέσποθ' ἑρμῆ τῆς ὀπώρας κατελάσας;
Ερ. οὐκ εἴ γε κυκεῶν' ἐπιπίοις βληχωνίαν.
ἀλλ' ὡς τάχιστα τήνδε θεωρίαν,
ἀπάγαγε τῇ βουλῇ λαβὼν ἧσπερ ποτ' ἦν.
Τρ. ὦ μακαρία σὺ βουλὴ τῆς θεωρίας.
ὅσον ῥοφήσεις ζωμὸν ἡμερῶν τριῶν.
ὅσας δὲ κατέδῃ χόλικας ἑφθὰς καὶ κρέα.
ἀλλ' ὦ φίλ' ἑρμῆ. χαῖρε πολλά. Ερ. καὶ σύ γε
ὤνθρωπε χαίρων ἄπιθι καὶ μέμνησό μου.
Τρ. ὦ κάνθαρ'. οἴκαδ' οἴκαδ' ἀποπετώμεθα.
Ερ. οὐκ ἐνθάδ' ὦ τᾶν ἐστι. Τρ. ποῖ γὰρ οἴχεται.
Ερ. ὑφ' ἅρματ' ἐλθὼν ζηνὸς, ἀστραπηφορεῖ.
Τρ. πόθεν οὖν ὁ τλήμων ἐνθάδ' ἕξει σιτία.
Ερ. τὴν τοῦ γανυμήδους ἀμβροσίαν σιτήσεται.
Τρ. πῶς δῆτ' ἐγὼ καταβήσομαι. Ερ. θάρσει καλῶς.

ἐκ τοῦ σαυτῷ. οὐκ εἶπε τοὺς παῖδας. ἀλλὰ τοὺς βότρυς διὰ τὴν ὀπώραν. Διὰ χρόνου τίσοι δοκῶ. ὅτι οἱ διὰ χρόνου ἐσθίοντες ὀπώραν πολλὴν, βλάπτονται. καὶ οἱ συνουσιάζοντες συνεχῶς. ἐπεὶ οὖν ἔδωκε ὀπώρα εἶναι καὶ ἡ πόρνη, πρὸς ἀμφότερα ἔπαιξεν. Βληχωνίαν. βλήχωνα ἀττικοὶ διὰ τοῦ β'. οὐ διὰ τοῦ γ'. οἱ δὲ πολλὴν ὀπώραν ἐσθίοντες, ἐὰν κυκεῶνα βληχωνίαν πίωσιν, οὐ βλάπτονται. βρέχοντες οὖν γλήχωνα ἐπιπίνουσι διὰ τὸ, ὑπὸ τοῦ ὀποῦ τὴν καρδίαν κατεσθίεσθαι. ἵνα οὖν ἡ δριμύτης ἀποστύφῃ, γλήχωνας ἔλαβον. Ἄλλως. οἱ ὀπώραν πολλὴν ἐσθίοντες κυκεῶνα πίνουσιν ὑπὲρ τοῦ πῆξαι τὴν τροφὴν καὶ μὴ ναυτιᾶν. καὶ γὰρ τὸ πολὺ τῆς ὀπώρας προσίσταται τῷ στομάχῳ. Ἄλλως. τοὺς ὑπὸ τῆς ὀπώρας βαρυνομένους ἰᾶσθαί φασιν εἰ ἀποβρέξαντες γλήχωνα εἰς ὕδωρ πίοιεν. ἰᾶσθαι γὰρ οὕτω τοὺς καρδιῶν πόνους. Τὴν θεωρίαν. τοῖς μὲν γεωργοῖς φέρουσα. τὴν ὀπώραν δέδωκε. τῇ δὲ βουλῇ τὴν θεωρίαν ἀπένειμεν. ἐδόκει γὰρ ἡ βουλὴ τῆς θεωρίας. Τῆς θεωρίας. ἡ γὰρ βουλὴ τὰς θεωρίας ἐξέπεμπε. τινὲς δὲ στίζουσιν εἰς τὸ βουλή. καὶ συνάπτουσι τὸ σὺ τῆς θεωρίας ὅσον ζωμὸν ῥοφήσεις, ὡς ψηφιουμένης τῆς βουλῆς θύσαι ἐπὶ τούτοις. Ἡμερῶν τριῶν. ἐπὶ γ'. γὰρ ἡμέρας, ἐψηφίσατο ἡ βουλὴ βοῦς θύειν. ἀφ' ὧν καὶ ἕτερα ζῶα. Χόλικας. τὰ τῶν βοῶν παχέα ἔντερα. ταῦτα γὰρ οὐχ ἱεροῦντι, ὡς τὸ ἄλλο σῶμα. τινὲς δὲ, χόλικά φασιν εἶδος ἰχθύος. Ἀστραπηφορεῖν. ὁ στίχος ἐκ βελλεροφόντου εὐριπίδου, παρὰ τὸ ἀστραπαῖς ὑπηρετεῖν. Τὴν τοῦ γανυμήδους ἀμβροσίαν. ἀντὶ τοῦ τὴν κόπρον. ὅτι οὗτος μόνος θνητὸς ἐν θεοῖς. τινὲς δὲ, διὰ τὸ ἐν ἀρχῇ ῥηθῆναι αὐτῷ. ἑτέραν ἑτίραν παιδὸς ἠταιρηκότος. ἐδόκει γὰρ καὶ ὁ γανυμήδης, ἐρώμενος εἶναι διός. Τηδὶ παρὰ τὴν θεόν. τινὲς οὐ παρὰ τὴν εἰρήνην. λέγουσι γὰρ ἐν τῷ οὐρανῷ μεῖναι. καὶ ἐκεῖθεν ἐνεργεῖν. ὥσπερ καὶ τὸν πόλεμον. οὐδαμοῦ γὰρ αὐτῆς μέμνηται ἐν τοῖς ἑξῆς, ὡς κατελθούσης παρὰ τὴν θεὸν οὖν τὴν ἀθηνᾶν. ἄγαλμα γὰρ ἦν ἐν τῷ θεάτρῳ τῆς ἀθηνᾶς.

Ὅ,τι πράττει Σοφοκλῆς. γελοῖα ταῦτα. ὡς γὰρ περὶ σπουδαίων τὴν ἔμφασιν ποιούμενος ἐπήνεγκεν. ὅτι περὶ Σοφοκλέους ἐπύθετό μου. Ἐκ τοῦ σοφοκλέους γίνεται. ὅτι ἐπὶ μισθῷ ἔγραφε τὰ μέλη καὶ γὰρ Σιμωνίδης δοκεῖ πρῶτος σμικρολογίαν εἰσενεγκεῖν εἰς τὰ ᾄσματα. καὶ γράψαι ᾆσμα μισθοῦ. τοῦτο δὲ καὶ Πίνδαρός φησιν αἰνιττόμενος· οἱ μὲν πάλαι ὦ Θρασύβουλε φῶτες οἱ χρυσάμπυκες, ἐς δίφρον μοι συναναβαίνοντες κλυτᾷ φόρμιγγι συναντώμενοι. ῥίμφα παιδείους ἐτόξευον μελιγάρυας ὕμνους. ἁ μοῦσα γὰρ φιλοκερδής. τὸ μέντοι περὶ κιβωτῶν περὶ Σιμωνίδου λεγόμενον, ὅτι παρακειμένας εἶχε δύο, τὴν μὲν, κενήν· τὴν δὲ μεστήν. καὶ τὴν μὲν κενὴν, χαρίτων ἔλεγεν εἶναι. τὴν δὲ, γνώριμον, περιφερόμενον εὑρίσκεται καθ' ἱστορίαν γὰρ οὐδεὶς εἴρηκεν. Ἄλλως. ὁ Σιμωνίδης διεβέβλητο ἐπὶ φιλαργυρίᾳ καὶ τὸν Σοφοκλέα οὖν διὰ φιλαργυρίαν, ἐοικέναι τῷ Σιμωνίδῃ λέγει. λέγεται δὲ ὅτι ἐκ τῆς στρατηγίας τῆς ἐν Σάμῳ ἠργυρίσατο. χαρίεντας δὲ πάνυ αὐτοῦ λόγους διέσυρε τοὺς β'. ἰαμβοποιούς.

διά μ' ἐκέλευσεν ἀναπυθέσθαι σου. Τρ. τὰ τί;
Ἑρ. πάμπολλα. καὶ τἀρχαῖ' ἃ κατέλιπεν τότε.
πρῶτον δ' ὅ,τι πράττοι Σοφοκλέης ἀνήρετο.
Τρ. εὐδαιμονεῖ. πάσχει δὲ θαυμαστόν. Ἑρ. τὸ τί.
Τρ. ἐκ τοῦ Σοφοκλέους γίνεται Σιμωνίδης.
Ἑρ. Σιμωνίδης; πῶς. Τρ. ὅτι γέρων ὢν καὶ σαπρός.
Κέρδους ἕκατι κἂν, ἐπὶ ῥιπὸς πλέοι.
Ἑρ. τί δὲ Κρατῖνος ὁ σοφός ἐστιν; Τρ. ἀπέθανεν.
ὅθ' οἱ Λάκωνες ἐνέβαλον. Ἑρ. Τί παθών. Τρ. ὅ,τι.
Ὡρακιάσας. οὐ γὰρ ἐξηνέσχετο.
ἰδὼν πίθον καταγνύμενον οἴνου πλέων.
Χἄτερα πόσ' ἄττ' οἴει γεγενῆσθ' ἐν τῇ πόλει.
ὥστ' οὐδέποτ' ὦ δέσποιν' ἀφεξόμεσθά σου.
Ἑρ. ἴθι νυν ἐπὶ τούτοις τὴν ὀπώραν λάμβανε.
γυναῖκα σαυτῷ τήνδε. κᾆτ' ἐν τοῖς ἀγροῖς.

καὶ μέμνηται, ὅτι σμικρολόγοι. ὅθεν Ξενοφάνης, κίμβικα αὐτὸν προσαγορεύει. μήποτε δὲ ἐδόκει Σοφοκλῆς περὶ τοὺς μισθοὺς καὶ τὰς νεμέσεις ὀψέ ποτε φιλοτιμότερος. Γέρων ὢν ἀρχαῖος καὶ παλαιός. οἷον γηράσας. φιλάργυρος ἐγένετο. Κἂν ἐπὶ ῥιπὸς πλέοι φρυγανίου. ψιάθου. λέγοιτο δ' ἂν ἐπὶ φιλοκερδεῖ. λέγεται δὲ καὶ ἄλλως. θεοῦ θέλοντος. κἂν ἐπὶ ῥιπὸς πλέοις. ῥὶψ δ' ἐστὶν ἱμαντῶδες φυτὸν παρὰ τὸ ῥέπω ῥὲψ καὶ ῥίψ. καὶ ῥίπεσι τῆς πτισ ἰτέας κλάδοις. Ἐνέβαλον ἀντὶ τοῦ ἐπῆλθον τῇ πόλει. Ὡρακιάσας. οἷον, ὠχριάσας. ἢ ἑλκυσθείς. ἑλκυσθεὶς. ἢ λειποψυχήσας. ἢ ἀθυμήσας. ὡς φιλοπότην δὲ πάλιν διαβάλλει τὸν Κρατῖνον. μετὰ ἐκλύσεως ἐσκοτωμένον. ᾧ ἴσως ἀκολουθεῖ καὶ τὸ, ὡρακιάσας. τοιοῦτοι δὲ οἱ λειποψυχοῦντες. τρέπεται γὰρ αὐτῶν ἡ χροιά, Λυκόφρων δὲ τὸ ὡρακιᾶν, ἀντὶ τοῦ ὠχριᾶν. Ἐρατοσθένης δὲ, τὸ ὑπὸ ἐκλύσεως ἐσκοτῶσθαι. ὅτι δὲ φίλοινος ὁ Κρατῖνος, καὶ αὐτὸς ἐν τῇ πυτίνῃ λέγει σαφῶς. Χἄτερα πόσ' ἄττ' οἴει. ὥσπερ ἐκπεσούσης τῆς εἰρήνης ἐπήγαγε τὸ, καὶ ἕτερα ποῖα ταῦτα γέγονεν ἐν τῇ πόλει. Ἴθι νῦν. μίαν τῶν συνανελθουσῶν τῇ εἰρήνῃ, πρὸς γάμον αὐτῷ δίδωσι. προειρήκαμεν δὲ, ὅτι συνανειλκυσθῆσαν αὐτῇ, ἥ τε ὀπώρα καὶ ἡ θεωρία. ἦσαν δὲ, ἑταῖραι.

Ἐκ τοῦ

Εὐνούστατος μὲν ἦν. ὅτι ῥίψασπις καὶ δειλὸς ἦν. Οὐκ ἦν ἄρ' ὥσπερ φησίν. οὔτε γνήσιος ἦν τῷ πατρί· ἀλλὰ καὶ ῥίψασπις ἦν, τὰ δύο οὖν αὐτῷ προστρίβεται.
Ἀποβολιμαῖος ἅμα μὲν, καὶ διὰ τὸ ἀποβαλεῖν τὰ ὅπλα· καὶ παρὰ τὸ ὑποβολιμαῖος εἶναι. Ὑπέρβολος νῦν. ὅτι μετὰ τὸν κλέωνα, ὑπέρβολος ἐπολιτεύσατο. χρεμύδου δὲ, υἱὸς ἦν ὑπέρβολος. ἀδελφὸς δὲ, χάρωνος. λυχνοπώλης, φαῦλος τοὺς τρόπους. οὗτος μετὰ τὴν τοῦ κλέωνος δυναστείαν, διεδέξατο τὴν δημαγωγίαν. ἀπ' αὐτοῦ δὲ πρώτου ἤρξαντο οἱ ἀθηναῖοι φαύλοις παραδιδόναι τὴν πόλιν καὶ τὴν δημαγωγίαν, πρότερον δημαγογούντων πάνυ λαμπρῶν πολιτῶν, προείλετο δὲ τοὺς τοιούτους ὁ δῆμος, ἀπιστῶν διὰ πόλεμον τὸν πρὸς λακεδαιμονίους, τοῖς ἐνδόξοις τῶν πολιτῶν, μὴ τὴν δημοκρατίαν καταλύσαιεν. ἐξωστρακίσθη οὕτως, οὐ διὰ δυνάμεως φόβον καὶ ἀξιώματος· ἀλλὰ πονηρίαν καὶ αἰσχύνην τῆς πόλεως. ἐν σάμῳ δὲ διατρίβων, ὑπὸ τῶν ἀθηναίων ἐχθρῶν ἐπιβουλευθεὶς ἀπέθανε καὶ τὸν νεκρὸν αὐτοῦ βαλόντες εἰς σάκκον, ἔρριψαν εἰς τὸ πέλαγος.

Τρ. εὐνούστατος μὲν ἦν μακρῷ κλεώνυμος.
Ερ. ποῖός τις οὖν ἐδόκει τὰ πολεμικὰ
ὁ κλεώνυμος. Τρ. ψυχήν γ' ἄριστος πλήν γ' ὅτι
οὐκ ἦν ἄρ' ὥσπερ φησὶν εἶναι τοῦ πατρός.
εἰ γάρ ποτ' ἐξέλθοι στρατιώτης, εὐθέως
ἀποβολιμαῖος τῶν ὅπλων ἐγίνετο.
Ερ. ἔτι νυν ἄκουσον οἷον ἄρτι μ' ἤρετο.
ὅστις κρατεῖ νῦν τοῦ λίθου τοῦ 'ν τῇ πυκνί.
Τρ. ὑπέρβολος νῦν τοῦτ' ἔχει τὸ χωρίον.
αὕτη, τί ποιεῖς. τὴν κεφαλὴν ποῖ περιάγεις;
Ερ. ἀποστρέφεται τὸν δῆμον ἀχθεσθεῖσ' ὅτι
αὑτῷ πονηρὸν προστάτην ἐπεγράψατο.
Τρ. ἀλλ' οὐκέτ' αὐτῷ χρησόμεθ' οὐδέν. ἀλλὰ νῦν
ἀπορῶν ὁ δῆμος ἐπιτρόπου καὶ γυμνὸς ὤν,
τοῦτον τέως τὸν ἄνδρα περιεζώσατο.
Ερ. πῶς οὖν ξυνοίσει ταῦτ' ἐρωτᾷ τῇ πόλει.
Τρ. εὐβουλότεροι γενησόμεθα τῷ τρόπῳ τινί.
ὅτι τυγχάνει λυχνοποιὸς ὤν. πρὸ τοῦ μὲν οὖν
ἐψηλαφῶμεν ἐν σκότῳ τὰ πράγματα.
νυνὶ δ' ἅπαντα πρὸς λύχνον βουλεύσομεν.
Ερ. ὢ ὤ.

Περιάγεις. ἀποστρέφεται τὸ ὄνομα τοῦ ὑπερβόλου ἀκούσασα ἡ εἰρήνη.

Ἐπεγράψατο. ἀντὶ τοῦ ἐχειροτόνησε· κατέστησεν. ἡ δὲ μεταφορὰ, ἀπὸ τῶν μετοίκων τοὺς προστάτας προγραφόντων ἑαυτοῖς. Καὶ γυμνὸς ὤν. τοῦ προεστῶτος δηλονότι. Περιεζώσατο. οἱ γὰρ μικροὶ ἐπιθυμοῦσι καὶ περιζώματος τυχεῖν. ὁ δὲ νοῦς δι' ἀνάγκην τέως οὖν τοῦτον ἐζώσατο μὴ ἔχουσα πολυτελέστερον.
Πῶς οὖν ξυνοίσει. ἐν ἴσῳ εἴρηκε τούτῳ. πῶς ταῦτα ἡ πόλις οἰκονομήσει καὶ θήσεται. τὸ δὲ ἑξῆς, πῶς συνοίσει τῇ πόλει ταῦτα, ἐρωτᾷ.
Ἐψηλαφῶμεν. ἀπὸ τοῦ συμβεβηκότος εἴληφε τὸ ἐψηλαφῶμεν. οἱ γὰρ ἐν σκότει ζητοῦντες, τοῦ ζητουμένου τὴν ἀκριβῆ ὄψιν οὐχ ὁρῶντες, ψηλαφῶντες ἀνευρίσκουσιν αὐτό. Πρὸς λύχνον βουλεύσομεν. ὅτι λυχνοπώλης ὁ ὑπέρβολος. τινὲς δὲ φασιν αὐτὸν σύρον. καὶ κρατῖνος δὲ ἐν πυτίνῃ. ὑπέρβολον δὲ ἀποσβέσας ἐν τοῖς λύχνοις γράψω.

Ἄλλ' ὅτι σιωπᾷς. πρὸς τὴν εἰρήνην φησί. κωφὸν γὰρ εἰσάγει τὸ πρόσωπον.

Ἀλλ' οὐκ ἂν εἴποι. διπλῆ καὶ ἔκθεσις παρὰ τὸ τετράμετρον εἰς ἰαμβικὰ τρίμετρα οβ'. μετὰ δὲ τὰ λέ. ἔστι προαναφώνημα τὸ, ὦ ὦ. Ὀργὴν γὰρ αὐτοῖς. ἀττικῶς. ἀντὶ τοῦ ὀργίζεται. λείπει δὲ ἡ ὑπέρ. ὑπὲρ ὧν ἔπαθεν. Μισοπορπακιστάτη. ἀντὶ τοῦ μισοπόλεμε παρὰ τὸν πόρπακα. πόρπαξ δὲ κατά τινας μὲν, ὁ ἀναφορεύς, τῆς ἀσπίδος. ὡς δ' ἔτινες, τὸ διῆκον μέσου τῆς ἀσπίδος σιδήριον. ᾧ κρατεῖ τὴν ἀσπίδα ὁ στρατιώτης.

τοὺς σαυτοῦ λοιδορεῖς.
ἀλλ' ὅ, τι σιωπᾷς ὦ πότνια, κάτειπέ μοι.
Ερ. ἀλλ' οὐκ ἂν εἴποι πρός γε τοὺς θεωμένους.
ὀργὴν γὰρ αὐτοῖς ὧν ἔπαθε πολλὴν ἔχει.
Τρ. ἡ δ' ἀλλὰ πρὸς σὲ μικρὸν εἰπάτω μόνον.
Ερ. εἶφ' ὅ, τι νοεῖς αὐτοῖς πρὸς ἔμ' ὦ φιλτάτη.
ἴθ' ὦ γυναικῶν μισοπορπακιστάτη.
εἶεν ἀκούω. ταῦτ' ἐπικαλεῖς; μανθάνω.
ἀκούσαθ' ὑμεῖς ὧν ἕνεκα μομφὴν ἔχει.
ἐλθοῦσα φησὶν αὐτομάτη μετὰ τἀν πύλῳ
σπονδῶν φέρουσα τῇ πόλει κίστην πλέαν,
ἀποχειροτονηθῆναι τρὶς ἐν τῇ 'κκλησίᾳ.
Τρ. ἡμάρτομεν ταῦτ'. ἀλλὰ συγγνώμην ἔχε.
ὁ νοῦς γὰρ ἡμῶν ἦν τότ' ἐν τοῖς σκύτεσιν.
Ερ. ἴθι νυν ἄκουσον οἷον ἄρτι μ' ἤρετο
ὅστις κακόνους αὐτῇ μάλιστ' ἦν ἐνθάδε,
χ' ὥστις φίλος κἄσπευδεν εἶναι μὴ μάχας.

Εἶεν, ἀκούω. ὡς τῆς εἰρήνης καλεσάσης τὸν ἑρμῆν. καὶ λαλησάσης αὐτῷ. τὸ δὲ ἐπικαλεῖς, ἀντὶ τοῦ ἐγκαλεῖς. Ἐλθοῦσα φησί. φιλόχορος φησὶν οὕτως. λακεδαιμόνιοι περὶ διαλύσεων ἐπέμψαντο πρέσβεις πρὸς ἀθηναίους, σπονδὰς ποιησάμενοι πρὸς τοὺς ἐν πύλῳ. καὶ τὰς ναῦς αὐτῶν παραδόντες οὔσας ξ'. κλέωνος δὲ ἀντειπόντος ταῖς διαλύσεσι, στασιάσαι λέγεται τὴν ἐκκλησίαν. ἐρωτῆσαι γὰρ συνέβη τὸν ἐπιστάτην. ἐνίκησαν δὲ οἱ πολεμεῖν βουλόμενοι. Ἄλλως. τοῦ κλέωνος γὰρ πρεσβευσαμένων λακεδαιμονίων. ἐστασίασαν ἐν τῇ ἐκκλησίᾳ. Μετὰ τἀν πύλῳ. μετὰ τὰ ἐν πύλῳ καὶ τοὺς αἰχμαλώτους οὓς ἔλαβεν ὁ κλέων, ἔπεμψαν λακεδαιμόνιοι πρὸς ἀθηναίους ἐπαγγελλόμενοι δώσειν τὰς τριήρεις ἃς εἰλήφεσαν τῶν ἀθηναίων ἐν τῷ πολέμῳ. ἅμα δὲ καὶ περὶ εἰρήνης καὶ σπονδῶν. ἀντεῖπεν οὖν τότε κλέων. καὶ τοῦ ἐπιστάτου τρίτον ἐρωτήσαντος τὴν βουλήν, τί βούλεται εἰρήνην ἢ πόλεμον, εἵλετο ἡ βουλὴ τὸν πόλεμον συνεστάναι. Κίστην πλέαν. πλήρη κυτίδια. κυτίδας δὲ ἐκάλουν τὰς κίστας. πλέαν δὲ προσέθηκεν. ὅτι ἐξῆν τοῖς ἀθηναίοις τότε ἐκ περιουσίας τὴν εἰρήνην ποιήσασθαι. οὕτω λαμπρῶς τῷ πολέμῳ κεκρατηκόσι. Ἀποχειροτονηθῆναι τρίς. ὡς τρὶς ἀποχειροτονηθείσης. καὶ διὰ τούτων δὲ σεμνύνει τοὺς ἀθηναίους, ὡς ἐξουσίαν ἐσχηκότας ποιῆσαι εἰρήνην. Ἐν τοῖς σκύτεσι. διὰ τὴν δειλίαν. ἡ παροιμία, ἀπὸ σκύτη βλέπει. ἢ σκύτη. ἀντὶ τοῦ πρὸς τὰ πολεμικὰ ἢ πρὸς τὸν κλέωνα. ὅτι σκυτοδέψης ἦν. ἀντὶ τοῦ ἐν τῷ φόβῳ τοῦ κλέωνος. ὁ νοῦς ἦν ἡμῶν. Ψυχὴν γὰρ γ' ἄριστος. τοῦτο μετὰ εἰρωνείας. ὡς δηλοῖ καὶ τὸ ἑξῆς. καὶ ὅτι κατέλιπε τὸν λόγον μηδὲν αὐτῷ ἐπαγαγών.

A ἀσθενοῦντας. ἀντὶ τοῦ ἐνδεῶς ἔχοντας τὴν γὰρ τύχην, ἰδίως νόσον καλοῦσι. Κἀπορουντας ἀλφίτων. φαίνονται ὅτι συνελθόντες εἰς τὸ ἄστυ, ἐπένοντο μὴ γεωργοῦντες. Δικροῖς δικραίοις. ἔδει δὲ εἰπεῖν ξύλοις δικραίοις τουτέστι διφυέσι. ὁ δὲ, ἀντὶ δικραίοις κεκράγμασιν, ἐπειδὴ οἱ ῥήτορες δημιουργοῦντες, τὴν κραυγὴν ἔπειθον μὴ ποιῆσαι τὴν εἰρήνην. Ἄλλως. ξύλοις ἀπώθουν τὴν εἰρήνην καὶ ἐξέβαλον. κατασκευάζεται δὲ τὰ τοιαῦτα ξύλα ἃ καλεῖται δίκραια, ὑπὸ τῶν ἀγροίκων, δύο χηλὰς ἔχοντα παρεοικότα τοῖς ξυλευομένοις. τοιούτοις οὖν φησὶ δικροῖς τὴν εἰρήνην ὤθουν. Πολλάκις φανεῖσαν. μετὰ γὰρ τὰ ἐν πύλῳ, ἐπρέσβευσαν περὶ διαλλαγῶν λακεδαιμόνιοι. οἱ δὲ, ἀθηναῖοι, οὐ προσεῖχον. Τὰ βρασίδου. ἀντὶ τοῦ λακεδαιμονίων, ἅμα δὲ ὅτι ὑπὸ αὐτοῦ πολλοὶ τῶν ὑπηκόων προσεχώρουν. Ἡ πόλις γὰρ ὠχριῶσα οὐ παρὰ τὸ φοβουμένη ὠχριῶσα. ἀλλ' ἴσον τῷ ἀσθενοῦσα ἀπὸ μεταφορᾶς τῶν νοσούντων οὕτω γὰρ ὥσπερ φοβουμένη. τὸ γὰρ ἑξῆς, τοῦτο δηλοῖ. Ἅττ' ἂν διαβάλλοι. ἀντὶ τοῦ εἰπεῖν παραβάλλοι ὡς ἐπὶ τροφῆς, διαβάλλοι εἶπε διὰ τοὺς διαβάλλοντας.

τοὺς πένητας ἀσθενοῦντας, κἀπορουντας ἀλφίτων,
τήνδε μὲν δικροῖς ἐώθουν τὴν θεὸν κεκράγμασι.
Πολλάκις φανεῖσαν αὐτὴν τῆσδε τῆς χώρας πόθῳ.
τῶν δὲ συμμάχων ἔσειον τοὺς παχεῖς καὶ πλουσίους
αἰτίας ἂν προστιθέντες. ὡς φρονεῖ τὰ βρασίδου.
εἶτ' ἂν, ὑμεῖς τοῦτον ὥσπερ κυνίδι' ἐσπαράττετε.
ἡ πόλις γὰρ ὠχριῶσα κἀν φόβῳ καθημένη,
ἅττ' ἂν διαβάλλοι τὶς αὐτῇ, ταῦτ' ἂν ἥδιστ' ἤσθιεν.
οἱ δὲ, τὰς πληγὰς ὁρῶντες ἃς ἐτύπτον, οἱ ξένοι,
χρυσίῳ τῶν ταῦτα ποιούντων ἐβύουν τὸ στόμα.
ὥστ' ἐκείνους μὲν ποιῆσαι πλουσίους. ἡ δ' ἑλλὰς ἂν
ἐξερημωθεῖσ' ἂν ὑμᾶς ἔλαθεν. ταῦτα δ' ἦν ὁ δρῶν
βυρσοπώλης. τρ. παῦε παῦ' ὦ δέσποθ' ἑρμῆ μὴ λέγε
ἀλλ' ἔα τὸν ἄνδρ' ἐκεῖνον οὗπερ ἔστ' εἶναι κάτω
οὐ γὰρ ἡμέτερος ἔτ' ἔστ' ἐκεῖνος ἁνὴρ ἀλλὰ σός.
ἅττ' ἂν οὖν λέγῃς ἐκεῖνον
κεἰ πανοῦργος ἦν ὅτ' ἔζη,
καὶ λάλος καὶ συκοφάντης.
καὶ κύκηθρον καὶ τάρακτρον.
Ταῦθ' ἅπαξ ἅπαντα νυνί

Οἱ δὲ τὰς πληγάς. τὸ δὲ ἑξῆς οἱ δὲ ξένοι τὰς πληγὰς ὁρῶντες. ἃς ἐτύπτοντό τινες τῶν δημοτῶν παρὰ τῶν δημαγωγῶν, χρυσίων προσέφερον τοῖς ταῦτα ποιοῦσι λέγει δὲ τοῖς ῥήτορσιν. Ἐβύουν. ἐπλήρουν. ἔφρασσον. Ὁ βυρσοπώλης. ἐπεὶ μάλιστα ὁ κλέων ἐνίστατο τῇ εἰρήνῃ. σεσημείωται δὲ ὅτι νεκροὺς κωμῳδεῖ. διὸ ἐπειδὴ ἐμνήσθη αὐτοῦ ὁ ἑρμῆς, παῦε παῦε φησὶν ὁ τρυγαῖος. ἀποθανὼν γὰρ ἦν. καὶ οὐκ ἐξῆν τεθνηκότας κωμῳδεῖν. Οὐ γὰρ ἡμέτερος ἔτ' ἐστίν. ὅτι χθόνιος ὁ ἑρμῆς καὶ καταιβάτης παρὰ ῥοδίοις καὶ ἀθηναίοις. Ἅττ' ἂν οὖν λέγῃς. διπλῆ καὶ ἔκθεσις εἰς μέλος τροχαϊκόν. οὗ πέντε μέν ἐστι κῶλα δίμετρα ἀκατάληκτα. τὸ δὲ ϛʹ. ἐφθημιμερές. ἐν ἐκθέσει δὲ ἰαμβεῖον ὑφ' ὃ αἱ ἀμφοτέρωθεν ἔξω διπλαῖ. Εἰ πανοῦργος ἦν. λεληθότως κωμῳδεῖ αὐτὸν ὡς τοιοῦτον πάλιν, καὶ ταῦτα παραινῶν ἐκεῖνον μὴ λοιδορεῖν αὐτόν.

οὓς φόρους. ἐδόκουν γὰρ οἱ ἀθηναῖοι, ἐν τῷ καιρῷ τοῦ πολέμου, ἀπηνεῖς εἶναι πρὸς τοὺς φόρους οὓς ἐτέλουν οἱ ὑπηρέται. Αἰσχροκερδεῖς. ὅτι αἰσχροκερδεῖς καὶ σμικρολόγοι οἱ λάκωνες, δῆλον ἐκ τοῦ χρησμοῦ· ἁ φιλοχρηματία σπάρταν ὀλεῖ, ἄλλο δὲ οὐδέν. ἦσαν δὲ καὶ περὶ τοὺς ξένους ἀπάνθρωποι. καὶ οὐκ ἐξῆν ξένῳ τινὶ ἀεὶ τῆς σπάρτης ἐπιβαίνειν. ἀλλ᾽ ὡρισμέναις ἡμέραις. Διειρωνόξενοι. ἐξαπατῶντες τοὺς ξένους. καὶ ψευδόμενοι δι᾽ εἰρωνείας, καὶ ὑποκρίσεως. καὶ οὐδὲν θαυμαστὸν ἐνταῦθα ἐποίουν, παρ᾽ οἷς καὶ ὁ τῆς ξενηλασίας κεῖται νόμος.

ταῦτ᾽ ἐμηχανῶντ᾽ ἐφ᾽ ὑμῖν τοὺς φόρους φοβούμεναι.
κἀνέπειθον τῶν λακώνων τοὺς μεγίστους χρήμασιν.
οἱ δ᾽ ἅτ᾽ ὄντες αἰσχροκερδεῖς καὶ διειρωνόξενοι,
τήνδ᾽ ἀπορρίψαντες, αἰσχρῶς τὸν πόλεμον ἀνήρπασαν.
κᾆτα τἀκείνων γε κέρδη, τοῖς γεωργοῖς ἦν κακά.
αἱ γὰρ ἐνθένδ᾽ αὖ τριήρεις ἀντιτιμωρούμεναι,
οὐδὲν αἰτίων ἀνδρῶν γε τὰς κράδας κατήσθιον.
ΧΟ. ἐνδίκως μὲν οὖν. ἐπεί τοι τὴν κορώνεών γέ μου
ἐξέκοψαν. ἣν ἐγὼ φυτεύσας ἐξεθρεψάμην.
ΤΡ. νὴ Δί᾽ ὦ μέλ᾽ ἐνδίκως δῆτ᾽ ἐπεὶ κἀμοῦ λίθον
ἐμβαλόντες ἑξμέδιμνον κυψέλην ἀπώλεσαν.
ΕΡ. κᾆτα δ᾽ ὡς ἐκ τῶν ἀγρῶν ξυνῆλθεν οὑργάτης λεώς,
τὸν τρόπον πωλούμενος τὸν αὐτὸν οὐκ ἐλάνθανεν
ἀλλ᾽ ἅτ᾽ ὢν ἄνευ γιγάρτων, καὶ φιλῶν τὰς ἰσχάδας,
ἔβλεπε πρὸς τοὺς λέγοντας. οἱ δὲ γινώσκοντες εὖ

Τὰς κράδας κατήσθιον. καὶ αὐτοὶ ἀντέκοπτον τὰς συκᾶς, ὥσπερ ἐκεῖνοι τὰς ἀμπέλους ἡμῶν. κράδη δὲ εἶδος συκῆς ἐστι δὲ καὶ μηχανή. κατήσθιον δέ, ἀντὶ τοῦ κατέκοπτον. Τὴν κορώνεων. κορώνεων· ὡς φιβάλεων. ἔστι δὲ εἶδος συκῆς. καὶ ἐν ἀχάρνεῦσι. ταύτην δέ, κοράκιον λέγουσιν. ὁ γὰρ καρπὸς αὐτῆς κόρακι ἔοικε κατὰ τὸ χρῶμα. Ἐξεθρεψάμην. ὡς ἐπὶ παιδίου εἶπεν. ἢ ἀνθρώπου τὸ ἐξεθρεψάμην ἔφη τὴν ἱκανὴν διάθεσιν καὶ στοργὴν ἐμφήνῃ. ἢ ἵνα φαίνηται ἀγανακτῶν ἐν λόγοις. Ἑξμέδιμνον κυψέλην. ἓξ μεδίμνους χωροῦσαν κυψέλην. ἔστι δὲ εἶδος ἀγγείου ἢ μέτρου δεκτικὸν πυρῶν ἢ κριθῶν. οὕτως δὲ εἴρηται, διὰ τὸ κεκρύφθαι αὐτοῦ τὴν ὕλην. ἔστι γὰρ σκοτεινόν. διαφέρει δὲ πρὸς τὴν κυψελίδα. ἥτις ἐστὶν ὁ ἐν τοῖς ὠσὶ ῥύπος. οὐ μόνον δὲ πλεκταὶ ἦσαν αἱ κυψέλαι, ἀλλὰ καὶ κεραμέαι. διὸ λίθῳ φησὶν αὐτὴν κλασθῆναι. Οὑργάτης λεώς. διὰ γὰρ τὰς συνεχεῖς τῶν πολεμίων εἰσβολάς, ἐσκευαγωγήσαντο εἰς τὴν πόλιν, οἱ ἀπὸ τῶν ἀγρῶν. Πωλούμενος οὐκ ἐλάνθανεν. ἐὰν μὲν ᾖ οὐκ ἐλάνθανε, σεμνολογεῖ λεληθότως αὐτούς, ὡς μᾶλλον συνιέναι δυναμένους τὰς κατὰ τῆς πόλεως βλάβας, τῶν ἐν τῇ πόλει τραφέντων καὶ ταῦτα ἀγροίκους ὄντας. ἐὰν δὲ οὐκ ἐμάνθανε, φησὶν ὅτι ὁ ἄγροικος λεὼς μετοικισθεὶς τὰς πόλεις, συνῆκε τῆς τῶν προδιδόντων πονηρίας. ἀλλ᾽ ἠγνόησεν ὑπὸ τῶν πολιτευομένων πωλούμενος καθάπερ οἱ συνήθως ὑπ᾽ αὐτῶν πολιτευόμενοι. Ἄνευ γιγάρτων. τῆς σταφυλῆς. διὰ τὸ ἀπεστερῆσθαι τῆς συνήθους διαίτης. καὶ ἀποκεχωρηκέναι ἐκ τῶν ἀγρῶν. καὶ ἐπιθυμεῖν αὐτῶν. οἱ γὰρ ἄγροικοι κόπτοντες τὰ γίγαρτα, μετὰ τῶν ἰσχάδων ἐσθίουσιν.

Ἐξεφύσησε γάρ. ἐξεκίνησεν, ἐτάραξεν. ἐξῆς δὲ ἀπὸ τοῦ σπινθῆρος τὸ φυσᾶν ἔλαβε. καπνῷ δὲ, τροπικῶς εἰπὼν, ἐπέμεινε διόλου τῇ τροπῇ. Ὡς δ' ἅπαξ τὸ πρῶτον. οἰκείως πρὸς τοὺς γεωργοὺς λέγων, τοιαύταις τροπαῖς ἐχρήσατο. συμβαίνει γὰρ ἐν τῇ συνθέσει τῶν πίθων ἕνα διαρραγῆναι. τούτου τὰ ὄστρακα πηδάζοντα, διαρρῆξαι ἕτερον, καὶ τοῦτον πάλιν τὸν ἐγγύς. ὥστε πολλὴν γενέσθαι τὴν βλάβην. τὸ δὲ λεγόμενον τοιοῦτόν ἐστιν. ὡς ἅπαξ ἐκινήθη καὶ συνεταράχθη τὰ πράγματα, τοῦ πολέμου γενομένου, οὐκ ἔτι ἦν οὐδεὶς ὃς ἠδύνατο αὐτὰ παῦσαι. καὶ οὕτως ἡ εἰρήνη παραπώλετο.

ἐξεφύσησε γὰρ τοσοῦτον πόλεμον, ὥστε τῷ καπνῷ
πάντας Ἕλληνας δακρῦσαι, τούς τ' ἐνθάδε.
ὡς δ' ἅπαξ τὸ πρῶτον ἤκουσ' ἐψόφησεν ἄμπελος,
καὶ πίθος πληγεὶς ὑπ' ὀργῆς ἀντελάκτισε πίθῳ,
οὐκέτ' ἦν οὐδεὶς ὁ παύσων, ἥδε δ' ἠφανίζετο.
Τρ. ταῦτα τοίνυν μὰ τὸν Ἀπόλλω 'γὼ 'πεπύσμην οὐδενός.
οὐδ' ὅπως αὐτῇ προσήκοι Φειδίας ἠκηκόειν.
Χο. οὐδ' ἔγωγε, πλήν γε νυνί. ταῦτ' ἄρ' εὐπρόσωπος ἦν.
οὖσα συγγενὴς ἐκείνου. πολλά γ' ἡμᾶς λανθάνει.
Ερ. κᾆτ' ἐπειδὴ 'γνωσαν ὑμᾶς αἱ πόλεις ὧν ἤρχετε,
ἠγριωμένους ἐπ' ἀλλήλοισι καὶ σεσηρότας,

Καὶ πίθος πληγείς. τοῦτο λόγον οὐκ ἔχει. ἀλλ' ἡ λέξις αὐτοῦ δηλοῖ τοὺς πίθους ὑπὸ τῶν πολεμίων κατάγνυσθαι. Προσήκοι. συγγενὴς εἴη. δ' γὰρ προσήκοι. λέγεται ἀντὶ τῶν συγγενῶν. διὰ τοῦτο ἐπήνεγκεν οὖσα συγγενὴς ἐκείνου. συγγενῆ δὲ αὐτὸν φησίν. ἐπεὶ ἅμα τῷ φυγεῖν αὐτὸν, ἡ εἰρήνη ἀνεχώρησεν. Οὖσα συγγενής. ἐπειδὴ προεῖπεν, οὐδ' ὅπως αὐτῇ προσήκοι Φειδίας ἠκηκόειν. πρὸς τὸ προσήκοι, τὸ συγγενὴς ἐπήγαγε. προσήκοντες γὰρ λέγονται, οἱ συγγενεῖς. τὸ δὲ ἠκηκόειν, οὕτω Φρύνιχος διὰ τοῦ η, ἀναγινώσκει. συγγενῆ δὲ εἶπε τὸν Φειδίαν εἰρήνης, καθὼ τεχνίτης ὁ Φειδίας. εὔμορφος δὲ εἰσάγεται ἡ εἰρήνη οὖσα. ὡς πρὸς τὸν Φειδίαν οὖν ἡ καλὰ ξόανα ποιοῦσα. Κᾆτ' ἐπειδὴ 'γνωσαν. ὅρα τοῦ ποιητοῦ τὴν οἰκονομίαν. καὶ ἐκπλαγήσῃ αὐτόν. πάντα γὰρ τρόπον ἦλθεν ἐν ἀρχῇ τοῦ ποιήματος, μὴ προσκροῦσαι Ἀθηναίοις φάσκων ἑτέρους εἶναι τοῦ πολέμου αἰτίους. Βοιωτούς τε καὶ Μεγαρεῖς. οἵ φησι πρῶτοι τὴν εἰρήνην ἐσκοροδίσαν. νῦν δὲ πάλιν τοὺς Ἀθηναίους ἀποφαίνεται αἰτιωτάτους τοῦ πολέμου. δι' ὧν τὸν Περικλέα φησὶ γράψαι τὸ κατὰ τῶν Μεγαρέων πινάκιον. καὶ ἀδικουμένους τοὺς συμμάχους εἰς ἀπόστασιν κεχωρηκέναι. Τί οὖν ἡ τοῦ ποιητοῦ τέχνη. ὅτε μὲν δέος ἦν τῆς εἰρήνης; αὐτοὺς ἀντὶ τυχεῖν, ἀντὶ τοὺς ἄλλους ἀνήνεγκε τὴν αἰτίαν. ὅτε δὲ αὐτοῖς λοιπὸν κατὰ γνώμην προκεχώρηκε τὰ πράγματα φησὶ δὴ δ' τῆς εἰρήνης τυχεῖν, ἤδη καὶ πρὸς αὐτοὺς παρρησιάζεται, οὐκ ὀνειδίσαι βουλόμενος αὐτοῖς. ἤδη γὰρ ἔγνωσαν ὄντως εἶναι αἴτιοι, ἀλλ' ἀποστῆσαι προαιρούμενος αὐτοὺς τῶν τοιούτων ἐθῶν ὡς ἂν μὴ τοῖς αὐτοῖς ἐμμένοντες, δύσνους ἔχωσι τοὺς ὑπηκόους. Σεσηρότας. ἀπὸ τῶν κυνῶν ἡ μεταφορά. ὅταν γὰρ ὀργίζωνται, σεσήρασιν ἀλλήλοις.

φειδίας. φιλόχορος ἐπὶ πυθοδώρου ἄρχοντος ταῦτά φησι. καὶ τὸ ἄγαλμα τὸ χρυσοῦν τῆς ἀθηνᾶς, ἐστάθη εἰς τὸν νεὼν τὸν μέγαν, ἔχον χρυσίου σταθμὸν, ταλάντων μδʹ. περικλέους ἐπιστατοῦντος. φειδίου δὲ ποιήσαντος. καὶ φειδίας ὁ ποιήσας, δόξας παραλογίζεσθαι τὸν ἐλέφαντα τὸν εἰς τὰς φολίδας, ἐκρίθη καὶ φυγὼν εἰς ἦλιν, ἐργολαβῆσαι τὸ ἄγαλμα τοῦ διὸς τοῦ ἐν ὀλυμπίᾳ λέγεται. τοῦτο δὲ ἐξεργασάμενον ἀποθανεῖν ὑπὸ ἠλείων ἐπὶ σκυθοδώρου. ὅς ἐστιν ἀπὸ τούτου ἕβδομος, περὶ μεγαρέων εἰπὼν, ὅτι καὶ αὐτοὶ κατεβόων ἀθηναίων. παρὰ λακεδαιμονίοις. ἀδίκως λέγοντες εἴργεσθαι, ἀγορᾶς καὶ λιμένων τῶν ἀθηναίων. οἱ γὰρ ἀθηναῖοι ταῦτα ἐψηφίσαντο. περικλέους εἰπόντος, τὴν γῆν αὐτοὺς αἰτιώμενοι τὴν ἱερὰν τοῖς θεοῖς ἀπεργάζεσθαι.

Πρῶτα μὲν γὰρ αὐτῆς ἦρξε φειδίας πράξας κακῶς.
εἶτα περικλέης φοβηθεὶς μὴ μετάσχῃ τῆς τύχης.
τὰς φύσεις ἡμῶν δεδοικὼς καὶ τὸν αὐτοδὰξ τρόπον
πρὶν παθεῖν τι δεινὸν, αὐτὸς ἐξέφλεξε τὴν πόλιν.
ἐμβαλὼν σπινθῆρα μικρὸν μεγαρικοῦ ψηφίσματος.

λέγουσι δέ τινες ὡς φειδίου τοῦ ἀγαλματοποιοῦ δόξαντος παραλογίζεσθαι τὴν πόλιν καὶ φυγαδευθέντος, ὁ περικλῆς φοβηθεὶς διὰ τὸ ἐπιστατῆσαι τῇ τοῦ ἀγάλματος κατασκευῇ καὶ συνεγνωκέναι τῇ κλοπῇ, ἔγραψε τὸ κατὰ μεγαρέων πινάκιον. καὶ τὸν πόλεμον ἐξήνεγκεν. ἵνα ἀπησχολημένοις ἀθηναίοις εἰς τὸν πόλεμον, μὴ δῷ τὰς εὐθύνας. ἐγκαλέσας μεγαρεῦσιν. ὡς τὴν ἱερὰν ὀργάδα τῶν θεῶν ἐργασαμένοις. ἄλογος δὲ φαίνεται ἡ περικλέους ὑπόνοια, ἑπτὰ ἔτεσι πρότερον τῆς τοῦ πολέμου ἀρχῆς, τῶν περὶ φειδίαν γενομένων. φειδίας ὡς φιλόχορος φησὶν ἐπὶ πυθοδώρου ἄρχοντος τὸ ἄγαλμα τῆς ἀθηνᾶς κατασκευάσας, ὑφείλετο τὸ χρυσίον ἐκ τῶν δρακόντων τῆς χρυσελεφαντίνης ἀθηνᾶς, ἐφ᾽ ᾧ καταγνωσθεὶς ὑπὸ αὐτῶν ὡς νοσφισάμενος ἀνῃρέθη. Εἶτα περικλέης φοβηθείς. εἶτα ὁ περικλῆς δεδιὼς μὴ τῆς τύχης κοινωνήσῃ αὐτῷ, τουτέστιν εὐλαβούμενος μὴ καὶ αὐτὸς ζημιωθῇ φυγῇ. ἐδόκει γὰρ ὁ περικλῆς συνεγνωκέναι τῇ κλοπῇ ἐπεὶ καὶ ἐπιστατεῖν παρὰ τῶν ἀθηναίων κεχειροτόνητο. φοβηθεὶς οὖν αὐτοῦ διελεγχθῆναι τὰς κλοπὰς, ἐκίνησε τὸν πελοποννησιακὸν πόλεμον. ἐλπίσας ταραχῆς γενομένης καὶ περὶ τὸν πόλεμον ἀπασχοληθέντων τῶν ἀθηναίων, εὐθύνας μὴ ἔχειν. Τὸν αὐτοδάξ. τὸν ἐμπεσόντα καὶ δάκνοντα. αὐθάδη ὀργίλον ἐπεὶ οἱ ὀργίλοι δάκνουσι τοὺς ὀδόντας. οὐδὲν ἢ δάκνειν βλέποντα. Ἐμβαλὼν σπινθῆρα. ἐπεὶ ψήφισμα περὶ τῶν μεγαρέων ὁ περικλῆς ἔγραψε μήτε γῆς μήτε λιμένων ἀττικῶν αὐτοὺς ἐπιβαίνειν. εἰ δὲ μὴ, τὸν ληφθέντα ἀγώγιμον εἶναι. ἐφ᾽ ᾧ κινηθεῖσα πᾶσα ἡ ἑλλὰς, τὸν πόλεμον ἐπρίατο. τινὲς δέ φασιν. ὅτι ἔπλεξεν αὐτοῖς. καὶ κατηγόρησαν αὐτῶν ὡς ἁρπασάντων γυναῖκας ἀθηναίων ἐν ἑορτῇ, συμβουλεύσας πολεμεῖσθαι.

Χ αῖρε. χαῖρ' ὦ φιλτάτη. κορωνὶς καὶ εἴσθεσις χοροῦ μονοστροφικὴ κώλων κά. ὧν τὰ α΄. ζ΄. ιε΄. τροχαϊκὰ ἐφθημιμερῆ. τὰ β΄. ς΄. ιδ΄. δίμετρα ἀκατάληκτα. τὰ γ΄. η΄. ὅμοια. ἰωνικὰ μέν τοι ἀπὸ μείζονος. τὰ δ΄. θ΄. ιη΄. δακτυλικὰ πενθημιμερῆ. τὰ ε΄. ια΄. ιβ΄. ις΄. ιζ΄. παιωνικὰ δίμετρα ἀκατάληκτα. τὸ ι. ὅμοιον. ἰαμβικὸν μέν τοι. τὸ ιγ΄. παιωνικὸν ἐφθημιμερές. τὸ ιθ΄. ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. ὁ κ΄. κα΄. ἐν ἐκθέσει στίχοι εἰσὶ τροχαϊκοὶ τετράμετροι ἀκατάληκτικοὶ ὅμοιοι τοῖς ἐν τῇ εἰσθέσει τῆς διπλῆς ἀμοιβαίας μή. ἐπὶ τῷ τέλει τῶν μὲν τοῦ χοροῦ κορωνίς. τῆς δὲ διπλῆς ἡ ἔξω διπλῆ. ἐπὶ δὲ τοῖς ἀποθέσεσιν ἡ συνήθης παράγραφος. Ἀνερπύσαι. ἀπελθεῖν. ἰδίως δὲ ἕρπειν τὸ, τῇ γαστρὶ εἰλεῖσθαι. ὅθεν καὶ ἑρπετόν.

ΧΟ. Χαῖρε χαῖρ' ὦ φιλτάτη ὡς ἀσμένοισιν ἡμῖν ἦλθες.
σῷ γὰρ ἐδάμημεν πόθῳ.
δαίμονα βουλόμενοι
εἰς ἀγρὸν ἀνερπύσαι.
ἦσθα γὰρ τὸ μέγιστον ἡμῖν
κέρδος ὦ ποθουμένη πᾶσιν. ὁπόσοι γεοργι
κὸν βίον ἐτρίβομεν.
μόνη γὰρ ἡμᾶς ὠφέλεις.
πολλὰ γὰρ ἐπάσχομεν.
πρίν ποτ' ἐπὶ σοῦ γλυκέα.
κἀδάπανα καὶ φίλα.
τοῖς ἀγροίκοισι γὰρ ἦσθα
χίδρα καὶ σωτηρία.
ὥστε σὲ τά τ' ἀμπέλια
καὶ τὰ νέα συκίδια
τἄλλα θ' ὅσ' ἐστὶ φυτὰ,
προσγελάσεταί σε λαβόντ' ἄσμενα.
ἀλλὰ ποῦ ποτ' ἦν ἀφ' ἡμῶν τὸν πολὺν τοῦτον χρόνον.
ἥδε, τοῦθ' ἡμᾶς δίδαξον ὦ θεῶν εὐνουστάτη.
Ερ. ὦ σοφώτατοι γεωργοὶ. τἀμὰ δὴ ξυνίετε.
ῥήματ'. εἰ βούλεσθ' ἀκοῦσαι τήνδ' ὅπως ἀπώλετο.

Ἦσθα γὰρ τὸ μέγιστον. ἐπεὶ ἡ εἰρήνη πλεῖστα πάντων τοῖς γεωργοῖς συμφέρει. Κἀδάπανα καὶ φίλα. ἐκ τῶν ἀγρῶν γὰρ πάντα εἶχον αὐτόματα. ἐν δὲ τῷ πολέμῳ ὠνοῦντο. καὶ ἐδαπάνων. τινὲς δὲ γράφουσι μετὰ τοῦ ι. ἵνα τὸ νοούμενον ᾖ, δαπανῶντες ηὐφραινόμεθα. βέλτιον δὲ χωρὶς τοῦ ι. ἀναγινώσκειν. ἵν' ᾖ λέγειν μηδὲν ἀναλίσκοντες. διὰ τὸ ἔχειν πάντα ἐκ τῶν ἀγρῶν. ὅτι ἐν τῇ εἰρήνῃ, πολλὰ πάνυ καὶ τιμῆς ἐλαχίστης εὑρίσκεται. Χίδρα καὶ σωτηρία. χίδρα τὸ ἀπὸ ἑλύμου γινόμενον ὄσπριον ἔδεσμα πρὸ καρίαν. ἤτοι τὸ ἀπὸ χλωρῶν κριθῶν, ἢ εἶδος βοτάνης. ἐκ τούτου δὲ δηλοῖ τὴν εὐετηρίαν. Ἄλλως ἐρεικτὰ ἐκκριθῆς νέας γινόμενα. Τἀμὰ δὴ ξυνίετε. πρὸς ταῦτα καὶ κρατῖνος ἐν πυτίνῃ πεποίηκεν. ὦ λιπερνῆτες πολῖται. τἀμὰ δὴ ξυνίετε, ἔστι δὲ πρὸς τὰ ἀρχιλόχου. λιπερνῆτες πολῖται. τἀμὰ, δὴ ξυνίετε ῥήματα. ὁ ἑρμῆς δέ ἐστιν ὁ λέγων πρὸς τὸ ἐρωτηθὲν ὑπὸ τοῦ χοροῦ, δι' ἣν αἰτίαν τοσοῦτον ἀπέστη αὐτῶν ἡ θεὸς χρόνον. καὶ φησὶ πρῶτον γεγονέναι φειδίαν.

καὶ τὸν δορυξόον οἷον ἐσκιμάλισεν;

Ερ. ἴθι νυν ἄνειπε τοὺς γεωργοὺς ἀπιέναι.

Τρ. ἀκούετε λεῲ· τοὺς γεωργοὺς ἀπιέναι

τὰ γεωργικὰ σκεύη λαβόντας εἰς ἀγρὸν

ὡς τάχιστ' ἄνευ δορατίου καὶ ξίφους κἀκοντίου.

ὡς ἅπαντ' ἤδη 'στὶ μεστὰ τἀνθάδ' εἰρήνης σαπρᾶς.

ἀλλὰ πᾶς χώρει πρὸς ἔργον εἰς ἀγρὸν παιωνίσας.

Χο. ὦ ποθεινὴ τοῖς δικαίοις καὶ γεωργοῖς ἡμέρα.

ἄσμενός γ' ἰδὼν προσειπεῖν βούλομαι τὰς ἀμπέλους.

τάς τε συκᾶς ἃς ἐγὼ 'φύτευον ὢν νεώτερος;

ἀσπάσασθαι θυμὸς ἡμῖν· γάρ ἐστι πολλοστῷ χρόνῳ

Τρ. νῦν μὲν οὖν ὦνδρες προσευξώμεθα πρῶτον τῇ θεῷ.

ἥπερ ἡμῶν τοὺς λόφους ἀφεῖλε καὶ τὰς γοργόνας.

εἶθ' ὅπως λιταργιοῦμεν οἴκαδ' ἐς τὰ χωρία.

ἐμπολήσαντές τι χρηστὸν εἰς ἀγρὸν ταρίχιον

Ερ. ὦ πόσειδον ὡς καλὸν τὸ στῖφος αὐτῶν φαίνεται

καὶ πυκνὸν καὶ γοργὸν ὥσπερ μᾶζα καὶ πανδαισία

Ἐσκιμάλισε· τῷ μέσῳ δακτύλῳ συναρμόσας τὸν μέγαν καὶ πλήξας, ἐφύβρισε. ἢ κατεδακτύλισε· σκιμαλίσαι γάρ ἐστι κυρίως, τὸ, τὸν δάκτυλον εἰς τὸν πρωκτὸν τῆς ὄρνιθος βαλεῖν. οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ὅταν ὑβριζόμενοι ἐφυβρίσωσι τινὰ τὸν μέσον δάκτυλον ἐντείνοντες, δεικνύωσιν αὐτῷ. Ὡς τάχιστ' ἄνευ δορατίου. παρὰ τὰ τοῦ πολέμου κακά· πρώην οὐδεὶς δίχα σιδήρου ἐξῄει εἰς τὸν ἀγρὸν ὑφορώμενος τοὺς πολεμίους. νῦν δὲ εἰρήνης οὔσης, παρακελεύεται μὴ βαστάσαι σίδηρον. Σαπρᾶς παλαιᾶς καὶ ἀρχαίας. κυρίως μὲν σαπρὸν οἱ παλαιοὶ ἔλεγον τὸ σεσηπὸς διὰ τὸν χρόνον. χρῶνται δὲ αὐτῷ, καὶ ἀντὶ τοῦ ἀρχαίου καὶ παλαιοῦ. Παιωνίσας. εὐξάμενος τοῖς θεοῖς. ὁμολογήσας χάριν. παιὰν γάρ ἐστιν ὕμνος εὐχαριστήριος. Ὦ ποθεινή. οἱ γεωργοὶ ταῦτά φασι πεισθέντες τῷ κηρύγματι. Ἃς ἐγὼ φύτευον νεώτερος. περισπούδαστα γὰρ πᾶσιν ἦσαν αὗται ἅπερ αὐτοὶ ἐργάσαιντο. διὰ τούτου δὲ τὸν πολὺν τοῦ πολέμου χρόνον δηλοῖ. ὅτι νεώτερος ὢν ἐφύτευσε συκᾶς ἃς οὐκ εἶδε γηράσας. καὶ οὐκ ἀρκεσθεὶς τούτῳ ἐπήγαγε πολλοστῷ χρόνῳ. Καὶ τὰς γοργόνας. πᾶν σκεῦος ἁρμόζον ἐν πολέμῳ. Εἶθ' ὅπως λιταργιοῦμεν. εἶτα μετὰ τὸ εὔξασθαι τῇ θεῷ, συντόμως δραμούμεθα. παρὰ τὸ λίαν ἀργόν. Ὦ πόσειδον. ὁ Ἑρμῆς ὁρῶν τοὺς ἀγροίκους ἐξιόντας, φησὶ τό, ὦ πόσειδον. Καὶ γοργόν. ἐπεὶ διὰ χρόνου ἐξιόντες ἔσπευδον. Μᾶζα καὶ πανδαισία. πανδαισία ἡ δαψιλὴς καὶ παντοία εὐωχία. μᾶζα δέ ἐστιν, ὁ στρυφνὸς ἄρτος. Ἄλλως. ὅταν γὰρ εἰς κοινὸν ἑστιῶνται καὶ ἑκάστου φέροντος ἑαυτοῦ δεῖπνον, πυκνὰ πάντα φαίνεται. τῇ μέν, τὰ προσφάγια φερόντων· τῇ δέ, αὐτῶν ἑστιωμένων. Ἄλλως. φασὶ γὰρ τὸ δεῖπνον, ἐν ᾧ ἕκαστος αὐτῷ κομίζων εἰς κοινὸν κατατίθεται, καὶ πάντες πάντων μετέχουσι. τὸ δὲ στῖφος αὐτῶν, εἰκάζει ἀλφίτοις καὶ μάζῃ διὰ τὸ πυκνόν. καὶ ἐπειδὴ πυκνοῦται. ὅπου μὲν τὰ ἄλφιτα. ὅπου δὲ οἱ ἑστιώμενοι. πανδαισίαν, δὲ τὴν ποικίλην καὶ ἐκ διαφόρων ὄψων εὐωχίαν. ὅταν ἕκαστος τὰ ἑαυτοῦ ὄψα εἰσενέγκῃ. καὶ κάθηται εἰς τὸ κοινόν. ἢ ὅταν πολλῶν προκειμένων ἐδεσμάτων λάβῃ τις ὃ θέλει. οἱ δὲ πανδαισίας, λάχανόν τι, ἔχον παντοῖον ἔδεσμα. τὸ δὲ ὅλον, πυκνὸν οὖν, ὥσπερ μᾶζα καὶ πανδαισία.

προσιέναι. Σοφοκλέους μελῶν· ὅτι ἡδέα τὰ μέλη Σοφοκλέους. θέασαι δὲ, πῶς τὸν μὲν Σοφοκλέα καὶ τοῖς ὀνόμασιν ἐπαίρει. τὸν δὲ Εὐριπίδην σμικρύνει. ἐπὶ ἐκείνου μὲν λέγων μελῶν. ἐπὶ τοῦ Εὐριπίδου δὲ ἐπυλλίων. Κιχλῶν. αἱ κίχλαι εἶδος στρουθῶν. δοκοῦσι δὲ πρὸς τρυφὴν ἐκ τῶν ἄλλων πτηνῶν περισπούδαστοι εἶναι μᾶλλον. ἀεὶ δὲ τὸν Σοφοκλέα σεμνολογεῖ. Δικανικῶν. δικανικώτερα τὰ Εὐριπίδου ἔχοντα λύσεις καὶ ἀποκρίσεις. ἢ ἐπεὶ τὰ Εὐριπίδεια ἀντιλογίας πολλὰς ἔχει καὶ δικαζομένους εἰσάγει.

Προβατίων βληχωμένων. πάλιν ἐπὶ τὰ τῆς θεωρίας ἐπανέδραμεν ἐγκώμια. δεῖ οὖν ἀπὸ κοινοῦ νοεῖν. ὅτι μετὰ τῶν ἄλλων προεῖπε καὶ τοῦ ὄδωδεν.

Κόλπου γυναικός. πολλάκις ἐν εἰρήνῃ ὑπὸ κόλποις φέρουσί τι. καὶ ἀδεῶς εἰς τοὺς ἀγροὺς ἐξέρχονται καὶ αἰσχρολογοῦσιν. ἀντὶ τοῦ εἰπεῖν δὲ εἰς ἀγρὸν, εἶπεν εἰς ἰπνόν. ἰπνὸς δὲ, ὃ ἡμεῖς καμίνιον καλοῦμεν.

Δούλης μεθυούσης. ὅτι καὶ δοῦλοι μεθύουσιν ἐν εἰρήνῃ. Ἀνατετραμμένου χοῶς. ἀνακαλυφθέντος εἰς γῆν. ὡς οἱ ἐν τοῖς πότοις σφαλλόμενοι εἰώθασι ποιεῖν.

Ἄλλων πολλῶν. μετὰ τὸ κατὰ μέρος πάντα εἰπεῖν ἐπήγαγε τὸ γενικόν. ἵνα καὶ ἄλλων πολλῶν δόξαν παράσχηται. Ὑπωπιασμέναι. σφοδρῶς πεπληγεῖσαι ὑπὸ τοῦ πολέμου. παρὰ τὰ ὑπώπια ἅ εἰσιν ἐκκαύματα ὄψεων καὶ κρούσματα ἅπερ κορδύλας φασίν. Καὶ κυάθοις. τοῖς γὰρ χαλκοῖς ὀξυβάφοις τὰ ὑπώπια ἀνατρίβοντες, ἀφανῆ ποιοῦσι. τοιούτοις γὰρ τοὺς ἐκ τῶν πληγῶν ἐθεράπευον μώλωπας. Ἵνα γνῷς. ἵνα διαγνῷς καὶ διακρίνῃς ἐκ τοῦ ἱλαροὺς εἶναι καὶ κατηφεῖς, ποίαν τὶς αὐτῶν τέχνην μεταχειρίζεται. οἱ μὲν γὰρ τὰ πολεμικὰ ἀσκοῦντες ἀχθόμενοι τοῖς παροῦσιν, καὶ ὅτι ἀργοὶ ἔσονται, στυγνοί εἰσι καὶ κατηφεῖς, οἱ δὲ τὰ εἰρηνικὰ, ἱλαροί.

Τίλλονθ᾽ ἑαυτόν. τίλλειν ἑαυτὸν λέγεται, τὸ τῶν ἑαυτοῦ τριχῶν ἐπιλαμβάνεσθαι καὶ σπαράττειν τὰς κόμας. προσφορώτατα γοῦν τὸν λοφοποιὸν τῇ κεφαλῇ καὶ ταῖς θριξὶν αὐτὸν ἐποίησε λαβόμενον. ἐπεὶ καὶ ὁ λόφος τῆς κεφαλῆς ἐστὶ σκεπαστήριον.

κιττοῦ, τρυγοίπου, προβατίων βληχωμένων.
κόλπου γυναικῶν διατρεχουσῶν ἐς ἰπνόν.
δούλης μεθυούσης, ἀνατετραμμένου χοῶς.
ἄλλων τε πολλῶν κἀγαθῶν. Ερ. ἴθι νυν ἄθρει.
οἷον πρὸς ἀλλήλας λαλοῦσιν αἱ πόλεις.
διαλλαγεῖσαι, καὶ γελῶσιν ἄσμεναι.
καίτοι ταυτὰ δαιμονίως ὑπωπιασμέναι
ἁπαξάπασαι, καὶ κυάθοις προσκείμεναι.
Τρ. καὶ τῶνδε τοίνυν τῶν θεωμένων σκόπει.
τὰ πρόσωφ᾽ ἵνα γνῷς τὰς τέχνας. Ερ. αἰβοῖ τάλας.
ἐκεινονὶ γὰρ τὸν λοφοποιὸν οὐχ ὁρᾷς,
τίλλονθ᾽ ἑαυτόν; ὁ δέ γε τὰς σμινύας ποιῶν
πέπαρδεν ἄρτι τοῦ ξιφουργοῦ κᾳ᾽ιονὶ
Τρ. ὁ δὲ δρεπανουργὸς οὐχ ὁρᾷς ὡς ἥδεται;

Ἄγε νῦν. κορωνὶς καὶ εἴσθεσις χοροῦ μονοστροφικὴ κώλων η΄. ὧν τὸ πρῶτον αἰαπαιστικὴ βάσις. τὸ δεύτερον ὅμοιον δίμετρον τὰ γ΄. δ΄. ς΄. ἰαμβικὰ δίμετρα. τὸ ε΄. ὅμοιον ἑφθημιμερές. τὸ ζ΄. παιονικὸν τρίμετρον ὑπερκατάληκτον ἐκ παλιμβακχείων καὶ κρητικῶν. τὸ η΄. δίμετρον ὑπερκατάληκτον ὅμοιον. ὑφ᾽ ὃ κορωνίς. Ὦ ἶα ὢ εἶα. αὐτὴ ἀνέχθη ἡ εἰρήνη. οὕτω γὰρ εἰώθασιν οἱ ἐπιστατοῦντες ἐπέχειν τὴν ὁρμὴν τῶν ἑλκόντων. Ὦ πότνια. εἴσθεσις διπλῆς ἀμοιβαίας στίχων νά. ὧν οἱ μὲν λγ΄. ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. οἱ δὲ ἑξῆς ιη΄. τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει ἡ ἔξω διπλῆ. Βοτρυόδωρε. βότρυς δωρουμένη. ὢ εὐφραντοποιέ. ἐπεὶ ἐν εἰρήνῃ φύονται αἱ ἄμπελοι οἰκεῖον δὲ τοῖς γεωργοῖς, καὶ τὰ παρ᾽ αὐτῶν ἐπίθετα. μυριάμφορον δὲ, τίμιον καὶ πολυτίμητον. ἢ μυρία κεράμια χωρῆσαι δυνάμενοι. ἀπὸ τῶν ληνῶν καὶ πίθων τῇ μεταφορᾷ ἐχρήσατο.

Χο. Ἄγε νῦν, ἄγε πᾶς καὶ μὴν ὁμοῦ στιν ἤδ᾽ ἐγγύς.
μὴ νῦν ἀνῶμεν. ἀλλ᾽ ἐπεν-
τείνομεν ἀνδρικώτερον.
ἤδ᾽ ἐστὶ τοῦτ᾽ ἐκεῖνο.
Ὦ ἶα νῦν. ὢ εἶα πᾶς.
ὢ ἶα ὢ ἶα. ἶα ἶα.
ὢ ἶα. ὢ ἶα πᾶς.

Τρ. ὦ πότνια βοτρυόδωρε. τί προσείπω σ᾽ ἔπος.
πόθεν ἂν λάβοιμι ῥῆμα μυριάμφορον.
ὅτῳ προσείπω σ᾽ οὐ γὰρ εἶχον οἴκοθεν.
ὦ χαῖρ᾽ ὀπώρα. καὶ σὺ δ᾽ ὦ θεωρία.
οἷον δ᾽ ἔχεις τὸ πρόσωπον ὦ θεωρία.
Οἷον δὲ πνεῖς ὡς ἡδὺ κατὰ τῆς καρδίας.
γλυκύτατον ὥσπερ ἀστρατείας καὶ μύρου.
μῶν οὖν ὅμοιον καὶ γυλίου στρατιωτικοῦ;

Ἑρ. ἀπέπτυσ᾽ ἐχθροῦ φωτὸς ἔχθιστον πλέκος.
τοῦ μὲν γὰρ, ὄζει κρομμυοξυρεγμίας.
ταύτης δ᾽ ὀπώρας ὑποδοχῆς διονυσίων.
αὐλῶν. τραγῳδῶν. σοφοκλέους μελῶν. κιχλῶν
ἐπυλλίων εὐριπίδου. Τρ. κλαύσ᾽ ἄρα σὺ
ταύτης καταψευδόμενος. οὐ γὰρ ἥδεται
αὕτη ποιητῇ ῥηματίων δικανικῶν

Οὐ γὰρ εἶχον οἴκοθεν. ἄξιον τοῦ ἐπαίνου οὐκ εἶχον οἴκοι. ἐπαύξησις δὲ τῶν παρελθόντων κακῶν, εἴγε μέχρι καὶ τῶν τοιούτων ἐστέρηνται χρημάτων.

Χαῖρ᾽ ὀπώρα. ὡς καὶ τούτων σὺν τῇ ὥρᾳ ἀνελθουσῶν. ὑποτίθεται δὲ αὐτὰς ὡς πόρνας. Ἀστρατείας. ἀντὶ τοῦ εἰρήνης. παρ᾽ ὑπόνοιαν δὲ ἀντὶ τοῦ εὐδίας. Γυλίου. ἀγγεῖον στρατιωτικόν. εἰς ὃ τὰς τροφὰς ἄγονται οἱ στρατιῶται. φησὶν οὖν οὐ ταὐτὸν ὄζων ὁ γύλιος καὶ ἡ θεωρία πλέκος. πλέγμα σκευοφόρου στρατιωτικόν. ἔστι δὲ ζῶον ὃ καλεῖται ὑπό τινων χοιρογρύλλιος. Κρομμυοξυρεγμίας. ἀπειθείας. δριμεῖα γὰρ καὶ ἀηδὴς ἡ τοιαύτη ἐρυγή. ἀπὸ δὲ τῶν κρομμύων καὶ τῆς ὀξύτητος καὶ τῆς ἐρυγῆς συνέθηκε τὴν λέξιν. ταῦτα γὰρ εἰώθασι κομίζειν εἰς τὸν τόπον. Διονυσίων. ἀντὶ τοῦ πλήθους καὶ διονυσίων πολλῶν. ἐν γὰρ εἰρήνῃ συνεχῶς ἤνθει. Αὐλῶν. τραγῳδῶν. ἐπεὶ καθόλου μὲν ὁ αὐλὸς ἐν εὐωχίαις ἀεὶ καὶ θαλίαις ἐξετάζεται. ἐν δὲ τοῖς ἱσταμένοις χοροῖς οὓς συνίστανται οἱ χορηγοὶ διὰ τῶν διονυσίων, πάντως καὶ αὐλητὰς ἔδει

ἀθηναίους ἐπεξιοῦσιν αὐτοῖς, κωλύειν τὴν παρ' αὐτῶν γῆν γεωργεῖν. ἢ ὅτι εἰς πολιορκίαν κατέστησαν αὐτοὺς οἱ ἀθηναῖοι τὴν νικίαν τειχίσαντες. Ὦ εἶα. ἡ ἀμοιβαία αὕτη ἀντιστροφὴ τῆς ἐκτεθείσης ἐστὶ στροφῆς. καὶ εἰσὶ τὰ κῶλα καὶ ταύτης ὅμοια ἐκείνοις. ἔνιοι δὲ καὶ ἑτέρους δέχεται πόδας τοῦ αὐτοῦ μέτρου ὄντος. ἀντὶ τῷ πλεῖσται ἀμφοτέρωθεν ἔξω διπλαῖ. Ὡς κακὸν εἴ τινες εἰσὶν ἐν ἡμῖν. οἷον εἰ ἐχθροὶ καὶ κακὸν νοῦν ἔχοντες πρὸς τὴν εἰρήνην. Κιττῶντες. ἀπὸ μεταφορᾶς τῶν κυουσῶν γυναικῶν, ἤγουν ἐπιθυμοῦντες. καὶ ἐπειδὴ ἡ ἀδηφάγον καὶ παμφάγον ὄρνεον ἡ κίττα, περίεργον δὲ καὶ εἰς ἐπιθυμίαν· κιττᾶν οὖν, τὸ ἐπιθυμεῖν. ἀπὸ τῶν γυναικῶν τῶν ἐν ἐπιθυμίᾳ γινομένων ἐδεσμάτων τινῶν μετὰ τὸ συλλαβεῖν. Ἄνδρες μεγαρῆς. ἕτερον σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς ἰάμβειον ἢ καὶ ἐν εἰσθέσει δὲ ἕτερον ἀμοιβαῖον στίχων ὁμοίων καταληκτικῶν τετραμέτρων δ'. ἀντὶ τοῦ; ἀποθέσθαι παράγραφος. Οὐκ ἐς κόρακας. ἀντὶ τοῦ μετὰ φθορᾶς βαδιεῖσθε. πολλάκις δὲ εἰρήκαμεν ὅτι ἀντὶ κατάρας τίθεται. Πρῶτοι γὰρ αὐτήν. αἰτίῳ τῷ δριμύτητι. ὅτι πολλὰ παρ' αὐτοῖς σκόροδα. αἰτίαν γὰρ εἶχον, ἀρχηγοὶ γενέσθαι τοῦ πολέμου, διὰ τὴν ἁρπαγὴν τῶν πορνῶν ἀσπασίας, καὶ τὴν ἐπὶ τούτοις ὀργὴν περικλέους καὶ τὸ ψήφισμα. Ἐντεῦθεν ἐκ τούτου τοῦ μέσου. λέγει δὲ τοῦ μὴ ποιεῖν τὴν εἰρήνην. Οὐδὲν γὰρ ἄλλο δρᾶτε. ἐν οὐδενὶ ἱκανοί ἐστε πλὴν ἐν τῷ δικάζειν. δέον δὲ εἰπεῖν ἀντὶ τοῦ δικάζετε, ἐμποδίζετε. Πρὸς τὴν θάλατταν. οἷον ἐκ τῆς θαλάττης μικρὸν ὑποχωρήσατε τουτέστι πρὸς τὸ ναυμαχεῖν. τῆς πρὸς πέρσας δὲ ναυμαχίας ὑπομιμνήσκει αὐτούς. ἀποχωρεῖτε οὖν φησι καὶ ἀπάγετε εἰς τὰ ἴδια. καὶ ὀλίγον τῆς κατὰ θάλατταν, βίας. ἔνδοτε. ἐθαλασσοκράτουν γὰρ τότε. Χωρεῖτε. τοὺς ἄλλους πάντας ἀπέστησε τοῦ ἕλκειν ὁ ἑρμῆς, τοῖς γεωργοῖς μόνοις ἐπιτρέψας τὸ ἕλκειν. διό φησι νῦν προκόπτει τὸ ἔργον.

Τρ. εἶα νῦν δὴ εἶα.
Ἑρ. ὦ εἶα. ὦ εἶα.
Χο. μικρόν γε κινοῦμεν. Τρ. οὐ δεινὸν,
τοὺς μὲν, τείνειν. τοὺς δ' ἀντισπᾶν;
Χο. πληγὰς λήψεσθ' ὦργεῖοι
Ἑρ. εἶα νῦν. Τρ. εἶα ὦ
Χο. ὡς κακόν εἴ τινες ἐν εἰσὶν ἡμῖν.
ὑμεῖς μὲν οὖν οἱ κιττῶντες.
τῆς εἰρήνης, σπᾶτ' ἀνδρικῶς
ἀλλ' εἰσ' οἱ κωλύουσιν.
Τρ. ἄνδρες μεγαρῆς. οὐκ ἐς κόρακας ἐρρήσετε;
μισεῖ γὰρ ὑμᾶς ἡ θεὸς μεμνημένη.
πρῶτοι γὰρ αὐτὴν τοῖς σκορόδοις ἠλείψατε.
καὶ τοῖς ἀθηναίοισι παύσασθαι λέγω·
ἐντεῦθεν ἐχομένοις ὅθεν νῦν ἕλκετε.
οὐδὲν γὰρ ἄλλο δρᾶτε πλὴν δικάζετε,
ἀλλ' εἴπερ ἐπιθυμεῖτε τήνδ' ἐξελκύσαι,
πρὸς τὴν θάλατταν ὀλίγον ὑποχωρήσατε.
Χο. ἄγ' ὦνδρες αὐτοὶ δὴ μόνοι λαβώμεθ' οἱ γεωργοί.
Ἑρ. χωρεῖ γέ τοι τὸ πρᾶγμα πολλῷ μᾶλλον ὦνδρες ὑμῖν.
Χο. χωρεῖν τὸ πρᾶγμά φησιν ἀλλὰ πᾶς ἀνὴρ προθυμοῦ.
Τρ. οἱ γεωργοὶ τοὔργον ἐξέλκουσι. κἄλλος οὐδείς.

νήσου κομίσασθαι. ἦσαν γὰρ οἱ σπαρτιᾶται αὐτῶν πρῶτοί τε καὶ ὁμοίως φυσὶ συγ-
γενεῖς. ἤρξαντο μὲν οὖν καὶ εὐθὺς μετὰ τὴν ἅλωσιν αὐτῶν πράσσειν. ἀλλ' οἱ ἀθη-
ναῖοι μὲν οὔπω ἐθέλοντες ἐξ εὐφερουμένοις ἐπὶ τῇ ἴσῃ καταλύεσθαι. μάλιστα δὲ οἱ
τῶν δεδεμένων συγγενεῖς, ἐνῆγον καὶ ἐσπούδαζον, ὡς ἂν εἰρήνη γένηται. Ἄλλως.
οὐ μόνον διὰ τὸ κεκμηκέναι τῷ πολέμῳ ἀλλὰ καὶ διὰ τοὺς ἐν σφακτηρίᾳ δεδε-
μένους. Ἀλλ' ὁ χαλκεὺς οὐκ ἐᾷ. ὅτι ἐδεδίει τὸ καὶ περιέκειντο αὐτοῖς πέδαι.

μόνοι προθυμοῦντ'· ἀλλ' ὁ χαλκεὺς οὐκ ἐᾷ.
Ερ. οὐδ' οἱ μεγαρῆς δρῶσ' οὐδὲν ἕλκουσι δ' ὅμως.
Γλισχρότατα σαρκάζοντες ὥσπερ κυνίδια.
ὑπὸ τοῦ γε λιμοῦ νὴ δί' ἐξολωλότες.
Τρ. οὐδὲν ποιοῦμεν ἄνδρες. ἀλλ' ὁμοθυμαδὸν
ἅπασιν ἡμῖν αὖθις ἀντιληπτέον.
Ερ. ὠὖπα.
Τρ. εἶα μάλα.
Ερ. ὦ εἶα.

Οὐδ' οἱ μεγαρῆς. ὡς καὶ τού-
των βαρέως φερόν-
των, ὅτι ἔκσπονδοι ἐ-
γένοντο. βουλομένων δὲ
τὴν εἰρήνην διὰ τὸ μάλι-
στα πεπιέσθαι τῷ λι-
μῷ καὶ τῷ πολέμῳ τοῦ-
το δὲ οἱ καλῶς ἐξηγού-
μενοι τὸν Τρυγαῖον φασίν.
Γλισχρότατα. ὅτι γλίσχρος
ἐπὶ δυστυχίας ἐλέγετο.
σαρκάζοντες δὲ ἤτοι ἐξι-
σχνούμενοι καὶ ἠτονηκό-
τες. καὶ διὰ τὸν λιμὸν ἕλκοντες μόλις. ἢ οὕτως ἕλκοντες κατὰ κυνιδίων τρό-
πον. οἳ τὰ ὀστέα τρώγοντες καὶ οὐκ ἔχοντες ἐμφορηθῆναι ὑπ' αὐτῶν τὸ δοκεῖν
ἐσθίουσι. φανερὸν δ' ἐστὶν ὅτι ἐπίτηδες χαριζόμενος πάλιν τοῖς ἀθηναίοις, διέ-
συρεν οὕτως τοὺς μεγαρεῖς. πρῶτον μὲν αὐτοὺς κυσὶ παραβαλὼν ἔπειτα τῷ ὑπο-
κοριστικῷ καὶ τῇ σμικρότητι τῶν κυνιδίων, εἰς πλείονα κατάγων ταπεινότη-
τα, πάνυ γὰρ καὶ διαπρυσίως ἐμισοῦντο ὑπὸ τῶν ἀθηναίων. διὸ ὃν εἰρήκαμεν τρό-
πον. καλῶς δ' ἂν ἔχοι τοῦτο τηρῆσαι πρὸς τὸ ἱππωνάκτειον οὕτως ἔχον. σαρκο-
κύων λιμόν. οὐ γάρ ἐστι τῶν σαρκῶν. ὥσπερ ἀξιοῦσι τῶν ἐξηγησαμένων τινές. παντά-
πασι γὰρ ἂν εἴη αὐτὸ ὑπεναντίον αὐτῷ. ἔργον γὰρ τοῦ λιμοῦ, οὐ σάρκας ἐμποιεῖν, ἀλλὰ
τοὐναντίον τὰ σώματα ἐπισχνοῦν, καὶ τῶν σαρκῶν παραιρεῖσθαι τὸν ὄγκον. Σαρκάζοντες
δ' οἱονεὶ ὑπεσεσηρότες καὶ διανοίγοντες, ὥσπερ τὰ κυνίδια, ὅταν προσλιπαρῇ τινα καὶ
ἀφέλκῃ τοῖς ὀδοῦσι. τὸ δὲ ὑπὸ τοῦ γε λιμοῦ ἐξολωλότες, ὅτι ὡς λιμώττοντες ἀεὶ με-
γαρεῖς παίζονται. διὰ γὰρ τοῦτο καὶ τοὺς ἑαυτῶν παῖδας ἐπίπρασκον. καὶ
ἐπεθύμουν μὲν τῆς εἰρήνης. διὰ δὲ ἀθηναίους, ἀνεβάλλοντο αὐτήν, ὥς φη-
σι θουκυδίδης. Ὑπὸ τοῦ γε λιμοῦ. λιμώττειν αὐτοὺς λέγει ἐπει-
δὴ ὅτε μὲν εἰρήνη ἦν, εἰσήρχοντο εἰς τὴν ἀττικὴν καὶ ἀπετρέφοντο διὰ τὸ
πωλεῖν καὶ συναλλάσσειν. νῦν δὲ πολέμου ὄντος ἐφοβοῦντο εἰσελθεῖν εἰς
τὴν ἀττικὴν καὶ ἀγοράσαι ὧν ἔχρῃζον. ἐξ αὐτῶν γὰρ ἐγένετο ἡ αἰτία
τοῦ πολέμου. ἐξ ἀττικῆς δὲ ὠνοῦνται τὰς τροφὰς διὰ τὸ καὶ πλησιάζειν αὐ-
τῇ καὶ διὰ τὸ ὀλίγην παντάπασι χώραν ἔχειν τὴν γεωργουμένην, εἰκὸς οὖν τοὺς

Οἰμώξεσθε. ὅτι μηδὲν αὐτοῖς μέλει τῆς εἰρήνης, ἐπὶ τῆς ἀλκμαίωνος σπονδὰς αὐτοῖς φησὶ φιλόχορος γεγενῆσθαι πεντηκονταετεῖς ἀθηναίοις καὶ λακεδαιμονίοις καὶ τοῖς συμμάχοις πλὴν βοιωτῶν καὶ κορινθίων καὶ ἠλείων. Ἄγετον. ξυνέλκετον. ὁ χορὸς πρὸς τὸν ἑρμῆν καὶ τὸν τρυγαῖον. Ἕλκω κἀξαρτῶμαι. ἔμφασιν πολλὴν ἔχουσιν οἱ λόγοι αὐτοῦ. ἐμφαίνοντες τὴν σπουδὴν τὴν περὶ τὸ ἕλκειν. ὅπου γε καὶ ξυναρτᾶσθαι φησὶ τῷ ἔργῳ. τουτέστιν ἐμπεπάρθαι. Πῶς οὖν οὐ χωρεῖ. ὁ ἑρμῆς τοῦτό φησιν ἀπελέγχων αὐτούς, ὅτι λέγουσιν ἕλκειν. καὶ οὐχ ἕλκουσιν. Ὦ λάμαχ᾽ ἀδικεῖς. διπλῆ καὶ στίχοι τρίμετροι ἰαμβικοὶ ιγ΄. ἐπὶ τῷ τέλει παράγραφος.

Σὺ δ᾽ οἰμώξεσθ᾽ οἱ βοιωτοί.
Ἑρ. ἄγε νῦν.
Τρ. εἶα. ὦ.
Χο. ἄγε νυν ξυνέλκετον καὶ σφώ.
Τρ. οὔκουν ἕλκω κἀξαρτῶμαι.
κἀπεμπίπτω καὶ σπουδάζω.
Ἑρ. πῶς οὖν οὐ χωρεῖ τοὔργον.
Χο. ὦ λάμαχ᾽ ἀδικεῖς ἐμποδὼν καθήμενος.
οὐδὲν δεόμεθ᾽ ὤνθρωπε τῆς σῆς μορμόνος.
Ἑρ. οὐδ᾽ οἵδε γ᾽ εἷλκον. οὐδὲν ἀργεῖοι πάλαι.
ἀλλ᾽ ἢ κατεγέλων τῶν ταλαιπωρουμένων
καὶ ταῦτα διχόθεν μισθοφοροῦντες ἄλφιτα.
Τρ. ἀλλ᾽ οἱ λάκωνες ὦγάθ᾽ ἕλκουσ᾽ ἀνδρικῶς.
Ἑρ. ἆρ᾽ οἶσθ᾽ ὅσοι γ᾽ αὐτῶν ἔχονται τοῦ ξύλου;

Τῆς σῆς μορμόνος. παρὰ τὴν μορμὼ καὶ τὴν γοργόνα. ἣν εἶχεν ὁ λάμαχος ἐπίσημον. οὕτως δὲ ἔλεγον τὸ ἐκφόβητρον. καὶ τὰ προσωπεῖα τὰ αἰσχρὰ μορμολύκεια. ἀφ᾽ οὗ τραγικὰ. καὶ κωμικὰ. καὶ ἐν ἀμφιαράῳ. ἀφ᾽ οὗ κωμῳδικὸν μορμολύκειον ἔγνων. Οὐδὲν ἀργεῖοι. ὡς τῶν ἀργείων ἐπαμφοτεριζόντων ὅποι ποτὲ δοκοίη αὐτοῖς. διὸ καὶ φιλόχορος φησὶ πολεμοῦντας πάλιν πρὸς κορινθίους προσλαμβάνεσθαι καὶ τοὺς ἀργείους. Ἀλλ᾽ ἢ κατεγέλων. ἐπεὶ ἀργεῖοι κατεγέλων λακεδαιμονίων καὶ ἀθηναίων ἀλλήλοις μαχομένων, ἐπείπερ παρ᾽ ἀμφοτέρων λαμβάνοντες χρήματα ἐπολέμουν. ἐνετρύφων οὖν τοῖς ἐκ τοῦ πολέμου διαφθειρομένοις. αἰνίττεται οὖν εἰς τοὺς ἀργείους. ἐν τούτῳ τῷ πολέμῳ ἐπαμφοτερίζοντας. διὸ καὶ πολλὰ ἐκωμῳδοῦντο. Διχόθεν. ὡς τῶν ἀργείων ἐπαμφοτεριζόντων. καὶ ἀποκλινόντων ὅποι ποτὲ δοκοίη αὐτοῖς, πρὸς λακεδαιμονίους. ἐμφαίνει οὖν, καὶ ταῦτα διχόθεν μισθοφοροῦντες. ἥρμοττε γὰρ οὔπω μᾶλλον εἰπεῖν, ὅτι οὐ προθυμοῦνται πρὸς τὴν εἰρήνην καὶ ταῦτα μάλιστα πάντων τρυφώμενοι ἐν τῷ πολέμῳ, μή τι οὖν ἐν ἴσῳ τούτων εἴρηκε. διὰ τὸ διχόθεν μισθοφορεῖν. περὶ δὲ ἀργείων καὶ φερεκράτης ἐν αὐτομόλοις. οὗτοι γὰρ ἡμῖν οἱ κακῶς ἀπολούμενοι, ἐπαμφοτερίζουσιν ἐμποδὼν καθήμενοι. Ἆρ᾽ οἶσθ᾽ ὅσοι γ᾽ αὐτῶν. καὶ θουκυδίδης ἱστορεῖ λέγων μάλιστα τῆς εἰρήνης ἀντιποιεῖσθαι λακεδαιμονίους, διὰ τοὺς ληφθέντας αὐτῶν ἐν σφακτηρίᾳ. λέγει γὰρ οὕτως. τοὺς γὰρ δὴ ἄνδρας περὶ πλείονος ἐποιοῦντο κομίσασθαι, ἕως ὅτε βρασίδας εὐτύχει. καὶ ἐν ἄλλοις. ταῦτα οὖν ἀμφοτέροις αὐτοῖς λογιζομένοις, ἐδόκει ποιητέα εἶναι ἡ ξύμβασις. καὶ οὐχ ἧττον τοῖς λακεδαιμονίοις ἐπιθυμίᾳ τῶν ἀνδρῶν τῶν ἐκ τῆς

Ἐπὶ τοῦ τροχοῦ γ' ἕλκοιτο. οἱ γὰρ δοῦλοι σφαλλόμενοι ἐπὶ τοῦ τροχοῦ δεσμούμενοι καὶ συρόμενοι, ἐτύπτοντο ἀνακλώμενοι ἐν αὐτῷ. ἰὴ παιών. ἐφύμνιον εἰς ἀπόλλωνα. τὴν δὲ αἰτίαν καλλίμαχος ἱστορεῖ διὰ τούτων. πυθῶ τοι κατιόντι συνήντετο δαιμόνιος θήρ, αἰνὸς ὄφις. τὸν μὲν σὺ κατήναρες ἄλλον ἐπ' ἄλλῳ βάλλων ὠκὺν ὀϊστόν. ἐπηύτησε δὲ λαὸς ἰὴ ἰὴ παιῆον. ἵει βέλος. Ἑρμῇ. χάρισιν. ὥραισιν. δικαίως προέταξε τὸν ἑρμῆν. ὡς αἴτιον τῆς ἀναγωγῆς τῆς εἰρήνης. καὶ τῶν ἑξῆς δὲ, εἰκότως ἐμνήσθη ὡς ἁρμοδίων αὐτῇ. ἐν γὰρ τῇ εἰρήνῃ τούτων ἀπολαύουσι πάντες. ὥραις δὲ, πᾶς τοῦ ἔτους. ὧν οὐδεὶς ἐν πολέμῳ ἀπολαύει, καὶ τῶν ἐν αὐταῖς ἔργων. Ἄρει δὲ. πρὸς τοὺς οἰομένους τῶν νεωτέρων τὸν αὐτὸν ἄρεα εἶναι καὶ ἐνυάλιον, κατὰ τὸ ἐπίθετον. τινὲς δὲ ἄρεος καὶ ἐνυοῦς τὸν ἐνυάλιον. οἱ δὲ, κρόνου καὶ ῥέας. ἀλκμᾶνα δὲ λέγουσιν ὁτὲ μὲν τὸν αὐτὸν λέγειν. ὁτὲ δὲ διαιρεῖν. εἰκότως δὲ τούτοις μὴ δεῖν θύειν μετὰ τὴν εἰρήνην. ὑπεναντίοι γὰρ καὶ ἀλλότριοι τῆς εἰρήνης.

ἐπὶ τοῦ τροχοῦ γ' ἕλκοιτο μαστιγούμενος.
ἡμῖν δ' ἀγαθὰ γένοιτ' ἰή. παιὼν ἰή.
Τρ. ἄφελε τὸ παίειν. ἀλλ' ἰὴ μόνον λέγε.
Χο. ἰὴ τοίνυν γ', ἰὴ μόνον λέγω.
Τρ. ἑρμῇ χάρισιν. ὥραισιν. ἀφροδίτῃ. πόθῳ.
Χο. ἄρει δέ; Τρ. μή. Χο. μὴ δ' ἐνυαλίῳ γε. Τρ. μή.
Χο. ὑπότεινε δὴ πᾶς καὶ κάταγε τοῖσιν κάλως.
Ερ. ὦ εἶα.
Χο. εἶα μάλα.
Ερ. ὦ εἶα.
Χο. εἶα ἔτι μάλα.
Ερ. ὦ εἶα. ὦ εἶα.
Τρ. ἀλλ' οὐχ ἕλκουσ' ἄνδρες ὁμοίως.
οὐχὶ ξυλλήψεσθ'; οἷ' ὀγκύλλε

Ὦ εἶα δὴ τμῆμα καὶ ἔκθεσις ἀμοιβαίων τοῦ χοροῦ καὶ τοῦ ὑποκριτοῦ ἐν ἐκθέσει καὶ παρεκθέσει. Ἄλλως. ἡ ἀμοιβαία αὕτη στροφὴ κώλων ἐστὶ ιδ'. ἔχει δὲ ἑξῆς καὶ ἀντιστροφὴν ἐξ ὁμοίων ἀρχομένην κώλων καὶ ἔστι τὸ μὲν πρῶτον τρισύλλαβον κατὰ παλιμβάκχειον. τὸ δὲ β'. παίων πρῶτος. τὸ δὲ γ'. ὅμοιον τῷ πρώτῳ. τὸ δὲ δ', ἤτοι δακτυλικὸν δίμετρον. ἢ τροχαϊκὸν πενθημιμερὲς εἶναι ἢ ἡμιόλιον ἐκ παίωνος. τὸ μέντοι τῆς ἀντιστροφῆς κρητικὸν ἔχει. τὸ ε', διπλοῦς παλιμβάκχειος. τὰ ϛ'. ζ'. ἀναπαιστικὰ δίμετρα. τὸ η'. ἑφθημιμερὲς ὅμοιον. τὰ θ'. ι'. παιωνικὰ μονόμετρα ἢ κρητικά. τὰ ια'. ιβ'. ιγ'. ἀναπαιστικὰ δίμετρα ἐπιμεμιγμένα ἰάμβοις. τὰ δὲ τῆς ἀντιστροφῆς καὶ δακτύλοις. τὸ ιδ'. ὅμοιον ἑφθημιμερές. ὑφ' ὃ ἡ ἔσω διπλῆ διὰ τὴν ἀνταπόδοσιν. τὸν ἑρμῆν δὲ καὶ ταῦτα ἐξάρχειν θέλουσι. μιμεῖται δὲ τοὺς βαρβαριστὶ ἐξέλκοντας. δεῖ οὖν νοεῖν, ὅτι ταῦτα ἀνὰ μέρος λέγεται. τὸ μὲν τοῦ ἑρμοῦ κελεύοντος καὶ ἕλκοντος. τὸ δὲ, τῶν ἑλκόντων ὑπακουόντων. Ἄλλως. ὁ ἑρμῆς ἐπιτάττει τοῖς ἕλκουσιν. καὶ ἅμα τοῖς μὴ ἕλκουσιν ἐπιτιμᾷ. οἱ δὲ χαίροντες τῇ εἰρήνῃ ἀποκρίνονται. Ἔτι μάλα. ἔτι σφοδρότερον. προθυμότερον. Οἷ' ὀγκύλλεσθε. οἷα φησὶν ἐπερείδεσθε μὲν τῷ χοινίῳ προσποιούμενοι ἕλκειν οὐχ ἕλκετε δὲ, ἢ ὄγκον παραβάλλεσθε καὶ ἀλαζονεύεσθε. ἢ ὡς φιλοπόλεμοι δὲ, οὐχ εἷλκον, ἢ ὡς ἔκσπουδοι.

κ τῶν ὀλεκρανίων. ὀλέκρανον τινὲς τὸν ἀγκῶνα. ἢ τὸ ἐπὶ τῇ καμπῇ τῆς χειρὸς ὀξύ. ἐπώδυνος δὲ ὁ τόπος οὗτος, τοῖς τρωθεῖσιν εἰς αὐτόν. Ἄλλως. ἀκίδας τὰ βέλη λέγει. ἐπιστῆσαι δὲ ἄξιον τί ποτε αὐτῷ ταῦτα βούλεται. οὐ γὰρ τοξόται οἱ λακεδαιμόνιοι. ἀλλὰ τῇ σταδίην μάχῃ μᾶλλον χαίροντες. ὀλέκρανα δέ, λέγονται τὰ τῶν ὀλέγων κρανία. τουτέστι τῶν χειρῶν. δῆλον δὲ ὅτι τὸ ὀξὺ καὶ ἐπικαμπὲς τῶν χειρῶν λέγει ὃν ἀγκῶνα φαμέν. Κἄν τις ἐπιθυμῶν ταξιαρχεῖν.

μηδέ ποτε παύσαιτ' αὐτὸν ὦ Διόνυσ' ἄναξ,
ἐκ τῶν ὀλεκρανίων ἀκίδας ἐξαιρούμενον.
Χο. Κἄν τις ἐπιθυμῶν ταξιαρχεῖν σοὶ φθονεῖ,
εἰς φῶς ἀνελθεῖν, ὦ πότνια γ' ἐν ταῖς μάχαις,
πάσχοι γε τοιαῦθ' οἷάπερ κλεώνυμος.
Τρ. Κἄν τις δορυξὸς ἢ κάπηλος ἀσπίδων
ἵν' ἐμπολᾷ βέλτιον, ἐπιθυμεῖ μαχῶν,
ληφθεὶς ὑπὸ λῃστῶν ἐσθίοι κριθὰς μόνας.
Χο. Κἄν τις στρατηγεῖν βουλόμενος μὴ ξυλλάβῃ.
ἢ δοῦλος αὐτομολεῖν παρεσκευασμένος.

οἱ πρότεροι στίχοι πρὸς τὴν αἰῶ κατάραν λέγονται. εἶθ' ἕτερον συνάπτει, πάσχοι γε τοιαῦτα. ὥστε καὶ παραγραφὴν εἶναι. ὥσπερ ἐκείνου προειπόντος κατάραν, ὁ ἕτερος τὸν λόγον ἐκδεξάμενος ἐπιφέρει, ὅπερ καὶ ἐν ταῖς ἑξῆς κατάραις σαφέστερον φησίν.

Κλεώνυμος. τουτέστιν ἀσχημονοίη ῥίπτων τὴν ἀσπίδα. ῥίψασπις γὰρ ὁ κλεώνυμος. ὡς καὶ ἐν τοῖς σφηξὶ λέγει φανερῶς. Κάπηλος ἀσπίδων, οὐκ αὐτὸς ἀσπίδας ποιῶν. ἀλλὰ παρ' ἄλλου λαμβάνων καὶ πωλῶν, καπήλους γὰρ τοὺς μεταβολεῖς φησιν. Ἵν' ἐμπολᾷ βέλτιον. ἵνα ἀποπράσκῃ πλείονος. ἢ ἵνα πορίζῃ πλεῖον συνήθως δὲ νῦν τὸ ἐμπολᾷ, ἀντὶ τοῦ πωλεῖ. πολλάκις δὲ ἐπὶ τοῦ ἀγοράζειν. ὡς ἑξῆς, ἐμπολήσαντές τι χρηστὸν εἰς ἀγρὸν ταρίχιον. τὸ δὲ κριθὰς μόνας. ἀντὶ τοῦ μὴ ἄλφιτα. ἀλλὰ μόνας κριθάς. Κἄν τις στρατηγεῖν. δοκεῖ ταῦτα εἰς ἀλκιβιάδην αἰνίττεσθαι, ὥς που φησὶ θουκυδίδης ἐν τῇ νικίου δημηγορίᾳ καὶ ἐν τῇ ἀλκιβιάδου. τὸν μὲν νικίαν παραινοῦντα τοῖς ἀθηναίοις ποιῶν, μὴ πειθομένοις αὐτῷ, πόλεμον ἄρασθαι τοσοῦτον λέγων. εἴ τέ τις ἄρχειν ἄσμενος αἱρεθείς, παραινεῖ ἐκπλεῖν ὑμῖν τὸ αὑτοῦ μόνον σκοπῶν. ἄλλως τε καὶ νεώτερος ἔτι ὢν εἰς τὸ ἄρχειν. ὅπως θαυμασθῇ μὲν ἀπὸ τῆς ἱπποτροφίας διὰ πολυτέλειαν καὶ ὠφεληθῇ. ἐκ τῆς ἀρχῆς δὲ τούτῳ παράσχηται τῷ τῆς πόλεως κινδύνῳ διὰ τὸ ἀπολαμπρύνεσθαι. αὐτὸν δὲ τὸν ἀλκιβιάδην ὅτι βούλεται στρατηγεῖν μὴ ἀρνούμενον διὰ τούτων. καὶ προσῆκόν μοι μᾶλλον ὦ ἀθηναῖοι ἑτέρων ἄρχειν. ἀνάγκη γὰρ ἐντεῦθεν ἄρξασθαι, ἐπειδή μου νικίας καθήψατο. καὶ ἄξιος ἅμα νομίζων εἶναι. Ἢ δοῦλος αὐτομολεῖν. πάλιν πρὸς ἀλκιβιάδην. ἐπεὶ πρὸς λακεδαιμονίους φυγών, αἴτιος ἐγένετο τοῦ δεκέλειαν αὐτοὺς ἐπιτειχίσαι. διὸ καὶ δοῦλον αὐτὸν καλεῖ. διὰ τὴν κοισύραν. ἥτις δούλη ἦν, ὡς φησὶν ἐν νεφέλαις.

καὶ κάταγε τοῖσιν καλῶς. ἐπὶ τῷ τέλει κορωνίς. ὁ Ἑρμῆς δὲ ταῦτα παρακελεύεται ταχέως δὲ πεπρίηκεν αὐτὸν μεταβαλλόμενον τὴν προαίρεσιν ἵνα μᾶλλον αὐτὸν δείξῃ ἥττονα τοῦ λήμματος. Δημιουργικῶς. ἀντὶ τοῦ τεκτονικῶς. τοὺς γὰρ τέκτονας, δημιουργοὺς ἔλεγον. Ἄγε δὴ σὺ ταχέως. ἄγε φησὶ πρότερον σπεῖσον τοῖς θεοῖς. ἵνα οὕτω τοῦ ἔργου ἐξώμεθα. Ἔργῳ φιαλοῦμεν. οἷον ἐπιθῶμεν τῇ φιάλῃ ἐπὶ τῶν ἔργων. ἢ ἔργῳ ἐπιβαλοῦμεν. ἐπὶ τοῦ τὸ ὁρμήσωμεν. εἴρηται δὲ καὶ ἐν τοῖς σφηξί. παίζει δὲ παρὰ τὴν φιάλην τὴν δῶρον αὐτῷ δοθεῖσαν. ἢ ὅτι φιαλεῖν κυρίως ἐστὶ τὸ ἄρχεσθαι πράγματος. Ἄλλως τοῦ ἔργου ἐπιλαβώμεθα καὶ προθυμηθῶμεν. ἐπὶ τοῦ τὸ ὁρμήσωμεν καὶ σπείσωμεν καὶ εὐφρανθῶμεν. Σπονδὴ σπονδή. τοῦτο ἀξιοῦσι τὸν Ἑρμῆν λέγειν σπένδοντα. Σπένδοντες εὐχώμεθα. δοκεῖ διὰ τούτων αἰνίττεσθαι τὴν ὑπὸ Μελησίππου λεχθεῖσαν ἀπειλήν. ἐν ἀρχῇ γὰρ τοῦ πελοποννησιακοῦ πολέμου πεμφθεὶς πρεσβευτὴς ὁ Μελήσιππος ὑπὸ Λακεδαιμονίων εἰς τὰς Ἀθήνας, ὡς οὐχ ὑπήκουσαν οἱ Ἀθηναῖοι, ἠξίου ἀπαλλάττεσθαι λοιπὸν καὶ γενόμενος ἐπὶ τοῖς ὁρίοις εἰπεῖν· ὡς ἥδε ἡ ἡμέρα, πολλῶν καὶ μεγάλων κακῶν τοῖς Ἕλλησιν ἄρξει. ἐπεὶ οὖν τῶν τοῦ πολέμου λοιπὸν ἀπαλλαχθήσεσθαι ἔμελλον, εἰς τοὐναντίον πάλιν ὁ ποιητὴς μετέστρεψε τὸν λόγον τὸν ὑπ' ἐκείνου ῥηθέντα. διπλῆ δὲ καὶ ἐν ἐκθέσει στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι κδ'. ὧν τελευταῖος. ὑπότεινε δὴ πᾶς. Ξυλλάβοι, τῶν χοινίων. ἀντιλαμβάνοιτο. χοινίοις γὰρ αὐτὴν καταχωσθεῖσαν ἀνεῖλκον. Μὴ λαβεῖν ποτ' ἀσπίδα. μηκέτι πανοπλίαν βαστάζειν. ἀντὶ τοῦ ἀπεῖναι τῶν κακῶν τοῦ πολέμου. χρησίμως δὲ νῦν ἀντιπεριτίθησι τοῖς τοῦ πολέμου δυσχερέσι, τὰ τῆς εἰρήνης ἡδέα. προτρεπόμενος καὶ εἰς ἔρωτα αὐτοὺς φέρων αὐτοῖς. Καὶ σκαλεύοντ' ἄνθρακας. ἀντὶ τοῦ ζωπυροῦντα τοὺς ἄνθρακας. οἷον ἐν ἀγρῷ διατρίβοντα. ἐπεὶ οὗτοι ὀπτῶσι βαλάνους καὶ σκαλεύουσι τοὺς ἄνθρακας ἐν τῷ ὀπτᾶν. ἢ τὸ γυναικεῖον αἰδοῖον ἄνθρακες λέγει. Ὅστις δὲ πόλεμον. δύο πρόσωπα ταῦτά φησιν. ὧν ὁ μὲν εὔχεται. ὁ δὲ ἕτερος ἀκόλουθα τῇ εὐχῇ καταρώμενος λέγει.

εἰσιόντες ὡς τάχιστα τοὺς λίθους ἀφέλκετε.
Χο. ταῦτα δράσομεν· σὺ δ' ἡμῖν ὦ θεῶν σοφώτατε.
ἅττα χρὴ ποιεῖν, ἐφεστὼς φράζε δημιουργικῶς.
τἆλλα δ' εὑρήσεις ὑπουργεῖν ὄντας ἡμᾶς οὐ κακούς.
Τρ. ἄγε δὴ σὺ ταχέως ὕπεχε τὴν φιάλην· ὅπως
ἔργῳ φιαλοῦμεν εὐξάμενοι τοῖσι θεοῖς.
Ἑρ. Σπονδὴ σπονδή.
εὐφημεῖτε εὐφημεῖτε.
Τρ. Σπένδοντες εὐχώμεθα, τὴν νῦν ἡμέραν
Ἕλλησιν ἄρξαι πᾶσι πολλῶν κἀγαθῶν.
χ' ὅστις προθύμως ξυλλάβοι τῶν χοινίων,
τοῦτον τὸν ἄνδρα μὴ λαβεῖν ποτ' ἀσπίδα.
Χο. μὰ Δί' ἀλλ' ἐν εἰρήνῃ διάγειν με τὸν βίον.
ἔχονθ' ἑταίραν καὶ σκαλεύοντ' ἄνθρακας.
Τρ. ὅστις δὲ πόλεμον μᾶλλον εἶναι βούλεται,

ὁ μὲν ἥλιος παρέκλεπτε τῶν ἡμερῶν. ἡ δὲ σελήνη τοῦ κύκλου. ἐπειδ᾽ αἱ γὰρ ἴσαι α ἡμέραι καὶ οἱ μῆνες γίνωνται, ἔκλειψις γίνεται. τὸ οὖν φύσει γιγνόμενον ἐκλέπτε/ τον εἶπε παίζων. Ὑφ᾽ ἁρματωλίας. οὕτως ἡ γραφή. μέμνηται ἡρωδιανὸς ἐν τῇ ιά. καὶ φρύνιχος ἐν τῇ σοφιστικῇ παρασκευῇ. οὕτω τίθησι τὴν λέξιν. δέον δὲ εἰπεῖν ὑπὸ ἁμαρτίας. ἀντὶ τοῦ ἁμαρτάνοντες, εἶπεν. ὑφ᾽ ἁρματωλίας. ἀντὶ τοῦ φθειρόμενοι τῶν ἁρμάτων αὐτῶν. Ἄλλως. τῆς τῶν ἁρμάτων ἡνιοχείας. Καί σοι τὰ μεγάλα. οὐχ ὡς καὶ μικρῶν ὄντων τοῦτό φησιν. ἀλλ᾽ αὔξων τὴν χάριν. τῇ δὲ ἀθηνᾷ ἤγοντο διὰ πέντε ἐτῶν. ὅτε καὶ ἡ ναῦς ἐπὶ γῆς ἤγετο παρ᾽ αὐτοῖς. σοί φησιν ἄξομεν τὰ παναθήναια καὶ οὐ τῇ ἀθηνᾷ, ἐὰν τῆς εἰρήνης τύχωμεν διὰ σοῦ. Πά/σας τὲ τὰς τελετάς. καὶ τοῦ/το πρὸς τὰς ἄλλας τελετάς. σαφέστερον δὲ ἐν τούτοις μᾶλ/λον, ὅπου περιγεγραμμέ/νως ἐπὶ τῶν θυσιῶν εἴρηκε.

καὶ τοῦ κύκλου παρέτρωγον ὑφ᾽ ἁρματωλίας.
Τρ. ναὶ μὰ δία. πρὸς ταῦτ᾽ ὦ φίλ᾽ ἑρμῆ ξύλλαβε.
ἡμῖν προθύμως τήνδε καὶ ξυνέλκυσον.
καί σοι τὰ μεγάλ᾽ ἡμεῖς παναθήναι᾽ ἄξομεν.
πάσας τε τὰς ἄλλας τελετὰς τὰς τῶν θεῶν,
μυστήρι᾽ ἑρμῇ. διιπόλει᾽. ἀδώνια.
ἄλλαι τέ σοι πόλεις πεπαυμέναι κακῶν,
ἀλεξικάκῳ θύσουσιν ἑρμῇ πανταχοῦ.
χἄτερ᾽ ἔτι πόλλ᾽ ἕξεις ἀγαθά. πρῶτον δέ σοι
δῶρον δίδωμι τήνδ᾽ ἵνα σπένδειν ἔχῃς.
Ἑρ. οἴμ᾽ ὡς ἐλεήμων εἴμ᾽ ἀεὶ, τῶν χρυσίδων.
ὑμέτερον ἐντεῦθεν ἔργον ὦνδρες. ἀλλὰ ταῖς
(ἄμαις

Τ ἀς τῶν θεῶν. τὰ τῇ δήμητρι καὶ κόρῃ ἀγόμενα, οὐκέτι ταύταις φησὶν ἄξομεν. ἀλ/λὰ σοί. ὥσπερ καὶ τὰ παναθήναια. διιπόλεια δὲ ἑορτὴ ἀθήνησιν ἐν ᾗ πολιεῖ διὶ θύου/σι σκιρροφοριῶνος τετάρτῃ ἐπὶ δέκα. ἔστι δὲ ἀπομίμημα τῶν παλαιῶν καὶ τῶν τοὺς βοῦς συμβαλόντων. Διιπόλει᾽ ἀδώνια, τὰ διιπόλεια τῷ διΐ. τὰ ἀδώνια, τῷ ἀδώνιδι καὶ τῇ ἀφροδίτῃ. Ἄλλαι τέ σοι πόλεις. τοῦτο φησὶν, ἵνα μὴ δό/ξῃ καταισχύνειν τὸ ἀξίωμα τῶν ἀθηναίων, ὡς διὰ τὸ ἀποκαμεῖν μόνον ἐρώντων τῆς εἰρήνης. οὐ μόνον γὰρ αὐτοί φησι τὸν ἑρμῆν τιμήσουσιν. ἀλλὰ καὶ πᾶσαι αἱ πόλεις τῆς εἰρήνης τυγχάνουσαι. διὰ τὸ χρήσιμον εἶναι τῷ βίῳ τῶν ἀνθρώπων. Ἀλεξι/κάκῳ. καὶ τὸ ἐπὶ τῷ ἡρακλεῖ μόνῳ σοὶ ἐπιθήσομεν. ἀλεξίκακος γὰρ ἡρακλῆς παρ᾽ ἀνθρώποις ἐτιμᾶτο. καὶ ἀπόλλωνα καὶ ἡρακλέα ἀλεξικάκους τιμῶσι. φησὶν οὖν. οὔτε ἀπόλλωνι οὔτε ἡρακλεῖ θύσομεν ὡς ἀλεξικάκοις. ἀλλὰ σοί. Δῶρον δίδωμι. τοῦτο παρεπιγραφή. τοῦτο γὰρ εἰπὼν δίδωσιν αὐτῷ φιάλην χρυσῆν. Οἴμ᾽ ὡς ἐλεή/μων. δέον εἰπεῖν ἤπιον, φησὶν ἐλεήμων χρυσίδα δὲ, τὴν φιάλην, παρ᾽ ὑπόνοιαν δὲ, ἀντὶ τοῦ εἰπεῖν τῆς πόλεως εἰμὶ ἀεὶ καὶ ἐλεήμων. ἢ τῆς ἑλλάδος. ἢ τοῦ αἰῶν, εἶπε τῶν χρυσίδων. διὰ τὴν χρυσῆν φιάλην. Ὑμέτερον ἐντεῦθεν. διπλῆ καὶ ἐν ἐκθέσει στίχοι τρο/χαϊκοὶ τετράμετροι καταληκτικοί. εἶτα ἐν εἰσθέσει παρὰ τοῖς τετραμέτροις στί/χοις ἰαμβικοὶ β΄. καὶ ἐπεισθέσει κῶλα β΄, ὧν τὸ μὲν, ἐκ διπλοῦ σπονδείου. τὸ δὲ, ἐκ τοῦ δευτέρου τροχαίου καὶ αὐτοῦ διπλοῦ. τὰ δὲ ἑξῆς ἰαμβεῖα μέχρι τοῦ ὑπότεινε δὴ τὰ,

A γαλοῦμεν ἡμεῖς ἀεί. ὅτι περισσὸν τὸ ἀεί. ἤρκει γὰρ εἰπεῖν διὰ παντός. ἀγαλοῦμεν δὲ ἐπικοσμήσομεν. ἴσως δὲ ταυτολογίᾳ ἐχρήσατο, τὴν ἀεὶ μνήστον εὐεργεσίαν δεῖξαι θέλων. Ἴθ᾽ ἀντιβολῶ σε. σύστημα ἕτερον κατὰ περικοπὴν ἀνομοιομερὴς ἐκ στίχων ἰαμβείων κϛ΄. ἐπὶ τῷ τέλει παράγραφος. Ἐλέησον αὐτῶν τὴν ὄπα. ἀντὶ τοῦ ἐποίκτειρον αὐτῶν τὰς εὐχὰς καὶ τὰς λιτάς. καὶ ἐπάκουσον ἡμῶν ὦ φιλανθρωπότατε. Κλέπται γὰρ νῦν εἰσι. παρ᾽ ὑπόνοιαν. ἔπαιξε δὲ ὡς τοῦ ἑρμοῦ χαίροντος ταῖς κλοπαῖς. οὕτως γοῦν προαιρούμεθα σε τιμῆσαι φασίν, ὅτι ζηλωταὶ τῶν ἐπιτηδευμάτων ἐσόμεθα τῶν σῶν. καὶ μᾶλλον ἢ πρότερον ταῖς κλοπαῖς προσέξομεν. ἐν δὲ τῷ προσθεῖναι μᾶλλον ἢ πρὸ τοῦ, ἐπ᾽ ἀμφοτέροις διέβαλεν, ὅτι καὶ πρότερον ἔχαιρον καὶ νῦν ἐπιδώσουσι μᾶλλον. αἰνίττεται δὲ εἰς τοὺς ἀθηναίους ὡς πολλὰ κλέπτοντας.

καὶ σὲ θυσίαισιν ἱεραῖσι προσόδοις τε μεγάλαισι διὰ παντός, ὦ δέσποτ᾽ ἀγαλοῦμεν ἀεί.

Τρ. ἴθ᾽ ἀντιβολῶ σ᾽ ἐλέησον αὐτῶν τὴν ὄπα.
ἐπεί σε καὶ τιμῶσι μᾶλλον ἢ πρὸ τοῦ.
Ἑρ. κλέπται γάρ εἰσι νῦν γε μᾶλλον ἢ πρὸ τοῦ.
Τρ. καί σοι φράσω τι πρᾶγμα δεινὸν καὶ μέγα.
ὃ τοῖς θεοῖς ἅπασιν ἐπιβουλεύεται.
Ἑρ. ἴθι δὴ κάτειπ᾽. ἴσως γὰρ ἂν πείσαις με.
Τρ. ἡ γὰρ σελήνη χὡ πανοῦργος ἥλιος,
ὑμῖν ἐπιβουλεύουσι πολὺν ἤδη χρόνον.
τοῖς βαρβάροισι προδίδοτον τὴν ἑλλάδα.
Ἑρ. ἵνα τί δὴ τοῦτο δρᾶτον. Τρ. ὁτιὴ νὴ δία
ἡμεῖς μὲν ὑμῖν θύομεν τούτοισι δέ,
οἱ βάρβαροι θύουσι. διὰ τοῦτ᾽ εἰκότως.
βούλοιντ᾽ ἂν ὑμᾶς πάντας ἐξολωλέναι,
ἵνα τὰς τελετὰς λάβοιεν αὐτοὶ τῶν θεῶν.
Ἑρ. ταῦτ᾽ ἄρα πάλαι τῶν ἡμερῶν παρεκλεπτέτην

T οἷς θεοῖς ἅπασιν ἐπιβουλεύεται. ἀντὶ τοῦ ὑπὸ τοῖς θεοῖς βουλεύεται. Ἡ γὰρ σελήνη χὡ πανοῦργος. τοῦτο λέγει διὰ τὰς ἐκλείψεις καὶ τὰς ἄλλας διοσημείας, τὰς κατὰ τὸν πελοποννησιακὸν πόλεμον γενομένας. Τοῖς βαρβάροις προδίδοτον. δοκοῦσι γὰρ οἱ βάρβαροι, τούτους μάλιστα θεραπεύειν τῶν θεῶν σοφῶς δὲ ὑποβολῇ προσώπων, ἐς ἀπόνοιαν προσάγει τοὺς ἀκούοντας. λεληθότως δὲ δείκνυσι πάλιν. ὅτι ὑπὲρ τῶν βαρβάρων ἐστὶ τὸ τοὺς ἕλληνας τῇ οἰκείᾳ διαφθείρεσθαι στάσει. Τούτοισι δέ. οἱ βάρβαροι τὸν ἥλιον καὶ τὴν σελήνην τιμῶσιν. ὡς ἡρόδοτος ἱστορεῖ. εὐφυῶς δὲ πάλιν εἰς ὁμόνοιαν αὐτοὺς προτρεπόμενος, δείκνυσιν ὅτι ὑπὲρ τῶν βαρβάρων ἐστὶ τό, τοὺς ἕλληνας διὰ στάσεις, ἀλλήλους διαφθείρειν. ἐπιεικῶς δὲ οἱ βάρβαροι τόν τε ἥλιον καὶ τὴν σελήνην θεῶν μᾶλλον πάντων σέβουσι. διὰ τοῦτο καὶ τὴν δῆλον καὶ τὴν ἔφεσον οὐ διελυμήναντο. ὁ μὲν γὰρ ἥλιος, ἀπόλλων ἐνενόμιστο, ἡ δὲ ἄρτεμις σελήνη. Ἵνα τὰς τελετὰς αὐτοὶ λάβοιεν. ἡμῶν ἀπολυμένων καὶ τῶν βαρβάρων αὐτοῖς θυόντων. παρατηρητέον δὲ ὅτι ἀντὶ τοῦ τὰς θυσίας, κεῖται τὰς τελετάς. Ταῦτ᾽ ἄρα πάλαι. συντίθεται ὁ ἑρμῆς καί φησιν. ὅτι διὰ ταῦτα

Ὅ τι πρὶν εἶφ' ὀξὺς. ἀντὶ τοῦ ὥρισε κατ' ἐρώτησιν. Ἐς χοιρίδιον. ὅτι τοῖς μυουμένοις ἐστὶν ἔθος, χοιρίδιον θύειν ἐξ ἀνάγκης. Ὦ Ζεῦ κεραυνοβρόντα. τοῦτο ὁ ἑρμῆς φησὶν ἐπιβοώμενος τὸν δία διὰ τὸ ἐπ' αὐτοφόρῳ καταλαβεῖν, τοὺς ἀνασπῶντας τὴν εἰρήνην. Ναὶ πρὸς τῶν κρεῶν. γέλωτος χάριν τοῦτο ἵνα δείξῃ καὶ τοὺς θεοὺς ἡττημένους ὑπὸ λήμματος. Ἀμαλδυνθήσομαι. εἰ μὴ κατείπω ταῦτα τὰ πραττόμενα οὕτω; ἢ μὴ γὰρ καὶ διαβάλω. πρέπως γὰρ σαφῶς καὶ ἀκριβῶς, ἐπαίτης δὲ τραγικαῖς λέξεσιν ἐχρήσατο. τῷ Ἰεπορήσω καὶ λακήσομαι. τὸ δὲ ἀμαλδυνθήσομαι, ἀντὶ τοῦ ἀφανισθήσομαι. παρατηρητέον οὖν πρὸς τοὺς παρ' ὁμήρῳ ἐξηγουμένους τεῖχος, ἀμαλδῦναι, ἀντὶ τοῦ ὁμαλίσαι.

Ἑρ. ἆρ' οἶσθα θάνατον ὅτι προεῖφ' ὁ Ζεὺς, ὃς ἂν ταύτην ἀνορύττων εὑρεθῇ; Τρ. νῦν ἆρά με
ἅπασ' ἀνάγκη γ' ἀποθανεῖν; Ἑρ. εὖ ἴσθ' ὅτι.
Τρ. ἐς χοιρίδιόν μοι νῦν δάνεισον τρεῖς δραχμάς·
δεῖ γὰρ μυηθῆναί με πρὶν τεθνηκέναι.
Ἑρ. Ὦ Ζεῦ κεραυνοβρόντα. Τρ. μὴ, πρὸς τῶν θεῶν
ἡμῶν κατείπῃς ἀντιβολῶ σε δέσποτα.
Ἑρ. οὐκ ἂν σιωπήσαιμι. Τρ. ναὶ πρὸς τῶν κρεῶν.
ἅγ' ὦ προθύμως σοι φέρων ἀφικόμην.
Ἑρ. ἀλλ' ὦ μέλ' ὑπὸ διὸς ἀμαλδυνθήσομαι.
εἰ μὴ τετορήσω ταῦτα καὶ λακήσομαι.
Τρ. μή νυν λακήσῃς. λίσσομαί σ' ὡρμίδιον.
εἰπέ μοι τί πάσχετ' ἄνδρες, ἕστατ' ἐκπεπληγμένοι.
ὦ πόνηροι, μὴ σιωπᾶτ' εἰ δὲ μὴ, λακήσεται.
Χο. Μηδαμῶς ὦ δέσποτ' ἑρμῆ, μηδαμῶς, μὴ, μηδαμῶς.
εἴ τι κεχαρισμένον
χοιρίδιον οἶσθα παρ' ἐμοῦ γε κατεδηδοκὼς
τοῦτο μὴ φαῦλον νομίζων ἐν τῷδε τῷ πράγματι.
Τρ. οὐκ ἀκούεις οἷα θωπεύουσί σ' ὦναξ δέσποτα.
Χο. μὴ γένῃ παλίγκοτος ἀντιβολοῦσιν ἡμῖν,
ὥστε τήνδε μὴ λαβεῖν.
ἀλλὰ χάρισ' ὦ φιλαν-
θρωπότατε καὶ μεγαλο-
δωρότατε δαιμόνων.
εἴ τι πεισάνδρου βδελύττει τοὺς λόφους καὶ τὰς ὀφρῦς.

Εἰπέ μοι. τὰ τοιαῦτα εἴδη καλεῖται ἐπίπροστροφα καὶ εἰσὶ στίχων καὶ κώλων ιζ'. ὧν οἱ πρῶτοι δύο καὶ ὁ τῆς στροφῆς α'. τροχαϊκοὶ τετράμετροι ἀκατάληκτοι. τὸ β'. παιωνικὸν δίμετρον καταληκτικόν. ὁ γ'. παιωνικὸς τετράμετρος ἀκατάληκτος ὁ δ'. καὶ οἱ ἑξῆς καὶ οἱ α. ς'. τῆς δευτέρας στροφῆς ὅμοιοι τῷ πρώτῳ. τὰ δ' ἄλλα παιωνικὰ δίρρυθμα. ἐπὶ τῷ, ἀποθέσει παράγραφος. ἐπὶ δὲ τῷ τελευταίῳ κώλῳ, δέσποτ' ἀγλαοῦμεν ἀεὶ, δύο διπλαῖ ἔξω νενευκυῖαι. ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου. ἡ δὲ κατὰ τὸ τέλος τῶν. Ὦ πόνηροι ὦ ἐπὶ μοχθηρίᾳ ἐπιτιμᾷ δὲ αὐτοῖς, ὡς νῦν σιωπῶσι. δέον αὐτοὺς αὐτοὺς ἐν καιρῷ λαλεῖν. Εἴ τι κεχαρισμένον. παρὰ τὸ ὁμηρικόν, εἴποτέ τοι χαρίεντ' ἐπὶ νηὸν ἔρεψα. Τοῦτο μὴ φαῦλον, μὴ εὐτελὲς νομίζων τοῦ χοιριδίου τυχεῖν ἐν τῷ λαβεῖν ἡμᾶς τὴν εἰρήνην. Μὴ γένῃ παλίγκοτος ἀντὶ τοῦ ἐναντίος. μὴ ἐξ ὑποστροφῆς ὀργισθῇς πάλιν καὶ μετανοήσῃς. ἐφ' οἷς ἡμᾶς εὐεργετῆσαι προθυμῇ τε καὶ διανοῇ. Εἴ τι πεισάνδρου. οἴσω; εἰ ἔρων δύεται. ἐπὶ δειλίᾳ γὰρ ἐσκώπτετο παρὰ πολλοῖς.

εἰσιόντες καὶ συναγόμενοι καὶ πάλιν ἐξιόντες ἐκ τοῦ λυκείου. καὶ ἀπιόντες εἰς τὴν πόλιν. τὸ λύκειον δὲ, γυμνάσιον ἀθήνησιν, ὅπου πρὸ τοῦ πολέμου εἰώθεσαν γυμνάζεσθαι. φέρε δὴ κατίδω. σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς ἰαμβείων κβ΄. ἐπὶ τῷ τέλει παράγραφος. Ὦ μιαρὲ καὶ τολμηρέ. ὁ ἑρμῆς ἐλθὼν καὶ καταλαβὼν τὴν εἰρήνην ὡς δῆθεν ἀνασπωμένην καὶ ἐπὶ τούτῳ χαλεπαίνων, λέγει. τί τοῦτο τολμᾷς. Κιλλικῶν. τὴν νῆσον μίλητον τοῦτον φασὶ προδοῦναι ἐκείνου τοῖς πριηνεῦσι. πυνθανομένων δὲ πολλάκις αὐτοῦ τινῶν τί μέλλει ποιεῖν, ἔλεγε πάντα ἀγαθά. θεαγένης δέ τινα ἄνδρα σύζυγον τῆς νήσου ταύτης ὑπὸ κιλλικῶντος προδοθείσης, μετοικήσαντα εἰς τὴν σάμον κρεωπωλεῖν. ἐπιστάντος οὖν τοῦ κιλλικῶντος, ὠνήσασθαι παρ' αὐτοῦ κρέας, δοῦναι κελεύειν αὐτῷ ἵνα ἀποκόψῃ τὸ περιττόν, καὶ ἀποτεινάμενον τὴν κοπίδα, κόψαι τὴν χεῖρα αὐτοῦ τοῦ κιλλικῶντος καὶ εἰπεῖν. ὡς ταύτῃ τῇ χειρὶ, ἑτέραν οὐ προδώσεις πόλιν.

Τρ. φέρε δὴ κατίδω περὶ τοὺς λίθους ἀφέλξομεν.
Ερ. ὦ μιαρὲ καὶ τολμηρέ. τί ποιεῖν διανοεῖ.
Τρ. οὐδὲν πονηρόν. ἀλλ' ὅπερ καὶ κιλλικῶν.
Ερ. ἀπόλωλας ὦ κακόδαιμον. Τρ. οὐκοῦν ἢν λάχω
ἑρμῆς γὰρ ὢν κλήρῳ ποιήσεις οἶδ' ὅτι
Ερ. ἀπόλωλας. ἐξόλωλας. Τρ. ἐς τίν' ἡμέραν
Ερ. ἐς αὐτίκα μάλ'. Τρ. ἀλλ' οὐδὲν ἠμπόλη κάπω.
οὔτ' ἄλφιτ' οὔτε τυρὸν, ὡς ἀπολούμενος.
Ερ. καὶ μὴν ἐπιτέτριψαί γε. Τρ. κᾆτα τῷ τρόπῳ
οὐκ ᾐσθόμην ἀγαθὸν τοσουτονὶ λαβών.

Οὐκοῦν ἢν λάχω παίζει πρὸς τὸν ἑρμῆν. ἐπειδὴ ὅταν πολλοὺς κατεδίκαζον οἱ ἀθηναῖοι ἀποθανεῖν, οὐκ εἰς μίαν ἡμέραν πάντες ἐφονεύοντο ἀλλ' ἕκαστος ἐκληροῦτο καθημέραν. καὶ τῷ κληρωθέντι θάνατος ἐπῄει. καθημέραν οὖν εἷς μόνος ἐτελεύτα. ἔστι γὰρ ὅτε μετεμελοῦντο. καὶ τοὺς λοιποὺς ἔσωζον. ἐπεὶ οὖν οἱ κλῆροι ἑρμοῦ, παίζων τοῦτο λέγει. Ἑρμῆς γὰρ ὤν. εἰ ὥρισαί φησι πάντως ἀποθανεῖν, κληρωθῆναι πρότερόν με δεῖ. οἱ γὰρ κλῆροι ἑρμοῦ δοκοῦσιν εἶναι. ὅθεν καὶ τὸν πρῶτον κληρούμενον, ἑρμῆν φησὶ καλεῖν δεῖ.

Ἠμπόλη κάπω. ἐνεπορευσάμην. ἐμπολὴ δὲ φορτίον, ἢ τὸ τῆς πραγματείας κέρδος. ἡ συναγωγὴ τοῦ κέρδους. τὸ δὲ ῥῆμα ἐμπολᾷ.

Ὡς ἀπολούμενος, ὡς εἰρηκότος αὐτοῦ ὅτι στρατεύῃ ἢ ἀποδημεῖς, οὐδέν φησιν ὠνησάμην ὡς ἀποδημήσων ὥσπερ ἔφη ἀποδημῶν ἢ στρατευόμενος. χαριέντως δὲ καὶ παρ' ὑπόνοιαν εἶπε τὸ, ὡς ἀπολούμενος. οἱ στρατευόμενοι δὲ τυρὸν καὶ ἄλφιτα ἑαυτοῖς ὠνοῦντο. Ἐπιτέτριψαί γε. τοῦτο τὸ ἐπιτρῖψαι ποτὲ μὲν ἐπὶ ὑπερηφανίᾳ τάττεται. ποτὲ δὲ, ἐπὶ κατάρᾳ. ἐφ' ἧ καὶ νῦν.

Οὐκ ᾐσθόμην πάλιν ἐνταῦθα τῇ ἀστειότητι ἐχρήσατο. ὥσπερ εἰ τῷ τελείῳ τὴν ὀργὴν αὐτοῦ καταπραΰνων. παίζων οὖν εἶπεν.

ἀπὸ ζυγίου. ἔχει δὲ πλάστιγγας δύο ἐξηρτημένας καὶ κρατῆρας δύο ὑποκάτω τῶν πλαστίγγων. καὶ ὑπὸ ὕδωρ ἀνδριὰς ἦν χαλκοῦς κεχρυσωμένος. τοῦτο δὲ ἦν ἐν τοῖς συμποσίοις. καὶ πᾶς τῶν παιζόντων ἀνίστατο ἔχων φιάλην γέμουσαν ἀκράτου, καὶ μακρόθεν ἱστάμενος, ἐξέπεμπεν ὅλον τὸν οἶνον ὑπὸ μίαν σταγόνα εἰς τὴν πλάστιγγα. ἵνα γε μιαθεῖσα, βαρυνθῇ καὶ κατέλθῃ, καὶ κρούσῃ εἰς τὴν κεφαλὴν τοῦ ἀνδριάντος ὑπὸ τὸ ὕδωρ κεκρυμμένου καὶ ποιήσῃ ἦχον, καὶ εἰ μὲν χυθῇ τοῦ οἴνου, ἐνίκα καὶ ἤδη ὅτι φιλεῖται ὑπὸ τῆς ἐρωμένης. εἰ δὲ μή, ἡττᾶτο. ἐλέγετο δὲ ὁ ἀνδριὰς ὁ ὑπὸ τὸ ὕδωρ, μάνης.

Τ. μηκέτ᾽ οὖν νυνὶ ἐχαίρετ᾽ οὐ γὰρ ἴστε πω σαφῶς
ἀλλ᾽ ὅταν λάβωμεν αὐτήν, τηνικαῦτα χαίρετε.
καὶ βοᾶτε. καὶ γελᾶτε.
ἤδη δ᾽ ἐξέσται τόθ᾽ ὑμῖν
πλεῖν. μένειν. κινεῖν. καθεύδειν.
ἐς πανηγύρεις θεωρεῖν.
ἑστιᾶσθαι κοτταβίζειν.
συβαρίζειν. ἰού. ἰού. κεκραγέναι.
Χο. εἰ γάρ μοι γένοιτ᾽ ἰδεῖν ταύτην τὴν ἡμέραν ποτέ.
πολλὰ γὰρ ἠνεσχόμην.
πράγματά τε καὶ στιβάδας ἃς ἔλαχε φορμίων.
κοὐκέτ᾽ ἄν μ᾽ εὕροις δικαστὴν δριμὺν οὐδὲ δύσκολον
οὐδὲ τοὺς τρόπους γε δήπου σκληρὸν ὥσπερ καὶ πρὸ τοῦ.
ἀλλ᾽ ἁπαλόν γ᾽ ἄν μ᾽ ἴδοις. Καὶ πολὺ νεώτερον ἀ-
παλλαγέντα πραγμάτων. Καὶ γὰρ ἱκανὸν χρόνον ἀ-
πολλύμεθα καὶ κατατετρίμμεθα πλανώμενοι.
ἐς λύκειον. κἀκ λυκείου σὺν δορὶ σὺν ἀσπίδι τε
ἀλλ᾽ ὅ,τι μάλιστα χαριούμεθα ποιοῦντες, ἄγε.
φράζε. σὲ γὰρ αὐτοκράτο-
ρ᾽ εἵλετ᾽ ἀγαθή τις ἡμῖν τύχη.

Συβαρίζειν. παρὰ τὴν συβαριτῶν τρυφήν. φασὶ γὰρ τοὺς συβαρίτας πολυτελέσι χρῆσθαι τραπέζαις. ἔστιν οὖν ἀντὶ τοῦ τρυφᾶν. ἢ παρὰ τὰ συβαρία ἐπιφθέγματα. ἅπερ εἰσὶ παρ᾽ ἐπιχάρμῳ.

Εἰ γάρ μοι γένοιτο. κορωνὶς καὶ εἴσθεσις χοροῦ μονοστροφικὴ στίχων καὶ κώλων ιε΄. ὧν ὁ πρῶτος τροχαϊκὸς τετράμετρος καταληκτικός. τὸ β΄. ἐφθημιμερές. ὁ τρίτος παιωνικὸς τετράμετρος ἀκατάληκτος ἐκ παιώνων καὶ κρητικῶν καὶ ὁ ι΄. καὶ ιγ΄. οἱ ἑξῆς δύο ὅμοιοι τῷ πρώτῳ. δ΄ ϛ΄. δὲ καὶ η΄. τῷ β΄. τὸ ζ΄. παιωνικὸν δίρρυθμον. καὶ τὸ θ΄. καὶ ιβ΄. καὶ ιδ΄. τὸ δὲ ια΄, δίμετρον τροχαϊκόν. τὸ τελευταῖον παιωνικὸν τρίρρυθμον ἐφ᾽ ὃ κορωνίς. Στιβάδας ἃς ἔλαχεν. ἰδίως στιβάδας τὰς χαμευνίδας ἐκάλουν. ὅπερ ἦν πάσχειν ἐπάναγκες τοῖς πολεμοῦσιν, ὑπαιθρίους ταλαιπωρεῖν καὶ χαμαικοιτεῖν. στιβάδας οὖν ἐπεὶ οἱ στρατιῶται χαμαικοιτοῦσι. λέγεται δὲ ὁ φορμίων, νικῆσαι ναυμαχίαις β΄. λακεδαιμονίους, στρατηγήσας. λιτὸς δὲ οὗτος καὶ στρατιωτικός. τὸ δὲ ἃς ἔλαχεν, ἀντὶ τοῦ ἃς ὑπέμεινε φορμίων. Καὶ πολὺ νεώτερον ἐπειδὴ γέρων ὁ χορός, λέγει ὅτι πολὺ νεώτερον ἔχοντα τρόπον θεάσῃ με ἀντὶ τοῦ παίζοντα. Καὶ γὰρ ἱκανὸν χρόνον ιγ΄. γὰρ εἶχον ἔτη πολεμοῦντες. πολλήν φησι θλῖψιν ὑπεμείναμεν εἰς τὸ λύκειον

τὸ ἐκ μικροῦ πυρὸς φυσῶντας, μεγάλην φλόγα κινῆσαι. Οὐ γὰρ ἦν ἔχοντας ἥκειν. οὐ γάρ φασι πολεμικὸν εἶναι τὸ κήρυγμα. ἀλλ' εἰρηνικόν. ἐκ τοῦ παρακολουθοῦντος δέ, τὴν πόλιν δηλοῖ. Εὐλαβεῖσθε νῦν πρὸ ὀφθαλμῶν ἔχετε φησί, καὶ δεδίττεσθε τὸν κλέωνα. μὴ ἐμποδὼν τῇ εἰρήνῃ γένηται. Μὴ παφλάζων διὰ τὸ ταραχῶδες τοῦ κλέωνος. ἐχρήσατο τῷ παφλάζειν. Ἐνθάδ' ἦν. τουτέστιν ὅτε ἔζη. ὁπηνίκ' ἦν σὺν ὑμῖν. Μὴ 'λκύσαι. ὅτι περιττὸν τῷ μὴ χρῶνται ἀττικοί. ἴσον γὰρ εἰπεῖν ὅτι ἐμποδὼν γένηται ὅστις ἐξελκύσαι.

οὐ γὰρ ἦν ἔχοντας ἥκειν ἐντὸς ἡμερῶν τριῶν.
Τρυ. εὐλαβεῖσθ' ἐκεῖνον τὸν κέρβερον καὶ δεδίττεσθε.
μὴ παφλάζων καὶ κεκραγὼς ὥσπερ ἡνίκ' ἐνθάδ' ἦν,
ἐμποδὼν ἡμῖν γένηται τὴν θεὸν μὴ 'ξελκύσαι.
Χο. οὔτι καὶ νῦν ἐστιν αὐτὴν ὅστις ἐξαιρήσεται.
ἢν ἅπαξ ἐς χεῖρας ἔλθῃ τὰς ἐμάς. ἰοῦ. ἰοῦ.
Τρ. ἐξολεῖτέ μ' ὦνδρες εἰ μὴ τῆς βοῆς ἀνήσετε.
ἐκδραμὼν γὰρ πάντα ταυτὶ συνταράξει τοῖν ποδοῖν.
Χο. ὡς κυκάτω καὶ πατείτω πάντα, καὶ ταραττέτω.
οὐ γὰρ ἂν χαίροντες ἡμεῖς τήμερον παυσαίμεθ' ἄν.
Τρ. τί τὸ κακόν. τί πάσχετ' ὦνδρες, μηδαμῶς πρὸς τῶν θεῶν.
πρᾶγμα κάλλιστον διαφθείρητε διὰ τὰ σχήματα.
Χο. ἀλλ' ἔγωγ' οὐ σχηματίζειν βούλομαι. ἀλλ' ὑφ' ἡδονῆς.
οὐκ ἐμοῦ κινοῦντος, αὐτὼ τὼ σκέλη χορεύετον.
Τρ. μή τι καὶ νυνί γ' ἔτ'. ἀλλὰ παῦε παῦ' ὀρχούμενος.
Χο. ἢν ἰδού. καὶ δὴ πέπαυμαι. Τρ. φής γε παύει δ' οὐδέπω.
ἓν μὲν οὖν τουτί μ' ἔασον ἑλκύσαι. καὶ μηκέτι.
Τρ. τοῦτό νυν. καὶ μηκέτ' ἄλλο μηδὲν ὀρχήσεσθ' ἔτι.
Χο. οὐκ ἂν ὀρχησαίμεθ' εἴπερ ὠφελήσαιμέν τί σε.
Τρ. ἀλλ' ὁρᾶτ' οὔπω πέπαυσθε. Χο. τουτογὶ νὴ τὸν Δία
τὸ σκέλος ῥίψαντες ἤδη λήγομεν τὸ δεξιόν.
Τρ. ἐπιδίδωμι τοῦτό γ' ὑμῖν. ὥστε μὴ λυπεῖν ἔτι.
Χο. ἀλλὰ καὶ τ' ἀριστερόν τοι μ' ἔστ' ἀναγκαίως ἔχον.
ἥδομαι γὰρ καὶ γέγηθα. καὶ πέπορδα καὶ γελῶ.
μᾶλλον ἢ τὸ γῆρας ἐκδύς, ἐκφυγὼν τὴν ἀσπίδα.

Ἰοῦ. ἰοῦ. ἡδομένων ἐστὶ τὸ/ τὸ διὸ περισπᾶται. ὡς τοῦ χοροῦ τοῦτο λέγοντος. Οὐ σχηματίζειν οὐ κατὰ τὴν ἐμήν φησι προαίρεσιν ἡ ὄρχησις γίνεται. ἀλλ' ἤδη διὰ τὴν ἄσχετον ἡδονὴν αὐτόματα χορεύει μου τὰ μέλη. Ἓν μὲν οὖν τουτί μ' ἔασον. ἓν σκέλος, δεικτικῶς. ὑφ' ἡδονῆς γὰρ ὁ χορὸς εἰς ὄρχησιν ἐτράπη. ἓν μόνον φησὶν ἔασόν με σχῆμα ποιῆσαι. Ὥστε μὴ λυπεῖν. ἐμὲ δηλονότι. συγχωρῶ φησὶ τὸ ὑμῖν. ὥστε μετὰ τοῦτο, μηκέτι ἐνοχλεῖσθαί μοι. Πέπορδα. ἡ μεταφορὰ ἀπὸ τῶν ὄνων. χαίροντες γὰρ πέρδονται. Ἢ τὸ γῆρας ἐκδύς. ἡ μεταφορὰ ἀπὸ τῶν ὄφεων. Ἐς πανηγύρεις θεωρεῖν πέμπεσθαι θεωροὺς ἐς τὰς πανηγύρεις κατὰ θεωρίαν παραγίνεσθαι ἀντὶ τοῦ παίζειν. θεωροὺς δὲ ἐκάλουν, τοὺς ἀπὸ τῶν πόλεων δημοσίων ἐκπεμπομένους συνθύσοντας καὶ συμπανηγυρίσοντας. Κοτταβίζειν. παίζειν τρυφᾶν εἰς χαλκᾶς δὲ φιάλας. αἳ καλοῦνται λάταγες. ἐνέρριπτον ἐμβάλλοντες τὸ πόμα, καὶ εἰ ἐγένετο μείζων ψόφος, ἐδόκουν ὑπὸ τῶν ἐραστῶν ἐρᾶσθαι. Ἄλλως. κότταβος παίγνιον ἦν παρὰ ἀθηναίοις τοιοῦτον. ῥάβδος ἦν μακρὰ πεπηγμένη ἐν τῇ γῇ. καὶ ἑτέρα ἐπάνω αὐτῆς κινουμένη ὡς

Χ ρήσαντες. ἐν Ἀμφιπόλει γὰρ τῆς Θράκης μονομαχήσαντες ὁ Κλέων καὶ Βρασίδας, ἀλλήλους ἀνεῖλον. Διοσκόρω. οὗτοι παρὰ τοῖς Λακεδαιμονίοις ἐτιμῶντο· διὸ νῦν αὐτῶν μέμνηται. Ἐγὼ δὲ δοίδυκ' εἰσιών. ἐγὼ ἀλετρίβανον εἰσιὼν ποιήσομαι. Τὸ Δάτιδος μέλος. Δάτις σατράπης Περσῶν βασιλέως. οὗτος δοκιμήσας κατά τινα χρόνον πολεμῶν. ἑλληνίζειν δὲ βουλόμενος εἶπεν. ἥδομαι καὶ τέρπομαι καὶ χαίρομαι. καὶ ἐβαρβάρισε. ἔδει γὰρ εἰπεῖν χαίρω. ἅμα δὲ οὗτος εἶπε πρὸς τὸ ὁμοιοκατάληκτον. οὐκ εἴρηται δὲ τὸ χαίρομαι. αὐτὸ γὰρ τὸ χαίρω αὐτοπαθὲς ὄν, προϋφήρπασεν αὐτοῦ τὸ σημαινόμενον.

Λ έγεται δὲ τὸ τοιοῦτο δατισμός. καὶ παροιμία. ἅμας ἀπήτουν οἱ δ' ἀπηρνοῦντο σκάφας. Ἅμας. τὰς πυράμας. ἐργαλεῖά τινα ἐπιτήδεια πρὸς τὸ ἀνορύττειν. Ἀγαθοῦ δαίμονος. φασὶ γὰρ ὅτι δειπνήσαντες μέν, ἐπερρόφουν ἀγαθοῦ δαίμονος· ἀπαλλάττεσθαι δὲ μέλλοντες, ἔπινον Διὸς σωτῆρος. ὡσεὶ ἔλεγον. νῦν γὰρ ἀρπάσαι ἢ πίνειν ἐστὶν ἡμῖν ἀγαθοῦ δαίμονος πόμα. Δεῦρο πᾶς χώρει. εἴσθεσις διπλῆς ἀμοιβαίας. οἱ δὲ στίχοι εἰσὶ τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ λη'. καὶ ἡ ἔκθεσις ταύτης κώλων ὁμοίων τροχαϊκῶν ζ'. ὧν τὰ ε'. δίμετρα ἀκατάληκτα. τὸ ς'. παρατέλευτον. τὸ ζ'. ἑφθημιμερὲς ἰαμβικόν. ὑφ' ὃ αἱ συνήθεις δύο διπλαῖ. Ὦ πανέλληνες. λεληθότως εἰς ὁμόνοιαν αὐτοὺς περιάγει ὁμοφρονῆσαι πάντας τοὺς Ἕλληνας ἀξιῶν.

χρήσαντες ἑτέροις αὐτόν, εἶτ' ἀπώλεσαν.
Τρ. εὖ γ' εὖ γε, ποιήσαντες ὦ Διοσκόρω.
ἴσως ἂν εὖ γένοιτο. θαρρεῖτ' ὦ βροτοί.
Πο. ἀπόφερε τὰ σκεύη λαβὼν ταυτὶ πάλιν.
ἐγὼ δὲ δοίδυκ' εἰσιὼν ποιήσομαι.
Τρ. νῦν τοῦτ' ἐκεῖν' ἥκει τὸ Δάτιδος μέλος.
ὃ δεφόμενός ποτ' ᾖδε τῆς μεσημβρίας.
ὡς ἥδομαι καὶ τέρπομαι, καὶ χαίρομαι.
νῦν ἐστιν ἡμῖν ὦνδρες Ἕλληνες καλόν.
ἀπαλλαγεῖσι πραγμάτων τε καὶ μαχῶν,
ἐξελκύσαι τὴν πᾶσιν εἰρήνην φίλην,
πρὶν ἕτερον αὖ δοίδυκα κωλῦσαί τινα.
ἀλλ' ὦ γεωργοὶ κἄμποροι καὶ τέκτονες.
καὶ δημιουργοὶ καὶ μέτοικοι καὶ ξένοι
καὶ νησιῶται. δεῦρ' ἴτ' ὦ πάντες λεῴ. (νία.
ὡς τάχιστ' ἄμας λαβόντες καὶ μοχλοὺς καὶ σχοι/
νῦν γὰρ ἡμῖν ἁρπάσαι πάρεστιν ἀγαθοῦ δαίμονος
Χο. δεῦρο πᾶς χώρει προθύμως εὐθὺ τῆς σωτηρίας.
ὦ πανέλληνες. βοηθήσωμεν εἴπερ πώποτε,
τάξεων ἀπαλλαγέντες καὶ κακῶν φοινικικῶν
ἡμέρα γὰρ ἐξέλαμψεν ἥδε μισολάμαχος. (νε.
πρὸς τάδ' ἡμῖν εἴ τι χρὴ δρᾶν, φράζε κἀρχιτεκτό
οὐ γὰρ ἔσθ' ὅπως ἀπειπεῖν ἂν δοκῶ μοι τήμερον
πρὶν μοχλοῖς καὶ μηχαναῖσιν εἰς τὸ φῶς ἀνελκύσαι
τὴν θεῶν πασῶν, μεγίστην καὶ φιλαμπελωτάτην.
Τρ. οὐ σιωπήσεσθ' ὅπως μὴ περιχαρεῖς τῷ πράγματι,
τὸν πόλεμον ἐκζωπυρήσετ' ἔνδοθεν κεκραγότες,
Χο. ἀλλ' ἀκούσαντες τοιούτου χαίρομεν κηρύγματος.

Κ αἱ κακῶν φοινικικῶν. οἷον αἱματωδῶν ἀπὸ τῆς τοῦ αἵματος χροιᾶς, λείπει δὲ τὸ ἡσυχάσομεν. ἢ ἀντὶ τοῦ πολεμικῶν. φοινικὶς γάρ, χλαμὺς πολεμική. Ἐκζωπυρήσετε. ἀνάψετε τὸν πόλεμον ἤδη κατεσβεσμένον. ἐκζωπυρῆσαι δὲ κυρίως ἐστὶ

βαίνει γὰρ τοῖς νεωστὶ εἰσῳκισμένοις μὴ εὐπορεῖν πάντων τῶν ἀναγκαίων.

Οὔκουν παρ' Ἀθηναίους. πάλιν λεληθότως σεμνολογεῖ τοὺς Ἀθηναίους, ὡς αὐτόχθονας καὶ εὐγενεῖς. ἐκ τοῦ εὑρίσκεσθαι παρ' αὐτοῦ τὰ τῶν πάλαι εἰσοικισθέντων. οἷς πρόνοια τῶν νεωστὶ εἰσοικισμένων. Ἀνθρώπια. ὑποκοριστικῶς. τοῦτο πρὸς τὴν παροῦσαν συμφορὰν μειῶν αὐτούς. Ἀλλ' ὦ Διόνυσ'. ὡς οἰκείῳ θεῷ εὔχεται τῆς Ἀττικῆς. καὶ κυρίῳ τῶν ἐν τῷ θεάτρῳ καὶ τῶν ἐν τῇ Εἰρήνῃ ἀγομένων.

τούτῳ ταράξει τὰς πόλεις καθήμενος.
ἀλλ' ὦ Διόνυσ' ἀπόλοιτο. καὶ μὴ 'λθοι φέρων.
Πο. οὗτος. Κυ. τί ἐστιν. Πο. οὐ φέρεις. Κυ. τὸ δεῖνα γὰρ
ἀπόλωλ' Ἀθηναίοις ἀλετρίβανος, ὁρᾷς,
ὁ βυρσοπώλης, ὃς ἐκύκα τὴν Ἑλλάδα.
εὖ γ' ὦ δέσποινα πότνι' Ἀθηναία ποιῶν
ἀπόλωλ' ἐκεῖνος, κἀν δέοντι τῇ πόλει
ἢ πρίν γε τὸν μυττωτὸν ἡμῖν ἐγχέαι.
Πο. οὔκουν ἕτερον δῆτ' ἐκ Λακεδαίμονος μέτει.
ἀνύσας τι. Κυ. ταῦτ' ὦ δέσποθ'. Πο. ἧκέ νυν ταχύ.
Τρ. ὦνδρες τί πεισόμεσθα. νῦν ἀγὼν μέγας.
ἀλλ' εἴ τις ὑμῶν ἐν Σαμοθρᾴκῃ τυγχάνει
μεμυημένος, νῦν ἐστιν εὔξασθαι καλόν.
ἀποστραφῆναι τοῦ μετιόντος τὼ πόδε.
Κυ. οἴμοι τάλας. οἴμοι γε κἄτ' οἴμοι μάλα.
Πο. τί ἐστι. μῶν οὐκ αὖ φέρεις; Κυ. ἀπόλωλε γὰρ
καὶ τοῖς Λακεδαιμονίοισιν ἀλετρίβανος.
Πο. πῶς ὦ πανοῦργ'. Κυ. ἐς τἀπὶ Θρᾴκης χωρία.

Τὸ δεῖνα γὰρ ἀπόλωλ'. ὅτι τὸ δυσχερὲς μέλλομεν λέγειν, εἰώθαμεν τοῦτο προτάσσειν. ὡς μὴ εὐθυγκμονοῦντες.

Ὁ βυρσοπώλης. λέγει διὰ τὸν Κλέωνα ὡς αἴτιον τοῦ πολέμου καὶ ὡς αὐτὸν συνέχοντα τὸν πόλεμον. Εὖ γ' ὦ δέσποινα, οὕτως τὴν θεόν. τὰς δὲ γυναῖκας, αὐτάς, ἵνα μὴ ὁμωνύμως. ταύτῃ δὲ εὔχεται ὅτι τῶν Ἀθηναίων ἡ θεός, τὸ δὲ ἑξῆς, εὖ γε ποιῶν ἀπόλωλ' ἐκεῖνος. εἴπερ πρὸ τοῦ ἀπολέσαι ἡμῶν τὰ πράγματα ἀπώλετο. Ἢ πρίν γε τὸν μυττωτόν. ἀντὶ τοῦ πρὶν ἡμῖν τὸν πόλεμον ἐπεγεῖραι. ὡς αἴτιον δὲ αὐτὸν τοῦ πολέμου ἐπεγείρει καὶ διαβάλλει. Ἀνύσας τι. ἀπελθὼν ὁ κυδοιμὸς, ἐπανῆλθε. καὶ οὕτως τὴν ἐρώτησιν αὐτῷ προσφέρει ὁ πόλεμος. Ἀνύσας τι. ἀντὶ τοῦ ἀνύσας τι καὶ διαπράξας καὶ φέρων ἧκε. Τί πεισόμεσθα. τί ἄρα παθεῖν μέλλομεν ἢ ἐν ποίῳ κινδύνῳ καθεστήκαμεν. Ἐν Σαμοθρᾴκῃ. οἱ ἐν κινδύνοις γενόμενοι, ἐπεκαλοῦντο τούτους τοὺς δαίμονας τοὺς ἐν Σαμοθρᾴκῃ. τούς τε Κορύβαντας καὶ τὴν Ἑκάτην. ἐξ ἧς καὶ διαβόητον ἦν τὸ Ζήρινθον ἄντρον, ἔνθα ταύτῃ ὠργίαζον καὶ ἠλευθεροῦντο. Μεμυημένος. τὰ μυστήρια τοῦ Καβείρου. δοκοῦσι γὰρ οἱ μεμυημένοι ταῦτα, δίκαιοί τε εἶναι καὶ ἐκ δεινῶν σώζεσθαι καὶ ἐκ χειμώνων. Ἀποστραφῆναι. ὃ ἡμεῖς διαστραφῆναι λέγομεν ἀντὶ τοῦ κλασθῆναι τοῦ μετιόντος τὼ πόδε. Καὶ τοῖς Λακεδαιμονίοισιν. ὁ Βρασίδας ὃς ἦν Λακεδαιμονίων στρατηγός, ἀνθίστατο τῆς εἰρήνης. ἐτελεύτησε δὲ ἐν Θρᾴκῃ. Εἰς τἀπὶ Θρᾴκης χωρία. καὶ γὰρ εἰς συμμαχίαν πεμφθεὶς ὁ Βρασίδας εἰς Θρᾴκην, κατὰ τὸν αὐτὸν χρόνον Κλέωνι τελευτᾷ.

Ὦ μέγαρα. σκόροδα ἐμβάλλων ταῦτά φησιν. ἡ γὰρ μεγαρικὴ σκοροδοφόρος. σύμμαχοι δὲ λακεδαιμονίων μεγαρεῖς. καὶ ὅτι ἅπασα ἡ τοῦ πολέμου πρόφασις, δι' αὐτοὺς δοκεῖ γεγενῆναι. χάριν τοῦ τὸ πινάκιον συνθέντος κατ' αὐτῶν εἰς τὴν περικλέους χάριν. ὥστε μήτε λιμένων ἀττικῶν ἐπιβαίνειν τοὺς μεγαρεῖς. εἰκότως οὖν εἰς τὸ κεχαρισμένον τοῖς ἀθηναίοις τοὺς τούτων ἐχθροὺς παρεισάγει ἐκ τοῦ πολέμου συντριβομένους τέλεον. ἅμα δὲ ταῦτα λέγων ὁ πόλεμος, σκόροδα βάλλει εἰς τὴν θυείαν ὅθεν καὶ τὸ ἑξῆς, οἰκείως ἐπαχθήσεται. τὸ, ἁπαξάπαντα καταμεμυττωμένα.

Βαβαὶ βαβαιάξ. σχετλιαστικὸν ἀντὶ τοῦ φεῦ φεῦ. δέον δὲ εἰπεῖν τὰ σκόροδα παρ' ὑπόνοιαν εἶπε τὰ κλαύματα.

Κλαύματα. ἀντὶ τοῦ σκόροδα. τοῖς γὰρ ἐσθίουσι σκόροδα, δάκρυα ἔπεισι διὰ τὴν δριμύτητα. Σικελία. τυρὸν βάλλων. σικελίας μέμνηται πολὺς γὰρ ἐκεῖ τυρός, μέρος δὲ ταύτης πολέμιον ἦν ἀθηναίοις ἔνθα καὶ τὴν μεγάλην ἐδυστύχησαν ἧτταν.

Διακναισθήσεται διαφθαρήσεται. ὡς ἐπὶ τυροῦ τοῦτο ὅμηρος. ἐπὶ δ' αἴγειον κνῆ τυρόν. κναίειν γάρ ἐστι κυρίως, τὸ, τὸν τυρὸν ξύειν τῇ κνήστῃ.

τὸ γὰρ κακὸν τοῦτ' ἐστὶ τῆς λακωνικῆς

Πό. ἰὼ μέγαρα μέγαρ' ὡς ἐπιτρίβεσθ' αὐτίκα.

ἁπαξάπαντα καταμεμυττωμένα.

Τρ. βαβαὶ βαβαιάξ. ὡς μεγάλα καὶ δριμέα

τοῖσι μεγαρεῦσιν ἐνέβαλε τὰ κλαύματα.

Πό. ἰὼ σικελία. καὶ σὺ δ' ὡς ἀπόλλυσαι.

οἵα πόλις τάλαινα διακναισθήσεται.

φέρ' ἐπιχέω καὶ τὸ μέλι τουτὶ τἀττικόν.

Τρ. οὗτος. παραινῶ μέλιτι χρῆσθαι θατέρῳ

τετρώβολον τοῦτ' ἐστι, φείδου τἀττικοῦ.

Πό. παῖ παῖ κυδοιμέ. Κυ. τί με καλεῖς. Πό. κλαύσει μακρά

ἕστηκας ἀργός. οὑτοσί σοι κόνδυλος. Κυ. ὡς δριμύς.

οἴμοι μοι τάλας ὦ δέσποτα.

Πό. μῶν τῶν σκορόδων ἐνέβαλες εἰς τὸν κόνδυλον;

Πό. οἴσεις ἀλετρίβανον τρέχων. Κυ. ἀλλ' ὦ μέλε.

οὐκ ἔστιν ἡμῖν. χθὲς εἰσῳκίσμεθα.

Πό. οὔκουν παρ' ἀθηναίων μεταθρέξει ταχύ.

Κυ. ἔγωγε νὴ Δί'. εἰ δὲ μή γε κλαύσομαι.

Τρ. ἄγε δὴ τί δρῶμεν ὦ πόνηρ' ἀνθρώπια.

ὁρᾶτε τὸν κίνδυνον ἡμῖν ὡς μέγας;

εἴπερ γὰρ ἥξει γε τὸν ἀλετρίβανον φέρων,

Φέρ' ἐπιχέω. χαρίζεται τοῖς ἀθηναίοις. ὅσῳ γὰρ μέλι τιμιώτερον σκορόδου καὶ πράσων, τοσοῦτον ἀμείνων, καὶ ἡ τοῦτο γεωργοῦσα γῆ. εἰπὼν δὲ τοῦτο, μέλιτος εἰς τὴν θυείαν ἐμβάλλει. Τετρώβολον. πολυτίμητον. οὕτω γὰρ λέγουσι τὸ τετρωβόλου πωλούμενον. φείδου τἀττικοῦ. ἀντὶ τοῦ φειδωλὸς γίνου καὶ πρόνοιαν ποίει τοῦ ἀττικοῦ. Οὑτοσὶ γὰρ κόνδυλος. παρεπιγραφή. ἅμα γὰρ τῷ εἰπεῖν δίδωσιν αὐτῷ τὸν κόνδυλον. Ἀλετρίβανον. οἱ μὲν δασέως παρὰ τὸ τοὺς ἅλας τρίβειν. οἱ δὲ ψιλῶς παρὰ τὸ ἀλεῖν καὶ δοίδυξ μὲν ἀττικόν. ἀλετρίβανον δὲ ἀσιανόν. λέγεται δὲ καὶ ἀλότριψ. ὡς ἐν ἐπιγράμματι. καὶ τοῦτον δικάρανον ἀλότριβα καὶ ἀλετρὶς ἡ μυλωθρὶς παρὰ καλλιμάχῳ. Χθὲς εἰσῳκίσμεθα. συμ

N Νὴ δία οὐχὶ πειστέον. ἐχρῆν μόνον αὐτοὺς τὴν πάτριον ὀμόσαι. ἀλλ᾽ ἐπαίρων τοὺς ἀθηναίους τοῦτό φησιν. ὡς οὐχ ἀθηνᾷ μόνῃ χρήσαιντο. ἀλλὰ καὶ διί. Ἣν εἴχωμεν τὴν πύλον. τοῦτο διὰ τοὺς ληφθέντας ἐν σφακτηρίᾳ τριακοσίους καὶ διὰ τὸ ἐπιτείχισμα ὅπερ ἀθηναῖοι κατέστησαν ἐν πύλῳ. ὅτι ληφθείσης αὐτῆς, περὶ εἰρήνης πρῶτοι λακεδαιμόνιοι πρὸς ἀθηναίους ἐπρέσβευον. Ἐπεφόρησεν. ἐπεσώρευσεν. Φέρ᾽ αὐτῶν ἀποδρῶ. νοεῖν δεῖ τὸν τρυγαῖον ἀποβεβηκότα τοῦ κανθάρου, ἐπὶ τῆς

νὴ τὴν ἀθηνᾶν. νὴ δί᾽ οὐχὶ πειστέον.
ἥξουσι καὖθις ἢν ἔχωμεν τὴν πόλιν.
ὁ γοῦν χαρακτὴρ ἡμεδαπὸς τῶν ῥημάτων
ὧν οὕνεκ᾽ οὐκ οἶδ᾽ εἴποτ᾽ εἰρήνην ἔτι,
τὸ λοιπὸν ὄψεσθ᾽. Τρ. ἀλλὰ ποῖ γὰρ οἴχεται.
Ἑρ. ὁ πόλεμος αὐτὴν ἐνέβαλ᾽ εἰς ἄντρον βαθύ.
Τρ. εἰς ποῖον. Ἑρ. εἰς τουτὶ τὸ κάτω. κἄπειθ᾽ ὁρᾷς,
ὅσους ἄνωθεν ἐπεφόρησε τῶν λίθων,
ἵνα μὴ λάβητε μηδέποτ᾽ αὐτήν; Τρ. εἰπέ μοι.
ἡμᾶς δὲ δὴ τί δρᾶν παρασκευάζετε
Ἑρ. οὐκ οἶδα πλὴν ἕν. ὅτι θυείαν ἑσπέρας.
ὑπερφυᾶ τὸ μέγεθος εἰσηνέγκατο.
Τρυ. τί δῆτα ταύτῃ τῇ θυείᾳ χρήσεται.
Ἑρ. τρίβειν ἐν αὐτῇ τὰς πόλεις βουλεύεται.
ἀλλ᾽ εἶμι καὶ γὰρ ἐξιέναι γνώμην ἐμὴν
μέλλει. θορυβεῖ γοῦν ἔνδοθεν. Τρυ. οἴμοι δείλαιος.
φέρ᾽ αὐτὸν ἀποδρῶ. καὶ γὰρ ὥσπερ ᾐσθόμην,
κἀυτὸς θυείας φθέγμα πολεμιστηρίας.
Πο. ἰὼ βροτοὶ. βροτοὶ βροτοὶ πολυτλήμονες.
ὡς αὐτίκα μάλα τὰς γνάθους ἀλγήσετε.
Τρυ. ὦναξ ἄπολλον τῆς θυείας τοῦ πλάτους,
ὅσον κακόν. καὶ τοῦ πολέμου καὶ τὸ βλέμμα τὸ.
ἆρ᾽ οὗτός ἐστ᾽ ἐκεῖνος ὃν καὶ φεύγομεν;
ὁ δεινὸς. ὁ ταλαύρινος. ὁ κατὰ τοῖν σκελοῖν;
Πό. ἰὼ πρασιαὶ τρισάθλιαι. καὶ πεντάκις.
καὶ πολλοδεκάκις. ὡς ἀπολεῖσθε τήμερον.
Τρ. τουτὶ μὲν ἄνδρες οὐδὲν ἡμῖν πρᾶγμά πω

σκηνῆς ταῦτα λέγειν. Θυείαν. θυεία ἀγγεῖον εἰς ὃ ἐμβάλλοντές τινα ἀρτύματα τρίβομεν καὶ λειοῦμεν. Θ υείας. ἀντὶ τοῦ εἰπεῖν σάλπιγγος θυείας εἶπεν. Ἰὼ βροτοί. κορωνὶς ἑτέρα. ἑτέρων εἰσιόντων ὑποκριτῶν. οἱ δὲ στίχοι ὅμοιοι τοῖς προφθάσασι ξγ΄. καὶ ἐν ἐκθέσει τροχαϊκοὶ τοῖς ἑξῆς ὅμοιοι δύο. ἐπὶ τῷ τέλει κορωνὶς ἐξιόντων ὑποκριτῶν, ὁ πόλεμος ἐξέρχεται θέλων τρίψαι μυττωτόν. σκευὴ δὲ αὐτοῦ, ἐκ τυροῦ καὶ σκορόδου καὶ μέλιτος καὶ πράσων. Τ ὰς γνάθους ἀλγήσετε. τριβόμενοι ἐν τῇ θυείᾳ. ἢ τοὐτον τὸν μυττωτὸν ἐσθίοντες. ἢ ἐπεὶ πολέμου ὄντος ἀργεῖ τὰ δικαστήρια. ἀντὶ τοῦ εἰπεῖν λιμώττοντες. Ο δεινός. ταῦτά φησι θεασάμενος τὸν πόλεμον, μείζονα τὴν ὑπόνοιαν ἔχοντα τῆς πείρας τῆς διὰ τῆς ὄψεως. Ταλαύρινος, ὑπομονητικὸς καρτερικὸς ἐν τῇ μάχῃ. Πρασιαί. πόλις λακωνική. ἅμα δὲ πράσον ἐμβάλλων ταῦτά φησιν. Οὐδὲν ἡμῖν πρᾶγμά πω. πρὸς τὴν ἐπωνυμίαν φησὶ τῶν ἐν τῇ λακωνικῇ πρασιῶν. ὅτι ἡμεῖς τοῦ κακοῦ τούτου ἀλλότριοι ἐσμέν.

Ὅτ' οὐδὲ μέλλεις. μετῴκησαν γὰρ δι' ὑμᾶς. Ἰδοὺ γῆς. χλευάζων φησὶν ὡς ἐν οὐρανῷ μὴ τῶν οἰκούντων. Κύτταρον. κυττάρους καλοῦσι, τὰς τῶν σφηκίων κατατρήσεις. μεταφορικῶς δὲ τὸ κοιλότατον καὶ μυχαίτατον εἶπε τοῦ οὐρανοῦ. ὁ δὲ λόγος εἰς τὰ ἔσχατα καὶ ἀπόκρυφα μέχρι τοῦ οὐρανοῦ. Χυτρίδια. καὶ ταῦτα γελοίου χάριν καὶ ἐπιδιασύρων ταῦτά φησιν. ἀμφορεῖς δὲ, τὰ μέτρα. Ἵν' ἦσαν αὐτοί. ὅπου ᾤκουν πρότερον καὶ διέτριβον οἱ θεοὶ κατῴκισαν τὸν πόλεμον.

Ἀνῳκίσαντο. ἀντὶ τοῦ ἀπῳκίσαντο καὶ ἀνεχώρησαν. ὡς ἂν μὴ παρεῖεν αὐτοῖς τὰ δυσχερῆ. Ἀνωτάτω. ἀντὶ τοῦ ἀπωτάτω ἀντὶ τοῦ ὅσον δυνατὸν ἦν. Τοῦ δ' εἵνεχ' ἡμᾶς. τίνος χάριν καθ' ἡμῶν τοσαύτην ἔσχον ὀργήν. Ἐκείνων πολλάκις. τῶν θεῶν ἢ τῶν λακεδαιμονίων. ὅτι πολλάκις λακεδαιμόνιοι βουλόμενοι εἰρήνην ἦλθον καὶ οὐκ ἐδέξασθε. Σπονδὰς ποιούντων τῶν θεῶν. προτεινόντων ἡμῖν τὴν εἰρήνην ἀεί. Οἱ λακωνικοί. ὡς φιλοπολέμων ὄντων τῶν λακωνικῶν καὶ τὴν εἰρήνην οὐ προτιθεμένων πρώτων ἐμνήσθη. Ναὶ τὼ σιώ. οὕτω τοὺς διοσκούρους οἱ λακεδαιμόνιοι σιοὺς ἔλεγον. ὡς ἀθηναῖοι θεοὺς δήμητρα καὶ περσεφόνην.

ἴθι νυν, κάλεσόν μοι τὸν Δί'. Ἑρ. ἰή. ἰή. ἰή.
ὅτ' οὐδὲ μέλλεις ἐγγὺς εἶναι τῶν θεῶν.
φροῦδοι γὰρ εἰσὶν ἐχθὲς ἐξῳκισμένοι.
Τρ. ποῖ γῆς. Ἑρ. ἰδοὺ γῆς. Τρ. ἀλλὰ ποῖ. Ἑρ. πόρρω πάνυ
ὑπ' αὐτὸν ἀτεχνῶς τοὐρανοῦ τὸν κύτταρον.
Τρ. πῶς οὖν σὺ δῆτ' ἐνταῦθα κατελείφθης μόνος.
Ἑρ. τὰ λοιπὰ τηρῶ, σκευάρια τὰ τῶν θεῶν.
χυτρίδια καὶ σανίδια κἀμφορείδια.
Τρ. ἐξῳκίσαντο δ' οἱ θεοί, τίνος οὕνεκα.
Ἑρ. ἕλλησιν ὀργισθέντες. εἶτ' ἐνταῦθα μὲν
ἵν' ἦσαν αὐτοὶ τὸν πόλεμον κατῴκισαν.
ὑμᾶς παραδόντες δρᾶν ἀτεχνῶς ὅ,τι βούλεται.
αὐτοὶ δ' ἀνῳκίσανθ' ὅπως ἀνωτάτω.
ἵνα μὴ βλέποιεν μαχομένους ὑμᾶς ἔτι.
μηδ' ἀντιβολούντων μηδὲν αἰσθανοίατο;
Τρ. τοῦ δ' εἵνεχ' ἡμᾶς ταῦτ' ἔδρασαν εἰπέ μοι.
Ἑρ. ὅτι πολεμεῖν ᾑρεῖσθ' ἐκείνων πολλάκις.
σπονδὰς ποιούντων. κεἰ μὲν οἱ λακωνικοὶ
ὑπερβάλοιντο μικρὸν, ἔλεγον ἂν, ταδί.
ναὶ τὼ σιώ. νῦν ᾀττικίων δώσει δίκην.
εἰ δ' αὖ τι πράξαιτ' ἀγαθὸν ἀττικωνικοί,
κἄλθοιεν οἱ λάκωνες εἰρήνης πέρι,
ἐλέγετ' ἂν ὑμεῖς εὐθὺς, ἐξαπατώμεθα.

Νῦν ᾀττικίων. εἰ λακεδαιμόνιοι μικρὸν ἐν τῇ μάχῃ κρατήσουσιν, εὐθέως λέγουσι νὴ τοὺς θεούς. νῦν δώσουσιν οἱ ἀθηναῖοι δίκας. εἰ δ' ἀθηναῖοι νικήσουσιν, εὐθέως ἀντιπρολέγξονται λακεδαιμόνιοι. καὶ εἰ ἔλθωσι μετὰ τὴν ἧτταν εἰρήνην ζητοῦντες οἱ λακεδαιμόνιοι, λέγουσιν ἀθηναῖοι, ἐξαπατῆσαι ἡμᾶς βούλονται. ἵνα ποιήσωμεν εἰρήνην ἐπειδὴ νικῶμεν. σκώπτει δὲ τὸ ὑπερήφανον τῶν ἀθηναίων. Ἀττικωνικοί. οὕτως ἔλεγον εὐτελίζοντες καὶ ἐνυβρίζοντες τοὺς ἀθηναίους. ἢ πρὸς τὸ λακωνικὸν ἔπαιξεν.

παρὰ τοῖς ὕδασι θάλλει. Καὶ μῦρον ἐπιχεῖς. καὶ ἐπιβάλλεις μῦρον εἰς αὔξησιν. διὰ τὸ τελέως ἀφανισθῆναι τὴν ὀσμήν. Ἡ πόλις ἡ χίων. τοῦτο ὡς ἐκ παροιμίας τῶν ἀθηναίων ἐκ προφάσεως συκοφαντούντων. καὶ ζημιούντων τὰς πόλεις καὶ λεγόντων, ὅτι χῖος ἐγὼ ἀποπατῶ. καὶ διὰ τοῦτο ὁ κάνθαρος ἔπεσεν ἀπὸ τὴν ὀσμήν. κωμῳδεῖ δὲ χίους ὡς εὐρυπρώκτους ὄντας. καὶ ἑτοίμους πρὸς τὸ ἀποπατεῖν. Οἴμ' ὡς δέδοικα. πρὸς τοὺς ἐν τῷ θεάτρῳ μηχανοποιούς. Πρόσεχε τὸν νοῦν. τουτέστιν

καὶ μῦρον ἐπιχεῖς, ὡς ἤν τι πέσων
ἐνθένδε πάθω, τοὐμοῦ θανάτου
πέντε τάλανθ' ἡ πόλις ἡ χίων
διὰ τὸν σὸν πρωκτὸν ὀφλήσει.
Οἴμ' ὡς δέδοικα κοὐκέτι σκώπτων λέγω.
ὦ μηχανοποιέ. πρόσεχε τὸν νοῦν ὡς ἐμέ.
ἤδη στροφεῖ τι πνεῦμα περὶ τὸν ὀμφαλόν.
κεἰ μὴ φυλάξεις, χορτάσω τὸν κάνθαρον.
ἀτὰρ ἐγγὺς εἶναι τῶν θεῶν ἐμοὶ δοκῶ.
καὶ δὴ καθορῶ τὴν οἰκίαν τὴν τοῦ διός.
τίς ἐν διὸς θύραισιν. οὐκ ἀνοίξετε;
Ερ. πόθεν βροτοῦ με προσέβαλ' ὦ 'ναξ ἡράκλεις.
τουτὶ τί ἐστι τὸ κακόν. Τρ. ἱπποκάνθαρος.
Ερ. ὦ μιαρὲ καὶ τολμηρὲ. κἀναίσχυντε σύ.
καὶ μιαρὲ καὶ παμμίαρε καὶ μιαρώτατε.
πῶς δεῦρ' ἀνῆλθες ὦ μιαρῶν μιαρώτατε.
τί σοι ποτ' ἐστὶ τοὔνομ' οὐκ ἐρεῖς; Τρ. μιαρώτατος.
Ερ. ποδαπὸς τὸ γένος εἶ φράζε μοι. Τρ. μιαρώτατος.
Ερ. πατὴρ δέ σοι τίς ἐστιν. Τρ. ἐμοὶ μιαρώτατος.
Ερ. οὔτοι μὰ τὴν γῆν ἔσθ' ὅπως οὐκ ἀποθανεῖ,
εἰ μὴ κατερεῖς μοι τοὔνομ' ὅ, τι ποτ' ἐστί σοι
Τρ. Τρυγαῖος ἀθμονεύς. ἀμπελουργὸς δεξιός.
Οὐ συκοφάντης. οὐδ' ἐραστὴς πραγμάτων.
Ερ. ἥκεις δὲ κατὰ τί. Τρ. τὰ κρέα ταυτί σοι φέρων.
Ερ. ὦ δηλακρίων. πῶς ἦλθες. ὦ γλίσχρων. Τρ. ὁρᾷς.
ὡς οὐκ ἔτ' εἶναί σοι δοκῶ μιαρώτατος.

ἀληθῆ λέξω. ἐπεὶ τὰ πρῶτα διασύρειν δοκεῖ τὸν βελλεροφόντην, πρὸς δὲ τὸν ἐν τῷ θεάτρῳ μηχανοποιόν φησι. Πόθεν βροτοῦ. κορωνὶς καὶ εἴσθεσις ἀμοιβαία ἐξ ἰαμβείων νϛ'. ὧν τὸ τέλος κορωνίς. Πόθεν βροτοῦ με. ἀντὶ τοῦ αἴσθησις ἀνθρωπεία ἐλήλυθεν. ἡ ὀσμὴ ἡ φωνὴ ἐλλειπτικῶς κατὰ τοὺς ἀττικούς. ὁ δὲ ἑρμῆς ἐστι ταῦτα λέγων, ἤδη τρυγαίου προσπεπελακότος τῷ οὐρανῷ. Τρυγαῖος ἀθμονεύς. τὸ μὲν ὄνομα τρυγαῖος, παρὰ τὴν τρύγα πεποίηται ἁρμόζον γεωργοῖς. τὸ δὲ ἀθμονεὺς ἀπὸ δήμου ἀττικῆς. Δεξιός. ἐδόκουν γὰρ οἱ γεωργοὶ καὶ μάλιστα οἱ δεξιοί, ἀπραγμοσύνην ἀσπάζεσθαι. Τὰ κρέα. ὅτι κατὰ συστολὴν ἔλεγον οὐ μόνον ἐν ἐκτάσει τὰ κρέα. ὡς πρὸς λίχνον δὲ τὸν ἑρμῆν ταῦτα λέγει. Δηλακρίων. ἀπὸ τῶν κρεῶν συνῆψε τὸ ὄνομα. ἄκρως δὲ λέ. ἢ ὦ ἐπίπονε. ἰδοὺ γὰρ διὰ τὰ κρέα εὐθὺς ἐλεεῖ αὐτόν.

Γλίσχρων ἐπιθυμητὰ ἀπὸ τοῦ γλίχεσθαι. γλίσχρωνας δὲ τοὺς ἀτυχεῖς εἰώθασι λέγειν καὶ γλισχρίαν τὴν ἀτυχίαν καὶ γλίσχρως ὀλισθηρῶς. νῦν δὲ ἐπίπονε. Ὡς οὐκ ἔτ' εἶναί σοι δοκῶ. ὅτι φιλοτίμῳ; εἰς τὸν οὐρανὸν ἀνέβην. Ἰὴ ἰὴ ἰή. τὸ μῆκος σημαίνων τοῦτό φησι. πρόσφθεγμα δ' ἐστὶ καταφρονοῦντος.

Πηδάλιον. τὸ αἰδοῖον δείκνυσι παίζων. Ναξιουργὴς κάνθαρος. πλοῖα ἦν οὕτω λεγόμενα, κάνθαροι ἐν νάξῳ γινόμενα τῇ νήσῳ. καὶ κνιδουργεῖς δὲ ἄλλας ναῦς ἀπὸ κνίδου. καὶ τὴν κέρκουρον ἀπὸ κερκύρας καὶ τὴν πάρωνα ἀπὸ πάρου.

Ἐν πειραιεῖ. ὁ πειραιεὺς, λιμένας ἔχει τρεῖς, πάντας κλειστούς. εἷς μὲν ὁ κανθάρου λιμὴν, οὕτω καλούμενος ἀπό τινος ἥρωος κανθάρου. ἐν ᾧ τὰ νεώρια, εἶτα τὸ ἀφροδίσιον. εἶτα κύκλῳ τοῦ λιμένος στοαὶ ε'. χωλὸς ὢν. δεῖ σε φησὶ μὴ πεσεῖν προσέχειν, μὴ διαθραυσθῇς καὶ γένῃ τραγῳδία. ἀποτείνεται πρὸς εὐριπίδην, ὃς ἐν δράματι χωλὸν εἰσάγει τὸν βελλεροφόντην, διὰ τὸ πεπτωκέναι ὑπὸ τοῦ πηγάσου.

Κατωκάρα. κατωφερῶς. ὅτι τὸ ἀπὸ τῆς κεφαλῆς πεσεῖν κατωκάρα λέγεται ἀττικῶς. ὑφ' ἕν. βουκολήσεται. ἀπατήσεται. καὶ βουκόλημα τὸ θέλγητρον. ὡς τὸ, καὶ ὅπως ἔχῃ τι βουκόλημα τῆς λύπης, ἀνέθηκε τοῖς τοίχοις ποικίλας γραφὰς ζώων. Ἀλλ' ἄγε πήγασε. μετὰ τὸ παρακελεύσασθαι τῷ ὄχλῳ καὶ τοῖς ἑαυτοῦ παιδίοις κατὰ μηδὲν ἐρεθίσαι τὸν κάνθαρον, παρακελεύεται αὐτῷ. ἔκθεσις δὲ τῆς διπλῆς ἐκ στίχων ἀναπαιστικῶν διμέτρων ἀκαταλήκτων πλὴν τοῦ τελευταίου. τοῦτο γὰρ ἐφθημιμερές. ὑφ' ὃ αἱ συνήθεις δύο διπλαῖ. ἐν εἰσθέσει δὲ ἰαμβεῖα ζ'. ἐπὶ τῷ τέλει κορωνίς. Ψαλίων. τῶν χαλινῶν. φαιδροῖς ὠσίν. πραέσι. μὴ ὀρθοῖς εἶ τῷ [illegible] γὰρ πάσχουσιν οἱ ἵπποι, ὥστε παροξυνόμενοι εἰς ἄκρατον δρόμον. Κάκκης. κακίας. οἱ γὰρ ἀρχαῖοι τὴν ἀκαθαρσίαν κάκκην ἔλεγον. καὶ μάλιστα δὲ δύσοσμον ἀπόπατημα. Παρὰ ταῖς πόρναις. πορνεῖον γὰρ ἦν ἐκεῖσε. ἐμπορεῖον γάρ ἐστιν. καὶ διὰ τὸ κατωφερὲς τοῦ ναοῦ, ἐκεῖσε ἔτρεχον αἱ πόρναι. Οὐ κατορύξεις. οὐ συγχώσεις καὶ ἀποκρύψεις τὴν σαυτοῦ κόπρον. Ἕρπυλλον. εἶδος ἄνθους σαμψύχῳ ὅμοιον. μάλιστα δὲ

Τρυ. ἐπίτηδες εἶχον πηδάλιον, ᾧ χρήσομαι,
τὸ πλοῖον δ' ἔσται ναξιουργὴς κάνθαρος.
Παι. λιμὴν δὲ τίς σε δέξεται φορούμενον;
Τρυ. ἐν πειραιεῖ δήπου 'στὶ κανθάρου λιμήν.
Παι. ἐκεῖνο τήρει μὴ σφαλεὶς καταρρυῇς
ἐντεῦθεν, εἶτα χωλὸς ὢν, εὐριπίδῃ
λόγον παράσχῃς, καὶ τραγῳδία γένῃ.
Τρυ. ἐμοὶ μελήσει ταῦτά γ'. ἀλλὰ χαίρετε.
ὑμεῖς δ' ἐγ' ὑπὲρ ὧν τοὺς πόνους ἐγὼ πονῶ,
μὴ βδεῖτε, μηδὲ χέζετ' ἡμερῶν τριῶν.
ὡς εἰ μετέωρος οὗτος ὢν ὀσφρήσεται,
κατωκάρα ῥίψας με βουκολήσεται.
ἀλλ' ἄγε πήγασε χώρει χαίρων,
χρυσοχάλινον πάταγον ψαλίων,
διακινήσας φαιδροῖς ὠσίν.
τί ποιεῖς τί ποιεῖς; ποῖ παρακλίνεις;
τοὺς μυκτῆρας πρὸς τὰς λαύρας.
ἵει σαυτὸν θαρρῶν ἀπὸ γῆς.
κᾆτα δρομαίαν πτέρυγ' ἐκτείνων.
ὀρθὸς χώρει διὸς εἰς αὐλάς.
ἀπὸ μὲν κάκκης τὴν ῥῖν' ἀπέχων.
ἀπό θ' ἡμερινῶν σιτίων πάντων.
ἄνθρωπε τί δρᾷς οὗτος ὁ χέζων.
ἐν πειραιεῖ παρὰ ταῖς πόρναις,
ἀπολεῖς. οὐ κατορύξεις,
κἀπιφορήσεις τῆς γῆς πολλήν;
κἀπιφυτεύσεις ἕρπυλλον αὐτῷ

Δοξάσαι. αἰτῆσαι τοῦ ὑπονοῆσαι, εἰκάσαι. Ψακάς. τὸ μικρότατον. ὃ καὶ νιφὰς καλεῖται. αἰτεῖ τοῦ μὴ δὲ ὀβολοῦ ὄντος ἡμῖν διὰ τὸν πόλεμον. Κολλύραν. κολλύρα τὸ ἔλαττον τοῦ ἄρτου. τινὲς δὲ τὴν κολλύραν εἶδος ἄρτου. ὅτι τοῖς παιδίοις διδόασιν. ἔπαιξε δὲ παρὰ τὸ λεγόμενον. εἰ δὲ οἶνον αἰτεῖ, κόνδυλον αὐτῷ δός. ὑπὲρ τοῦ ἐθίζειν τοὺς παῖδας μηδέν τι περιττὸν ζητεῖν. Καὶ τίς πόρος σοι. ἔκθεσις διπλῆς ἀμοιβαίας ἰαμβείων λ'. διπλῆ ἔξω νενευκυῖα παραπυμάτων.

ΤΡΥ. Δοξάσατ' ἐστὶ κόραι. τὸ δ' ἐτήτυμον ἄχθομαι ὑμῖν.
ἡνίκ' ἂν αἰτίζητ' ἄρτον πάππαν με καλοῦσαι.
ἔνδον δ' ἀργυρίου μηδὲ ψακὰς ᾖ πάνυ πάμπαν.
ἢν δ' ἐγὼ εὖ πράξας, ἔλθω πάλιν, ἕξετ' ἐν ὥρᾳ.
κολλύραν μεγάλην καὶ κόνδυλον ὄψον ἐπ' αὐτῇ.
ΠΑΙ. καὶ τίς πόρος σοι τῆς ὁδοῦ γενήσεται.
ναῦς μὲν γὰρ οὐκ ἄξει σε ταύτην τὴν ὁδόν,
ΤΡΥ. πτηνὸς πορεύσει πῶλος. οὐ ναυσθλώσομαι.
ΠΑΙ. τίς δ' ἡ 'πίνοια σοὐστὶν, ὥστε κάνθαρον
ζεύξαντ' ἐλαύνειν εἰς θεοὺς, ὦ παππία.
ΤΡΥ. ἐν τοῖσιν αἰσώπου λόγοις ἐξηυρέθη,
μόνος πετεινῶν εἰς θεοὺς ἀφιγμένος.
ΠΑΙ. ἄπιστον εἶπας μῦθον ὦ πάτερ πάτερ.
ὅπως κάκοσμον ζῶον ἦλθεν εἰς θεούς,
ΤΡΥ. ἦλθεν κατ' ἔχθραν αἰετοῦ πάλαι ποτὲ,
ᾤ' ἐκκυλίνδων. κἀντιτιμωρούμενος.
ΠΑΙ. οὔκουν ἐχρῆν σε πηγάσου ζεῦξαι πτερόν.
ὅπως ἐφαίνου τοῖς θεοῖς τραγικώτερος.
ΤΡΥ. ἀλλ' ὦ μελέα μοι σιτίων διπλῶν ἔδει.
Νῦν δ' ἅπτ' ἂν αὐτὸς καταφάγω τὰ σιτία,
τούτοισι τοῖς αὐτοῖσι τοῦτον χορτάσω.
ΠΑΙ. τί δ' ἢν ἐς ὑγρὸν πόντιον πέσῃ βάθος.
πῶς ἐξολισθεῖν πτηνὸς ὢν δυνήσεται.

Ναῦς μὲν γάρ. ἀμηχανοῦμεν φησὶν, ἐνθυμούμεναι πῶς εἰς οὐρανὸν παραγενήσῃ. οὐ γὰρ νεὼς ἐπιβὰς, εἰς οὐρανὸν ἀνέλθῃς. Οὐ ναυσθλώσομαι. οὐ νηὸς ἐπιβήσομαι κυρίως δὲ τὸ ναῦς μισθώσασθαι. λέγεται δὲ καὶ πετεινὸν καὶ πτηνόν. πῶλον δὲ λέγει τὸν κάνθαρον. Ἐν τοῖσιν αἰσώπου. φέρεται γὰρ ἐν τοῖς αὐτοῦ μύθοις, ἐχθρεῦσαι ἀετὸν καὶ κάνθαρον. ἑκάτερον αὐτῶν, θατέρου τὰ ᾠὰ διασπᾶν. Μόνος πετεινῶν. ἁρπάζοντος τοῦ ἀετοῦ τοὺς νεοττοὺς τοῦ κανθάρου, καὶ ὁ κάνθαρος τοῦ ἀετοῦ τὰ ᾠὰ ἐκκλέψας ἐξεκύλισεν ἕως ποσοῦ, ἕως οὗ ἦλθε πρὸς τὸν δία. κατηγοροῦντος δὲ τοῦ ἀετοῦ προσέταξεν αὐτῷ ὁ ζεὺς, ἐν τῷ αὐτοῦ τοῦ διὸς κόλπῳ νεοττεύειν. ἐπειδὴ δὲ τὰ ᾠὰ εἶχεν ὁ ζεὺς, περιίπτατο τὸν δία ὁ κάνθαρος. ὁ δὲ, ἐκλαθόμενος, ἀνέστηκεν ἐκ τῆς κεφαλῆς ὡς ἀποσοβήσων αὐτόν. καὶ κατέαξε τὰ ᾠά. Ὠ' ἐκκυλίνδων. τὸ πλῆρες, ᾠά. Κἀντιτιμωρούμενος ὁ κάνθαρος. πρῶτος γὰρ ὁ ἀετὸς ἠδίκησεν αὐτὸν φαγὼν τὰ νοσσία. Τραγικώτερος. ἀξιοπιστότερος. αἰνίττεται δὲ εἰς τὸν πήγασον καὶ τὸν βελλεροφόντην. Ὦ μελέα διπλῶς. λέγει δὲ πρὸς ἀμφότερα παιδία. Ἐξολισθεῖν. πῶς διανήξασθαι δυνήσεται. ἐπεὶ τὰ πολλὰ τῶν ὀρνέων ἐμπεσόντα εἰς ὕδωρ, νήχεσθαι οὐ δύναται. διαβάλλει δὲ τὰ περὶ ἰκάρου παρὰ τῶν τραγικῶν λεγόμενα.

Καὶ τὰς λαύρας, λαύρας ἐκάλουν τὰς στενὰς ῥύμας ἔνθα πᾶσα ἀκαθαρσία ἦν. τοὺς ῥυπαροὺς οὖν τόπους ἀποφράξαι παρακελεύεται. καὶ τοὺς κοπρῶνας, ἵνα μὴ ἐρεθίσωσι τὸν κάνθαρον καὶ κατασπάσωσι κάτω δυσωδίαν πνέοντα. μετέωρος δὲ ὢν ἀπὸ τοῦ κανθάρου ταῦτα λέγει. Οὐκ ἔσθ᾽ ὅπως. τὰ ἑξῆς ιβ΄. ἰαμβικὰ ὧν ἐπὶ τῷ τέλει παράγραφος. Γράψομαι. κατηγορήσω. παίζει δὲ διὰ τὸ φιλόδικον τῶν ἀθηναίων λέγων. καὶ τοῦ διὸς κατηγορήσω. ὡς προδιδόντος τὴν ἑλλάδα τοῖς πέρσαις. τοῦτο δὲ λέγει, ὅτι λακεδαιμονίοις ἐβοήθουν οἱ πέρσαι, ἐν τῷ πολέμῳ τῷ πελοποννησιακῷ. Μήδοισιν αὐτὸν. λεληθότως καὶ τῶν ἑλλήνων καθάπτεται. ὡς συνεργούντων μὲν τὴν βλάβην. καὶ ὅτι ὑπὸ τῶν πόλεων ἔστι. διαφθείρεσθαι δὲ αὐτοὺς ἐώντων ἄλλως τε καὶ φορβεῖν αὐτοὺς βούλεται. δεικνὺς ὅτι ἐφεδρεύοντας ἔχουσι πολεμίους τοὺς βαρβάρους.

Οὐδέποτε ζῶντος ἐμοῦ. οὔτε προδώσῃ. οὔτε γράψῃ ζῶντος ἐμοῦ. Οὐκ ἔστι παρὰ ταῦτα. οὐκ ἔστιν ἄλλως γενέσθαι. εἰ μὴ ἀνελθεῖν εἰς οὐρανούς.

Ω παιδία. διπλῆ καὶ εἴσθεσις τῆς περιόδου. Ἀπέρχεται. δηλονότι ἀπέπτη. ὁ δὲ οἰκέτης πρὸς τοὺς παῖδας ἐκείνου λέγει. πῶς καὶ αὐτοὶ συνήθειαν πεῖσαι τὸν πατέρα μὴ ἀναπτῆναι.

τούς τε κοπρῶνας καὶ τὰς λαύρας,
καιναῖς πλίνθοισιν ἀνοικοδομεῖν.
καὶ τοὺς πρωκτοὺς ἐπικλείειν.

ΣΥΣΤΗΜΑ ΕΤΕΡΟΝ.

Οἰ. οὐκ ἔσθ᾽ ὅπως σιγήσομ᾽, ἢν μή μοι φράσῃς,
ὅποι πέτεσθαι διανοεῖ. Τρυ. τί δ᾽ ἄλλο γ᾽ ἢ
ὡς τὸν δί᾽ ἐς τὸν οὐρανόν. Οἰ. τίνα νοῦν ἔχων.
Τρυ. ἐρησόμενος ἐκεῖνον ἑλλήνων πέρι.
ἁπαξάπαντων ὅ τι ποιεῖν βουλεύεται.
Οἰ. ἐὰν δὲ μὴ καταγορεύσῃ. Τρυ. γράψομαι
μήδοισιν αὐτὸν προδιδόναι τὴν ἑλλάδα.
Οἰ. μὰ τὸν διόνυσον οὐδέποτε ζῶντός γ᾽ ἐμοῦ.
Τρυ. οὐκ ἔστι παρὰ ταῦτ᾽ ἄλλ᾽ Οἰ. ἰού. ἰού. ἰού. ἰού.
ὦ παιδί᾽ ὁ πατὴρ ἀπολιπὼν ἀπέρχεται.
ὑμᾶς ἐρήμους εἰς τὸν οὐρανὸν λάθρα.
ἀλλ᾽ ἀντιβολεῖτε τὸν πατέρ᾽ ὦ κακοδαίμονα.

ΣΥΣΤΗΜΑ ΕΤΕΡΟΝ ΑΝΟΜΟΙΟΜΕΡΕΣ.

Παι. ὦ πάτερ. ὦ πάτερ. ἔτυμός γε ἄρ᾽
δώμασιν ἡμετέροις φάτις ἥκει.
ὡς σὺ μετ᾽ ὀρνίθων προλιπὼν ἐμὲ
ἐς κόρακας βαδιεῖ μεταμώνιος.
ἔστι τι τῶνδ᾽ ἐτύμως; εἴπ᾽ ὦ πάτερ εἴ τι φιλεῖς με.

Ω πάτερ. σύστημα ἕτερον εἰς δύο διῃρημένον περιόδους. καὶ εἰσὶ τῆς μὲν πρώτης περιόδου δακτυλικὰ τετράμετρα τέσσαρα καὶ ἐν ἐκθέσει ἀπὸ κοινοῦ ἕν. μεθ᾽ ὃ τὰ τῆς δευτέρας περιόδου ὅμοια πέντε. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. τὰ τοιαῦτα δὲ παραχωρήματα καλοῦσιν. οἷα νῦν τὰ τοιαῦτα παιδία ποιεῖ καλοῦντα τὸν πατέρα. εἶτα πρὸς οὐδὲν ἔτι τούτοις χρῆσθαι. Ἐς κόρακας. δέον εἰπεῖν εἰς οὐρανόν. οἱ δὲ, αἴτιοι τοῦ μετὰ ὀρνέων. ἅμα δὲ καὶ ἐφ᾽ ὕβρει, ἐδόκει γὰρ ἀνωφελῶς ἀπιέναι. ὥσπερ οἱ εἰς τὸ σκότος ἀπιόντες.

Δ ιακύψας ὄψομαι. βούλεται παραγενέσθαι καὶ θεάσασθαι. δῆλον δὲ ὅτι ἐκ τοῦ παρακύψαι καὶ ἰδεῖν, τὸ λοιπὸν μετέωρον αἰρόμενον τὸν δεσπότην, ταῦτά φησιν ὡς φοβούμενος. Ἐπὶ τοῦ κανθάρου. ἔδειξε τὸ γελοῖον καὶ ἀπίθανον. οὐ γὰρ οἷόν τε ἱππεύειν ἐπὶ κανθάρου. Ἥσυχος. τὰ ἑξῆς ιβ΄. κῶλα ἀναπαιστικὰ πλὴν τοῦ ι΄. δίμετρα ἀκατάληκτα. ἐπὶ τῷ τέλει παράγραφος. ὁ δὲ τρυγαῖος ἐπιβεβηκὼς τῷ κανθάρῳ ταῦτά φησιν. Ἠρέμα κάνθων. ἀτρέμας μοι πέτου, ὦ κάνθαρε. τοῦτο δὲ λέγει, ἐπιβεβηκὼς ἤδη ὁ τρυγαῖος τῷ κανθάρῳ καὶ μετέωρος ἀρθεὶς καὶ δεδιώς.

ἀλλ', ὅ,τι ποιεῖ, τηνδὶ διακύψας ὄψομαι.
οἴμοι τάλας. ἴτε δεῦρ' ὦ γείτονες.
ὁ δεσπότης γάρ μου μετέωρος αἴρεται
ἱππηδὸν εἰς τὸν ἀέρ' ἐπὶ τοῦ κανθάρου.

ΣΥΣΤΗΜΑ ΚΑΤΑ ΠΕΡΙΚΟΠΗΝ ΑΝΟΜΟΙΟΜΕΡΕΣ.

Τρυ. ἥσυχος ἥσυχος ἠρέμα κάνθων.
μή μοι σοβαρῶς χώρει λίαν
εὐθὺς ἀπ' ἀρχῆς ῥώμῃ πίσυνος.
πρὶν ἂν ἰδίῃς καὶ διαλύσῃς,
ἄρθρων ἶνας πτερύγων ῥύμῃ.
καὶ μὴ πνεῖ μοι κακὸν ἀντιβολῶ
σ'. εἰ δὲ ποιήσεις τοῦτο κατ' οἴκους
αὐτοῦ μεῖνον τοὺς ὑμετέρους
Οἰ. ὦ δέσποτ' ἄναξ ὡς παραπαίεις Τρυ. σίγα σίγα.
Οἰ. ποῖ δῆτ' ἄλλως μετεωροκοπεῖς
Τρυ. ὑπὲρ ἑλλήνων πάντων πέτομαι.
τόλμημα νέον παλαμησάμενος
Οἰ. τί πέτει. τί μάτην οὐχ ὑγιαίνεις.
Τρυ. εὐφημεῖν χρὴ καὶ μὴ φλαῦρον
μηδὲν γρύζειν. ἀλλ' ὀλολύζειν.
τοῖς τ' ἀνθρώποισι φράσον σιγᾶν.

Κάνθων δὲ κυρίως ὁ ὄνος. νῦν δὲ ὑποκοριστικῶς ὦ κάνθαρε. κάνθαρος δὲ εἴρηται, παρὰ τὸν κάνθωνα τὸν ὄνον. καὶ τὸν θορόν. τουτέστι τὸ σπέρμα φασὶ γὰρ ὅτι κάνθαρος οὕτω τίκτεται. ἐπαὶ εὕρῃ ὄνου κόπρον στρογγύλην, μένει κυλίων τοῖς ποσὶν αὐτὴν καὶ τῷ κυλίειν ἀποσπερμαίνει. καὶ ἐκεῖθεν οἱ κάνθαροι. Μή μοι σοβαρῶς. μὴ ἐκθύμως ἄγαν. μηδὲ σπουδαίως. τὰ δὲ τῶν ἵππων πτεροῖς κινήματα, παρατίθησι τῷ κανθάρῳ ἀβρύνεσθαι καὶ γαυριᾶν αὐτόν. ὃ μάλιστα τοῖς καλλιστεύουσι τῶν ἵππων ἔθος ἐστίν.

Π ρὶν ἂν ἰδίῃς. πρὶν ἱδρώσῃς. οἱ γὰρ ἵπποι οὐκ εἰσὶν ὀξεῖς ἐν τῇ ἀρχῇ εἰς τὸν δρόμον. καμόντες δὲ καὶ ἱδρώσαντες ὀξύτεροι γίνονται. Καὶ μὴ πνεῖ μοι. ἐκ γὰρ τῆς ἀναπνοῆς καὶ τοῦ ἀέρος, ἡ δυσωδία μᾶλλον ηὔξετο τοῦ κανθάρου δῆλον δὲ ὅτι καὶ αὐτὸ πρὸς τὰς τροφὰς ἀνίττεται. Ὦ δέσποτ' ἄναξ. διὰ τὸ μετάρσιον αὐτὸν ἠρθαι. καὶ προσδοκᾶν ἐπιβήσεσθαι τοῦ οὐρανοῦ, θειοτέρᾳ αὐτὸν ἐτίμησε φωνῇ ἄνακτα εἰπών. Μετεωροκοπεῖς. ποῦ δὴ περὶ μετέωρα πέτῃ. καὶ μάτην ὡς ἔτυχε κάμνεις. μετεωροκοπεῖν δέ ἐστι κυρίως τὸ, μάτην τῇ κώπῃ ματαίως τὴν θάλατταν συγκόπτειν. Παλαμησάμενος. μηχανησάμενος καὶ ἐγχειρήσας ἀπὸ τῆς παλάμης, ᾗ τὰ πολλὰ κατασκευάζομεν. Τί πέτει παρὰ προσδοκίαν. ὡς ἂν εἰ ἔλεγε τί κάμνεις. ἀπὸ κοινοῦ δὲ τὸ μάτην ἵν' ᾖ, τί μάτην πέτῃ. Φλαῦρον. ἀηδές. δύσφημον. φλύαρον. Ὀλολύζειν. τὸ μετὰ κραυγῆς εὔχεσθαι.

Οὐχ ὅνπερ ὑμεῖς. διαβάλλει αὐτοὺς ὡς μαινομένους μανίαν δικαικήν. Τὸ κόρημα. τὸ κόσμητρον. τὸ σάρον. ᾧ εἰώθασιν ἀποκαθαίρειν τοὺς ἔσω τῶν οἴκων, τὸ δὲ μὴ κόρει, ἀντὶ τοῦ ἔρημον οἰκητόρων μὴ ποίει διὰ τὸν πόλεμον. Τί δρασείεις. ἆρα τί διανοῇ. εἰσιὼν δὲ ταῦτά φησιν ὁ τρυγαῖος. τὸ τοῦ δὲ, ὄνομα κύριον ὁ μὲν ἡρωδιανὸς προπερισπᾷ. οἱ δὲ λοιποὶ, ὡς τὸ τίμαιος προπαροξύνουσι. Λήσεις σεαυτοῦ. ἀντὶ τοῦ ἀγνοεῖς τέλεον ἀπολέσας τὰς πόλεις. ἐκκοκκίσας δὲ, ἐξερημώσας. ἀπὸ μεταφορᾶς τῶν ῥοιῶν τῶν τοὺς κόκκους καθαιρομένων. τρυγαῖος δὲ, ταῦτα λέγει. Τῶν μανιῶν. ἀντὶ τοῦ τῆς μανίας. λέγεται δὲ ἑνικῶς ἡ μανία μὲν, ἀπάρχεται ὡς ἐπιτηδειότερον δὲ πληθυντικῶς. Εὐθὺ τοῦ Διός. καὶ διὰ τούτου τὴν ὑπερηφανίαν αὐτοῦ δηλοῖ. τῷ θέλειν κανθάρῳ εἰς τὰς τοῦ Διὸς ἐλθεῖν αὐλάς. Ἀνερριχᾶτο. τὸ πρὸς τοίχους ἀναβαίνειν καὶ χερσὶ καὶ ποσὶν, ἀναρριχᾶσθαι φασί. γίγνεται δὲ, ἐκ τοῦ ἀράχνης, ἀραχνιῶ. καὶ ἐν ὑπερβιβασμῷ ἀναρριχῶ. Ἐκφθαρείς. ἐξελθών. οὕτω γὰρ λέγεται, τὸ ἐπὶ κακῷ ἐξελθεῖν που. Αἰτναῖον μέγιστον κάνθαρον, ὑπερμεγέθη. μέγιστον γὰρ ὄρος ἡ αἴτνη. ἢ ὅτι διάφοροι κάνθαροι εὑρίσκονται. ἢ ἀντὶ τοῦ μέγα ὡς ἡ αἴτνη. ἢ ὅτι οἱ αἰτναῖοι ἵπποι, ταχεῖς καὶ διαβόητοι πρὸς τὸν δρόμον. ἢ ὅτι μεγάλοι οἱ αἰτναῖοι.

οὐχ ὅνπερ ὑμεῖς, ἀλλ᾽ ἕτερον καινὸν πάνυ.
δι᾽ ἡμέρας γὰρ εἰς τὸν οὐρανὸν βλέπων
ὧδὶ κεχηνὼς, λοιδορεῖται τῷ Διΐ
καί φησιν ὦ Ζεῦ, τί ποτε βουλεύει ποιεῖν;
κατάθου τὸ κόρημα. μὴ κόρει τὴν Ἑλλάδα.
ἔα ἔα,
σιγήσαθ᾽ ὡς φωνῆς ἀκούειν μοι δοκῶ.
Τρ. ὦ Ζεῦ, τί δρασείεις ποθ᾽ ἡμῶν τὸν λεών;
λήσεις σεαυτοῦ τὰς πόλεις ἐκκοκκίσας;
Οἰ. τοῦτ᾽ ἔστι τουτὶ τὸ κακὸν αὔθ᾽ οὑγὼ ᾽λεγον.
τὸ γὰρ παράδειγμα τῶν μανιῶν ἀκούετε.
ἃ δ᾽ εἶπε πρῶτον ἡνίκ᾽ ἤρχεθ᾽ ἡ χολὴ,
πεύσεσθ᾽· ἔφασκε γὰρ πρὸς αὑτὸν ἐνθαδί.
πῶς ἄν ποτ᾽ ἀφικοίμην ἂν, εὐθὺ τοῦ Διός.
ἔπειτα λεπτὰ κλιμάκια ποιούμενος,
πρὸς ταῦτ᾽ ἀνερριχᾶτ᾽ ἂν εἰς τὸν οὐρανὸν
ἕως ξυνετρίβη τῆς κεφαλῆς καταρρυείς
ἐχθὲς δὲ μετὰ ταῦτ᾽ ἐκφθαρεὶς, οὐκ οἶδ᾽ ὅποι.
εἰσήγαγ᾽ Αἰτναῖον μέγιστον κάνθαρον
κἄπειτα τοῦτον ἱπποκομεῖν μ᾽ ἠνάγκασε.
καὐτὸς καταψῶν αὐτὸν ὥσπερ πωλίον,
ὦ πηγάσιόν μοι φησὶ γενναῖον πτερόν.
ὅπως πετήσει μ᾽ εὐθὺ τοῦ Διὸς λαβών

Καταψῶν. κατὰ πραΰνων, ὥσπερ πῶλον καταψῶντές τοῖς χερσὶν ὁμαλίζομεν. Ὦ πηγάσιον. παρὰ τὸ ἐκ βελλεροφόντου. ἐκείνης γὰρ διὰ τοῦ πηγάσου τοῦ πτεροῦ τοῦ ἐπεθύμει καὶ εἰς τὸν οὐρανὸν ἀνελθεῖν. ἀντὶ ὦ φίλον μοι πηγάσου πτερόν. Πωλίον. πῶλος καὶ ἵππος. πῶλοι δὲ κυρίως, τὰ γεννήματα τῶν ἵππων καὶ τῶν ἄλλων κτηνῶν. ἅπερ ἔθος ἔχομεν κολακεύειν.

Παροίξας. ὀλίγον διανοίξας τὴν θύραν. ὥστε ἰδεῖν μὲν τὰ ὑπ' αὐτοῦ πραττόμενα. μὴ ὁραθῆναι δὲ ὑπ' αὐτοῦ. ἀνοίγει δὲ ἠρέμα. καὶ βλέπει εἴτε ἐσθίει. εἴτ' ἐπέπαυτο.
Οἷον δὲ κύψας. διὰ τοῦ σχήματος ἀδηφαγίαν αὐτοῦ δηλοῖ. Ὥσπερ παλαιστής. διὰ τὸ τοὺς παλαιστὰς μιμεῖσθαι διαιρουμένους ἐν τῷ κυλίειν τὴν κόπρον. παραβαλὼν δὲ ἀντὶ τοῦ χαλάσας τοὺς προσθίους ὀδόντας. Ὥς οἱ τὰ χοινία. οὕτως φησὶ κινούμενος, ὥσπερ οἱ τὰ μεγάλα χοινία ἐργαζόμενοι τῶν πλοίων ὅλῳ τῷ σώματι καὶ δυνάμει ἐργάζονται.

τηδὶ παροίξας τῆς θύρας, ἵνα μὴ μ' ἴδῃ.
ἔρειδε. μὴ παύσαιο μήποτ' ἐσθίων
τέως, ἕως σαυτὸν λάθῃς διαρραγείς.
Οἷον δὲ κύψας ὁ κατάρατος ἐσθίει.
ὥσπερ παλαιστὴς παραβαλὼν τοὺς γομφίους.
καὶ ταῦτα τὴν κεφαλήν τε καὶ τὼ χεῖρέ πως,
ὡδὶ περιάγων ὥσπερ οἱ τὰ χοινία,
τὰ παχέα συμβάλλοντες εἰς τὰς ὁλκάδας.
μιαρὸν τὸ χρῆμα καὶ κάκοσμον καὶ βορόν.
χὤτου ποτ' ἐστὶ δαιμόνων ἡ προσβολή.
Οἰ. οὐκ οἶδ'. ἀφροδίτης μὲν γὰρ οὔ μοι φαίνεται
οὐ μὴν χαρίτων γε. τοῦ γάρ ἐστ'; οὐκ ἔσθ' ὅπως
τοῦτ' ἐστὶ τὸ τέρας οὐ Διὸς καταιβάτου.
Ἑτ. οὐκοῦν ἂν ἤδη τῶν θεατῶν τις λέγοι
νεανίας δοκησίσοφος. τὸ δὲ πρᾶγμα, τί;
ὁ κάνθαρος δὲ πρὸς τί; κᾆτ' αὐτῷ γ' ἀνὴρ
ἰωνικός τις φησὶ παρακαθήμενος
δοκέω μὲν ἐς κλέωνα τοῦτ' αἰνίττεται.
ὡς κεῖνος ἀναιδῶς τὴν σπατίλην ἐσθίει.
ἀλλ' εἰσιὼν τῷ κανθάρῳ δώσω πιεῖν.
Οἰ. ἐγὼ δὲ τὸν λόγον γε τοῖσι παιδίοις,
καὶ τοῖσιν ἀνδρίοισι. καὶ τοῖς ἀνδράσι
καὶ τοῖς ὑπὲρ τούτοισιν ἀνδράσι φράσω.
καὶ τοῖς ὑπερηνορέουσιν ἔτι τούτοις μάλα.
ὁ δεσπότης μου μαίνεται καινὸν τρόπον.

Συμβαλόντες. συμπλέκοντες. τούτους δὲ ἐκάλουν καὶ χοινιοσυμβόλους. Καὶ κάκοσμον δικαίως τὰ τοιαῦτα ἐσθιόμενα, κάκοσμά ἐστι. Χὤτου ποτ' ἐστίν. ἐπεὶ ἓν ἕκαστον τῶν ὀρνέων, ἀνάκειται θεῶν τινὶ ὡς ἀετὸς τῷ Διΐ, τίνος οὗτός ἐστιν. οὐκ ἔστιν οὖν τῆς ἀφροδίτης φησίν. ἐπεὶ αὕτη μὲν, μύροις χαίρει. ὁ δὲ, δυσώδης ἐστίν. Προσβολή. ἡ ζημία ἢ τοῦ δαίμονος ὀργή. ἀντὶ δὲ τοῦ εἰπεῖν ζῷον, ζημίαν. εἶπε καταρώμενος ἑαυτῷ. Διὸς καταιβάτου. καταιβάτης τιμᾶται ζεὺς, διὰ τὸ καταβιβάζειν τοὺς κεραυνούς. ἢ ἀπὸ τοῦ καταβαίνειν δι' ἔρματα. τῶν γυναικῶν. παίζει δὲ καταιβάτην καλῶν. ἐπεὶ κόπροις τρέφεται ὁ κάνθαρος.
Οὐκοῦν ἂν ἤδη τῶν θεατῶν. ἐνταῦθα θέλων τὴν ὑπόθεσιν δηλῶσαι, σκώπτει τοὺς ἀθηναίους ὡς φιλοκερδεῖς καὶ φιλοδίκους καὶ φιλολοιδόρους. φησὶ γὰρ πάντως εἷς τῶν θεωμένων βλέπων τὸν κάνθαρον, πρὸς τί τὸν κάνθαρον πεποίηκεν Ἀριστοφάνης. εἶτα ἄλλως ἐλλόγιμος δοκῶν εἶναι, λέγει πάντως τὸν κλέωνα ἀθέλει σκῶψαι ὁμοίως ὄζοντα αὐτῷ. ταῦτα δὲ λέγει τοὺς θεατὰς διαλέγεσθαι πρὸς ἀλλήλους πρὶν μαθεῖν τὴν ὑπόθεσιν. ἰστέον δὲ, ὡς βυρσοπώλης ἦν ὁ κλέων, αἱ δὲ βύρσαι δύσοσμοι. Τὴν σπατίλην ἐσθίει. ἀντὶ τοῦ ἤσθιεν. ἀποθανὼν γὰρ ἦν ὁ κλέων, σπατίλη δὲ, ἡ ἄνυγρος κόπρος. ἢ τὸ ἀπόξυσμα τῶν βυρσῶν τὸ μικρόν. ὃ ἐκβάλλεται ὑπὸ τῶν σκυτέων.

ζητεῖ οὖν τοὺς διαδεξομένους. Ἀποπνιγέντα. ἀποκλειομένων τῶν ῥινῶν τῇ θλίψει τῶν δακτύλων. ἀνάγκη στενοχωρουμένου τοῦ πνεύματος, πνίγεσθαι αὐτόν.

Ε Ἑτέραν ἑτέραν. οἱ ἀττικοὶ καὶ ἐπὶ πολλοῦ λέγουσιν ἑτέρας. ἡμεῖς δὲ. ἐπὶ δευτέρας μόνης ἐπὶ τρίτης οὖν ἑτέρας εἴπῃ. ὅλως δὲ ἡ παρατετηρημένη ἐπί τι τοῦ ἑτέρου καὶ ἄλλου διαφορὰ παρ' ἀττικοῖς οὐκ ἔστιν. Ἡταιρηκότος. ἐπειδὴ ἡ ἐκείνων δοκεῖ ἡ κόπρος τετρῖφθαι ὡς ἡταιρηκότων. ἐκ δὲ τοῦ ἑτοίμου προσενηνοχεῖν, διαβάλλει τοὺς ἀθηναίους, ὡς καὶ ποιοῦντας τὰ τοιαῦτα καὶ πάσχοντας.

εἰ μή με βούλεσθ' ἀποπνιγέντα περιιδεῖν,

Οἰ. ἑτέραν ἑτέραν δὸς παιδὸς ἡταιρηκότος.
τετριμμένης γάρ φησιν ἐπιθυμεῖν. Ε. ἰδού,
ἑνὸς μὲν ὦνδρες ἀπολελύσθαι μοι δοκῶ.
οὐδεὶς γὰρ ἂν φαίη με μάττοντ' ἐσθίειν.

Οἰ. αἰβοῖ. φέρ' ἄλλην. χἀτέραν μοι. χἀτέραν.
καὶ τρῖβ' ἔθ' ἑτέρας. Ετ. μὰ τὸν Ἀπόλλω 'γὼ μὲν
οὐ γὰρ ἔθ' οἷός τ' εἰμ' ὑπερέχειν τῆς ἀντλίας. Οἰ.
αὐτὴν ἄρ' οἴσω προσλαβὼν τὴν ἀντλίαν.

Οἰ. νὴ τὸν Δί' ἐς κόρακάς γε. καὶ σαυτόν γε πρός.

Ετ. ὑμῶν δέ γ' εἴ τις οἶδέ μοι κατειπάτω.
πόθεν ἂν πριαίμην ῥῖνα μὴ τετρημένην.
οὐδὲν γὰρ ἔργον ἦν ἄρ' ἀθλιώτερον.
ἢ κανθάρῳ μάττοντα παρέχειν ἐσθίειν.
ὗς μὲν γὰρ ὥσπερ ἂν χέσῃ τις, ἢ κύων,
φαύλως ἐρείδει. τοῦτο δ' ὑπὸ φρονήματος,
βρενθύεταί τε καὶ φαγεῖν οὐκ ἀξιοῖ.
ἢν μὴ παραθῶ τρίψας δι' ἡμέρας ὅλης.
Ὥσπερ γυναικὶ γογγύλην μεμαγμένην.
ἀλλ' εἰ πέπαυται τῆς ἐδωδῆς, σκέψομαι.

Ε Ἑνὸς μὲν ὦνδρες ἀπολελύσθαι, τοῦ τρίβειν καὶ φυρᾶν τὴν κόπρον. ἐκ δὲ παραδόξου. ἀνὰ φησὶ διὰ τὸ μὴ ἴσως χρῄζειν ἔτι τοιούτου κόπρου ἀντὶ τοῦ ἡταιρηκότος κόπρου. Οὐδεὶς φαίη. οὐ γὰρ ἄν τις ὑποπτεύσειε διὰ τὸ φυρειν ἐμὲ, ἤδη, καὶ τὴν κόπρον ἐσθίειν οὐδένα γὰρ πιστεύειν οἴομαι ὅτι ἐπιμάττων καὶ φυρῶν, ἤδη, καὶ ἐσθίω. εἰώθασι γὰρ ἅμα τῷ μάττειν, ἐσθίειν.

Υ Ὑπερέχειν. ἀντὶ τοῦ ἀντέχειν καὶ περιγίνεσθαι τῆς ὀσμῆς. ἀπὸ μεταφορᾶς τῶν πλοίων. οἷς προσφέρεται ἡ ἀντλία. καὶ τὸ ἀγγεῖον, οὕτως λέγει ἐν ᾧ ἔφυρα. ἀντλία δὲ ἡ τοῦ πλοίου ἐκροὴ καὶ πιστίδης. ἐκ τοῦ ἐχόντων τὰς δυσώδεις ἀντλίας.

Υ Ὑμῶν δέ γ' εἴ τις. πρὸς τοὺς ἀκροατὰς τὸν λόγον ὁ ποιητὴς ἄγαν εὐφυῶς ποιεῖται. Μὴ τετρημένην. διὰ τὸ μὴ ὀσφραίνεσθαι τῆς κόπρου τῶν μυκτήρων ἀποκεκλεισμένων. Ὥσπερ ἂν χέσῃ τις. ἄνθρωπος. δηλονότι. ὥσπερ ἂν χέσῃ τίς φησιν, οὕτως ἐσθίει τὸ ἀπόπατημα. καὶ ὗς καὶ κύων μὴ δεόμενοι τοῦ μάττεσθαι. Φαύλως ἐρείδει. συντόμως ἐσθίει. οὕτω γάρ φασιν οἱ ἀττικοὶ πᾶν ὁτιοῦν συντόμως γινόμενον. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἐρεσσόντων, καὶ ἐπερειδομένων ταῖς κώπαις. τὸ δὲ βρενθύεται, ἀντὶ τοῦ μέγα φρονεῖ. Ὥσπερ γυναικὶ γογγύλην. αἱ γὰρ γυναῖκες, ἵνα μὴ δοκοῖεν πολυφάγοι εἶναι, ἐκ τῆς πυκνότητος τῆς μάζης μικρᾶς εἶναι δοκούσης, ὀλιγοφαγίας δόξαν ἐμφαίνουσι, στρογγύλας ποιοῦσαι τὰς μάζας ὡς γογγύλας. αἵ εἰσιν εἶδος λαχάνου καὶ γογγυλίζειν τὸ μεταστρέφειν. ἔτι δὲ καὶ γογγύλος λίθος. Ἀλλ' εἰ πέπαυται, εἰ ἐπαύσατο δηλονότι κορεσθεὶς ὑπ' αὐτῆς.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΕΙΡΗΝΗ.

ΟΙΚΕΤΗΣ.

Αἶρ' αἶρε. ἡ ἐπίθεσις τοῦ δράματος ἐξ ἰαμβείων τῶν συνήθων. τὸ μέντοι ξ΄. μονόμετρον ἀκατάληκτον. ἐπὶ ταῖς ἀποθέσεσι καὶ τῷ τέλει παράγραφος. δύο δὲ εἰσὶν οἰκέται. ὧν ὁ μὲν, τρέφει τὸν κάνθαρον. ὁ δὲ ἕτερος μάττει. ὁ τρέφων οὖν λέγει τῷ μάττοντι. Ἐξ ὀνίδων. ὡς ἐπίτηδες γὰρ πεπλασμένως εἰσάγεται τὰ τῶν ὄνων ἀποπατήματα. Μᾶζαν. μᾶζα κυρίως ἡ τροφὴ, ἡ ἀπὸ γάλακτος καὶ σίτου παρὰ τὸ μάττεσθαι. περισπαστέον δὲ, καταχρηστικῶς γὰρ, οὐ τὴν ἐξ ἀλφίτων φυραθεῖσαν. ἀλλὰ τὸ ἀποπάτημα λέγει. πίτυρα δέ τινα ῥυπαρὰ μάττουσιν οἱ οἰκέται. κόπρον γὰρ φυρᾶν, ἀδύνατον. Ὡς τάχιστα. ἢ τάχος. ἢ διαπαχέως. κάνθαρος δὲ εἶδος ζώου παρὰ τὰς τίλφας τὸ μέγεθος. Ἰδού. παρεπιγραφή. ὁ γὰρ ἕτερος τῶν οἰκετῶν, τὸ προσταχθὲν ποιῶν αὐτῷ παραφέρει καὶ ἐπιδίδωσι τροφήν. Τῷ κάκιστ' ἀπολουμένῳ. ἀπεχθάνεται τὸν κάνθαρον διὰ τὸ ἅπτεσθαι τῆς κόπρου. Μήποτ' αὐτῆς μᾶζαν. πρὸς τὸν μεθυόμενον ἔπαιζεν. οὐ γὰρ ὄντως ἤσθιεν. Ἣν νῦν δ' ἤφερες. οὕτως ἀττικοὶ ἀντὶ τοῦ ἀρτίως. ἐν ἐρωτήσει δέ. ἐκείνου γὰρ αἰτήσαντος μᾶζαν ἑτέραν, φησὶν αὐτός. ἣν γὰρ νῦν προσέφερες οὐ κατέφαγεν. ἄλλο δὲ φαγεῖν. καὶ ἄλλο καταφαγεῖν. φαγεῖν μὲν γὰρ, τὸ τάξει. καταφαγεῖν δὲ, τὸ ἀθρόως. τὸ οὖν ἀδηφάγον τοῦ ζώου δεικνὺς λέγει. Περικυλήσας. περιειλήσας καὶ περισυρίσας. ἔθος δὲ τοῖς κανθάροις, τὰς ὀνίδας παρακυλίειν. λέγεται δὲ ὁ κάνθαρος εἰς ὄνθον ἀποσπερματίζειν καὶ οὕτω περιστρέφειν τοῖς ποσὶν, ὡς ἂν τὸ σπέρμα ἐγγυμνασθὲν, ἀποδοθείη καὶ ἐγγεννήσῃ. θῆλυς γὰρ κάνθαρος οὐ γίνεται. ἀλλὰ πάντες ἄρρενες. Τοῖν ποδοῖν. πρὸς τὴν τάξιν τῶν πτωχῶν ἀκολούθως τὸ δυϊκόν. Κοπρολόγοι. τοῦτο ἢ πρὸς τοὺς ῥήτορας ἀποτείνεται, διαβάλλων αὐτοὺς ὡς μυσαροὺς καὶ λοιδόρους, ἢ τοὺς συνεργοὺς τῶν ὁμοδούλων εἰς ἐπικουρίαν καλεῖ. Προσλάβεσθε. βοηθήσατε. συνέχει γὰρ τῇ μιᾷ τὴν ῥῖνα. τῇ δὲ ἑτέρᾳ μάττει.

Αἶρ' αἶρε μᾶζαν ὡς τάχιστα κανθάρῳ.
ΕΤ. ἰδού. ΟΙ. δὸς αὐτῷ τῷ κάκιστ' ἀπολουμένῳ.
ΕΤ. καὶ μήποτ' αὐτῆς μᾶζαν ἡδίω φάγοι.
ΟΙ. δὸς μᾶζαν ἑτέραν ἐξ ὀνίδων πεπλασμένην.
ΕΤ. ἰδοὺ μάλ' αὖθις. ΟΙ. ποῦ γὰρ ἣν νῦν δ' ἤφερες
οὐ κατέφαγε. ΕΤ. μὰ τὸν Δί' ἀλλ' ἐξαρπάσας
ὅλην ἐνέκαψε περικυλίσας τοῖν ποδοῖν.
ΟΙ. ἀλλ' ὡς τάχιστα τρῖβε πολλὰς καὶ πυκνάς.
ΕΤ. ἄνδρες κοπρολόγοι προσλάβεσθε πρὸς θεῶν.

Τ ρυγαῖος ἄγροικος πρεσβύτης ἀθύγγσιν ὀχούμενος αὐτοῦ καὶ θάρου, ὑπὲρ τῆς ἑλλάδος εἰς τὸν οὐρανὸν ἀναφέρεται. γενόμενος δὲ κατὰ τὴν τοῦ διὸς οἰκίαν, ἐντυγχάνει τῷ ἑρμῇ καὶ ἀκούσας ὅτι μετῳκήσαμεν οἱ θεῶν εἰς τὰ τοῦ οὐρανοῦ ἀνώτατα διὰ τὴν τῶν ἑλλήνων ἀλληλοκτονίαν, ἐνοικίσας ὁ πόλεμος εἰς ἄντρον τὶ τὴν εἰρήνην καὶ καθείρξας λίθους ἐπεφόρησε, καὶ νῦν μέλλει τὰς πόλεις ἐμβαλὼν ἐνθυεία τρίβειν. μέχρι μὲν οὖν τινος αὐτοῦ ξυροῦ φασὶν ἀκμῆς τὰ τῶν ἑλλήνων ἐκινδύνευε πράγματα. ἐπεὶ δὲ μεταπεμπομένου παρ' ἀθηναίων τοῦ πολέμου δοίδυκα καὶ παρὰ λακεδαιμονίων, κἀκείνων μὲν τὸν κλέωνα, τῶν δὲ λακεδαιμονίων ἐν θρᾴκῃ τὸν βρασίδαν ἀπολωλέναι φασκόντων, οὓς ὁ ποιητὴς ὡς κυκῶντας τὴν ἑλλάδα δοίδυξιν εἴκασεν, οὗτος μὲν εἰσδραμὼν ἔχεται δοίδυκα ποιήσων αὐτοχειρί. ἐν τοσούτῳ δὲ μηχαναῖς τῶν περὶ τρυγαῖον γεωργῶν τὴν εἰρήνην ἀνελκυσάντων, οὐκ ἄνευ τῆς ἑρμοῦ συνεργείας, τῶν χειροτεχνῶν ὅσοι μὲν ἢ λόφους ἢ ἀσπίδας ἢ ἄλλο τι τῶν κατὰ πόλεμον χρησίμων κατασκευάζοντες διέζων, κατηφεία συνείχοντο τῶν ὅπλων ἤδη διὰ τὴν εἰρήνην γενομένων ἀξίων. ὅσοι δὲ βίον εἶχον ἐκ τῶν εἰρηνικῶν ἀσκουμένων αὐτοῖς ἐνδυμάτων, οἷον εἰπεῖν δρεπανουργοὺς καὶ χαλκεῖς σμινυῶν, καὶ ὅλως γεωργούς, τρυγαίῳ συγχαιρήσοντες παραγίνονται. μεθ' οὗ κρεοσφαγήσαντες ὡς ἐπεὶ δεῖπνον καὶ γάμον κωμάζουσιν.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

οἰκέτης.
παῖδες τρυγαίου.
χορὸς γεωργῶν ἀθμονέων.
δρεπανουργός.
σαλπιγγοποιός.
παῖς λαμάχου.
ἕτερος οἰκέτης.
ἑρμῆς.
θεράπων τρυγαίου.
λοφοποιός.
κρανοπώλης.
παῖς κλεωνύμου.
τρυγαῖος.
πόλεμος.
ἱεροκλῆς.
θωρακοπώλης.
δορυξόος.
κυδοιμός.

Καὶ λέχος γαμήλιον. Ὄρεξον ὦ μάκαιρα σὴν
χεῖρα, καὶ πτερῶν ἐμῶν
λαβοῦσα, συγχόρευσον,
αἴρων δὲ κουφιῶ 'γώ.
ἀλλαλαὶ ἰὴ παιών,
τήνελλα καλλίνικος ὦ
δαιμόνων ὑπέρτατε.

μα περαιοῦσα.. Αἴσιος δὲ νῦν χθόνα σείει. ὁ ζεὺς δηλονότι ἢ ὁ πειθήταιρος λαβὼν τὴν βασιλείαν. Ὄρεξον ὦ μάκαιρα. πρὸς τὴν βασιλείαν φησίν. εὐκαίρως δὲ τὴν κωμικὴν ὄρχησιν ποιεῖται. Καὶ πτερῶν ἡμῶν. οἱ γὰρ ὄρνιθες πτεροῖς ἀντὶ χειρῶν ἐχρῶντο. Τήνελλα. τὸ τήνελλα μίμησίς ἐστι φωνῆς κρούματος αὐλοῦ ποιᾶς. ἀπὸ τοῦ ἐφυμνίου εἶπεν ἀρχίλοχος εἰς τὸν ἡρακλέα μετὰ τὸν ἆθλον αὐγέου, τήνελλα καλλίνικε. χαῖρε ἄναξ ἡράκλεις. αὐτός τε καὶ ἰόλαος αἰχμητὰ δύω. δοκεῖ δὲ πρῶτος ἀρχίλοχος ἐν πάρῳ νικήσας τὸν δήμητρος ὕμνον ἑαυτῷ τοῦτον, ἐπιπεφωνηκέναι.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ Κωμῳδιῶν ἑπτὰ καὶ τῶν εἰς αὐτὰς σχολίων ἀρχαίοις συντεθέντων γραμματικοῖς. ἃ δὴ σποράδην ἐν ἀντιγράφοις κείμενα διαφόροις καὶ πεφυρμένως, συνείλεκταί τε καὶ ὡς οἷόν τ' ἦν ἐπιμελέστατα διώρθωται παρὰ Μάρκου Μουσούρου τοῦ κρητός. Τέλος.

ὙΠΟΘΕΣΙΣ ΕἸΡΗΝΗΣ.

ΔΗ Τῷ πελοποννησιακῷ πολέμῳ κεκμηκότας τοὺς ἀθηναίους καὶ τοὺς σύμπαντας ἕλληνας Ἀριστοφάνης ἰδὼν ἱκανῶς γὰρ δὴ ἐπὶ πολὺ ἐπολεμούντων αὐτὸν χρόνον, τὸ δρᾶμα συνέγραψε τοῦτο, προτρέπων τὰς πόλεις, καταθέσθαι μὲν τὴν πρὸς ἀλλήλους φιλονεικίαν ὁμόνοιαν δὲ καὶ εἰρήνην ἀντὶ τῆς προτέρας ἔχθρας ἑλέσθαι. παρεισάγει τοίνυν γεωργόν τινα τρυγαῖον τοὔνομα, μάλιστα τῆς εἰρήνης ἀντιποιούμενον. ὃς ἀσχάλλων ἐπὶ τῷ πολέμῳ, εἰς οὐρανὸν ἀνελθεῖν ἐβουλεύσατο πρὸς τὸν δία πευσόμενος παρ' αὐτοῦ, δι' ἣν αἰτίαν οὕτως ἐκτρέπει τὰ τῶν ἑλλήνων πράγματα τοσοῦτον τριήσαντα πόλεμον αὐτοῖς. ὃν δὴ διαπροοῦντα τίνα τρόπον τὴν εἰς οὐρανὸν πορείαν ποιήσοι, παρεισάγει τρέφοντα κάνθαρον ὡς ἀναπτησόμενον εἰς οὐρανὸν δι' αὐτοῦ, βελλεροφόντου δίκην. προλογίζουσι δὲ οἱ δύο θεράποντες αὐτοῦ. οἷς καὶ ἐκτρέφειν προστέτακτο τὸν κάνθαρον, δυσφοροῦντες ἐπὶ τοῖς αὐτοῦ σιτίοις. Ἡ δὲ σκηνὴ τοῦ δράματος ἐκ μέρους μὲν ἐπὶ τῆς γῆς. ἐκ μέρους δὲ ἐπὶ τοῦ οὐρανοῦ. ὁ δὲ χορὸς συνέστηκεν ἔκ τινων ἀνδρῶν ἀττικῶν, γεωργῶν. Ἄλλως.

Φέρεται ἐν ταῖς διδασκαλίαις, ὅτι καὶ ἑτέραν δεδίδαχεν ὁμοίως Ἀριστοφάνης εἰρήνην. ἄδηλον οὖν φησὶν ἐρατοσθένης. πότερον τὴν αὐτὴν ἀνεδίδαξεν, ἢ ἑτέραν καθῆκεν. ἥτις οὐ σώζεται. κράτης μέντοι δύο οἶδε δράματα γράφων οὕτως. ἀλλ' οὖν γε ἐν τοῖς ἀχαρνεῦσιν ἢ βαβυλωνίοις ἢ ἐν τῇ ἑτέρᾳ εἰρήνῃ. καὶ σποράδην δέ τινα ποιήματα παρατίθεται, ἅπερ ἐν τῇ νῦν φερομένῃ οὐκ ἔστιν. Ἄλλως.

ἡ γλῶττα χωρίς. σύμμαχος πρὸς τὸ ἔθος. ὅτι μετὰ τῶν σπλάγχνων ἔτεμνον τὴν γλῶτταν καὶ παρ' ὁμήρῳ. οὗτος δὲ διὰ τὴν πονηρίαν τῶν δικαιολόγων, φησὶν ἐκβεβλῆσθαι χωρὶς τὴν γλῶτταν. δίδυμος δέ, ἐν ταῖς θυσίαις. χωρὶς ἡ γλῶττα ἐτέμνετο οὐ μετὰ τῶν ἄλλων σπλάγχνων. καὶ ὅμηρος ἀλλ' ἄγε τάμνετε μὲν γλώσσας. ἐγίνετο δὲ τοῦτο δι' ἄλλην αἰτίαν. οὕτως δὲ βούλεται λέγειν. ὅτι ἐξεβλήθη ἐκ τῶν σπλάγχνων διὰ τοὺς ῥήτορας ἡ γλῶττα. ἐπεὶ ταύτῃ τοὺς ἄλλους κακοποιοῦσιν.

πάλλων κεραυνὸν πτεροφόρον διὸς βέλος·
ὀσμὴ δ' ἀνωνόμαστος ἐς βάθος κύκλου.
χορεῖ, καλὸν θέαμα θυμιαμάτων.
αὖραι διαψαίρουσι πλεκτάνην καπνοῦ
ὁδὶ δὲ καὐτός ἐστιν. ἀλλὰ χρὴ θεᾶς,
μούσης ἀνοίγειν ἱερὸν εὔφημον στόμα·

ΩΔΗ ΚΑΙ ΣΤΡΟΦΗ ΚΩΛΩΝ, ΙΒ.

Ἡμι. ἄναγε. δίεχε. δίαγε. πάραγε. πάρεχε
περιπέτεσθε τὸν μάκαρα
μάκαρι σὺν τύχᾳ.
Ὢ φεῦ φεῦ. τῆς ὥρας
τοῦ κάλλους.
Ὦ μακαριστὸν σὺ γάμον
τῇδε τῇ πόλει γήμας.
Ἡμι. μεγάλαι κατέχουσι τύχαι
γένος ὀρνίθων·
διὰ τόνδε τὸν ἄνδρα.
ἀλλ' ὑμεναίοισι καὶ νυμφιδίοις
δέχεσθ' ᾠδαῖς
αὐτὸν καὶ τὴν βασίλειαν.

Β ἴς τὸ αὐτό. ἀντὶ τοῦ ὀφείλει τέμνεσθαι ἡ γλῶσσα καὶ χωρίζεσθαι τοῦ λοιποῦ σώματος. Ὦ πάντ' ἀγαθά. ἡ συστηματικὴ αὕτη εἴσθεσις ἐξ ἰάμβων ἐστὶ τριμέτρων ιδ'. ἐπὶ τῷ τέλει παράγραφος. εἶναι δ' αὖ οὗτος ὁ ἄγγελος θεράπων συναναβεβηκὼς τῷ πεισθεταίρῳ.

Δ ιὸς βέλος. τῆς βασιλείας λαβὼν γὰρ τὸν ταμίαν τοῦ κεραυνοῦ καὶ αὐτὸν ἄγει, εἰώθασι γὰρ τὸν κεραυνῷ, ἐξ ἑκατέρου μέρους πτερὰ προσφύειν.

Ὡς μηδ' ἀνόμαστος ἐς βάθος. εἰς τὸ ὕψος τοῦ οὐρανοῦ. ἀνωνόμαστος δὲ ἀντὶ τοῦ πολλή. καὶ λόγῳ οὐ δυναμένη ὀνομασθῆναι.

Δ ιαψαίρουσι πρὸς τὴν τῆς λέξεως διαίρεσιν διεψαίρειν δέ, τὸ ἡσυχῇ διακινεῖσθαι καὶ ψοφεῖν καὶ ψαίρειν ἴδιον λέγομεν. πλεκτάνην δὲ τὴν εἴλησιν, αἱ δὲ αὖραι, διακινοῦσι τὴν πλεκτάνην τοῦ καπνοῦ τῶν θυμιαμάτων. λείπει δέ, τὸ πνέουσι. Ἄναγε δίεχε. εἴσθεσις μέλους χοροῦ εἰς δύο περιόδους διῃρημένη κώλων ιβ'. εἰσὶ δὲ τῆς πρώτης τροχαϊκὰ ς'. ἐπιμεμιγμένα χορείοις καὶ ἰάμβοις. ὧν τὰ α'. β'. δ'. ε'. δίμετρα ἀκατάληκτα. τὸ γ'. πενθημιμερές. τὸ ς'. ἑφθημιμερές. τῆς δὲ δευτέρας ἐξ ἀναπαιστικῶν, τὰ μὲν α'. δ'. δίμετρα ἀκατάληκτα. τὰ δὲ β'. ε'. ἀναπαιστικὴ βάσις. τὸ γ'. πενθημιμερές. τὸ ς'. ἑφθημιμερὲς ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. τὸ δὲ ἑξῆς. ἄναχε δίεχε, ἀντὶ τοῦ ὕμνει αὐτόν. χλευάζει δέ, παρὰ τὰ ἐκ τρῳάδων εὐριπίδου. ἄνεχε πάρεχε. φῶς φέρε.

διὸ καὶ ἐποίσει. οὐκοῦν παραδοῦναι ταῖς χελιδόσι λέγει. ἐπειδὴ καὶ αὐτὸς πρὸς αὐτὰς βαδίζει εἰς νεφελοκοκκυγίαν. Καὶ μεγάλα. τὴν καλὴν καὶ μεγάλην βασίλειαν γαμεῖν. οὕτω δίδυμος. Οὑτοιί. οἱ ὄρνιθες. εὐκαίρως φησὶν κατεκόπησαν οἱ ὄρνιθες οὗτοι διὰ τὸ ἄριστον τῶν παρόντων γάμων. Ἔστι δ' ἐν φαναῖσιν. εἶθ' ἑξῆς χοροῦ ἐπῳδικὴ κώλων τροχαϊκῶν ὀκτώ. ἑφθημιμερῶν καὶ ἀκαταλήκτων διμέτρων ἐπὶ τῷ τέλει κορωνίς. ἐν ταῖς ἐκκλησίαις νῦν φησὶν εἰσί. παίζει δὲ, διασύρων τῶν ἀθηναίων τοὺς συκοφάντας. παρὰ τὸ φαίνειν καὶ συκοφαντεῖν αὐτοὺς περὶ τὰ δικαστήρια. καὶ ἄλλως δὲ φαναὶ τῆς χίου χωρίον. καὶ κλεψύδρα κρήνη ἐν ἄστει. παρὰ τοὺς ἐγχειρογάστορας δὲ πεποίηται. Ἄλλως. κρήνη ἐν ἀκροπόλει ἡ κλεψύδρα. ἧς ἴστρος ἐν τῇ ιβ΄. μέμνηται, τὰ παρὰ τοῖς συγγραφεῦσιν αἰεὶ λεγόμενος. οὕτως δὲ ὠνόμασται. ἐπειδὴ ἀρχομένων τῶν ἐτησίων πληροῦται. παυομένων δὲ, λήγει. ὁμοίως τῷ νειλῷ ὥσπερ καὶ τὴν ἐν δήλῳ κρήνην. εἰς ταύτην δέ φησιν ἡμαρτημένην φιάλην πεσοῦσαν, ὀφθῆναι ἐν τῷ φαληρικῷ. ἀπέχοντι σταδίους εἴκοσι. φασὶ δὲ αὐτὴν ἀπέραντον βάθος ἔχειν. τὸ δὲ ὕδωρ ἁλμυρόν. ἔπαιξε δὲ πάλιν διασύρων τοὺς ἀθηναίους ὡς φιλοδίκους. ἐπεὶ καὶ ἐν τῷ δικαστηρίῳ, ἔστι κλεψύδρα κατασκεύασμά τι ὥσπερ ὡρονομικόν.

Ἐγγλωττογαστόρων. παρὰ τοὺς ἐγχειρογάστορας πέπαικται. Συκάζουσί τε. ὡς ἐπὶ γεωργῶν. συκάζειν γὰρ τὸ σῦκα ἐκλέγειν ἀπὸ τῶν συκῶν καὶ τὸ συκοφαντεῖν. ἐγέμιζε δὲ τῇ τροπῇ.

Πε. οὐκοῦν παραδοῦναι ταῖς χελιδόσι λέγει.
Πο. Σφὼ νῦν διαλλάττεσθε. καὶ ξυμβαίνετε.
ἐγὼ δ' ἐπειδὴ σφῷν δοκεῖ, σιγήσομαι.
Ηρ. ἡμῖν ἃ λέγεις σύ, πάντα συγχωρεῖν δοκεῖ.
ἀλλ' ἴθι μεθ' ἡμῶν αὐτὸς ἐς τὸν οὐρανὸν
ἵνα τὴν βασίλειαν καὶ τὰ πάντ' ἐκεῖ λάβῃς.
Πει. ἐς καιρὸν ἄρα κατεκόπησαν οὑτοιί·
ἐς τοὺς γάμους. Ηρ. βούλεσθε δῆτ' ἐγὼ τέως
ὀπτῶ τὰ κρέα ταυτὶ μένων. ὑμεῖς δ' ἴτε.
Πο. ὀπτᾷς σὺ κρέα; πολλήν γε τενθείαν λέγεις
οὐκ εἶ μεθ' ἡμῶν; Ηρ. εὖ γε μέντἂν διετέθην.
Πει. γαμικὴν χλανίδα δότω τις δεῦρό μοι.

ΣΤΡΟΦΗ ΚΩΛΩΝ, Ι.

Χο. ἔστι δ' ἐν φαναῖσι, πρὸς τῇ
κλεψύδρᾳ πανοῦργον ἐγ-
γλωττογαστόρων γένος
οἳ θερίζουσίν τε καὶ σπεί-
ρουσι καὶ τρυγῶσι ταῖς γλώτ-
ταισι. συκάζουσί τε.
βάρβαροι δ' εἰσὶν γένος·
γοργίαι τε καὶ φίλιπποι.
κἀπὸ τῶν ἐγγλωττογαστόρων κείνων τῶν φιλίππων,
πανταχοῦ τῆς ἀττικῆς, ἡ γλῶττα χωρὶς τέ-
μνεται.

ΣΥΣΤΗΜΑ ΚΑΤΑ ΠΕΡΙ ΚΩΠΗΝ,

ὦ πάντ' ἀγαθὰ πράττοντες. ὦ μείζω λόγου.
ὦ τρισμακάριον πτηνὸν ὀρνίθων γένος.
δέχεσθε τὸν τύραννον ὀλβίοις δόμοις.
προσέρχεται γὰρ οἷος οὔτε παμφαὴς
ἀστὴρ ἰδεῖν ἔλαμψε χρυσαυγεῖ δόμῳ.
οὔθ' ἡλίου τηλαυγὲς ἀκτίνων σέλας
τοιοῦτον ἐξέλαμψεν. οἷον δ' ἔρχεται
ἔχων γυναικὸς κάλλος, οὐ φατὸν λέγειν.

νος παρὰ τῶν γνησίων. Νόθῳ ζ' ἀποθνήσκων. γράφεται νοθεῖα ὡς πρεσβεῖα. εἰ τὰ μὲν χρήματα ἐμοί φησιν ὡς νόθῳ καταλείψει. τὴν δὲ ἀρχὴν τοῖς γνησίοις. νόμος δὲ ἦν ἀττικὸς, τοῖς νόθοις μέχρι πέντε μνῶν καταλιμπάνειν. ἢν οὖν ἐμοὶ τὰ χρήματα ἐάσῃ, ἐκείνοις δὲ τὴν ἀρχήν. προπαροξυτόνως δὲ ἀναγνωστέον τὸ νοθεῖα. τὸ ἀργύριον δὲ τοῖς νόθοις διὰ χειρὸς ἐδίδοσαν. ἐπειδὴ οὐκ ἐξῆν αὐτοῖς κληρονομεῖν. Ἀγχιστείαν μετουσίαν τῆς οὐσίας. δοκεῖ δὲ παρατίθεσθαι. Ἐς τοὺς φράτορας. πάλιν ὡς ἐν κωμῳδίᾳ μετήγαγε τὰ ἀθηναίων ἔθη ἐπὶ τοὺς θεούς. διὰ γὰρ τοῦ ἐγγραφῆναι εἰς τοὺς φράτορας, σύμβολον εἶχον τῆς εὐγενείας. Ἄλλως. εἰς τοὺς τῆς ἡλικίας νόμους. ἢ εἰς τοὺς φυλέτας. ἐπειδὴ τὰ ὀνόματα τῶν ξένων, γράφεται εἰς τοὺς πίνακας. Τί δῆτ' ἄνω κέχηνας. ὡς τοῦ ἡρακλέους ἀναβλέψαντος εἰς τὸν οὐρανὸν μετ' ὀργῆς τοῦτό φησι. τί δῆτ' ἄνω βλέπεις. ὡς τυπτήσων τινά. τινὲς δὲ οὕτως. τί δῆτα ἐς τὰ ἄνω πράγματα ἀποβλέπεις αἰκισθησόμενος ἐάν τι πάθῃ ὁ πατὴρ ὑπὸ τῶν γνησίων. Μὰ τὸν δί' οὐχ οὗτός γε. μὰ τὸν δία φησίν, οὐ λέγει παραδοῦναι. ἀλλὰ βαδίζειν καὶ ἀναχωρεῖν. οὕτω δὲ αὐτό φησι βαρβάρως καὶ δυσφράστως, ὥσπερ αἱ χελιδόνες. καὶ αἰσχύλος τὸ βαρβαρίζειν, χελιδονίζειν, φησί. καὶ ἴων ἐν ὀμφάλῃ τοὺς βαρβάρους, χελιδόνας ἀρσενικῶς φησιν ὡς ἡρωδιανὸς ἐν τῷ πρώτῳ τῆς καθόλου φησίν. τὸ δὲ βασιλιναῦν, εἰς τὸ βάσιν μετέβαλεν ὁ ποσειδῶν. παρόσον τὴν δευτέραν ἐξέτεινε. τὸ τελευταῖον κρατήσας ὁ ἡρακλῆς, ἐξ αὐτοῦ κρίνει αὐτὸν, θέλειν παραδοῦναι αὐτὸν τὴν βασιλείαν τοῖς ὄρνισιν. Ὥσπερ αἱ χελιδόνες. σύμμαχος. οὐκ ἔστιν ὁ τύπος τοῦ νοῦ φανερός. οὐδὲν γὰρ δύναται ἴδιον τῶν χελιδόνων ἡ βάδισις. εἴ γε μηδὲ πορεύονται χρῶνται ὡς τὰ ἄλλα τῶν ὀρνέων, καὶ μάλιστα τὰ μὴ πτητικά. ὁ δὲ δίδυμος οὕτω. κατ' ἀλλήλως εἶχεν εἰ ἔλεγεν ὡς τὰς χελιδόνας. θέλει δὲ λέγειν εἰ μὴ βαδίζει πρὸς τὰς χελιδόνας

φάσκων ἀδελφὸς αὐτὸς εἶναι γνήσιος
ἐρῶ δὲ δὴ καὶ τὸν σόλωνός σοι νόμον.
νόθῳ δὲ μὴ εἶναι ἀγχι-
στείαν, παίδων ὄντων γνη-
σίων. ἐὰν δὲ παῖδες
μὴ ὦσι γνήσιοι, τοῖς
ἐγγυτάτω τοῦ γένους,
μετεῖναι τῶν χρημάτων.
Ηρ. ἐμοὶ δ' ἄρ' οὐδὲν τῶν πατρῴων χρημάτων
μέτεστιν; Πει. οὐ μέντοι μὰ δία. λέξον δέ μοι
ἤδη σ' ὁ πατὴρ εἰσήγαγ' ἐς τοὺς φράτερας;
Ηρ. οὐ δῆτ' ἐμέ γε. καὶ δῆτ' ἐθαύμαζον πάλαι.
Πει. τί δῆτ' ἄνω κέχηνας αἰτίαν βλέπων.
ἀλλ' ἢν μεθ' ἡμῶν ᾖς, καταστήσω σ' ἐγὼ
τύραννον. ὀρνίθων παρέξω σοι γάλα
Ηρ. δίκαι' ἔμοιγε καὶ πάλαι δοκεῖς λέγειν.
περὶ τῆς κόρης. κἄγωγε παραδίδωμί σοι.
Πει. τί δαὶ σὺ φῄς. Πο. τἀναντία ψηφίζομαι.
Πει. ἐν τῷ τριβαλλῷ πᾶν τὸ πρᾶγμα. τί σὺ λέγεις.
Τρι. καλαὶ κόραυνα καὶ μεγάλα βασιλιναῦ
ὄρνιθι παραδίδωμι. Ηρ. παραδοῦναι λέγει;
Πο. μὰ τὸν δί' οὐχ οὗτός γε παραδοῦναι λέγει,
εἰ μὴ βαδίζειν ὥσπερ αἱ χελιδόνες

Ο Τριβαλλός. ἀντὶ τοῦ ὦ Τριβαλλέ. κατ᾽ ἐρώτησιν δὲ ὁ λόγος. δέον δὲ εἰπεῖν. δοκεῖ σοι συνθέσθαι; ὁ Τριβαλλὸς δὲ, ἔοικε τοῦ προσδοκωμένου ἔναντι τοῦτο. πιθανῶς δὲ εἰώθασι καὶ τοῖς βαρβάροις διαλεγόμενοι τῷ σχήματι ἐσπουδασμένως λοιδορεῖν ἢ καταρᾶσθαι. τὸ κατάχυσμα χρὴ ποιεῖν γλυκύ. τὸν ζωμὸν διὰ μέλιτος ποίει. πάλιν δὲ ἐρεθίζει τὸν Ἡρακλέα. Ἀνθρώπων Πόσειδον. παίζει δέον εἰπεῖν τῶν θεῶν. περὶ δὲ γυναικὸς μιᾶς. ἤγουν τῆς βασιλείας. Δεῦρ᾽ ὡς ἔμ᾽ ἀποχώρησον. ὅτι ὅμοιον τῷ τότε ἐκείνῳ. δεῦρ᾽ ἐλθὲ σὺν σοὶ τἄλλα βούλομαι φράσαι. Διαβάλλεταί σ᾽ ὁ θεῖος. ὅτι τῷ διαβάλλεται, χρῶνται ἀντὶ τοῦ ἐξαπατᾶν, ὡς καὶ Ἄρχιππος ἐν Πλούτῳ, ἔστι δέ μοι καλῶς πρόφασις εἰρημένη τὸν γὰρ γέροντα διαβαλοῦμαι τήμερον. παρόμοιον δὲ καὶ τὸ Ὁμηρικόν. παραβλήδην ἀγορεύων, καὶ παρ᾽ Ἀλκαίῳ, παραβάλλεταί σε.

Ε πίκληρον εἶναι τὴν Ἀθηναίαν. εἰ μὴ ἦν γνησιωτέρα. ἐπίκληρος δέ ἐστιν, ἡ μὴ ἔχουσα ἀδελφοὺς ἑτέρους συγκληρονόμους. ἀλλὰ μονοκληρονόμος. νόμος δὲ ἦν Ἀθηναίοις γνησίας μὲν οὔσης θυγατρὸς, νόθου δὲ υἱοῦ, μὴ κληρονομεῖν τὸν νόθον τὰ πατρῷα καὶ νῦν οὖν φησὶν εἰ μὴ σὺ νόθος ἧς, οὐκ ἂν ἡ Ἀθηνᾶ ἐπίκληρος. παίζει δέ. τοὐναντίον γάρ. υἱῶν ὄντων γνησίων, οὐκ ἂν εἴη θυγάτηρ ἐπίκληρος. εἰσὶ δὲ καὶ τῷ Διὶ γνήσιοι υἱοί. Ἄρης καὶ Ἥφαιστος. ἀλλὰ ἐπαινῶν τῆς Ἀθηνᾶς καὶ τῆς πόλεως τοῦτο φησὶν οὐ προσποιούμε-

τούτοις ἐγώ. Πο. τὸν Τριβαλλόν γε νῦν ἔρου.
Ηρ. ὁ Τριβαλλὸς οἰμώζειν δοκεῖ σοι. Τρι. σαυνάκα
βακταρικροῦσα. Ηρα. φησὶν εὖ λέγειν πάνυ.
Πο. εἴ τοι δοκεῖ σφῷν, ταῦτα κἀμοὶ συνδοκεῖ.
Ηρ. οὗτος δοκεῖ δρᾶν ταῦτα, τοῦ σκήπτρου πέρι.
Πει. καὶ νὴ Δί᾽ ἕτερόν γ᾽ ἐστὶν, οὗ μνήσθην ἐγώ.
τὴν μὲν γὰρ Ἥραν, παραδίδωμι τῷ Διί,
τὴν δὲ βασίλειαν τὴν κόρην γυναῖκ᾽ ἐμοί,
ἐκδοτέον ἐστίν. Πο. οὐ διαλλαγῶν ἐρᾷς,
ἀπίωμεν οἴκαδ᾽ αὖθις. Πει. ὀλίγον μοι μέλει.
Μάγειρε, τὸ κατάχυσμα χρὴ ποιεῖν γλυκύ.
Ηρ. ὦ δαιμόνι᾽ ἀνθρώπων Πόσειδον. ποῖ φέρει,
ἡμεῖς περὶ γυναικὸς μιᾶς πολεμήσομεν;
Πο. τί δαὶ ποιῶμεν. Ηρ. ὅτι, διαλλαττώμεθα.
Πο. τί ὦ ζυρ᾽ οὐκ οἶσθ᾽ ἐξαπατώμενος πάλαι;
βλάπτεις δέ τοι σὺ σαυτόν. ἢν γὰρ ἀποθάνῃ
ὁ Ζεὺς παραδοὺς τούτοισι τὴν τυραννίδα,
πένης ἔσει σύ. σοῦ γὰρ ἅπαντα γίνεται
τὰ χρήμαθ᾽ ὅσ᾽ ἂν ὁ Ζεὺς ἀποθνήσκων καταλίπῃ.
Πει. οἴμοι τάλας γ᾽ οἷόν σε περισοφίζεται.
δεῦρ᾽ ὡς ἔμ᾽ ἀποχώρησον, ἵνα τί σοι φράσω.
διαβάλλεταί σ᾽ ὁ θεῖος, ὦ πόνηρε σύ
τῶν γὰρ πατρῴων οὐδ᾽ ἀκαρῆ μέτεστί σοι.
κατὰ τοὺς νόμους. νόθος γὰρ εἶ κοὐ γνήσιος.
Ηρ. ἐγὼ νόθος; τί λέγεις. Πει. σὺ μέντοι νὴ Δία.
ὤν γε ξένης γυναικός. ἢ πῶς ἄν ποτε
ἐπίκληρον εἶναι τὴν Ἀθηναίαν δοκεῖς.
οὖσαν θυγατέρ᾽ ὄντων ἀδελφῶν γνησίων.
Ηρ. τί δ᾽ ἢν ὁ πατὴρ ἐμοὶ διδῷ τὰ χρήματα
νόθει᾽ ἀποθνήσκων, Πει. ὁ νόμος αὐτὸν οὐκ ἐᾷ.
οὗτος ὁ Ποσειδῶν πρῶτος ὃς ἐπαίρει σε νῦν
ἀνθέξεταί σου τῶν πατρῴων χρημάτων.

Πο. ἡμεῖς τε γὰρ πολεμοῦντες, οὐ κερδαίνομεν.
ὑμεῖς τ' ἂν, ἡμῖν τοῖς θεοῖς ὄντες φίλοι,
ὄμβριον ὕδωρ ἂν, εἴχετ' ἐν τοῖς τέλμασιν.
ἀλκυονίδας τ' ἂν ἤγεθ' ἡμέρας ἀεί.
τούτων περὶ πάντων αὐτοκράτορες ἥκομεν.
Πε. ἀλλ' οὔτε πρότερον πώποθ' ἡμεῖς ἤρξαμεν.
πολέμου πρὸς ὑμᾶς. νῦν τ' ἐθέλομεν εἰ δοκεῖ
ἐάν τι δίκαιον ἀλλὰ νῦν ἐθέλητε δρᾶν
σπονδὰς ποιεῖσθαι. τὰ δὲ δίκαι' ἐστὶν ταδὶ
τὸ σκῆπτρον ἡμῖν τοῖσιν ὄρνισιν πάλιν.
τὸν δί' ἀποδοῦναι, κἂν διαλλαττώμεθα.
ἐπὶ τοῖσδε, τοὺς πρέσβεις ἐπ' ἄριστον καλῶ.
Ηρ. ἐμοὶ μὲν ἀπόχρη ταῦτα, καὶ ψηφίζομαι.
Πο. τί ὦ κακόδαιμον ἠλίθιος καὶ γάστρις εἶ,
ἀποστερεῖς τὸν πατέρα τῆς τυραννίδος;
Πε. ἀληθες. οὐ γὰρ μεῖζον ὑμεῖς οἱ θεοὶ
ἰσχύσετ' ἢν ὄρνιθες ἄρξωσι κάτω
νῦν μέν γ' ὑπὸ ταῖς νεφέλεσιν ἐγκεκρυμμένοι
κύψαντες, ἐπιορκοῦσιν ὑμᾶς οἱ βροτοί.
ἐὰν δὲ τοὺς ὄρνις ἔχητε συμμάχους
ὅταν ὀμνύῃ τις τὸν κόρακα καὶ τὸν δία,
ὁ κόραξ παρελθὼν τοῦ πιορκοῦντος λάθρα
προσπτάμενος ἐκκόψει τὸν ὀφθαλμὸν θενών.
Πο. νὴ τὸν ποσειδῶ ταῦτά γε καλῶς λέγεις.
καμοὶ δοκεῖ. Πε. τί δαὶ σὺ φῄς. Τρι. ναβαισατρεῦ.
Πε. ὁρᾷς, ἐπαινεῖ χοὗτος. ἕτερον νῦν ἔτι
ἀκούσαθ' ὅσον ὑμᾶς ἀγαθὸν ποιήσομεν.
ἐάν τις ἀνθρώπων ἱερεῖον τῷ θεῷ
εὐξάμενος, εἶτα διασοφίζηται λέγων.
μενετοὶ θεοί, καὶ μὴ 'ποδιδῷ, μισητίαν
ἀναπράξομεν καὶ ταῦτα. Πο. φέρ' ἴδω τῷ τρόπῳ
Πε. ὅταν διαριθμῶν ἀργυρίδιον τύχῃ
ἄνθρωπος οὗτος ἢ κάθηται λούμενος.
καταπτάμενος ἰκτῖνος ἁρπάσας λάθρα.
προβάτοιν δυοῖν τιμὴν αἰρήσει τῷ θεῷ
Ηρ. τὸ σκῆπτρον ἀποδοῦναι πάλιν ψηφίζομαι

σειδῶν, ὡς οὐκ ἀγαθόν ἐστι τὸ πολεμεῖν ἀποφαίνων. Ἐν τοῖς τέλμασιν. ἀντὶ τοῦ ἐν τοῖς φρέασι. κυρίως δὲ τὸ πηλῶδες καὶ μὴ ἔχον ὕδωρ. Ἀλκυονίδες. ἀντὶ τοῦ εὐδίους ὅλον τὸν χειμῶνα. οὐχ ὡς νῦν ἐστὶ τοῦ χειμῶνος ὥς φασί τινες εἶναι ἀλκυονίδες. Αὐτοκράτορες. τούτων τῶν δογμάτων κρατεῖν της. Νῦν τ' ἐθέλομεν εἰ δοκεῖ. μιμεῖται τοὺς ἀθηναίους, οἷα πρὸς τοὺς βασιλεῖς λέγουσι. τὸ δὲ ἑξῆς οὕτω. νῦν ἐθέλομεν εἰ δοκεῖ σπονδὰς ποιεῖσθαι. Ἐάν τι δίκαιον. εἰ ὅλως καὶ νῦν ἐπίστασθε τὸ δίκαιον. Ἐμοὶ μὲν ἀπόχρη. ταῦτα ἐπαρκεῖ καὶ καλῶς ἔχει τὰ σκῆπτρα λαβεῖν ὑμᾶς. τοῦτο ὁ ἡρακλῆς λέγει ὡς ἀδηφάγος διὰ τὸ ἄριστον. Τί ὦ κακόδαιμον. ἐπὶ τῇ ἥττῃ αὐτοῦ ὁ ποσειδῶν ὡς διὰ τὴν γαστριμαργίαν προδιδόντα τὸν δία. Κάτω. κάτω τοῦ ἀέρος οὔσας, καὶ λείπει πῶς. Τὸν κόρακα καὶ τὸν δία. τοὺς ὄρνιθας καὶ τοὺς θεούς. ἀφ' ἑνὸς τοὺς πάντας δηλοῖ. Νὴ τὸν ποσειδῶ. τοῦ ποσειδῶνος λέγει μηδ' ἴσως ἐμφαίνων ἑαυτόν. καὶ γελοίως καθ' ἑαυτοῦ ὀμνύει. Ναβαισατρεῦ. βαρβαρίζων συγκατατίθεται ὁ βάρβαρος θεός. αὐτὸ γὰρ ἄσημοι φωναί, ἀντὶ τοῦ συγκαταθέσεως. Μενετοὶ θεοί. ἀνεξίκακοι καὶ οὐκ εὐθέως τιμωρούμενοι. Ἄλλως. μενετοὶ θεοί, οὐκ ἀπατηλοί. οἷον μόνιμοι καὶ βέβαιοι, οὐκ εὐεξαπάτητοι. Μισητίαν δέ, οἱ μὲν περὶ Ἀριστοφάνην, τὴν ἐς τὰ ἀφροδίσια ἀκρασίαν. καὶ τὰ περὶ σφυρὸν παχεῖα. καὶ μισητὴ γυνή, οὕτως ἐξηγοῦντο. μή ποτε μέντοι γενικώτερόν ἐστιν, ἀπληστία. ὃ καὶ νῦν ἐμφαίνεται.

Β2·α.

τῶν βαρβάρων θεῶν ἦλθον. Οὗτος τί δρᾷς, τοῦτο λέγει τῷ βαρβάρῳ τῷ συμπαρόντι αὐτῷ, εἰς τὴν πρεσβείαν ὁ ποσειδῶν. ὡς οὐκ ἐπιτηδείως στελλομένῳ τὴν ἐσθῆτα. ἀλλ' ἐπ' ἀριστερὰ περιβαλλομένῳ, ὥσπερ οἱ θρᾶκες. Λαισποδίας εἶ τὴν φύσιν. ὅτι τὴν κνήμην εἶχε σαπρὰν ὁ λαισποδίας. καὶ μέχρι τῶν κάτω περιεβάλλετο καὶ οἱ βάρβαροι δὲ τὰ σκέλη περιβέβληνται. λαισποδίας δὲ καὶ δαμασίας, ὡς κακόκνημοι διαβάλλονται μνημονεύει δὲ αὐτῶν καὶ εὔπολις ἐν δήμοις. Ἰασὶ δὲ τὰ δένδρα λαισποδίας καὶ δαμασίας αὐταῖσι ταῖς κνήμαισιν ἀκολουθοῦσί μοι. τοῦτον δὲ τὸν λαισποδίαν καὶ στρατηγῆσαι φησὶ θουκυδίδης ἐν τῇ η. μέμνηται δὲ αὐτοῦ φρύνιχος ἐν κωμασταῖς, ὡς πολεμικοῦ γεγονότος. φιλύριος δὲ ἐν ταῖς τηγυνπηρίαις ὡς φιλοδίκου. ἔχει δὲ καὶ περὶ τὰς κνήμας τινὰς αἰτίας ὥς φησι στράττων ἐν κινησίᾳ. διὸ καὶ κατὰ σκελῶν ἐφόρει τὸ ἱμάτιον. ὡς θεόπομπος ἐν παισὶ. δημήτριος δὲ καὶ παῖτες τὸν ἰξίονα λέγουσιν ἐν ταῖς ἀττικαῖς λέξεσιν, ὡς γλῶσσαν ἐξηγεῖσθαι. ὅτι λαισποδίας ἐστὶν, ὁ ἀκρατὴς περὶ τὰ ἀφροδίσια. ὥστε καὶ κλίνην ποδεῖν. Ω δημοκρατία. ἔμιξεν ὡς ἐπὶ ἀθηναίων. ἐπεὶ ἰσοτιμίας οὔσης, συμβαίνει δημώδεις ἅμα τοῖς ἀξιοπίστοις

οὗτος τί δρᾷς; ἐπ' ἀριστέρ' οὕτως ἀμπέχῃ,
οὐ μεταβαλεῖς θοἰμάτιον, ὡς ἐπὶ δεξιά,
τί ὦ κακόδαιμον λαισποδίας εἶ τὴν φύσιν.
ὦ δημοκρατία. ποῖ προβιβᾷς ἡμᾶς ποτε.
εἰ τουτονί γ' ἐχειροτόνησαν οἱ θεοί

Τρι. ἕξεις. ἀτρέμας. Πο. οἴμωζε πολὺ γὰρ δή σ' ἐγὼ,
ἑώρακα πάντων βαρβαρώτατον θεῶν
ἄγε δὴ τί δρῶμεν ἡράκλεις. Ἡρ. ἀκήκοας
ἐμοῦ γ' ὅτι τὸν ἄνθρωπον ἄγχειν βούλομαι,
ὅστις ποτ' ἔσθ' ὁ τοὺς θεοὺς ἀποτειχίσας.

Πο. ἀλλ' ὦγαθ' ᾑρήμεσθα περὶ διαλλαγῶν
πρέσβεις. Ἡρ. διπλασίως μᾶλλον ἄγχειν μοι (δοκεῖν,

Πει. τὴν τυρόκνηστιν τις δότω. φέρε σίλφιον
τυρὸν φερέτω τις. πυρπόλει τοὺς ἄνθρακας.

Ἡρ. τὸν ἄνδρα χαίρειν οἱ θεοὶ κελεύομεν. (ον.
τρεῖς ὄντες ἡμεῖς. Πει. ἀλλ' ἐπικνῶ τὸ σίλφι

Ἡρ. τὰ κρέα δὲ τοῦ, ταῦτ' ἐστίν. Πει. ὄρνιθές τινες,
ἐπανιστάμενοι τοῖς δημοτικοῖσιν ὀρνέοις,
ἔδοξαν ἀδικεῖν. Ἡρ. εἶτα δῆτα σίλφιον
ἐπικνᾷς πρότερον αὐτοῖσιν. Πει. ὦ χαῖρ' ἡρά
τί ἐστι. Ἡρ. πρεσβεύοντες ἐνθάδ' ἥκομεν (κλεις.
παρὰ τῶν θεῶν, περὶ πολέμου καταλλαγῆς.

Πει. ἔλαιον οὐκ ἔνεστιν ἐν τῇ ληκύθῳ.

Ἡρ. Καὶ μὴν τά γ' ὀρνίθεια λιπαρὰ γ' εἶναι πρέπει.

ἀποστέλλεσθαι. ὥσπερ καὶ νῦν ὁ βάρβαρος εἰς μηδὲν χρήσιμος σὺν ποσειδῶνι καὶ ἡρακλεῖ ἀπεστάλη. φησὶν οὖν προάγεις ἡμᾶς ὦ δημοκρατία. ὅτι τοῦτον ἐχειροτόνησαν οἱ θεοί. Ηρήμεσθα. ἐχειροτονήθημεν. Διπλασίως. διὰ τοῦτον οὐ φροντίζω διαλλαγῶν. Επικνῶ. ἐπίβαλλε. Σίλφιον. εἶδος βοτάνης ἡδυόσμου. καὶ μάλιστα τὸ κυρηναϊκόν. τὸ δὲ ὅλον πρόσκνισμα τοῦ ἡρακλέους ποιῶν ὁ πεισθέταιρος. δοκεῖ πρὸς μάγειρον οἰκεῖον διαλέγεσθαι ἐπὶ τῷ εὐτρεπίσαι δεῖπνον. Επανιστάμενοι. ἐπαναστᾶσιν ποιησάμενοι ὡς ἀγρίων ὀρνίθων ἐπιθεμένων τυραννίδι καὶ εἰς βορὰν παραδεδομένων. αὐτοῖσι δὲ ἤγουν τοῖς κρέασιν. Ελαιον οὐκ ἔνεστιν. ἀντὶ τοῦ οὐκ ἐλεοῦμεν, οὐ πειθόμεθα. Λιπαρὰ γ' εἶναι πρέπει. δοκεῖ ἔοικε. τοῦτο δὲ ὁ ἡρακλῆς λέγει ἔξωθεν τοῦ λόγου οἰκείως τῇ γαστριμαργίᾳ. Ημεῖς τε γὰρ λοιπὸν εἰσήκασι ὁ πε

καὶ κατάδυσιν οὐκ ἐχούσης εἰς ἀποφυγὴν τοῦ καύματος. Ψυχαγωγεῖ σωκράτης. ἐπειδὴ λιτοί εἰσιν οἱ φιλόσοφοι καὶ ἄτροφοι, διὰ τοῦτο τοὺς σκιάποδας παρέλαβεν. μυθολογούμενον δέ τι καὶ τοῦτο τὸ γένος ἐστίν. ἄλουτον δὲ εἶπε τὴν λίμνην, καθὸ ἀλουτοῦντες καὶ ῥυποφοροῦντες, ἐφιλοσόφουν οἱ περὶ τὸν σωκράτη. Ἔνθα καὶ πείσανδρος. οὗτος δειλὸς ἦν. ἦλθεν οὖν ψυχὴν ἰδεῖν θέλων. ἐπεὶ οὐκ εἶχεν. ὡς εὔπολις ἐν ἀστρατεύτοις. πείσανδρος εἰς πακτωλὸν ἐστρατεύετο.

Ψυχαγωγεῖ σωκράτης. Ἔνθα καὶ πείσανδρος ἦλθεν
δεόμενος ψυχὴν ἰδεῖν ἣ
ζῶντ' ἐκεῖνον προὔλιπεν.

ΑΝΤΙΣΤΡΟΦΗ ΚΩΛΩΝ, ς'.

σφάγι' ἔχων κάμηλον.
ἀμνόν τιν'. ἧς λαιμοὺς τεμὼν
ὥσπερ ὀδυσσεὺς ἀπῆλθεν,
κᾆτ' ἀνῆλθεν αὐτῷ κάτωθεν.
πρὸς τὸ λαῖμα τῆς καμήλου,
χαιρεφῶν ἡ νυκτερίς.

Πο. τὸ μὲν πόλισμα τῆς νεφελοκοκκυγίας
ὁρᾷς τοδὶ πάρεστιν, ἣ πρεσβεύομεν.

καὐταῦθα τῆς σῆς στρατείας κάκιστος ἦν ἀνήρ. ἁπανταχοῦ δὲ ἦν δειλός. ἦν δὲ τὸ σῶμα εὐεκτὴς ὡς ἕρμιππος ἐν ἀρτοπώλισιν. ἐγέβαινε σιγῇ πείσανδρος μέγας αἶξ ὥσπερ διονυσίοισιν ὁ ἐπὶ τῶν ξύλων. ἐλαίης ἔρδων οἷον καυθήλιον. καὶ δωροδοκῆσαί φησιν Ἀριστοφάνης βαβυλωνίοις διὰ τούτων ἢ δῶρα αὐτοῦ τις ἀρχὴν πολέμου, πορίσειεν μετὰ πεισάνδρου. δύο δέ εἰσι πείσανδροι, καθάπερ εὔπολις ἐν μαρικᾷ φησιν. ἄκουε νῦν πείσανδρος ὡς ἀπόλλυται, ὁ στρεβλός, οὔ. ἀλλ' ὁ μέγας ὁ ὀνοκίνδιος. καὶ πλάτων ἐν πεισάνδρῳ περὶ ἀμφοτέρων λέγει. Σφάγι' ἔχων. ταῦτά φησιν ὡς ἐπὶ τῶν ἀνακαλουμένων τὰς ψυχὰς ἐξ ᾅδου. Κάμηλον ἀμνόν τιν'. ἔπαιξεν εἰς τὸ ὀνοκίνδιον αὐτοῦ εἰπὼν ἀμνὸν καμήλου. ἔστι γὰρ εὐμεγέθης. δέον εἰπεῖν ἢ ἀρνίου ἢ ἄλλου τινός.

Κ ᾆτ' ἀνῆλθ' αὐτῷ, ἐκ τῶν χθονίων ἀνῆλθεν. ὡς αὐτοκλήτως δὲ παραβάλλοντα αὐτὸν εἰς τὰ δεῖπνα διαβάλλει. Πρὸς τὸ λαῖμα τῆς καμήλου. εὐφρόνιος, τὸν λαιμόν. καὶ γὰρ προείρηκεν εἰς λαιμοὺς τεμών. οἱ δέ, ὅτι δαῖμα. παραπεποίηκε δὲ παρὰ τὸ λαιμόν. ἔστι καὶ παρὰ Μενάνδρῳ ἐν σαρδαίῳ. καὶ λαῖμα βακχεύει λαβὼν τὰ χρήματα. γράφεται καὶ δέρμα. εἴρηται δὲ ἐκείνοις οὐδὲν σαφές, τοῖς γράφουσι τὸ δόρμα. οἱ δὲ ὅρμημα τὸ λαῖμα. ἔτι μέν τοι τῶν περὶ ἀσίαν τινές, ἐπὶ τῶν ἀναιδῶν καὶ εὐτόλμων οὕτω λέγουσιν. ὅπερ συμφωνότερόν ἐστι τῷ παρὰ μενάνδρῳ. Χαιρεφῶν ἡ νυκτερίς. ἐπεὶ οὔτε νυκτερὶς ἡμέρας, οὔτε οἱ φιλόσοφοι φαίνονται. καταδεδυκότες γὰρ φιλοσοφοῦσι. Τὸ μὲν πόλισμα. κορωνὶς εἰσιόντων αὖθις τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρκά. ὧν τελευταῖος ἀλλὰ γαμικὴν χλαμίδα δότω τις δεῦρό μοι. μετὰ δὲ τὸν στδ'. στίχον, κῶλά ἐστιν ἀντισπαστικὰ ς'. ἐπιμεμιγμένα διϊάμβοις διισπονδείοις καὶ ἐπιτρίτοις, ἐφθημιμερῆ. τὸ νῦν τοῦ πρώτου. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει κορωνίς. πρέσβεις δὲ παρὰ τῶν θεῶν ποσειδῶν καὶ ἡρακλῆς καὶ εἷς ἐκ

ἔστι δὲ καὶ παρὰ Κρατίνῳ ἡ βασιλεία. ἔνιοι δὲ τὴν ἀθανασίαν καλοῦσι. Τὴν λοιδορίαν. ὡς καὶ τοῦτο ἓν τῶν πολλῶν εἰς ἄξιον δὲ τῆς κωμῳδίας τοῦτό φησι. Τὸν κωλακρέτην. τὸν ταμίαν τῶν πολιτικῶν χρημάτων. Ἀριστοφάνης ὁ γραμματικὸς, τούτους ταμίας εἶναί φησι τοῦ δικαστικοῦ μισθοῦ. οὐ μόνον δὲ τούτου τὴν ἐπιμέλειαν ἐποιοῦντο ὥς φησιν. ἀλλὰ καὶ τὰ εἰς θεοὺς ἀναλισκόμενα, διὰ τούτων ἀνηλίσκετο. ὡς Ἀνδροτίων γράφει οὕτως. τοῖς δὲ ἰοῦσι Πυθῶδε θεωροῖς, τοὺς κωλακρέτας διδόναι ἐκ τῶν ναυκληρικῶν ἐφόδιον ἀργύρια. καὶ εἰς ἄλλο, ὅτι ἂν δέῃ ἀναλῶσαι. ταμίαι δὲ ἦσαν. καὶ προεστῶτες τῆς δημοσίας κτήσεως. Τὰ τριώβολα. μίγνυσι καὶ ἐκ τῶν ὄντων παρὰ τοῖς Ἀττικοῖς. οὐχ ἑστήκει δὲ αὐτοῖς τὸ τριώβολον. πολλαχοῦ γὰρ καὶ δύο ὀβολοὺς εἰλήφασιν. Ἀπανθρακίζομεν. ἀντὶ τοῦ ἄνθρακας ἐσθίομεν. ἔστι δὲ εἶδος ἰχθύος λεπτόν. ᾧ παροψῶντες ἐσθίουσιν. Ἄλλως. ὀπτὰς ἐσθίομεν. ἢ ἄνθρακας ζωπυροῦμεν. ὡς ἐν κωμῳδίᾳ δὲ τοῦ εὐτελεστέρου ἐμνήσθη. ἐπὶ ἄλλων μέγιστα ἰσχύοντος τοῦ πυρός.

ἥπερ κεραυνοῖ τὸν κεραυνὸν τοῦ Διός.
καὶ τἄλλ᾽ ἁπαξάπαντα, τὴν εὐβουλίαν.
τὴν εὐνομίαν, τὴν σωφροσύνην. τὰ νεώρια.
τὴν λοιδορίαν, τὸν κωλακρέτην. τὰ τριώβολα.
Πει. ἅπαντ᾽ ἄρ᾽ αὐτῷ ταμιεύει; Προ. φήμ᾽ ἐγώ.
ἣν γ᾽ ἢν σὺ παρ᾽ ἐκείνου λάβῃς, ἅπαντ᾽ ἔχεις.
τούτων ἕνεκα δεῦρ᾽ ἦλθον, ἵνα φράσαιμί σοι.
ἀεί ποτ᾽ ἀνθρώποις γὰρ εὔνους εἴμ᾽ ἐγώ.
Πει. μόνον θεῶν γὰρ διά σ᾽ ἀπανθρακίζομεν.
Προ. μισῶ δ᾽ ἅπαντας τοὺς θεοὺς, ὡς οἶσθα σύ.
Πει. νὴ τὸν Δί᾽ ἀεὶ δῆτα θεομισὴς ἔφυς,
Προ. τί μήν; καθαρός. ἀλλ᾽ ὡς ἂν ἀποτρέχω πάλιν.
φέρε μοι σκιάδειον ἵνα με κἂν ὁ Ζεὺς ἴδῃ
ἄνωθεν. ἀκολουθεῖν δοκῶ κανηφόρῳ.
Πει. καὶ τὸν δίφρον φόρει τονδὶ λαβών.
Χο. πρὸς δὲ τοῖσι, σκιάποσι λί-
μνη τίς ἐστ᾽ ἄλουτος οὗ

Θεομισὴς ἔφυς. ὁ μέν φησι τῷ Προμηθεῖ ἴσον τι τῷ ὑπὸ θεῶν μισούμενος διὸ καὶ ὀξυτόνως ἀναγνωστέον. ὁ δὲ τὸ ἕτερον δέχεται μισῶν θεοὺς ὡς ὁ Τίμων ἀνθρώπους. Δοκῶ κανηφόρῳ. ταῖς γὰρ κανηφόροις σκιάδειον καὶ δίφρον ἀκολουθεῖ τις ἔχουσα. Ἑρμίππου θεῶν. ὥσπερ αἱ κανηφόροι λευκοῖσιν ἀλφίτοισιν ἐντετριμμένοις. ἐγὼ δ᾽ ἕνεκα ταλάθων τὴν διφροφόρον. Νικοφῶντος ἐν Χειρογαστόρων γέννα. αὐτὸς ὀλίγον ἄναγε ἀπὸ τῆς διφροφόρου. χρηστὸς εἶ καὶ κόσμιος.

Καὶ τὸν δίφρον γε διφροφόρει. ἐπειδὴ εἶπεν, ἵνα δοκῶ ἀκολουθεῖν κανηφόρῳ, λέγει παίζων καὶ δίφρον βάσταζε. Πρὸς δὲ τοῖσι σκιάποσιν. ἡ παροῦσα στροφὴ κώλων ἐστὶ τροχαϊκῶν ἐπιμεμιγμένων χορείοις καὶ σπονδείοις ϛ. καὶ ἡ ἀντιστροφὴ τῶν ἴσων. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος. τῆς δ᾽ ἀντιστροφῆς κορωνίς. ταῦτα δὲ ἐξήγησίς ἐστι τῶν ἀντιπέρων. γένος δέ ἐστι περὶ τὸν δυτικὸν ὠκεανὸν πρὸς τῇ κεκαυμένῃ ζώνῃ. ὡς ἀψύχους δὲ διασύρει τοὺς φιλοσόφους. καὶ ὡς ἐπὶ σκιᾶς βαδίζοντας. τούτους δὲ ἔχειν βήματα φασὶ τοῦ παντὸς μείζονα. διὰ δὲ τὸ μὴ ἔχειν οἶμαι ἀνὴ ὑπὸ τοῦ καύματος ἀναλίσκεσθαι. οὔσης τῆς γῆς αὐτῶν καὶ τραχείας

καὶ κατάδυσιν

Πηνίκ᾽ ἄττ᾽ ἀπώλετο. ὅτι οὐκ ἀττικὸν τὸ πηνίκ᾽ ἄττ᾽ ἀπώλετο. οὐδὲ ἀρχαϊκόν. οὐδὲ ἀκριβοῦν. ἔστι δὲ ἀντὶ τοῦ πότε δῆτα. παρέλκει γὰρ τὸ ἄττα νῦν. ἀλόγως γὰρ κεῖται. οὔτε γὰρ τὸ, τινὰ σημαίνει. οὔτε τὸ, ἅτινα. οὐδὲν γὰρ τούτων ἁρμόζει τῷ πηνίκα. Πεινῶντες ὥσπερ ἰλλυριοί. δίδυμος ὥσπερ βάρβαροι, ἀλλ᾽ ἔπλασε δέ τι γένος θεῶν βαρβάρων τριβαλλῶν ἀνώτατον. οἷον ὥσπερ ἐπὶ τῶν ἀνθρώπων βάρβαρα ἔθνη πορρωτάτω καθεστήκασι. περὶ δὲ θράκην εἰσὶν οἱ ἰλλυριοί. τινὲς δὲ περισσοὺς φασὶν αὐτούς. οἱ γὰρ ἐργάζεσθαι μὲν οὐκ ἔχουσι γῆν. λῃστεύοντες δὲ τρέφονται. τὸ δὲ κεκριγότες, μιμητικόν ἐστιν οὐκ εἰς τὸν ἦχον. ἀλλ᾽ εἰς τὴν ἀσάφειαν τῶν βαρβαρικῶν διαλέκτων. Κεκριγότες. οἷον τριζὴν φωνὴν ἀποτελοῦντες ἀπὸ λιμοῦ, οἱ τριβαλλοὶ θεοί. ἢ τὸ κεκριγότες, εἰς τὴν ἀσάφειαν τῆς φωνῆς αὐτῶν. κρίγη γὰρ ὁ τῶν ἀποθνῃσκόντων τρισμὸς τοῖς ὀδοῦσι γινόμενος. ἀνωτέρω δέ φησιν αὐτοὺς οἰκεῖν, ὡς τῶν ἑλλήνων ἀνωτέρω οἰκοῦσι καὶ πορρωτέρω οἱ βάρβαροι. Ἐπιστρατεύσειν φασίν. ἔφασαν φησὶν οἱ τριβαλλοί, πολεμεῖν πρὸς τὸν δία, ἵνα παρέξῃ αὐτοῖς, τὴν δίοδον τῶν ἐμπορίων. παίζει δὲ εἰς τὸν νομιζόμενον τετειχίσθαι ἀέρα μεταξύ. ὡς ἐκείνων ἀποκεκλεισμένων. Ὅθεν ὁ πατρῷος. ὅτι κατ᾽ ἔλλειψίν ἐστι τοῦ ἀπόλλωνος. δέον γὰρ εἰπεῖν ὁ πατρῷος ἀπόλλων ἢ ἄλλως τις τῶν θεῶν. πατρῷον δὲ τιμῶσιν ἀπόλλωνα ἀθηναῖοι. ἐπεὶ ἴων ὁ πολέμαρχος ἀθηναίων, ἐξ ἀπόλλωνος καὶ κρεούσης τῆς ξούθου ἐγένετο. Τοὐπιτριβείης. παρὰ τὸ τριβαλλός φησι παίζων γεγενῆσθαι τὸ ἐπὶ τῇ ὕβρει ἐπιτριβείης. Καὶ τὴν βασιλείαν σοι γυναῖκ᾽ ἔχειν. σωματοποιεῖ τὴν βασιλείαν αὐτὸ τὸ πρᾶγμα ὡς γυναῖκα. εὐφρόνιος ὅτι διὸς θυγάτηρ ἡ βασιλεία. καὶ δοκεῖ τὸ κατὰ τὴν ἀθανασίαν αὐτῇ οἰκονομεῖν. ἣν ἔχει καὶ παρὰ βακχυλίδῃ ἡ ἀθηνᾶ τῷ τυδεῖ δώσουσα τὴν ἀθανασίαν.

Προ. ἀπόλωλεν ὁ ζεύς. Πει. πηνίκ᾽ ἄττ᾽ ἀπώλετο.
Προ. ἐξ οὗπερ ὑμεῖς ᾠκίσατε τὸν ἀέρα.
θύει γὰρ οὐδεὶς οὐδὲν ἀνθρώπων ἔτι
θεοῖσιν. οὐδὲ κνίσσα μηρίων ἄπο,
ἀνῆλθεν ὡς ἡμᾶς ἀπ᾽ ἐκείνου τοῦ χρόνου.
ἀλλ᾽ ὡσπερεὶ θεσμοφορίοις, νηστεύομεν.
ἄνευ θυηλῶν. οἱ δὲ βάρβαροι θεοί,
πεινῶντες ὥσπερ ἰλλυριοί, κεκριγότες
ἐπιστρατεύσειν φάσ᾽ ἄνωθεν τῷ διί,
εἰ μὴ παρέξει τἀμπόρι᾽ ἀνεῳγμένα.
ἵν᾽ εἰσάγοιτο σπλάγχνα κατατετμημένα.
Πει. εἰσὶν γὰρ ἕτεροι βάρβαροι θεοί τινες,
ἄνωθεν ὑμῶν; Προ. οὐ γάρ εἰσι βάρβαροι,
ὅθεν ὁ πατρῷός ἐστιν ἐξηκεστίδῃ;
Πει. ὄνομα δὲ τούτοις τοῖς θεοῖς τοῖς βαρβάροις
τί ἐστιν. Προ. ὅ, τι ἐστί; τριβαλλοί. Πει. μανθάνω.
ἐντεῦθεν ἄρα τοὐπιτριβείης ἐγένετο.
Προ. μάλιστα πάντων. ἓν δέ σοι λέγω σαφές.
ἥξουσι πρέσβεις δεῦρο περὶ διαλλαγῶν
παρὰ τοῦ διὸς, καὶ τῶν τριβαλλῶν τῶν ἄνω.
ὑμεῖς δὲ μὴ σπένδεσθ᾽, ἐὰν μὴ παραδιδῷ,
τὸ σκῆπτρον ὁ ζεὺς τοῖσιν ὄρνισιν πάλιν
καὶ τὴν βασιλείαν σοι γυναῖκ᾽ ἔχειν διδῷ.
Πει. τίς ἐστιν ἡ βασιλεία. Προ. καλλίστη κόρη.

Εἰ γὰρ ἐντύχοι τις ἥρωι. ἥρωα αὐτὸν φησὶ διὰ τὴν ὁμωνυμίαν τὴν πρὸς τὸν Ἀγαμέμνονος υἱὸν Ὀρέστην. ἥρωες δὲ δύσοργοι καὶ χαλεποὶ τοῖς ἐμπελάζουσι γίνονται, καθάπερ Μένανδρος ἐν Συνερίθοις. ὅτι ἀγαθὸν γάμον χειμῶνος ὁ θεὸς δίδωσιν. οὐδ' ἥρωες κεἰς τοῦτο δύνανται, ἀλλ' ἀποπλήκτους μὲν ποιεῖν δύνανται. τὸ δὲ ὠφελεῖς οὐ κέκτηνται, διό μοι δοκοῦσι καὶ οἱ τὰ ἡρῷα παριόντες σιγὴν ἔχειν. ὡς Μυρτίλος ἐν τῇ Παγοπάσῃ φησίν. ὁ δὲ Ὀρέστης λωποδύτης. Πάντα τἀπιδέξια. ὀφθαλμοὺς. κεφαλὴν. οἷον τὰ δεξιὰ τῆς φύσεως. ἐναντίον τὸ γὰρ οἱ συντυγχάνοντες αὐτῷ. ἅμα δὲ, ἐπεὶ οἱ ἐντυγχάνοντες νυκτὸς ἥρωσι διεστρέφοντο τὰς ὄψεις.

εἰ γὰρ ἐντύχῃ τις ἥρωι
τῶν βροτῶν νύκτωρ Ὀρέστῃ,
γυμνὸς ἦν πληγεὶς ὑπ' αὐ-
τοῦ πάντα τἀπιδέξια.

Προ. οἴμοι τάλας, ὁ Ζεὺς ὅπως μή μ' ὄψεται.
ποῦ Πεισθέταιρός ἐστιν; Πει. ἔα, τουτὶ τί ἦν;
τίς ὁ συγκαλυμμός; Προ. τῶν θεῶν ὁρᾷς τινα
ἐμοῦ κατόπιν ἐνταῦθα; Πει. μὰ τὸν Δί' ἔγωγε μὲν οὔ.
τίς δ' εἶ σύ; Προ. πηνίκ' ἐστὶν ἄρα τῆς ἡμέρας;
Πει. ὁπηνίκα; σμικρόν τι μετὰ μεσημβρίαν.
ἀλλὰ σὺ τίς εἶ; Προ. βουλυτὸς ἢ περαιτέρω;
Πει. οἴμ' ὡς βδελύττομαί σε. Προ. τί γὰρ ὁ Ζεὺς ποιεῖ;
ἀπαιθριάζει τὰς νεφέλας, ἢ ξυννεφεῖ;
Πει. οἴμωζε μεγάλ'. Προ. οὕτω μὲν ἐκκαλύψομαι.
Πει. φίλε Προμηθεῦ. Προ. παῦε παῦε, μὴ βόα.
Πει. τί γὰρ ἔστι; Προ. σίγα, μὴ κάλει μου τοὔνομα.
ἀπὸ γὰρ ὀλέσεις, εἴ μ' ἐνθάδ' ὁ Ζεὺς ὄψεται.
ἀλλ' ἵνα φράσω σοι πάντα τἄνω πράγματα,
τουτὶ λαβών μου τὸ σκιάδειον ὑπέρεχε
ἄνωθεν, ὡς ἂν μή μ' ὁρῶσιν οἱ θεοί.
Πει. ἰοὺ ἰού. εὖγ' ἐπενόησας αὐτὸ καὶ προμηθικῶς.
ὑπόδυθι ταχὺ δή, κᾆτα θαρρήσας λέγε.
Προ. ἄκουε δὴ νῦν. Πει. ὡς ἀκούοντος λέγε.

Οἴμοι τάλας. κορωνὶς εἰσιόντων αὖθις τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι νη΄, τὸ μέντοι ις΄ κῶλον ἐστὶν ἰαμβικὸν μονόμετρον ἀκατάληκτον. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς. Ὁ Προμηθεὺς δὲ ἀπαγγέλλει αὐτῷ τινά, συγκεκαλυμμένος. Πηνίκ' ἐστὶν ἄρα. ἀντὶ τοῦ ποία ἐστὶν ὥρα τῆς ἡμέρας. τοῦτο δὲ, ἐπὶ ὥρας ἐξήταζον δυσκόλως. Ἀπαιθριάζει. σκορπίζει. διαλύει αἰθρίαν ἄγει. ξυννεφεῖ δὲ, συνάγει τὰ νέφη. οὐχ ὁρᾷ γὰρ αὐτὸν ὁ Ζεὺς νεφῶν ὄντων. Οὕτω μὲν ἐκκαλύψομαι. κεκαλυμμένος ὤν, ἐκκεκάλυπται. καὶ ὁρᾷ αὐτὸν ὁ πρεσβύτερος. ἔπαιξε δὲ, ὡς γὰρ ἐκείνου εἰρηκότος ὅτι ξυννεφεῖ τὰς νεφέλας, καὶ οὐκ ὄψεταί σε, φησὶν ἐκκεκαλύψομαι. ἢ ὡς ἐν κωμῳδίᾳ· ὡς καλόν τι ἀκούσας τὸ οἴμωζε, ἀποκαλύπτεται φανερὸν αὐτὸν ποιῶν.

Ὦ φίλε Προμηθεῦ. γνωρίζει αὐτὸν ἀποκαλυφθέντα. Τουτὶ λαβών μου τὸ σκιάδειον. κατασκεύασμά τι ὅπερ ἔχουσιν αἱ κανηφόροι ἀπιοῦσαι εἰς τὰ Ἐλευσίνια ὑπὲρ τοῦ μὴ καίεσθαι ὑπὸ τοῦ ἡλίου. δίδωσι δὲ αὐτῷ τοῦτο, ἵνα καλύψῃ αὐτὸν καὶ μὴ ὁραθῇ ὑπὸ τοῦ Διός.

ολλὰ δὴ καὶ καινά. ἡ στροφὴ αὕτη κώλων ἐστὶ τροχαϊκῶν καὶ ἰαμβικῶν ιγ΄ καὶ ἡ ἀντιστροφὴ τοσούτων. καὶ ἰαμβικὰ μὲν δίμετρα τὰ ς΄. ιβ΄. τὰ δ᾽ ἄλλα τροχαϊκὰ τὰ μὲν δίμετρα. τὰ δ᾽ εὐριπίδεια ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος τῆς δὲ ἀντιστροφῆς κορωνίς. τὸ δὲ ἑξῆς ἐπιπτάμεθα εἰς πολλά. καὶ παράδοξα εἴδομεν καὶ θαυμάσια. βούλεται δὲ κωμῳδῆσαί τινας. Ἔστι γὰρ δένδρον πεφυκός. δένδρῳ αὐτὸν ἀπεικάζει. ἢ ὡς μέγαν. ἢ ὡς ἀναίσθητον καὶ ξύλινον. ὡς ὁ ποιητής. ἀλλ᾽ ὥς τις στήλη καὶ δένδρεον ὑψιπέτηλον. ἔπαιξε δὲ ὡς ἐπὶ ὀρνίθων πετομένων τὰ δένδρα. εἶτα διηγούμενος ποῖον ἐκ τόπου εἶδεν ὄρνιν, ἐπαίζει τὸν κλεώνυμον. καρδίας δὲ ἀπωτέρω, ὡς ἄν τις εἴποι μακρὸν ἀπωτέρω πόλεως. ἅμα δὲ εἰς τὸ ἀκάρδιον καὶ ἀνόητον αὐτοῦ.

ΣΤΡΟΦΗ ΚΩΛΩΝ, ΙΓ΄.

ΧΟ. Πολλὰ δὴ καὶ καινὰ καὶ θαυ-
μάστ᾽ ἐπεπτόμεσθα.
καὶ δεινὰ πράγματ᾽ εἴδομεν
ἔστι γὰρ δένδρον πεφυκὸς
ἔκτοπόν τι καρδίας
ἀπωτέρω κλεώνυμος.
χρήσιμον μὲν οὐδὲν, ἄλ-
λως δὲ δειλὸν, καὶ μέγα.
τοῦτο μὲν ἦρος ἀεὶ
βλαστάνει καὶ συκοφαντεῖ.
τοῦ δὲ χειμῶνος πάλιν
τὰς ἀσπίδας φυλλορροεῖ.

ἈΝΤΙΣΤΡΟΦΗ ΚΩΛΩΝ, ΙΒ΄.

ἔστι δ᾽ αὖ χώρα πρὸς αὐτῷ
τῷ σκότῳ πόῤῥω τις ἐν
τῇ λύχνων ἐρημίᾳ.
ἔνθα τοῖς ἥρωσιν ἄνθρω-
ποι συναριστῶσι. καὶ
ξύνεισι, πλὴν τῆς ἑσπέρας
τηνικαῦτα δ᾽ οὐκέτ᾽ ἦν
ἀσφαλὲς ξυντυγχάνειν.

Καρδίας ἀπωτέρω. διὰ τὸ μακρὸν εἶναι καὶ δειλόν. ἅμα γὰρ καρδία ἐστὶν ὄνομα πόλεως. μιμεῖται οὖν τοποθεσίαν. ἢ καὶ ὡς ξένον αὐτὸν κωμῳδεῖ. καρδία γὰρ πόλις θρᾴκης. ἧς οἱ πολῖται καρδιανοί. Εἰς τὸ αὐτό. καρδίας ἀπωτέρω. διὰ τὸ μακρὸν εἶναι καὶ δειλόν. ὅτι ἐν μὲν τῇ εἰρήνῃ μέγας καὶ λαμπρός. ἐν δὲ τῷ πολέμῳ ῥίψασπις. διὸ καὶ καρδίας αὐτὸν εἶπεν ἀπωτέρω. τουτέστιν οὐκ ἔχει καρδίαν.

Τοῦτο μὲν ἦρος. τῷ γὰρ μουνυχιῶνι μηνὶ τοῦ ἔαρος δικάζονται αἱ πρὸς τοὺς ξένους δίκαι. Τοῦτο δὲ χειμῶνος. ὅτι ἐν τούτοις τὰ δύο κῶλα ἕν ἐστι. λέγω ἀπὸ τοῦ τοῦτο δὲ χειμῶνος, ἕως τοῦ φυλλορροεῖ. ἐπεὶ δὲ ῥίψασπις ἦν ὁ κλεώνυμος, ἔπαιξε πάλιν. ἐπεὶ τὰ δένδρα φυλλορροοῦσιν. Ἔνθα τοῖς ἥρωσι. διὰ τὸ ὄνομα αὐτοῦ φησὶ τοῖς ἥρωσι συνδιάγειν. Ξύνεισι πλὴν τῆς ἑσπέρας. ἀντὶ τοῦ τῆς σκοτίας, πέπαικται ἀπὸ τοῦ σκυθῶν ἐρημία. χαριέντως δὲ τοῦτο ὅτι σκότους, ὀρέστης ὁ τιμοκράτους λωποδυτεῖ τοὺς προστυγχάνοντας. τὰς νύκτας γὰρ μόνας ἐλήστευεν ὀρέστης.

συνεχῶς οἱ νέοι συγγραφεῖς. Τίς ὁ πτερῶν, ἀντὶ τοῦ τίς πτεροῖ. Πτερῶν πτερῶν δεῖ. παρὰ τὸ αἰσχύλου ἐκ μυρμιδόνων. ὅπλων ὅπλων δεῖ. Τῶν εὐθὺ πελλήνης. ἐπεὶ ἐν πελλήνῃ ἐν τοῖς ἡραίοις, ἆθλον χλαῖνα. χλαῖναι δὲ διαφέρουσαι ἐν πελλήνῃ γίνονται. οἱ δὲ, ὅτι ἑρμαῖα ἄγεται ἐν πελλήνῃ τῆς ἀχαΐας. καὶ τοῦτο ἔπαθλον τίθεται. Κλητήρ εἰμι. κλητὴρ λέγεται, ὁ καλῶν εἰς τὸ δικαστήριον πάντας. σημαίνει δὲ ἡ λέξις καὶ τὸν μάρτυρα. νησιωτικῶς δὲ ὁ τοὺς τὰς νήσους οἰκοῦντας συκοφαντῶν καὶ εἰς δικαστήριον ἄγων. Περισοβεῖν. περιΐπτασθαι καὶ εἰς δικαστήριον καλεῖν. Ὑπαὶ πτερύγων τι. ἀντὶ τοῦ μετὰ πτερύγων. ἡσίοδος. τοίγε μὲν γελόωντες ὑπ' αὐλητῆρος ἕκαστος. ἀρχίλοχος ᾄδων ὑπ' αὐλητῆρος. Ἄλλως. ἀντὶ τοῦ σοφώτερόν φησι τὸ μετὰ πτερύγων καλεῖν. Λῃσταί. οἱ πειραταί, καὶ ὅμηρος. οἷά τε ληϊστῆρες. Ἀνθ' ἕρματος. ἀντὶ τοῦ λίθου. ἐπεὶ αἱ γέρανοι ἐν τοῖς στόμασι, ψήφους ἐν τῷ πέτεσθαι ἔχουσιν. Ἄλλως. πολλάκις καὶ στηρίγματος ἕνεκα περιφέρουσι τοὺς λίθους αἱ γέρανοι πρὸς τὸ μὴ παραφέρεσθαι ἀνέμοις. Οὐκ ἐπίσταμαι. ἀντὶ τοῦ οὐ δύναμαι. εἴρηται δὲ παρὰ τὴν παροιμίαν. πεζῆ βαδίζων σκάπτειν οὐκ ἐπίσταμαι. Ὁ Διιτρέφης. ἐπεὶ πλούσιος καὶ δυνάμενος ἱπποτροφεῖν οὗτος, εἴρηται δὲ περὶ αὐτοῦ ἀνωτέρω, ὅτι ὁ διιτρέφης πιτυοπώλης ὤν, γέγονε φύλαρχος καὶ ὕππαρχον. Εἰς τὸ αὐτό. ἵππαρχος γὰρ γενόμενος καὶ εὐτυχήσας συνεβούλευσε καὶ ἄλλους ἱππαρχεῖν.

νέω. Σουιδ. Πεζῆ.

Συ. τίς ὁ πτερῶν δεῦρ' ἐστὶ τοὺς ἀφικνουμένους.
Πει. ὁδὶ πάρεστιν. ἀλλ' ὅτου χρὴ, δεῖ λέγειν.
Συ. πτερῶν. πτερῶν δεῖ. μὴ πύθῃ τὸ δεύτερον.
Πει. Μῶν εὐθὺ πελλήνης πέτεσθαι διανοεῖ;
Συ. μὰ δί' ἀλλὰ κλητήρ εἰμι, νησιωτικός.
καὶ συκοφάντης. Πει. ὦ μακάριε τῆς τέχνης.
Συ. καὶ πραγματοδίφης. εἶτα δέομαι πτερὰ λαβὼν
κύκλῳ περισοβεῖν τὰς πόλεις καλούμενος.
Πει. ὑπαὶ πτερύγων τι προσκαλεῖν σοφώτερον;
Συ. μὰ δί' ἀλλ' ἵν' οἱ λῃσταί γε μὴ λυπῶσί με.
μετὰ τῶν γεράνων τ' ἐκεῖθεν ἀναχωρῶ πάλιν.
ἀνθ' ἕρματος, πολλὰς καταπεπωκὼς δίκας.
Πει. τουτὶ γὰρ ἐργάζει σὺ τοὔργον εἰπέ μοι.
νεανίας ὢν, συκοφαντεῖς τοὺς ξένους;
Συ. τί γὰρ πάθω. σκάπτειν γὰρ οὐκ ἐπίσταμαι.
Πει. ἀλλ' ἔστιν ἕτερα νὴ δί' ἔργα σώφρονα.
ἀφ' ὧν διαζῆν ἄνδρα χρῆν τοσουτονί.
ἐκ τοῦ δικαίου μᾶλλον, ἢ δικορραφεῖν.
Συ. ὦ δαιμόνιε. μὴ νουθέτει μ' ἀλλὰ πτέρου.
Πει. νῦν ταῦτα λέγων πτερῶ σε. Συ. καὶ πῶς ἂν λόγοις.
ἄνδρα πτερώσειας σύ. Πει. Πάντες τοῖς λόγοις.
ἀναπτεροῦνται. Συ. Πάντες. Πει. οὐκ ἀκήκοας.
Ὅταν λέγωσιν οἱ πατέρες ἑκάστοτε.
τοῖς μειρακίοις ἐν τοῖσι κουρείοις ταδί.
δεινῶς γέ μου τὸ μειράκιον ὁ διιτρέφης.
λέγων ἀνεπτέρωκεν ὥσθ' ἱππηλατεῖν;
ὁ δέ τις τὸν αὐτοῦ φησιν ἐπὶ τραγῳδίᾳ.
ἀνεπτερῶσθαι. καὶ πεποτῆσθαι τὰς φρένας;
Συ. λόγοισι τἄρα καὶ πτεροῦνται. Πει. φήμ' ἐγώ.
ὑπὸ γὰρ λόγων ὁ νοῦς τε μετεωρίζεται.
ἐπαίρεταί τ' ἄνθρωπος. οὕτω καί σ' ἐγώ.

ταῦρος παίει αὐτόν. Χαρίεντά γ' ὦ πρεσβῦτα. ἐπὶ Κινησίας φησὶ τοῦτο πρὸς τὸν γέροντα, τὸν πεισθέταιρον τὸν τύψαντα αὐτόν. ἐπειδὴ κινεῖ αὐτὸν ὡς ἰσχνὸν τῷ σώματι, λέγει δὲ ὅτι χαριέντως ἐσόφισω. ἵνα τῷ κινεῖσθαι δοκῇς ἔχειν πτερά. Πτεροδόνητος γενόμενος. πτεροῖς τιναχθείς. παίζει δὲ πρὸς τὰ εἰρημένα.

Τὸν κυκλιοδιδάσκαλον. ἀντὶ τοῦ διθυραμβοποιόν. εἴρηται δὲ ὅτι ἐγκύκλια διδάσκουσιν. ἀντίπατρος δὲ καὶ εὐφρόνιος ἐν τοῖς ὑπομνήμασί φασι τοὺς κυκλίους χοροὺς στῆσαι πρῶτον, λαγὸν τὸν ἑρμιονέα, οἱ δὲ ἀρχαιότεροι ἑλλάνικος καὶ δικαίαρχος, ἀρίονα τὸν μηθυμναῖον. δικαίαρχος μὲν ἐν τῷ περὶ διονυσιακῶν ἀγώνων. ἑλλάνικος δέ, ἐν τοῖς κραναϊκοῖς.

Πει. οὐ γὰρ σὺ χαίρεις πτεροδόνητος γενόμενος;
Κι. ταυτὶ πεποίηκας τὸν κυκλιοδιδάσκαλον.
ὃς ταῖσι φυλαῖς περιμάχητος εἰμ' ἀεί;
Πει. βούλει διδάσκειν καὶ παρ' ἡμῖν οὖν μένων.
λεωτροφίδῃ χορὸν πετομένων ὀρνέων;
κεκροπίδα φυλήν. Κι. καταγελᾷς μου δῆλος εἶ.
ἀλλ' οὖν ἔγωγ' οὐ παύσομαι τοῦτ' ἴσθ' ὅτι.
πρὶν ἂν πτερωθεὶς διαδράμω τὸν ἀέρα.
Συ. ὄρνιθες τίνες οἵδε.
οὐδὲν ἔχοντες πτεροποίκιλοι.
τανυσίπτεροι ποικίλα χελιδοῖ.
Πει. τουτὶ τὸ κακὸν οὐ φαῦλον ἐξεγρήγορεν.
ὅδ' αὖ μινυρίζων δεῦρό τις προσέρχεται.
Συ. τανυσίπτερε ποικίλα μάλ' αὖθις.
Πει. ἐς θοιμάτιον τὸ σκόλιον ᾄδειν μοι δοκεῖ.
δεῖσθαι δ' ἔοικεν οὐκ ὀλίγων χελιδόνων.

Ὡς ταῖσι φυλαῖς. ἑκάστη γὰρ φυλὴ Διονύσου, τρέφει διθυραμβοποιόν. Λεωτροφίδῃ. ἐπειδὴ καὶ οὗτος τῶν σφόδρα λεπτῶν. ἢ καὶ οὗτος διθυραμβοποιὸς κοῦφος. φησὶν οὖν. βούλει τῷ λεωτροφίδῃ τὴν κεκροπίδα φυλὴν διδάσκειν, ἀπὸ γὰρ ταύτης ἦν λεωτροφίδης. τινὲς δὲ ὅτι κοῦφος καὶ χλωρὸς ἦν, ὡς ἐοικέναι ὄρνιθι. Θεόπομπος δὲ ἐν ταῖς καπηλίσι. Λεωτροφίδης ὁ τρίμετρος ὡς λεοντῖνος. εὔχρως τε φαίνεται καὶ χαρίεις ὥσπερ νεκρός. Ἄλλως ἐπειδὴ καὶ οὗτος τῶν σφόδρα λεπτῶν. καὶ ὁ κινησίας δέ, ἕρμιππος κέκροψιν. ἀνάπηρα σοι θύουσιν ἤδη βοΐδια, λεωτροφίδου λεπτότερα. καὶ θουμαντίδος. θέλεις οὖν καὶ τῷ λεωτροφίδῃ χορὸν ὀρνέων διδάξαι. Ὄρνιθες τίνες οἵδε. συκοφάντης τὶς πενόμενος καὶ εἰς τὴν αὐτοῦ πενίαν ᾄδων ἐπειδὴ μηδὲν εἶχεν, ἐκ πρώτων λόγων, συκοφαντεῖ τοὺς ὄρνιθας. ὡς ἐναντίως ἐχόντων τὸ σχῆμα τῆς τῶν ὀρνέων φύσεως. εἴη δ' ἂν εἰς τὸ σχῆμα τοῦ πρεσβυτέρου ἀφορῶν. τινὲς δὲ παρὰ τὰ ἀλκαίου ὄρνιθες τίνες οἵδε, ὠκεανῶ γὰρ ἀπὸ περάτων ἦλθον, πανέλοπες ποικιλόδειροι τανυσίπτεροι. καὶ παρὰ τὰ σιμωνίδου, ἄγγελε κλυτὰ ἔαρος καὶ ἁδυόδμου κυανέα χελιδοῖ. Ποικίλα μάλ' αὖθις. τοῦτό φησι πρὸς τὸ ῥυπαρὸν καὶ ποικίλον τοῦ ἱματίου αὐτοῦ. Οὐκ ὀλίγων χελιδόνων. ἐπειδὴ συνεχῶς χελιδόνας λέγει, τοιοῦτόν τι φησίν. ἔαρος χρήζει. παλαιὸν γὰρ χιτῶνα ἔχει. τὸν, νοῦν δὲ τῆς παροιμίας μετείληφε τό, μία χελιδὼν ἔαρ οὐ ποιεῖ. Τίς ὁ πτερῶν. πρὸς τὸ σχῆμα ὠχρῶν.

κυλλὸς ἦν ὁ κινησίας· τοῦτο δὲ οὐκ ἔστιν εὑρεῖν· ἀλλ' ἐπειδὴ πολὺ παρ' αὐτοῖς ἐστι τὸ ποδὶ λευκῷ· καὶ ποδὶ κούφῳ· καὶ πόδα λιθεὶς· ἤ τι τοιοῦτον, τὸ κυλλὸν προσέθηκεν. Λιγύφθογγος ἀηδών. λιγύφθογγος ἔφη διὰ τὸν μόχθον καὶ τὸν θρῆνον τὸν ἥδυτα τῶν ἐξ αὐτῆς εἰς τὸν παῖδα γενόμενον. γράφεται λιγύμυθος ἢ λιγύμοχθος. Παῦσαι μελῳδῶν. εἴσθεσις περιόδου ἀμοιβαίας στίχων καὶ κώλων, κη. ὧν οἱ μὲν πρῶτοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. τὰ ἑξῆς ὀκτὼ κῶλα ἀναπαιστικὰ ἐπιμεμιγμένα χορείοις ἢ τριβράχεσι καὶ προκελευσματικοῖς ἤτοι τετραβράχεσιν. ὧν τὰ δ'. δίμετρα ἀκατάληκτα. τὸ ε. τρίμετρον βραχυκατάληκτον. τὰ δὲ ἑξῆς τρία δίμετρα ἀκατάληκτα. οἱ ἑξῆς δὲ τούτων θ'. στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. ἐπὶ τῷ τέλει κορωνίς. Ὑπὸ σοῦ πτερωθεὶς. βούλομαί φησι πτερωθῆναι ὑπὸ σοῦ· ἵνα διὰ τοῦ ἀέρος πετάμενος, ἐξεύρω εἰς τὰ προοίμια λέξεις νιφοβόλους· καὶ ἀεροδινήτους. παίζει δὲ πρὸς τὰ ποιήματα τῶν διθυραμβοποιῶν. ἔθος γὰρ αὐτοῖς· ποιαῦτα ἐπίθετα λέγειν. ἅμα δὲ καὶ πρὸς τὸ κοῦφον αὐτοῦ. Κρέμαται μὲν οὖν. οἱονεὶ ὕλη καὶ τὰ τῶν νεφελῶν ποιημάτων ὑμῶν, ἡ τῶν νεφελῶν σύστασις. Καὶ πτεροδόνητα. ἀντὶ τοῦ ταχέα. ταῦτα δὲ συμβαίνει τῷ ἀέρι. ὅθεν φησὶ τὰς λέξεις αὐτοῦ θηρᾶσθαι. Ἅπαντα γὰρ δίειμί σου πάντα γὰρ δίειμί σου, πάντα γάρ σοι τὰ περὶ τὸν ἀέρα διεξέρχομαι. πλείστη γὰρ αὐτῶν ἡ λέξιν τοιαύτη. ὁ δὲ νοῦς ἐλάχιστος· ὡς ἡ παροιμία καὶ διθυραμβοποιῶν νοῦν ἔχεις ἐλάττονα. Τὸν ἁλάδρομον. τὸν εἰς ἅλα δρόμον. λείπει γὰρ ἡ εἰς. ἔνια δὲ τῇ συνθέσει ἀδιανόητα. ταῦτα, δὲ οὐδὲ ταῖς λέξεσι συνετά. χλευάζει δὲ τοὺς διθυραμβοποιούς. Ὠόπ. παρακελεύεται αὐτῷ παύσασθαι τοῦ ᾄδειν. ὡς οἱ ἐρέσσοντες. κέλευσμα γὰρ τῶν ἐρεσσόντων τὸ ὠόπ. καταπαῦον τὴν κωπηλασίαν. Ἀλίμενον. τὴν τέλος οὐκ ἔχουσαν. οὐδὲ ὅρμον, ἀπὸ μεταφορᾶς τῶν νεῶν. τρόπον γὰρ πελάγους δοκοῦσι διανήχεσθαι τὸν ἀέρα οἱ ὄρνις. Καταπαύσω. τοῦτο ἅμα λέγων ὁ πειθέ-

λιγύμυθος ἀηδών.

Π. παῦσαι μελῳδῶν· ἀλλ' ὅ, τι λέγεις εἰπέ μοι.

Κι. ὑπὸ σοῦ πτερωθεὶς, βούλομαι μετάρσιος.
ἀναπτόμενος ἐκ τῶν νεφελῶν καινὰς λαβεῖν·
ἀεροδονήτους καὶ νιφοβόλους ἀναβολάς.

Πει. ἐκ τῶν νεφελῶν γὰρ ἄν τις ἀναβολὰς λάβοι,

Κρέμαται μὲν οὖν ἐντεῦθεν ὑμῶν ἡ τέχνη.
τῶν διθυράμβων γὰρ τὰ λαμπρὰ γίγνεται.
ἀέρια καὶ σκότιά γε καὶ κυαναυγέα.
καὶ πτεροδόνητα· σὺ δὲ κλύων, εἴσει τάχα.

Πει. οὐ δῆτ' ἔγωγε. Κι νὴ τὸν ἡρακλέα σύ γε.
ἅπαντα γὰρ δίειμί σοι τὸν ἀέρα.
εἴδωλα πετηνῶν αἰθεροδρόμων.
οἰωνῶν ταναοδείρων.

Πει. Ὠόπ. Κι. τὸν ἁλαδρόμον ἁλάμενος.
ἅμ' ἀνέμων πνοιαῖσι βαίην.

Πει. νὴ δί' ἐγώ σου καταπαύσω τὰς πνοάς.

Κι. τοτὲ μὲν, νοτίαν στείχων πρὸς ὁδὸν,
τοτὲ δ' αὖ βορέᾳ σῶμα πελάζων.
ἀλίμενον αἰθέρος αὔλακα τέμνων.
χαρίεντά γ' ὦ πρεσβῦτ' ἐσοφίσω καὶ σοφά.

ρωμα οὕτως ἐρῶ δ' ἔγωγε τῶν ἐν ὄρνισι νομῶν. Πολλοὶ γὰρ ὀρνίθων. γῦπες καὶ κόρακες περὶ νεκροὺς νέμονται, οἱ δὲ λάροι τὴν θάλατταν. τρίων. οὖν νομῶν ἐπιθυμεῖς. Ἐν ταῖς τῶν πελαργῶν κύρβεσιν. κύρβεις χαλκαῖ σανίδες ἔνθα τοὺς νόμους γράφουσι. κατὰ δὲ ἐνίους, ἄξονες τρίγωνοι ἐν οἷς ἦσαν οἱ τῶν πόλεων νόμοι γεγραμμένοι καὶ αἱ δημόσιαι ἱεροποιΐαι. καθάπερ καὶ Ἀριστοτέλης ἐν τῇ τῶν ἀθηναίων πολιτείᾳ φησὶ καὶ Ἀπολλόδωρος. κύρβεις δέ, ἤτοι παρὰ τὸ κεκορυφῶσθαι εἰς ὕψος ἀνατεταμένον. ἢ ἀπὸ τῶν Κορυβάντων. ἐκείνων γὰρ εὕρημα ὥς φησι Θεόπομπος ἐν τῷ περὶ εὐσεβείας. φησὶ δὲ Ἀριστοτέλης, ἀληθῆ εἶναι τὸν περὶ τῶν πελαργῶν λόγον, ὁμοίως δὲ αὐτοῖς ποιεῖν καὶ τοὺς ἀερόποδας. διὸ ἐν τοῖς σκήπτροις ἀνωτέρω μέν, πελαργὸν τυποῦσι, κατωτέρω δέ, ποτάμιον ἵππον. δηλοῦντες, ὡς ὑποτέτακται ἡ βία τῇ δικαιοπραγίᾳ. οἱ γὰρ πελαργοὶ, δικαιοπραγεῖς ὄντες, ἀντιπελαργῶσι βαδίζουσι τοὺς πατέρας γεγηρακότας βαστάζοντες. οἱ δὲ ἱπποπόταμοι, ζώων ἀδικώτατοι. περὶ μὲν οὖν τῶν πελαργῶν, ἀντιτρέφειν τὸν πατέρα, Ἀριστοτέλης ἱστορεῖ προστιθεὶς αὐτοῖς καὶ τοὺς ἀέροπας λέγων οὕτως. περὶ μὲν οὖν τῶν πελαργῶν ὅτι ἀντιτρέφονται, θρυλεῖται παρὰ πολλοῖς. φασὶ δὲ καὶ τοὺς ἀέροπας τοῦτο ποιεῖν.

Πει. τρίων νόμων; πολλοὶ γὰρ ὀρνίθων νόμοι.
Πα. πάντων. μάλιστα δ' ὅτι καλὸν νομίζεται,
τὸν πατέρα τοῖς ὄρνισιν ἄγχειν καὶ δάκνειν.
Πει. καὶ νὴ Δί' ἀνδρεῖόν γε νομίζομεν
ὃς ἂν πεπλήγῃ τὸν πατέρα νεοττὸς ὤν.
Πα. διὰ ταῦτα μέντοι, δεῦρ' ἀνοικισθεὶς ἐγὼ
ἄγχειν ἐπιθυμῶ τὸν πατέρα. καὶ πάντ' ἔχειν.
Πει. ἀλλ' ἔστιν ἡμῖν τοῖσιν ὄρνισιν νόμος
παλαιὸς, ἐν ταῖς τῶν πελαργῶν κύρβεσιν.
ἐπὴν, ὁ πατὴρ ὁ πελαργὸς ἐκπετησίμους
πάντας ποιήσῃ τοὺς πελαργιδεῖς τρέφων,
δεῖ τοὺς νεοττοὺς τὸν πατέρα πάλιν τρέφειν.
Πα. ἀπέλαυσα γὰρ νὴ τὸν Δί' ἐλθὼν ἐνθαδί;
εἴπερ γέ μοι καὶ τὸν πατέρα βοσκητέον.
Πει. οὐδέν γ' ἐπειδήπερ γὰρ ἦλθες ὦ μέλε.
εὔνους, πτερώσω σ' ὥσπερ ὄρνιν ὀρφανόν.
σοὶ δ' ὦ νεανίσκ' οὐ κακῶς ὑποθήσομαι.
ἀλλ' οἷάπερ αὐτὸς ἔμαθον ὅτε παῖς ἦ. σὺ γὰρ
τὸν μὲν πατέρα μὴ τύπτε. ταύτην δέ γε λαβὼν,
τὴν πτέρυγα. καὶ τουτὶ, τὸ πλῆκτρον θατέρᾳ,
νομίσας ἀλεκτρυόνος ἔχειν γε τὸν λόφον.
φρούρει. στράτευου. μισθοφορῶν σαυτὸν τρέφε.
τὸν πατέρ' ἔα ζῆν. ἀλλ' ἐπειδὴ μάχιμος εἶ,

Ὥσπερ ὄρνιν ὀρφανόν. ὡς μὴ ἔχοντα πατέρα. θάρρει οὖν. οὐ γὰρ θρέψεις τὸν πατέρα. ἢ ὅτι καὶ οὕτως ἐστὶν ὄρνις καλούμενος. Ἔμαθον ὅτε παῖς ἦ. ἀντὶ τοῦ ἦν ἀττικῶς. σύμμαχος. καθοπλίζει αὐτὸν τῇ πτέρυγι ὡς ἀσπίδι. τῷ δὲ πλήκτρῳ ὡς ξίφει. τῷ δὲ λόφῳ, ὡς περικεφαλαίᾳ. Δίδυμος δὲ ἀντὶ τῆς πτέρυγος ἀσπίδα δίδωσιν αὐτῷ. ἀντὶ δὲ τοῦ πλήκτρου, ξίφος. ἦλθε γὰρ ὡς ἀλεκτρυὼν πτερωθῆναι, ἐπεὶ ἐκεῖνοι τοὺς πατέρας τύπτουσι. Πλῆκτρον. ὅπερ περιετίθεσαν τοῖς ἀλεκτρυόσι χαλκοῦν ἐν τῷ μάχεσθαι. καὶ παροιμία. αἶρε πλῆκτρον ἀμυντήριον. κἀκεῖνοι γὰρ ἔχουσι πλῆκτρα δι' ὧν μάχονται. φρούρει. στράτευου. συμ-

ὄνομα ὀρνέου ἔπλασε παρὰ τὸ κολλάπτειν τὴν κεφαλήν. ὃ συμβαίνει τοῖς ὄρνισιν. Ὅπου χελιδών. ἐς τὰ σιμωνίδου μέλη αἰνίττεται. κυανέα χελιδών. Ἢ πηνέλοψ. ὁ πηνέλοψ νήσσῃ μὲν ὅμοιον. περιστερᾶς δὲ μέγεθος. μέμνηται δὲ αὐτοῦ, στησίχορος καὶ ἴβυκος. Εἰς τὸ αὐτό. τὰ μὲν ἄλλα ἐν συμπληρώματι. ὁ δὲ πηνέλοψ, μείζων μὲν ἢ κατὰ νῆτταν ὅμοιον. Ἢ πτέρυγες ἢ πτεροῦ τι. ὅπου μόρος τὶ πτεροῦ ἢ μόριον ὑπῆρχεν ἐν ποιήματι, ἦδον αὐτό.

ὅπου χελιδὼν ἤν τις ἐμπεποιημένη,
ἢ πηνέλοψ. ἢ χήν τις. ἢ περιστερά.
ἢ πτέρυγες. ἢ πτεροῦ τι καὶ μικρὸν προσῆν.
τοιαῦτα μὲν τὰ ἐκεῖθεν. ἓν δ᾽ ἔσοι λέγω.
ἥξουσ᾽ ἐκεῖθεν δεῦρο, πλεῖν ἢ μύριοι,
πτερῶν δεόμενοι, καὶ τρόπων γαμψωνύχων.
ὥστε πτερῶν σοι τοῖς ἐποίκοις δεῖ ποθεν.
Πει. οὐκ ἄρα μὰ Δί᾽ ἡμῖν ἔτ᾽ ἔργον ἑστάναι.
ἀλλ᾽ ὡς τάχιστα σὺ μὲν ἰών, τὰς ἀρρίχους.
καὶ τοὺς κοφίνους ἅπαντας ἐμπίπλη πτερῶν
μανῆς δέ. φερέτω μοι θύραζε τὰ πτερά.
ἐγὼ δ᾽ ἐκείνων τοὺς προσιόντας δέξομαι.
Χο. ταχὺ δ᾽ ἂν πολυάνορα τάνδε πόλιν
Καλεῖ τις ἀνθρώπων ἄν.
Πει. τύχη μόνον προσείη.
Χο. κατέχουσι δ᾽ ἔρωτες ἐμᾶς πόλεως.
Πει. θᾶττον φέρειν κελεύω.
Χο. τί γὰρ οὐκ ἔνι ταύτῃ.
καλὸν ἀνδρὶ μετοικεῖν.
σοφία, πόθος. ἀμβροσία. χάριτες.
τό, τε τῆς ἀγανόφρονος ἡσυχίας.
εὐήμερον πρόσωπον.

Τὰς ἀρρίχους. τὸ χ. διὰ τὸ θηλυκῶς εἰπεῖν, τὰς ἀρρίχους. ἡ ἄρριχη. ἐξηγοῦνται δέ τινες κόφινον. ἡγητέον οὖν ἐκ μὲν τοῦ αὐτοῦ γένους εἶναι. διάφορον δέ τι. λέγουσι δὲ καὶ νῦν παρὰ κώων τι εἶδος ἀρρίχους. Ἐμπίπλη πτερῶν. πρὸς τὸ χορηγεῖν τοῖς βουλομένοις ὀρνιθωθῆναι τῶν ἀνθρώπων εἴρηται ταῦτα. Ἄλλως. ἐμπίπλη. ἀττικόν. ἦν γὰρ τὸ κοινόν, ἀπὸ τοῦ πίμπλημι, πίμπλαθι, ὡς ἵσταθι. ὅμοιον δέ ἐστι καὶ τό, κύκλωψ τῆ πίε οἶνον ἐπεὶ φάγες ἀνδρόμεα κρέα παρὰ τῷ ποιητῇ. ἀττικοὶ γὰρ οὐ τρέπουσιν ἐπὶ τῶν εἰς μι τὸ μι, εἰς τὸ θ. ἐν τοῖς προστακτικοῖς, καὶ συστέλλουσι τὴν παραλήγουσαν ὡς ἡ κοινή. ἵστημι, ἵσταθι, καὶ πίμπλημι πίμπληθι. ἀλλὰ πλείαν ἀποβολὴν τῆς μι. ποιούμενοι πίμπλη καὶ ἵστη λέγουσιν, ὥσπερ καὶ ἀπὸ τοῦ τίθημι, τῆ. Ταχὺ δ᾽ ἂν πολυάνορα. ἡ ἀμοιβαία αὕτη περίοδος ἔοικεν ἐκθέσει διπλῆς κώλων οὖσα ἀναπαιστικῶν. καὶ ἰαμβικῶν ιζ΄. ὧν τὸ πρῶτον ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ β΄ ἰαμβικὸν δίμετρον καταληκτικόν. ἤτοι ἑφθημιμερές. ὃ καλεῖται ἀνακρεόντειον. τὸ γ΄. ὅμοιον, τὸ δ΄ ὅμοιον τῷ α΄. τὸ ε΄. ὅμοιον τῷ β΄. τὸ ϛ΄, καὶ τὸ ζ΄. ἀναπαιστικὰ πενθημιμερῆ. τὰ ιβ΄. ιγ΄. ὅμοια τῷ α΄. τὰ δ᾽ ἄλλα τῷ β΄. ἐπὶ τῷ τέλει αἱ συνήθεις διπλαῖ. Ἐμᾶς πόλεως. λείπει ἀνθρώπους. ἕνεκα τῆς πόλεως τῆς ἐμῆς φησὶ κατέχουσιν οἱ ἔρωτες τοὺς ἀνθρώπους ἀντὶ τοῦ ἐρῶσιν οἱ ἀνθρω-

ρες ὡς τρυφῶντες. Σκυτάλι' ἐφόρουν. σκυτάλη ἤτοι λακωνικὴ ἐπιστολὴ ἢ βακτηρία. ἐφόρουν γὰρ βαρείας βακτηρίας οἱ λάκωνες. τοῦ δὲ σκυτάλιον τὸ α ἐκτείνεται. ὡς ἐν ὁλκάσιν, ἔνθα καὶ τὸ νικοφῶντος, ἐξ ἀφροδίτης γόνων παρετίθη. οὐκ ἐς κόρακας τὼ χεῖρ' ἀποίσεις ἐκποδὼν ἀπὸ τοῦ σκυταλίου καὶ τῆς διφθέρας, οὗτος σύμμαχος. ὁ δὲ δίδυμος σκυτάλια τὰς βακτηρίας. αἷς τὰ σκύταλα τύπτουσιν ὅ ἐστι τοὺς τραχήλους. ἢ παύσει βάκτρῳ καλίνῳ σκύταλα φρὺξ ἀνήρ. Ἄλλως.

σκυτάλι' ἐφόρουν· νυνὶ δ' ὑποστρέψαντες αὖ
ὀρνιθομανοῦσι· πάντα δ' ὑπὸ τῆς ἡδονῆς
ποιοῦσιν ἅπερ ὄρνιθες, ἐκμιμούμενοι.
πρῶτον μὲν εὐθὺς, πάντες ἐξ εὐνῆς ἅμα
ἐπέτονθ' ἕωθεν ὥσπερ ἡμεῖς ἐπὶ νομόν.
κᾆτ' αὖ, ἅμα κατῆραν ἐς τὰ βυβλία.
εἶτ' ἀπενέμοντ' ἐνταῦθα τὰ ψηφίσματα.
ὀρνιθομάνουν δ' οὕτω περιφανῶς, ὥστε καὶ
πολλοῖσιν ὀρνίθων ὀνόματ' ἦν κείμενα.
πέρδιξ μὲν εἷς κάπηλος ὠνομάζετο,

σκυτάλη λακωνικὴ ἐπιστολή. οὗτοι γὰρ μέλλοντες πέμπειν στρατηγὸν εἰς τὸν πόλεμον. ἐποίουν δύο ῥάβδους ἰσομήκεις. καὶ τὴν μὲν τῷ στρατηγῷ μέλλοντι ἐξιέναι εἰς πόλεμον, ἐδίδουν, τὴν δὲ παρ' αὐτοῖς εἶχον. καὶ ὅτι βούλοιντο ἀπόρρητόν τι σημαίνειν τῷ ἀπόντι στρατηγῷ, ταύτῃ λευκὸν δέρμα περιελίξαντες, ἔγραφον ἐς αὐτὸ καὶ ἀνελίττοντες παρεῖχον τὸν ἱμάντα τῷ ἀποφέροντι. τοῦτο δὲ ἐποίουν ἵνα μὴ μανθάνωσιν οἱ ἀποφέροντες τὸ δηλούμενον ἐν αὐτῷ. ὁ δὲ στρατηγὸς λαβὼν αὐτὸ, καὶ περιελίξας τῇ παρ' αὐτῷ ῥάβδῳ, ἀνεγίνωσκε. λέγεται οὖν καὶ ἡ ἐπιστολὴ καὶ αὐτὸ τὸ ξύλον. διοσκορίδης δ' ἐν τοῖς περὶ νομίμων, τοὺς δανείζοντας ἐν σπάρτῃ διαιρεῖν σκυτάλην δύο παρόντων μαρτύρων. καὶ γράφειν τὸ συμβόλαιον ἐν ἑκατέρῳ τμήματι καὶ τὸ μὲν ἑνὶ τῶν μαρτύρων διδόναι. τὸ δὲ δι' ἑαυτοῦ ἔχειν. ἐχρῶντο δ' αὐτῷ καὶ ἀνοίως. ὡς ἀριστοτέλης ἐν τῇ ἰθακησίων πολιτείᾳ μβ'. Σκυτάλι' ἐφόρουν πάλιν ἀντὶ τοῦ ἐλακώνιζον. καὶ ὅτι λακωνικὸν τὸ τῆς σκυτάλης. ἔγραφον δὲ οὐ μόνον ταῖς σκυτάλαις ἐγχαράσσοντες τὰς ἐπιστολάς. ἀλλὰ καὶ βακτηρίαις. Κατῆραν εἰς τὰ βιβλία. ὡς ἐπὶ ὀρνίθων καθεζομένων. δέον δὲ εἰπεῖν εἰς τοὺς λειμῶνας. ἔπαιξε δὲ εἰς τὸ φιλόδικον. εἰπὼν εἰς τὰ βιβλία. τουτέστιν εἰς τὰ ψηφίσματα. Εἶτ' ἀπενέμοντ' ἐνταῦθα. ἐν ταῦτα συναλλαγμένον ἀμφίβολόν ἐστιν. ὃ καὶ ἐπιτηδεύει. διελόντι γὰρ τὸ μέν ἐστιν ἐνέμοντο. τὸ δὲ, ἀπενέμοντο. τουτέστιν ἀνεγίνωσκον. Πέρδιξ μὲν εἷς κάπηλος. ὁ μὲν πέρδιξ σαφῶς ὄνομα κύριον. μενίππῳ δὲ, ἐπώνυμον ἦν χελιδὼν δὲ ἑξῆς. κατὰ τὸ οἰκεῖον εἴληπται, τῷ ὀπουντίῳ λέγω τὸ κόραξ. ὅτι ἅρπαξ καὶ ἀνδιής. ὅτι δὲ καὶ μονόφθαλμος οὗτος, προείρηται. οὐ πάντως δὲ ὡς ἐπώνυμον. κάπηλος δὲ αἰτίᾳ τοῦ μαγείρου. ἔσκαζε δὲ οὗτος. εἴρηται δὲ ἐν τοῖς πρόσθεν, ὅτι χωλὸς οὗτος ὁ πέρδιξ. ἀφ' οὗ φασὶ τὴν παροιμίαν πέρδικος σκέλος, ἐπὶ τῶν λεπτοπόδων. Ἄλλως. ὁ πέρδιξ ὄνομα καπήλου. χωλὸς δὲ ἦν οὗτος. μνημονεύει δὲ αὐτοῦ καὶ ἐν ἀγαγύρῳ. καὶ μὴν χθὲς γὰρ ἦν πέρδιξ χωλός. τούτου δὲ πολλοὶ μέμνηνται. ἀπὸ τούτου δέ φασι τὴν παροιμίαν πέρδικος σκέλος. ἧς καὶ ἀριστοφάνης ἐν ταῖς ἀμέτροις παροιμίαις μνημονεύει.

του παρὰ τὸ ὀρέξω συμμιγήσομαι καὶ τὸ πατάξαι. ὅθεν καὶ χαμαιτύπαι αἱ πόρναι. καὶ Μένανδρος. πράνη ἄρης ἐπάταξα. Καταιθαλώσεις. ταῦτα πρὸς τὴν Ἶριν λέγει ὡς ἑταιρίδιον. καταιθαλώσεις οἷον τῷ ἔρωτι. Ἀποκεκλῄκαμεν ἀπηγορεύσαμεν. κορωνὶς δὲ καὶ εἴσθεσις μέλους χοροῦ μεσῳδικὴ κώλων παιωνικῶν ϛʹ. ὧν τὸ πρῶτον καὶ δεύτερον δίμετρα βραχυκατάληκτα. ἤτοι ἡμιόλια. τὸ γʹ δίμετρον καταληκτικόν. ἤτοι ἐφθημιμερές. τὸ δʹ ὅμοιον τῷ αʹ. τὸ εʹ ὅμοιον τῷ γʹ. τὸ δὲ ἕκτον δίμετρον ἀκατάληκτον διὰ τὴν ἀδιάφορον. ἔν τισι δὲ δύο κῶλα συνῆπται ταῦτα ἐν ἐκθέσει. δὲ στίχος ἰαμβικὸς τρίμετρος ἀκατάληκτος ὅμοιος τοῖς ἑξῆς. ἐπὶ τῷ τέλει κορωνίς. Δεινόν γε τὸν κήρυκα. τοῦτο ἀττικὸν τὸ σχῆμα. ἔστι γὰρ αἰτιατική, ἀντὶ εὐθείας. ἀντὶ τοῦ ὁ κήρυξ. ἐνδεῖ οὖν τὸ σχῆμα. ἔδει γὰρ ὁ κήρυξ εἰ μὴ νοστήσει. εἴσθεσις δὲ τῆς διπλῆς ἀμοιβαίας τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι μδʹ. ὧν τελευταῖος. ἐγὼ δ' ἐκείνων τῶν προσόντας δέξομαι. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα.

Ὦ Πειθέταιρ'. ἄγγελος πεμφθεὶς εἰς ἀνθρώπους ὑπὸ ὀρνίθων ὑποστρέφει λέγων ὅτι πάντες ἥδονται οἱ ἄνθρωποι τοὺς ὄρνιθας κρατεῖν.

καταιθαλώσεις τῶν νεωτέρων τινά.

ΣΤΡΟΦΗ ΚΩΛΩΝ, Ζʹ.

Χο. ἀποκεκλῄκαμεν
διογενεῖς θεούς,
μηκέτι γε τὴν ἐμὴν
διαπερᾶν πόλιν.
μηδέ τιν' ἱερόθυ-
τον ἀνὰ δάπεδον ἔτι
τῇδε βροτὸν, θεοῖσι πέμπειν ἀνὰ καπνόν.
Πει. δεινόν γε τὸν κήρυκα τὸν παρὰ τοὺς βροτοὺς
οἰχόμενον, εἰ μηδέποτε νοστήσει πάλιν.
Κήρ. ὦ Πειθέταιρ' ὦ μακάρι' ὦ σοφώτατε.
ὦ κλεινότατ' ὦ σοφώτατ' ὦ γλαφυρώτατε
ὦ τρισμακάρι' ὦ κατακέλευσον. Πει. τί σὺ λέγεις:
Κήρ. στεφάνῳ σε χρυσῷ τῷδε σοφίας οὕνεκα
στεφανοῦσι καὶ τιμῶσιν οἱ πάντες λεῴ.
Πει. δέχομαι. τί δ' οὕτως οἱ λεῴ τιμῶσί με.
Κήρ. ὦ κλεινοτάτην αἰθέριον οἰκίσας πόλιν.
οὐκ οἶσθ' ὅσην τιμὴν παρ' ἀνθρώποις φέρει;
ὅσους τ' ἐραστὰς τῆσδε τῆς χώρας ἔχεις.
πρὶν μὲν γὰρ οἰκίσαι σε τήνδε τὴν πόλιν,
ἐλακωνομάνουν ἅπαντες ἄνθρωποι τότε.
ἐκόμων. ἐπείνων. ἐρρύπων. ἐσωκράτουν.

Ὦ κατακέλευσον. οἱονεὶ σιωπὴν κήρυξον. οἱ γὰρ κελευσταὶ πολλάκις σιωπὴν καταγγέλλειν εἰώθασιν. σιώπα λέγοντες καὶ ἄκουε. καὶ τὰ ὅμοια. οὕτω Δίδυμος. ἐπειδὴ πολλάκις εἴρηται ὦ, καὶ οὐκ ἐπέσχεν αὐτὸν ὁ Πειθέταιρος, ὁ ἄγγελος φησὶ κατακέλευσον. ὡς παρὰ τοῖς ἐρέσσουσι. καὶ ὦ λέγει παύσασθαι παρακέλευσαί μοι. Ἐλακωνομάνουν. τῆς τῶν Λακώνων ἤρων πολιτείας. τοῦτο δὲ εἶπε διὰ τὸ ὑπερέχειν τοὺς Λάκωνας ἐν πολέμῳ τότε. ἄρχεται δὲ διαβάλλειν. διαβάλλει δὲ καὶ τὸν Σωκράτην ὡς λιπαρὸν καὶ ὡς πένητα. Ἐκόμων ἐπείνων. εἰπὼν τὸ ἐκόμων καὶ τὰ ἑξῆς, ἐπιτηδείως ἐπάγει τὸ ἐσωκράτουν. τοιοῦτοι γὰρ οἱ φιλόσοφοι. ἐκόμων δὲ καὶ οἱ Λάκων

παρεσκευάζῃ. καὶ ἐπὶ ποίαν ὁδὸν τὴν πτῆσιν ἔχεις. Ἀλλὰ μὰ δί' οὐ τῷ διΐ. ἔπαιξε πάλιν μὰ δία εἰπών. ὡς ἐν κωμῳδίᾳ. Διὸς μακέλλῃ. τοῦτό φησι παρὰ τὸ σοφόκλειον. χρυσῇ μακέλλῃ ζηνὸς ἐξαναστραφῇ. Λικυμνίαις βολαῖς. ὁ μὲν καλλίμαχος γράφων οὕτως. λικυμνίαις βολαῖς φησί. ταύτης τῆς διδασκαλίας οὐ μέμνηται. ἐν δὲ ἐνίοις τῶν σχολικῶν, ὑπομνήματα ταυτὶ γέγραπται. ἴσως ὁ λικύμνιος ἐνεπύρισε τινῶν οἰκίας. ἐν δὲ τοῖς ἀπογεγραμμένοις ἀπολλωνίου

Ιρ. ἐγώ; πρὸς ἀνθρώπους πέτομαι παρὰ τοῦ πατρὸς
φράσουσα θύειν τοῖς ὀλυμπίοις θεοῖς,
μηλοσφαγεῖν τε, βουθύτοις ἐπ' ἐσχάραις.
κνισᾶν τ' ἀγυιάς. Πε. τί σὺ λέγεις. ποίοις θεοῖς.
Ιρ. ποίοισιν; ἡμῖν τοῖς ἐν οὐρανῷ θεοῖς.
Πει. θεοὶ γὰρ ὑμεῖς; Ιρ. τίς γὰρ ἔστ' ἄλλος θεός.
Πει. ὄρνιθες ἀνθρώποισι νῦν εἰσι θεοί.
οἷς θυτέον αὐτοῖς. ἀλλὰ μὰ δί' οὐ τῷ διΐ.
Ιρ. ὦ μῶρε, μῶρε μὴ θεῶν κίνει φρένας
δεινάς. ὅπως μή σου γένος πανώλεθρον,
διὸς μακέλλῃ πᾶν ἀναστρέψῃ δίκη.
λιγνὺς δὲ σῶμα. καὶ δόμων περιπτυχάς.
καταιθαλώσει σου λικυμνίαις βολαῖς.
Πει. ἄκουσον. αὕτη παῦε τῶν παφλασμάτων.
ἔχ' ἀτρέμας. φέρ' ἴδω. πότερα λυδὸν, ἢ φρύγα
ταυτὶ λέγουσα, μορμολύττεσθαι δοκεῖς.
ἆρ' οἶσθ' ὅτι ζεὺς εἴ με λυπήσει πέρα,
μέλαθρα μὲν αὐτοῦ, καὶ δόμους ἀμφίονος
καταιθαλώσω πυρφόροισιν αἰετοῖς
πέμψω δὲ πορφυρίωνας ἐς τὸν οὐρανόν.
ὄρνεις ἐπ' αὐτὸν παρδαλᾶς ἐνημμένους.
πλεῖν ἑξακοσίους τὸν ἀριθμόν. καὶ δή ποτε
εἷς πορφυρίων αὐτῷ παρέσχε πράγματα.
σὺ δ' εἴ με λυπήσεις τι, τῆς διακόνου
πρώτης ἀνατείνας τὼ σκέλη, διαμηριῶ,
τὴν ἶριν αὐτήν. ὥστε θαυμάζειν ὅπως,
οὕτω γέρων ὢν σύομαι τριέμβολον.
Ιρ. διαρραγείης ὦ μέλ' αὐτοῖς ῥήμασι.
Πει. οὐκ ἀποσοβήσεις; οὐ ταχέως εὐρὰξ πατάξ;
Ιρ. ἦ μήν σε παύσει τῆς ὕβρεως ὁ ὑμὸς πατήρ.
Πει. οἴμοι, τάλας. οὔκουν ἑτέρωσε πετομένη;

ταῦτα γέγραπται. ὅτι ἡμίφλεκτόν τινα εἰσάγει εἰς τοιοῦτό τι κεκεραυνωμένον ἀπὸ τῆς περιστάσεως ἐκείνης. εἴη δ' ἂν τοῦ εὐριπίδου μεμνημένος ἀγγέλου τοῦ ἐν τῷ λικυμνίῳ. λέγει γὰρ ἐπὶ τελευτῆς ἐκεῖνος. ἐν λικυμνίοις δέ, δράματι εὐριπίδου. εἰσήχθη τις κεραυνοβολούμενος. Τῶν παφλασμάτων. ἐκπρησμῶν. ἀναζητημάτων. Εἴ με λυπήσει πέρα. ἀντὶ τοῦ πέρα τοῦ δέοντος. παρατραγῳδεῖ καὶ αὐτός. Καὶ δόμους ἀμφίονος. ἐκ νιόβης αἰσχύλου. ἐξείρηται δὲ τ' ἀμφίονος ἐκ μονῳδίας.
Παρδαλᾶς. παρδάλεων δοράς. ἔπαιξε πρὸς τὴν πτέρωσιν αὐτῶν. κυάνεοι γάρ.
Εἷς πορφυρίων. ὁ γίγας τῷ διῒ πολεμήσας. ὃν ἐχειρώσατο ἀφροδίτη. Τριέμβολον. πολλάκις ἐμβαλεῖν δυνάμενον. μήποτε δὲ καὶ ποιόν τις ἦν κατασκευή. καὶ γὰρ δικέμβολον αἰσχύλος εἶπε τὴν τοῦ νέστορος ναῦν ἐν μυρμιδόσιν. Εὐρὰξ πατάξ. ἐπιρρήματά τινα αἰ[illegible]ασεν. εἰς τὸ κακέμφα-

Πλοῖον ἢ κυνῆ. πλοῖον μέν, καθὸ ἐπτέρωται. καὶ τὰ πτερὰ διαπετάννυται ὡς κώπη. κυνῆ δέ, ὅτι ἔχει περικεφαλαίαν τὸν πέτασον. ὡς Ἑρμῆς ἄγγελος ὢν παρὰ Σοφοκλεῖ ἐν Ἰνάχῳ ἐπὶ τῆς Ἴριδος. γυνὴ τίς ἥδε; Κυλληνὰς ἀρκάδος κυνῆ. φασὶ δὲ καὶ κυνέαν τὸν πέτασον λέγεσθαι ἐν Πελοποννήσῳ. πέτασον γὰρ ἐπὶ τῆς κεφαλῆς φορεῖ ὁ Ἑρμῆς, πρὸς ὃν τὴν κυνῆν εἶπε. καὶ Πελοποννήσιοι δὲ τὸν πέτασον κυνῆν καλοῦσι. πλοῖον δὲ διὰ τὸ ἐνδρόμῳ αὐτῆς κεκολπῶσθαι τὸν χιτῶνα. ἢ ἐπεὶ πτερωτὸς ἦν. αἱ δὲ νῆες ἀντὶ πτερῶν τὰς κώπας ἔχουσι.

Πε. ὄνομα δέ σοι τί ἐστι; πλοῖον, ἢ κυνῆ;
Ιρ. ἶρις ταχεῖα. Πει. πάραλος, ἢ σαλαμινία;
Ιρ. τί δὲ τοῦτο; Πει. ταυτηνί τις οὐ ξυλλήψεται
ἀναπτάμενος τρίορχος; Ιρ. ἐμὲ ξυλλήψεται;
τί ποτ' ἐστὶ τουτὶ τὸ κακόν; Πε. οἰμώξει μακρά.
Ιρ. ἄτοπόν γε τουτὶ τὸ πρᾶγμα. Πε. κατὰ ποίας πύλας
εἰσῆλθες εἰς τὸ τεῖχος, ὦ μιαρωτάτη;
Ιρ. οὐκ οἶδα μὰ Δί' ἔγωγε κατὰ ποίας πύλας.
Πε. ἤκουσας αὐτῆς οἷον εἰρωνεύεται;
πρὸς τοὺς κολοιάρχας προσῆλθες; οὐ λέγεις;
σφραγῖδ' ἔχεις παρὰ τῶν πελαργῶν; Ιρ. τί τὸ κακόν;
Πε. οὐκ ἔλαβες; Ιρ. ὑγιαίνεις μέν; Πε. οὐδὲ σύμβολον
ἐπέβαλεν ὀρνίθαρχος οὐδείς σοι παρών;
Ιρ. μὰ Δί' οὐκ ἔμοιγ' ἐπέβαλεν οὐδείς, ὦ μέλε.
Πε. κἄπειτα δῆθ' οὕτω σιωπῇ διαπέτει
διὰ τῆς πόλεως τῆς ἀλλοτρίας καὶ τοῦ χάους;
Ιρ. ποίᾳ γὰρ ἄλλῃ χρὴ πέτεσθαι τοὺς θεούς;
Πε. οὐκ οἶδα μὰ Δί' ἔγωγε. τῇδε μὲν γὰρ οὔ.
ἀδικεῖς δὲ καὶ νῦν. ἆρά γ' οἶσθα τοῦθ' ὅτι
δικαιότατ' ἂν ληφθεῖσα πασῶν ἰρίδων
ἀπέθανες, εἰ τῆς ἀξίας ἐτύγχανες.
Ιρ. ἀλλ' ἀθάνατός εἰμ'. Πει. ἀλλ' ὅμως ἂν ἀπέθανες.
δεινότατα γάρ τοι πεισόμεσθ' ἐμοὶ δοκεῖ,
εἰ τῶν μὲν ἄλλων ἄρχομεν, ὑμεῖς δ' οἱ θεοὶ
ἀκολασταίνετε, κοὐδέ πω γνώσεσθ' ὅτι
ἀκροατέον ὑμῖν ἐν μέρει τῶν κρειττόνων.
φράσον δέ μοι τὼ πτέρυγε, ποῖ ναυστολεῖς.

Πάραλος ἢ σαλαμινία. αὗται ἱεραὶ τριήρεις δημόσιαι, ἐπὶ τὰς τῆς πόλεως χρείας πεμπόμεναι καὶ ταχυναυτοῦσαι. Ἄλλως. ἐπεὶ ταχεῖαν αὐτὴν εἶπεν. αὗται δὲ αἱ τριήρεις ὡς αἱ ὑπηρετίδες οὖσαι, ταχεῖαι ἦσαν. πάραλος καὶ σαλαμινία. ἐὰν δὲ δασέως ἐν ἄρθρου μοίρᾳ ἔσται ἡ αὐτὴ πάραλος καὶ σαλαμινία. Ἀναπτάμενος τρίορχος. ἐπεὶ ἑταίρα ἦν, ἔπαιξε τὸ τρίορχος.

Σφραγῖδ' ἔχων παρὰ τῶν πελαργῶν. οἷον σύμβολον ἐπὶ τῷ συγχωρηθῆναι παρελθεῖν. Ὑγιαίνεις μέν. ὑγιαίνεις φησί. καὶ οὐ μαίνῃ; τοιαῦτα ἀνθρώπων.

Ἐπέβαλεν ὀρνίθαρχος. πρὸς τὸ ἐπέβαλεν. ὅτι καὶ νῦν ἐπὶ τοῦ συνουσιάσαι ὃ καὶ ἐνόμασε λέγειν ἡ ἶρις, διὸ παραιτεῖται.

Τῆς ἀλλοτρίας καὶ τοῦ χάους. χάους τοῦ ἀέρος διὰ τὸ κεχύσθαι εἰς ἄπλωμα. Πασῶν ἰρίδων. ἢ ὡς τοῦ ἀέρος ποικίλας ἴριδας ποιοῦντος. ἢ ἀντὶ τοῦ εἰπεῖν θεαινῶν. Τῆς ἀξίας. λείπει τιμωρίας. Ἀκολασταίνετε. ἀκόλαστα καὶ ἄτακτα πράξετε. Ἐν μέρει τῶν κρειττόνων. κατά τι μέρος ὑμῖν ὑποτετάχθαι ὀφείλετε. Τὼ πτέρυγε ποῖ ναυστολεῖς. ἔπαιξεν ὡς ἐπὶ νεῶν. ποῦ παρασκευάζῃ.

πρᾶττε προστακτικῶς. Πυῤῥίχην βλέπων. ἐνόπλιον καὶ πολεμικόν τι. ἐνόπλιος γὰρ ὄρχησις ἡ πυῤῥίχη. Εἰς τὸν ἀέρα. δέον εἰπεῖν εἰς τὴν πόλιν. Ἡμεροσκόπους. τοὺς ἐν ἡμέρᾳ φρουροῦντας. Τοῦτ' ἴσμεν. πρὸς τὴν ἐν Ἰλιάδι γραφὴν τὴν, χειρὸς ἔβη μετὰ δ' αὖτε. οὕτως ἀξιοῦσιν ἀμφισφαίνειν γράφειν. Περιπόλους. τοὺς φύλακας. ἢ ζήτει τὰς ἀπὸ τοῦ περιπολεῖν. τὸ δὲ ἑξῆς, οὐκ ἐχρῆν περιπόλους πέμψαι. Ἱπποτοξότας. ἀπὸ τοῦ ἵππου τὴν ὀξεῖαν αὐτῶν πτῆσιν δηλοῖ. ἀπὸ δὲ τοῦ τόξου τὸ ἐπικαμπὲς τῶν ὀνύχων.

Διὰ τῶν πυλῶν εἰσέπτατ' εἰς τὸν ἀέρα.
λαθὼν κολοιοὺς φύλακας ἡμεροσκόπους.
Πει. ὦ δεινὸν ἔργον καὶ σχέτλιον εἴργασμένος.
τίς τῶν θεῶν. Αγ. οὐκ ἴσμεν. ὅτι δ' εἶχε πτερὰ,
τοῦτ' ἴσμεν. Χο. οὔκουν δῆτα περιπόλους ἐχρῆν
πέμψαι κατ' αὐτὸν εὐθύς; Αγ. ἀλλ' ἐπέμψαμεν
τρισμυρίους ἱέρακας ἱπποτοξότας.
χωρεῖ δὲ πᾶς τις ὄνυχας ἠγκυλωμένος.
κερχνής. τριόρχης. γύψ. κύμινδις. αἰετός.
ῥύμῃ τε καὶ πτεροῖσι καὶ ῥοιζήμασιν
αἰθὴρ δονεῖται, τοῦ θεοῦ ζητουμένου.
κἄστ' οὐ μακρὰν ἄπωθεν. ἀλλ' ἐνταῦθά που
ἤδη 'στιν. Χο. οὔκουν σφενδόνας δεῖ λαμβάνειν.
καὶ τόξα. Αγ. χώρει δεῦρο πᾶς ὑπηρέτης
τόξευε παῖε. σφενδόνην τίς μοι δότω.

ΣΤΡΟΦΗ ΚΩΛΩΝ, ΙΑ'.

Χο. πόλεμος αἴρεται.
πόλεμος οὐ φατός,
πρὸς ἐμὲ καὶ θεούς. ἀλλὰ φύλαττε πᾶς
ἀέρα περινέφελον. ὃν ἔρεβος ἐτέκετο
μή σε λάθῃ θεῶν τίς ταύτῃ περῶν
ἄθρει δὲ πᾶς κύκλῳ σκοπῶν
ὡς ἐγγὺς ἤδη δαίμονος πεδαρσίου.
δίνης, πτερωτὸς φθόγγος ἐξακούεται.
Πει. αὕτη σὺ, ποῖ ποῖ ποῖ. πέτει. μέν' ἥσυχος
ἔχ' ἀτρέμας. αὐτοῦ στῆθ' ἐπίσχες τοῦ δρόμου.
τίς εἶ. ποδαπή. λέγειν ἐχρῆν ὁπόθεν ποτ' εἶ.
Ιρ. παρὰ τῶν θεῶν ἔγωγε τῶν ὀλυμπίων.

Ἠγκυλωμένος. ἀγκύλη εἶδος ἀκοντίου. Κύμινδις. τὴν κύμινδιν. οὐκ ἀεὶ γράφει ὁ Καλλίμαχος, μήποτε κίμινδις γραπτέον. ὁ δὲ τριόρχης, εἶδος ἱέρακος. Ῥύμη. φορὰ βιαία. Πόλεμος αἴρεται. εἴσθεσις χοροῦ ἐπῳδικὴ κώλων τροχαϊκῶν ἐπιμεμιγμένων χορείοις ἤτοι τριβράχεσι καὶ δακτύλοις, πενθημιμερῶν η. ὧν τὰ μὲν πρῶτα τρία καὶ παιωνικὰ εἰ βούλει τρικσει ἡμιόλια. τὸ τέταρτον τροχαϊκὸν ἐκ δακτύλου πενθημιμερές. τὸ πέμπτον καὶ ἕκτον ἰθυφαλλικά. τὸ ζ' καὶ η τροχαϊκὰ πενθημιμερῆ. ἐν ἐκθέσει δὲ ἰαμβικὰ τρία ὧν τὸ πρῶτον δίμετρον ἀκατάληκτον. οἱ δὲ δύο τρίμετροι ἀκατάληκτοι. ἐπὶ τῷ τέλει κορωνίς. Πόλεμος αἴρεται. διὰ τὴν ὑπερβολὴν ἀντὶ τοῦ ἐγείρεται καὶ μετεωρίζεται. Ἀέρα περινέφελον. ἀέρα λέγει, τὴν ἀοραστίαν. τὸ σκότος. Πεδαρσίου. μετεώρου. πετομένου. παρὰ τὸ ἐκ τοῦ πέδου αἴρεσθαι. Αὕτη σύ. κορωνὶς εἴσοδον τῆς αὖθις τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ξγ'. ὧν πλείστως καταιβαλώσεις τῶν νεωτέρων τινά. ἐπὶ τῷ τέλει κορωνίς.

297. b.

γεσι. παρὰ τὴν ἔραν πέπαιχεν ἐπεὶ πηλὸς ἐκ τῆς ἔρας· τουτέστι τῆς γῆς. ταῦτα δὲ ὡς ἐν κωμῳδίᾳ ἐσχημάτισται. λεκάνη δὲ τὸ κοινὸν παρὰ τὸ λαωπατικόν. καὶ τὸ χαίνω. τὸ δὲ ἀττικὸν λεκάνη. Οἱ χῆνες ὑποτύπτοντες. διὰ τὸ πλατύποδας τῶν ἄλλων μᾶλλον εἶναι τοὺς χῆνας. Τί δῆτα πόδες. παρὰ τὴν παροιμίαν· τί δῆτα χεῖρες οὐκ ἂν ἐργασαίατο. καὶ νὴ δί' αἱ νῆτται. ἡ νῆττα εἶδος ὀρνέου, ἔχον τὴν περίζωσιν ἐκ φύσεως. ὥσπερ ζώνην λευκήν, τοῦτο οὖν ἔπαιξεν ὡς αἱ ἐζωσμένην ἐργα-
κὰς αὐτήν. ὑπαγωγέα δέ, τὸν ξυστῆρα. πλατὺ δέ ἐστι σιδήριον ᾧ ξύουσι τὸν πηλόν. Ἄλλως. τινὲς τῶν νησσῶν ἔχουσιν ὡς ζώνην ἐν κύκλῳ λευκήν. Ἔχουσαι κατόπιν. ὥσπερ παιδία βαστάζουσαι αὐτὸν ὡς εἰώθασι βαστάζειν τὰ παιδία. ἀσαφῶς δὲ λέγει. λέγει γὰρ τὰς χελιδόνας τὸν ὑπαγωγέα ἐπὶ τῶν ὤμων αὐτὰς κομίζειν. τὸν δὲ πηλὸν ἐν τοῖς στόμασι. καὶ ποιοῦσι τοῦτο, ὅταν τὰς νεοσσιὰς κατασκευάζωσιν. ὁ δὲ ὑπαγωγεὺς ὥς τινες σιδήρου τι. οἱ δὲ ξυλύδριον. ᾧ ἐχρῶντο οἰκονιαταί. οἱ δὲ, ἐργαλεῖον οἰκοδομικὸν ᾧ ἀπευθύνουσι τὰς πλίνθους πρὸς ἀλλήλας. τινὲς δὲ αὐτὸ παράξυστον καλοῦσιν. εἰ μὴ ἄρα πηλόν τινα ὑπαγωγέα καλοῦσι, τοιοῦτον γάρ τι καὶ Ἕρμιππος ἐν τοῖς τριμέτροις ἐμφανίζει. Πελεκᾶντες. παρὰ τὸ πελεκᾶν τὰ ξύλα. τῷ ὀνόματι τοῦ ὄρνιθος πιθανῶς ἐχρήσατο παίζων. καὶ ὅτι ῥάμφος ἔχει μέγα. Καὶ βεβαλάνωται. ὥστε εἶναι κεκλείδωται ὅτι βάλανοι λέγονται, τὰ μάγγανα τῆς κλειδώσεως. Ἐφοδεύεται. διοδεύεται. τὸ δὲ κωδωνοφορεῖται, ἀντὶ τοῦ δοκιμάζεται ἡ τῶν φυλάκων φρουρά. Φρυκτωρίαι. αἱ τῶν πύργων φυλακαί. παρὰ τὸν πυρσὸν καὶ τὸ ὠρεῖν. Ἀπονίψομαι. ἦν γὰρ ἀπὸ πηλοῦ ἢ κονίας ὡς ἀπὸ τῶν ἔργων. Τἄλλα δρᾶ. ἀντὶ τοῦ

Οἱ χῆνες ὑποτύπτοντες ὥσπερ ταῖς ἄμαις
ἐς τὰς λεκάνας ἐνέβαλον αὐτοῖς τοῖν ποδοῖν.
Πει. τί δῆτα πόδες ἂν, οὐκ ἂν, ἐργασαίατο.
Ἀγγ. καὶ νὴ δί' αἱ νῆτταί γε περιεζωσμέναι,
ἐπλινθοφόρουν. ἄνω δὲ τὸν ὑπαγωγέα
ἐπέτοντ' ἔχουσαι κατόπιν ὥσπερ παιδία,
τὸν πηλὸν ἐν τοῖς στόμασιν αἱ χελιδόνες.
Πει. τί δῆτα μισθωτοὺς ἂν ἔτι μισθοῖτό τις
φέρ' ἴδω. τί δαί. τὰ ξύλινα τοῦ τείχους, τίνες
ἀπειργάσαντ'. Ἀγγ. ὄρνιθες ἦσαν τέκτονες.
σοφώτατοι, πελεκᾶντες, οἳ τοῖς ῥύγχεσιν
ἀπεπελέκησαν τὰς πύλας. ἦν δ' ὁ κτύπος
αὐτῶν πελεκώντων, ὥσπερ ἐν ναυπηγίῳ,
καὶ νῦν ἅπαντ' ἐκεῖνα πεπύλωται πύλαις
καὶ βεβαλάνωται. καὶ φυλάττεται κύκλῳ.
ἐφοδεύεται. κωδωνοφορεῖται πανταχῇ
φυλακαὶ καθεστήκασι, καὶ φρυκτωρίαι,
ἐν τοῖσι πύργοις. ἀλλ' ἐγὼ μὲν ἀποτρέχων,
ἀπονίψομαι. σὺ δ' αὐτὸς ἤδη τἄλλα δρᾶ.
Χο. οὗτος. τί ποιεῖς. ἆρα θαυμάζεις ὅτι,
οὕτω τὸ τεῖχος ἐκτετείχισται ταχύ;
Πει. νὴ τοὺς θεοὺς ἔγωγε. καὶ γὰρ ἄξιον
ἴσα γὰρ ἀληθῶς φαίνεταί μοι ψεύδεσιν.
ἀλλ' ὡδί, φύλαξ γὰρ τῶν ἐκεῖθεν ἄγγελος.
ἐσθεῖ πρὸς ἡμᾶς δεῦρο, πυρρίχην βλέπων.
Ἀγ. ἰοὺ ἰού. ἰοὺ ἰού. ἰοὺ ἰού.
Πει. τί τὸ πρᾶγμα τουτί; Ἀγ. δεινότατα πεπόνθαμεν
τῶν γὰρ θεῶν τις ἄρτι τῶν παρὰ τοῦ Διός,

τος τοῦ σταδίου. ἀντὶ τοῦ δίκην δρόματος ταχέως φερόμενος. ὁ δὲ Δίδυμος παρὰ τὸ Πινδάρου. ἄμπνευμα σεμνὸν Ἀλφειοῦ. διχῶς δέ τινες Ἀλφειὸν πνέων. Προξενίδης καὶ Θεαγένης. ἐκ τούτων σημαίνεται τὸ ἀνυπόστατον τοῦ τείχους. ἐπειδὴ καπνοὶ ἦσαν καὶ κομπασταί. καὶ μόνον ὑπόσχεσις. τοιοῦτο δὲ καὶ ἡ τοῦ τείχους οἰκοδομή. Ὁ κομπασεύς. ἔπαιξε παρὰ τὸν κόμπον. προείρηται δὲ περὶ αὐτῶν ἀμφοτέρων ὅτι κομπασταί. Τηλεκλείδης δὲ ἐν Ἡσιόδῳ, ὡς παχυεμβίον τῷ σώματι κωμῳδεῖ αὐτόν.

Ἄγγ. ποῦ ποῦ 'στι; ποῦ ποῦ ποῦ 'στι; ποῦ ποῦ ποῦ 'στι; ποῦ;
ποῦ Πεισθέταιρός ἐστιν ἄρχων; Πει. οὑτοσί.
Ἄγγ. ἐξῳκοδόμηταί σοι τὸ τεῖχος. Πει. εὖ λέγεις.
Ἄγγ. κάλλιστον ἔργον καὶ μεγαλοπρεπέστατον.
ὥσθ' ὑπεράνω μὲν Προξενίδης ὁ Κομπασεὺς,
καὶ Θεαγένης ἐναντίω δύ' ἅρματε,
ἵππων ὑπόντων μέγεθος ὅσον ὁ δούριος.
ὑπὸ τοῦ πλάτους ἂν παρελασαίτην. Πει. Ἡράκλεις.
Ἄγγ. τὸ δὲ μῆκός ἐστι, καὶ γὰρ ἐμέτρησ' αὔτ' ἐγὼ,
ἑκατοντόργυιον. Πει. ὦ Πόσειδον τοῦ μάκρους.
τίνες ᾠκοδόμησαν αὐτὸ τηλικουτονί.
Ἄγγ. ὄρνιθες. οὐδεὶς ἄλλος. οὐκ Αἰγύπτιος.
πλινθοφόρος. οὐ λιθουργός. οὐ τέκτων παρῆν.
ἀλλ' αὐτόχειρες. ὥστε θαυμάζειν ἐμέ.
ἐκ μέν γε Λιβύης ἧκον ὡς τρισμύριαι.
γέρανοι θεμελίους καταπεπωκυῖαι λίθους
τούτους δ' ἐτύκιζον αἱ κρέκες τοῖς ῥύγχεσιν.
ἕτεροι δ' ἐπλινθοφόρουν πελαργοὶ μυρίοι.
ὕδωρ δ' ἐφόρουν κάτωθεν εἰς τὸν ἀέρα.
οἱ χαραδριοὶ καὶ τἄλλα ποτάμι' ὄρνεα.
Πει. ἐπηλοφόρουν δ' αὐτοῖσι τίνες. Ἄγγ. ἐρωδιοὶ,
λεκάναισι. Πει. τὸν δὲ πηλὸν ἐνεβάλλοντο πῶς
Ἄγγ. τοῦτ' ὦγαθ' ἐξηύρητο καὶ σοφώτατα,

Ὅσον ὁ δούριος. οὐ πιθανὸν κοινῶς λέγειν αὐτόν. ἀλλὰ περὶ τοῦ χαλκοῦ τοῦ ἐν ἀκροπόλει. ἀνέκειτο γὰρ ἐν ἀκροπόλει δούριος ἵππος ἐπιγραφὴν ἔχων. Χαιρέδημος Εὐαγγέλου ἐκ Κοίλης ἀνέθηκε. δύναται δὲ ὁ ἐν Ἰλίῳ λαμβάνεσθαι. ἐν ἀκροπόλει δὲ χαλκοῦς ἵππος ἀνέκειτο κατὰ μίμησιν τοῦ ἰλιακοῦ. Τοῦ μάκρους. σημείωσαι ὅτι τὸ μάκρος λέγει. Αἰγύπτιος πλινθοφόρος. οἱ Αἰγύπτιοι ἐκωμῳδοῦντο ὡς ἀχθοφόροι. καὶ ἐν Βατράχοις. οὓς οὐκ ἄραιντ' ἂν οὐδ' ἑκατὸν Αἰγύπτιοι. Εἰς τὸ αὐτό. ὅτι ἴδιον Αἰγυπτίων τὸ ἀχθοφορεῖν. Γέρανοι θεμελίους. διὰ τὸ ἐν ὕψει πέτεσθαι. καὶ τῇ εἰς εὐθὺ ὁρμῇ τὴν ἐπὶ τὰ κάτω θέαν ἐμποδίζεσθαι, λίθους βαστάζουσιν. ὅπως κάμνουσαι τῇ πτήσει ῥίπτοιεν. καὶ αἴσθοιντο πότερον ἐπὶ γῆς ἢ ἐπὶ θαλάσσης φέρονται. καὶ εἰ μὲν ἐπὶ θαλάσσης ἠχοῖ ὁ λίθος, ἀνύουσι τὴν ὁδόν. εἰ δὲ ἐπὶ γῆς, ἀναπαύονται. Καταπεπωκυῖαι λίθους ἐπειδὰν γέρανοι λίθους καταπίνουσι καὶ ἐπὶ τὴν Αἴγυπτον παραγίνονται. Τούτους δ' ἐτύκιζον. τύκος ὀργαλεῖόν τι ᾧ τοὺς λίθους περιτύκουσι. καὶ ξέουσιν. ἐπιτήδειον δὲ ἔργον, ταῖς μακρὸν ἐχούσαις ῥύγχος. κρὲξ δὲ, εἶδος ὀρνέου. ὀξὺ πάνυ τὸ ῥύγχος καὶ πριονῶδες ἔχον. Πελαργοὶ μυρίοι. διὰ τὸ πελαργικὸν τεῖχος, τοὺς ἀπὸ Τυρρηνίας ἥκοντας ἀναστῆσαι. Οἱ χαραδριοί. ὠνοματοπεποίηται τὸ ὄρνεον παρὰ τὸ, ταῖς χαράδραις διατρίβειν. Ἐρωδιοὶ λεκά-

Πολλῷ τῶν ἀλεξάνδρου. τοῦ πάριδος ὧν ἔλαβε παρὰ ἀφροδίτης. ἀπὸ κοινοῦ δὲ τὸ δώσομεν. Γλαῦκες ὑμᾶς. ἀντὶ τοῦ νομίσματα. ἡ γὰρ γλαὺξ, ὄρνεόν ἐστιν ἀθηνᾶς. ὅπερ πάνυ τιμῶντες ἀθηναῖοι διὰ τὴν θεὸν, ἐν τοῖς τετραδράχμοις ἐνεχάραξαν νομίσμασιν. αἰνίττεται δὲ καὶ εἰς τὸ φιλάργυρον τῶν ἀθηναίων. Ἄλλως.

Ἡ γλαὺξ ἐπὶ χαράγματος ἦν τετραδράχμου, ὡς φιλόχορος. ἐκλήθη δὲ τὸ νόμισμα τὸ τετράδραχμον τότε ἡ γλαὺξ. ἦν γὰρ γλαὺξ ἐπίσημον. καὶ πρόσωπον ἀθηνᾶς. τῶν προτέρων διδράχμων ὄντων. ἐπίσημον τε βοῦν ἐχόντων. Κἀκλέψουσι. δέον εἰπεῖν καὶ λεπίσουσι. λεπίζουσι γὰρ τὸ ὠὸν ἐκφέρουσι τὰ νεόττια.

Ἐρέψομεν. διὰ τὰ ἐν τοῖς ναοῖς ἀετώματα. ἀντὶ τοῦ στεγάσομεν πρὸς ἀετώματα. τὰς γὰρ τῶν ἱερῶν στέγας, πτερὰ καὶ ἀετοὺς καλοῦσιν. ὥς φησιν ἴων ἐν ἀγαμέμνονι. Κἂν λαχόντες ἀρχίδιον. ὑποκοριστικῶς τὴν ἀρχήν. διαβάλλει δὲ αὐτοὺς ὡς ἅρπαγας.

Ὀξὺν ἱερακίσκον. ἀντὶ τοῦ ἁρπαγὴν ὀξεῖαν. δίδυμος τάχος ὡς ἱέρακος ἵνα ταχέως φύγῃ.

ὥς τι κρείττω δῶρα πολλῷ τ' ἀλεξάνδρου λαβεῖν.
πρῶτον μὲν γὰρ οὗ μάλιστα πᾶς κριτὴς ἐφίεται,
γλαῦκες ὑμᾶς οὔποτ' ἐπιλείψουσι λαυριωτικαί.
ἀλλ' ἐνοικήσουσιν ἔνδον, ἔν τε τοῖς βαλλαντίοις
ἐννεοττεύσουσι, κἀκλέψουσι μικρὰ κέρματα.
εἶτα πρὸς τούτοισιν, ὥσπερ ἐν ἱεροῖς οἰκήσετε.
τὰς γὰρ ὑμῶν οἰκίας, ἐρέψομεν πρὸς ἀετόν.
κἂν λαχόντες ἀρχίδιον, εἶθ' ἁρπάσαι βούλησθέ τι
ὀξὺν ἱερακίσκον ἐς τὰς χεῖρας ὑμῖν δώσομεν.
ἢν δέ που δειπνῆτε, πρηγορεῶνας ὑμῖν πέμψομεν.
ἢν δὲ μὴ κρίνητε, χαλκεύεσθε μηνίσκους φορεῖν.
ὥσπερ ἀνδριάντες. ὡς ὑμῶν ὃς ἂν μὴ μήνην ἔχῃ,
ὅταν ἔχητε χλανίδα λευκὴν, τότε μάλιστ' οὕτω δίκην
δώσεθ' ἡμῖν πᾶσι τοῖς ὄρνισι καταπλώμενοι. (κηρ
Πε. τὰ μὲν ἱέρ' ἡμῖν ἐστὶν ὦ 'ρνιθες καλά.
ἀλλ' ὡς ἀπὸ τοῦ τείχους πάρεστιν ἄγγελος
οὐδεὶς ὅπου πευσόμεθα τἀκεῖ πράγματα.
ἀλλ' οὑτοσὶ τρέχει τις ἀλφειὸν πνέων.

Πρηγορεῶνας κυρίως τῶν ὀρνίθων ὁ λεγόμενος πρόλοβος. ἑκάτερον δὲ, ἀπὸ τοῦ συναθροίζειν ἐκεῖ τὴν τροφήν. δίδυμος δὲ, τοὺς βρόγχους τῶν ὀρνέων τοὺς λεγομένους προλόβους ὅτι συλλέγεται ἐν αὐτοῖς τὰ σιτία. λέγεται δὲ, καὶ ἐπὶ ἀνθρώπων πρηγορεὼν πάλιν ὁ βρόγχος. ἑκάτερον δὲ, ἀπὸ τοῦ συναθροίζειν ἐκεῖ τὴν τροφήν. Ἂν δὲ μὴ κρίνητε. ἐὰν δὲ μὴ ἡμᾶς κρίνητε νικᾶν, τίθεσθε ὥσπερ οἱ ἀνδριάντες μηνίσκους ἐπὶ ταῖς κεφαλαῖς. ποιοῦσι γὰρ ἔνιοι ὥστε μὴ ἐφάπτεσθαι τὰ ὄρνεα. Εἰς τὸ αὐτό. Μηνίσκους σκεπάσματα τῶν ἀνδριάντων, διὰ τὸ μὴ ἀποπατεῖν κατ' αὐτῶν τὰ ὄρνεα. φησὶν οὖν, ὅτι μέλλομεν ὑμῶν καταπατεῖν. Μήνην. μηνίσκον. μήνῃ γὰρ ἔοικε.

Τὰ μὲν ἱερὰ ἡμῖν. κορωνὶς εἰσιόντων αὖθις τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. ο. ὧν τελευταῖος. τόξευε πᾶς τις. σφενδόνην τίς μοι δότω. ἐπὶ τῷ τέλει κορωνίς. Ἀλλ' οὑτοσὶ τρέχει. σύμμαχος. οὕτω συντόνως τρέχει, ὡσεὶ ὀλυμπιακὸς σταδιοδρόμος ἢ ἀπὸ τοῦ παραρρέον-

Τοῖς τε κοψίχοισιν. οἱ κόψιχοι γὰρ ὠοτοκοῦντες, κεντοῦσι τὰ ὠά. οἱ οὖν ὀρνιθοθῆραι πτερὰ αὐτοῖς ἐμβάλλουσι πρὸς τὸ ἀμβλῦναι τὰ ῥάμφη τῇ μαλακότητι τῶν πτερῶν. ἢ ἵνα μὴ κορύζωσιν, ἢ μετὰ τὸ σφάζαι πτερὰ ἐμβάλλουσιν. ὥστε δι' αὐτῶν αὐτοὺς κρεμαμένους, ὁραθῆναι πᾶσιν. ἐμφαντικὸν δὲ πλήθους, τὸ ἐγχεῖ. βιαίως δὲ τὸ ἐγχεῖ, εἴροντες γὰρ διὰ τῶν ῥινῶν, καὶ κρεμῶντες ἐπώλουν. Παλεύειν. θηρεύειν. ἢ προκαλεῖσθαι. εἰώθασιν ἐκτυφλοῦντές τινα τῶν ὀρνέων, ἱστᾶν ἐν δικτύῳ. ὅπως τῇ φωνῇ, προσκαλοῖτο τὰ ὁμόφυλα. καὶ τοῦτο γλωσσηματικὸν παλεύειν ἔλεγον. Ἄλλως. θηρεύειν. προκαλεῖσθαι βοσκόμενα. οὐ περὶ τῶν κοψίχων δὲ τοῦτο. ἐπεὶ δεδεμένους ἀνειπεῖν. ἀλλὰ μετέβη, ἐπὶ περιστερὰς ἢ φάττας.

Τοῖς τε κοψίχοισιν εἰς τὰς ῥῖνας ἐγχεῖ τὰ πτερά.
τὰς περιστεράς θ' ὁμοίως ξυλλαβὼν, εἷρξας, ἔχει
κἀπαναγκάζει παλεύειν, δεδεμένας ἐν δικτύῳ.
ταῦτα βουλόμεσθ' ἀνειπεῖν. κεἴ τις ὄρνιθας τρέφει,
εἰργμένους ὑμῶν ἐν αὐλῇ, φράζομεν μεθιέναι
ἢν δὲ μὴ πείθησθε, συλληφθέντες ὑπὸ τῶν ὀρνέων,
αὖθις ὑμεῖς αὖ παρ' ἡμῖν δεδεμένοι, παλεύσετε.

ἈΝΤΩΔΗ ΚΑΙ ἈΝΤΙΣΤΡΟΦΗ Κώλων, ιδ'.

ΧΟ. εὔδαιμον φῦλον πτηνῶν.
οἰωνῶν, οἳ χειμῶνος μὲν,
χλαίνας οὐκ ἀμπισχνοῦνται.
οὐδ' αὖ θερμὴ πνίγους ἡμᾶς
ἀκτὶς τηλαυγὴς θάλπει.
ἀλλ' ἀνθηρῶν λειμώνων. φύλλων ἐν κόλποις ἐνναίω.
ἡνίκ' ἂν ὁ θεσπέσιος ὀξυμελὴς ἀχέτας,
θάλπεσι μεσημβρινοῖς ὑφηλιομανὴς βοᾷ.
χειμάζω δ' ἐν κοίλοις ἄντροις
νύμφαις οὐρείαις ξυμπαίζων.
ἠρινά τε βοσκόμεθα παρθένια
λευκότροφα μύρτα χαρί-
των τε κηπεύματα.

ἈΝΤΕΠΙΡΡΗΜΑ ΣΤΙΧΩΝ, ις'.

ΧΟ. τοῖς κριταῖς εἰπεῖν τι βουλόμεσθα, τῆς νίκης πέρι.
ὅσ' ἀγάθ' ἢν κρίνωσιν ἡμᾶς, πᾶσιν αὐτοῖς δώσομεν

Εὔδαιμον φῦλον. ἡ ᾠδὴ καὶ ἀντιστροφή, ὁμοία ἐστὶ τῇ ᾠδῇ καὶ στροφῇ. καὶ αὕτη γὰρ κώλων καὶ στίχων ἐστὶ ιδ'. καὶ τὰ μὲν ἔχει δακτυλικὰ ἰσόμετρα τοῖς ἐκείνης τὰ δὲ παιωνικὰ ἐπιμεμιγμένα κρητικοῖς. ἐπὶ τῷ τέλει ἀσυνήθεις δύο διπλαῖ ἔξω νενευκυῖαι. ἐν σχήματι δὲ εἴρηται ὁ λόγος. εὔδαιμον φῦλον ὃ χειμῶνος. πρὸς γὰρ τὸ σημαινόμενον τοῦ φύλου πληθυντικὸν ὂν ἔφη τὸ οἵ. Οὐδ' αὖ θερμή. τινὲς τοῦ πνίγους κατὰ ἑνικὴν φάσιν. ἵνα ᾖ οὐδὲ ἐν θέρους θερμασίας ἐπικάονται ὑμῖν. Φύλλων ἐν κόλποις. ὥσπερ εἰ ἔλεγεν ὑπὸ τὰ φύλλα. Ὑφηλιομανής. τέρπεται γὰρ καὶ ἐπιμαίνεται τῷ ἡλίῳ ὁ τέττιξ. Παρθένια. διὰ τὸ ἐπιμελῶς τὰς γυναῖκας καὶ τὰς παρθένους τὰ μύρτα ἐσθίειν. λευκότροφα δέ, ἀντὶ τοῦ λευκὰ καὶ τρυφερά. τοιαῦτα γάρ ἐστι μήπω πεπανθέντα. Τοῖς κριταῖς. πολλάκις ἐν ταῖς παραβάσεσι, καὶ οἱ ποιηταὶ λέγουσί τινα εἰς τὰ ἑαυτῶν χρήσιμα, διὰ τοῦ χορικοῦ προσώπου, ὡς νῦν πρὸς τοὺς κριτὰς ἀποτείνει τὸν λόγον. ὅπως αὐτοῖς ψηφίσωνται τὴν νίκην.

κτείνων παμφύλων. καὶ θηρίοις γὰρ πολέμιοι ὄρνιθες ὡς λαγωοῖς ἀετός. Ἑρπετὰ καὶ δάκετα. καὶ τὰ ἄλλα δάκετα ὥς περ εἰ τύχοι ὁ σκορπιός. δάκετα δὲ θηρία ἰοβόλα. Διαγόραν τὸν μήλιον. οὗτος μετὰ τὴν ἅλωσιν μήλου, ἐν ἀθήναις ᾤκει· τὰ δὲ μυστήρια ηὐτέλιζεν· ὡς πολλοὺς ἐκτρέπειν τῆς τελετῆς. τοῦτο οὖν ἐκήρυξαν κατ' αὐτοῦ ἀθηναῖοι. καὶ ἐν χαλκῇ στήλῃ ἔγραψαν. ὥς φησι μελάνθιος ἐν τῷ περὶ μυστηρίων. Εἰς τὸ αὐτό. ταῦτα ἐκ τοῦ ψηφίσματος εἴληφεν. οὕτω γὰρ ἐκήρυξαν. τὸν μὲν ἀποκτείναντα αὐτὸν τάλαντον λαμβάνειν. τὸν δὲ ἀγαγόντα, δύο. ἐκήρυξε δὲ τοῦτο διὰ τὸ ἀσεβὲς αὐτοῦ. ἐπεὶ τὰ μυστήρια πᾶσι διηγεῖτο κοινοποιῶν αὐτά. καὶ τοὺς βουλομένους μυεῖσθαι ἀποτρέπων καθάπερ κρατερὸς ἱστορεῖ. ἐκκεκήρυκται δὲ μάλιστα ὑπὸ τὴν ἅλωσιν τῆς μήλου. οὐδὲν γὰρ κωλύει πρότερον. μελάνθιος δὲ ἐν τῷ περὶ μυστηρίων προφέρεται τῆς χαλκῆς στήλης ἀντίγραφον. ἐν ᾗ ἐπεκήρυξαν καὶ αὐτὸν καὶ τοὺς ἐκδιδόντας πελληνεῖς. ἐν ᾗ γέγραπται καὶ ταῦτα. ἐὰν δέ τις ἀποκτείνῃ διαγόραν τὸν μήλιον, λαμβάνειν ἀργυρίου τάλαντον. ἐὰν δέ τις ἀγάγῃ λαβεῖν δύο. Ἤν τε τῶν τυράννων τίς, τινά. ὡς εἰ ἔλεγέ τινα τῶν ἀνηκόντων αὐτῷ ὃς ἂν φονεύσῃ. Τῶν τεθνηκότων. τῶν ἐπὶ θανάτῳ φευγόντων. ἐν δὲ τοῖς ὑπομνήμασιν, οὕτω γέγραπται· ἐν ὑπερβολῇ καὶ τοὺς τεθνηκότας ἀποκτείνειν. ὥς τι μηδὲν ἐν … πλαγιάζονται δὲ τῇ ἀμφιβολίᾳ. λέγει γάρ, ἐάν τις τινὰ τῶν τοῖς τυράννοις προσηκόντων ἀποκτείνῃ, τάλαντον λήψεται. οἷον γύναιον. τέκνον ἀδελφόν, τοὺς συνωμότους καὶ συμπράξαντας τῇ τυραννίδι. Τὸν στρούθιον. αὐτὸν εἶπεν ἐκ τῶν ὀρνέων. στρούθιον δὲ εἶπεν, ὡς μήλιον. διὸ καὶ οὕτω προσενεκτέον. συνείρων δὲ εἰς ὁρμαθὸν συντιθείς. Σπίνους εἶδος ὀρνέου. τρία δὲ αὐτοὺς λυπεῖ, ὅτι θηρεύει. ὅτι πωλεῖ. ὅτι ζ' τοῦ ὀβολοῦ ὡς εὐτελίζων αὐτούς.

θύσουσ' εὐκταίαις εὐχαῖς.
πᾶσαν μὲν γὰρ γᾶν ὀπτεύω.
σώζω δ' εὐθαλλεῖς καρπούς,
κτείνων παμφύλων γένναν.
θηρῶν· οἳ πάντ' ἐν γαίᾳ
ἐκκάλυκος αὐξανόμενα γένυσι παμφάγοις,
δένδρεσί τ' ἐφεζόμενα καρπὸν ἀποβόσκεται
κτείνω δ' οἳ κήπους εὐώδεις
φθείρουσι λύμαις ἐχθίσταις.
ἑρπετά τε καὶ δάκεθ' ὁπόσα περ
ἐστιν, ὑπ' ἐμᾶς πτέρυγος
ἐν φοναῖς ὄλλυται.

ΕΠΙΡΡΗΜΑ ΣΤΙΧΩΝ, ιϛ'.

ΧΟ. τῇδε μέντοι θἠμέρᾳ μάλιστ' ἐπαναγορεύεται.
ἢν ἀποκτείνῃ τις ὑμῶν διαγόραν τὸν μήλιον,
λαμβάνειν τάλαντον· ἤν τε τῶν τυράννων τίς τινα,
τῶν τεθνηκότων ἀποκτείνῃ, τάλαντον λαμβάνειν.
βουλόμεσθ' οὖν νῦν ἀνειπεῖν ταῦτα χ' ἡμεῖς ἐνθάδε.
ἢν ἀποκτείνῃ τις ὑμῶν φιλοκράτη τὸν στρούθιον,
λήψεται τάλαντον· ἢν δὲ ζῶντ' ἀγάγῃ, τέτταρα.
ὅτι συνείρων τοὺς σπίνους, πωλεῖ καθ' ἑπτὰ τοῦ ὀβολοῦ
εἶτα φυσῶν τὰς κίχλας δείκνυσι καὶ λυμαίνεται.

Φαρνάκῃ. στρατηγὸς περσῶν ὁ Φαρνάκης φαρναβάζου. ἀλαζονικῶς οὖν σκήπτεται κοινωνίαν ἔχειν μετ' ἐκείνου. Τὼ κάδω. τοὺς κάδους τοὺς ἀμφορικοὺς εἰς οὓς τὰς ψήφους καθιᾶσιν. Ἐς τὸν μουνιχιῶνα. εἰς τὸν μαιμακτηριῶνα γὰρ εἰσὶν αἱ κρίσεις. Ἤδη 'πισκόπους. τὸ ὅλον ἤδη. Ὠτοτύξιοι. ἀπὸ τοῦ ὠτοτύζειν ἐσχημάτισεν. Καλοῦμαι. γράφομαι. εἰς τὸ δικαστήριον καλῶ. Ἐς τὸν μουνιχιῶνα. ἐς τὸν μαιμακτηριῶνα γὰρ εἰσὶν αἱ κρίσεις. Κατὰ τὴν στήλην. κατὰ τὴν δημοσίαν ἀναγραφήν. Διασκεδῶ. ἀποπατήσας ἀπαλλάττεται τοῦ συκοφάντου.

ἔστι γὰρ ἃ δι' ἐμοῦ πέπρακται φαρνάκῃ.
Πει. ἄπιθι λαβών. ἔστι δ' ὁ μισθὸς οὑτοσί.
Ἐπί. τουτὶ, τί ἦν. Πει. ἐκκλησία περὶ φαρνάκου.
Ἐπί. μαρτύρομαι τυπτόμενος ὢν ἐπίσκοπος.
Πει. οὐκ ἀποσοβήσεις, οὐκ ἀποίσεις τὼ κάδω.
οὐ δεινά, καὶ πέμπουσιν ἤδη 'πισκόπους
εἰς τὴν πόλιν, πρὶν καὶ τεθύσθαι τοῖς θεοῖς.
Ψη. ἐὰν δ' ὁ νεφελοκοκκυγιεὺς, τὸν ἀθηναῖον ἀδικῇ,
Πει. τουτὶ τί ἐστιν αὖ κακὸν τὸ βυβλίον.
Ψη. ψηφισματοπώλης εἰμί. καὶ νόμους νέους
ἥκω παρ' ὑμᾶς δεῦρο πωλήσων. Πει. τὸ τί.
Ψη. χρῆσθαι νεφελοκοκκυγίας, τοῖσδε τοῖς
μέτροισι. καὶ σταθμοῖσι. καὶ ψηφίσμασι.
καθάπερ ὀλοφύξιοι,
Πει. σὺ δ' ἔγ' οἷσπερ ὠτοτύξιοι χρήσει τάχα.
Ψη. οὗτος τί πάσχεις. Πει. οὐκ ἀποίσεις τοὺς νόμους,
πικροὺς ἐγώ σοι τήμερον δείξω νόμους.
Ἐπί. καλοῦμαι πεισθέταιρον ὕβρεως,
ἐς τὸν μουνυχιῶνα μῆνα.
Πει. ἄληθες οὗτος. ἔτι γὰρ ἐνταῦθ' ἦσθα σύ;
Ψη. ἐὰν δέ τις ἐξελαύνῃ τοὺς ἄρχοντας,
καὶ μὴ δέχηται κατὰ τὴν στήλην.
Πει. οἴμοι κακοδαίμων. καὶ σὺ γὰρ ἐνταῦθ' ἦσθ' ἔτι;
Ἐπί. ἀπολῶ σε. καὶ γράφω σε μυρίας δραχμάς.
Πει. ἐγὼ δὲ σοῦ γε τὼ κάδω διασκεδῶ.
Ἐπί. μέμνησ' ὅτε τῆς στήλης κατέτιλας ἑσπέρας,
Πει. αἰβοῖ. λαβέτω τις αὐτόν. οὗτος. οὐ μενεῖς;
Ἱερ. ἀπίωμεν ἡμεῖς ὡς τάχιστ' ἐντευθενί,
θύσοντες εἴσω τοῖσι θεοῖσι τὸν τράγον.

ὨΔΗ ΚΑΙ ΣΤΡΟΦΗ ΚΩΛΩΝ, ΙΔ΄.

Χο. ἤδη μοι τῷ παντόπτᾳ
καὶ παντάρχᾳ θνητοὶ πάντες

Θύσοντες εἴσω. σκήπτεται περιεῖναι εἴσω τὴν θυσίαν, ἵνα μὴ σφάξῃ τὸ πρόβατον.

Ἤδη μοι τῷ παντόπτᾳ. [illegible] τὴν τελείαν παράβασιν, ἐπιρρηματικὴν ποιεῖσθαι συζυγίαν. ὥσπερ καὶ ἐν ἱππεῦσι πεποίηκεν. Ἄλλως. δευτέρα παράβασις ὡς ἐν ἱππεῦσιν. Ἄλλως. ἡ παράβασις αὕτη οὐκ ἔχει πάντα τὰ μέρη, ἀλλὰ μόνα τέσσαρα. τὴν ᾠδὴν καὶ στροφήν. τὸ ἐπίρρημα. τὴν ἀντῳδὴν καὶ τὸ ἀντεπίρρημα. ἔστι γοῦν ἡ ᾠδὴ καὶ στροφὴ κώλων καὶ στίχων δακτυλικῶν καὶ παιωνικῶν ιδ΄. τὰ α΄. ε΄. ϛ΄. ζ΄. δακτυλικὰ ἑφθημιμερῆ. τὰ β΄. γ΄. δ΄. ι΄. ια΄. τετράμετρα. τὰ δ' ἄλλα παιωνικὰ τετράμετρα μὲν ἀκατάληκτα. τὰ η΄. θ΄. τὸ δὲ ιβ΄. τρίμετρον. τὸ δὲ ιγ΄. δίμετρον. τὸ δὲ ιδ΄. ἑφθημιμερὲς ἐγκριτικόν. ὑφ' ὃ παράγραφος, καὶ διπλῆ ἔσω νενευκυῖα.

Ξενηλατοῦνται. περὶ τῆς ἐκ Λακεδαίμονος ξενηλασίας Θεόπομπός φησιν ἐν τῇ τρίτῃ καὶ τριακοστῇ. τότε γὰρ ἐκεῖσε ἀποδημίας γινομένης, ξενηλασία γέγονεν, ὡς Θεόπομπός φησιν. Μῶν στασιάζετε. ἆρα μὴ εἰς ἀλλήλους μάχεσθε. Ὡς οὐκ οἶδ' ἄρ' εἰ φθαίης. οὐκ οἶδα εἰ φθαίης ἀπιέναι πρὶν ἀποτυμπανισθῆναι. ἅμα δὲ τύπτει αὐτόν. Ἔνδον αὗται. αἱ πληγαί. ἅμα δὲ τύπτει αὐτόν. Οὐκ ἀναμετρήσει. ὅπου γεωμετρήσεις. ἅμα δὲ, ὅπου μέτρια φρονήσεις. πλάττειν τινὰ ἀρχὴν καινήν. οὐδεμία γὰρ Ἀθήνησι.

Ξενηλατοῦνται, καὶ κεκίνηνταί τινες
πληγαὶ συχναὶ κατ' ἄστυ. Γεω. μῶν στασιάζετε;
Πει. μὰ τὸν Δί' οὐ δῆτ'. Γε. ἀλλὰ πῶς; Πει. ὁμοθυμαδὸν
σποδεῖν ἅπαντας τοὺς ἀλαζόνας δοκεῖ.
Γεω. ὑπάγοιμ' ἄρ' αὖ. Πει. νὴ Δί'. ὡς οὐκ οἶδ' ἄρ' εἰ
φθαίης ἄν. ἐπίκεινται γὰρ ἔνδον αὗται;
Γεω. οἴμοι κακοδαίμων. Πει. οὐκ ἔλεγον ἐγὼ πάλαι;
οὐκ ἀναμετρήσεις σαυτὸν ἀπιὼν ἀλλαχῆ;
Ἐπι. ποῦ πρόξενοι; Πει. τίς ὁ Σαρδανάπαλος οὑτοσί;
Ἐπι. ἐπίσκοπος ἥκω δεῦρο, τῷ κυάμῳ λαχὼν,
ἐς τὰς Νεφελοκοκκυγίας. Πει. ἐπίσκοπος;
ἔπεμψε δὲ τίς σε δεῦρο; Ἐπι. φαῦλον βιβλίον
Τελέου. Πει. τί βούλει δῆτα, τὸν μισθὸν λαβὼν
μὴ πράγματ' ἔχειν ἀλλ' ἀπιέναι; Ἐπι. νὴ τοὺς θεοὺς
ἐκκλησιάσαι δ' οὖν ἐδεόμην οἴκοι μένων.

Ποῦ πρόξενοι. προξένους ἐκάλουν, τοὺς τεταγμένους εἰς τὸ ὑποδέχεσθαι τοὺς ξένους τοὺς ἐξ ἄλλων πόλεων ἥκοντας. Τίς ὁ Σαρδανάπαλος. οὗτος υἱὸς Ἀνακυνδαράξου βασιλεὺς Νίνου περσικῆς χώρας. ὃς ἐν μιᾷ ἡμέρᾳ Ταρσὸν καὶ Ἀγχιάλην ἔκτισεν. ἐκτράπελος ταῖς τρυφαῖς. φασὶ γὰρ αἰσχρῶς αὐτὸν καλλωπίζεσθαι. τοῖς τε οἰκείοις μὴ ὁρᾶσθαι εἰ μὴ εὐνούχοις καὶ κόραις. ἐμπυρπολημένου δὲ τοῦ οἴκου, ἔνδον εὑρεθεὶς ἀπέθανεν. Ἀπολλόδωρος δὲ ταῦτά φησιν ἐπιγράφθαι ἐπὶ τῷ τάφῳ αὐτοῦ ἀσσυρίοις γράμμασι. Σαρδανάπαλος Ἀνακυνδαράξου παῖς. Ταρσόν τε καὶ Ἀγχιάλην ἔδειμεν, ἐν ἡμέρᾳ μιᾷ. ἔσθιε. πῖνε. ὄχευε. ὡς τἄλλα οὐδενός ἐστιν ἄξια. ὁ δὲ Ἑλλάνικος ἐν τοῖς περσικοῖς, δύο φησὶ Σαρδαναπάλους γεγονέναι. Εἰς τὸ αὐτό. Περσῶν βασιλεύς. ὃς ἐν τρυφῇ ὥριζετο τὴν εὐδαιμονίαν. λέγει δὲ περὶ αὐτοῦ, ὅτι ἐν μιᾷ ἡμέρᾳ δύο πόλεις ἔκτισε τῆς Λυκίας, Ταρσὸν καὶ Ἀγχιάλην. ἦν δὲ τῷ βίῳ τρυφηλός. καὶ τῷ εἴδει ἐκτράπελος. καὶ τῷ σχήματι ἀλλόκοτος. διὸ λέγουσιν ἐν τῷ τάφῳ αὐτοῦ ἐπιγεγράφθαι τοῦτο τὸ ἐπίγραμμα. εὖ δὲ ἰδὼς ὅτι θνητὸς ἔφυς, ὃν θυμὸν ἄεξε τερπόμενος θαλίῃσι. θανόντι τοι, οὔ τις ὄνησις. καὶ γὰρ ἐγὼ σποδός εἰμι Νίνου μεγάλης βασιλεύων. ταῦτ' ἔχω, ὅσσ' ἔφαγον καὶ ἐφύβρισα, καὶ μετ' ἐρώτων τέρπν' ἔπαθον. τὰ δὲ πολλὰ καὶ ὄλβια κεῖνα λέλειπται. ἡ δὲ σοφὴ βιότοιο παραίνεσις οὐδέποτ' ἐσθλή, κεκτήσθω δ' ὁ θέλων σοφίης τὸν ἀπείρονα πλοῦτον.

Ἐπίσκοπος ἥκω. πλάττει καινὴν ἀρχήν. οὐ γὰρ ἦν Ἀθήνησι. λαχὼν δὲ, ἀντὶ τοῦ κληρωθεὶς ταύτην τὴν ἀρχήν. Ἄλλως. οἱ παρ' Ἀθηναίων εἰς τὰς ὑπηκόους πόλεις ἐπισκέψασθαι τὰ παρ' ἑκάστοις πεμπόμενοι ἐπίσκοποι καὶ φύλακες ἐκαλοῦντο. οὓς οἱ Λάκωνες ἁρμοστὰς ἔλεγον.

μαχος πρὸς τὸ τί ὑποδέδεται τῷ δεξιῷ. Μέτων. Μέτων ἄριστος ἀστρονόμος καὶ γεωμέτρης. τούτου ἐστὶν ὁ ἐνιαυτὸς ὁ λεγόμενος Μέτωνος. φησὶ δὲ Καλλίστρατος ἐν Κολωνῷ, ἀνάθημά τι εἶναι αὐτοῦ ἀστρολογικόν. Σωφρόνιος δὲ, ὅτι τῶν δήμων ἦν ἐκ Κολωνοῦ. τοῦτο δὲ ψεῦδος. Φιλόχορος δὲ, Λευκονιέα φησὶν αὐτόν. τὸ δὲ τοῦ Καλλιστράτου δῆλον. ἴσως γὰρ ἦν τι καὶ ἐν Κολωνῷ. ὁ δὲ Φιλόχορος, ἐν Κολωνῷ μὲν αὐτὸν οὐδὲν λέγει θεῖναι. ψευδῶς δὲ πρὸ Πυθοδώρου ἡλιοτρόπιον ἐν τῇ νῦν οὔσῃ ἐκκλησίᾳ, πρὸς τῷ τείχει τῷ ἐν τῇ Πνυκί.

ὑμῖν διελεῖν τι κατ' ἀγυιάς. Πε. πρὸς τῶν θεῶν
σὺ δ' εἶ τίς ἀνδρῶν; Γεω. ὅστις εἴμ' ἐγὼ, Μέτων.
ὃν οἶδεν Ἑλλὰς χὠ Κολωνός. Πε. εἰπέ μοι
ταυτὶ δέ σοι τί ἐστι; Γεω. κανόνες ἀέρος.
αὐτίκα γὰρ ἀήρ ἐστι τὴν ἰδέαν ὅλος,
κατὰ πνιγέα μάλιστα, προσθεὶς οὖν ἐγὼ
τὸν κανόν' ἄνωθεν τουτονὶ τὸν καμπύλον.
ἐνθεὶς διαβήτην. μανθάνεις; Πε. οὐ μανθάνω.
Γε. ὀρθῷ μετρήσω κανόνι, προστιθεὶς ἵνα
ὁ κύκλος γένηταί σοι τετράγωνος. κἀν μέσῳ
ἀγορά. φέρουσαι δ' ὦσιν εἰς αὐτὴν ὁδοὶ
ὀρθαὶ πρὸς αὐτὸ τὸ μέσον. ὥσπερ δ' ἀστέρος
αὐτοῦ κυκλοτεροῦς ὄντος, ὀρθαὶ πανταχῇ,
ἀκτῖνες ἀπολάμπωσιν. Πε. ἄνθρωπος Θαλῆς.
Μέτων. Γεω. τί ἐστιν. Πε. οἶσθ' ὅτι ἡ φιλῶ σ' ἐγώ;
κἀμοί γε πειθόμενος, ὑποκίνει τῆς ὁδοῦ.
Γεω. τί δ' ἐστὶ δεινόν. Πε. ὥσπερ ἐν Λακεδαίμονι.

μήποτε οὖν τὸ χωρίον φασί τινες ἐκεῖνο ἐπαίω παραλαμβάνεται καὶ ἡ Πνύξ. Κολωνός ἐστιν ὁ ἕτερος ὁ μαθὸς λεγόμενος. οὕτω μέρος τι νῦν σύνηθες γέγονε τὸ Κολωνὸν καλεῖν τὸ ὄπισθεν τῆς μακρᾶς στοᾶς. ἀλλ' οὐκ ἔστι. Μελίτη γὰρ ἅπαν ἐκεῖνο ὡς ἐν τοῖς ὁρισμοῖς γέγραπται τῆς πόλεως. ἴσως δὲ ἐν Κολωνῷ κρήνην τινὰ κατεσκευάσατο. φησὶν ὁ Φρύνιχος Μονοτρόπῳ. τίς δ' ἐστὶν ὁ μετὰ ταῦτα ταύτης φροντίζων. Μέτων ὁ Λευκονιεύς. οἶδα ὁ τὰς κρήνας ἄγων. καθεῖται δὲ, καὶ ὁ Μονότροπος ἐπὶ τοῦ αὐτοῦ χωρίου, εἴρηται. Ἄλλως. ἴσως ἐν τῷ Κολωνῷ κρήνην τινὰ κατὰ μηχανήν πως οὖσαν. ἢ ἄγαλμα ἢ ἀνάθημα ἀστρολογικὸν κατεσκεύασέ τι αὐτῷ. ὅτι δὲ Κολωνὸς ἦν τῷ δήμῳ, ψεῦδος. Φιλόχορος δὲ, Λευκονιέα φησὶν αὐτόν. οὗτος δέ ἐστιν Μέτων οὗ, ὁ ἐνιαυτὸς ὁ λεγόμενος Μέτωνος. Κατὰ πνιγέα μάλιστα. ὥσπερ φησὶ πνιγεὺς περίκειται τῇ γῇ. τὰ δὲ ἑξῆς ἀδιανόητα. πνιγεὺς δὲ οὗτος, ὁ κρίβανος ἢ ἡ κάμινος. Προστιθεὶς οὖν. Δίδυμος. τοιοῦτος ἀήρ ἐστι τῇ γῇ περικείμενος. ὅμοιος πνιγεῖ. καθαπερεὶ πῶμά τι περικείμενος. τὰ δὲ ἑξῆς φησὶν ὁ Σύμμαχος ἀδιανόητα. Ὁ κύκλος. παίζει. ἀδύνατον γὰρ τὸν κύκλον τετράγωνον γενέσθαι. Αὐτοῦ κυκλοτεροῦς. ἵνα τοῦ μέσου κυκλοτεροῦς ὄντος, αἱ ὁδοὶ αὐτῷ παρεκταθῶσιν ὡς ἀκτῖνες ἀστέρων. Ἄνθρωπος Θαλῆς ἐν σαρκασμῷ φησίν. ἔστι δὲ ὁ Θαλῆς οὗτος, τῶν ἑπτὰ φιλοσόφων εἷς, ἐπὶ γεωμετρίᾳ διαβεβοημένος. Ἀθηναῖοι περισπῶσιν. ἡ δὲ κοινὴ βαρύνει. καὶ ὅτε μὲν περισπᾶται, Θαλοῦ ἐστὶν ἡ γενική. ὅτε δὲ βαρύνεται, Θάλητος. Κἀμοὶ πειθόμενος. ὡς φίλος σοι συμβουλεύω ὑπαναχωρῆσαι ἔνθεν.

F Πανδώρᾳ· τῇ γῇ, ἐπειδὴ πάντα τὰ κατὰ τὸ ζῆν δωρεῖται. ἀφ' οὗ καὶ ζείδωρος καὶ ἀνησιδώρα. Αἰετὸς ἐν νεφέλῃσιν. οὐχ ἁπλῶς τοῦτό φησιν, ἀλλ' ὅτι χρησμὸς ἦν τοῖς Ἀθηναίοις διδόμενος τοσοῦτον αὐξηθήσεσθαι, ὅσον αἰετὸς τῶν ἄλλων ὀρνέων ἐν ταῖς νεφέλαις προὔχει. τοῦτον καὶ αὐτὸν εἰς τὸν πεισθέταιρον μετάγεται, ὅπως αὐτὸ λάβῃ. τούτου δὲ καὶ ἐν τοῖς ἱππεῦσι μέμνηται, ὡς εἰς τὴν πόλιν δοκοῦντος εἰρῆσθαι ἐν τοῖς Βάκιδος. Αὐτὰρ ἐπὴν ἄκλητος. τῷ αὐτῷ μέτρῳ ἀνταπάγεται καὶ αὐτὸς τὸν χρησμόν. Σπλαγχνεύειν. σπλάγχνων μεταλαβεῖν. Μήτ' ἢν Λάμπων ᾖ. χρησμολόγος ὁ Λάμπων. μήτε φησὶν ἐὰν αὐτὸς ᾖ ὁ Λάμπων φείδου αὐτοῦ, ἐὰν λέγῃ, ὅτι καὶ ὡς αἰετὸς γενήσῃ. ὁ δὲ Διοπείθης νῦν μὲν ὡς χρησμολόγος, ἑτέρωθι δέ, ὡς κυλλὸς καὶ δωροδόκος. σύμμαχος δὲ, καὶ μανιώδη φησὶ τὸν Διοπείθη τὸν ῥήτορα. ὡς καὶ Τηλεκλείδης ἐν Ἀμφικτύοσι δῆλον ποιεῖ. παράκειται δὲ καὶ τὰ Φρυνίχου ἔμπροσθεν ἐν Κρόνῳ. ἀνὴρ χορεύει καὶ τὰ τοῦ θεοῦ καλά. βούλει Διοπείθη μετὰ γραμμάτων καὶ τύμπανα. καὶ Ἀμειψίας ἐν Κόννῳ. ὥστε ποιοῦντες χρησμοὺς αὐτοῖς δίδοσθαι δεῖν Διοπείθει τῷ παραμαινομένῳ. Ἥκω παρ' ὑμᾶς. εἴσθεσις ὁμοίας ἑτέρας περιόδου ἐκ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ξ΄ ὧν τελευταῖος, θύσοντες εἴσω τοῖς θεοῖσι τὸν τράγον. μετὰ μέν τοι τὸ μβ΄ κῶλον ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον. καὶ μετὰ τὸν νβ΄ ἀντίθετοι δύο. ὧν ὁ πρῶτος σύγκειται ἐξ ἀναπαιστικῆς βάσεως καὶ τροχαϊκῆς ὁμοίας βάσεως. ὁ δὲ τοι νδ΄ σύγκειται ἐξ ἰαμβικοῦ ἑφθημιμεροῦς καὶ τροχαϊκῆς βάσεως. ὁ δὲ, νε΄. ἐξ ἰαμβικοῦ πενθημιμεροῦς καὶ ἀναπαιστικῆς βάσεως. ἐπὶ τῷ τέλει κορωνὶς ἐξιόντων τῶν ὑποκριτῶν. Τίς ὁ κόθορνος. οἷον, τί ὑποδησάμενος πάρει. οὕτω σύμ

πρῶτον Πανδώρᾳ θῦσαι λευκότριχα κριόν·
ὃς δέ κ' ἐμῶν ἐπέων ἔλθῃ πρώτιστα προφήτης,
τῷ δόμεν ἱμάτιον καθαρὸν καὶ καινὰ πέδιλα.

Πει. ἔνεστι καὶ τὰ πέδιλα; Χρη. λαβὲ τὸ βιβλίον,
καὶ φιάλην δοῦναι καὶ σπλάγχνων χεῖρ' ἐπιπλῆσαι.

Πει. καὶ σπλάγχνα διδόν' ἔνεστι. Χρη. λαβὲ τὸ βιβλίον.
κἂν μὲν θέσπιε κοῦρε ποιῇς ταῦθ' ὡς ἐπιτέλλω,
αἰετὸς ἐν νεφέλῃσι γενήσεαι· αἰ δέ κε μὴ δῷς,
οὐκ ἔσει οὐ τρυγὼν οὐδ' αἰετὸς οὐ δρυκολάπτης.

Πει. καὶ ταῦτ' ἔνεστ' ἐνταῦθα; Χρη. λαβὲ τὸ βιβλίον.

Πει. οὐδὲν ἄρ' ὅμοιος ἐσθ' ὁ χρησμὸς τουτωΐ.
ὃν ἐγὼ παρὰ τἀπόλλωνος ἐξεγραψάμην.
αὐτὰρ ἐπήν, ἄνθρωπος ἰὼν ἄκλητος ἀλαζὼν
λυπῇ θύοντας καὶ σπλαγχνεύειν ἐπιθυμῇ,
δὴ τότε χρὴ τύπτειν αὐτὸν πλευρῶν τὸ μεταξύ.

Χρη. οὐδὲν λέγειν οἶμαί σε. Πει. λαβὲ τὸ βιβλίον.
καὶ φείδου μηδὲν. μηδ' αἰετοῦ ἐν νεφέλῃσι.
μήτ' ἢν Λάμπων ᾖ. μήτ' ἢν ὁ μέγας Διοπείθης.

Χρη. καὶ ταῦτ' ἔνεστ' ἐνταῦθα; Πει. λαβὲ τὸ βιβλίον.
οὐκ εἶ θύραζ' ἐς κόρακας. Χρη. οἴμοι δείλαιος.

Πει. οὔκουν ἑτέρωσε χρησμολογήσεις ἐκτρέχων;

Γεω. ἥκω παρ' ὑμᾶς. Πει. ἕτερον αὖ τουτὶ κακόν.
τί δ' αὖ σὺ δράσων. τίς ἰδέα βουλήματος.
τίς ἡ 'πίνοια. τίς ὁ κόθορνος τῆς ὁδοῦ

Γε. γεωμετρῆσαι βούλομαι τὸν ἀέρα.

ἐστάν. διὰ τὸ ἐπαιρόμενον τὴν καταράσσειν καὶ τὴν δρόσον καὶ τὴν ψυχρότητα. Νιφοβόλα πεδία. ἀντὶ τοῦ νιφοβόλου καὶ πολύπορον ὁδὸν κατὰ μεταπλασμόν. μεταπλασμῷ δὲ ἐχρήσατο εἰπὼν νιφοβόλα. ὡς ἀπὸ τῆς νιφοβόλος εὐθείας. ἐπειδὴ δοκεῖ ἐν τῷ ἀέρι οἰκοδομεῖσθαι, παρὰ τὸ βάλλεσθαι ὑπὸ νιφετοῦ ἔπαιξεν. ἐπιτηδὲς δὲ ἀδιανοήτως λέγει. ὅπω; διὰ τοῦ ὄγκου τῶν λέξεων ἀπατῶντας, μηδὲν δὲ λέγοντας διαβάλλει τοὺς ποιητάς. Νὴ τὸν δία. ἡ ζ περίοδος ἐν ἐκθέσει στίχων ἐστὶν ἰαμβικῶν τριμέτρων ε. ἐπὶ δὲ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι. τὸ δὲ περιχώρει πρὸς τὸν ἱερέα φησὶν ἀντὶ τοῦ περίελθε καὶ περίραινε. Εὐφημία ἔστω. εἴσθεσις περιόδου ἀμοιβαίας στίχων λϛ. ὧν οἱ πρῶτοι ὀκτὼ ἰαμβικοὶ τρίμετροι οἱ ἑξῆς δύο ἀσυνάρτητοι παντελῶς καὶ πολυσχηματίστοι. ἀτάκτως τοὺς πόδας κειμένους ἔχοντες. μιμεῖται γὰρ τὸ ἀσυνάρτητον τῶν χρησμῶν. οἱ δ᾽ ἄλλοι ὡς οἱ πρῶτοι. οἱ μέντοι χρησμοὶ ἐπικοί. ἐπὶ τῇ ἀποθέσει καὶ τῷ τέλει παράγραφος. ἔπαιξε δὲ πρὸς τὸ εὐφημία, εἰπὼν τὸ μή.

Νιφοβόλα πεδία πολύπορά τ᾽ ἤλυθον ἀλαλαί.

ΣΥΣΤΗΜΑ ΣΤΙΧΩΝ, Ε.

Πει. νὴ τὸν δί᾽ ἀλλὰ γὰρ πέφευγα ταυταγὶ
τὰ κρυερά, τονδὶ τὸν χιτωνίσκον λαβών.
τουτὶ μὰ δί᾽ ἐγὼ τὸ κακὸν οὐδέπω τ᾽ ἤλπισα
οὕτω ταχέως τοῦτον πεπύσθαι τὴν πόλιν.
αὖθις σὺ περιχώρει λαβὼν τὴν χέρνιβα.
Ιερ. εὐφημία ἔστω. Χρη. μὴ κατάρξῃ τοῦ τράγου.
Πει. σὺ δ᾽ εἶ τίς. Χρη. ὅστις; χρησμολόγος. Πει. οἴμωζέ νυν.
Χρη. ὦ δαιμόνιε. τὰ θεῖα μὴ φαύλως φέρε.
ὡς ἐστὶ βάκιδος χρησμὸς ἄντικρυς λέγων.
εἰς τὰς νεφελοκοκκυγίας. Πει. κᾆπειτα πῶς
ταῦτ᾽ οὐκ ἐχρησμολόγεις σύ, πρὶν ἐμὲ τὴν πόλιν
τήνδ᾽ οἰκίσαι. Χρη. τὸ θεῖον ἐνεπόδιζέ με.
Πει. ἀλλ᾽ οὐδὲν οἷον ἐστ᾽ ἀκοῦσαι τῶν ἐπῶν.
Χρη. ἀλλ᾽ ὅταν οἰκήσωσι λύκοι πολιαί τε κορῶναι
ἐν ταὐτῷ τὸ μεταξὺ κορίνθου καὶ σικυῶνος.
Πει. τί οὖν προσήκει δῆτ᾽ ἐμοὶ κορινθίων.
Χρη. ᾔνιξαθ᾽ ὁ βάκις τοῦτο πρὸς τὸν ἀέρα.

Μὴ φαύλως φέρε. ἀντὶ τοῦ μὴ ἀνδίζου τοῖς χρησμοῖς.

Ὡς ἐστὶ βάκιδος. ὡς φιλήτας ὁ ἐφέσιός φησιν, οὕτως. σίβυλλαι δὲ τρεῖς ἐγένοντο. ὧν ἡ μὲν ἐστὶν ὡς διὰ τῆς ποιήσεως φησίν, ἀπόλλωνος ἀδελφή. δευτέρα δέ, ἡ ἐρυθραία. τρίτη δέ, ἡ σαρδιανή. καὶ βάκιδες ὁμοίως τρεῖς. ὁ μέν, ἐξ ἐλεῶνος τῆς βοιωτίας. ὁ δὲ ἀθηναῖος. ὁ δέ, ἀρκάς. θεόπομπος δέ, ἐν τῇ θ τῶν φιλιππικῶν ἱστορεῖ ἄλλα τε πολλὰ περὶ τοῦ βοιωτοῦ βάκιδος ἱστορεῖ παράδοξα. καὶ ὅτι ποτὲ τῶν λακεδαιμονίων μανείσας τὰς γυναῖκας, ἐκάθηρεν, ἀπόλλωνος αὐτοῖς τοῦτον καθαρτὴν δόντος.

Ἀλλ᾽ οὐδὲν οἷον ἐστ᾽ ἀκοῦσαι, ἀλλ᾽ οὐδὲν κωλύον ἐστὶ καὶ νῦν ἀκοῦσαι τῶν χρησμῶν. οὕτω γὰρ ἔλεγον τὸ λυσιτελοῦν. οὐδὲν οἷον ἀντὶ τοῦ οὐδὲν κωλύων. Τὸ μεταξὺ κορίνθου. παρὰ τὸν λεγόμενον χρησμόν, εἰς τὸ μέσον κτίσαι κορίνθου καὶ σικυῶνος. ἐπεὶ καὶ ἡ πόλις μεταξὺ οὐρανοῦ καὶ γῆς ἵδρυται. Ἄλλως. αἰσώπῳ τῷ μυθογράφῳ χρωμένῳ περὶ τούτου ὁ θεὸς εἶπεν, εἰς τὸ μέσον κτίσαι κορίνθου καὶ σικυῶνος εὔφορος γὰρ αὕτη ἡ χώρα. τὸ δὲ ὅλον παίζει.

143·a·339·b.

Τ ὁ δὲ μὲν οὐκ ἀέκουσα ἢ δ᾽. περίοδος κώλων δέκα παιωνικῶν μεμιγμένων κρητικοῖς καὶ παλιμβακχείοις τεσσάρων. ὧν τὸ α΄ τρίμετρον καταληκτικόν. τὸ β΄. τρίμετρον βραχυκατάληκτον, τοῦ β΄ πρὸς παλιμβάκχου. τὸ τρίτον δίμετρον ἀκατάληκτον διὰ τὴν διαφοράν. ἐν ἐκθέσει δὲ στίχος ἰαμβικὸς τρίμετρος ἀκατάληκτος. ἐπὶ τῷ τέλει παράγραφος. ἑξῆς δ᾽ ἡ ε΄ περίοδος κώλων ἀντισπαστικῶν πέντε. ὧν τὸ πρῶτον δίμετρον καταληκτικὸν τοῦ πρώτου πρὸς πεντασυλλάβου. τὸ β΄ πενθημιμερές. ὁ δ᾽ καλεῖται δοχμαϊκόν. τὸ τρίτον ἰωνικὸν τρίμετρον ἀκατάληκτον. τοῦ πρώτου πρὸς πεντασυλλάβου. τὸ δ΄ ὅμοιον. τὸ ε΄ δίμετρον βραχυκατάληκτον παιωνικόν. ἐπὶ τῷ τέλει παράγραφος. Νομάδεσι καὶ ἐν Σκύθαις. καὶ ταῦτα παρὰ τὰ ἐκ Πινδάρου. ἔχει δὲ οὕτως. νομάδεσσι γὰρ ἐν Σκύθαις, ἀλᾶται στρατῶν. ὃς ἀμαξοφόρητον οἶκον οὐ πέπαται. ἀκλεὴς ἔβα τῶνδε. λαβὼν ἡμιόνους παρ᾽ Ἱέρωνος. καὶ ᾔτει αὐτὸν καὶ ἁρμάδιον. δῆλον δὲ, ὅτι χιτῶνα αἰτεῖ τῇ στολάδι.

ΩΔΗ ΚΑΙ ΣΤΡΟΦΗ ΕΤΕΡΑ ΚΩΛΩΝ, δ΄.

Ποι. τὸ δὲ μὲν οὐκ ἀέκουσα φίλα.
μοῦσα τόδε δῶρον δέχεται.
τὺ δὲ, τεᾷ φρενὶ μάθε. Πινδάρειον ἔπος.
Πει. ἅνθρωπος ἡμῖν οὐκ ἀπαλλαχθήσεται.

ΩΔΗ ΚΑΙ ΣΤΡΟΦΗ ΕΤΕΡΑ ΚΩΛΩΝ, ε΄.

Ποι. νομάδεσι γὰρ ἐν Σκύθαις Ἀλᾶται στρατῶν
ὃς ὑφαντοδόνητον ἔσθος οὐ πέπαται.
ἀκλεὴς δ᾽ ἔβα στολὰς, ἄνευ χιτῶνος.
ξύνες ὅ, τι λέγω.

ΣΥΣΤΗΜΑ ΣΤΙΧΩΝ, ε΄.

Ποι. ξυνίημ᾽ ὅτι βούλει τὸν χιτωνίσκον λαβεῖν.
ἀπόδυθι. δεῖ γὰρ τὸν ποιητὴν ὠφελεῖν.
ἄπελθε τουτονὶ λαβών. Ποι. ἀπέρχομαι,
κἀς τὴν πόλιν γ᾽ ἐλθὼν, ποιήσω δὴ ταδί.

ΩΔΗ ΚΑΙ ΣΤΡΟΦΗ ΚΩΛΩΝ, Δ΄.

κλῇσον ὦ χρυσόθρονε τὰν τρομερὰν κρυεράν.

Ἀλᾶται στρατῶν. ἀλᾶται ἔφη. ἐπειδὴ οἱ Σκύθαι τῷ χειμῶνι διὰ τὸ ἀφόρητον αὐτοῦ ἐπὶ ἀμαξῶν τὰ πράγματα βάλλοντες ἑαυτῶν, αἴρουσιν ἐς ἄλλην χώραν. ὁ μὴ ἔχων δὲ ἐκεῖσε ἅμαξαν, ἄτιμος παρ᾽ αὐτοῖς κρίνεται. Ἀκλεὴς ἔβα στολάς. δῆλον ὅτι χιτῶνα αἰτεῖ πρὸς τῇ στολάδι. ἀκλεὴς φησὶν ἡ στολὰς ἄνευ χιτῶνος οὖσα. ἀτιμότερος ἀνήρ. Πέπαται δὲ κέκτηται. Ξυνίημ᾽ ὅτι βούλει. ἡ ἔξω περίοδος ἡνωμένη οὖσα κώλων καὶ στίχων δέκα. ὧν οἱ πρῶτοι τέσσαρες ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. μίαν γὰρ τὰ δύο πρόσωπα τὴν τοιαύτην ποιεῖ περίοδον. τὰ δὲ ἑξῆς τέσσαρα ἀντισπαστικὰ κῶλα. ὧν τὸ α΄. ἑφθημιμερές. τὸ β΄. ἀντισπαστικὴ βάσις. τὸ τρίτον δίμετρον βραχυκατάληκτον. τῶν πρώτων δύο προ δῶν διιτων προκελευσματικῶν. τὸ δ΄ ὅμοιον τῷ δευτέρῳ. ὑφ᾽ ὃ παράγραφος. Χιτωνίσκον. τὸ ὑποκοριστικὸν τοῦ χιτῶνος. ἐπεὶ ἀρσενικῶς μόνως χιτῶνος λέγεται. ἐπὶ δὲ οὐδετέρου χιτώνιον. Κἀς τὴν πόλιν. ἀπελθὼν ποιήσω τὰ ποιήματα εἰς τὴν πόλιν.

Τ ρομεράν. κρυεράν. ἐπειδὴ ἐν τῷ ἀέρι τὸ πλάσμα τῆς οἰκοδομῆς ὑποτίθεται. παίζων φησί. τὸ τρομερὰν μὲν, διὰ τὸ ἀστήρικτον. κρυερὰν δὲ, τὴν κρύους μεταλαμβά-

παρθενεῖα, ἔστι δέ, τὰ εἰς παρθένους ᾀδόμενα. Ταυτί σύ. ἐντεῦθεν διαιρεῖται τὰ πρόσωπα εἰς συστηματικὰς περιόδους ἀμοιβαίας ι. καὶ ἔστιν ἡ πρώτη περίοδος στίχων ἰαμβικῶν τριμέτρων δ'. ἡ β' στίχων καὶ κώλων ζ'. ὧν ὁ πρῶτος χοριαμβικὸς τρίμετρος καταληκτικός. τὸ β' ὅμοιον δίμετρον ἀκατάληκτον τὸ δ' δίμετρον ἔχον πόδα πεντασύλλαβον. τὸ τρίτον περίοδος ἐξ ἰαμβικῆς καὶ τροχαϊκῆς βάσεως τὸ δ' ἀσυνάρτητον ἐξ ἀντισπαστικῆς καὶ ἰαμβικῆς βάσεως. τὸ ε' τροχαϊκὴ βάσις ἐκ χορείων. τὸ ς' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. εἰ δὲ βούλει ἰωνικὸν ἐφθημιμερές. τὸ ζ' ἰωνικὸν δίμετρον ἀκατάληκτον ὑφ' ὃ παράγραφος. Οὐκ ἄρτι θύω. πρὸς τὸ ἔθος. εἴρηται ὃ πρότερον, ὅτι ἐπὶ ἐνεστῶτος. Ἄλλως. σαφὲς ὅτι τὰ ὀνόματα τῶν παίδων, ἐτίθεσαν τῇ δεκάτῃ. Ἀλλά τις ὠκεῖα μουσάων. ἡ τῶν μουσῶν φάτις, ταχεῖά ἐστιν, ὡς ἵππων ὠκεῖα. ἤτοι δὲ καθολικῶς λέγει. ἐπεὶ πτερόεντα τὰ ἔπη καὶ ταχέως διαγγέλλοντα τὰ πράγματα ἢ πρὸς ἑαυτὸν ταχέως γράφοντα τὰ ποιήματα. Σὺ δ' ὦ πάτερ κτίστορ. ἐκ τοῦ πινδάρου ὑπορχήματος. ξύνες ὅτι λέγω ζαθέων ἱερῶν ἐπώνυμε πάτερ κτίστορ αἴτνας. ἐπειδὴ ὁ ἱέρων ἔκτισεν αὐτήν. Ἐμὶν τίν. χλευάζει τὸν διθυραμβοποιῶν τὴν συνεχῆ τοῖς τοιούτοις διορισμόν. καὶ μάλιστα τὸν πίνδαρον συνεχῶς λέγοντα ἐν ταῖς αἰτήσεσι τὸ ἐμίν. Τουτὶ παρέξει. ἡ τρίτη περίοδος στίχων ἐστὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων πέντε. ἐπὶ τῷ τέλει παράγραφος. Σὺ μέντοι σπολάδα πρὸς τὴν σπολάδα ὅτι διφθέρα ὁ τοιαοῦν. σοφοκλῆς αἴαντι λοκρῷ κατάστικτον κυνὸς σπολὰς καὶ λύσσα. παρδαλιφόρον δέρος. καλλίστρατος δέ, οἷον ἔφαπτον δερμάτινον. ἀφρόνιος δὲ χιτῶνα δερμάτινον. παρ' ἠχὴν δὲ ἴσως ἐκ τοῦ ἀποσπᾶσθαι. οὐκ ἔξον ἐνεξᾶσθαι διφθέραν. τὸ δὲ σοφόκλειον ἐπὶ τοῦ δέρματος εἴρηται τοῦ κρεμαμένου πρὸς τῇ τοῦ ἀντήνορος οἰκίᾳ. Πάντως δέ μοι ῥιγῶν. ὡς μὴ ἀρκουμένου αὐτοῦ μόνῃ τῇ σπολάδι ὁ πειθέταιρός φησι. μετὰ τὸ ἀποδύσασθαι τὸν ἱερέα. ῥιγῶν δέ, δωρικόν ἐστι κατὰ τροπὴν τοῦ ου εἰς ω, ῥιγοῦν ῥιγῶν.

ΣΥΣΤΗΜΑ ΣΤΙΧΩΝ, Δ'.

Πε. Ταυτί σύ ποτ' ἐποίησας, ἀπὸ ποίου χρόνου.
Ποι. πάλαι πάλαι δὴ τήνδ' ἐγὼ κλήζω πόλιν.
Πει. οὐκ ἄρτι θύω τὴν δεκάτην ταύτης ἐγώ;
καὶ τοὔνομ' ὥσπερ παιδίῳ νῦν δὴ 'θέμην.

ΩΔΗ ΚΑΙ ΣΤΡΟΦΗ Κώλων, ζ'.

Ποι. ἀλλά τις ὠκεῖα μουσάων φάτις,
οἷάπερ ἵππων ἀμαρυγά,
σὺ δ' ὦ πάτερ κτίστορ αἴτνας,
ζαθέων ἱερῶν ὁμώνυμε,
δὸς ἐμὶν ὅ τι περ
τᾷ κεφαλᾷ θέλῃς
πρόφρων δόμεν ἐμὶν τίν.

ΣΥΣΤΗΜΑ ΣΤΙΧΩΝ, Ε'.

Πει. τουτὶ παρέξει τὸ κακὸν ἡμῖν πράγματα.
εἰ μή τι τούτῳ δόντες ἀποφευξούμεθα.
οὗτος. σὺ μέντοι σπολάδα καὶ χιτῶν' ἔχεις,
ἀπόδυθι. καὶ δὸς τῷ ποιητῇ τῷ σοφῷ.
ἔχε τὴν σπολάδα. πάντως δέ μοι ῥιγῶν δοκεῖς.

ἐστὶν ὁ στίχος. τὸ α΄ χοριαμβικὸν δίμετρον καταληκτικόν. τὸ β΄ τροχαϊκὸν ἐφθημιμερές. τὸ γ΄, δακτυλικὸν δίμετρον τοῦ α΄ ποδὸς προκελευσματικοῦ. τὸ δ΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον ἔστιν α΄ ποδῶν χορείων. τὸ ε΄ ὅμοιον ἐκ χορείων. τὸ ς΄ τροχαϊκὸν ἰθυφαλλικὸν πλὴν α΄ ποδὸς χορείου. ὁ ζ΄ ἰαμβικὸς τρίμετρος ἀκατάληκτος. τὸ η΄ ἰωνικὸν ἀπ᾽ ἐλάττονος δίμετρον ὑπερκατάληκτον. ἐπὶ δὲ τέλει αἱ συνήθεις δύο διπλαῖ. Μάκαρας ἕνα τινά. εἰπὼν πληθυντικῶς ἔλαβε τὸ ἑαυτοῦ λέγων ἕνα. Γένειόν ἐστι καὶ κέρατα. ἐπὶ τῶν ἱερείων τῶν μὴ ἐχόντων σάρκα τοῦτό φησιν. ἀπὸ παροιμίας οὖν, ὡσεὶ ἔλεγε τρίχας καὶ κέρατα. Θύοντες εὐξώμεσθα. εἰσθέσεις ἑτέρας περιόδου ἀμοιβαίας κώλων καὶ στίχων ιη΄. ὧν οἱ α΄. ε΄. θ΄. ι΄. καὶ οἱ τελευταῖοι ἓξ ἴαμβοι οὗτοι μὲν ἀκατάληκτοι τρίμετροι. ὁ δὲ δ΄ ἐφθημιμερής. ὁ δεύτερος χοριαμβικὸς τρίμετρος καταληκτικὸς τὸν πρῶτον ἔχων πόδα πεντασύλλαβον. τὸ γ΄ τροχαϊκὸν πενθημιμερές. ὁ ς΄ ἰωνικὸς τετράμετρος βραχυκατάληκτος. τὰ ζ΄. ια΄ δακτυλικά. τὸ μὲν πενθημιμερές, τὸ δὲ τρίμετρον καταληκτικὸν εἰς δισυλλαβίαν. τὰ η΄, ιβ΄. ἀναπαιστικὰ ἐφθημιμερῆ. ἐπὶ τῷ τέλει παράγραφος.

Μάκαρας ἕνα τινὰ μόνον εἴπερ
ἱκανὸν ἕξετ᾽ ὄψον.
τὰ γὰρ παρόντα θύματ᾽ οὐδὲν ἄλλο πλὴν
γένειόν ἐστι, καὶ κέρατα.
Πει. θύοντες εὐξώμεσθα τοῖς πτερίνοισι θεοῖς.
Ποι. νεφελοκοκκυγίαν τὰν εὐδαίμονα,
κλῇσον ὦ μοῦσα
τεαῖς ἐν ὕμνων ἀοιδαῖς.
Πει. τουτὶ τὸ πρᾶγμα ποδαπόν; εἰπέ μοι τίς εἶ;
Ποι. ἐγὼ μελιγλώσσων ἐπέων ἱεὶς ἀοιδὰν,
μουσάων θεράπων.
ὀτρηρὸς κατὰ τὸν ὅμηρον.
Πει. ἔπειτα δῆτα δοῦλος ὢν κόμην, ἔχεις;
Ποι. οὔκ. ἀλλὰ πάντες ἐσμὲν οἱ διδάσκαλοι
μουσάων θεράποντες,
ὀτρηροὶ κατὰ τὸν ὅμηρον.
Πει. οὐκ ἐτὸς ὀτρηρὸν καὶ τὸ ληδάριον ἔχεις.
ἀτὰρ ὦ ποιητὰ κατὰ τί δεῦρ᾽ ἀνεφθάρης;
Ποι. μέλη πεποίηκ᾽ ἐς τὰς νεφελοκοκκυγίας.
τὰς ὑμετέρας. κύκλιά τε πολλὰ καὶ καλά.
καὶ παρθένεια, καὶ κατὰ τὰ σιμωνίδου.

Νεφελοκκυγίαν τὴν εὐδαίμονα. εὔχεταί τις ποιητὴς ὡς ἐπὶ νεοκτίστου πόλεως. ἐγκώμια λέξων.

Δοῦλος ὢν κόμην ἔχεις. διὰ τὸ θεράπων, δοῦλος εἶπεν. ἦν δὲ τῶν ἐλευθέρων τὸ κομᾶν.

Θεράποντες ὀτρηροί. ἐπειδὴ ὀτρηροὶ ἐπὶ τῶν θεραπόντων λέγεται, ἐπεὶ ταῖς αὐτοῦ ἦν καὶ ὁ μαργίτης τοῦ ὁμήρου ἦν. ἐν ᾧ εἴρηται μουσάων θεράπων καὶ ἑκηβόλου ἀπόλλωνος. Οὐκ ἐτὸς ὀτρηρόν. παίζει παρὰ τὸ ὀτρηροί. ὅτι τετρημένον ἦν αὐτοῦ καὶ τὸ ἱμάτιον.

Κύκλιά τε πολλά. τὰ τὴν αὐτὴν ὑπόθεσιν ἔχοντα, ταῦτα κύκλια ἔλεγον. παρθένεια δὲ ἀντὶ τοῦ ἃ αἱ παρθένοι ᾖδον. κύκλια δὲ καλοῦνται μέλη, τὰ ἐπεκτεταμένα. ἔστι δὲ διηγηματικόν. Ἄλλως. ἀντὶ τοῦ καλλιτέχνα. ποικίλα. οἷον ὕμνους. παιᾶνας. προσῴδια, καὶ τὰ λοιπὰ τούτοις παραπλήσια. πρὸς τὸ σωματικῶς δὲ τὸ ὄνομα, τὰ

σφᾶν αὐτῶν ἐπιορκούντων. καὶ σπένδοντες ἐπὶ ταῖς θυσίαις ταῖς δημοτελέσιν ηὔχοντο τοῖς θεοῖς Χίοις διδόναι τἀγαθὰ καὶ σφίσιν αὐτοῖς. λέγει δὲ περὶ τῆς Χίου καὶ Εὔπολις ἐν πόλεσιν· αὕτη Χίος, καλὴ πόλις· πέμπει γὰρ ὑμῖν, ναῦς μακράς· ἄνδρας ποθ' ὅταν δεήσῃ· καὶ τἄλλα πειθαρχεῖ καλῶς· ἄπληκτος ὥσπερ ἵππος. τὰ αὐτὰ τοῖς Θεοπόμπου καὶ Θρασύμαχός φησιν ἐν τῇ μεγάλῃ τέχνῃ. ὁ δὲ Ὑπερείδης, ἐν τῷ χαλκῷ· καὶ ὅτι Χῖοι ηὔχοντο Ἀθηναίοις, δεδήλωκεν.

ΣΤΡΟΦΗ ΚΩΛΩΝ, Η.

Ἱερ. Καὶ ἥρωσι καὶ ὄρνισι καὶ ἡρώων παισὶν
καὶ πορφυρίωνι. καὶ πελεκᾶντι.
καὶ πελεκίνῳ. καὶ φλέξιδι
καὶ τέτρακι καὶ ταῷ
καὶ ἐλεᾷ. καὶ βάσκᾳ,
καὶ ἐλασᾷ. καὶ ἐρωδιῷ·
καὶ καταρράκτῃ καὶ μελαγκορύφῳ,
καὶ αἰγιθάλλῳ.
παῦ' ἐς κόρακας· παῦσαι καλῶν ἰοὺ ἰού.
ἐπὶ ποῖον ὦ κακόδαιμον ἱερεῖον καλεῖς·
ἁλιαιέτους. καὶ γῦπας. οὐχ ὁρᾷς ὅτι
ἰκτῖνος εἷς ἂν τουτό γ' οἴχοιθ' ἁρπάσας;
ἄπελθ' ἀφ' ἡμῶν καὶ σὺ καὶ τὰ στέμματα
ἐγὼ γὰρ αὐτὸς τουτοσὶ θύσω μόνος.

ΣΤΡΟΦΗ ΚΩΛΩΝ, Η.

Ἱερ. Εἶτ' αὖθις αὖτ' ἄρα σοι
δεῖ με δεύτερον μέλος
χερνίβι θεοσεβὲς
ὅσιον ἐπιβοᾶν. καλεῖν δὲ

Καὶ ἥρωσι καὶ ὀρνίσιν. ἡ τετάρτη περίοδος, κώλων καὶ στίχων ὀκτώ. ὁ α΄ ἀντισπαστικὸς τετράμετρος βραχυκατάληκτος. ὁ β΄ ἰωνικὸς ἀπὸ μείζονος τρίμετρος καταληκτικός. τὸ γ΄ ὅμοιον δίμετρον ὑπερκατάληκτον ἐκ παίωνος. τὸ δ΄ ὅμοιον δίμετρον ἀκατάληκτον. τὸ ε΄ χοριαμβικὸν δίμετρον καταληκτικόν. εἰ δὲ βούλει δακτυλικὸν τρίμετρον. τὸ ϛ΄ ὅμοιον δακτυλικὸν ἑφθημιμερές. τὸ ζ΄ χοριαμβικὸν τρίμετρον καταληκτικόν. τὸ ὄγδοον, ἰαμβικὸν πενθημιμερές. ὑφ' ὃ παράγραφος. Καὶ πελεκᾶντι. μήποτε πελέκας προσενεκτέον ἀλίβας. ὁ δὲ πελεκῖνος. τῷ πελεκᾶντι προσερρῖφθαι. πελεκᾶν μέντοι πελεκᾶνος κοινῶς· πελεκᾶς δὲ, πελεκᾶντος, ἀττικῶς· πελεκᾶς πελεκᾶ δωρικῶς. Καὶ φλέξιδι. ἐπισκεπτέον περὶ τούτων ἐκ τῆς τῶν ζώων ἱστορίας, τίς ὁ τέτραξ καὶ φλέξις. καὶ ἐλασᾶς. ἡ γὰρ βάσκα καὶ καταρράκται εἰσὶ παρὰ Καλλιμάχῳ ἀναγεγραμμέναι. καὶ αἰτὴ ἐδωλίου, εἰδώλιος. ὁ δὲ αἰγίθαλος, οὔτ' ἐρισάλπιγξ. ἔστι δὲ ὑπὸ τὸν ἴσρακα. οὕτω δὲ ὠνομάσθη ὥς τινες, παρὰ τὸ ἐξ αἰγὸς τεθηλακέναι. Παῦ' ἐς κόρακας. ἡ πέμπτη περίοδος ἐκ στίχων ἓξ ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων, ϛ΄. ἐπὶ τῷ τέλει παράγραφος. Ἐπὶ ποῖον. τοῦτο εἰς διαβολὴν τοῦ χορηγοῦ ὅτι μικρὸν ἔδωκεν ἱερεῖον. Ἁλιαιέτους. εἶδος ἀετοῦ ὁ ἁλιαίετος ἐν θαλάσσῃ διαιτώμενος. Ἄπελθ' ἀφ' ἡμῶν καὶ σὺ καὶ τὰ στέμματα. πρὸς τὸν ἱερέα λέγει. ὡς μικροῦ ὄντος τοῦ ἱερείου. καὶ δυναμένου καὶ αὐτοῦ πρὸς τὴν θυσίαν αὐτουργῆσαι. Εἶτ' αὖθις αὖτ' ἄρα σοι. ἡ ϛ΄ περίοδος ἐν ἐκθέσει κώλων

Καὶ φρυγίλῳ. ἡ τρίτη περίοδος κώλων καὶ στίχων ἐστὶν ἑπτά. ὧν τὸ α΄ χοριαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ β΄ δακτυλικὸν πενθημιμερές. τὸ γ΄ ἑφθημιμερές. τὸ δ΄ ἰαμβικὸν τρίμετρον ἀκατάληκτον. τὸ ε΄ ἀναπαιστικὸν δίμετρον ὑπερκατάληκτον ἔχον τὸν β΄ πόδα τρίβραχυν· εἰ δὲ βούλει ἰωνικὸν ἀπ' ἐλάττονος, τρίμετρον καταληκτικὸν ἐκ παίωνος, τὸ ϛ΄ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ ζ΄. ἰαμβικὸν ἑφθημιμερές. ἐν εἰσθέσει ἴαμβος τρίμετρος ἀκατάληκτος. ὑφ' ὃν παράγραφος.

ΣΤΡΟΦΗ ΚΩΛΩΝ, Ζ΄.

ιε. καὶ φρυγίλῳ. σαβαζίῳ.
καὶ στρουθῷ μεγάλῃ.
μητρὶ θεῶν καὶ ἀνθρώπων.
Δέσποινα κυβέλη. στρουθὲ, μῆτερ κλεοκρίτου.
δίδου ναι νεφελοκοκκυγιεῦσιν,
ὑγίειαν, καὶ σωτηρίαν,
αὐτοῖσι καὶ χίοισιν.
ρκ. χίοισιν ἤδη πανταχοῦ προσκειμένοις.

Καὶ φρυγίλῳ σαβαζίῳ. παίζει πρὸς τὸ ὄνομα. ἐπεὶ οἱ φρύγες τὸν σαβάζιον τιμῶσι. τίς δὲ ἐστιν οὗτος ὁ θεὸς ὁ ἡρακλεώτης περὶ ἡρακλείας. ἐν τῷ ιβ΄ φησί. φαίνεται γὰρ ἐξ ὧν εὑρίσκομεν συλλογιζόμενος πολλαχόθεν ὅτι διόνυσος καὶ σαβάζιος εἷς ἐστι θεός. τυχεῖν δὲ τῆς προσηγορίας ταύτης παρὰ τὸν γινόμενον περὶ αὐτὸν θειασμόν. τὸ γὰρ εὐάζειν, οἱ βάρβαροι σαβάζειν, φασίν. ὅθεν καὶ τῶν ἑλλήνων τινὲς ἀκολουθοῦντες, τὸν εὐασμὸν σαβασμὸν λέγουσιν. Εἰς τὸ αὐτό. παίζει πρὸς τὸ ὄνομα. ἐπεὶ φρύγες τὸ εὐάζειν σαβάζειν φασίν. ἐκ τούτου σαβάζιον τὸν διόνυσον. σάβους δὲ ἔλεγον, καὶ τοὺς ἀφιερωμένους αὐτῷ τόπους. καὶ τοὺς βάκχους τοῦ θεοῦ. ὁ αὐτὸς δὲ ὕας καὶ εὔεαιος καλεῖται. ἔστι δὲ καὶ εἶδος ὀρνέου. ὃ καλεῖται φρυγίλος. παρὰ τοῦτο οὖν ἔπαιξε τὸν διόνυσον ὀρνιθόθεον φάσκων τιμᾶσθαι. Ἄλλως. ἐπεὶ φρυγῶν ὁ θεός. καὶ ἐν ὥραις. τὸν φρύγα. τὸν αὐλητῆρα. τὸν σαβάζιον. Καὶ στρουθῷ μεγάλῃ. ὅτι καὶ ἐπὶ τῆς στρουθοκαμήλου τὸ μεγάλη προσετίθεσαν. ἔπαιξε δὲ διὰ τὸ μέγεθος τῇ ῥέᾳ ταύτην προσεικάσας. Κυβέλη κυβέλην φασὶ τὴν ῥέαν. παρὰ τὰ κύβελα ὄρη. ὀρεία γὰρ ἡ θεός. διὸ καὶ ἐποχεῖται λεόντων ζεύγει. τὸ δὲ μῆτερ κλεοκρίτου, παρ' ὑπόνοιαν ἐπήγαγεν. βουλόμενος αὐτὸν διαβάλλειν ὡς στρουθόποδα. τουτέστι μεγαλόπουν. ἐκωμῳδεῖτο δὲ ὡς ξένος. καὶ τάχα ὑποκριτής. νῦν δὲ ἐμφαίνεται, ὅτι καὶ τὴν ὄψιν στρουθώδης. ὁ δὲ δίδυμος μητέρα κλεοκρίτου. ὅτι ὡς γυναικίας καὶ κίναιδος κωμῳδεῖται. ἐν δὲ τοῖς μυστηρίοις τῆς ῥέας μαλακοὶ πάρεισι. καὶ ἴσως ἕτερος ἂν εἴη τοῦ παρ' εὐπόλιδος ἐν δήμοις καὶ κόλαξι. Στρουθὲ μῆτερ. ἡρωδιανὸς ἐν τῷ, βάσκ' ἴθι ἶρι ταχεῖα τὸν δ' ἕκτορι μῦθον ἔνισπε, ἐν τῷ μερισμῷ φησὶ τὸν χάριτα λέγειν βαρύνειν ἀττικὴ στροῦθος. ὁμοίως καὶ ἐν τῷ ἑκκαιδεκάτῳ τῆς καθόλου λέγων καὶ τρύγονα μεμνῆσθαι ἐν δευτέρῳ περὶ ἀττικῆς προσῳδίας. Χίοισιν ἤδη. καὶ τοῦτο ἀφ' ἱστορίας εἴληφεν, ηὔχοντο γὰρ ἀθηναῖοι κοινῇ ἐπὶ τῶν θυσιῶν ἑαυτοῖς τε καὶ χίοις καθὰ περ θεόπομπος ἐν τῷ ιβ΄ τῶν φιλιππικῶν φησιν οὕτως. οἱ δὲ πολλοὶ τοῦ ταῦτα πράττειν ἀπεῖχον. ὥστε τὰς εὐχὰς καὶ περὶ ἐκείνων καὶ

σφῶν αὐτῶν

Οὔπω κόρακ' εἶδον. ἴσως ὡς μέλαινας σκώπτει. ἔοικε δὲ ὁ αὐλητὴς, διεσκευάσθαι εἰς κόρακα. φορβιὸν δέ ἐστι, τὸ περικείμενον τῷ στόματι τοῦ αὐλητοῦ δέρμα. ἵνα μὴ σχισθῇ τὸ χεῖλος αὐτοῦ. Ἐμπεφορβιωμένον. φορβειά ἐστιν ὁ χαλινός. ἡρωδιανὸς ἐν τῇ βίβλῳ φησὶν τῆς ὀδυσσειακῆς προσῳδίας. τὸ φορβειὰ διὰ τῆς ει διφθόγγου γράφεται καὶ ὀξυτόνως. Δράσω τάδ' ἀλλά. ἡ δευτέρα περίοδος κώλων καὶ στίχων ἐστὶ δέκα. ὧν ὁ πρῶτος ἰαμβικὸς τρίμετρος ἀκατάληκτος. τὸ β' ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον ἐξ ἀντισπάστων καὶ σπονδείου. τὸ γὰρ ὅμοιον ἐξ ἀντισπάστων καὶ αὐτὸ τρίμετρον βραχυκατάληκτον. τὸ τέταρτον ὅμοιον δίμετρον ἀκατάληκτον. τὸ ε' καὶ ς' δίμετρα βραχυκατάληκτα. τροχαϊκά. ὁ ζ' ὅμοιος τῷ α'. τὴν β' ἔχων πόδα χορεῖον. τὸ η' ὅμοιον τῷ γ'. τὸ θ', ἀντισπαστικὸν ἐφθημιμερές. τὸ ι', ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον βραχυκατάληκτον.

οὔπω κόρακ' εἶδον ἐμπεφορβιωμένον.
Ἐπ. ἱερεῦ, σὸν ἔργον, θῦε τοῖς καινοῖς θεοῖς.

ΣΤΡΟΦΗ ΚΩΛΩΝ, Ι.

Ἱερ. Δράσω τάδ' ἀλλὰ ποῦ 'στιν ὁ τὸ κανοῦν ἔχων.
Εὔχεσθε τῇ ἑστίᾳ τῇ ὀρνιθείῳ
καὶ τῷ ἰκτίνῳ τῷ ἑστιούχῳ
καὶ ὄρνισιν ὀλυμπίοις καὶ ὀλυμπίῃσιν.
πᾶσι καὶ πάσῃσιν.
ὦ σουνιέρακε χαῖρ' ἄναξ πελαργικέ.
καὶ κύκνῳ πυθίῳ καὶ δηλίῳ.
καὶ λητοῖ ὀρτυγομήτρα.
καὶ ἀρτέμιδι ἀκαλανθίδι
Πε. οὐκέτι κολαινίς, ἀλλ' ἀκαλανθὶς ἄρτεμις.

ἐν εἰσθέσει δ' ἴαμβος τῷ πρώτῳ ὅμοιος ὑφ' ὃν παράγραφος. Τῇ ἑστίᾳ. τῇ ὀρνιθείῳ. ἐμιμήσατο τὰ τῶν ἀνθρώπων ἤθη. καὶ γὰρ ἔθος ἀπὸ τῆς ἑστίας ἀπάρχεσθαι ἐν ταῖς θυσίαις. ἔπαιξε δὲ τὰ ἐπίθετα τῶν θεῶν τοῖς ὀρνέοις. ἑστία ὀρνιθείῳ καὶ ἰκτίνῳ ἑστιούχῳ. Ὦ σουνιέρακε. ἐπεὶ περὶ ὀρνίθων ὁ λόγος, ἀντὶ τοῦ σουνιάρατε. φαίνεται δὲ εἶναι ποσειδῶνος τὸ ἐπίθετον. καὶ ἵππειος. ὦ δελφίνων μεδέων σουνιάρατε. παρὰ τὸ ἐν σουνίῳ ἄκρῳ τῆς ἀττικῆς τὰς εὐχὰς καὶ τὰς ἀρὰς δέχεσθαι. πελαργικὲ δὲ, ἀντὶ τοῦ πελασγικέ. ἅμα δὲ ἴσως καὶ παρὰ τὸν πελαργόν. καὶ ὅτι ὁ ποσειδῶν πελάγους ἔφορος. Οὐκέτι κολαινίς. παρὰ τὴν τῆς φωνῆς ὁμοιότητα ἀρτέμιδι ἐπωνυμον ἡ κολαινὶς μεταγενὴς δὲ ἐν αὔραις ἡ κολαινὶς ἄρτεμις. ἱερεὺς γὰρ ὢν, τετύχηκα τῆς κολαινίδος. φησὶ δὲ ἑλλάνικος κόλαινον ἑρμοῦ ἀπόγονον, ἐκ μαντείου ἱερὸν αὐτῆς ἱδρύσασθαι κολαινίδος καὶ φανόδημος ἐν τῇ δ'. εὐφρόνιος δέ φησιν ὅτι ἐν ἀμαρύνθῳ ἡ κολαινίς. διὰ τὸ τὸν ἀγαμέμνονα θῦσαι αὐτῇ ἐκ τοῦ κηροῦ κόλον. ἐπὶ ταύτης δὲ καλλίμαχος λέγειν τὴν ὡς ἀγαμέμνων, ὡς ὁ μῦθος εἵσατο. τῇ, καὶ λείπουρα καὶ μονῶπα θύεται. τοῦτο δὲ μήποτε ἐσχεδίασται. οἱ δὲ μυρινούσιοι, κολαινίδα ἐπονομάζουσι τὴν ἄρτεμιν. ὥσπερ πεῖρα ἐπὶ τὴν μουνυχίαν. φιλιάτης δὲ τὴν φαυρωνίαν. Καλανθὶς ἄρτεμις. ἡ κύων. παρὰ τὸ ἀγκάλλειν ἴσως τοὺς γνωρίμους. ὑλακτεῖν δὲ τοὺς ξένους. ὅθεν κύνα προσαγορεύει αὐτὴν ἀριστοφάνης ἐν εἰρήνῃ ἐπειγομένην τυφλὰ τίκτειν. ἔστι δὲ καὶ εἶδος ὀρνέου ἡ ἀκαλανθίς.

245.6.

ἰδόντα. καὶ ἵνα οἱ φυλάττοντες, αἰσθάνωνται. μή ποτε δὲ παρακωμῳδεῖ τὸν Εὐριπίδην, παλάμην οὐ προπόλου δεδιδαγμένον. Εἰς θεοὺς ἄνω. ἐπεὶ μεταξὺ γῆς καὶ οὐρανοῦ ὁ ἀήρ. Οἴμωζε παρ' ἐμέ. παίζων τοῦτό φησιν. ἐπειδὴ εἶπεν αὐτῷ παρ' ἐμέ. Τὴν χέρνιβα. τὸ ὕδωρ. Δημοσθένης καὶ χερνίβων καὶ κανῶν γραφόμενον. εἴη δ' ἂν ἀπὸ εὐθείας τῆς χέρνιψ. Ὁμορροθῶ. κορωνὶς καὶ εἴσθεσις μέλους χοροῦ καὶ στροφὴ κώλων διαφόρων θ΄. ὧν τὸ α΄ περίοδος ἐξ ἰαμβικῆς βάσεως καὶ τροχαϊκῆς καταληκτικῆς.

κήρυκα δὲ πέμψον. τὸν μὲν εἰς θεοὺς ἄνω.
ἕτερον δ' ἄνωθεν αὖ παρ' αἰθέρα τοὺς κάτω.
κἀκεῖθεν αὖθις παρ' ἐμέ. ΕΥ. σὺ δ' ἔγ' αὐτοῦ μένων
οἴμωζε παρ' ἐμέ. ΠΙ. ἴθ' ὦγαθ' οἷ πέμπω σ' ἐγώ.
οὐδὲν γὰρ ἄνευ σοῦ τῶνδ' ἃ λέγω πεπράξεται.
ἐγὼ δ' ἵνα θύσω τοῖσι καινοῖσι θεοῖς,
τὸν ἱερέα πέμψοντα τὴν πομπὴν καλῶ
παῖ. παῖ. τὸ κανοῦν αἴρεσθε καὶ τὴν χέρνιβα.

ΣΤΡΟΦΗ ΚΩΛΩΝ, Ζ΄.

ΧΟ. ὁμορροθῶ. συνθέλω
συμπαραινέσας ἔχω,
προσόδια μεγάλα
σεμνὰ προσιέναι θεοῖσιν.
ἅμα δὲ προσέτι χάριτος ἕνεκα,
προβάτιόν τι θύειν.
ἴτω ἴτω δὲ πυθιὰς βοὰ τῷ θεῷ.
συναδέτω δὲ χαῖρις ᾠδάν.

ΑΛΛΟΙΟΣΤΡΟΦΑ.

ΠΙ. παῦσαι σὺ φυσῶν. ἡράκλεις. τουτὶ τί ἦν
τουτί. μὰ δί' ἐγὼ πολλὰ δὴ καὶ δείν' ἰδὼν,

τὰ ἑξῆς τρία τροχαϊκά. τὸ μὲν ἑφθημιμερές. τὸ δὲ πενθημιμερές. τὸ δ' ἀκατάληκτον δίμετρον ὡς καὶ τὸ ὄγδοον. τὸ ϛ΄ ἀναπαιστικὴ βάσις. τὸ ζ΄ ἰαμβικὸν ἑφθημιμερὲς καὶ τὸ θ΄. τινὲς δὲ προστιθέασι καὶ ᾠδάν. ὑφ' ὃ ἡ κορωνίς. Ὁμορροθῶ. σοφοκλέους ἐκ πηλέως, ἀντὶ τοῦ τὸ αὐτὸ φρονῶ. ὁμορροθεῖν δὲ κυρίως, τὸ ἅμα καὶ συμφώνως ἐρέσσειν. νῦν δέ, ἀντὶ τοῦ συνεργῶ τῇ εἰς θεοὺς θυσίᾳ. συμπαραινέσας ἔχω ἀντὶ τοῦ συμπαρῄνεσα. Προσόδια μεγάλα. ἀπὸ τῶν προσόδων. οὕτω δὲ ἔλεγον τὰς προσαγομένας τοῖς θεοῖς θυσίας. καὶ προσόδια τὰ εἰς πανηγύρεις τῶν θεῶν ποιήματα παρὰ τῶν λυρικῶν λεγόμενα. Πυθιὰς βοᾷ. χοραύλης, αὐλητής, εἴρηται ὅτι καὶ ἐπὶ ταῖς θυσίαις ηὔλουν. Ἄλλως. ἡ μετ' αὐτοὺς γινομένη βοή. τὸ πύθιον μέλος. ἔνθεν καὶ πυθαύλης γίνεται. οὕτω δὲ ἔλεγον τὸν παιᾶνα. καὶ τοῦτο δὲ ἐκ πηλέως.

Χ Χαῖρις ᾠδάν. ὡς αὐτομάτως ἐπιόντος αὐτοῦ ταῖς εὐωχίαις. ἦν δὲ ὁ χαῖρις οὗτος κιθαρῳδὸς καὶ γέγονεν αὐλητής. μνημονεύει δὲ αὐτοῦ καὶ φερεκράτης ἐν ἀγρίοις. φησὶν ἴσως κιθαρῳδός τις κάκιστος ἐγένετο πεισίου μέλης. μετὰ μέλητα ἣν ἔχ' ἀτρέμας ἐγ' ᾠδὰ χαῖρις. ἔστι καὶ ἕτερος αὐλητὴς οὗ μνημονεύει κρατῖνος ἐν νεμέσει.

Π Παῦσαι σύ. εἴσθεσις συστηματικὴ ἀμοιβαίας ἐξ περιόδους ἔχουσα. τῆς δὲ πρώτης στίχοι τρεῖς ἰαμβικοὶ ἀκατάληκτοι. καὶ ἐν εἰσθέσει ἕτερος ὁμοίως. ὑφ' ὃν παράγραφος. ἔξεισι δὲ ἱερέα καὶ αὐλητὴν ἔχων.

αὐτούς. Τῷ ξανοῦμεν τὸν πέπλον. τῇ ἀθηνᾷ πολιαδιούσῃ, πέπλος ἐγίνετο παμποίκιλος. ὃν ἀνέφερον ἐν τῇ πομπῇ τῶν ἀθηναίων. Τί οὐκ ἀθηναίαν. ὅτι τὴν θεὸν οὕτως ἔλεγον ἀθηναίαν. διὸ καὶ τὴν πολῖτιν, οὐκ ἀθηναίαν, φεύγοντες τὴν ὁμωνυμίαν. ἀλλ' ἀστήν. φαίνονται μέντοι καὶ τὴν πολῖτιν ἀθηναίαν λέγοντες πανταχοῦ.

Καὶ πῶς ἂν ἔτι γένοιτο. ἐὰν τὴν ἀθηνᾶν στήσωμεν πολιοῦχον γυναῖκα οὖσαν. Τῆς πόλεως τὸ πελαργικόν. ὅτι ἀθήνησι τὸ πελαργικὸν τεῖχος ἐν τῇ ἀκροπόλει. οὗ μέμνηται καλλίμαχος.

ἀλαζονευόμεσθα, καθ' ὑπερηκόντισαν.
Ευ. λιπαρὸν τὸ χρῆμα τῆς πόλεως. τίς δαὶ θεὸς
πολιοῦχος ἔσται. τῷ ξανοῦμεν τὸν πέπλον.
Πει. τί δ' οὐκ ἀθηναίαν ἐῶμεν πολιάδα.
Ευ. καὶ πῶς ἂν ἔτι γένοιτ' ἂν εὔτακτος πόλις.
ὅπου θεὸς γυνὴ γεγονυῖα, πανοπλίαν
ἕστηκ' ἔχουσα. κλεισθένης δὲ κερκίδα.
Πει. τίς δ' αὖ καθέξει τῆς πόλεως τὸ πελαργικόν
Ευ. ὄρνις ἀφ' ἡμῶν τοῦ γένους τοῦ περσικοῦ
ὅσπερ λέγεται δεινότατος εἶναι πανταχοῦ.
ἄρεως νεοττός. Πει. ὦ νεοττὲ δέσποτα.
ὡς δ' ὁ θεὸς ἐπιτήδειος οἰκεῖν ἐπὶ πετρῶν.
Πι. ἄγε νυν. σὺ μὲν βάδιζε πρὸς τὸν ἀέρα.
καὶ τοῖσι τειχίζουσι παραδιακόνει.
χάλικας παραφόρει. πηλὸν ἀποδὺς, ὄργασον
λεκάνην ἀνένεγκε. κατάπεσ' ἀπὸ τῆς κλίμακος
φύλακας κατάστησαι. τὸ πῦρ ἔγκρυπτ' ἀεί.
κωδωνοφορῶν περίτρεχε. καὶ κάθευδ' ἐκεῖ

τυρσηνῶν τείχισμα πελαργικόν. Ὄρνις ἀφ' ἡμῶν. μήποτε νῦν τὸν ἀλεκτρυόνα λέγει. μῆδος γὰρ λέγεται. ἄρεως δὲ, νεοττός. ἐπεὶ ἄλκιμος καὶ μάχιμος. Ἄρεως νεοττός. νεοττοί τινες ἀλεκτρυόνες λέγονται ὡς καὶ μηδικοί. ἴσως δ' ἔστι καλὸς ὁ νεοττὸς τοὔνομα. πρὸς ὃν παίζει. ὦ νεοττὲ δέσποτα. οὕτω δίδυμος. Εἰς τὸ αὐτό. ἐπεὶ μάχιμος ὁ ἀλεκτρυών. φασὶ δὲ αὐτὸν ἄνθρωπον ὄντα κατασταθῆναι ὑπὸ ἄρεως ἐν ᾧ οἴκῳ ἡφαίστου, τηρεῖν αὐτοῦ τὴν ἄφιξιν διὰ τὴν μοιχείαν τῆς ἀφροδίτης. ὁ δὲ ἀποκοιμηθείς. φωραθεὶς οὖν ὁ ἄρης, εἰς τὸ ὄρνεον αὐτὸν μετέβαλεν. ὁ δὲ μεμνημένος, τὴν ὥραν ἐκείνην ἄρχεται ᾄδειν, τὴν τοῦ ἡλίου προαισθόμενος ἄνοδον καθ' ἣν ὁ ἥφαιστος εἰώθει ἐπανήκειν οἴκαδε. Ὡς δ' ὁ θεὸς ἐπιτήδειος. δίδυμός φησι τὸ πελαργικὸν τεῖχος ἐπὶ πετρῶν κεῖσθαι. Ἄλλως. τὸ πελαργικὸν καὶ αὐτὸ τραχὺ ἀλλὰ διατί ἐπιτήδειος ἐπὶ πετρῶν οἰκεῖν εἴπερ ἀλεκτρυών ἐστιν. εἰ μὴ τὸν πελαργὸν, ἅμα παίζων καὶ πρὸς τὸ ὄνομα. ἀλλὰ διατί περσικόν, ἢ ἄρεος νεοττός. Ἀποδὺς ὄργασον. κυρίως πίσσωσαι. ὀργὴ γὰρ παρ' ἴωσιν ἡ πίσσα. σημαίνει δὲ καὶ τὸ σπαργᾶν ὀργίζεσθαι. νῦν δὲ ἀντὶ τοῦ μάλαξον. εὔπολις προσπαλτίοι.. ἢ πηλὸς ὀργιάζειν τινά.

Κατάπεσ' ἀπὸ τῆς κλίμακος. τοῦτο ἔκθλιψιν πέπονθε τοῦ κατάπεσε δευτέρου ἀορίστου. οὐ γὰρ ἐν χρήσει τὸ ἔπεσα, ἵνα καὶ τὸ πέσον. Τὸ πῦρ ἔγκρυπτ' ἀεί. ἵνα ἔχῃ αὐτὸ, εἰ χρεία γενήσεται φυλακῆς, εἰώθασι γὰρ ἐν ταῖς φυλακαῖς πυρκαϊὰν καίειν. Κωδωνοφορῶν. οἱ περίπολοι τὰς φυλακὰς περισκοποῦντες, ἐρχόμενοι ἐπὶ τοὺς φύλακας, κώδωνας εἶχον. καὶ διὰ τούτων ἐψόφουν πειράζοντες τὸν κα

χανὴν πτερώματος, τάδ' οὐχ ὑπ' ἄλλων. ἀλλὰ τοῖς αὐτῶν πτεροῖς ἁλισκόμεθα. πεποίηκε γὰρ ὁ αἰσχύλος ἀετὸν τετρωμένον, καὶ λέγοντα, ταῦτα. ἐπειδὴ εἶδε τὸ βέλος ἐπτερωμένον καὶ ἐμπεπαρμένον αὐτῷ. καὶ ἡμεῖς οὖν φησιν οὐχ ὑπ' ἄλλων πάσχομεν ταῦτα, ἀλλὰ τῇ ἑαυτῶν γνώμῃ. Τοῖς αὐτῶν πτεροῖς ὅλον τοῦτο ἐκ μυρμιδόνων αἰσχύλου. τὸ δὲ οὐχ ὑπ' ἄλλων ἀλλὰ τοῖς αὐτῶν πτεροῖς ἁλισκόμεθα. αἴτιοι τοῦ ἑαυτοῖς ταῦτα πεποιήκαμεν. Ἄγε δὴ τί χρὴ δρᾶν. ἐν τισὶν ὅλον ἐνιέναι ἐνίοις δὲ τὸ ἄγε δὴ τοῦτο, ἕτερος. Μέγα. παράδοξον ὃ οὐκ ὀνομασταί τε τοῖς θεοῖς. τοῖς ὄρνισι δηλονότι. Ὁ δ' αὖ χαμεύνην δίδυμός φησιν, οὐδ' ἀσπάρτην ὡς χρησαίμην, οὕτω μασῶ τὴν σπάρτην. χαμεύνη δέ, ταπεινὴ κλίνη. ὅθεν καὶ τὸ ὄνομα εἴληφεν. Εἰς τὸ αὐτό. οὐδ' αὖ τὴν χαμεύνην ὀνομάσαι μετὰ σπάρτην, εἴ γε κειρίας ἔχοιμι, καὶ μὴ σπάρτιον δεήσαι μοι αὐτῇ ἐντεῖναι. ἡ δὲ χαμεύνη εὐτελής ἐστιν. ἡ δὲ κειρία, εἶδος ζώνης ἐκ σχοινίων παρεοικὸς ἱμάντι, ᾗ δεσμοῦσι τὰς κλίνας. Νεφελοκοκκυγίαν. παρὰ τὰς νεφέλας καὶ τὸν κόκκυγα. ἔστι δὲ εἶδος ὀρνέου. χαῦνον δὲ αὐτὸ τοῦ πλατὺ καὶ μέγιστον. τὰ γὰρ χαῦνα εἰς πλάτος αὐξοῦται. Ἵνα καὶ τὰ θεαγένους. προείρηκεν ὅτι πένης οὗτος ἔλεγε δὲ αὑτὸν πλούσιον. εἰσὶ δὲ ἄλλοι δύο θεαγένεις. εἷς μὲν ὁ περὶ ὁμήρου γράψας ἕτερος δέ, ὁ ἐπὶ μαλακίᾳ σκωπτόμενος. Εἰς τὸ αὐτό. λέγεται ὅτι μεγαλέμπορός τις ἐβούλετο εἶναι. ἦν δὲ αἴτης ἀλαζών. ψευδόπλουτος. ἐκαλεῖτο δὲ καπνὸς, ὅτι πολλὰ ὑπισχνούμενος οὐδὲν ἐτέλει. εὔπολις ἐν δήμοις. Τάτ' αἰσχίνου γε ἅπαντα. οὗτος πένης θρυπτόμενος καὶ αὐτὸς ἐπὶ πλούτῳ. καὶ λέγων ἑαυτὸν πλούσιον. ἦν δὲ αἰσχίνης σελλοῦ ἔλεγον δὲ ἐκ μεταφορᾶς τοὺς τοιούτους, σελλούς. καὶ τὸ ἀλαζονεύεσθαι δὲ σελλίζειν. Τὸ φλέγρας πεδίον. ἔξωθεν ὑπακουστέον τὸν ἢ διασαφητικὸν σύνδεσμον. βέλτιόν φησι πιστεύειν τὰ χρήματα τούτων ἐν νεφελοκοκκυγίᾳ ἀποκεῖσθαι, ἢ εἰς τὸ φλέγρας πεδίον, διαβάλλει δὲ αὐτὸ ὡς κἀκεῖνο πεπλασμένον ὑπὸ τῶν ποιητῶν. ἔστι δὲ τοῖς θρᾳκῆς πεδίον. δίδυμος δέ φησι, διὰ τὴν ὁμοιότητα τῶν ὀνομάτων τῆς φλέγρας καὶ τῆς νεφελοκοκκυγίας.

τάδ' οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὐτῶν πτεροῖς.
Ἐπο. ἄγε δή, τί χρὴ δρᾶν. Πει. πρῶτον ὄνομα τῇ πόλει.
θέσθαι τι μέγα καὶ κλεινόν. εἶτα τοῖς θεοῖς
θῦσαι μετὰ τοῦτο. Ἐπο. ταῦτα κἀμοὶ συνδοκεῖ.
Πει. φέρ' ἴδω, τί δ' ἡμῖν οὔνομ' ἔσται τῇ πόλει.
βούλεσθε τὸ μέγα τοῦτο τοὐκ λακεδαίμονος,
σπάρτην ὄνομα καλῶμεν αὐτήν, Ἐπο. ἡράκλεις
σπάρτην γὰρ ἄν, θείμην ἐγὼ τῇ 'μῇ πόλει,
οὐδ' ἂν χαμεύνην πάνυ γε κειρίαν ἔχων.
Πει. τί δῆτ' ὄνομ' αὐτῇ θησόμεσθ'. Ἐπο. ἐντευθενὶ
ἐκ τῶν νεφελῶν καὶ τῶν μετεώρων χωρίων.
Πει. χαῦνόν τι πάνυ βούλει, νεφελοκοκκυγίαν.
Ἐπο. ἰοὺ ἰού. καλόν γ' ἀτεχνῶς καὶ μέγ' ηὗρες τοὔνομα.
ἆρ' ἐστὶν αὕτη γ' ἡ νεφελοκοκκυγία.
ἵνα καὶ τὰ θεαγένους τὰ πολλὰ χρήματα.
τά τ' αἰσχίνου γ' ἅπαντα. Πει. καὶ λῷστον μὲν ἢ
τὸ φλέγρας πεδίον. ἵν' οἱ θεοὶ τοὺς γηγενεῖς

Κ αθ' ὑπερηκόντισαν. δέον καταπολέμησαν, φησὶ τοῖς ἀλαζονεύμασιν ὑπερέβαλον

Ἐφ' ἡμᾶς. ἐπὶ τὸ θέατρον. Εἴ τε Πατροκλείδης. δοκεῖ μὲν Πατροκλείδης, πολιτικὸς εἶναι καὶ λόγιος. ἄλλως κατασχήμων τῶν στρωμάτων. διὸ καὶ χέσας ἐλέγετο. ἐξίδισε δὲ ἐξεπίλησεν ἀπεπάτησεν. Ἐν βουλευτικῷ. οὗτος τόπος τοῦ θεάτρου. ὁ ἀπονεμόμενος τοῖς βουλευταῖς ὡς καὶ ὁ τοῖς ἐφήβοις, ἐφηβικός. παρ' ὑμῶν δὲ ἀπ' αὐτοῦ τοῦ θεάτρου. Ὡς Διιτρέφης γε. Εὐφρόνιος τὰ περὶ τῷ τραχήλῳ τῆς πυτίνης κρεμάμενα ὠτάρια, ἃ καὶ πτέρωθεν πτερὰ καλεῖσθαι, καὶ ὅτι οὗτος πυτίνας ἔπλεκεν. ἀμάρτυρα δὲ ἀμφότερα. πυτὲς εἰς τὰ πάντα εἴρηται διὰ τὸ ἀνυπόκριτον. ὡς εἰ ἔφη, μηδὲν ἔχων ἄλλο. ἢ πίθου πτέρδας ἢ χύτρας ὀμφαλούς. ὅτι δὲ ἦν νεόπλουτος οὗτος, ἐμφαίνεται καὶ ἐν τοῖς ἥρωσι. καὶ ἀπὸ τῆς Διιτρεφοῦς πραγματείας, εἰ μὴ ἐν εἰρωνείᾳ. καὶ πάντα χοῦ ἅρπαξ καὶ πονηρός. Πλάτων δὲ ἐν ἑορταῖς καὶ ξένον, τὸν μαινόμενον. τὸν κρῆτα. τὸν μόγις ἀττικόν. Εἰς τὸ αὐτό. οὗτος βάλλινα ποιῶν ἀγγεῖα, ἐπλούτησε καὶ ἱππάρχησε καὶ ἐφυλάρχησεν. Εἶτ' ἐξ οὐδενὸς μεγάλα πράττει. παρὰ τὰ γραφέντα ἐκ Μυρμιδόνων Αἰσχύλου. λέγει δὲ ὅτι ἤδη μέγας ὄρνις γέγονε καὶ οὐχ ὁ τυχών.

ἐκπετόμενος ἂν οὗτος, ἠρίστησεν, ἐλθὼν οἴκαδε
κᾆτ' ἂν ἐμπλησθεὶς, ἐφ' ἡμᾶς αὖθις αὖ κατέπτατο.
εἴ τε Πατροκλείδης τις ὑμῶν τυγχάνει χεζητιῶν,
οὐκ ἂν ἐξίδισεν ἐς θοἰμάτιον. ἀλλ' ἀνέπτατο.
κἀποπαρδὼν κἀναπνεύσας, αὖθις αὖ κατέπτατο.
εἴ τε μοιχεύων τις ὑμῶν ἐστιν. ὅστις τυγχάνει,
κᾆθ' ὁρᾷ τὸν ἄνδρα τῆς γυναικὸς ἐν βουλευτικῷ,
οὗτος ἂν, πάλιν παρ' ὑμῶν πτερυγίσας ἀνέπτατο.
εἶτα βινήσας, ἐκεῖθεν αὖθις αὖ καθέζετο.
ἆρ' ὑπόπτερον γενέσθαι παντός ἐστιν ἄξιον;
ὡς Διιτρέφης γε πυτιναῖα μόνον ἔχων πτερὰ,
ᾑρέθη φύλαρχος. εἶθ' ἵππαρχος. εἶτ' ἐξ οὐδενὸς
μεγάλα πράττει. κἀστὶ νυνὶ ξουθὸς ἱππαλεκτρυών.

ΠΕΙ. ταυτὶ τοιαυτί. μὰ Δί' ἐγὼ μὲν, πρᾶγμά πω
γελοιότερον οὐκ εἶδον οὐδεπώποτε
ἐπὶ τῷ γελᾷς. ΠΕΙ. ἐπὶ τοῖσι σοῖς ὠκυπτέροις.
οἶσθ' ᾧ μάλιστ' ἔοικας ἐπτερωμένος.
ἐς εὐτέλειαν χηνὶ συγγεγραμμένῳ.

ΕΥ. σὺ κοψίχῳ γε σκάφιον ἀποτετιλμένῳ.

ΠΕ. ταυτὶ μὲν ᾐκάσμεσθα κατὰ τὸν Αἰσχύλον

Ἱππαλεκτρυών. βουλευτής. ὁ γὰρ ἀλεκτρυὼν ἐν τοῖς ὄρνισι τιμιώτερος. Ταυτὶ τοιαυτί. κορωνὶς εἰσιόντων αὖθις τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, ϛ̅. μετὰ δὲ τὸν ιϛ' στίχον, κῶλον ἰαμβικὸν μονόμετρον ἀκατάληκτον. ἐπὶ τῷ τέλει κορωνίς. ἐξῆλθον δὲ οἱ δύο ἐπτερωμένοι. καὶ ἀλλήλων χλευάζοντες τὰ σχήματα. Ὠκυπτέροις. τῶν πτερῶν τὰ μὲν καλεῖται πτίλα. τὰ δὲ, πτερά. τὰ δὲ, ὠκύπτερα. Εἰς εὐτέλειαν. εὐτελῶς γεγραμμένῳ χηνί. Ἀποτετιλμένῳ. ἀποκεκομμένῳ, δύο δὲ εἴδη κουρᾶς. σκάφιον καὶ κῆπος. τὸ μὲν οὖν σκάφιον, τὸ ἐν χρῷ. ὁ δὲ κῆπος τὸ πρὸ μετώπου κεκοσμῆσθαι. Ταυτὶ μὲν ᾐκάσμεθα. διεσκέμμεθα.

Κατὰ τὸν Αἰσχύλον. ἐκεῖνος γὰρ Λιβυστικὴν αὐτὴν καλεῖ παροιμίαν. ὡς δέ ἐστι μύθων καὶ Λυβιστικῶν λόγος. πληγέντ' ἀτράκτῳ τοξικῷ τὸν αἰετὸν, εἰπεῖν ἰδόντα μη

φυέσθαι, πέρδιξ φύεσθαι ὅμοιος τῷ πατρί. Ἐκπερδικίσαι. διὰ τὸ πέρδικα αὐτὸν φύεσθαι. εἴρηται δὲ ἀπὸ τοῦ τοὺς πέρδικας καταλαμβανομένους ὑπ᾿ ἀνθρώπων, μηχανᾶσθαι τοιαύτην σωτηρίαν. λαμβάνοντες γὰρ κάρφη τοῖς ποσὶν, ὑπτίους ἑαυτοὺς ῥίπτουσι καὶ οὕτως ἐπικαλύπτουσι καὶ ἐκκλίνουσι. Εἰς τὸ αὐτό. ἀντὶ τοῦ φυγεῖν. διαβάλλει δὲ ὡς κατεγνωσμένον. καὶ φυγῇ ζημιωθέντα. οἱ δὲ πέρδικες πανοῦργοι ὄντες εὐχερῶς διαδιδράσκουσι τοὺς θηρευτάς. πολλάκις ὕπτιοι γενόμενοι, καὶ ἐπιβάλλοντες ἑαυτοῖς κάρφη. φησὶν οὖν ὅτι, καὶ παρ᾿ ἡμῖν γενόμενος, δύναται πάλιν φυγεῖν. Ἄλλως. Ἐξάγων τοὺς νεοσσούς. ὁ πέρδιξ, εἰς κατανομὴν ἐπὰν ἄνθρωπον ἴδῃ, συρίζει. οἱ δὲ, ὑπτίους ἑαυτοὺς τιθέασιν, ὡς μὴ δὲ ψηλαφῶντά τινα ἐπιγνῶναι. εἶτα ὀλίγον προελθόντος τοῦ ἀνδρὸς, πάλιν συρίζει ὁ πατήρ. οἱ δὲ ὀξέως ἀνίστανται. τοῦτο οὖν ἐστὶ τὸ ἐκπερδικίσαι. Εἰς τὸ αὐτό. δίδυμος ἐν τῷ περὶ διεφθορυίας λέξεως, οὕτως. ἐπὰν ἴδῃ τὸν θηρευτὴν ἡ πέρδιξ, προκυλινδεῖται αὐτοῦ ἐπισπωμένη πρὸς ἑαυτήν. ὡς δὲ γίνεται περὶ τὸ ἀγρεῦσαι αὐτὴν, οἱ νεοσσοὶ φεύγουσιν, εἶτα καὶ αὐτὴ διαδρᾶσα, ὕστερον αὐτοὺς συνάγει. Τοιάδε. ἡ αὐτῳδὴ καὶ ἀντιστροφὴ ὁμοία καθ᾿ ἕκαστόν ἐστι τῇ στροφῇ

ὡς παρ᾿ ἡμῖν οὐδὲν αἰσχρόν ἐστιν ἐκπερδικίσαι.

ἈΝΤΩΔΗ΄ ΚΑΙ΄ ἈΝΤΙΣΤΡΟΦΗ΄ ΚΩ΄ΛΩΝ, ΙϚ΄.

ΧΟ. Τοιάδε κύκνοι,
ποποποποπίγξ.
συμμιγῆ βοὴν ὁμοῦ
πτεροῖσι κρέκοντες, ἴαχον ἀπόλλω
Τιοποποποπίγξ.
ὄχθῳ ἐφεζόμενοι παρ᾿ ἕβρον ποταμόν.
πὸ πὸ πὸ πό.
διὰ δ᾿ αἰθέριον νέφος ἦλθε βοά.
πτῆξε δὲ ποικίλα τε φῦλα θηρῶν,
κύματά τ᾿ ἔσβεσε νήνεμος αἴθρη
τοτοτοτοτοτοτοτοτοτοτίγξ.
πᾶς δ᾿ ἐπεκτύπησ᾿ ὄλυμπος.
εἷλε δὲ θάμβος ἄνακτας
ὀλυμπιάδες δὲ μέλος χάριτες
μοῦσαί τ᾿ ἐπωλόλυξαν
ποποποπίγξ

ἈΝΤΕΠΙΡ΄ΡΗΜΑ ΣΤΙ΄ΧΩΝ, ΙϚ΄.

ΧΟ. οὐδέν ἐστ᾿ ἄμεινον, οὐδ᾿ ἥδιον ἢ φῦσαι πτερά.
αὐτίχ᾿ ὑμῶν τῶν θεατῶν εἴ τις ἦν ὑπόπτερος
εἶτα πεινῶν τοῖς χοροῖσι τῶν τραγῳδῶν ἤχθετο.

καὶ ἀντιστροφῇ. ἐπὶ τῷ τέλει αἱ συνήθεις δύο διπλαῖ. Κρέκοντες. ἠχοῦντες. διὰ τῆς τῶν πτερύγων κινήσεως ὑμνοῦν τὸν ἀπόλλωνα. Παρ᾿ ἕβρον. ποταμὸν θρᾴκης τὰ ῥεύματα ἔχοντα ἐκ ῥοδόπης τοῦ θρᾳκικοῦ ὄρους. Νήνεμος αἴθρη. οἷον ὑπὸ τῆς εὐαερίας λῆξις κυμάτων ἐγένετο. τοῦ γὰρ ἀέρος εὐδεινοῦ ὄντος καὶ ἡ θάλασσα ἡσύχασεν. Ἄνακτας. τοὺς θεούς. ἔνθεν καὶ ἀνάκτορα τὰ ἱερά. Οὐδέν ἐστ᾿ ἄμεινον. τὸ ἀντεπίρρημα ὅμοιον τῷ ἐπιρρήματι. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. Χοροῖσι τῶν τραγῳδῶν, ὡς μακρῶν ὄντων τούτων.

πηγνύσας τὰ περὶ σάμον, καὶ ἀστυόχῳ προσθέμενος. ἀποχειρώσας δὲ τῇ τοῦ δήμου καταλύσει. περὶ ὧν ἐν τοῖς βατράχοις ἱκανῶς εἰρήκαμεν. Εἰ μετ' ὀρνίθων. εἰ μετ' ὀρνίθων τις διάγειν βούλεται ἤδη ἕως, τὸ λοιπὸν ὡς ἡμᾶς ἐλθέτω. Διαπλέκειν ἢ διαποικίλλειν ἢ διάγειν. Τῷ νόμῳ. νόμον νῦν οὐ πάντα τὸν γεγραμμένον φησὶν ἀλλὰ τὸ ἔθος. Αἶρε πλῆκτρον εἰ μάχει. πλῆκτρον ὅπλον ἀμυντήριον. ἡ μεταφορὰ ἀπὸ τῶν ἀλεκτρυόνων. κἀκεῖνοι γὰρ ἔχουσι πλῆκτρα ἐν οἷς μάχονται.

διαπλέκειν, ζῆν ἤδη ἕως τὸ λοιπὸν, ὡς ἡμᾶς ἴτω.
ὅσα γὰρ ἐστὶν ἐνθάδ' αἰσχρὰ τῷ νόμῳ κρατούμενα,
ταῦτα πάντ' ἐστὶ παρ' ἡμῖν τοῖσιν ὄρνισι, καλά.
εἰ γὰρ ἐνθάδ' ἐστὶν αἰσχρὸν τὸν πατέρα τύπτειν νόμῳ,
τοῦτ' ἐκεῖνο καλὸν παρ' ἡμῖν ἐστὶν, ἤν τις τῷ πατρὶ
προσδραμὼν εἴπῃ πατάξας, αἶρε πλῆκτρον εἰ μάχει.
εἰ δὲ τυγχάνει τις ὑμῶν δραπέτης ἐστιγμένος,
ἀτταγᾶς οὗτος παρ' ἡμῖν ποικίλος κεκλήσεται.
εἰ δὲ τυγχάνει τις ὢν φρὺξ μηδὲν ἧττον σπινθάρου,
φρυγίλος ὄρνις ἐνθάδ' ἔσται, τοῦ φιλήμονος γένους.
εἰ δὲ δοῦλός ἐστι καὶ κάρ, ὥσπερ ἐξηκεστίδης,
φυσάτω πάππους παρ' ἡμῖν, καὶ φανοῦνται φράτερες.
εἰ δ' ὁ πεισίου προδοῦναι τοῖς ἀτίμοις τὰς πύλας
βούλεται, πέρδιξ γενέσθω τοῦ πατρὸς νεόττιον.

ἃ ἡμεῖς κέντρα λέγομεν τῶν ὀρνίθων, ἐκεῖνοι πλῆκτρα. πλῆκτρα δὲ εἰσὶ ἔμβολα χαλκᾶ τὰ ἐμβαλλόμενα τοῖς πλήκτροις τῶν ἀλεκτρυόνων. Ἀτταγᾶς. ὁ ἀτταγᾶς γὰρ κατάστικτός ἐστιν ποικίλοις πτεροῖς. Σπινθάρου. οὗτος κωμῳδεῖται ὡς βάρβαρος καὶ φρὺξ. ἔτι δὲ καὶ ὁ φιλήμων. Ἐξηκεστίδης. πολλαχοῦ προείρηται ὅτι ξένος οὗτος. πολλαχοῦ δὲ καὶ παρὰ τοῖς ἄλλοις κωμῳδεῖται. νῦν δὲ ὁ κάρ. Φυσάτω πάππους. εὐφρόνιός φησι πάππον ὄρνεόν τι εἶναι. πρὸς τὸ ὄνομα οὖν παίζει. ὅτι εἰ ἀναβάς τις πρὸς ἡμᾶς γενήσεται πάππος. ἕξει ἀποδεικνύναι φράτορας. ὅ ἐστι συγγενεῖς. οἱ γὰρ δυνάμενοι ὡς ξένοι, ὤφειλον τοὺς ἰδίους πάππους ἀποδεικνύναι ἐκ τῆς φρατρίας ἄνωθεν ὄντας. καλλίμαχος οὐκ ἀναγράφω τὸν πάππον. τρίτη δὲ μοῖρά ἐστι τῆς φυλῆς ἡ φρατρία οὓς τριττὺς λέγουσι. Εἰ δ' ὁ πεισίου προδοῦναι. οὐδὲν σαφὲς ἔχομεν τῆς ὁ πεισίου. οὔτε περὶ τῆς προδοσίας. ὅτι δὲ τὴν λίαν πονηρῶν ἐστὶ, δηλοῖ κρατῖνος ἐν χείρωσι πυλαίαις ὥραις. εἴη δ' ἄν τι συμπεπραχὼς τοῖς ἑρμοκοπίδαις ὁ πεισίου. οἵ τινες, ὡς φιλόχορός φησιν, ἐπὶ χαβρίου θανάτῳ κατεγνώσθησαν. καὶ τὰ ὀνόματα αὐτῶν ἐστηλιτεύθησαν. καὶ τῷ κτείναντι κατ' αὐτῶν ἐκηρύχθη τάλαντον. Ἄλλως.

Οἱ μὲν, τὸν πεισίαν ἕνα τῶν ἑρμοκοπιδῶν εἶναι. οἱ δὲ τὸν υἱὸν αὐτοῦ. ἐτηροῦντο δὲ οὗτοι, ὅπως ἂν δοῖεν τῆς περὶ κοπῆς τιμωρίας. εἰ οὖν φησὶν ὁ υἱὸς αὐτοῦ τοῦ πεισίου ὅμοιος βούλεται εἶναι τῷ πατρὶ, γενέσθω πέρδιξ πανοῦργος. κρατῖνος χείρωσι. καὶ πρῶτα μὲν παρὰ ναυποδικῶν ἀπάγω, τρία κυώδαλα αἰαῖ δή. πεισίαν. ὀφρύωνα. διιτρεφῆ. Τοῦ πατρὸς νεόττιον, ὡς καὶ τοῦ αὐτοῦ, ποιοῦ τοῦ ὄντος, ἀποδ γαίνει ἀπὸ τῆς τοῦ πατρὸς πανουργίας. Ἄλλως. Ὁ πέρδιξ ὄρνεον πανοῦργον ὅπερ ἐξαπατᾷ τοὺς θηρεύοντας αὐτό. εἰ οὖν φησὶ καὶ ὁ υἱὸς αὐτοῦ τοιοῦτος βούλεται

κοτταβίζειν. ἐν τῷ πρεσβυτικῷ γενόμενοι τῶν ἀγαθῶν ἀπειρηκέναι φησί. Μοῦσα λοχμαία. ἡ στροφὴ καὶ ᾠδὴ αὕτη κώλων ἐστὶ διαφόρων καὶ ἀσυναρτήτων ιϛ΄. ὧν τὸ πρῶτον πενθημιμερές. τὸ β΄ ἐφθημιμερὲς τοῦ α΄ ποδὸς ἐξαβράχεος. τὸ γ΄ τροχαϊκὸν εὐριπίδειον. τὸ δ΄ ἀσυνάρτητον προσοδιακὸν καλούμενον περὶ οὗ εἴρηται ἐν τῇ παραβάσει τοῦ νεφελῶν δράματος. τὸ ε΄ ὅμοιον τῷ β΄. τὸ ϛ΄ ὅμοιον τῷ δ΄, οὐκ ἐκ παίωνος δευτέρου ἀρχόμενον ὡς ἐκεῖνο ἀλλ' ἐκ δακτύλου. τὸ ζ΄ ὅμοιον τῷ β΄. τὴν βραχυκατάληκτον. τὸ η΄ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. καὶ τὸ ιδ΄. τὸ θ΄ ἀσυνάρτητον ὅμοιον τοῖς ῥηθεῖσι. τὸ ι΄ ὅμοιον. τὸ ια΄ χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐκ διαλελυμένων χοριάμβων. τοῦ α΄ ἐξασυλλάβου. τοῦ δὲ δευτέρου πενταυσυλλάβου. τὸ ιβ΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ ιγ΄ δακτυλικὸν ἐφθημιμερές. τὸ ιε΄ ἰαμβικὸν ἐφθημιμερές. τὸ ιϛ΄ ὅμοιον τῷ πρώτῳ πενθημιμερὲς ἐκ διαλελυμένου χοριάμβου. ἐπὶ τῷ τέλει διπλῆ ἔσω νενευκυῖα διὰ τὴν ἀνταπόδοσιν. εἰσὶ δὲ καὶ ταῦτα τρολυχηματιστά. μοῦσαν δὲ λοχμαίαν τὴν ἑαυτῶν λέγει. Δίδυμος ὅτι ἐγκεκρυμμένοι ἐν ταῖς λόχμαις φωνεῖν εἰώθασιν. ὁ λόγος δὲ ἀπὸ τοῦ ποιητοῦ. Μοῦσα λοχμαία μέλος ὡς ὀρνίθων. οἰκείως λοχμαίαν μοῦσαν καλοῦσι. διὰ μέσου τὸ τῆς φωνῆς μίμημα καὶ συμμίγνυσι τῷ τῆς ἀνθρωπείας. ἔστι δὲ τὸ ἑξῆς, οὕτως. μοῦσα λοχμαία ποικίλη. μεθ' ἧς ἐγὼ νόμους ἱερούς. ἀναφαίνω. ξουθῆς δὲ εἶπε παρόσον τὰ πλεῖστα τῶν ὀρνέων ξουθὰ φαίνεται. πανὶ νόμους. ἐπεὶ νόμιος ὁ θεὸς καὶ ὄρειος, καὶ τῶν ὀρνέων δὲ ἐν ὄρεσιν αἱ διατριβαί. σεμνᾷ δὲ μητρὶ τῇ ῥέᾳ. Ἔνθεν. ἀπὸ τῶν ἐμῶν ποιημάτων ὥσπερ μέλιττα ἀπεβόσκετο. Φρύνιχος ἀμβροσίων. ὃς ἐπὶ μελοποιΐαις ἐθαυμάζετο. δ΄ δὲ ἐγένοντο φρύνιχοι. ὁ μὲν εἷς οὗ νῦν μνημονεύει, πολυφράδμονος παῖς, ποιητὴς ἡδὺς ἐν τοῖς μέλεσιν. ὁ ἕτερος, χοροκλέους παῖς ὑποκριτής. τρίτος, φρύνιχος ὁ κωμικός. οὗ μέμνηται ἕρμιππος ἐν φορμοφόροις ὡς ἀλλότρια ὑποβαλλομένου ποιήματα. τέταρτος δέ ἐστιν, ἀθηναῖος τὸ γένος. ὁ στρα-

ὥστε παρέσται κοτταβίζειν ὑμῖν.
ὑπὸ τῶν ἀγαθῶν   Οὕτω πλουτήσετε πάντες.

ΩΔΗ ΚΑΙ ΣΤΡΟΦΗ ΚΩΛΩΝ, ιϛ΄.

Μοῦσα λοχμαία,   Τιοτιοτιοτιοτίγξ.
ποικίλη. μεθ' ἧς ἐγὼ
νάπαισι κορυφαῖσί τ' ἐν ὀρείαις.
τιοτιοτιοτιοτίγξ.
δι' ἐμῆς γένυος ξουθῆς μελέων,
ἱζόμενος μελίας ἐπὶ φυλλοκόμου
τιὸ τιὸ τιὸ τιό.
πανὶ νόμους ἱεροὺς ἀναφαίνω
σεμνᾷ τε μητρὶ χορεύματ' ὀρείᾳ
τοτοτοτοτοτοτοτοτοτίγξ.
ἔνθεν ὡσπερεὶ μέλιττα
φρύνιχος ἀμβροσίων
μελέων ἀπεβόσκετο καρπὸν ἀεὶ
φέρων γλυκεῖαν ᾠδήν
τιοτιοτιοτίγξ

ΕΠΙΡΡΗΜΑ ΣΤΙΧΩΝ, ιϛ΄.

ΧΟ. εἰ μετ' ὀρνίθων τις ὑμῶν ὦ θεαταὶ βούλεται

θυεν. Ἴκτινος αὖ μετὰ ταῦτα. ἐν τῇ ἑλλάδι ἔαρος φαίνεται ἰκτῖνος. ὅτι κουρεύεται τὰ θρέμματα. πέκειν δὲ πεκάζειν. Ληΐδάριον. θερίστριον ἢ εὐτελὲς ἱμάτιον θερινόν. σημείωσαι δὲ ὅτι ἐν συστολῇ τὸ πρίασθαι. Ἐλθόντες γὰρ πρῶτον. μαντευσάμενοι γὰρ πρῶτον ἐκ τῶν ὀρνεομαντειῶν, οὕτως ἐπὶ τὰ ἔργα χωρεῖτε. ὄρνιν τε νομίζετε. πάντα γὰρ οἰωνοὺς καλοῦσι καὶ τὰ μὴ ὄρνεα. Σύμβολον ὄρνιν. καὶ γὰρ ταῦτα συμβούλους ἐκάλουν τὰ πρῶτα ξυναντῶντα ξυμβόλους. τοὺς

εἶτα δ' ὀρέστῃ χλαῖναν ὑφαίνειν ἵνα μὴ ῥιγῶν ἀποδύῃ.
ἴκτινος αὖ μετὰ ταῦτα φανεὶς ἑτέραν ὥραν ἀποφαίνει.
ἡνίκα πέκειν ὥρα προβάτων πόκον ἠρινόν. εἶτα χελιδών,
ὅτε χρὴ χλαῖναν πωλεῖν ἤδη. καὶ ληΐδάριόν τι πρίασθαι,
ἐσμὲν δ' ὑμῖν ἄμμων. δελφοί. δωδώνη. φοῖβος ἀπόλλων
ἐλθόντες γὰρ πρῶτον ἐπ' ὄρνεις, οὕτω πρὸς ἅπαντα τρέπεσθε.
πρός τ' ἐμπορίαν καὶ πρὸς βιότου κτῆσιν. καὶ πρὸς γάμον ἀνδρός.
ὄρνιν τε νομίζετε πάνθ' ὅσα περ περὶ μαντείας διακρίνει.
φήμη γ' ὑμῖν ὄρνις ἐστί. πταρμόν τ' ὄρνιθα καλεῖτε.
ξύμβολον, ὄρνιν. φωνήν, ὄρνιν, θεράποντ' ὄρνιν. ὄνον, ὄρνιν.
ἆρ' οὐ φανερῶς ἡμεῖς ὑμῖν ἐσμὲν μαντεῖος ἀπόλλων
ἢν οὖν ἡμᾶς νομίσητε θεούς,
ἕξετε χρῆσθαι μάντεσι μούσαις.
αὔραις. ὥραις. χειμῶνι. θέρει.
μετρίῳ πνίγει. κοὐκ ἀποδράντες
καθεδούμεθ' ἄνω σεμνυνόμενοι,
παρὰ ταῖς νεφέλαις ὥσπερ χ' ὠ ζεύς.
ἀλλὰ παρόντες δώσομεν ὑμῖν
αὐτοῖς, παισί. παίδων παισίν,
πλουθυγίειαν εὐδαιμονίαν. βίον εἰρήνην. νεότητα γέλωτα χορούς. θαλίας. γάλα τ' ὀρνίθων

ἀπαιτήσει ὥς τι προσημαίνοντες. ταῦτα δὲ πάντα δὴ μή τι πριαμένῳ κεῖται ὥς φησι φιλόχορος. Θεράποντ' ὄρνιν. ἐπεὶ πολλάκις εἰώθαμέν τινας τῶν θεραπόντων καλόποδας λέγειν καὶ καλοιωνίστους. Ὄνον ὄρνιν. λέγεται γάρ τι τοιοῦτον. ὡς συμβολικὸς ὁ ἐρωτώμενος περὶ ἀρρώστου. εἶδεν ὄνον ἐκ πτώματος ἀνασταίντα. ἀκήκοε δὲ ἑτέρου λέγοντος. βλέπε πῶς ὄνος ἀνέστη. ὁ δὲ ἔφη ὁ νοσῶν ἀναστήσεται. Ἡ γὰρ ἔκθεσις τοῦ μακροῦ ἐκ κώλων ὁμοίων ἀναπαιστικῶν ιδ'. ὧν τὰ μὲν ιβ' δίμετρα ἀκατάληκτα. τὸ ιγ' ἀναπαιστικὴ βάσις. ὃ καὶ παρατέλευτον ὀνομάζεται. τὸ τελευταῖον ἑφθημιμερὲς ὑφ' ὃ παράγραφος. Μάντεσι. μούσαις. ὥστε χρῆσθαι ἡμῖν καὶ εἰς μουσικὴν καὶ εἰς μαντείαν. πολλὰ γὰρ τῶν ὀρνέων μουσικά. Χειμῶνι. ὅτι καὶ ἀνέμους καὶ καιροὺς προσημαίνουσιν. μετρίῳ δὲ πνίγει συμμέτρῳ καύματι. λέγει δὲ τὸ ἔαρ. Ὥσπερ ὁ ζεύς. νεφεληγερέτης γάρ. Παίδων παισίν. ἔμιξε τὰ δύο. διὸ δὲ μάλιστα οἱ ἄνθρωποι χαίρουσι. καὶ δοκοῦσι τὸν βίον ἐπανορθοῦσθαι, ἐκ τούτου ἔμφασιν εὐδαιμονίας ἐμφαίνει. Γάλα τ' ὀρνίθων τοῦτο καὶ ἐν σφηξὶν ἐν παροιμίᾳ δὲ ἐπὶ τῶν λίαν εὐδαιμονούντων καὶ πάντα κεκτημένων. Ἄλλως. τὸ ἐπὶ τῶν σπανίων. τὰ σπάνια γάρ φησι καὶ δυσεύρετα τῶν ἀγαθῶν παρέξομεν.

Χάος ἦν καὶ νύξ. ταῦτα οὐκ ἀναγκαῖον ἀπευθύνειν, πρὸς τὰ ἡσιόδου ἢ πρός τινα ἄλλου τινὸς θεολόγου. Τίκτει πρώτιστον ὑπηνέμιον. ὑπηνέμια καλεῖται τὰ δίχα συνουσίας καὶ μίξεως. καὶ τοῦτο δέ, οὐχ ὡς ἔτυχεν αὐτῷ προσέρριπται. ἀλλὰ ἀπὸ ἱστορίας τῆς κατὰ τοὺς διοσκούρους. φασὶ γὰρ αὐτοὺς ἐξ ᾠοῦ γεγενέναι. καὶ ὅτι σύνηθες αὐτοῖς μᾶλλον ἀνεμίδιον λέγειν, καὶ πλάτων ἐν θεαιτήτῳ, γόνιμον ἢ ἀνεμίδιον τυγχάνει. Εἰκὼς ἀνεμώκεσι δίναις. ταῖς τοῦ ἀνέμου ὠκείαις συστρο/φαῖς ἐοι/

Χάος ἦν καὶ νὺξ. ἔρεβός τε μέλαν πρῶτον. καὶ τάρταρος εὐρύς.
γῆ δ' οὐδ' ἀὴρ, οὐδ' οὐρανὸς ἦν. ἐρέβους δ' ἐν ἀπείροσι κόλποις,
τίκτει πρώτιστον ὑπηνέμιον νὺξ ἡ μελανόπτερος ᾠόν.
ἐξ οὗ περιτελλομέναις ὥραις, ἔβλαστεν ἔρως ὁ ποθεινός,
στίλβων νῶτον πτερύγοιν χρυσαῖν. εἰκὼς ἀνεμώκεσι δίναις.
οὗτος δὲ χάει πτερόεντι μιγεὶς νυχίῳ, κατὰ τάρταρον εὐρύν,
ἐνεόττευσε γένος ἡμέτερον. καὶ πρῶτον ἀνήγαγεν ἐς φῶς.
πρότερον δ' οὐκ ἦν γένος ἀθανάτων, πρὶν ἔρως συνέμιξεν ἅπαντα.
ξυμμιγνυμένων δ' ἑτέρων ἑτέροις, γένετ' οὐρανὸς. ὠκεανός τε.
καὶ γῆ πάντων τε θεῶν μακάρων γένος ἄφθιτον. ὧδε μὲν ἐσμὲν
πολὺ πρεσβύτατοι πάντων μακάρων. ἡμεῖς δ' ὡς ἐσμὲν ἔρωτος
πολλοῖς δῆλον. πετόμεσθα γὰρ καὶ τοῖσιν ἐρῶσι σύνεσμεν.
πολλοὺς δὲ καλοὺς ἀπομωμοκότας παῖδας, πρὸς τέρμασιν ὥρας
διὰ τὴν ἰσχὺν τὴν ἡμετέραν, διεμήρισαν ἄνδρες ἐρασταί.
ὁ μὲν, ὄρτυγα δούς. ὁ δὲ πορφυρίων'. ὁ δὲ χῆν'. ὁ δὲ περσικὸν ὄρνιν.
πάντα δὲ θνητοῖς ἐστὶν ἀφ' ἡμῶν τῶν ὀρνίθων τὰ μέγιστα.
πρῶτα μὲν ὥρας φαίνομεν ἡμεῖς, ἦρος. χειμῶνος. ὀπώρας.
σπείρειν μὲν, ὅταν γέρανος κρώζουσ' ἐς τὴν λιβύην μεταχωρῇ,
καὶ πηδάλιον τότε ναυκλήρῳ φράζει κρεμάσαντι καθεύδειν

κώς. οἷον ταχύς. ἢ δὲ ὅλη σύστασις. ὅτι ἐκ τοῦ πτεροῦ τοῦ ἔρωτος τὰ ὄρνεά ἐστιν. ἀπὸ τῶν δὲ καὶ ἀπειθαίως τῇ φιλεραστίᾳ κέχρηται. Ἐσμὲν ἔρωτος. λείπει υἱοί. Καὶ τοῖσιν ἐρῶσι. σύμμαχος διὰ δὲ τοὺς ἐραστάς, ὄρνιθας δι' αὐτῶν χαρίζεσθαι τοῖς ἐρωμένοις. δίδυμος δέ, ἐπεὶ ἡ στήλη καὶ ἔτι τοιοῦτον ὄρνεον δεξιὰ πρὸς ἔρωτας φαίνεται. ἐγὼ μὲν ὡς λευκίππη, δεξιὴ στῆθ.

Πολλοὺς δὲ καλούς. μετὰ τὴν νεότητα ἠναγκάσαμεν ἀκαίρως ἑταιρεῖν. ἀπομωμοκότας δὲ ἀποταξαμένους. διεμήρισαν δὲ συνουσίασαν. Ὁ δὲ περσικὸν ὄρνεον. τὰ πολυτελῆ πάντα, οἷς μόνος βασιλεὺς ἐχρῆτο, ἐκαλεῖτο περσικά. καὶ νῦν οὐκ ἰδίως τις ὄρνις περσικός. τινὲς δὲ τὸν ἀλεκτρυόνα. οἱ δὲ τὸν ταῶ. Πρῶτα μὲν ὥρας. παρὰ τὰ ἡσιόδου. φράζεσθαι δ' εὖτ' ἂν γεράνου φωνὴν ἐπακούσαις ὑψόθεν ἐκ νεφέων ἐνιαύσια κεκληγυίης. ἥτ' ἀρότοιό τε σῆμα φέρει καὶ χείματος ὥρην. Καὶ πηδάλιον τότε. καὶ τοῦτο παρὰ τὸ ἡσιόδειον, αὐτίκα πηδάλιον μὲν ὑπὲρ καπνοῦ καταθεῖο. καὶ πηδάλιον δ' εὐεργὲς ὑπὲρ καπνοῦ κρεμάσασθαι. Εἶτα δ' ὀρέστῃ. ὀρέστης μανίαν ὑποκρινόμενος ἐν τῷ σκότει τοὺς ἀνθρώπους ἀπέ/

δεῖ εἰπεῖν φαγεῖν εἶτα φιλεῖν. Ὦ φίλη, ὦ ξουθή. τὸ πρὸ τῆς παραβάσεως τοῦτο κομμάτιον κώλων ἐστὶν ἀσυναρτήτων θ'. ὧν τὸ α'. χοριαμβικὸν ἑφθημιμερές. τὸ β'. ἡμιόλιον. τὰ γ'. ϛ'. ζ'. η'. ἀντισπαστικὰ γλυκώνεια. τὰ δ'. θ'. ἑφθημιμερῆ. τὸ ε'. ἡμιόλιον. ἐπὶ τῷ τέλει παράγραφος. ἔλυσεν δὲ Ἀριστοφάνης τὸ ζήτημα. εἰ ἡ ὄρνις πρεσβυτέρα τοῦ ἄρρενος. ἢ ὁ ἄρρην τῆς ὄρνιθος. ὡς πρὸς τὴν ἀηδόνα δὲ δοκεῖ λέγειν. φυσικώτερον δέ τινες πρὸς τὴν μοῦσαν, ἀπὸ τοῦ μουσικοῦ ὀρνέου. Ἀλλ' ὦ καλλιβόαν κρέκουσα. ὡς αὐλὸς γάρ ἐστι φθεγγομένη. ἢ ἐξῆλθεν ἔχουσα αὐλ'. κρέκουσα νῦν, ἀντὶ τοῦ λαλοῦσα. κυρίως δὲ τὸ τὴν κιθάραν κρούειν. πολλάκις γὰρ πρὸς αὐλὸν λέγουσι τὰς παραβάσεις. Ἠρινοῖς. ἐαρινοῖς δὲ ἐπεὶ παρ' οὖσαν τῷ ἔαρι ἐν τῇ Ἀττικῇ φαίνονται αἱ ἀηδόνες. τὸ δὲ ὅλον πάλιν πρὸς τὴν μοῦσαν. ὅτι τῷ ἔαρι ἐν ἄστει τελοῦσι τὰ Διονύσια.

ἀπὸ τῆς κεφαλῆς τὸ λέμμα. καθ' οὗ τὸ φιλεῖν.

Ἐπ. ἴωμεν. Πει. ἡγοῦ δὴ σὺ νῷν. ἀγαθῇ τύχῃ.

ΚΟΜΜΑΤΙΟΝ ΚΩΛΩΝ, Θ'.

Χο. Ὦ φίλη, ὦ ξουθή, ὦ
φίλτατον ὀρνέων,
πάντων ξύννομε τῶν ἐμῶν
ὕμνων ξύντροφ' ἀηδοῖ.
ἦλθες ἦλθες. ὤφθης
ἡδὺν φθόγγον ἐμοὶ φέρου-
σ'. ἀλλ' ὦ καλλιβόαν κρέκου-
σ' αὐλὸν, φθέγμασιν ἠρινοῖς
ἄρχου τῶν ἀναπαίστων.

ΠΑΡΑΒΑΣΙΣ ΣΤΙΧΩΝ, ΛΗ', ΚΑΙ ΚΩΛΩΝ, ΙΔ'.

Χο. Ἄγε δὴ φύσιν ἄνδρες ἀμαυρόβιοι. φύλλων γενεᾷ προσόμοιοι
ὀλιγοδρανέες. πλάσματα πηλοῦ. σκιοειδέα φῦλ' ἀμενηνά.
ἀπτῆνες, ἐφημέριοι. ταλαοὶ βροτοί. ἀνέρες εἰκελόνειροι.
πρόσχετε τὸν νοῦν τοῖς ἀθανάτοις ἡμῖν τοῖς αἰὲν ἐοῦσι.
τοῖς αἰθερίοις. τοῖσιν ἀγήρως. τοῖς ἄφθιτα μηδομένοισιν.
ἵν' ἀκούσαντες πάντα παρ' ἡμῶν ὀρθῶς, περὶ τῶν μετεώρων,
φύσιν οἰωνῶν. γένεσίν τε θεῶν. ποταμῶν τ' Ἐρέβους τε Χάους τε.
εἰδότες ὀρθῶς, Προδίκῳ παρ' ἐμοῦ κλάειν εἴπητε τὸ λοιπόν.

Ἄγε δὴ φύσιν. ἡ παροῦσα παράβασις ἐκ στίχων ἐστὶ λη'. δῆλον δὲ ὡς ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν. ἐπὶ τῷ τέλει παράγραφος. Ἀμαυρόβιοι. γράφεται καὶ ἡμερόβιοι. Φύλλων γενεᾷ προσόμοιοι. μετάβασις ἀπὸ τῶν ἔσω πρὸς τὸ θέατρον. ὡς θεοὶ δὲ ἐσόμενοι προδιαπτύζουσι τοὺς ἀνθρώπους, παρὰ τὸ ὁμηρικόν. οἵη περ φύλλων γενεή, τοιήδε καὶ ἀνδρῶν. Ταλαοί. ὡς τλητοπαθεῖς καὶ τὰ καθημερινὰ εἰδότες. μὴ προορώμενοι δὲ τὰ μέλλοντα. ἔνιοι δὲ, τὸ ταλαοὶ διαιροῦσιν ὥστε εἶναι ἄλαοι. Φύσιν. καλῶς εἶπε φύσιν οἰωνῶν. γένεσιν δὲ θεῶν. Προδίκῳ παρ' ἐμοῦ. μέμνηται τοῦ Προδίκου καὶ ἐν Νεφέλαις. οὐκ ὀρθῶς δὲ Καλλίμαχος ἐν τοῖς ῥήτορσι καταλέγει. σαφῶς γὰρ ἐν τούτοις φιλόσοφος.

μίσθη εἰς τὸν ὅρμον, ἵνα μὴ προσελθοῦσα θραυσθῇ. καὶ νῦν δὲ, τὸ πάλιν ἐπὶ τοῦ ὀπίσω. ἀπὸ τοῦ εἰς τὸ ἔμπροσθεν ἐρεσσόντων. ἢ ἀντὶ τοῦ ἐάσας πρὸ τούτου. πάλιν ἄνου καὶ ἐπανάλαβε. Ὅρα νῦν ὡς ἐν αἰσώπου λόγοις ὅτι σαφῶς ἀεὶ τίθεσαι αἰσώπου τοὺς λόγους. καὶ τοῦτον τὸν παρὰ τῷ ἀρχιλόχῳ λεγόμενον καί τι πρεσβυτέρῳ ὄντι. Μηδὲν φοβηθῇς. ἐπειδὴ μέλλω ὀρνίθων ὄντες ἀπορνιθωθῆναι ἔμελλον. προκατασκευάζει δι' ὧν ἔμελλον τούτου τυχεῖν. Τὸ δὲ οὕτω. ἀντὶ τοῦ ἐπὶ ταύταις ταῖς συνθήκαις.

Ῥ αἰσώπου μὲν δὴ, χρεύσομεν. Ὢ τοῦτο μέντοι ἀθέτησις ὁμοίως ἑτέρας περιόδου ἐκ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ιέ. ἐπὶ τῷ πλεῖ κορωνίς. δεῖ ὄντων τῶν ὑποκριτῶν. ἐκβίβασον δὲ ἔκβαλον ἐξάγαγε. Ἐκ τοῦ βουτόμου. φυτάριον παρὰ πηγῇ καὶ καλάμῳ. ὃ ἐσθίουσιν οἱ βόες.

Ἔπ. καλῶς. Πει. ὅρα νυν. ὡς ἐν αἰσώπου λόγοις
ἐστὶν, λεγόμενον δή τι. τὴν ἀλώπεχ' ὡς
φλαύρως ἐκοινώνησεν αἰετῷ ποτέ.
Ἔπ. μηδὲν φοβηθῇς. ἔστι γάρ τι ῥίζιον
ὃ διατραγόντ', ἔσεσθον ἐπτερωμένω.
Πει. οὕτω μὲν εἰσίωμεν. ἄγε δὴ ξανθία.
καὶ μανόδωρε. λαμβάνετε τὰ στρώματα.
Χο. οὗτος σὲ καλῶ. σὲ λέγων. Ἔπ. τί καλεῖς. Χο. τούτους μὲν ἄγων
ἀρίστισον εὖ. τὴν δ' ἡδυμελῆ ξύμφωνον ἀηδόνα μούσαις, (μετὰ σεαυτοῦ
κατάλειφ' ἡμῖν, δεῦρ' ἐκβιβάσας. ἵνα παίσωμεν μετ' ἐκείνης.
Πει. ὦ τοῦτο μέντοι νὴ δί' αὐτοῖσιν πιθοῦ.
ἐκβίβασον ἐκ τοῦ βουτόμου τοὐρνίθιον.
ἐκβίβασον αὐτοῦ πρὸς θεῶν αὐτήν. ἵνα
καὶ νὼ θεασώμεσθα τὴν ἀηδόνα.
Ἔπ. ἀλλ' εἰ δοκεῖ σφῷν, ταῦτα χρὴ δρᾶν. ἡ πρόκνη
ἔκβαινε. καὶ σαυτὴν ἐπιδείκνυ τοῖς ξένοις.
Πει. ὦ ζεῦ πολυτίμηθ' ὡς καλὸν τοὐρνίθιον.
ὡς δ' ἁπαλόν. ὡς δὲ λευκόν. Εὐ. ἆρά γ' οἶσθ' ὅτι,
ἐγὼ διαμηρίζοιμ' ἂν αὐτὴν ἡδέως;
ὅσον δ' ἔχει τὸν χρυσὸν ὥσπερ παρθένος.
Πει. ἐγὼ μὲν αὐτὴν καὶ φιλῆσαί μοι δοκῶ.
Εὐ. ἀλλ' ὦ κακόδαιμον. ῥύγχος ὀβελίσκοιν ἔχει.
Πει. ἀλλ' ὥσπερ ᾠὸν νὴ δί' ἀπολέψαντα, χρή,

Ἄλλως.

φυτάριον παρὰ ποταμοῦ. ὃ τοῖς βουσὶ παρασκευάζουσι. τοῦτο δὲ λέγεται, ὡς τῆς πρόκνης ἐγκρυπτομένης τῇ ὕλῃ. αὐτοῦ δὲ, αὐτόθι ἐν τῷ θεάτρῳ. Ὦ ζεῦ πολυτίμηθ'. ἑταιρίδιον πρόσεισι. τὰ ἄλλα μὲν κεκαλλωπισμένον. τὴν δὲ κεφαλὴν ὄρνιθος ἔχον ὡς ἀηδόνος. Ὡς δ' ἁπαλόν. ἅμα λέγων ψηλαφᾷ αὐτήν. διαμηρίζοιμ' ἄν, συνουσιάσαιμι. Ὅσον δ' ἔχει τὸν χρυσόν. ἅμα μὲν τὸ ποικιλόδειρον τοῦ ὀρνέου. καὶ πρὸς τὸν πολὺν κόσμον τῆς ἑταίρας. Ῥύγχος ὀβελίσκοιν ἔχει. εἰς ὀξὺ λήγει ἡ κεφαλὴ ὡς ὀβελίσκος. Ἀπολέψαντα χρή. ἀντὶ τοῦ ἀφελόντα τὸ προσωπεῖον. ὡς ἐν θυμέλῃ γὰρ προσωπεῖον ἐξῆλθεν ἔχουσα τῇ τροπῇ ᾗ ἐχρήσατο. δέον

κὸν ἐφθημιμερὲς τὸν πρῶτον ἔχον πόδα τρίβραχυν. ὁ θ΄ ἰαμβικὸς τρίμετρος βραχυκατάληκτος. ὁ δέκατος ἀσυνάρτητος ἐξ ἰαμβικῆς βάσεως καὶ τροχαϊκοῦ ἰθυφαλλικοῦ. ἐπὶ τῷ τέλει κορωνίς. Ἐξ ἐχθίστου. ἀπὸ τῆς ἔχθρας εἰς φιλίαν μετέπεσον. Ἐπαυχήσας. μεγαλοφρονήσας διὰ τῶν σῶν λόγων. Ἐπηπείλησα. ἐπαγγειλάμενος ὤμοσα. Τἀμὰ τρίψειν. χαριέντως εἶπε τρίψειν καὶ ὡς ἐπὶ ἐσθῆτος. Καὶ μὴν μὰ τὸν Δία. εἴσθεσις περιόδου ἀμοιβαίας ἐκ στίχων ἰαμβικῶν τριμέτρων

οὐκ ἔστιν ὅπως ἂν ἐγὼ πρὸς ἑκὼν τῆς σῆς γνώμης ἔτ᾽ ἀφείμην.
ἐπαυχήσας δὲ τοῖσι σοῖς λόγοις,
ἐπηπείλησα, καὶ κατώμοσα.
ἢν σὺ παρ᾽ ἐμὲ θέμενος
ὁμόφρονας λόγους δικαίους
ἀδόλους. ὁσίους.
ἐπὶ θεοὺς ἴοις, ἐμοὶ
φρονῶν ξυνῳδά, μὴ πολὺν χρόνον.
θεοὺς ἔτι σκῆπτρα τἀμὰ τρίψειν.
ἀλλ᾽ ὅσα μὲν δεῖ ῥώμῃ πράττειν, ἐπὶ ταῦτα τετάξομεθ᾽ ἡμεῖς.
ὅσα δὲ γνώμῃ δεῖ βουλεύειν, ἐπὶ σοὶ τάδε πάντ᾽ ἀνάκειται.

ΣΥΣΤΗΜΑ ΚΑΤΑ ΠΕΡΙΚΟΠΗΝ.

Ἔπ. καὶ μὴν μὰ τὸν Δί᾽ οὐχὶ νυστάζειν ἔτι
ὥρα ᾽στὶν ἡμῖν. οὐδὲ μελλονικιᾶν
ἀλλ᾽ ὡς τάχιστα δεῖ τι δρᾶν. πρῶτον δέ τι
εἰσέλθετ᾽ εἰς νεοττιάν γε τὴν ἐμήν.
καὶ τἀμὰ κάρφη. καὶ τὰ παρόντα φρύγανα.
καὶ τοὔνομ᾽ ἡμῖν φράσατον. ἀλλὰ ῥᾴδιον.
Πει. ἐμοὶ μὲν ὄνομα πεισθέταιρος. Ἔπ. τῷ δὲ τί
Πε. εὐελπίδης θριῆθεν. Ἔπ. ἀλλὰ χαίρετον.
Πε. ἄμφω δεχόμεσθα. Ἔπ. δεῦρο τοίνυν εἴσιτον.
Πει. ἴωμεν. εἴσηγοῦ σὺ λαβὼν ἡμᾶς. Ἔπ. ἴθι
Πει. ἀτὰρ τὸ δεῖν᾽ ἐπανάκρουσαι πάλιν. Ἔπ. φέρ᾽ ἴδω
Πει. φράσον νῷν. ὅπως ἐγώ τε χοὐτοσί.
ξυνεσόμεθ᾽ ὑμῖν πετομένοις οὐ πετομένω.

ἀκαταλήκτων εἴκοσι. ὧν τελευταῖος καὶ μαγόδωρε λαμβάνετε τὰ στρώματα. ἐν εἰσθέσει δὲ στίχοι ἀναπαιστικοὶ τετράμετροι. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. Οὐδὲ μελλονικιᾶν. ὅτι βραδὺς ἦν περὶ τὰς ἐξόδους. καὶ ὡς οἱ διαβάλλοντες, οὐχὶ προνοητικὸς ἦν. ἀλλὰ μελλητής. τινὲς δέ φασι διὰ τὸ προνοητικὸν καὶ μὴ προπετές τι τοιοῦτον αὐτὸν εἶναι. Ἀλλ᾽ ὡς τάχιστα δεῖ τι δρᾶν. ὁ ἔποψ παρακελεύεται αὐτοῖς εἰς τὴν νεοσσιὰν εἰσελθεῖν ἵνα αὐτῶν ἀποστῶσι, χοίη καιρὸν ἡ παράβασις. τὰ δὲ κάρφη καὶ φρύγανα ἐκ παραλλήλου. Κριῶθεν. κριὸς δῆμος τῆς αἰγηΐδος φυλῆς, ἀπὸ κριοῦ τινὸς ὠνομασμένος. ἀναγράφει δὲ τοὺς ἐπωνύμους τῶν δήμων καὶ φυλῶν πολέμων. γράφεται δὲ καὶ θριῆθεν διὸ ἦν ἀπὸ δήμου τῆς οἰνηΐδος φυλῆς. Ἐπανάκρουσαι. ἐπανακάμψε. ἡ μεταφορὰ ἀπὸ τῶν τὰς ἡνίας ἀνακρουομένων ἢ τὰς ναῦς. Ἄλλως. ὑπόστρεψον ἐπανάβηθι. ἐπανάκρουσις δέ ἐστι κυρίως τὸ ἐπισχεῖν τὴν ἐπερχομένην ναῦν καὶ μεθορ-

κα. β.

μακρῶς τοῦτο. οὐδεὶς οἶδε τί ὡμίλησα. πλήν γε εἴ τις ὄρνις. τοῦτο ἐλέγετο, ἐπὶ τῶν ἀγνώστων. Τὰς ὑδρίας. ἐν ὑδρίαις γὰρ ἔκειντο οἱ θησαυροί. Πῶς δ' εἰς γῆρας αὐτοῦ εἰς πολυχρονιότητα προκόψουσιν. Οὐκ οἶσθ' ὅτι πέντε γενεάς. κακῶς καὶ τοῦτο παρὰ τὸ ἡσιόδειον παίζει. ἐννέα γὰρ ζώει γενεὰς λακέρυζα κορώνη. Κοὐκ εἰς δελφοὺς ἔνθα μαντεῖα εἰσιν. ἐν μὲν δελφοῖς τὰ τοῦ ἀπόλλωνος. ἐν δὲ λίβυσι, τὰ τοῦ ἄμμωνος. Οὐδὲ θυρῶσαι. τοὺς ναοὺς ὡς τοῖς θεοῖς. θάμνοις δὲ συμφύτοις τόποις.

Ευ. πῶς δ' ὑγίειαν δώσουσ' αὐτοῖς, οὖσαν παρὰ τοῖσι θεοῖσιν,
Πει. ἢν εὖ πράττωσ' οὐχ ὑγίεια μεγάλη τοῦτ' ἐστί, σάφ' ἴσθι.
ὡς ἄνθρωπός γε κακῶς πράττων, ἀτεχνῶς οὐδεὶς ὑγιαίνει.
Χο. πῶς δ' εἰς γῆρας ποτ' ἀφίξονται καὶ γὰρ τοῦτ' ἐστ' ἐν ὀλύμπῳ.
ἢ παιδάριόντ' ἀποθνήσκειν δεῖ. Πε. μὰ δί', ἀλλὰ τριακόσι' αὐτοῖς
ἔτι προσθήσουσ' ὄρνιθες ἔτη. Χο. παρὰ τοῦ; Πε. παρὰ τοῦ, παρ' ἑαυτῶν
οὐκ οἶσθ' ὅτι πέντε γενεὰς ἀνδρῶν ζώει λακέρυζα κορώνη; (τοῦ
Ευ. αἰβοῖ. ὡς πολλῷ κρείττους οὗτοι τοῦ διὸς ἡμῖν βασιλεύειν.
Πει. οὐ γὰρ πολλῷ πρῶτον μέν, οὐ
χὶ νεὼς ἡμᾶς οἰκοδομεῖν δεῖ.
λιθίνους αὐτοῖς. οὐδὲ θυρῶσαι
χρυσαῖσι θύραις ἀλλ' ὑπὸ θάμνοις
καὶ πρινιδίοις οἰκήσουσιν.
τοῖς δ' αὖ σεμνοῖς τῶν ὀρνίθων,
δένδρον ἐλαίας ὁ νεὼς ἔσται.
κοὐδ' εἰς δελφοὺς οὐδ' εἰς ἄμμω
ν' ἐλθόντες, ἐκεῖ θύσομεν. ἀλλ' ἐν
ταῖσι κομάροις καὶ τοῖς κοτίνοις.
στάντες ἔχοντες κριθάς. πυρούς.
εὐξόμεθ' ἑαυτοῖς, ἀνατείνοντες.
τὼ χεῖρ' ἀγαθῶν διδόναι τι μέρος,
καὶ ταῦθ' ἡμῖν παραχρῆμ' ἔσται.
πυροὺς ὀλίγους προβαλοῦσιν.

ΣΤΡΟΦΗ ΚΩΛΩΝ, ΙΒ'.

Χο. Ὦ φίλτατ' ἐμοὶ πολὺ πρεσβυτῶν ἐξ ἐχθίστου μεταπίπτων.

σεμνοῖς ἤτοι τιμίοις. Δένδρον ἐλαίας. ὅτι ἱερὸν μαθεῖν. ἀθηνᾶς γάρ. Ταῖσι κομάροις. ὅτι τὰς μὲν κομάρους, θηλυκῶς φασί. τὰς δὲ κοτίνους, ἀρσενικῶς. εἰσὶ δὲ ἤτοι δένδρων ταῦτα. Ὦ φίλτατ' ἐμοί. κορωνὶς καὶ εἴσθεσις χοροῦ ἐπῳδικὴ μὲν διὰ τὸ μὴ τὴν δὲ πηγὴν τι θεᾶσθαι προῳδικὴ δὲ διὰ τὸ προτίθεσθαι ἑτέρας περιόδου στίχων καὶ κώλων ιβ' ὧν

ὁ πρῶτος καὶ δεύτερος καὶ ια', καὶ ιβ', ἀναπαιστικοὶ τετράμετροι καταληκτικοί. ὁ τρίτος ἀσυνάρτητος ἐξ ἀναπαιστικοῦ πενθημιμεροῦς ἐξ ἀναπαιστικοῦ πενθημιμεροῦς αἰολικοῦ διὰ τὸ ἔχειν τὸν πρῶτον πόδα ἴαμβον καὶ τροχαϊκοῦ ὁμοίως πενθημιμεροῦς. ὁ τέταρτος ὅμοιος. τὸ πέμπτον ἀναπαιστικὸν πενθημιμερὲς τὸν δεύτερον ἔχον πόδα τετράβραχυν. τὸ ς' τροχαϊκὸν δίμετρον ἀκατάληκτον τὸν πρῶτον ἔχον πόδα τρίβραχυν. τὸ ζ' ἀναπαιστικὴ βάσις. τὸ ὄγδοον τροχαϊ

Ὁμήρου τοῦτο φέρεσθαι. εἰσὶ γὰρ καὶ κύκνοι. Σπερμολόγων. ὄνομα ὀρνέων ἀπὸ τοῦ ὀρύττειν τὰ σπέρματα καὶ ἐσθίειν οὕτως ὠνομάσθησαν. Οὐκ ἐθελήσει. ἀντὶ τοῦ οὐ δυνήσεται. Ὅμηρος. οὐδ' ἐθέλει προρέειν. Οἱ δ' αὖ κόρακες. ἀπὸ βουλεύετε φησὶ τοῖς ἀνθρώποις ἐὰν μὴ τιμήσωσιν ὑμᾶς, τοὺς γὰρ βοῦς ἐπὶ γεωργίαν χρειώδεις ὄντας ἀνθρώποις τυφλοῦτε καὶ τὰ πρόβατα ἐξ ὧν τὴν ἐσθῆτα ἔχουσι. Ἐπὶ πείρᾳ. ἐπὶ βλάβῃ. ἢ ἵνα πειραθῶσιν ἡμῶν εἰ θεοί ἐσμεν. Μισθοφορεῖ δέ. ὁ δὲ ἀντὶ τοῦ γάρ.

καὶ σπερμολόγων, ἐκ τῶν ἀγρῶν τὸ σπέρμ' αὐτῶν ἀνακάψαι
κἄπειτ' αὐτοῖς ἡ Δημήτηρ πυροὺς πεινῶσι μετρείτω.
Ἐπ. οὐκ ἐθελήσει μὰ Δί' ἀλλ' ὄψει προφάσεις αὐτὴν παρέχουσαν,
Πει. οἱ δ' αὖ κόρακες τῶν ζευγαρίων οἷσι τὴν γῆν καταροῦσι,
καὶ τῶν προβάτων τοὺς ὀφθαλμοὺς ἐκκοψάντων ἐπὶ πείρᾳ.
εἶθ' οὑπόλλων ἰατρὸς ὤν, ἰάσθω. μισθοφορεῖ δέ.
Εὐ. μὴ πρίν γ' ἂν ἐγὼ τὼ βοϊδαρίω τὼ μὼ πρώτιστ' ἀποδῶμαι.
Πει. ἢν δ' ἡγῶνταί σε θεόν. σὲ βίον. σὲ δὲ γῆν. σὲ κρόνον. σὲ ποσειδῶ,
ἀγάθ' αὐτοῖσιν πάντα παρέσται. Χο. λέγε δή μοι τῶν ἀγαθῶν ἕν.
Πει. πρῶτα μὲν αὐτῶν τὰς οἰνάνθας οἱ πάρνοπες οὐ κατέδονται.
ἀλλὰ γλαυκῶν λόχος εἷς αὐτούς, καὶ κερχνῄδων, ἐπιτρίψει.
εἶθ' οἱ κνῖπες καὶ ψῆνες ἀεὶ τὰς συκᾶς οὐ κατέδονται.
ἀλλ' ἀναλέξει πάντας καθαρῶς αὐτοὺς ἀγέλη μία κιχλῶν.
Ἐπ. πλουτεῖν δὲ πόθεν δώσομεν αὐτοῖς. καὶ γὰρ τούτου σφόδρ' ἐρῶσιν,
Πει. τὰ μέταλλ' αὐτοῖς μαντευομένοις, οὗτοι δώσουσι τὰ χρηστά.
τάς τ' ἐμπορίας τὰς κερδαλέας, πρὸς τὸν μάντιν καταπροῦσιν.
ὥστ' οὐκ ἀπολεῖται τῶν ναυκλήρων οὐδείς. Χο. πῶς οὐκ ἀπολεῖται.
Πει. προερεῖ τις ἀεὶ τῶν ὀρνίθων μαντευομένῳ περὶ τοῦ πλοῦ.
νυνὶ μὴ πλεῖ. χειμὼν ἔσται. νυνὶ πλεῖ κέρδος ἐπέσται.
Εὐ. γαῦλον κτῶμαι καὶ ναυκληρῶ. κοὐκ ἂν μείναιμι παρ' ὑμῖν.
Πει. τοὺς θησαυρούς τ' αὐτοῖς δείξουσ' οὓς οἱ πρότεροι κατέθεντο.
τῶν ἀργυρίων. οὗτοι γὰρ ἴσασι. λέγουσι δέ τοι τάδε πάντες.
οὐδεὶς οἶδε τὸν θησαυρὸν τὸν ἐμόν, πλὴν εἴ τις ἄρ' ὄρνις.
Εὐ. πωλῶ γαῦλον κτῶμαι σμινύην. καὶ τὰς ὑδρίας ἀνορύττω.

Ἄπο ἢ εἰπεῖν, ἐπεὶ λαομέδοντα τῆς τειχοδομίας μισθὸν ᾔτησεν. Τὰς οἰνάνθας. οἰνάνθη ἡ πρώτη ἔκφυσις τῆς σταφυλῆς καὶ ὀρνιθίδιον. οἰνάνθ' ἀκαθαμέριον τὰ ξ. καὶ τὸν πολύκαρπον οἰνάνθας ἱεῖσα βότρυν. Γλαυκῶν λόχος. γλαὺξ εἶδος ὀρνέου. λόχος δὲ σύστημα. ὅπερ αὖ ὦ νέφος ἔφη. Καὶ κερχνῄδων. μή ποτε καὶ ἐν τοῖς πρόσθεν, οὐχὶ κερχνὴς γραπτέον, ἀλλὰ κερχνῄς σὺν τῷ ι. ὡς νηρηΐς. νῦν γὰρ κερχνῄδων εἶπεν. κνῖπες δὲ εἴδη ζωυφίων μικρά. Γαῦλον κτῶμαι. γαῦλος φοινικὸν σκάφος. καὶ νῦν προπερισπώμενον. ἐπὶ δὲ τοῦ ἀγγείου, ὀξυτόνως. Καλλίμαχος, Κυπρόθεος σιδώνιος με κατήγαγεν ἐνθάδε γαῦλος. Ἄλλως. γαῦλος, πλοῖόν τι φορτικόν, ὡς καὶ σκάφη ἀπὸ τῶν σκυλῶν. Ὅμηρος, γαυλοί τε σκαφίδες τε. ὡς ἀρετωτέρου δὲ ὄντος καὶ ἀκινδύνου τῶν ἄλλων πάντων τοῦτό φησι. Πλὴν εἴ τις ὄρνις. παροιμία ἐστίν. οὐδεὶς μεθιστορεῖ. πλὴν ὁ παραπτάμενος ὄρνις. Ἄλλως. παροι

Καὶ τὰς ἀλόπας. ἀλόπη κερκυόνος θυγάτηρ. ἣ καὶ ποσειδῶνος υἱὸς ἱπποθόων.

Θύειν ὄρνισι. πρὸ τῶν θεῶν. τὸ λοιπὸν δὲ εἰς τὸ ἔμπροσθεν. προσνείμασθαι δὲ μερίσαι καὶ προσοικειῶσαι ἕκαστον ὄρνιν ἑκάστῳ θεῷ. Ἢν ἀφροδίτῃ θύῃ πυρούς. πυροὺς λέγει τῇ ἀφροδίτῃ θύειν· ἐπεὶ οἱ ἑφθοὶ πυροὶ πρὸς συνουσίαν ἐγερτικοί. ἡ δὲ φαληρίς, ὄρνεόν ἐστι λιμναῖον εὐπρεπές. ἐσχημάτισε δὲ παρὰ τὸν φαλλόν.

Ἢν δὲ ποσειδῶνι. γράφεται ποσειδῶνι βοῦν τις θύῃ. νῆττα δὲ παρὰ τὸ νήχεσθαι. ἐπεὶ ἔνυδρον δὲ ζῷον. τῷ ποσειδῶνι δέ, ἐν ὑγρῷ ἡ δίαιτα. Ἢν δ' ἡρακλεῖ θύῃ τις. τὸν λάρον διὰ τὴν ἀδηφαγίαν ἡρακλεῖ προσανάπτει. ναστὸς δέ, μέγας πλακοῦν τῷ λισάρτος. ὁ δὲ ἀσκληπιάδης φησὶν εὐτέλισμα κοῦντα.

καὶ τὰς ἀλόπας. καὶ τὰς σεμέλας. ἤν περ δ' ἐπίωσ' ἐβάλλειν
σφραγῖδ' αὐτοῖς ἐπὶ τὴν ψωλὴν ἵνα μὴ βινῶσ' ἔτι κείνας
τοῖς δ' ἀνθρώποις ὄρνιν ἕτερον πέμψαι κήρυκα κελεύω.
ὡς ὀρνίθων βασιλευόντων, θύειν ὄρνισι τὸ λοιπόν.
κἄπειτα θεοῖς ὕστερον αὖθις. προσνείμασθαι δὲ πρεπόντως
τοῖσι θεοῖσι τῶν ὀρνίθων. ὃς ἂν ἁρμόζῃ καθ' ἕκαστον.
ἢν ἀφροδίτῃ θύῃ πυροὺς ὄρνιθι φαληρίδι θύειν.
ἢν δὲ ποσειδῶνί τις οἶν θύῃ, νήττῃ, πυροὺς καθαγίζειν.
ἢν δ' ἡρακλεῖ τις βοῦν, λάρῳ ναστοὺς θύειν μελιτούττας.
κἂν Διὶ θύῃ βασιλεῖ κριόν. βασιλεύς ἐστ' ὀρχίλος ὄρνις.
ᾧ προτέρῳ δεῖ τοῦ διὸς αὐτοῦ, σέρφον ἐνόρχην σφαγιάζειν.
Ευ. ἥσθην σέρφῳ σφαγιαζομένῳ. βροντάτω νῦν ὁ μέγας ζάν.
Ἔπ. καὶ πῶς ἡμᾶς νομιοῦσι θεοὺς ἄνθρωποι, κοὐχὶ κολοιοὺς
οἳ πετόμεσθα, πτέρυγάς τ' ἔχομεν. Πει. ληρεῖς. καὶ νὴ δί' ὅγ' ἑρμῆς
πέτεται, θεὸς ὤν, πτέρυγάς τε φορεῖ. κἄλλοι γε θεοὶ πάνυ πολλοί.
αὐτίκα νίκη πέτεται πτερύγοιν χρυσαῖν. καὶ νὴ δί' ἔρως γε.
ἶριν δέ γ' ὅμηρος ἔφασκ' ἰκέλην εἶναι τρήρωνι πελείῃ.
Ἔπ. ὁ ζεὺς δ' ἡμῖν οὐ βροντήσας, πέμψει πτερόεντα κεραυνόν.
Πει. ἢν δ' οὖν ὑμᾶς μὲν ὑπ' ἀγνοίας εἶναι νομίσωσι τὸ μηδέν.
τούτους δὲ θεοὺς τοὺς ἐν ὀλύμπῳ. τότε χρὴ στρουθῶν νέφος ἀρθέν,

με-λιττούτας δὲ μέλιτι δεδευμένας. τὸ δὲ πλῆρες. ναστοὺς καὶ μελιττούτας. λείπει γὰρ ὁ καὶ σύνδεσμος. Ὀρχίλος ὄρνις. διὰ τὰς μοιχείας τοῦ διός, τὸν ὄρνιν παρέλαβεν ἐπιτάττοντος(?) τὸ ὄνομα τοῦ ὄρνιθος. ἐπεὶ καταφερὴς ὁ ζεὺς καὶ μοιχός, διὰ τοῦτο ὀρχίλον παρέλαβε διὰ τοὺς ὄρχεις. τὸ δὲ σέρφον ἐνόρχην ὡς κριὸν ἐνόρχην δῆλον δὲ ἐντεῦθεν, ὅτι οὐχ ὡς οἴονταί τινες σπέρμα τὸ σέρφος. ζῷον γάρ ἐστι μυρμηκῶδες.

Ἥσθην σέρφῳ. ὡς καταφρονῶν αὐτοῦ φησί. καὶ δαρείζειν πολλάκις αὐτῷ τι δοκοῦσιν.

Αὐτίκα νίκη πέτεται. νεωτερικὸν τὸ τὴν νίκην καὶ τὸν ἔρωτα ἐπτερῶσθαι. ἀρχέννους γάρ φησι, καὶ τὸν βουπάλου καὶ ἀθήνιδος πατέρα. οἱ δέ, ἀγλαοφῶντα τὸν θάσιον ζωγράφον, πτηνὴν ἐργάσασθαι τὴν νίκην. ὡς οἱ περὶ καρύστιον τὸν περγαμηνόν φασιν. Ἶριν δέ γ' ὅμηρος ὅτι ψεύδεται παίζων. οὐ γὰρ ἐπὶ ἴριδος. ἀλλ' ἐπὶ ἀθηνᾶς καὶ ἥρας. αἱ δὲ βάτην τρήρωσι πελείασιν ἴθμαθ' ὁμοῖαι. οἱ δέ, ἐν ἑτέροις φασὶ ποιήμασιν.

ὁμήρου

Τὰ νεόττια. ὡς εἰ εἶπεν ἀνατίθημί σοι ἐμαυτὸν ὥστε διοικεῖν· ταῦτα δὲ εἰώθασι πρὸς τοὺς εὐήθεις τῶν ἀνθρώπων λέγειν. Πλίνθοις ὀπταῖς. φασὶ γὰρ τὴν Βαβυλῶνα, ἀπὸ ὀπτῶν πλίνθων οἰκοδομηθῆναι· καὶ ἀντὶ γύψου ἀσφάλτῳ, συνδεθῆναι τὰς πλίνθους· ἡ Σεμίραμις δὲ, ἔκτισε τὴν Βαβυλῶνα. Ὦ Κεβριόνα. ὀργεόντι φησὶ τὸν Κεβριόνην. ἔπαιξε δὲ, ὥσπερ εἰ ἔλεγεν, ὦ θεοὶ σμερδαλέον τὸ πόλισμα. ἀνεπιτηδείως δὲ τὸν Πορφυρίωνα παρέλαβεν· καὶ ὅτι ὄρνις καὶ ὅτι εἷς τῶν γιγάντων ὅμοιος τῷ Κεβριόνῃ· ὃν ἐχειρώσατο ἡ Ἀφροδίτη. ἐπίτηδες οὖν τῶν θεομάχων ἐμνήσθη. ἐπεὶ καὶ αὐτοὶ θεομαχήσουσιν. Γνωσιμαχήσῃ. γνωσιμαχῆσαι δέ ἐστι, γνόντα ὅτι πρὸς κρείττονας αὐτῷ ἡ μάχη, ἡσυχάσαι.

οὐδέ μοι κατὰ δαίμονα καὶ
συντυχίαν ἀγαθὴν ἥκεις ἐμοὶ σωτήρ.
ἀναθεὶς γὰρ ἐγώ σοι
Τὰ νεόττια κἀμαυτὸν οἰκήσω δή.
ἀλλ' ὅ τι χρὴ δρᾶν, σὺ δίδασκε παρών· ὡς ζῆν οὐκ ἄξιον ἡμῖν,
εἰ μὴ κομιούμεθα παντὶ τρόπῳ τὴν ἡμετέραν βασιλείαν.
Πει. καὶ δὴ τοίνυν πρῶτα διδάσκω μίαν ὀρνίθων πόλιν εἶναι.
κἄπειτα τὸν ἀέρα πάντα κύκλῳ καὶ πᾶν τουτὶ τὸ μεταξὺ
περιτειχίζειν μεγάλαις πλίνθοις ὀπταῖς, ὥσπερ Βαβυλῶνα.
Ἔπ. ὦ Κεβριόνα καὶ Πορφυρίων, ὡς σμερδαλέον τὸ πόλισμα.
Πει. κἄπειτ' ἢν τοῦτ' ἐπαναστήκῃ τὴν ἀρχὴν τὸν Δί' ἀπαιτεῖν.
κἂν μὲν μὴ φῇ μηδ' ἐθελήσῃ, μηδ' εὐθὺς γνωσιμαχήσῃ,
ἱερὸν πόλεμον πρωὐδᾶν αὐτῷ, καὶ τοῖσι θεοῖσιν ἀπειπεῖν.
διὰ τῆς χώρας τῆς ὑμετέρας ἑστηκόσι μὴ διαφοιτᾶν.
ὥσπερ πρότερον μοιχεύσοντες τὰς Ἀλκμήνας κατέβαινον.

Ἱερὸν πόλεμον. ὁ ἱερὸς πόλεμος, ἐγένετο Ἀθηναίοις πρὸς Βοιωτοὺς βουλομένοις ἀφελέσθαι Φωκέων τὸ μαντεῖον. νικήσαντες δὲ, Φωκεῦσι πάλιν ἀπέδωκαν. ὡς Φιλόχορος ἐν τῇ δ'. δύο δὲ πόλεμοι γεγόνασιν. ὅ τότε. καὶ ὁπότε Φωκεῦσιν ἐπέθεντο Λακεδαιμόνιοι. ἐν ἐνίοις δὲ τῶν ὑπομνημάτων ταῦτα λέγεται. ἱερὸν πόλεμον λέγει, καθὸ πρὸς θεοὺς ἔσοιτο. ἅμα δὲ τοῦ ἱεροῦ πολέμου μνημονεύει, γενομένου Ἀθηναίοις πρὸς Φωκέας ὑπὲρ τοῦ ἐν Δελφοῖς ἱεροῦ. ἐσχεδίασται δὲ ὑπ' αὐτῶν. οὐ γὰρ πρὸς Φωκέας ὑπὲρ τούτου ἐπολέμησαν. ἀλλ' ὑπὲρ Φωκέων. διὰ τὸ πρὸς Λακεδαιμονίους ἔχθος γεγόνασι δὲ δύο πόλεμοι ἱεροί. πρότερος μὲν Λακεδαιμονίοις πρὸς Φωκεῖς ὑπὲρ Δελφῶν. καὶ κρατήσαντες τοῦ ἱεροῦ Λακεδαιμόνιοι τὴν προμαντείαν παρὰ Δελφῶν, ἔλαβον. ὕστερον δὲ τρίτῳ ἔτει τοῦ πρώτου πολέμου, Ἀθηναίοις πρὸς Λακεδαιμονίοις ὑπὲρ Φωκέων. καὶ τὸ ἱερὸν ἀποδεδώκασι Φωκεῦσι. καθάπερ καὶ Φιλόχορος ἐν τῇ τετάρτῃ, λέγει. καλεῖται δὲ ἱερὸς, ὅτι περὶ τοῦ ἐν Δελφοῖς ἱεροῦ ἐγένετο. ἱστορεῖ περὶ αὐτοῦ καὶ Θουκυδίδης καὶ Ἐρατοσθένης ἐν τῷ θ'. καὶ Θεόπομπος ἐν τῷ κε. Μοιχεύσοντες. διὰ τοῦ πληθυντικοῦ ηὔξησε τὴν διαβολήν.

κόν. ὥσπερ εἰ ἔλεγε τοὺς δούλους μανᾶς. οὕτω γὰρ ἐκάλουν τοὺς οἰκέτας πολλάκις.
Ῥάβδους. γράφεται σταυρούς. ἔστι δὲ εἶδος δικτύου. ὃ χρίουσιν ἰξῷ. Δίκτυα. ἀντὶ τοῦ θηρατικὰ δίκτυα. καὶ αἱ πηκταὶ δὲ, εἶδος δικτύου. Βλιμάζοντες. ὅτι νεωτερικὴ ἡ λέξις. καλλίστρατος ἀντὶ τοῦ ψηλαφῶν. ἔοικε δὲ πλέον τι σημαίνειν τὸ μετὰ συντομίας. βλιμάζειν δὲ κυρίως, τὸ τοῦ ὑπογαστρίου καὶ τοῦ γήθους ἅπτεσθαι. ὅπερ ἐποίουν, οἱ τοὺς ὄρνιθας ὠνούμενοι οἱονεὶ θλιβομάζειν, δίδυμος δὲ βλιμάζοντες, ἀντὶ τοῦ κακοῦντες. ἀποτίλλουσι γὰρ καὶ καπτιλῶσιν. Ἀλλ' ἀποκνῶσιν. ἀποβάλλουσι συντρίψαντες παρὰ τὸ κνᾶν τὸ διαφθείρειν. σίλφιον δὲ, ῥίζα ἡδύοσμος. προσάρτυμα. Σίλφιον, τὸ ἐν λιβύῃ φυόμενον. θεραπεύει δὲ πολλά. ἔστι δὲ καὶ πολυτίμητον. καὶ ἐν πλούτῳ φησίν. οὐδ' ἂν εἰ δοίης γέ μοι τὸν πλοῦτον αὐτὸν καὶ τὸ βάττου σίλφιον. Κατάχυσμα. ζωμὸν παρὰ τὸ χέεσθαι. γλυκὺ δὲ μέλιτι δεδευμένον. Ἄλλως. οὐδὲν πλέον ἢ κατάχυσμα ὥστε ἀπὸ τούτου καὶ τὰ καταχύσματα λέγεσθαι. Ὥσπερ κενεβρείων κατὰ μεταφορὰν στοιχείου ἀντὶ τοῦ νεκριμαίων. ὡς τῶν θνησιμαίων κρεῶν, ποικιλωτέρας ἀρτύσεως δεομένων. Ἄλλως. τὰ θνησιμαῖα, κρέα οὕτως ἐκάλουν. οὐκ ἔσται κενέβριον ὅταν θύσῃ.

ἵστησι βρόχους. παγίδας ῥάβδους.
ἕρκη. νεφέλας. δίκτυα. πηκτάς.
εἶτα λαβόντες πωλοῦσ' ἀθρόους.
οἱ δ' ὠνοῦνται βλιμάζοντες.
κοὐδ' οὖν εἴπερ ταῦτα δοκεῖ δρᾶν;
ὀπτήσαντες παρατιθέν θ' ὑμᾶς
ἀλλ' ἀποκνῶσιν τυρὸν. ἔλαιον.
σίλφιον. ὄξος. καὶ τρίψαντες,
κατάχυσμ' ἕτερον γλυκὺ καὶ λιπαρὸν,
κἄπειτα καταπκέδασαν θερμὸν
τοῦτο καθ' ὑμῶν.
αὐτῶν, ὥσπερ κενεβρείων.

ἈΝΤΙΣΤΡΟΦῊ ΚΏΛΩΝ, ΙΑ'.

πολὺ δὴ πολὺ δὴ χαλεπωτάτους λόγους.
ἤνεγκας ἄνθρωφ', ὡς
ἐδάκρυσά γ' ἐμῶν
πατέρων κάκην, οἳ
τὰς δὲ τὰς τιμὰς προγόνων παραδόντων,
ἐπ' ἐμοῦ κατέλυσαν.

Χαλεπωτάτους λόγους λυπηροὺς χαλέψαι δυναμένους ὀρεβιωθέντες δὲ ἀπὸ τῶν πρεσβυτῶν, καταβοῶσι τῶν πατέρων ὡς ἀπολεσάντων τὴν βασιλείαν. Πολὺ δή. ἐκ θέσεως μέλους χοροῦ ἐπῳδικὴ μὲν διὰ τὸ μετὰ τὴν διπλῆν τίθεσθαι. προῳδικὴ δὲ διὰ τὸ προτίθεσθαι ἑτέρας διπλῆς. ἔστι δὲ καὶ ἀντίστροφος τῆς προῤῥηθείσης στροφῆς διὰ τὸ καὶ αὐτὴν ἐκ κώλων συγκεῖσθαι. καὶ στίχων ἀσυναρτήτων θ', ὁμοίως ἐκείνῃ. ἔχει δὲ καὶ ἐν ἐκθέσει τοὺς συνήθεις δύο στίχους ἀναπαιστικοὺς ὁμοίους τοῖς ἐξῆς. ξα. διπλῆ ἐξωνενευκυῖα πρὸς τὰ ἐπιφερόμενα. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἐξωνενευκυῖαι. Ἐμῶν πατέρων. ὀρεβιωθέντες ὑπὸ τῶν πρεσβυτῶν καταβοῶσι τῶν πατέρων ὡς ἀπολεσάντων τὴν βασιλείαν. Ἐπ' ἐμοῦ. εἰς ὅσον αὐτοὺς ἐγὼ χρόνον διεδεχόμην.

Ἐπὶ τῶν σκήπτρων. ἐπεὶ εἰώθασιν ἐν τοῖς σκήπτροις, ἐπὶ τοῦ ἄκρου ἐκτυποῦν ὄρνιθας εἰς κόσμον. Μετέχων ὅ τι δωροδοκοίη. ἵνα μετέχῃ τῆς αὐτῆς δωροδοκίας. ἐν γὰρ τοῖς σκήπτροις τῶν βασιλέων ἦν ἀετός. ἔστι δὲ δῶρα μὲν τὰ ἐπὶ δωροδοκίᾳ διδόμενα, δωρεὰ δὲ ἐπὶ τιμῆς. Ὁπότ' ἐξέλθοι Πρίαμος. ἐν ταῖς τραγῳδίαις φησὶν ὑποκρίνεταί τις τὸ τοῦ Πριάμου βασιλικὸν πρόσωπον, ἔχων ὄρνιν ἐπὶ τοῦ σκήπτρου. τὸν Λυσιστράτην τηρῶν μὴ δωροδοκήσῃ. οὗτος δὲ στρατηγὸς ἐγένετο Ἀθηναίων. κλέπτης τε καὶ πανοῦργος. διεβάλλετο δὲ δωροδόκος. ἔνιοι δὲ τραγικὸν αὐτόν φασι κλέπτην. καὶ σφόδρα ἄσημον. Ἐν τοῖς τραγῳδοῖς. ὅτι καὶ νῦν τὸν χορὸν τραγικόν. ἐποίουν δὲ ἐπὶ τῶν σκήπτρων, ὡς ἐπίπαν ἀετούς. Ὄρνιν ἔχων ἐπὶ τῆς κεφαλῆς. δέον εἰπεῖν ἐπὶ τοῦ σκήπτρου. οὕτω γὰρ ὁ Πίνδαρος. εὕδει δ' ἀνὰ σκάπτῳ Διός. ἢ ἐπεὶ δὴ εἰώθεσαν τὰ ἀφιερωμένα ἑκάστῳ θεῷ ὄρνεα, ἐπὶ κεφαλῆς ἱδρύειν. τῆς δὲ ἀρχηγέτιδος Ἀθηνᾶς τὸ ἄγαλμα, γλαῦκα εἶχεν ἐν τῇ χειρί. ὁ δὲ Ἀπόλλων, τὸν ἱέρακα ὡς μαντικὸν ὄρνεον ὡς θεράπων δὲ τοῦ Διός. ἐπεὶ μικρότερος τοῦ ἀετοῦ ὁ ἱέραξ. Λάμπων δ' ὄμνυσι. τῶν εἰκῆ δαιμόνων. ὅτι πρῶτοι οἱ Σωκρατικοὶ οὕτως ἐπετήδευσαν ὀμνύναι. Σωκράτης γὰρ ἐν τῷ ιβ'. τῶν Κρητικῶν, οὕτως φησί. Ῥαδάμανθυς δοκεῖ διαδεξάμενος τὴν βασιλείαν δικαιότατος γεγενῆσθαι πάντων ἀνθρώπων. λέγεται δὲ αὐτὸν πρῶτον, οὐδένα ἐᾶν ὅρκους ποιεῖσθαι κατὰ τῶν θεῶν, ἀλλ' ὀμνύναι κελεῦσαι χῆνα καὶ κύνα καὶ κριόν. καὶ τὰ ὅμοια. ὁ δὲ Λάμπων, θύτης ἦν καὶ χρησμολόγος καὶ μάντις. ᾧ καὶ τὴν εἰς Σύβαριν τῶν Ἀθηναίων ἀποικίαν ἔνιοι προσάπτουσιν, αὐτὸν ἡγήσασθαι λέγοντες Ἀθηναῖον ὄντα σὺν ἄλλοις θ'. ὤμνυε δὲ κατὰ τοῦ χηνός, ὡς μαντικοῦ ὀρνέου. ἔτυχε δὲ καὶ τῆς ἐν πρυτανείῳ σιτήσεως. Ἄλλως. Ὅτι οὗτος χρησμολόγος ἔζη δὲ ἐπὶ τῆς τῶν Ὀρνίθων διδασκαλίας οὐχ ὥς τινες ἐτεθνήκει. πολλῷ γὰρ ὕστερον Κρατῖνος ἐν τῇ Νεμέσει οἶδεν αὐτὸν ζῶντα καὶ ταῦτα πολλῷ ὕστερον. Μανᾶς. ἀπὸ τῆς μανίας. πρὸς δὲ τὰ ἀνδράποδα, καὶ ὄνομα εἶναι δουλι-

ἐπὶ τῶν σκήπτρων ἐκάθητ' ὄρνις, μετέχων ὅ τι δωροδοκοίη.
Ευ. τουτὶ τοίνυν γ' οὐκ ᾔδειν 'γώ. καὶ δῆτα μ' ἐλάμβανε θαῦμα.
ὁπότ' ἐξέλθοι Πρίαμός τις ἔχων ὄρνιν ἐν τοῖσι τραγῳδοῖς.
ὁ δ' αἰεστήκει τὸν Λυσικράτη τηρῶν ὅ τι δωροδοκοίη.
Πι. ὃ δὲ δεινότατόν γ' ἐστὶν ἁπάντων. ὁ Ζεὺς γὰρ ὁ νῦν βασιλεύων,
αἰετὸν ἕστηκ' ὄρνιν ἔχων ἐπὶ τῆς κεφαλῆς βασιλεὺς ὤν.
ἡ δ' αὖ θυγάτηρ, γλαῦχ'. ὁ δ' Ἀπόλλων ὥσπερ θεράπων ἱέρακα.
Ευ. νὴ τὴν Δήμητρ' εὖ ταῦτα λέγεις. τίνος οὖν ἕνεκα ταῦτ' ἄρ' ἔχουσιν.
Πει. ἵν' ὅταν θύων τις, ἔπειτ' αὐτοῖς εἰς τὴν χεῖρ' ὡς νόμος ἐστί,
τὰ σπλάγχνα διδοῖ, τοῦ Διὸς αὐτοὶ πρότεροι τὰ σπλάγχνα λάβωσιν
ὤμνυέ τ' οὐδεὶς τότ' ἀνθρώπων θεόν. ἀλλ' ὄρνιθας ἅπαντες.
Λάμπων δ' ὄμνυσιν ἔτι καὶ νῦν τὸν χῆν', ὅταν ἐξαπατᾷ τι.
οὕτως ὑμᾶς πάντες πρότερον μεγάλους ἁγίους τ' ἐνόμιζον.
νῦν δ' ἀνδράποδ' ἠλιθίους. μανᾶς.
ὥσπερ δ' ἤδη τοὺς μαινομένους,
βάλλουσ' ὑμᾶς κἀν τοῖς ἱεροῖς
πᾶς τις ἐφ' ὑμῖν ὀρνιθευτής,

Τορνευτολυρασπιδοπηγοί. οἱ τορνεύοντες τὰς λύρας καὶ τὰς ἀσπίδας. Φρυγίων ἐρίων. ἢ ἀπὸ Φρυγίας, ἢ ἀπὸ δήμου. ἐκεῖ γὰρ ἁπαλὰ καὶ καλὰ ἔρια. Ἐς δεκάτην γάρ ποτε. ὅτι τὴν δεκάτην ἑστίων ἐπὶ τοῖς γεννηθεῖσι. καὶ ἐν αὐτῇ τὰ ὀνόματα ἐτίθεντο τοῖς παισί. καθάπερ Εὐριπίδης ἐν Αἰγεῖ· τίς σε μᾶτερ ἐν δεκάτᾳ τόκου ὠνόμαζεν. ὁ δὲ Ἀριστοτέλης ἐν ταῖς ἑβδόμαις φησὶν ἐπιτίθεσθαι τὰ ὀνόματα γράφων οὕτω· τὰ πλεῖστα δὲ ἀναιρεῖται πρὸ τῆς ἑβδόμης. διὸ καὶ τὰ ὀνόματα τότε τίθενται ὡς πιστεύοντες μᾶλλον τότε τῇ σωτηρίᾳ. τὸ δὲ ὑπέπινε, πολύτι ἢ ὑπό. Ἁλιμοῦντα δὲ, δῆμος τῆς Λεοντίδος φυλῆς. Ὃ δ' ἀπέβλισε θοἰμάτιον. ἀντὶ τοῦ ἀφείλετο. ἡ μεταφορὰ, ἀπὸ τῶν κηρίων ἢ ἀπὸ τῶν γάλα ἀμελγόντων. Προκυλινδεῖσθαι. ἔαρος ἀρχομένου, ἰκτῖνος φαίνεται εἰς τὴν Ἑλλάδα.

σκύτης. βαλανῆς, ἀλφιταμοιβοί. τορνευτολυρασπιδοπηγοί.
οἱ δὲ, βαδίζουσ' ὑποδησάμενοι νύκτωρ. Ευ. ἐμὲ τοῦτό γ' ἐρώτα.
χλαῖναν γὰρ ἀπώλεσ' ὁ μοχθηρὸς, φρυγίων ἐρίων διὰ τοῦτον.
ἐς δεκάτην γάρ ποτε παιδαρίου κληθεὶς, ὑπέπινον ἐν ἄστει,
κἄρτι καθηῦδον. καὶ πρὶν δειπνεῖν τοὺς ἄλλους, οὗτος ἄρ' ᾖσεν.
κἀγὼ νομίσας ὄρθρον, ἐχώρουν Ἁλιμοῦντάδε, κἄρτι προκύπτω,
ἔξω τείχους. καὶ λωποδύτης παίει ῥοπάλῳ με τὸ νῶτον.
κἀγὼ πίπτω. μέλλω τε βοᾶν ὁ δ' ἀπέβλισε θοἰμάτιόν μου.
Πε. ἰκτῖνος οὖν τῶν Ἑλλήνων ἦρχε τότε, κἀβασίλευεν.
Ἔπ. τῶν Ἑλλήνων; Πε. καὶ κατέδειξέν γ' οὗτος πρῶτος βασιλεύων.
προκυλινδεῖσθαι τοῖς ἰκτίνοις. Ευ. νὴ τὸν Διόνυσον ἐγὼ γοῦν.
ἐκυλινδούμην ἰκτῖνον ἰδών. κᾆθ' ὕπτιος ὢν ἀναχάσκων.
ὀβολὸν κατεβρόχθισα. κᾆτα κενὸν τὸν θύλακον οἴκαδ' ἀφεῖλκον.
Πε. Αἰγύπτου δ' αὖ καὶ Φοινίκης πάσης, κόκκυξ βασιλεὺς ἦν.
χὡπόθ' ὁ κόκκυξ εἴποι κόκκυ, τόθ' οἱ Φοίνικες ἅπαντες,
τοὺς πυροὺς ἂν καὶ τὰς κριθὰς ἐν τοῖς πεδίοις ἐθέριζον.
Ἔπ. τοῦτ' ἄρ' ἐκεῖν' ἦν τοὔπος ἀληθῶς, κόκκυ, ψωλοὶ πεδίονδε.
Πει. ἦρχον δ' οὕτω σφόδρα τὴν ἀρχὴν, ὥστ' εἴ τις καὶ βασιλεύοι,
ἐν ταῖς πόλεσι τῶν Ἑλλήνων, Ἀγαμέμνων ἢ Μενέλαος,

ἐφ' ᾧ ἡδόμενοι κυλίονται ὡς ἐπὶ γόνου. παίξας δὲ ὡς βασιλεῖ φησι τὸ κυλινδεῖσθαι ὑπὸ ἀνθρώπων. Ἄλλως. Τοὺς αὐτούς. δηλονότι τὸ διὰ μεταβολὴν δὲ καιροῦ γινόμενον εἰς βασιλικὴν ἐπέτρεψε τιμήν. οἱ γὰρ ἰκτῖνοι τὸ παλαιὸν, ἔαρ ἐσήμαινον. οἱ πένητες οὖν ἀπαλλαγέντες τοῦ χειμῶνος ἐκυλινδοῦντο καὶ προσεκύνουν αὐτούς. Ὀβολὸν κατεβρόχθισα. κατέπιόν φησιν ὃν εἶχον ἐν τῷ στόματι ὀβολὸν, ἵνα ὠνήσωμαι ἄλφιτα προσκυλιόμενος τῇ τοῦ ἰκτίνου ἐπιφανείᾳ. Κόκκυ. ποιὰ φωνὴ καὶ τὸ κόκκυ. ἢ αὐτὴ ἡ ὀλίγον. ἔστι δὲ μόνος παροξυτόνως. πρὸ θερισμοῦ δὲ φαίνεται ὁ κόκκυξ ἐν τῇ Φοινίκῃ. Ἡσίοδος. ἦμος κόκκυξ κοκκύζει. Κόκκυ ψωλοί. παρὰ τὴν παροιμίαν. ὅτι ἐπὶ τῶν Αἰγυπτίων ἦσαν ψωλοὶ πολλοί. καὶ ὅτ' ἂν ὁ κόκκυξ εἴπῃ κόκκυ. τότε ὅλοι ψωλοὶ ἤρχοντο εἰς τὸ πεδίον. Ἄλλως. τὸ αἰδοῖον. ἐπίτηδες δὲ συνήγαγε τὰς δύο λέξεις. ἵνα εἴπῃ αἰσχρῶς καὶ γέλωτα κινήσῃ. ἔστι δὲ παροιμία κόκκυ ψωλοί. πεδίονδε ἀντὶ τοῦ κόκκυγος κράζοντος τὰ πεδία θερίζωμεν.

πάτηκας, ἀντὶ τοῦ ἀνέγνως ταῦτα μὲν κωμικώτερον παίζει. τὸν δὲ κορυδὸν ἔνιοι κορυδαλὸν λέγουσι. γῆς δὲ ἱερὸν ὄρνεον νομίζουσιν εἶναι· φαίνονται δὲ τιοῦτιν, ἅπαν ἀησώπῳ ἀνατιθέντες. τὸ δὲ πατῆσαι ἴσον ἐστὶ τῷ ἐνδιατρίψαι. ὡς τὸ ἀφικέσθαι τοῦ λέγομεν. Ἐν τῇ κεφαλῇ κατορύξαι. ἐπεὶ λόφον ἔχει ὁ κορυδός. θηλυκῶς δὲ εἴρηκε τὸν κορυδόν. πλάτων δὲ ἀρσενικῶς. Τεθνεὼς κεφαλῆσι. προσέπαιξε τὸν δῆμον. κεφαλῆς γὰρ δῆμος τῆς ἀκαμαντίδος φυλῆς. Ῥύγχος βόσκειν σε. οἷον μακ[illegible] ἐσαίαι μα[illegible] τὴν ῥύγχος ἔχοντα. ἢ ὡς ἐν κωμῳδίᾳ φησὶ μεῖζόν τι ὠφείλης ἔχειν ῥύγχος. πάλιν δὲ, ἀντὶ τοῦ ῥάμφος.

ὑπ' ἀμηχανίας, τὸν πατέρ' αὐτῆς ἐν τῇ κεφαλῇ κατορύξαι.
Χο. ὁ πατὴρ ἄρα τῆς κορυδοῦ, νυνὶ κεῖται τεθνεὼς κεφαλῆσιν.
Ἐπ. οὐκοῦν δῆτ' εἰ πρότεροι μὲν γῆς πρότεροι δὲ θεῶν ἐγένοντο.
ὡς πρεσβυτάτων αὐτῶν ὄντων, ὀρθῶς ἐσθ' ἡ βασιλεία.
Εὐ. νὴ τὸν ἀπόλλω πάνυ τοίνυν χρὴ ῥύγχος βόσκειν σε τὸ λοιπόν.
Ἐπ. οὐκ ἀποδώσει ταχέως ὁ ζεὺς τὸ σκῆπτρον τῷ δρυκολάπτῃ;
Πει. ὡς οὐχὶ θεοὶ τοίνυν τῶν ἀνθρώπων ἦρχον τὸ παλαιὸν
ἀλλ' ὄρνιθες. κἀβασίλευον πόλλ' ἐστὶ τεκμήρια τούτων.
αὐτίκα δ' ὑμῖν πρῶτ' ἀποδείξω τὸν ἀλεκτρυὸν' ὡς ἐτυράννει.
ἦρχέ τε περσῶν πρῶτον πάντων. δαρείου καὶ μεγαβύζου.
ὥστε καλεῖται περσικὸς ὄρνις, ἀπὸ τῆς ἀρχῆς ἔτ' ἐκείνης.
Ἐπ. διὰ ταῦτ' ἄρ' ἔχων καὶ νῦν ὥσπερ βασιλεὺς ὁ μέγας διαβάσκει.
ἐπὶ τῆς κεφαλῆς τὴν κυρβασίαν. τῶν ὀρνίθων μόνος, ὀρθήν.
Πει. οὕτω δ' ἴσχυσέ τε, καὶ μέγας ἦν τότε καὶ πολύς. ὥστ' ἔτι καὶ νῦν
ὑπὸ τῆς ῥώμης τῆς τότ' ἐκείνης, ὁπόταν μόνον ὄρθριον ᾄσῃ,
ἀναπηδῶσι πάντες ἐπ' ἔργον. χαλκῆς κεραμῆς. σκυτοδέψαι.

Τῷ δρυκολάπτῃ. ἔπαιξε παρὰ τὴν δρῦν ἥτις ἐστὶν ἱερὰ τοῦ διός. ἢ ἐπεὶ ἐκξύλει τὸ σκῆπτρον, δρῦς γὰρ παρὰ τοῖς ἀρχαίοις πᾶν ξύλον. δρυκολάπτης δέ, ὄρνεον ἐν τοῖς δρυσὶν εὑρισκόμενον ζητοῦν σκώληκας. ὃ καὶ πολλάκις ἀνορύττον καταβάλλει. ἐπεὶ οὖν ἡ δρῦς τοῦ διός ἐστιν ἔπαιξε παρὰ τὴν δρῦν. Δαρείου καὶ μεγαβύζου. δαρεῖος βασιλεὺς ἦν. μεγάβυζος δὲ στρατηλάτης πορθήσας μέμφιδα. οὗτος σατράπης δαρείου τὴν αἴγυπτον ἑλών. οὗ μνημονεύει θουκυδίδης ἐν τῷ πρώτῳ, γράφων οὕτως. μεγάβυζον τὸν ζωπύρου πέμπει ἄνδρα πέρσην μετὰ πολλῆς στρατιᾶς. ὃς ἀφικόμενος κατὰ γῆν, τούς τε αἰγυπτίους καὶ τοὺς συμμάχους ἐκράτησε. καὶ ἐκ μέμφιδος ἤλασεν τοὺς ἕλληνας. Ὥστε καλεῖται περσικὸς μήποτε καὶ ἐν τοῖς πρόσθεν τὸν ἀλεκτρυόνα μῆδον ὄρνιν καλεῖ ἐπεὶ καὶ τοὺς πέρσας μήδους ἔλεγον.

Τὴν κυρβασίαν τοῦτο ἐξ ἱστορίας εἴληφε. πᾶσι γὰρ πέρσαις ἐξῆν τὴν τιάραν φορεῖν. ἀλλ' οὐκ ὀρθήν. ὡς κλείταρχος ἐν τῇ δεκάτῃ. μόνοι δὲ οἱ τῶν περσῶν βασιλεῖς ὀρθαῖς ἐχρῶντο. ἔστι δὲ αὕτη καθὰ προείρηται τιάρα, τοῖς μὲν ἄλλοις ἔθος καὶ ἐπικεκλιμένην καὶ προβάλλουσαν εἰς τὸ μέτωπον ἔχειν, τοῖς δὲ βασιλεῦσιν ὀρθήν.
Ὄρθριον ᾄσῃ. κοκκύζειν γὰρ κυρίως, ὅτ' ἂν παρ' ἑαυτῷ μετὰ νίκην τῆς μάχης ᾄσῃ.

Παραλειπομένην ὑπ' ἐμῆς φρενὸς ἐγκαταλειπομένην ἣν ἡμεῖς οὐ νοοῦμεν. ἐν τισὶ δὲ οὐ κεῖται τὸ φρενὸς ἀξυνέτου διὰ ἀνοήτου. Ὡς τὰς σπονδάς. ὅτι πρὸ καταγνώσεως φησὶν οὐ παρασπονδήσομεν. Καὶ μὴν ὀργῶ νὴ τὸν Δία. ἐπιθυμητικῶς ἔχω. ἀπὸ τῶν ἀλφίτων. ὁμοῦ γὰρ ἐφύρων. εἶτα εἰς μάκτρας διενέμοντο. τὸ δὲ ἑξῆς παίζει, ὡς περὶ δείπνου λέγων. καί τι μέλλων λόγῳ αὐτοὺς εὐωχεῖν. Καὶ προπεφύραται. ηὐτρέπισται, ἡ μεταφορὰ ἀπὸ τῶν ἄλευρα φυρώντων. εἶτα μάζας ποιούντων. διαμάττειν δέ, διαπλάττειν.

Παραλῆρον ὑπ' ἐμῆς φρενὸς
ἀξυνέτου. σὺ δὲ τοῦθ' ὁρᾷς. λέγ' εἰς κοινόν.
ὃ γὰρ ἂν σὺ τύχῃς μοι
ἀγαθὸν πορίσας, τοῦτο κοινὸν ἔσται.
ἀλλ' ἐφ' ὅτῳ περ ἀνήκεις τὴν σὴν πράγματι γνώμην ἀναπείσας
λέγε θαρρήσας. ὡς τὰς σπονδὰς οὐ μὴ πρότεροι παραβῶμεν.
Πει. καὶ μὴν ὀργῶ νὴ τὸν Δία καὶ προπεφύραται λόγος εἷς μοι
ὃν διαμάττειν οὐ κωλύει. φέρε παῖ στέφανον. καταχεῖσθαι
κατὰ χειρὸς ὕδωρ φερέτω ταχύ τις. Χο. δειπνήσειν μέλλομεν ἤ τι;
Πει. μὰ Δί' ἀλλὰ λέγειν ζητῶ τι πάλαι μέγα καὶ λαρινὸν ἔπος τι
ὅ τι τὴν τούτων θραύσει ψυχήν. οὕτως ὑμῶν ὑπεραλγῶ,
οἵτινες ὄντες πρότεροι βασιλῆς. Χο. ἡμεῖς βασιλῆς; τίνος; Πει. ὑμεῖς
πάντων ὁπόσ' ἐστίν. ἐμοῦ πρῶτον τουδί. καὶ τοῦ Διὸς αὐτοῦ
ἀρχαιότεροι. πρότεροί τε Κρόνου. καὶ Τιτάνων ἐγένεσθε.
καὶ γῆς. Χο. καὶ γῆς; Πει. νὴ τὸν Ἀπόλλω. Χο. τουτὶ μὰ Δί' οὐκ ἐπεπύσμην
Πει. ἀμαθὴς γὰρ ἔφυς. κοὐ πολυπράγμων. οὐδ' Αἴσωπον πεπάτηκας
ὃς ἔφασκε λέγων κορυδὸν πάντων πρώτην ὄρνιθα γενέσθαι.
προτέραν τῆς γῆς. κἄπειτα νόσῳ τὸν πατέρ' αὐτῆς ἀποθνῄσκειν.
γῆν δ' οὐκ εἶναι. τὸν δὲ προκεῖσθαι πεμπταῖον. τὴν δ' ἀποροῦσαν.

Φέρε παῖ τὸν στέφανον. τοῖς γὰρ εὐωχουμένοις περιέκειντο οἱ στέφανοι καταψύχοντες τὸ κρανίον ἀπὸ τῆς τοῦ οἴνου θέρμης. Μέγα καὶ λαρινόν. καὶ διὰ τούτου πολλὴν τὴν προσθήκην ἐπέμηνε τῆς εὐωχίας. ὡς ἐπὶ βοὸς δὲ τοῦτό φησιν ὡς ἐν Λαρίσῃ μεγάλων βοῶν γινομένων. ἔστι δὲ πόλις θεσπρωτίας. Ἄλλως. λαρινὸν λιπαρόν. ἐκ μεταφορᾶς τῶν βοῶν. λέγονται γάρ τινες λαρινοὶ βόες οἱ λιπαροί. ἢ μεγάλοι ἀπὸ Λαρινοῦ τινος νομέως διὰ μεγέθους, νέμονται δὲ τὴν ἤπειρον, οὖσαι τῶν γηρυόνος βοῶν ἀπόγονοι. θραύσει δὲ πραΰνει. Οὐδ' Αἴσωπον πεπάτηκας. ὅτι τὸν λογοποιὸν Αἴσωπον διὰ σπουδῆς εἶχον. ἦν δὲ ὁ Αἴσωπος θρᾷξ ἠλευθερώθη δὲ ὑπὸ Ἰάδμονος τοῦ κωφοῦ. ἐγένετο δὲ πρῶτος τοῦ Ξάνθου δοῦλος. ὁ δὲ κωμικὸς Πλάτων καὶ ἀναβιῶσαι αὐτόν φησιν ἐν τοῖς Λάκωσιν οὕτως. καὶ μὴν ὄμοσόν μοι μὴ τεθνάναι. ψυχὴν δ' αὖ ἥκειν ὥσπερ Αἰσώπου ποτέ. τῶν δὲ μύθων. οἱ μέν, περὶ ἀλόγων ζώων εἰσὶν Αἰσώπειοι· οἱ δέ, περὶ ἀνθρώπων, συβαριτικοί. εἰσὶ δέ τινες οἳ τοὺς βραχεῖς καὶ συντόμους λέγουσι συβαρίτιδας. καθάπερ Μνησίλοχος ἐν Φαρμακοπώλῃ. διὰ σπουδῆς δὲ εἶχον τὸν Αἴσωπον οἷον Ἀριστοτέλης ἐν τῇ Σαμίων πολιτείᾳ
2.56.6 εἰπόντα φησὶν αὐτὸν μῦθον, δεδοκιμηκέναι περὶ δ' Αἰσώπου καὶ ἐν σφηξί. τὸ δὲ πε

Διατίθεμ' ἔγωγ'. ὑπισχνοῦμαι. συντίθεμαι. Ὄμνυμ' ἐπὶ τούτοις πᾶσιν. ἀντὶ τοῦ εὔχομαι. οὐκ ὄμνυσι γάρ· ἀλλ' εὔχεται. ὄμνυμι μένειν ἐν τούτοις. χαριέντως δὲ εὐχόμενος ὑπὲρ τῆς νίκης, ὄμνυμί φησι τὸ νικᾶν. Ἄλλως. ἔκρινον οἱ κριταὶ τοὺς κωμικούς. οἱ δὲ λαμβάνοντες τὰς ε̄ ψήφους εὐδοκιμοῦσιν. Ἔσται ταυταγί. ἐπειδὴ περὶ νίκης εὔχεται ποιεῖ αὐτὸν ὁ ποιητὴς εὐφημοῦντα, ἔσται ταυταγί. Εἰ δὲ παραβαίνην. πιθανῶς ὡς ἔλαττόν τι ἕξων εἰ μὴ πᾶσι νικώη ἐπιορκιζόμενος δὲ αὐτῷ τὴν νίκην, ταῦτα λέγει.

Χο. διατίθεμ' ἔγωγε. Πει. κατὰ τούτων νῦν ταυτά μοι
Χο. ὄμνυμ' ἐπὶ τούτοις πᾶσι νικᾶν τοῖς κριταῖς
καὶ τοῖς θεαταῖς πᾶσιν. Πει. ἔσται ταυταγί.
Χο. εἰ δὲ παραβαίνην, ἑνὶ κριτῇ νικᾶν μόνον.
Πει. ἀκούετε λεῴ. τοὺς ὁπλίτας νῦν μενὶ
ἀνελομένους θὤπλ' ἀπιέναι πάλιν οἴκαδε
σκοπεῖν δ' ὅ,τι ἂν προγράφωμεν ἐν τοῖς πινακίοις.

ΣΤΡΟΦΗ ΚΩΛΩΝ, ΙΑ'.

Χο. Δολερὸν μὲν ἀεὶ κατὰ πάντα δὴ τρόπον
πέφυκεν ἄνθρωπος. σὺ δ' ὅμως λέγε μοι.
τάχα γὰρ τύχοις ἂν,
χρηστὸν, ἐξειπὼν ὅ,τι μοι παρορᾷς, ἢ
δύναμίν τινα μείζω.

Ἀκούετε λεῴ. κήρυξ ὅστις ἢ πεισθέταιρος. ὁ λόγος ὡς ἐπὶ πολεμίων ἀπεισαμένων. κήρυγμα εἰρήνης κηρύσσει παίζει τοὺς χυτροφόρους ὁπλίτας φάσκων. τὸ δὲ νῦν μενὶ, ἀντὶ τοῦ νῦν μένειν. πολλαχοῦ δὲ τούτῳ χρῶνται. Ὅ,τι ἂν προγράφωμεν. ἢ μετὰ φορᾶς, ἀπὸ τῶν φυλετῶν. οἵτινες προγράφουσι τοὺς στρατιώτας, ἐν πίνακι. Ἐν τοῖς πινακίοις. ἐπεὶ ἔθος ἦν τοὺς ταξιάρχους διὰ κήρυκος ἀπαγγέλλειν τοῖς ἑαυτῶν στρατιώταις τὰ δεδογμένα. οἷον ποῖ δεῖ πορεύεσθαι. καὶ πόσων ἡμερῶν δεῖ, σιτία προνοεῖσθαι. Δολερὸν μὲν ἀεί. εἴσθεσις μέλους χοροῦ λόγον στροφῆς ἔχουσα. ἔχει γὰρ καὶ ἀντίστροφον τὴν πολὺ δὴ πολὺ δή. ἔστι δὲ καὶ ἐπῳδικὴ μὲν διὰ τὸ μετὰ τὴν περίοδον τίθεσθαι προῳδικὴ δὲ διὰ τὸ προτίθεσθαι ἑτέρας διπλῆς κώλων καὶ στίχων θ'. ὧν ὁ πρῶτος ἀσυνάρτητος ἐξ ἀναπαιστικῶν διμέτρων βραχυκαταλήκτων. καὶ ἰαμβικῆς βάσεως διὰ τὴν ἀδιάφορον. ὁ δεύτερος ἀσυνάρτητος ἐξ ἰαμβικοῦ διμέτρου βραχυκαταλήκτου καὶ ἀναπαιστικῆς βάσεως. ὁ τρίτος ἀναπαιστικὸς πενθημιμερής. ὁ τέταρτος ἀσυνάρτητος ἐκ τροχαϊκοῦ πενθημιμεροῦς καὶ ἀναπαιστικοῦ ὁμοίου. ὁ πέμπτος ὅμοιος τῷ γ̄. ὁ ς̄. ἀναπαιστικὸς δίμετρος βραχυκατάληκτος. ὁ ζ' ἀσυνάρτητος ἐξ ἀναπαιστικῆς βάσεως καὶ τροχαϊκοῦ ἰθυφαλλικοῦ. ἐν εἰσθέσει δὲ στίχοι ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ δύο ὅμοιοι τοῖς ἀπὸ τῆς ἑξῆς εἰσθέσεως ξά. ὀφείλει δὲ εἶναι καὶ ἐν τοῖς εἰρημένοις κώλοις διάλειμμα μακρὸν ἵνα δοκῶσιν ἐκ δύο κώλων συγκεῖσθαι. συναπτῶνται δὲ εἰς ἕνα στίχον. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος καὶ ἔσω νενευκυῖα. ἐπὶ δὲ τῆς εἰσθέσεως ἔξω διπλῆ. Παρορᾷς. παρεπινοεῖς ἢ εὑρίσκεις.

Σόφισμα. κύρμα. ἐπιτατικὸν παρὰ τὸ κυρεῖν. Ἄλλως ἔντευγμα. σφράγισμα τοῦ νοῦ. τρῖμμα δὲ ὅτι τετριμμένος ἐν τοῖς πράγμασιν. ἢ κύρμα πολλοῖς ἐγκεκυρηκὼς πράγμασι. παιπάλημα δέ, πολλὰς ἐκτροπὰς καὶ διαδοχὰς ἔχων. κυρίως δὲ τὸ λεπτὸν ἄλευρον. Ἀνεπτέρωμαι. οἰκεῖον ὄρνεσι τὸ ἀνεπτέρωμαι. οἷον μετεώρισμαι. Ἄγε δὴ σὺ καὶ σύ. πρὸς τὸν εὐελπίδην φησὶν ὁ ἔποψ. ἄμεινον δὲ πρὸς τοὺς θεράποντας ὡς ἐν τοῖς ἑξῆς. ἄγε δή, ξανθία καὶ μανόδωρε. εἴσθεσις δ᾽ ἑτέρας περιόδου στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ιζ´. ὧν ἐπὶ τῷ τέλει παράγραφος.

Σόφισμα. κύρμα. τρῖμμα. παιπάλημ᾽ ὅλον.
ΧΟ. λέγειν κέλευέ μοι λέγειν.
κλύων γὰρ ὧν σύ μοι λέγεις,
λόγων ἀνεπτέρωμαι.

ΣΥΣΤΗΜΑ ΚΑΤᾺ ΠΕΡΙΚΟΠΉΝ.

ΕΠ. ἄγε δὴ σὺ καὶ σὺ τὴν πανοπλίαν πάλιν
ταυτηνὶ λαβόντε, κρεμάσατον τύχῃ ἀγαθῇ.
εἰς τὸν ἰπνὸν εἴσω. πλησίον τοῦ 'πιστάτου.
σὺ δὲ τούσδ᾽ ἐφ᾽ οἷσπερ τοὺς λόγους ξυνέλεξ᾽ ἐγώ,
φράσον, δίδαξον. ΠΕΙ. μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ.
ἢν μὴ διάθωνταί γ᾽ οἵδε διαθήκην ἐμοί,
ἥνπερ ὁ πίθηκος τῇ γυναικὶ διέθετο,
ὁ μαχαιροποιός, μήτε δάκνειν τούτους ἐμέ,
μήτ᾽ ὀρχίπεδ᾽ ἕλκειν, μήτ᾽ ὀρύττειν. ΧΟ. οὔτι που
τόν, οὐδαμῶς. ΠΕΙ. οὔκ, ἀλλὰ τὠφθαλμὼ λέγω.

E Εἰς τὸν ἰπνὸν εἴσω πλησίον. ἰπνὸς μέν, ἡ κάμινος. καταχρηστικῶς δέ, ἡ ἐσχάρα. ἐπιστάτης δὲ θηλυκῶς χαλκοῦς τρίπους χυτρόποδος ὁ ἐκ πηλοῦ χρείαν. οἱ δὲ πήλινον ἥφαιστον πρὸς τὰς ἑστίας ἱδρυμένον ὡς ἔφορον τοῦ πυρός. ἔνιοι δὲ καὶ ξύλον ἐπιμήκες πεπασσαλωμένον. ὅθεν ἐξαρτῶσι τὰ μαγειρικὰ σκεύη. καλλίστρατος, ἐπιστάτην τό, τῇ ἐσχάρᾳ ἐπιτιθέμενον ξύλον ἐν ταῖς ἐσχάραις ὥσπερ ἐν ταῖς καμίνοις τὸν ἥφαιστον ἀναπλάττουσιν. Ἄλλως. ὁ ἐπιστάτης, ξύλον ὃ ἐπὶ κόρακας ἔχον. ἐξ οὗ κρεμῶσι τὰ μαγειρικὰ ὄργανα. οἱ δέ, τρίποδα χαλκοῦν. ᾧ ἐπιτιθέασι λέβητα ὑποκαιόμενον. οἱ δέ, ἀνδριάντα πήλινον πρὸς ταῖς ἐσχάραις. Σὺ δὲ τούσδ᾽ ἐφ᾽ οἷς. σὺ τοὺς λόγους δίδαξον καὶ φράσον ἐφ᾽ οἷς τούτους ἤγειρα ἐγώ. τοῦτο δὲ πρὸς τὸν ἕτερον τοῖν ἀνδροῖν. Ἥνπερ ὁ πίθηκος τῇ γυναικὶ διέθετο. σύμμαχος. αἰσωπείου λόγου ἢ τοιούτου τινὸς ἔοικε μεμνῆσθαι. καλλίστρατος δέ, τοσοῦτόν φησιν, ἐκ διηγήματός που τινὸς εἱλκύσθαι. καὶ δίδυμος. ὅτι αἰσχρός τις τὴν ὄψιν συνεχῶς τῇ γυναικὶ πληκταζόμενος, συνέθετο ἐπὶ φίλων, μήτε τύπτειν, μήτε τύπτεσθαι, μήτε δάκνειν φιλοῦντα, μήτε δάκνεσθαι. οἷον, σὺ μὲν οὐχ ἑλκύσεις τῶν ὀρχιπέδων, οὐδὲ ἐγὼ τῶν τριχῶν. ἔοικε δὲ Παναίτιον κωμῳδεῖν. ὃν καὶ ἐν νήσοις, καταλιπὼν Παναίτιον πίθηκον ἔνθα καὶ μαγείρου πατρὸς αὐτὸν λέγει. πίθηκον δὲ αὐτὸν εἶπε διὰ τὸ πανοῦργον. Ὁ μαχαιροποιός. ὁ Παναίτιος μάγειρος καὶ μικροφυὴς ἦν. διαβάλλει δὲ αὐτόν, ὡς καταλαβόντα τὴν γυναῖκα ἑαυτοῦ μοιχευομένην. ἐδυναστεύετο γὰρ ὑπ᾽ αὐτῆς μεγάλης οὔσης μικροφυὴς αὐτὸς ὤν. Μήτ᾽ ὀρχίπεδον ἕλκειν. μὴ διασπᾶν τοὺς ὄρχεις μὴ ὀρύττειν τὸν πρωκτὸν δεικνύς φησιν οὔτι που τόν.

λέγει μόνῳ. Καλεῖς δὲ τοῦ, κλύειν θέλων. εἴσθεσις περιόδου ἀμοιβαίας κώλων κζ΄. ἰαμβικῶν διμέτρων μὲν, τὴν τοῦ ἑνδεκάτου καὶ κδ΄ τριμέτρων ὄντων. ἀκαταλήκτων δὲ τὴν τοῦ τελευταίου· τοῦτο γὰρ ἑφθημιμερές. ἔπι γε μὴν τῶν δ΄. ε΄. ϛ΄. ζ΄. η΄. ἀντισπαστικῶν διμέτρων διϊάμβοις ἐπιτρίτοις ἐπιμεμιγμένων καὶ σπονδείοις, τὴν τοῦ ζ΄ ἀκαταλήκτου. τοῦτο γὰρ φερεκράτειον. ἔπι τοῦ κ΄. κα΄. κβ΄. κγ΄. παιωνικῶν ἑφθημιμερῶν. τὰ δὲ τοιαῦτα δῆλον ὡς ἀσυνάρτητα. ἐπὶ τῷ τέλει παράγραφος.

κᾆτα πυθώμεθα τούσδε τίνες ποτὲ.
καὶ πόθεν ἔμολον.
ἐπί τινά τ' ἐπίνοιαν.
ἰὼ ἔποψ. σέ τοι καλῶ.
Ἔπ. Καλεῖς δὲ, τοῦ, κλύειν θέλων,
Χο. τίνες ποθ' οἵδε καὶ πόθεν,
Ἔπ. ξείνω σοφῆς ἀφ' Ἑλλάδος
Χο. τύχη δὲ ποία κομίζει,
ποτ' αὐτὼ, πρὸς ὄρνις ἐλθεῖν.
Ἔπ. ἔρως βίου. διαίτης τε.
καὶ σοῦ. ξυνοικεῖν τέ σοι.
καὶ ξυνεῖναι τὸ πᾶν. Χο. τί φής.
λέγουσι δὲ δὴ τίνας λόγους.
Ἔπ. ἄπιστα καὶ πέρα κλύειν.
Χο. ὁρᾷ τι κέρδος ἐνθάδ' ἄξιον μονῆς.
ὅτῳ πέποιθέ μοι ξυνὼν.
κρατεῖν ἂν ἢ τὸν ἐχθρὸν. ἢ
φίλοισιν ὠφελεῖν ἔχειν;
Ἔπ. λέγει μέγαν τιν' ὄλβον. οὔ
τε λεκτὸν, οὔτε πιστόν. ὡς
σὰ ταῦτα γὰρ δὴ πάντα. καὶ
τὸ τῇδε καὶ τὸ κεῖσε καὶ
τὸ δεῦρο προσβιβᾷ λέγων.
Χο. πότερα μαινόμενος;
Ἔπ. ἄφατον ὡς φρόνιμος
Χο. ἔνι σοφόν τι φρενί;
Ἔπ. πυκνότατον κίναδος.

Σοφῆς ἀφ' Ἑλλάδος. ἤτοι σοφῶν οἰκητήριον ἡ Ἀττική, ἢ καθὸ οἱ βάρβαροι ἐφρόνουν περὶ Ἑλλήνων ὡς νοερωτάτων. Ὁρᾷ τι κέρδος. γράφεται καὶ χωρὶς τοῦ ι. ἵνα ᾖ προστακτικόν. γράφεται δὲ καὶ μετὰ τοῦ ι, ἵνα ᾖ ἐρωτηματικόν. ὡς ὁ λόγος, ὁρᾷ τις αὐτῶν ὠφέλειαν διαγωγῆς μᾶλλον παρ' ἡμῖν οὖσαν, ἢ κατακράτησιν ἐχθρῶν, ἢ φίλους ὠφελῆσαι. ἐν οἷς μάλιστα ἥδονται οἱ ἄνθρωποι. σημειωτέον δὲ, ὅτι ἑνικὸν εἶπεν ἐπὶ τῶν δύο, καὶ τὸ κρατεῖν συνέταξεν αἰτιατικῇ. σὰ δὲ ταῦτα πάντα ἃ ἐν τῷ κόσμῳ εἰσί. Τὸ τῇδε καὶ τὸ κεῖσε. ἤγουν τὸν οὐρανὸν καὶ τὴν γῆν. τοῦτο ἐκ τῶν μηδέπω διδαχθεισῶν φοινισσῶν φησὶ καὶ τὸ κεῖσε καὶ τὸ δεῦρο. καὶ ὅλως πολὺ παρὰ πᾶσι τοιοῦτος. προσβιβᾷ δὲ συνεφαρμόζει. Ἄφατον ὡς φρόνιμος. ὡς ἀφάτως φησὶ καὶ μεγίστως φρονῶν ὁρᾷ ταῦτα. ἢ ἀντὶ τοῦ μεγάλως. Κίναδος. ἀπὸ κοινοῦ τὸ ἔνεστιν αὐτοῖς. τὸ δὲ κύρμα, ἀντὶ τοῦ ἐπιτυγχάνοντός τις ἐν πᾶσιν. Ἄλλως. Κίναδος. ἀντὶ τοῦ πάνυ φρόνιμος. κίναδος γὰρ ἡ ἀλώπηξ.

Τὴν χύτραν. ἔξωθεν τὴν συνηθῶς τῷ τρυβλίῳ. τῷ δὲ ὀβελίσκῳ ἐχρῶντο ἀντὶ δόρατος, καὶ τὸν ὀβελίσκον δέ φησιν ὅστις ἐστὶν ἡμῶν δόρυ. ἐντὸς τῶν ὅπλων χρὴ λοιπὸν ἔχειν. λέγει δὲ, ἀντὶ τοῦ τῶν χυτρῶν. ἔθος δὲ εἶχον, ἔσω τῶν ἀσπίδων ἔχειν τὰ δόρατα. Παρὰ τὴν χύτραν. τουτέστι δεῖ καὶ μὴ φοροῦντας ἐγγύθεν αὐτὴν ἔχειν. παραινεῖ οὖν μήτε παντάπασιν ἀμελεῖν, μήτε φανερῶς πολεμεῖν. Καὶ τὸ δόρυ χρὴ τὸν ὀβελίσκον. τὸν ὀβελίσκον ὅστις ἐστὶν ἡμῖν δόρυ, χρὴ περιπατεῖν ἔχοντας ἐντός. Τῶν ὅπλων ἐντός. κέχρηται τῇ λέξει ἀντὶ τῶν ἱματίων. ὡσανεὶ εἶπε· καὶ ἔχειν τὸ δόρυ παρὰ τὴν ἀσπίδα. οὕτω γὰρ ποιοῦσιν οἱ πολέμιοι. τὸ μὴ ἔξω ὅπλων εἶναι. ἀλλὰ καθοπλίζεσθαι. Ὡς οὐ φυλακτέον γ᾽ ἂν ἦν. ὡς οὔτε ἀπαρασκεύασοι εἶναι. Κατορυχησόμεθα. ἔπαιξεν εἰς τὴν χύτραν ἀντὶ τοῦ ἐνταῦθα ὀρυχθήσομαι. ἐπεὶ οἱ ἐν τῷ πολέμῳ ἀναιρούμενοι ἐν τῷ κεραμεικῷ ἐθάπτοντο. Ὁ κεραμεικὸς δέξεται. οἱ ἐν τῷ πολέμῳ ἀναιρούμενοι ἐν τῷ κεραμεικῷ ἐθάπτοντο. ὡς μὲν καλλῆς καὶ Καλλίστρατος ἐν τοῖς περὶ Ἀθηνῶν συγγράμμασι φασί. καλεῖται δὲ καὶ ὁ τόπος οὗτος κεραμεικός. ἔστι γὰρ ὁ αὐτὸς δῆμος βαδίζουσι δὲ, ἔνθεν, καὶ ἐν τούτῳ εἰσὶ στῆλαι ἐπὶ τοῖς δημοσίᾳ τεθαμμένοις. εἰσὶ δὲ οὗτοι ὑπὸ τοῦ δήμου πεμφθέντες. οἷον ἐν αὐτῇ τῇ χώρᾳ ὑπὲρ τῆς πόλεως τετελευτήκασιν. ἔχουσι δὲ καὶ αἱ στῆλαι ἐπιγραφὰς ποῦ ἕκαστος ἀπέθανεν. Ὀρνεαῖς. παρὰ τὰ ὄρνεα ἔπαιξεν. ἔστι δέ τις ἐν Ἀργείᾳ πόλις. ἧς Ὅμηρος μνημονεύει Ὀρνειάς ἐνέμοντο. ἴσως δὲ, ὅτι ἐν Ὀρνεαῖς μάχη ἐγένετο Λακεδαιμονίων καὶ Ἀργείων. γελοῖον δὲ τὸ φήσομεν ἀποθανεῖν. Ἄναγ᾽ ἐς τάξιν. εἰσθέσεως μέλους χοροῦ ἐπῳδικὴ μὲν διὰ τὸ μετὰ τὴν διπλῆν τίθεσθαι, προῳδικὴ δὲ διὰ τὸ προτίθεσθαι ἑτέρας περιόδου κώλων ἀναπαιστικῶν ϛ΄. ὧν τὰ μὲν τέσσαρα δίμετρα ἀκατάληκτα. τὸ ε΄ ἀναπαιστικὴ βάσις. τὸ ἕκτον ἑφθημιμερές. ἐν ἐκθέσει δὲ κῶλον ἰαμβικὸν δίμετρον ἀκατάληκτον ὅμοιον τοῖς ἑξῆς. ὑφ᾽ ὃ κορωνίς. Καὶ τὸν θυμὸν κατάθου. ὡσεὶ ὁπλίτῃ ἐγκελεύων τὸ δόρυ καταθέσθαι παρὰ τὴν ἀσπίδα. Παρὰ τὴν ὀργήν. παρὰ τὸ ὁμηρικὸν ἀσπίσι κεκλιμένοι. παρὰ δ᾽ ἔγχεα μακρὰ πέπηγεν. οἷον ὅπλα μὴ ἔχων, θυμῷ τὸν

ἡμῖν. ὥστε τήν τε χύτραν
τῷ τε τρυβλίῳ καθίει,
καὶ τὸ δόρυ χρὴ τὸν ὀβελίσκον,
περιπατεῖν ἔχοντας ἡμᾶς
τῶν ὅπλων ἐντὸς, παρὰ τὴν χύ-
τραν ἄκραν αὐτὴν ὁρῶντας
ἐγγύς. ὡς οὐ φυλακτέον γ᾽ ἂν ἦν.

ΕΥ. ἐτεὸν, ἢν δ᾽ ἄρ᾽ ἀποθάνωμεν,
κατορυχησόμεσθα ποῦ γῆς.

ΠΕΙ. ὁ κεραμεικὸς δέξεται νώ.
δημοσίᾳ γὰρ ἵνα ταφῶμεν,
φήσομεν πρὸς τοὺς στρατηγοὺς
μαχομένω τοῖσι πολεμίοις,
ἀποθανεῖν ἐν Ὀρνεαῖς.

ΣΤΡΟΦΗ ΚΩΛΩΝ, Ζ΄.

ΧΟ. Ἄναγ᾽ ἐς τάξιν πάλιν ἐς ταὐτόν.
καὶ τὸν θυμὸν κατάθου κύψας
παρὰ τὴν ὀργὴν ὥσπερ ὁπλίτης,

Ἔλκε· τίλλε· καὶ κρατῖνος· σφάττε· δεῖρε. κόπτε· τὴν χύτραν δὲ εἰς ἣν ἑψηθήσονται. δεικνύντες· ὅτι καταφρονοῦσιν αὐτῆς· Καὶ φυλέτα. ξυμπατριώτας. ὅτι καὶ ἡ πρόκνη ἀττικὴ ἦν πανδίονος θυγάτηρ. Μᾶλλον ἡμεῖς ἢ λύκων. μᾶλλον λύκων φεισόμεθα, ἢ τούτων. ἔστι καὶ παροιμιῶδες. ἐπεὶ τοὺς λύκους ἀπέκτεινον τὸ παλαιὸν ἐν τῇ ἀττικῇ. καὶ νόμος ἦν λυκοκτονεῖν. διὸ ὁ μὲν φονεύων λύκου τέκνον, τάλαντον ἐλάμβανεν. ὁ δὲ τέλειον, δύο. ὅθεν καὶ τὸν ἀπόλλωνα λύκειον καὶ λυκοκτόνον φασίν. Τοῖσι πάπποις τοῖς ἐμοῖς, οἳ ἐκ προγόνων ἡμῖν ἐχθροὶ ὄντες. καὶ μάνδρος. οὐχ ὅθεν ἀπολλύμεθα, σωθείημεν ἄν. Ἀλλ᾽ ἀπ᾽ ἐχθρῶν δῆτα πολλά. φοβούμενος γάρ τις τοὺς ἐχθροὺς ὠφελεῖται παρ᾽ αὐτῶν. ὁ γὰρ τῶν ἐχθρῶν φόβος, πολλὰ χρήσιμα ἔσθ᾽ ὅτε διδάσκει πρὸς φυλακὴν καὶ πρόνοιαν. καὶ ὑπ᾽ ἀνάγκης ἐχθρῶν συνωθούμενοι μηχανάς τινας σοφωτάτας εἰς ἑαυτῶν φυλακὴν ἐπινοοῦσιν οἱ ἄνθρωποι. Ναῦς τε κεκτῆσθαι μακράς. τὰς τριήρεις. ταῦτα εἰς συρακουσίους αἰνίττεται. οὓς ἐνίκησαν ἀθηναῖοι. διὰ τὸ ταπεινοὺς ἔχειν τοὺς πύργους. Ἔστι μὲν λόγων ἀκοῦσαι. τὸ ἑξῆς. ἔστι μὲν χρήσιμον, τὸ ἀκοῦσαι πρὸς τὸ ἐφ᾽ ὅτῳ ἐληλύθασιν. Ἄναγ᾽ ἐπὶ σκέλος. ἀντὶ τοῦ ἀναχώρει ὀλίγον ὑπὸ πόδα. παρὰ τό, γόνυ γουνὸς ἀμείβων. τοῦτο δέ, ὡς ὑποδεισάντων αὐτῶν ὑπὸ τοῦ δέους. Καὶ δίκαιόν γ᾽ ἐστι, τοῦτο ὁ ἔποψ πρὸς τοὺς ὄρνιθας. ἐπειδὴ ἔφασαν εἰς λόγους βούλεσθαι ἐλθεῖν τοῖς ἀνθρώποις. Μᾶλλον εἰρήνην ἄγουσιν. ἔκθεσις τῆς διπλῆς ἐκ κώλων ὁμοίων τροχαϊκῶν ἐπιμεμιγμένων ἀναπαίστοις καὶ χορείοις ιε. διμέτρων πλὴν τοῦ τελευταίου ἀκαταλήκτων, ὑφ᾽ ὃ αἱ συνήθεις δύο διπλαῖ.

ἕλκε· τίλλε· παῖε. δεῖρε· κόπτε πρώτην τὴν χύτραν
Ἔπ. εἰπέ μοι τί μέλλετ᾽ ὦ πάντων κάκιστα θηρίων,
ἀπολέσαι, παθόντες οὐδέν, ἄνδρε κἀνδιασπάσαι.
τῆς ἐμῆς γυναικὸς ὄντε ξυγγενεῖ καὶ φυλέτα.
Χο. φεισόμεσθα γάρ τι τῶνδε μᾶλλον ἡμεῖς, ἢ λύκων,
ἢ τίνας τισαίμεσθ᾽ ἄλλους τῶνδ᾽ ἂν ἐχθίους ἔτι
Ἔπ. εἰ δὲ τὴν φύσιν μὲν ἐχθροί, τὸν δὲ νοῦν εἰσὶ φίλοι,
καὶ διδάξοντές τι δεῦρ᾽ ἥκουσιν ὑμᾶς χρήσιμον,
Χο. πῶς δ᾽ ἂν οἵδ᾽ ἡμᾶς τι χρήσιμον διδάξειάν ποτε
ἢ φράσειαν, ὄντες ἐχθροὶ τοῖσι πάπποις τοῖς ἐμοῖς.
Ἔπ. ἀλλ᾽ ἀπ᾽ ἐχθρῶν δῆτα πολλὰ μανθάνουσιν οἱ σοφοί
ἡ γὰρ εὐλάβεια σώζει πάντα· παρὰ μὲν οὖν φίλου,
οὐ μάθοις ἂν οὐδέν. ὁ δ᾽ ἐχθρὸς εὐθὺς ἐξηνάγκασεν.
αὐτίχ᾽ αἱ πόλεις παρ᾽ ἀνδρῶν γ᾽ ἔμαθον ἐχθρῶν κοὐ φίλων,
ἐκπονεῖν θ᾽ ὑψηλὰ τείχη. ναῦς τε κεκτῆσθαι μακράς·
τὸ δὲ μάθημα τοῦτο, σώζει παῖδας, οἶκον, χρήματα.
Χο. ἔστι μὲν λόγων ἀκοῦσαι πρῶτον ὡς ἡμῖν δοκεῖ,
χρήσιμον. μάθοι γὰρ ἄν τις κἀπὸ τῶν ἐχθρῶν σοφόν.
Πε. οἵδε τῆς ὀργῆς χαλᾶν εἴξασιν. ἄναγ᾽ ἐπὶ σκέλος.
Ἔπ. καὶ δίκαιόν γ᾽ ἐστί· κἀμοὶ δεῖ νέμειν ὑμᾶς χάριν.
Χο. ἀλλὰ μὴν οὐδ᾽ ἄλλο σοί πω πρᾶγμ᾽ ἠναντιώμεθα.
Πε. μᾶλλον εἰρήνην ἄγουσιν

Ἐπίβαλε περί τε κύκλωσαι. ὡς ὅπλον πάντα χοῦ. τοῦτο γὰρ πάντα γε τὴν ἐπὶ σοὶ τὴν ἐπὶ φόνῳ γινομένην παρίαγε. Καὶ δοῦναι ῥύγχει φορβάν. ἀσκληπιάδης φησὶν, ἀπὸ ἀνδρομέδας εἶναι. ὡς καὶ τὸ σὰ γὰρ ταῦτα πάντα καὶ ἐκεῖσε δεῦρο. γράφεται καὶ ῥάμφει. ὅπερ βέλτιον. ῥάμφος γὰρ ἐπὶ ὀρνίου. ἐπὶ δὲ χοίρου ῥύγχος. Ἄλλως. παρὰ τὸ εὐριπίδου ἐξ ἀνδρομέδας. ἐκθεῖναι κήτει φορβάν. ὡς ἀσκληπιάδης, τὰ μὴ δὲ διδαχθείσης τῆς τραγῳδίας παρατιθέμενος. καὶ τὸ, σὰ γὰρ ταῦτα πάντα. καὶ τὸ, τῇ δὲ καὶ τὸ κεῖσε, παρὰ τὰ ἐκ τῶν μηδέπω διαδαχθεισῶν φοινισσῶν φησίν. καὶ ἐκεῖσε καὶ δεῦρο μηδ᾽ ὅλως ποι. καὶ ὅλως παραπλήσιον τελυ τὸ τοιοῦτον. Οὔτε γὰρ ὄρος. εἰς ἃ μάλιστα ἀποφυγή τις ἐστὶν ἀσφαλής. Ἐπαγέτω τὸ δεξιὸν κέρας. αὐτὶ τοῦ προηγείσθω κατὰ τὸ δεξιὸν μέρος ὡς ἐπὶ πολέμου δὲ τοῦτο φησί. τῶν γὰρ ταγμάτων, τὸ μὲν μέσον, μέτωπον, ὃ ἐκ πολλοῦ πλήθους συνίσταται. τῶν δ᾽ ἑκατέρωθεν, τὸ μὲν δεξιὸν, τὸ δ᾽ ἀριστερὸν ὀνομάζεται. Ὅτι μένοντε. ἐπεὶ μὴ δυνάμεθα φυγεῖν, καὶ μαχεσώμεθα μένοντες. Λαμβάνειν τε τῶν χυτρῶν. φοβεῖται γὰρ τὰς χύτρας τὰ ὄρνεα διὰ τὸ μέλος αὐτῶν. Γλαῦξ μὲν οὐ πρόσεισι νῷν. οὐ διὰ τὴν χύτραν. οὐ πρόσεισιν ὡς καὶ εὐφρόνιος. τοῦτο γὰρ κοινῶς πάντα τὰ ὄρνεα φοβεῖ. ἀλλὰ διὰ τὸ ἀττικὸν εἶναι τὸ ζῶον. ἀττικοὶ δὲ καὶ αὐτοί. Τοῖς δὲ γαμψώνυξι. τοῖς ὑποκύφους ἔχουσιν ὄνυχας. Τὸν ὀβελίσκον ἁρπάσας. πῆξον αὐτὸν πρὸς τὴν χύτραν. Ἢ τρύβλιον. ὅτι τὸ τρύβλιον μεῖζον τοῦ ὀξυβάφου.
Ὑπερακοντίζεις σύ γ᾽ ἤδη νικίαν. ἐκ μεταφορᾶς τῶν τοῖς ἀκοντίοις ἀγωνιζομένων. Νικίαν. φρονιμώτατα γὰρ λιμῷ μηλίους ἀνεῖλεν. Ἐλελελεῦ. ἐπίφθεγμα πολεμικόν. οἱ προσιόντες γὰρ εἰς πόλεμον. τὸ ἐλελελεῦ ἐφώνουν μετά τινος ἐμμελοῦς κινήσεως. καθὸ καὶ ἀχαιὸς ἐρετριεὺς ἐν τῷ φιλοκτήτῃ, ποιεῖ τὸν ἀγαμέμνονα παραγγέλλοντα τοῖς ἀχαιοῖς.

ἐπίβαλε περί τε κύκλωσαι.
ὡς δεῖ τώδ᾽ οἰμώζειν ἄμφω.
καὶ δοῦναι ῥύγχει φορβάν.
οὔτε γὰρ ὄρος σκιερὸν, οὔτε νέφος αἰθέριον.
οὔτε πολιὸν πέλαγος ἐστὶν, ὅτι δέξεται
τώδ᾽ ἀποφυγόντε με.
ἀλλὰ μὴ μέλλωμεν ἤδη τώδε τίλλειν καὶ δάκνειν.
ποῦ 'σθ᾽ ὁ ταξίαρχος. ἐπαγέτω τὸ δεξιὸν κέρας
Ευ. τοῦτ᾽ ἐκεῖνο. ποῖ φύγω δύστηνος. Πει. οὗτος, οὐ μενεῖς,
Ευ. ἵν᾽ ὑπὸ τούτων διαφορηθῶ; Πει. πῶς γὰρ ἂν τούτους δοκεῖς
Ευ. ἐκφυγεῖν. οὐκ οἶδ᾽ ὅπως ἄν. Πει. ἀλλ᾽ ἐγώ τί σοι λέγω.
ὅτι μένοντε δεῖ μάχεσθαι λαμβάνειν τε τῶν χυτρῶν.
Ευ. τί δὲ, χύτρα νὼ γ᾽ ὠφελήσει. Πει. γλαῦξ μὲν οὐ πρόσεισι νῷν
— τοῖς δὲ γαμψώνυξι τοισδὲ τὸν ὀβελίσκον ἁρπάσας,
εἶτα κατάπηξον πρὸς αὑτοῦ. Ευ. τοῖσι δ᾽ ὀφθαλμοῖσι τί
Πει. ὀξύβαφον ἐντευθενὶ πρόσθου λαβὼν, ἢ τρύβλιον.
Ευ. ὦ σοφώτατε σύ γ᾽ ἀνεῦρες αὐτὸ, καὶ στρατηγικῶς
ὑπερακοντίζεις σύ γ᾽ ἤδη νικίαν ταῖς μηχαναῖς.
Χο. ἐλελελεῦ. χώρει, κάθες τὸ ῥύγχος. οὐ μέλλειν ἐχρῆν

λέχος καὶ ῥῖξαι. πράγματος δὲ πελωρίου, ὅ ἐστι χρήματός μου τι εἰσηγούμενοι. Ὦ μέγιστον ἐξαμαρτιῶν· ἐπεὶ ἀνθρώπους ἐδείξατο θηρατὰς τῶν ὀρνίθων. Ἄλλως. τῶν ἐξαμαρτημάτων ἐξοχώτατον. Τῆς συνουσίας. τῆς ἡμῶν τῶν ὀρνέων κοινωνίας καὶ διαγωγῆς. εἰ παρ' ὑμῖν εἰμ' ἐγώ. εἰ ἐγὼ παρ' ὑμῖν εἰμι. καὶ ἐκεῖνοι παρ' ἐμοί εἰσιν. Ἔα ἔα. ἔκθεσις ἑτέρα μέλους χοροῦ στροφῆς λόγον ἔχουσα. ἔχει γὰρ καὶ ἀντίστροφον τὴν ἰὼ ἰὼ ἐκ κώλων ἀναπαιστικῶν καὶ παιωνικῶν ὀκτώ. ἧς προτίθεται κῶλον ἰαμβικόν. ἤτοι ἰαμβικὴ βάσις. ἔστι δὲ τὰ μὲν ἀναπαιστικὰ μεμιγμένα προκελευσματικοῖς τὰ δὲ παιωνικὰ τετρασυλλάβοις διαλύονται γὰρ καὶ τῶν παιώνων αἱ βραχεῖαι αἱ μακραί. ἐστὶ μὲν οὖν πρῶτον καὶ τρίτον ἀναπαιστικὰ δίμετρα βραχυκατάληκτα. τὸ δὲ δεύτερον καὶ τέταρτον ὅμοια τῷ δευτέρῳ. τὸ πέμπτον ἑφθημιμερές. τὸ ἕκτον καὶ ζ' παιωνικὰ τετράμετρα καταληκτικά. τὸ δὲ ὄγδοον ὅμοιον ἑφθημιμερές. ἐν ἐκθέσει δὲ στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ τρεῖς. τὸν τρίτον δὲ ἀναπληροῖ τὸ ἑξῆς πρόσωπον εἰσερχόμενον. ἑξῆς δὲ σύστημα ἐν εἰσθέσει τροχαϊκῶν τετραμέτρων καταληκτικῶν δ'. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος καὶ διπλῆ ἔξω νενευκυῖα. τοῦ δὲ συστήματος μόνη παράγραφος.

ΣΤΡΟΦΗ ΚΩΛΩΝ, Η'.

ΧΟ. Ἔα. ἔα. προδεδόμεθ' ἀνόσιά τ' ἐπάθομεν.
ὃς γὰρ φίλος ἦν, ὁμότροφά θ' ἡμῖν
ἐνέμετο πεδία παρ' ἡμῖν,
παρέβη μὲν θεσμοὺς ἀρχαίους·
παρέβη δ' ὅρκους ὀρνίθων·
ἐς δὲ δόλον ἐκάλεσεν, παρέβαλέ τ' ἐμὲ παρὰ
γένος ἀνόσιον. ὅπερ ἐξότ' ἐγένετ' ἐπ' ἐμοὶ
πολέμιον ἐτράφη.

ΣΥΣΤΗΜΑ ΚΑΤΑ ΠΕΡΙΚΟΠΗΝ.

πρὸς μὲν οὖν τὸν ὄρνιν ἡμῖν ἐστιν ὕστερος λόγος.
τὼ δὲ πρεσβύτα δοκεῖ μοι τώδε δοῦναι τὴν δίκην.
διαφορηθῆναί θ' ὑφ' ἡμῶν. ΠΕ. ὡς ἀπολλύμεσθ' ἄρα.
ΕΥ. αἴτιος μέντοι σὺ νῷν εἶ τῶν κακῶν τούτων μόνος.
ἐπὶ τί γάρ μ' ἐκεῖθεν ἦγες; ΠΕ. ἵν' ἀκολουθοίης ἐμοί.
ΕΥ. ἵνα μὲν οὖν κλάοιμι μεγάλα. ΠΕ. τοῦτο μὲν ληρεῖς ἔχων
κάρτα. ΕΥ. πῶς; ΠΕ. κλαύσει γὰρ ἢν ἅπαξ γε τὠφθαλμὼ (ἐκκοπῇς.

ἈΝΤΙΣΤΡΟΦΗ ΚΩΛΩΝ, Θ'.

ΧΟ. Ἰὼ ἰώ. ἔπαγ' ἔπελθ' ἐπίφερε πολέμιον.
ὁρμὰν φονίαν πτέρυγά τε παντᾷ γε.

Ὁμότροφα. οἷον τὴν αὐτὴν ἡμῖν καταλομὴν νεμόμενα. Παρέβη μὲν θεσμούς. ὡς τούτου νενομοθετημένου αὐτοῖς τὸ μὴ συνεῖναι αὐτοῖς. Ὕστερος λόγος. ὁ δὲ ὕστερον αὐτῷ μαχησόμεθα. ὡς παρ' Ὁμήρῳ ἀλλ' ἤτοι μὲν ταῦτα μεταφρασόμεσθα καὶ αὖθις. Διαφορηθῆναι. διασπασθῆναι. Αἴτιος μέντοι σύ. ἀλλήλοις ἀντεγκαλοῦσιν οἱ πρεσβῦται ἀμηχανοῦντες ἐκφυγεῖν πως τὸ παρὸν κακόν. Ἰὼ ἰὼ ἔκθεσις χοροῦ ἑτέρα ἀντίστροφος τῆς ἤδη ῥηθείσης στροφῆς. ἐκ κώλων ὁμοίων καὶ στίχων η'. εἰσὶ δὲ τὰ μὲν ε' ἀναπαιστικὰ ἀναλόγως τοῖς τῆς στροφῆς. τὰ δὲ τρία παιωνικὰ ὡς καὶ τὰ τῆς στροφῆς. ἐν εἰσθέσει δὲ στίχοι δύο τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ ὅμοιοι τοῖς ἑξῆς. ἐπὶ τῷ τέλει διπλαῖ ἔξω νενευκυῖαι. Ἄλλως. ἔπαγε. παρακελεύονται ἑαυτοῖς ὡς ἐν πολεμικῇ παρατάξει. βουλόμενοι κατ' αὐτῶν ὁρμῆσαι.

Κεβλήπυρις. μή ποτε οὐκ ἔνεστιν. ἀλλὰ δύο φησὶν ὁ Σύμμαχος. καὶ ἐν τοῖς Καλλιμάχου γὰρ ἀναγέγραπται κέβλη. εἶτα μύρμηξ Ἑρμίππου τετραμέτροις. καὶ Θεμιστοκλέους τὸν πρωνός τις ὢν κεβλήπυρις τις ὀνομάζεται. ὥστε ἐνθάδε ἢ ἐκεῖ, ἡμάρτηται τὸ ἓν παρὰ τὴν γραφήν. Ἄλλως. οὐ δύναται δύο εἶναι, διὰ τὸν ἀριθμὸν τῶν εἰκοσιτεσσάρων. Πορφυρίς. ἡ πορφυρὶς ἀναγέγραπται. κερχνῆς δέ, οὐ. ἀλλὰ κερχνηΐς. καὶ ἡ κολυμβὶς δὲ φαίνεται καὶ ὁ δρύοψ. καὶ ἡ ἀμπελίς. Δίδυμος δέ, τὸν μακρὸν ἱέρακά φησι.

νέρτος. ἱέραξ. φάττα. κόκκυξ. ἐρυθρόπους. κεβλήπυρις,
πορφυρίς. κερχνηΐς. κολυμβίς. ἀμπελίς. φήνη. δρύοψ.
Πει. ἰοὺ ἰοὺ τῶν ὀρνέων
ἰοὺ ἰοὺ τῶν κοψίχων.
οἷα πιππίζουσι καὶ τρέχουσι διακεκραγότες.
ἆρ᾽ ἀπειλοῦσί γε νῷν; οἴμοι κεχήνασί γέ τοι
καὶ βλέπουσιν εἰς σὲ κἀμέ. Εὐ. τοῦτο μὲν κἀμοὶ δοκεῖ.
Χο. ποποποποποποποποποῖ.
ποῦ μ᾽ ἄρ᾽ ὃς ἐκάλεσε.
τίνα τόπον ἄρα νέμεται
Ἐπ. οὑτοσὶ πάλαι πάρειμι. κοὐκ ἀποστατῶ φίλων.
Χο. τιτιτιτιτιμπερου.
τίνα λόγον ἄρα ποτὲ
πρὸς ἐμὲ φίλον ἔχων.
Ἐπ. κοινόν. ἀσφαλῆ. δίκαιον. ἡδὺν. ὠφελήσιμον.
ἄνδρε γὰρ λεπτὼ λογιστὰ. δεῦρ᾽ ἀφίκονθ᾽ ὡς ἐμέ.
Χο. ποῦ. πᾶ. πῶς φής.
Ἐπ. φήμ᾽ ἀπ᾽ ἀνθρώπων ἀφῖχθαι δεῦρο πρεσβύτα δύο
ἥκετον δ᾽ ἔχοντε πρέμνον πράγματος πελωρίου.
Χο. ὦ μέγιστον ἐξαμαρτών, ἐξ ὅτου τράφην ἐγώ.
πῶς λέγεις. Ἐπ. μήπω φοβηθῇς τὸν λόγον. Χο. τί μ᾽ εἰργάσω
Ἐπ. ἄνδρ᾽ ἐδεξάμην ἐραστὰ τῆσδε τῆς συνουσίας
Χο. καὶ δέδρακας τοῦτο τοὔργον; Ἐπ. καὶ δεδρακώς γ᾽ ἥδομαι.
Χο. κἀστὸν ἤδη που. Ἐπ. παρ᾽ ἡμῖν. εἰ παρ᾽ ὑμῖν εἴμ᾽ ἐγώ,

Οἷα πιππίζουσιν. κατὰ μίμησιν τῶν ὀρνέων πεποίηται ἡ λέξις. λέγει δὲ οὕτως καὶ τὸ ποπίζειν ἀντιππύζειν. Ποποποῖ. εἶθ᾽ ἑξῆς περίοδου ἀμοιβαίας τοῦ χοροῦ καὶ τοῦ ὑποκριτοῦ κώλων καὶ στίχων ιη. ὧν τὰ πρῶτα τρία κῶλα τοῦ χοροῦ ἀναπαιστικὰ πενθημιμερῆ ἀπομεμιγμένα τετραβράχεσιν. ὁ δ´ τροχαϊκὸς τετράμετρος καταληκτικός. τὰ ἑξῆς πάλιν τρία κῶλα τοῦ χοροῦ ἀναπαιστικὴ βάσις ἕκαστον τούτων. ἀπομεμιγμένα καὶ ταῦτα τετραβράχεσιν. οἱ ἑξῆς πάλιν δύο τροχαϊκοὶ τετράμετροι καταληκτικοί. τὸ ἑξῆς τοῦ χοροῦ κῶλον ἀναπαιστικὴ βάσις, οἱ δὲ ἑξῆς ζ´ τροχαϊκοὶ τετράμετροι καταληκτικοί. ὧν τελευταῖος. κἀστὸν ἤδη που παρ᾽ ἡμῖν ἢ παρ᾽ ὑμῖν εἴμ᾽ ἐγώ. Τίνα λόγον. ἀπὸ κοινοῦ τὸ πάρει. Κοινὸν ὠφελήσιμον. ἀντὶ τοῦ κοινωφελῆ. ἀσφαλῆ δέ, τουτέστιν ἀληθῆ καὶ σφαλῆναι μὴ δυνάμενον. Λεπτὼ λογιστά. λεπτοὶ εἰς τὸ λογίσασθαι. Ποῦ. πᾶ. διαταράσσονται οἱ ὄρνιθες ἀκηκοότες ἄνδρας παρεῖναι. ὑποπτεύουσι γὰρ αὐτοὺς εἶναι ὀρνιθοθήρας. Ἔχοντε πρέμνον στέ

τῆς. πυγμῆς. παγκρατίου. πάλη καὶ ἅλμα. Ὥσπερ οἱ κᾶρες μὲν οὖν. ὡς τῶν καρῶν τὰ ἐχυρὰ καταλαμβανόντων, διὰ τὸ στρατιωτικοὺς εἶναι. ἢ ὅτι ἐν τείχεσιν ᾤκουν ὑπὲρ ἀσφαλείας. ἢ ὅτι λόφον ἔχουσιν ἐπὶ τῶν κρανῶν. Τιμαιόσθενης(?) δὲ οἱ κᾶρες τὰ πολεμικά. καὶ τοὺς λόφους καταλαμβάνοντες ἐν τοῖς πολέμοις. θαλασσοκρατήσαντές τε πολλὰ μέρη τῆς οἰκουμένης κατέλαβον. καὶ τοὺς λόφους ᾤκουν, ὡς ἀνεχυρωτέρους. ὅθεν καὶ καρικαὶ καὶ καραπόλεις ἐλέγοντο αἱ οἰκήσεις.

οὐδ' ἰδεῖν ἔτ' ἔσθ' ὑπ' αὐτῶν πετομένων τὴν εἴσοδον.
Πει. οὑτοσὶ πέρδιξ. ἐκεινοσί γε νὴ Δί' ἀτταγᾶς.
Ευ. οὑτοσὶ δὲ, πηνέλοψ. ἐκεινοσὶ δέ γ' ἀλκυών.
Ευ. τίς γάρ ἐσθ' οὔπισθεν αὐτῆς. Πει. ὅστις ἐστί; κηρύλος.
Ευ. κηρύλος γάρ ἐστιν ὄρνις. Πει. οὐ γάρ ἐστι σποργίλος.
χ' αὑτηΐ γε γλαῦξ. Ευ. τί φής; τίς γλαῦκ' Ἀθήναζ' ἤγαγε.
κίττα. τρυγών. κορυδός. ἐλεᾶς. ὑποθυμίς. περιστερά.

Πετομένων τὴν εἴσοδον. τὸν οὐρανὸν ἢ τὸν ἀέρα. εἴσοδος δὲ λέγεται, ἣν ὁ χορὸς εἰσέρχεται(?) ἐν τῇ σκηνῇ. καὶ ἐν ταῖς νήσοις. τί οὖν λέγεις. εἰσὶ δέ που ἀνδ(?) κατ' αὐτὴν ἣν βλέπεις τὴν εἴσοδον. Οὑτοσὶ πέρδιξ. ἀπὸ τούτου ἡ καταρίθμησις τῶν εἰς τὸν χορὸν συντεινόντων προσώπων κδ'. ἐν τούτῳ ληφθέντων τῶν προκατειλεγμένων. ὁ δὲ τραγικὸς ιε. πρόσωπα ἔχει ἐνταῦθα δὲ εὑρήσεις ἀριθμήσας, τὰ εἰκοσιτέσσαρα πρόσωπα ἐξ ὧν ὁ κωμικὸς χορὸς συνίσταται.

Ὅστις ἐστὶ κηρύλος. εὐφρόνιός φησι τοὺς δωριεῖς λέγειν. βάλλε δὲ βάλλε κηρύλος εἴην. τοὺς δὲ ἀττικοὺς, κείρυλον. φησὶ δὲ δίδυμος, τὸ κατὰ φύσιν ὄνομα, κείρυλος λέγεσθαι. ἀντίγονος δέ φησι τοὺς ἄρσενας τῶν ἀλκυόνων, κηρύλους λέγεσθαι. οὓς γηράσκοντας, αἱ θήλειαι βαστάζουσι τοῖς πτεροῖς. μή ποτε παρὰ τὸ κείρειν ἐσχημάτικεν. ὁ δὲ σποργίλος, ἦν κουρεύς. μνημονεύει αὐτοῦ πλάτων ἐν σοφισταῖς. τὸ σποργίλου κουρεῖον ἔχθιστον τέγος. τοῦτο οὖν ἔστω σημεῖον, τοῦ καὶ τὸν κηρύλον ἴσως παρὰ τὸ κείρειν ἠτυμολογηκέναι τὸν ἀριστοφάνην. ἀντίθηκεν γὰρ αὐτῷ κουρέα. Ἄλλως. ὁ ἄρσην ἀλκυὼν, κηρύλος λέγεται. ἐν δὲ ταῖς συνουσίαις, ἀποθνήσκει. ὁ δὲ σποργίλος, κουρεὺς ἦν. διαβάλλει δὲ αὐτὸν ὡς εὐτελῆ. Τίς γλαῦκ' ἀθήναζε. τὸ χ, ὅτι ἤλλαξε τὸ τοπικόν. ἔδει γὰρ ἐξ ἀθηνῶν, οὐκ εἰς ἀθήνας εἰπεῖν. οὐ προσποιεῖται δὲ, ὅτι οὐκ ἐν ἀθήναις τὰ πράγματα. παροιμία δέ ἐστιν ἐπὶ τῶν μάτην ἐπιφερόντων τινὰ ἐπὶ τοῖς προϋπάρχουσιν. οἷον εἴ τις ἐν αἰγύπτῳ σῖτον ἐπαγάγῃ. ἢ ἐν κιλικίᾳ κρόκον ἐνταῦθα οὖν, ἐπεὶ ἀθήνηθεν ἐστὶν ἡ γλαῦξ, κατὰ τὴν παροιμίαν λέγει. τίς εἰς ἀθήνας γλαῦκ' ἐνήνοχεν. δίμων δέ φησιν, ὅτι οὐ τοῦ ζώου μόνου πληθύοντος ἐν τῇ πόλει, ἀλλὰ καὶ ὅτι τοῦ νομίσματος. καὶ ὅτι οὐκ ἐν ἀργύρῳ μόνῳ, ἀλλὰ καὶ ἐν χαλκῷ χαράσσουσι τὴν γλαῦκα. διὸ τὴν παροιμίαν εἰρῆσθαι. μή ποτε δὲ ἐπὶ τοῦ ζώου εἰκός ἐστι λεχθῆναι μόνου. Κορυδὸς, ἐλεᾶς. ὁ κορυδὸς παρὰ ἀριστοτέλει κορύδων λέγεται. εἰ μὴ ἕτερός ἐστι. ποικίλα γὰρ τὰ ὀνόματα. ὁ δὲ ἐλεᾶς, μή ποτε ἐλείας ἐστὶν ἐν τοῖς καλλιμάχου ἀναγραφομένοις. φησὶ γὰρ, ἔλεια μικρὸν φωνῇ ἀγαθόν. ἀναγέγραπται δὲ καὶ ἡ ὑποθυμὶς, καὶ ὁ νόρτος(?). καὶ ὁ ὀρυκερέτους(?) καὶ ἡ πορφυρίς. καὶ ὁ δρύοψ. καὶ ἡ ἀμπελίς.

Ἄλλως. φιλοκλεῖ ἐστὶ δρᾶμα τηρεὺς ἢ ἔποψ. ὁ σοφοκλῆς πρῶτον τὸν τηρέα ἐποίησεν. εἶτα φιλοκλῆς. διὰ τοῦτο δὲ εἶπεν. ἐγὼ δ' ἕτερος· αὐτίκα τοῦ πρὸ αὐτοῦ ἔγραφεν. τοῦτο δὲ θέλων κωμῳδῆσαι καλλίαν ὡς ἀπολέσαντα πάντα τὰ χρήματα. ἐν ἐνίοις δὲ ὑπομνήμασιν, ὅτι προκέφαλός ἐστιν ὁ σοφοκλῆς ὡς ὁ ἔποψ. ἀλλ' οὐδαμοῦ κεκωμῴδηται. εἴη ἂν οὖν τὸν ἔποπα ἐσκευοποιηκώς, τῇ πανδιονίδι τετραλογίᾳ. ἣν καὶ ἀριστοτέλης ἐν ταῖς διδασκαλίαις ἀναγράφει. ἔστι δὲ φιλοκλῆς κωμῳδίας ποιητής· καὶ

φιλοπείθους υἱός. τῆς αἰσχύλου ἀδελφῆς, ὅσοι δὲ ἁλμίωνος αὐτόν φασιν, ἀπὸ θετικῶς λέγουσι διὰ τὸ πικρὸν εἶναι. ἅλμη γὰρ ἡ πικρία. γεγόνασι δὲ φιλοκλεῖς δύο τραγῳδιῶν ποιηταί. εἷς μὲν ὁ φιλοκλέους ἀπόγονος. ἐκείνου μὲν γὰρ ἄρης μόρσιμος. ἐκ τούτου δέ, ἀστυδάμας. ἐκ τούτου δὲ φιλοκλῆς. καὶ ἕτερος ὁ κατὰ τὴν αὐτὴν ἡλικίαν περιπεπτωκὼς τῷ νεωτέρῳ φιλοκλεῖ.

Πει. Καλλίας ἄρ' οὗτός ἐστιν; ὡς πτερορρυεῖ.
Επ. ἅτε γὰρ ὢν γενναῖος, ὑπὸ τῶν συκοφαντῶν τίλλεται.
αἵ τε θήλειαι προσεκτίλλουσιν αὐτοῦ τὰ πτερά.
Πει. ὦ πόσειδον· ὡς ἕτερος αὖ τις βαπτὸς ὄρνις οὑτοσί
τίς ὀνομάζεται ποθ' οὗτος. Επ. οὑτοσὶ κατωφαγᾶς.
Πει. ἔστι γὰρ κατωφαγᾶς τις ἄλλος ἢ κλεώνυμος;
πῶς ἂν οὖν κλεώνυμός γ' ὤν, οὐκ ἀπέβαλε τὸν λόφον.
Ευ. ἀλλὰ μέντοι τίς ποθ' ἡ λόφωσις ἔσθ' ἡ τῶν ὀρνέων.
ἢ 'πὶ τὸν δίαυλον ἦλθον. Επ. ὥσπερ οἱ κᾶρες μὲν οὖν.
ἐπὶ τῶν λόφων οἰκοῦσιν ὦ 'γάθ' ἀσφαλείας οὕνεκα.
Πει. ὦ πόσειδον. οὐχ ὁρᾷς ὅσον συνείλεκται κακόν;
ὀρνέων; Ευ. ὦναξ ἄπολλον, τοῦ νέφους. ἰού. ἰού.

Ἱππόνικος καλλίου. ὁ ἱππονίκου καλλίας ἐδόκει τὰ πατρῷα διεσπαρκέναι εἰς ἀσέλγειαν. ὡς ληφθεὶς μοιχεύων καὶ ἀποτίσας χρήματα. κεκωμῴδηκε δὲ αὐτὸν ἱκανῶς εὔπολις ἐν τοῖς κόλαξι. λέγεται δὲ καταψεύδεσθαι τῶν ὑπομνημάτων. ὅτι οἱ ἱππόνικοι καὶ οἱ καλλίαι, ἀλλ' ὅθεν ἐκ διαδοχῆς ἀπὸ πατέρων ἐπὶ παῖδας καθήκουσιν. ὅπερ ἐστὶ ψεῦδος. ὁ πρῶτος γὰρ καλλίας φαινίππου πατρός ἐστιν. ὁ νενικηκὼς ἵππῳ τὴν δ' καὶ πεντηκοστὴν ὀλυμπιάδα. Τίλλεται. τὸ τίλλεται ἀπὸ τῶν ὀρνέων. νῦν δέ, ἴσον τῷ πτωχεύεται. τὸ γενναῖος καὶ πρὸς τὴν πορνοκοπίαν τοῦ καλλίου. καὶ ὅτι μοιχεύων χρήματα ἐδίδου. Κατωφαγᾶς. ὅτε βαρύνεται, ἐπίθετον. ὅτε δὲ περισπᾶται, κύριον. ἴσως δὲ ἀπὸ τοῦ καταφαγεῖν τὸ ὄνομα πεποίηκε. διὰ τὴν τοῦ κλεωνύμου πολυφαγίαν. Οὐκ ἀπέβαλε τὸν λόφον. τὴν τῆς περικεφαλαίας ὡς ῥίψασπις καὶ δειλός, διαβάλλεται κλεώνυμος. Ἐπὶ τὸν δίαυλον ἦλθον. ἐπεὶ οἱ διαυλοδρομοῦντες, μεθ' ὅπλων τρέχουσιν ἔχοντες λόφον ἐπὶ τῆς κεφαλῆς. Ἄλλως δίαυλος ὁ διπλοῦν ἔχων τὸν δρόμον ἐν τῇ πορείᾳ δ' περιερῶσαι τὸ στάδιον καὶ ὑποστρέψαι. δολιχοδρόμοι δὲ οἱ ἑπτὰ τρέχοντες διὸ καὶ δολιχοδρόμοι. οἱ γὰρ σταδιοδρόμοι διπλοῦν ποιοῦντες τὸν δρόμον. Ἄλλως. ὁ ὁπλίτην δρόμον. μετὰ ὅπλων γὰρ ἠγωνίζοντο. Ἄλλως δίαυλος ὁ διστάδιος τόπος ἢ μέτρον πηχέων σ̄. δίαυλος καὶ ἡ μακρὰ περίοδος. οἱ ἰωδ' εἰσὶν ἀγωνίσματα. στάδιον. δίαυλος. δόλιχος. ὁπλίτης. πυγμή.

ἀνδρείας δέ φησι τῶν ἰκτερικῶν οὐ τοὺς ἰδόντας, ἀλλὰ τοὺς φαγόντας ἀπαλλάττεσθαι τοῦ πάθους. Τοροτίγξ. οἱ μὲν καὶ τοῦτο τοῦ ἔποπος λέγουσιν εἶναι, οἱ δὲ ὄρνιθός τινος προσιπταμένου. καὶ τοῦτο δὲ τῶν εἰρημένων ὀρνέων. Ἀγαθ' ἀλλ' οὑτοσί. κορωνὶς αὖθις ἑτέρα εἰσιόντων τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ μ̄. ὧν τελευταῖος καὶ βλέπουσιν εἰς σὲ κἀμὲ τοῦτο μὴν κἀμοὶ δοκεῖ. ἐν εἰσθέσει ἢ μετὰ τὸν λζ΄. στίχον κῶλα ἰαμβικὰ δίμετρα ἀκατάληκτα β΄, ἐπὶ τῷ τέλει κορωνίς.

Ἔπ. Τοροτίγξ. τοροτίγξ.
Πι. ὦ 'γαθ' ἀλλ' οὑτοσὶ καὶ δή τις ὄρνις ἔρχεται.
Ευ. νὴ Δί' ὄρνις δῆτα. τίς ποτ' ἐστίν; οὐ δήπου ταώς;
Πι. οὗτος αὐτὸς νῷν φράσει, τίς ἐστιν ὄρνις οὑτοσί.
Ἔπ. οὗτος οὐ τῶν ἠθάδων τῶνδ' ὧν ὁρᾶθ' ὑμεῖς ἀεί.
ἀλλὰ λιμναῖος, Πει. βαβαί. καλός γε καὶ φοινικιοῦς
Ἔπ. εἰκότως· καὶ γὰρ ὄνομ' αὐτῷ γ' ἐστὶ φοινικόπτερος.
Πει. οὗτος, ὦ σέ τοι. Ἔπ. τί βωστρεῖς. Πει. ἕτερος ὄρνις οὑτοσί
Ἔπ. νὴ Δί' ἕτερος δῆτα χ' οὗτος ἔξεδρον χώραν ἔχων.
Πι. τίς ποθ' ὁ μουσόμαντις ἄτοπος ὄρνις ὀρειβάτης.
Ἔπ. ὄνομα τούτῳ μῆδός ἐστι. Πει. μῆδος, ὦναξ Ἡράκλεις
εἶτα πῶς ἄνευ καμήλου μῆδος ὢν εἰσέπτατο.
Ευ. ἕτερος αὖ λόφον κατειληφώς τις ὄρνις οὑτοσί
Πει. τί τὸ τέρας τουτί ποτ' ἐστίν. οὐ σὺ μόνος ἄρ' ἦσθ' ἔποψ,
ἀλλὰ χ' οὗτος ἕτερος. Ἔπ. οὗτος ἐστὶ μὲν Φιλοκλέους
ἐξ ἔποπος. ἐγὼ δὲ τούτου πάππος, ὥσπερ εἰ λέγοις
Ἱππόνικος, Καλλίου. κἀξ Ἱππονίκου Καλλίας.

ἐπὶ τῷ τέλει κορωνίς. Καὶ δή τις ὄρνις. τοῦτο ἀποδέδωκε πρὸς τὰ ἄνω ἃ εἶπεν ὁ ἔποψ ἄλλως. ἄρ' οὗ ἔποψ. ταὼς δὲ Ἀττικῶς περισπᾶται. Οὗτος αὐτός. ἀντὶ τοῦ ὁ ἔποψ ἐρεῖ ἡμῖν. Καλός γε καὶ φοινικιοῦς. ἦν γὰρ φοινικόπτερος. λέγει οὖν ὅτι ἀντὶ τοῦ πυρρός. περισπᾶται δὲ τῷ λόγῳ τῶν εἰς οῦς ἀπλῶν, καὶ ἔστι παρὰ τὴν φοίνικος φοινικήν. φοινικόεις καὶ φοινίκεος ἐν ὑπερθέσει, καὶ φοινικοῦς ἐν συναιρέσει.

Ἔξεδρον χώραν ἔχων. ἐκ τῆς Σοφοκλέους δευτέρας Τυροῦς. ἀρχή. τίς ὄρνις οὗτος ἔξεδρον χώραν ἔχων. ὡς εἰ εἶπε χροιὰν ἔξεδρον ἢ παρηλλαγμένην. Σοφοκλῆς οὐκ ἔξεδρος ἀλλ' ἔντοπος αἰήρ. Ὁ μουσόμαντις. ὁ κομπώδης. τοιοῦτοι γὰρ οἱ μάντεις καὶ οἱ ποιηταί. Ἄτοπος ὄρνις. τοῦτ' εἶπεν, ἐς τὸ τερατῶδες τοῦ ὄρνιθος ἀφορῶν οὐδὲν πρὸς τὸ προκείμενον. παρὰ τὰ ἐξ Ἠδωνῶν Αἰσχύλου. τί ποτ' ἔσται ὁ μουσόμαντις. ἄλαλος. ἁβρατεὺς ὃν σθένει. Μῆδός ἐστιν, ὡς τῶν μήδων ὡς ἐπὶ τὸ πολὺ ἐπὶ τῶν καμήλων ὀχουμένων ἐπὶ τῇ τῶν πολέμων ἐξόδῳ. τοὺς ἐκ Βαταίων ὄρνις περσικοὺς φασὶ πρὸς τὸ ξένον τῆς θέας. ζητεῖται δέ, εἰ δεόντως καλεῖταί τις ὄρνις μῆδος. Λόφον κατειληφώς. ἀντὶ τοῦ λόφον ἔχων. ἀπὸ τῶν ἐν τοῖς πολέμοις. τοῦτο δέ φησιν ἐπεὶ ἕτερός τις ὄρνις ἀναφαίνεται λόφον ἔχων ὡς ὁ ἔποψ. διαβάλλει δὲ τὸν Φιλοκλέα ὡς ὀξυκέφαλον. Οὗτος μέν ἐστι Φιλοκλέους. οὗτος ὁ Φιλοκλῆς ἔποπα ἐσκεύασεν ἐν τῇ Πανδιονίδι τετραλογίᾳ. οὗ ἀρχή. σὲ τὸν πάντων δεσπότην λέγω.

ὡς ἀπαξιοῦν τοῖς ἰδίοις ὀνόμασι λαλεῖσθαι. καὶ ὁ μὲν, ἐκάλεσεν αὐτὴν, δία. ἡ δὲ, ἥραν. καί ποτε ἐν θαλάσσῃ, αὐτοῦ πλέοντος ὁ ζεὺς ὀργισθεὶς, αὐτόν τε διέφθειρε. καὶ τὴν ναῦν. ἡ δὲ ἄγαν περιπαθῶς ὠδύρετο τὸν τοῦ ἀνδρὸς θάνατον παρὰ τῷ αἰγιαλῷ ἣν ἐλεήσας ὁ ζεὺς ἀπωρνέωσε. καὶ ἐκεῖνον δὲ εἰς ὄρνεον μετέβαλεν. ὃν κηρύλον καλοῦσιν. ἐθρήνει δὲ τῶν ᾠῶν αὐτῆς ἐν τῇ θαλάττῃ κλωμένων. διὸ κατὰ διὸς οἶκτον, ιδ'. ἡμέρας ἀλκυονίδας καλουμένας εὐδεινὰς ἔχει τοῦ ἔτους. ἐν αἷς τίκτουσα, ἐκβάλλει τοὺς νεοττούς. Τὰ νεώτερα, πράγματα δηλονότι. Ταναοδείρων. μακροτραχήλων. τὸ μερικὸν δὲ, ἐπὶ πάντων ἔταξαν. οὐ γὰρ πάντα ταναόδειρα τὰ ὄρνεα.

Καινὸς γνώμην. νέαν γνώμην ἐξηγούμενος. ἀλλ' ἴτ' ἐς λόγους. ταῦτα τὰ πέντε κῶλα ἔοικεν ἐπῳδῷ. καὶ εἰσὶ τὰ μὲν δύο τροχαϊκὰ δίμετρα ἀκατάληκτα. τὸ τρίτον ἰαμβικὸν ἐκ τριβράχεων. τὸ δ' παιωνικὸν ἐκ κρητικῶν διαρρύθμων. τὸ πέμπτον ἰαμβικὸν ἐφθημιμερὲς ἐκ τριβράχεων, ἐφ' ἑκάστης στροφῆς παράγραφος. ἐπὶ δὲ τῷ τέλει κορωνίς.

δεῦρ' ἴτε, πευσόμενοι τὰ νεώτερα.
πάντα γὰρ ἐνθάδε φῦλ' ἀθροίζομεν.
οἰωνῶν τῶν ταναοδείρων.
ἥκει γάρ τις δριμὺς πρέσβυς
καινὸς γνώμην. Καινῶν ἔργων τ' ἐγχειρητής.

ἘΠΩΔΗ' ΚΩ'ΛΩΝ, Ε.

ἀλλ' ἴτ' ἐς λόγους ἅπαντα.
δεῦρο. δεῦρο. δεῦρο. δεῦρο.
τοροτοροτοροτοροτοροτίγξ.
κικκαβαῦ. κικκαβαῦ.
τοροτοροτοροτολιλιλίγξ.

ΣΥ'ΣΤΗΜΑ ΚΑΤΑ' ΠΕΡΙΚΟΠΗ'Ν.

Πε. ὁρᾷς τὸν ὄρνιν; Εὐε. μὰ τὸν ἀπόλλω 'γὼ μὲν οὔ.
καίτοι κέχηνά γ' εἰς τὸν οὐρανὸν βλέπων.
ἄλλως ἄρ' οὕποψ ὡς ἔοικ' εἰς τὴν λόχμην
ἐμβὰς, ἐπῶζε, χαραδριὸν μιμούμενος.

Κικκαβαῦ. τὰς γλαῦκας οὕτω φωνεῖν λέγουσιν. ὅθεν καὶ κικκάβας αὐτὰς λέγουσιν. ἔστι δὲ ἱερὰ τῆς ἀθηνᾶς. οἱ δὲ, κικυμωΐδας ὡς καλλίμαχος. χαῖρ' ἀγαθὴ κικυμίς. καὶ ὅμηρος δὲ, χαλκίδα κικλήσκουσι θεοί. ἄνδρες δὲ κύμινδιν. τὴν γλαῦκα ἀπὸ τῆς μορφῆς χαλκίδα. ἐπειδὴ χαλκίζει τῷ χρώματι. Ἄλλως. μίμημα τοῦτο ποιᾶς φωνῆς τῆς γλαυκός. ἔστι δὲ ἱερὰ τῆς ἀθηνᾶς. διὸ καὶ εἶδος αὐτῆς πολὺ ἐν τῇ ἀττικῇ. καὶ εἰς τιμὴν τῆς θεοῦ ἐν τοῖς νομίσμασιν ἐγχαράττουσι γλαῦκα διὰ τὸ χαλκοειδὲς δὲ ἔχειν τὸ πτερόν. λέγεται καὶ χαλκίς. λέγεται καὶ κύμινδις. Ἐμβὰς ἐπῶζε. ἐπώζειν ἐστὶ, τὸ ἐπὶ τοῖς ᾠοῖς καθεζόμενα τὰ ὄρνεα κράζειν. ἐνταῦθα δὲ ἀντὶ τοῦ ἐκρύπτετο. Χαραδριὸς δέ ἐστιν, εἶδος ὀρνέου παραβαλλομένου εἰς τὰ προκείμενα διχῶς δέ. ἐπὶ μὲν τοῦ ὀρνέου, χαραδριὸν ὀξυτονητέον. εἰ δὲ ἐπὶ τῆς χαράδρας βαρυτονεῖται. ἐπεί φασιν αἱ χαράδραι τρόπον τινὰ διὰ τῶν ῥευμάτων μελῳδίας ποιοῦνται.

Χαραδριὸν μιμούμενος, εὐφρόνιος ἐκ τοῦ χαραδριὸν μιμούμενος ἀξιοῖ δέχεσθαι ἀποκεκρυμμένως. ἐπεὶ γὰρ τοὺς ἰκτερικοὺς ὠφελεῖ ὁ χαραδριὸς ὀφθεὶς, οἱ πωλοῦντες αὐτόν φασι κρύπτουσιν ἵνα μὴ πρὸ τοῦ ὠνήσασθαί τις ἰαθῇ [illegible].

Ὅσα τ' ἐν ἄλοκι. ἐν τῇ τομῇ τοῦ ἀρότρου. ἀντὶ τοῦ περὶ τὴν βῶλον τῆς αὔλακος.
Ἀμφιτιττυβίζετε. τοιοῦτον μέλος ἀποτελεῖτε. Τιὸ τιό. ἡ δευτέρα στροφὴ κώλων ιγ΄. ὧν τὸ πρῶτον ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον ἐκ τετραβραχέων. τὸ β΄. ὅμοιον καθαρόν. τὸ τρίτον ὅμοιον ἔχον τὸν τρίτον καὶ τέταρτον πόδα τετράβραχυν. τὸν δὲ τέταρτον τρίβραχυν. τὸ ε΄ ὅμοιον. τὸν α΄ καὶ β΄. ἔχον πόδα τετράβραχυν. τὸ ἕκτον ὅμοιον. τὸν τρίτον ἔχον πόδα τετράβραχυν. τὰ ἑξῆς ἓξ τροχαϊκὰ δίμετρα ἀκατάληκτα ἀναμεμιγμένα τριβράχεσι. τὸ δὲ ιγ΄ τὸ ἀτταγᾶς ἀτταγᾶς, τροχαϊκὸν δίμετρον βραχυκατάληκτον. εἰ δὲ βούλει παιωνικὸν ἐκ κρητικῶν μιμούμενος ἢ πάλιν τὴν φωνὴν τῶν ὀρνέων, καλεῖ αὐτὰ ὁ ἔποψ. Ἐπὶ κισσοῦ κλάδεσιν. ἀντὶ τοῦ τοῖς κλάδοις ἀπὸ εὐθείας δὲ τῆς κλάδος, ὡς τὸ τέκος. Κοτινοτράγα. κότινον ἐσθίοντα. τουτέστιν ἀγριέλαιον. Κομαροφάγα. κόμαρον ἐσθίοντα. Ὅσα θ' ἑλείας. ἑλώδεις τόπους στενούς. τοὺς ἑλείους στενοὺς τόπους, ἀπὸ τοῦ ὁ ἑλείας. τὰς ὀξυστόμους δέ, τὰς ὀξυαδούσας. Ἐμπίδας. ζῷόν ἐστιν ὕδασι γινόμενον ὅμοιον τῷ κώνωπι. μεῖζον δὲ τῇ περιοχῇ κατὰ

σπερμολόγων τε γένη ταχὺ πετόμενα.
μαλθακὴν ἱέντα γῆρυν.
ὅσα τ' ἐν ἄλοκι θαμὰ βῶλον
ἀμφιτιττυβίζεθ' ὧδε
λεπτὸν ἡδομένα φωνᾷ

ΕΤΕΡΑ ΣΤΡΟΦΗ ΚΑΙ ΩΔΗ ΚΩΛΩΝ, ΙΓ΄.

Τιὸ. τιὸ. τιό. τιό. τιό. τιό. τιό. τιό.
ὅσα θ' ὑμῶν κατὰ κήπους ἐπὶ κι
σσοῦ κλάδεσι νομὸν ἔχει. τά, τε κατ' ὄρεα.
τά, τε κοτινοτράγα, τά, τε κομαροφάγα.
ἀνύσατε πετόμενα πρὸς ἐμὰν αὐδάν.
τριοτό. τριοτό. τοτοβρίξ.
ὅσα θ' ἑλείας παρ' αὐλῶνας.
τὰς ὀξυστόμους ἐμπίδας.
κάμπτεθ'. ὅσα τ' εὐδρόσους τε
γῆς τόπους ἔχετε, καὶ λειμῶ
να τὸν ἐρόεντα μαραθῶνος.
ὄρνις τε πτεροποικίλος. Ἀτταγᾶς. ἀτταγᾶς.

ΕΤΕΡΑ ΣΤΡΟΦΗ ΚΑΙ ΩΔΗ ΚΩΛΩΝ, Η΄.

ὧν τ' ἐπὶ πόντιον οἶδμα θαλάσσης
φῦλα μετ' ἀλκυόνεσσι ποτᾶται.

τὸ μέσον λευκῷ περιεζωσμένον. κάμπτετε δὲ καταβάλλετε ἐσθίετε. ἐρόεντα δὲ ἀντὶ τοῦ ἐπιθυμητικόν. ὡς χαρίεντα. μαραθῶνος δὲ ὅτι ἐν μαραθῶνι πολὺ τὸ ὄρνεον.
Ἀτταγᾶς. ὁ ἀτταγᾶς ὁ ἔχων τὸν λειμῶνα τοῦ μαραθῶνος. τὰ γὰρ λιμνώδη καὶ λεῖα χωρία καταβόσκεται ὁ ἀτταγᾶς. ἡ τρίτη στροφὴ κώλων ἑπτά. δακτυλικῶν τετραμέτρων, πλὴν τοῦ ζ΄. τοῦτο γὰρ δακτυλικὴ βάσις. Ὧν τ' ἐπὶ πόντιον ὁ πε[illegible]πτός. ἔστι δὲ παρὰ τὰ Ἀλκμᾶνος ὅς τ' ἐπὶ κύματος ἄνθος ἅμ' ἀλκυόνεσσι ποτᾶται. διὸ καὶ δωρικῶς εἴρηται. τὸ δ' ἑξῆς. ὧν τε φῦλα ἐπὶ πόντιον οἶδμα θαλάσσης ἅμ' ἀλκυόνεσσι ποτᾶται. ἡ δὲ ἀλκυὼν, θαλάσσιόν ἐστιν ὄρνεον. καὶ ἱστορίαν δὲ τοιαύτην περὶ αὐτῶν φασιν. ὡς ἀπὸ ἀνθρώπων ἀπωρνεώθη. ἔστι δὲ ἡ κήυκος τοῦ τραχινίου βασιλέως γυνή. οἱ, ὄλβῳ μεγίστῳ ἐπαρθέντες, εἰς τοσοῦτον ἦλθον φρονήματος,

τηρεῖ ὁ δὲ γνοὺς, ἐδίωκεν αὐτὰς ξίφει, τοῦ ποῦ ποῦ φθεγγομένου. φιλομήλα μὲν δὲ τηρεὺς ἦν βοῶσα τῷ φόβῳ. πρόκνη δὲ τὸν ἴτυν θρηνοῦσα, ἴτυ ἴτυ ἐλεεινῶς ἐφθέγγετο. τοῦ δὲ διὸς ἐλεοῦντος ἡ μὲν πρόκνη εἰς ἀηδόνα, ἡ δὲ φιλομήλα εἰς χελιδόνα μεταβληθῆσαι, ἔτι γε μὴν καὶ ὁ τηρεὺς εἰς ἔποπα. ταὐτὰ φθέγγονται μέχρι καὶ νῦν ἕκαστος, ἅτε μετὰ τὴν συμφορὰν μὲν πρὸ τῆς ἀπορνεώσεως δέ. ἐλελιζομένη δὲ, θρηνοῦσα. διεροῖς δὲ, διύγροις ἐκ τῶν δακρύων. μίλαξ δὲ εἶδος βοτάνης. Ἠχώ. ἡ ἱερὰ ἠχὼ ἀνέρχεται. τὸ δὲ χωρεῖ, ἀντὶ τοῦ χαρήσει.

ἐλελιζομένη διεροῖς μέλεσι.
γένυος ξουθῆς καθαρὰ χωρεῖ.
διὰ φυλλοκόμου σμίλακος ἠχώ.
πρὸς διὸς ἕδρας. ἵν' ὁ χρυσοκόμας
φοῖβος ἀκούων τοῖς σοῖς ἐλέγοις,
ἀντιψάλλων, ἐλεφαντόδετον
φόρμιγγα θεῶν ἵστησι χορούς.
διὰ δ' ἀθανάτων στομάτων χωρεῖ
ξύμφωνος ὁμοῦ
θεία μακάρων ὀλολυγή.
αὐλεῖ τις.

ΣΥΣΤΗΜΑ ΚΑΤᾺ ΠΕΡΙΚΟΠΉΝ.

Εὐε. ὦ ζεῦ βασιλεῦ τοῦ φθέγματος τοὐρνιθίου.
οἷον κατεμελίτωσε τὴν λόχμην ὅλην.
Πει. οὗτος. Εὐ. τί ἔστιν. Πει. οὐ σιωπήσει; Εὐε. τί δαί;
Πει. οὔποψ μελῳδεῖν αὖ παρασκευάζεται.

ΩΔῊ ΚΏΛΩΝ, Ι.

Ἔπο. Ἐποποποῖ. ποῖ πο. ποποποποῖ. ποποῖ
ἰὼ ἰώ. ἰτὼ. ἰτώ. ἰτώ. ἰτώ.
ἴτω τις ὧδε τῶν ἐμῶν ὁμοπτέρων.
ὅσα τ' εὐσπόρους ἀγρῶν γύας
νέμεσθε. φῦλα μυρία κριθοτράγων.

Τοῖς σοῖς ἐλέγοις. ἀντὶ τοῦ τοῖς θρήνοις. εἴρηται δὲ, ἀπὸ τοῦ ἒ ἒ λέγειν. δίδυμος δέ φησιν, ὅτι οἱ πρὸς αὐλὸν ᾀδόμενοι θρῆνοι. τὸν γὰρ αὐλὸν πένθιμον ὑπειλῆφθαι. Ἀντιψάλλων. ἀντὶ τοῦ ἀνακρούων. ψαλμὸς δὲ κυρίως, ὁ τῆς κιθάρας ἦχος. Αὐλεῖ. τοῦτο παρεπιγέγραπται δηλοῦν, ὅτι μιμεῖταί τις τὴν ἀηδόνα ὡς ἔτι ἔνδον οὖσαν ἐν τῇ λόχμῃ. κατεμελίτωσεν. ἡδύτητος ἐπλήρωσεν. Οὐ σιωπήσεις. πρὸς ἀλλήλους διαλέγονται. Ἐποποῖ ποποποῖ. ἔκθεσις μέλους ἑτέρου περιοδική. εἰς τέσσαρας στροφὰς διαιροῦσα τὰς περιόδους. ὧν ἡ πρώτη στροφὴ κώλων δέκα. ὧν τὸ πρῶτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον ἔχον τὸν πρῶτον πόδα ἀνάπαιστον. τὸν δὲ δεύτερον τρίβραχυν. ἑξῆς δύο καὶ τὸ πέμπτον τρίμετρα ἀκατάληκτα. τὸ τέταρτον δίμετρον. τὸ ἕκτον ἀναπαιστικὸν ὁμοίως κατὰ τὴν τετάρτην χώραν προκελευσματικὸν ἔχον. τὰ ἑξῆς τροχαϊκὰ δίμετρα πλὴν τοῦ τελευταίου καταληκτικά. τὸ δὲ ἐποποῖ, καὶ τὰ τοιαῦτα δεῖ ὀξυτόνως προφέρεσθαι ὥσπερ ἦχον ὀρνέου προφέρεσθαι κατὰ μίμησιν. Ἰὼ ἰτὼ ἰτώ. προσκαλεῖται τοὺς ὄρνιθας, ἵνα συμβουλεύσῃ τὴν πόλιν κτίσαι. τὸ δὲ ὅλον εὐκαίρως ὁ ποιητὴς βούλεται τὸν χορὸν εἰσάξαι τῶν ὀρνέων. Κριθοτράγων. κριθοφάγων κοινῶς δὲ, ἐπεὶ οὐ πᾶν ὄρνεον κριθὰς ἐσθίει.

σετε διαπέμψετε. Μὰ νεφέλας. νεφέλη οὐ μόνον ἡ καπνώδης τῆς γῆς ἀναθυμίασις ἀλλὰ καὶ εἶδος δικτύου θηρευτικοῦ. οὕτω δὲ τὰ προστυχόντα ὤμνυον. μὰ κρήνας. μὰ γῆν. μὰ ποταμούς. Κομψότερον. κομψὸν περίτρανον. περίλαλον πανοῦργον. ἀπατητικὸν πιθανὸν τεχνικόν. καὶ κομψεία ἐλαφρία. ἀστειότης. πιθανολογία. ἀλαζονεία. Βαρβάρους ὄντας. ἀντὶ τοῦ ἀφώνους ἢ ἀνηκόους ἀνθρώπων καὶ μὴ εἰδότας αὐτῶν τὴν φωνήν. ἵνα τὸ μὴ θαυμάσῃ ἀκούσας; σὺ αὐτοῖς διηγήσῃ ὀρνέοις οὐ φησὶν, ὅτι νοοῦσιν ἐξ ἐμοῦ διδαχθέντες. Ἐς τὴν λόχμην. λόχμη δασύς τόπος. παγία σύμφυτος καὶ λοχμώδης. Ἀηδόνα. τὴν πρόκνην γαμετὴν οὖσαν, ἥτις εἰς ἀηδόνα μετεβλήθη. Καλοῦμεν αὐτούς. ἐν σχήματι εἴρηκεν ἀπὸ ἑνικοῦ εἰς τὸ πληθυντικὸν καὶ πρὸς τὸ σχῆμα τὸ χ. Ἄγε σύννομέ μοι. ὡς μετέχουσα τοῦ αὐτοῦ βίου καὶ τῆς αὐτῆς νομῆς τοῦτο δὲ, ὡς ἐπὶ ὀρνέων. μελικῶς δὲ ἄρχεται. τὸ δὲ μέτρον ἐστὶ καταληκτικὸν ἀναπαιστικὸν δίμετρον. κώλων ιδ΄. ὧν τὰ ιβ΄. δίμετρα ἀκατάληκτα. τὸ ιγ΄ ἀναπαιστικὴ βάσις. ἤτοι μονόμετρον ἀκατάληκτον παρατέλευτον. τὸ δὲ τελευταῖον ἐφθημιμερές. ὑφ᾽ ὃν αἱ συνήθεις διπλαῖ. ἑξῆς δὲ κῶλον ἰαμβικὸν μονόμετρον καταληκτικὸν μεθ᾽ ἃ τρίμετρα ἀκατάληκτα ὧν ἐπὶ τὸ τέλει παράγραφος.

μὰ γῆν. μὰ παγίδας. μὰ νεφέλας. μὰ δίκτυα
μὴ 'γὼ νόημα κομψότερον ἤκουσά πω
ὥστ᾽ ἂν κατοικίζοιμι μετὰ σοῦ τὴν πόλιν
εἰ ξυνδοκοίη τοῖσιν ἄλλοις ὀρνέοις.
Πει. τίς ἂν οὖν τὸ πρᾶγμ᾽ αὐτοῖς διηγήσαιτο. Ἔπο. σύ
ἐγὼ γὰρ αὐτοὺς βαρβάρους ὄντας πρὸ τοῦ
ἐδίδαξα τὴν φωνὴν, ξυνὼν πολὺν χρόνον.
Πει. πῶς δῆτ᾽ ἂν αὐτοὺς ξυγκαλέσειας; Ἔπο. ῥᾳδίως.
δευρὶ γὰρ ἐμβὰς αὐτίκα μάλ᾽ ἐς τὴν λόχμην,
ἔπειτ᾽ ἀνεγείρας τὴν ἐμὴν ἀηδόνα,
καλοῦμεν αὐτούς. οἱ δὲ νῷν τοῦ φθέγματος
ἐάνπερ ἐπακούσωσι, θεύσονται δρόμῳ.
Πει. ὦ φίλτατ᾽ ὀρνίθων σὺ μή νυν ἕσταθι
ἀλλ᾽ ἀντιβολῶ σ᾽ ἄγ᾽ ὡς τάχιστ᾽ ἐς τὴν λόχμην
ἔσβαινε κἀνέγειρε τὴν ἀηδόνα.

ΩΔΗ ΚΩΛΩΝ, ΙΔ΄.

Ἔπο. ἄγε σύννομέ μοι παῦσαι μὲν ὕπνου.
χύσον δὲ νόμους ἱερῶν ὕμνων
οὓς διὰ θείου στόματος θρηνεῖς.
τὸν ἐμὸν καὶ σὸν πολύδακρυν Ἴτυν.

Πολύδακρυν Ἴτυν. τὸν Ἴτυν διακόψασα παρέθηκε τῷ πατρὶ πρὸ τῆς ἀπογνώσεως. Ἄλλως. ἐπειδὴ ὁ Ἴτυς υἱὸς ἦν Τηρέως καὶ Πρόκνης τῆς αὐτοῦ γαμετῆς. Πανδίων γὰρ ὁ τῶν Ἀθηναίων βασιλεὺς Πρόκνην τὴν ἑαυτοῦ θυγατέρα εἰς γάμον ἐκδίδωσι τῷ Τηρεῖ Θρακῶν δυναστεύοντι. ὁ δὲ μετὰ τοὺς γάμους ἀφικνεῖται πρὸς Θρᾴκην μετὰ Πρόκνης ἐξ ἧς ἔσχεν Ἴτυν μετὰ δὲ χρόνον συχνὸν ποθούσης τὴν ἀδελφὴν Φιλομήλαν τῆς Πρόκνης ἰδεῖν, ὁ Τηρεὺς Ἀθήναζε ἀπελθὼν καὶ λαβὼν, καθ᾽ ὁδὸν αὐτὴν διεκόρευσε, καὶ τὴν γλῶτταν αὐτῆς ἀπέτεμεν μὴ δῆλα θείη τὰ πραχθέντα τῇ Πρόκνῃ. οὐ μὴν ἀλλ᾽ ὑφαίνουσα διὰ γραμμάτων ἐδήλωσε τὸ συμβάν. Πρόκνη μὲν οὖν μαθοῦσα τὴν συμφορὰν, σφάξασα τὸν υἱὸν Ἴτυν εἰς βρῶσιν παρέθηκε τῷ

Ὀρνίθων πόλος. τὸ μέν τι παραφράζει τῶν προειρημένων τῶν ὀρνίθων, ὅτι ἐστὶ τόπος τις αὐτῶν ἐν ᾧ διατρίβουσι. τὸ δέ, καὶ πρὸς τὸν σχηματισμὸν τοῦ ὀνόματος παίζει. καὶ τόπος καὶ πόλος. ἑξῆς ἐτυμολογεῖ αὐτὸν ἀπὸ τοῦ πολεῖσθαι. πόλον γὰρ οἱ παλαιοὶ οὐχ ὡς οἱ νεώτεροι σημεῖόν τι καὶ πέρας ἄξονος. ἀλλὰ τὸ περιέχον ἅπαν. Εὐριπίδης περιέβω. καὶ τὸν ἀτλάντιον φρουρῶν πόλον ὡς αὐτοῦ τε πολουμένου. καὶ δι' αὐτοῦ πάντων ἐρχομένων. Ὅτι δὲ πολεῖται. ὑφετυμολογεῖν βούλεται τὴν πόλιν. Ἢν δ' οἰκίσητε τοῦτο. οἷον εἰ τὸ μέσον τοῦ οὐρανοῦ καὶ τῆς γῆς ἐὰν περιτειχίσητε. Κεκλήσεται πόλις. ἔπαιζεν ἐκ τοῦ πόλου σχηματίσας τὴν πόλιν. Ὥσπερ παρνόπων. δυσχείρωτοι γὰρ οἱ πάρνοπες. ἔστι δὲ εἶδος ἀκρίδων. οἱ δὲ κωνώπων. Τοὺς δ' αὖ θεούς. ἐν τοῖς πελοποννησιακοῖς κατὰ πάντων μηλιαίων νικίας πέμψαντες ἀθηναῖοι, ἐπὶ τοσοῦτον ἐπολιόρκησαν αὐτούς, ὥστε λιμῷ διαφθεῖραι. τῷ δὲ πρώτῳ ἔτει νικίας μῆλον παρεστήσατο. οὐ μόνον μηχανῶν προσαγωγῇ, ἀλλὰ καὶ λιμῷ. διὰ τὸ ἀποστῆναι αὐτῶν, πρώην ὑποτελοῦσαν. Λιμῷ μηλίῳ. ἀντὶ τοῦ μεγίστῳ. μῆλος δέ ἐστι πόλις θεσσαλίας. καὶ οἱ μήλιοι πολιορκούμενοι ὑπὸ ἀθηναίων λιμῷ ἐπείσθησαν καὶ προδεδώκασιν ἑαυτούς. ὡς θουκυδίδης ἐν τῇ πέμπτῃ. Βοιωτοὺς δίοδον αἰτούμεθα. πολέμιοι ἦσαν οἱ βοιωτοὶ τῶν ἀθηναίων, συμβαλόντες λακεδαιμονίοις διὰ δεκέλειαν μαχομένοις. ὅτε οὖν θέλουσιν ἀθηναῖοι εἰς πυθὼ ἀπελθεῖν, δηλονότι βοιωτοῖς παρακαλοῦντες ὑποχωρῆσαι τῆς ὁδοῦ. Ἄλλως. τινές φασι μεταξὺ πυθοῦς καὶ ἀττικῆς εἶναι τὴν βοιωτίαν. καὶ οὐχ οἷόν τε εἶναι ἀπελθεῖν ἀθηναίους εἰς πυθὼ, εἰ μὴ παρέλθωσι βοιωτίαν. παίζει δέ, τότε γὰρ μόνον δίοδον ζητοῦσιν, ὅταν στράτευμα διάγῃ. ὅτ' ἂν δὲ ὀλίγοι καὶ ἐξηνικοὶ ἢ καθ' ἕνα οὐκέτι. Καὶ τοῦ χάους. χάους ἀντὶ τοῦ ἀέρος νῦν. ὡς ἴβυκος. ποτᾶται δ' ἐν ἀλλοτρίῳ χάει. διαφρήσετε δὲ διαφορή

Ἐπ. ποίαν δ' ἂν οἰκίσαιμεν ὄρνιθες πόλιν.
Πει. ἄληθες ὦ σκαιότατον εἰρηκὼς ἔπος.
βλέψον κάτω. Ἐπ. καὶ δὴ βλέπω. Πει. βλέπε νῦν
Ἐπ. βλέπω. Πει. περίαγε τὸν τράχηλ. Ἐπ. νὴ δία. (ἀπο
ἀπολαύσομαι δ' εἰ διαστραφήσομαι.
Πει. εἶδές τι; Ἐπ. τὰς νεφέλας γε καὶ τὸν οὐρανόν.
οὐχ οὗτος οὖν δήπου 'στὶν ὀρνίθων πόλος;
Ἐπ. πόλος. Πει. τίνα τρόπον. ὥσπερ εἴποι τις, τόπος.
ὅτι δὲ πολεῖται τοῦτο καὶ διέρχεται
ἅπαντα, διὰ τοῦτό γε καλεῖται νῦν πόλος.
ἢν δ' οἰκίσητε, τοῦτο, καὶ φράξηθ' ἅπαξ.
ἐκ τοῦ πόλου τούτου, κεκλήσεται πόλις.
ὥστ' ἄρξετ' ἀνθρώπων μὲν ὥσπερ παρνόπων
τοὺς δ' αὖ θεοὺς ἀπολεῖτε λιμῷ μηλίῳ.
Ἐπ. πῶς. Πει. ἐν μέσῳ δήπουθεν, ἀήρ ἐστι γῆς.
εἶθ' ὥσπερ ἡμεῖς, ἢν ἰέναι βουλώμεθα
πυθῶδε. βοιωτοὺς δίοδον αἰτούμεθα,
οὕτως ὅταν θύσωσιν ἄνθρωποι θεοῖς
ἢν μὴ φόρον φέρωσιν ὑμῖν, οἱ θεοί,
διὰ τῆς πόλεως ἀλλοτρίας καὶ τοῦ χάους
τῶν μηρίων τὴν κνῖσαν οὐ διαφρήσετε.
Ἐπ. ἰοὺ ἰού.

Κιβδηλίαν. τὸν ἐκ τοῦ ἀργύρου ῥύπον. μοχθηρίαν καὶ ζηλοτυπίαν. ἅμα δὲ καὶ ὅτι τὰ νομίσματα κίβδηλα λέγεται διὰ τὸ ὑπὸ κιὸς δεδηλῶσθαι. Ἄλλως. κίβδηλα ἐλέγετο νομίσματα τὰ ὑπὸ Χίων δεδηλημένα. ἤτοι βεβλαμμένα. κατὰ τροπὴν τοῦ χ εἰς κ. Ἀθηναῖοι γὰρ καὶ Χῖοι πρὸς ἀλλήλους ἐμάχοντο. διὸ τὰ Χίων νομίσματα μετὰ τοῦ χ στοιχείου Ἀθηναῖοι ἐγχαράξαντες ἀπέστρεφον. καὶ ἐκάλουν αὐτὰ χίβδηλα ὡς διὰ τοῦ χ στοιχείου δῆλα ὄντα. παραλαβοῦσα δὲ ἡ συνήθεια τὴν φωνὴν τὸ δεδολωμένον νόμισμα κίβδηλον ὠνόμασεν. ἐναλλάξασα τὰ στοιχεῖα πρὸς τὸ εὐπλωτότερον. Μήκων δὲ ὄνομα φυτοῦ ἢ σπέρματος οὐκ ἄδηλον. ἔστι δὲ καὶ μέρος τι τῶν ἐντοσθίων τοῦ πολύποδος τοῦ ἰχθύος, ὃς κεῖται ἐπάνω τῆς κοιλίας οἱονεὶ κύστις ἐν ἑαυτῇ ἔχουσα τὸν θολόν. ὡς φησιν Αἰλιανὸς ἐν τοῖς περὶ ζώων. Σισύμβρια, σισύμβρια φύλλα οἷς ἐστεφανοῦντο οἱ νυμφίοι. Νυμφίων βίον. ἢ ὅτι οἱ γαμοῦντες στεφανοῦνται. ἢ ὅτι ἡδυπαθοῦσι πρὸς τὰς τῶν γάμων ἡμέρας.

Εὐ. πολλήν γε ἀφεῖλες τοῦ βίου κιβδηλίαν.
Ἐπ. νεμόμεσθα δ' ἐν κήποις τὰ λευκὰ σήσαμα.
καὶ μύρτα. καὶ μήκωνα. καὶ σισύμβρια.
Εὐ. ὑμεῖς μὲν ἆρα ζῆτε νυμφίων βίον.
Πει. φεῦ φεῦ.
ἦ μέγ' ἐνορῶ βούλευμ' ἐν ὀρνίθων γένει.
καὶ δύναμιν ἣ γένοιτ' ἂν εἰ πείθοισθέ μοι
Ἐπ. τί σοι πειθώμεσθ'; Πει. ὅτι πίθοισθε; πρῶτα μέν,
μὴ περιπέτεσθε πανταχῆ κεχηνότες.
ὡς τοῦτ' ἄτιμον τοὔργον ἐστὶν αὐτίκα.
ἐκεῖ παρ' ἡμῖν τοὺς πετομένους ἢν ἔρῃ.
τίς οὗτος ὄρνις, ὁ Τελέας ἐρεῖ ταδί
ἄνθρωπος ὄρνις ἀστάθμητος πετόμενος.
ἀτέκμαρτος. οὐδὲν οὐδέποτ' ἐν ταὐτῷ μένων.
Ἐπ. νὴ τὸν Διόνυσον εὖ γε μωμᾶ ταυταγί
τί ἂν οὖν ποιῶμεν; Πει. οἰκίσατε μίαν πόλιν.

Φεῦ φεῦ. ἔστι μὲν σχετλιαστικόν. νῦν δὲ θαυμαστικόν. Περιπέτεσθε. ἀντὶ τοῦ ἕνα τόπον ἔχετε. Κεχηνότες. οἱ μωροί. τὸ γὰρ κεχηνέναι ἐπὶ τῶν ἀνοήτων λαμβάνεται. Αὐτίκα. οἷον εὐθέως ἅμα τῷ πυθέσθαι, ὅτι τίς ἄστατος, εὐθέως ἄτιμον νομίζουσιν. Τοὺς πετομένους ἢν ἔρῃ. ἀντὶ τοῦ περὶ τῶν πετομένων. ἔστι δὲ ὁμηρικὸν τὸ σχῆμα. εἰρόμεναι παῖδάς τε κασιγνήτους τε. ὁ δὲ Τελέας, σκωπτίλος. λέγει οὖν ὅτι ἐάν τις ἐρωτήσῃ περὶ τῶν πετομένων τίς οὗτος ὄρνις, ὁ Τελέας ἐρεῖ ταῦτα. οὗτος δὲ διαβάλλεται ὡς μετάβλητος τοὺς τρόπους. πρὸς γὰρ τῇ κιναιδίᾳ καὶ δειλίᾳ καὶ ὀψοφαγίᾳ καὶ νοσφισμῷ καὶ πονηρίᾳ, ὀνειδίζουσι τὸν Τελέαν. Τίς ὄρνις οὗτος ὁ Τελέας. πλάττων σύρφακι. ἐπὶ τοῦ Τελέου νοεῖ μὲν ἕτερα. ἕτερα δὲ τῇ γλώττῃ λέγει. κωμῳδεῖται δὲ εἰς τὰ ἄλλα. σύμμαχος δὲ πρὸς οὐδέν, ἢ ὅτι Τελέας ὄρνεον. ἐπεὶ καὶ ἐν τοῖς ἑξῆς ὄρνεόν τι καταλέγει. Τελέᾳ καὶ τετράδι καὶ ταῶνι καὶ βασιλίσκῳ. Ἀτέκμαρτος. οἷον σημεῖον διὰ τῆς πτήσεως οὐκ ἐμφαίνων. μωμᾷ δὲ ψέγεις. Μίαν πόλιν. καλεῖ πόλιν νῦν τὸ περιέχον ἅπαν. βλέπε νῦν ἄνω ὡς καὶ τὰ ἐν κύκλῳ ἰδεῖν. διαστραφήσομαι δέ, τὸν τράχηλον κλάσω.

Ὠρχιπέδισας. ἀντὶ τοῦ τῶν ὀρχέων ἥψω καὶ κατέσχες αἰσχρῶς. Δειλακρίων δὲ, δειλότατε καὶ κακόδαιμον. ἐν ἤθει δὲ ἢ ἄλλως λέγει. Παρὰ τὴν ἐρυθρὰν θάλασσαν. ἡ ἐρυθρὰ θάλασσα, παρὰ τὸν ἀνατολικὸν ὠκεανόν. κατὰ δὲ ἄλλους τὴν εὐδαίμονα ἀραβίαν λέγει. Ἡ σαλαμινία. δύο εἰσὶ νῆες ὑπηρέτιδες παρὰ τοῖς ἀθηναίοις ἡ πάραλος καὶ ἡ σαλαμινία. ὧν ἡ μὲν σαλαμινία τοὺς ἐγκαλουμένους εἰς κρίσιν ἦγεν. ἡ δὲ πάραλος τὰς θεωρίας ἀπῆγεν. τουτέστι τὰ εἰς θυσίαν πεμπόμενα.

οὐκ ὠρχιπέδισας, ὢν ἐμοὶ πατρικὸς φίλος.
Ἐπ. ὦ δειλακρίων σὺ, τῶν κακῶν οἵων ἐρᾷς.
ἀτὰρ, ἔστι γ' ὁποίαν λέγετον εὐδαίμων πόλις,
παρὰ τὴν ἐρυθρὰν θάλατταν. Ευ. οἴμοι. μηδαμῶς
ἡμῖν παρὰ τὴν θάλατταν, ἵν' ἀνακύψεται (ὡς.
κλητῆρ' ἄγουσ' ἕωθεν ἡ σαλαμινία.
ἑλληνικὴν δὲ πόλιν ἔχεις ἡμῖν φράσαι,
Ἐπ. τί οὐ τὸν ἠλεῖον λέπρεον οἰκίζετον,
ἐλθόνθ'. Ευ. ὅτι νὴ τοὺς θεοὺς ὅς οὐκ ἰδὼν
βδελύττομαι τὸν λέπρεον ἀπὸ μελανθίου.
Ἐπ. ἀλλ' εἰσὶν ἕτεροι τῆς λοκρίδος ὀπούντιοι.
ἵνα χρὴ κατοικεῖν. Ευ. ἀλλ' ἔγωγ' ὀπούντιος.
οὐκ ἂν γενοίμην ἐπὶ ταλάντῳ χρυσίου.
οὗτος δὲ δὴ τίς ἔσθ' ὁ μετ' ὀρνίθων βίος.
σὺ γὰρ οἶσθ' ἀκριβῶς. Ἐπ. οὐκ ἄχαρις ἐς τὴν τρι (βήν.
οὗ πρῶτα μὲν δεῖ ζῆν ἄνευ βαλαντίου.

Τί οὐ τὸν ἠλεῖον λέπρεον. καθ' ὕφεσιν τοῦ ι, τὸ λέπρεον εἶπεν. ἔστι δὲ τῆς τριφυλλίας, πολίχνιον τῆς πελοποννήσου. δίδυμος δέ φησι λέπρεον ὠνομάσθαι, ἢ διὰ τὴν χώραν αὐτὸ λεπτὴν. διαφαίνονται γὰρ ἐκ τῆς ὀρεινῆς. πέτρας γὰρ εἶναι αὐτόθι ποικίλας χρώματι καὶ διαλεύκους, ὁμοίας τοῖς τὰς ὄψεις λεπροῖς οὖσι. καὶ διὰ τοῦτο οὕτως ὠνομάσθαι ἐκ τοῦ πάθους. ἢ διὰ τὸ τοὺς πρώτως οἰκήσαντας τὴν πόλιν, ταύτῃ τῇ νόσῳ κατεσχῆσθαι. τοὺς οὖν πλησιοχώρους λεπρεώτας αὐτοὺς καλεῖν. τοὺς δὲ, μὴ βουλομένους δοκεῖν ἄχθεσθαι τῷ ὀνόματι, λέπρεον τὴν πόλιν καλέσαι. οὐδετέρως γὰρ λέγεται ἡ πόλις τὸ λέπρεον. ὁ δὲ ἀρσενικῶς εἶπεν. Ὅς οὐκ ἰδών. ἀντὶ ἐξ ἀκοῆς μαθών. πλεονάζει δὲ τὸ ς. Ἀπὸ μελανθίου. μελάνθιος ὁ τραγικὸς κωμῳδεῖται λεπρὸς καὶ κακοπράγμων. κωμῳδεῖται γὰρ εἰς μαλακίαν καὶ ὀψοφαγίαν. πλάτων δὲ αὐτὸν ἐν σκύθαις ὡς λάλον σκώπτει. καλλίας πεδήταις· τίς ἄρα τοὺς μελανθίους. τῷ γνώσομαι. οὓς ἂν μάλιστα λευκοπρώκτους ἴδῃς. εἶχε δὲ μελάνθιος, λέπραν. ἐκωμῳδεῖτο δὲ καὶ εἰς μαλακίαν. Ἀλλ' εἰσὶν ἕτεροι. λείπει τόποι. ὀποῦς δὲ πόλις λοκρίδος. ἧς μέμνηται ὅμηρος ἐν τῷ καταλόγῳ. ὀπόεντά τι καλλίαρόν τε. Ἀλλ' ἔγωγ' ὀπούντιος. οὗτος σμικρὸς καὶ μονόφθαλμος. ἔπαιζεν οὖν ὅτι οὐκ ἂν γενοίμην τυφλός. Ἄλλως. ὅτι ἑτερόφθαλμός τις ἦν. ὅθεν οὕτω τοὺς τυφλοὺς φασίν. Ἐς τὴν τριβήν. ἀπὸ μεταφορᾶς τῶν ἱματίων. τῶν ὑπουργούντων εἰς τρίψιν καὶ φόρεσιν πολλοῦ χρόνου.
Ἄλλως. ὡς ἐπὶ ἐσθῆτος ἡ μεταφορὰ. ἀντὶ τοῦ εἰς τὴν διατριβήν. Ἄνευ βαλαντίου. ἀντὶ τοῦ ἄνευ ἀργυρίου καὶ δαπάνης.

αἰθέραχνον καὶ αἰθρόχειν καλούμενον, οὕτως ᾠόν τὸ ἐπισύρειν καὶ ἐπισείειν ἐπὶ τοῦ αὐτοῦ μετέχεσθαι. καὶ τρίτην προσλαμβάνουσα ἐπισύρειν οἱ κατὰ λιβύην τὸ ἐκ τῶν κωδίων, τὸ ἀμπεχόνιον καλούμενον. Ἐγκατακλιθῆναι. οὕτως ἀττικοί. ὡς ἐν νεφέλαις. ἀλλ' ἐγκατακλινῆ δεῦρί. τὸ δὲ ἀπὸ κοινοῦ τουτέστι τὸ ἐγκατακλιθῆναι. Τῶν κραναῶν. τῶν ἀθηνῶν. διὰ τὸ τραχὺ καὶ λεπτόγεων. ἢ ἀπὸ κραναοῦ βασιλέως. Προσφορωτέραν δὲ νῷν. ἀντὶ τοῦ ἡμῖν ἐπιτηδείαν, ἄλλην ζητοῦμεν. Ἀριστοκρατεῖσθαι. ἀντὶ τοῦ ὀλιγαρχεῖσθαι. ἀριστοκράτης δὲ σκελλίου υἱός, ἐπεβούλευσεν εἰς κατάλυσιν τῷ δήμῳ. Ἄλλως. ἀρίστους κεκριμένους θέλεις ἔχειν ἄρχοντας τοῦ δήμου καὶ τῆς πόλεως. οἵα ἡ παρὰ λακεδαιμονίοις πολιτεία ἦν. ἡ γὰρ τῶν ἀθηναίων δημοκρατία ἦν. Καὶ τὸν σκελλίου. παρὰ τὸ ὄνομα πέπαιχεν. ἐπεὶ ἀριστοκράτης σκελλίου υἱὸς ἦν. ὃν ὁ ῥήτωρ δημοσθένης ἔγραψεν. ἀριστοκρατία δὲ, ἡ ὀλιγαρχία. οὕτως οὖν φησὶ μισῶ τὴν ἀριστοκρατίαν, ὅτι καὶ τὸν ἀριστοκράτην. ὅτι κέκληται τῷ ὀνόματι τούτῳ. Ἐπὶ τὴν θύραν μου πρωΐ. νῦν οὐ τὴν πρωΐαν. ἀλλὰ ἴσον τῷ, ἐν ὥρᾳ πρωΐ. οὕτω γὰρ δεῖ τὸ πρωΐ. διὸ ὀξύνεται. τὸ δὲ πρῷ περισπᾶται. Λουσάμενα πρῴ. οὕτως ἀττικοί. ὀξύνεται δὲ καὶ τὸ ι ἔχει ἀπὸ τοῦ πρωΐ γινόμενον. ὡς ἀπὸ βαρείας καὶ ὀξείας ὄν. ὡς τὸ ἑσταώς, ἑστώς. Μή μοι τότ' ἔλθῃς. παροιμία ἐπὶ μὴ συνερχομένων τοῖς φίλοις ἐν κινδύνοις. παίζει δὲ, εἰς τὸ ἐναντίον. ἡ γὰρ παροιμία. μή μοι τότ' ἔλθῃς. ὅταν ἐγὼ πράττω καλῶς. Ταλαιπώρων. ἐν εἰρωνείᾳ. Ὦ στιλβωνίδη ὦ λαμπρέ. ὦ ἀπὸ βαλανείων κεκαλλωπισμένε. ἢ στίλβωνος παῖδα. σύρει δὲ τοῦτον. ὡς παῖδα ἔχοντα. Οὐκ ἔκυσας, οὐ προσεῖπας. ὁ μὲν, τὰς τῆς γαστρὸς τρυφὰς ἐβούλετο. ὁ δὲ τὰς αἰσχρὰς ἡδονάς. προσηγάγου δὲ, ἀντὶ τοῦ πρὸς ἑαυτὸν ἔλαβες εἰς συνουσίαν.

ὥσπερ σισύραν ἐγκατακλιθῆναι μαλθακήν.
Ἔπο. ἔπειτα μείζω τῶν κραναῶν ζητεῖς πόλιν;
Εὐ. μείζω μὲν οὐδέν. προσφορωτέραν δὲ νῷν.
Ἔπο. ἀριστοκρατεῖσθαι δῆλος εἶ ζητῶν. Εὐ. ἐγώ,
ἥκιστα. καὶ τὸν σκελλίου βδελύττομαι.
Ἔπο. ποίαν τιν' οὖν ἥδιστ' ἂν οἰκοῖτ' ἂν πόλιν.
Εὐ. ὅπου τὰ μέγιστα πράγματ' εἴη τοιάδε.
ἐπὶ τὴν θύραν μου πρῴ τις ἐλθὼν τῶν φίλων,
λέγοι μοι ταδί. πρὸς τοῦ διὸς τοὐλυμπίου.
ὅπως παρέσει μοι καὶ σὺ καὶ τὰ παιδία.
λουσάμενα πρῴ. μέλλω γὰρ ἑστιᾶν γάμους
καὶ μηδαμῶς ἄλλως ποιήσῃς. εἰ δὲ μή,
μή μοι τότ' ἔλθῃς ὅταν ἐγὼ πράττω κακῶς.
Ἔπο. νὴ δία ταλαιπώρων γε πραγμάτων ἐρᾷς
οἷον σύ. Πει. τοιούτων ἐρῶ κἀγώ. Ἔπο. τίνων,
Πει. ὅπου ξυναντῶν μοι ταδί τις μέμψεται.
ὥσπερ ἀδικηθεὶς παιδὸς ὡραίου πατήρ,
καλῶς γέ μοι τὸν υἱὸν ὦ στιλβωνίδη
εὑρὼν ἀπιόντ' ἀπὸ γυμνασίου λελουμένον,
οὐκ ἔκυσας. οὐ προσεῖπας. οὐ προσηγάγου.

Τοιαῦτα μέντοι. ἐν γὰρ τῷ Τηρεῖ Σοφοκλῆς ἐποίησεν αὐτὸν ἀπορνιθωμένον καὶ τὴν Πρόκνην. ἐν ᾧ ἔσκωψε πολλὰ τὸν Τηρέα. Πότερον ὄρνις. ἔπαιξε. δέον εἰπεῖν ἄνθρωπος. ἢ ταῶς. ὀξύνεται δὲ καὶ περισπᾶται. ὁ μῦθος δέ, λέγει τὸν Ἄργον εἰς ταῶνα μεταβεβλῆσθαι. διὰ τοῦτο φησί. πότερον ὄρνις εἶ, σὺ ὁ λεγόμενος Τηρεὺς παρὰ τὸ τηρεῖν τὴν Ἰώ. ἢ ταῶς. ἢ ἔπαιξε τὸ γενικὸν εἰπών. εἶτα ἐπαγαγὼν τὸ εἰδικόν. τὸ δὲ ὄνομα περισπῶσιν οἱ Ἀττικοί. Ἐξερρύηκε. παρόσον ἄνθρωπος ἐξελήλυθε. μὴ ἔχων πτερὰ πλὴν τῆς κεφαλῆς ἐπτερωμένης ὄρνιθος.

Ἐπ. τοιαῦτα μέντοι Σοφοκλέης λυμαίνεται
ἐν ταῖς τραγῳδίαισιν ἐμὲ τὸν Τηρέα.
Ευ. Τηρεὺς γὰρ εἶ σύ; πότερον, ὄρνις, ἢ ταῶς.
Ἐπ. ὄρνις ἔγωγε. Ευ. κᾆτά σοι ποῦ τὰ πτερά.
Ἐπ. ἐξερρύηκε. Ευ. πότερον, ὑπὸ νόσου τινός;
Ἐπ. οὔκ. ἀλλὰ τὸν χειμῶνα πάντα τὤρνεα
πτερορρυεῖ τε, κᾆθις ἕτερα φύομεν.
ἀλλ' εἴπατόν μοι σφώ, τίν' ἐστόν. Ευ. νώ, βροτώ.
Ἐπ. ποδαπὼ τὸ γένος. Ευ. ὅθεν αἱ τριήρεις αἱ καλαί.
Ἐπ. μῶν ἡλιαστά. Ευ. μάλλα θατέρου τρόπου.
ἀπηλιαστά. Ἐπ. σπείρεται γὰρ τοῦτ' ἐκεῖ
τὸ σπέρμ'. Ευ. ὀλίγον ζητῶν ἂν ἐξ ἀγροῦ λάβοις.
Ἐπ. πράγους δὲ δὴ τοῦ, δεομένω δεῦρ' ἤλθετον.
Ευ. σοὶ ξυγγενέσθαι βουλομένω. Ἐπ. τίνος πέρι.
Ευ. ὅτι πρῶτα μὲν ἦσθ' ἄνθρωπος, ὥσπερ νώ ποτε.
κἀργύριον ὠφείλησας ὥσπερ νώ ποτε.
κοὐκ ἀποδιδοὺς ἔχαιρες ὥσπερ νώ ποτε,
εἶτ' αὖθις ὀρνίθων μεταλλάξας φύσιν,
καὶ γῆν ἐπέπτου καὶ θάλατταν ἐν κύκλῳ.
καὶ πάνθ' ὅσαπερ ἄνθρωπος, ὅσα τ' ὄρνις φρονεῖς.
ταῦτ' οὖν ἱκέται νώ, πρὸς σὲ δεῦρ' ἀφίγμεθα.
εἴ τινα πόλιν φράσειας ἡμῖν εὔερον.

Νὼ βροτώ. πρὸς τὴν παράθεσιν τῶν λέξεων. ὅτι ἐκ παραλλήλου ἡ διαφορὰ δηλοῦται. τὸ δὲ χ, πρὸς τὸ σημειῶσαι τῶν δυϊκῶν. Ὅθεν αἱ τριήρεις αἱ καλαί. ἀντὶ τοῦ ἐξ Ἀθηνῶν. μέγα γὰρ ἐφρόνουν Ἀθηναῖοι ἐπὶ ναυμαχίᾳ. Ἡλιαστά. δικασταί. ἀπὸ τοῦ μεγάλου δικαστηρίου τῆς ἡλιαίας. οὕτω δὲ ἐκλήθη, διὰ τὸ ἐν ὑπαίθρῳ εἶναι καὶ ἐν ἡλίῳ θάλλεσθαι.

Μάλλα θατέρου τρόπου πέπονθε. κεῖται δὲ ἀντὶ τοῦ οὐκ. ἀλλὰ θατέρου τρόπου. τουτέστι μισόδικοι. Ὀλίγον ζητῶν. τοῦτο λέγει ὅτι ἄγροικοι μόνοι εἰσίν, οἱ μισοδικασταί, ὡς ὀλίγων ὄντων τῶν μισοδίκων καὶ τῶν ἀγροίκων. ἀεὶ δέ, τούς τε ἱππεῖς ἐπαινεῖ ἅμα. καὶ ὅτι τὰ σπανίζοντα τῶν σπερμάτων, μᾶλλον παρὰ τοῖς ἀγροίκοις εὑρίσκονται. Εὔερον. οἷον μαλακὴν ὥσπερ σισύραν εὐέριον. Πλάτων. καὶ ποῦ τὸν εὐερίας ἀπολέλαυκεν ὁ Ὑπέρβολος, ὥς τε αὐχμώτατός ἐστι. Κρατῖνος. γλῶσσαι εὐσήρων βοτῶν λέγει δὲ περὶ τῶν προβάτων. Σισύραι. διαφέρουσι σισύρνα. καὶ σισύρα καὶ σίσυς. σισύρα μέν ἐστι, τὸ ἐξ αἰγείων δερμάτων ἔχον ἔτι τὰς τρίχας σκέπασμα. τὴν δὲ σισύρναν οἱ κατὰ Λιβύην λέγουσι τὸ ἐκ τῶν κωδίων ῥαπτόμενον ἀμπεχόνιον. σίσυς δέ ἐστι παχυμάτιον εὐτελές. μακρόν. ἐπιτήδειον εἰς ἐνάπτεσθαι οἷον ἐστὶ ὠμίδαν. Ἐρατοσθένης δέ φησιν ὅτι καθάπερ τὸ δένδρον τὸ αὐτὸ καὶ

253. b.

Ἔτνους δ' ἐπιθυμεῖ. ἀθάρας. τορύνη δὲ λέγεται, τὸ κινητήριον τῆς χύτρας. σημειωτέον δὲ, ὅτι τορύνη πάντα χοῦ ἐκτέταται εἰ μὴ παρ' ἀντιφάνει, ὡς ἔρηται. Τροχίλος ὄρνις οὑτοσί. ἐπεὶ συνεχῶς πρόσεισι. δ' τρέχω παρὰ τὸ τρέχω τροχίλος εἰπών. ἔστι δὲ καὶ ὄρνεον τροχίλος. καὶ λέγεται εἶναι ἔνυδρον. ἀξιοῦσι δέ τινες, τὴν μέσην ὀξύνειν. Μύρτα καὶ σέρφους. σέρφος σκωληκῶδες ζωύφιον. ἢ μυρμηκῶδες. ταῦτα δὲ νέμονται τὰ ὄρνεα. καὶ ἡ παροιμία, ἔνεστι καὶ μύρμηκι καὶ σέρφῳ χολή. νικοφῶν ἐν ἀφροδίτης γοναῖς. ἀπὸ ἐσθίει ταῦτα τὰ πονηρὰ ὀρνίθια. σέρφους ἴσως σκώληκας. ἀκρίδας. πάρνοπας. μύρτα δὲ, ὁ τῆς μυρτίνης καλεῖται καρπός. ὅς ἐστιν οἰκεῖος ὄρνισιν εἰς τὸ ἐσθίειν. Κακῶς σύ γ' ἀπόλοιο. πρὸς τὸν θεράποντα ἔποπος λέγει εἰσελθόντα καὶ κεχηνότα. Ὑπὸ τοῦ δέους. ἰδὼν γὰρ τὸν δοῦλον κεχηνότα ἐφοβήθη. Ἀπέπτατο. εἰς τὸ αὐτὸ καὶ τήνησε τοῦ γελοίου χάριν. Ὡς ἀνδρεῖος εἶ. ὡς πολύ. ἐν εἰρωνίᾳ δέ. Ἄνοιγε τὴν ὕλην. δέον εἰπεῖν τὴν θύραν. ἀλλ' ἐν ὕλαις διάγουσιν οἱ ὄρνιθες. Τίς ἡ πτέρωσις. ἐπειδὴ ὁρῶσι ξένην ὄψιν τοῦ ἔποπος κατὰ πλῆθος. ἔστι γὰρ τῇ πτερώσει τὸ ὄρνεον καταπυκνον. καὶ ἱερεῖς ἔχον ἄκρας ἐν τῷ λόφῳ.

Ἔτνους δ' ἐπιθυμεῖ, δεῖ τορύνης καὶ χύτρας,
τρέχω 'πὶ τορύνην. Εὐε. τροχίλος ὄρνις οὑτοσί
οἶσθ' οἶσθ' ὃ δρᾶσον, ὦ τροχίλε; τὸν δεσπότην
ἡμῖν κάλεσον. Τρο. ἀλλ' ἀρτίως νὴ τὸν δία
εὕδει καταφαγὼν μύρτα καὶ σέρφους τινάς.
Εὐ. ὅμως ἐπέγειρον. Τρο. οἶδα μὲν σαφῶς,
ὅτι ἀχθέσεται. σφῷν δ' αὐτὸν εἵνεκ' ἐπεγερῶ.
Πει. κακῶς σύ γ' ἀπόλοι'. ὥς μ' ἀπέκτεινας δέει.
Εὐ. οἴμοι κακοδαίμων. χὠ κολοιός μ' οἴχεται
ὑπὸ τοῦ δέους. Πει. ὦ δειλότατον σὺ θηρίον
δείσας ἀφῆκας τὸν κολοιόν; Εὐ. εἰπέ μοι.
σὺ δὲ τὴν κορώνην οὐκ ἀφῆκας καταπεσών;
Πει. μὰ δί' οὐκ ἔγωγε. Εὐε. ποῦ γάρ ἐστιν. Πει. ἀπέπτατο.
Εὐ. οὐκ ἄρ' ἀφῆκας ὦ 'γάθ' ὡς ἀνδρεῖος εἶ.
Ἔπο. ἄνοιγε τὴν ὕλην ἵν' ἐξέλθω ποτέ.
Εὐ. ὦ ἡράκλεις. τουτὶ τί ποτ' ἐστὶ θηρίον.
τίς ἡ πτέρωσις. τίς ὁ τρόπος τῆς τριλοφίας.
Ἔπο. τίνες εἰσί μ' οἱ ζητοῦντες. Εὐε. οἱ δώδεκα θεοί,
εἴξασιν ἐπιτρίψαι σε. Ἔπο. μῶν με σκώπτετον.
ὁρῶντε τὴν πτέρωσιν; ἦν γάρ ὦ ξένοι
ἄνθρωπος. Εὐε. οὐ σοῦ καταγελῶμεν. Ἔπο. ἀλλὰ τοῦ;
Εὐ. τὸ ῥάμφος ἡμῖν σου γελοῖον φαίνεται.

Τίνες εἰσί μ' οἱ ζητοῦντες. εὐθὺς οἰωνιζόμενοι εἰώθασι λέγειν πρὸς τὸ, τίς ὁ ζητῶν θεοῦ τινὸς ὄνομα. ἢ ὑγείαν. ἢ τι τοιοῦτον. καὶ νῦν οἷον ἔφη τίνες οἱ ζητοῦντές με πρὸς ὃ ἐπάγει. οἱ δώδεκα θεοί. τὸ δὲ ἑξῆς παρ' ὑπόνοιαν. ἐπεὶ ἔκσκυλος αὐτοῖς φαίνεται.

Εἴξασιν ἐπιτρίψαι σε. δύναται μὲν ἐπὶ τοῦ ἔποπος λέγειν, οὕτοι ζητοῦσί σε ἐπιτρίψαι διὰ τὴν ὄψιν. δύναται δὲ, ἐφ' ἑαυτῶν λέγειν. ἐοίκασιν οὗτοι ὑμᾶς ἐπιτετρίφέναι ὧδε ἐλθόντας, εἰ ἐφόβει αὐτοὺς τὸ πρόσωπον. τὸ δὲ εἴξασιν, ἢ ἐοίκασιν ἢ παρεγένοντο.

Τίνες οὗτοι. τροχίλος τις τῶν ὀρνέων, ἀκούει οἰκέτης τοῦ ἔποπος. Τοῦ χασμήματος. ἐπεὶ πρόσωπον ὀρνέου ἐποίησεν, ὁ ὑποκριτὴς ἔχοντος τὸ ῥάμφος κεχηνὸς διὰ τοῦτο εἶπεν χασμήματος. Ὀρνιθοθήρα. νομίζει τοὺς ἄνδρας διὰ τὸ θηρᾶσαι τὰ ὄρνεα ἐληλυθέναι. Οὕτω τι δεινόν. τὸ κάλλιον. ἀντὶ τοῦ ἀπολύτου κεῖται. ἀντὶ τοῦ οὐδὲ καλὸν λέγειν. τὸ ἡμᾶς ὑποπτεύεσθαι τοιούτους εἶναι. ἑωρακὼς δὲ αὐτὸν φοβούμενον τοῦτό φησιν. οὕτω δεινὸν πρᾶγμά ἐστιν οἱ ὀρνιθοθῆραι. οὐκ ὤφειλες οὐδὲ ἡμῖν εἰπεῖν. οἱ δέ, ἐν ἤθει τὸν λόγον ἀκούουσιν οὕτω. οὕτως ἐστί τι δεινὸν ὃ δὲ κάλλιον λέγειν. τουτέστιν οὕτω δεινὸν ἐχόμενον ἐκ τῆς ὄψεως, ὥστε ὀρνιθοθήρας νομίζεσθαι. οὐ γὰρ λέγειν σε τοῦτό ἐστι κάλλιον, ὅτι ἐσμὲν ὀρνιθοθῆραι. Ὑποδεδιώς. ὄνομα ἔπλασεν ὀρνέου ὑποδεδιάς. λιβυκὸν δέ, ἐπεὶ οἱ λίβυες βάρβαροι καὶ δειλοί. ἢ ἐπεὶ πολύορνις ἡ λιβύη. Τὰ πρὸς ποδῶν. ὑπὸ τοῦ φόβου ἀδιανόητα ἐφθέγξατο. ἤ φησιν ἐρώτα τὰ πρὸς ποδῶν σου ὄρνεα εἰ βούλει περὶ ἐμοῦ. ἢ ἀπὸ τῶν ποδῶν ἡμῶν, ὅτι ὄρνεά ἐσμεν, μάνθανε. Ἄλλως. γράφεται ἐρώτα τὰ πρὸς ποδῶν. ὅτι σαφέστερον καὶ τάχα ἂν εἴη κατὰ τὴν παλαιὰν σημασίαν τὸ ἔρεο ἔρου. μετεβλήθη δὲ εἰς τὸ ω. ἐνιαχοῦ δὲ γράφεται. καὶ μὴν ἐρώτα πρὸς τίνων. ἔστι δὲ καὶ τὸ ὅλον λόγον οὐκ ἔχον καὶ ἔτι τὸ καὶ μὴν ἀκαίρως ἔσται λεγόμενον. κάλλιον οὖν τὰ πρὸς ποδῶν. πυνθάνου τῶν ποδῶν. ὅτι ὄρνεά ἐσμεν. λέγει δέ, ὡς ὑπὸ τοῦ δέους ἐναφεικώς. Ἐπικεχοδώς. καὶ τοῦτο ὡς ὄρνιθος ἔπαιξε παρὰ τὸ φαίνεσθαι αὐτοῦ τὸ σκῶρ. φασιανὸς δὲ συκοφάντης παρὰ τὸ φαίνειν μετὰ φασιανῶν εὑρισκόμενος. Τί θηρίον ποτ' εἶ. δέον εἰπεῖν ὄρνεον πρὸς τὸ τερατικὸν τοῦ σχήματος θηρίον εἶπεν. Ὄρνις ἔγωγε δοῦλος. σημείωσαι ὅτι καὶ τὴν θήλειαν τὸ ὄρνις ἐκτείνουσιν ἀττικοί. Ἀλεκτρυόνος. φυσικὸν τοῦτο ἐν ταῖς συμβολαῖς τῶν ἀλεκτρυόνων, τοὺς ἡττηθέντας ἕπεσθαι τοῖς νενικηκόσι. καὶ θεόκριτος ὀρνίθων φοινικολόφων· τοιοὶ δὲ κυδοιμοί. Φαληρικὰς ἀφύας. ὅτι πληθυντικῶς λέγουσι τὰς ἀφύας. ἀρίσταρχος δὲ οὐκ ἀποδέχεται πληθυντικῶς. διὸ τὸ χ. φαληρεὺς δέ, λιμὴν τῆς ἀττικῆς.

ἐποποῖ. Θε. τίνες οὗτοι. τίς ὁ βοῶν τὸν δεσπότην.
Εὐ. ἄπολλον ἀποτρόπαιε, τοῦ χασμήματος.
Θε. οἴμοι τάλας. ὀρνιθοθήρα τουτωί.
Εὐ. οὕτω τι δεινόν, οὐδὲ κάλλιον λέγειν.
Θε. ἀπολεῖσθον. Εὐ. ἀλλ' οὐκ ἐσμὲν ἀνθρώπω. Θε. τί δαί.
Εὐ. ὑποδεδιὼς ἔγωγε λιβυκὸν ὄρνεον.
Θε. οὐδὲν λέγεις. Εὐ. καὶ μὴν ἐροῦ τὰ πρὸς ποδῶν.
Θε. ὁδὶ δὲ δὴ τίς ἐστιν ὄρνις; οὐκ ἐρεῖς;
Πει. ἐπικεχοδὼς ἔγωγε φασιανικός.
Εὐ. ἀτὰρ σὺ τί θηρίον ποτ' εἶ πρὸς τῶν θεῶν.
Θε. ὄρνις ἔγωγε δοῦλος. Εὐ. ἡττήθης τινὸς
Ἀλεκτρυόνος; Θε. οὐκ. ἀλλ' ὅτε περ ὁ δεσπότης
ἔποψ ἐγένετο, τότε γενέσθαι μ' ηὔξατο
ὄρνιν. ἵν' ἀκόλουθον διάκονόν τ' ἔχῃ.
Εὐ. δεῖται γὰρ ὄρνις καὶ διακόνου τινός;
Θε. οὗτός γ' ἅτ' οἶμαι πρότερον ἄνθρωπός ποτ' ὤν,
τότε μὲν ἐρᾷ φαγεῖν ἀφύας φαληρικάς,
τρέχω 'π' ἀφύας ἐγώ, λαβὼν τὸ τρύβλιον.

Ἐναποτῖσαι χρήματα· παρ' ὑπόνοιαν ἀντὶ τοῦ ἐμβιῶναι καὶ οἰκεῖν, εἶπεν ἐναποτῖσαι χρήματα. εἰς τὸ φιλόδικον τῶν ἀθηναίων, ὅτι συκοφαντούμενοι οἱ πολλοὶ ἀπέτινον χρήματα. Οἱ μὲν γὰρ οὖν τέττιγες· παρὰ τοῦτο καὶ ὁ φιλήμων· ἡ μὲν χελιδὼν, αὐτὸ θέρος ὦ γύναι λαλεῖ. τὸ δὲ ἐπὶ τῶν κραδῶν, ὅτι ἀπὸ ἑνὸς τὰ ἄλλα πάντα δένδρα ἐμφαίνει. κράδη δὲ ἡ συκῆ. Τόνδε τὸν βάδον· ἐν παιδιᾷ παρεσχημάτισται, ὡς ἀπὸ τοῦ πατεῖν πάτος, οὕτως ἀπὸ τοῦ βαδίζειν βάδος. ὅμηρος· πάτον ἀνθρώπων ἀλεείνων. Ἄλλως· εἴρηται μὲν ὁ βάδος ὅμως γε μὴν οἱ κωμικοὶ παίζειν εἰώθασι τὰ τοιαῦτα. ὡς εὔπολις, χρυσῷ γένει τι σοφῶν ὦ ῥαψῳδέ.

καὶ πᾶσι κοινὴν ἐναποτῖσαι χρήματα.
οἱ μὲν γὰρ οὖν τέττιγες, ἕνα μῆν' ἢ δύο
ἐπὶ τῶν κραδῶν ᾄδουσιν. ἀθηναῖοι δ' ἀεὶ
ἐπὶ τῶν δικῶν ᾄδουσι πάντα τὸν βίον.
διὰ ταῦτα τόνδε τὸν βάδον βαδίζομεν,
κανοῦν δ' ἔχοντε καὶ χύτραν, καὶ μυρρίνας,
πλανώμεθα, ζητοῦντε τόπον ἀπράγμονα,
ὅποι καθιδρυθέντε, διαγενοίμεθ' ἄν.
ὁ δὲ στόλος νῷν ἐστι παρὰ τὸν τηρέα
τὸν ἔποπα παρ' ἐκείνου πυθέσθαι δεομένω.
εἴ που τοιαύτην οἶδε πόλιν ᾗ 'πέπτατο.
Πε. οὗτος. Ευ. τί ἐστιν. Πε. ἡ κορώνη μοι πάλαι
ἄνω τι φράζει. Ευ. χὠ κολοιὸς οὑτοσὶ
ἄνω κέχηνεν ὡσπερεὶ δεικνύς τί μοι.
κοὐκ ἔσθ' ὅπως οὐκ ἔστιν ἐνταῦθ' ὄρνεα.
εἰσόμεθα δ' αὐτίκ' ἂν ποιήσωμεν ψόφον.
ἀλλ' οἶσθ' ὃ δρᾶσον; τῷ σκέλει θένε τὴν πέτραν.
Πε. σὺ δὲ τῇ κεφαλῇ γ' ἵν' ᾖ διπλάσιος ψόφος.
Ευ. σὺ δ' οὖν λίθῳ κόψον λαβών. Πει. πάνυ γ' εἰ δοκεῖ.
Ευ. παῖ. παῖ. τί λέγεις οὗτος τὸν ἔποπα παῖ καλεῖς;
οὐκ ἀντὶ τοῦ παιδός γ' ἐχρῆν ἐποποῖ καλεῖν;
Ευ. ἐποποῖ. ποιήσεις τί με κόπτειν αὖθις αὖ.

Κανοῦν δ' ἔχοντε· τὰ πρὸς θυσίαν κομίζουσιν, ἵνα οἰκήσαντες ἐν τῷ ἱδρυσθῆναι θύσωσιν. ὅτι δὲ χύτραις ἵδρυον, καὶ ἐν εἰρήνῃ. δίδυμος δέ φησιν ἀμυντήρια τῶν ὀρνέων αὐτὰ βαστάζειν. ἀντὶ ὅπλου μὲν τὸ κανοῦν· περικεφαλαίας δὲ τὴν χύτραν. ἵνα μὴ ἐφιστάμενα τὰ ὄρνεα τύπτῃ αὐτούς. τὰς δὲ μυρρίνας πρὸς τὸ ἀποσοβεῖν. Ὅποι καθιδρυθέντε· τοῦτο πρὸς τὰ ἔμπροσθεν, ἀνεπτόμεσθα δ' ἐκ τῆς πατρίδος ἀμφοῖν ποδοῖν εἶτα ἐφεξῆς, κανοῦν δ' ἔχοντε. καὶ τὰ ἑξῆς. τὰ δὲ ἄλλα, μεταξὺ εἴρηται. Ἄνω τι φράζει· ὡς ἄνω αὐτῆς νευούσης ἐπί τινα τόπον ὑψηλόν. Τῷ σκέλει θένε τὴν πέτραν· πρὸς τὴν τῶν παίδων συνήθειαν τοῦτο λέγει. φασὶ γὰρ ἐκεῖνοι πρὸς ἀλλήλους ἰδόντες ὄρνεα δὸς τὸ σκέλος τῇ πέτρᾳ καὶ πεσοῦνται τὰ ὄρνεα. τὸ δὲ ἀλλ' οἶσθ' ὃ δρᾶσον ἀττικὴ φράσις. πρὸς δὲ τὸ εἰρημένον παίζων αὖθις εἶπε σὺ δὲ τῇ κεφαλῇ. Τὸν ἔποπα παῖ καλεῖς· οὐ πιθανῶς φησιν ἐπὶ ὀρνέου οἰκίαν ἐλθόντα παῖ παῖ καλεῖν. οὐ γάρ εἰσιν ἄνθρωποι, ὥστε καὶ παῖδας ἔχειν. Ἐποποῖ· σύμμαχος καὶ δίδυμος προπαροξύνουσιν. οἱ δὲ, περισπῶσιν. ἵν' ᾖ ἐπίρρημα ἀντὶ τοῦ ἔποπι. εἰ δὲ προπαροξύνοιτο, δῆλον ὅτι ἐσχημάτισται ἀπὸ εὐθείας τῆς ἔποπος.

Ἄλλως. ἄδηλον εἰ ἀσωπόδωρον λέγει ὃς κωμῳδεῖται ἐπὶ σμικρότητι σώματος. ἦν δὲ καὶ ὁ θαρρελείδης μικρός. Ἄλλως. οἱ μὲν πλείους ὑπειλήφασιν υἱόν τινα εἶναι θαρρελείδου βραχὺν καὶ παραπλήσιον κολοιῷ, κωμῳδεῖσθαι. οὐκ ἔχομεν δὲ υἱὸν αὐτοῦ διὰ τῆς κωμῳδίας εἰπεῖν. μή ποτε οὖν φησὶ κατὰ περίφρασιν εἴρηκεν θαρρελείδου κολοιόν. ἐν ἴσῳ τῷ θαρρελείδης. ὅς ἐστι κολοιώδης. ἢ ὡς κολοιοὺς αὐτὸν πωλοῦντα διαβάλλει. Ἄλλως. ὁ τοῦ θαρρελείδου υἱὸς ἐγένετο κολοιός.

Τὼ δ' οὐκ ἄρ' ἦστην οὐδὲν ἄλλο πλὴν δάκνειν.
καὶ νῦν τί κέχηνας ἔσθ' ὅποι κατὰ τῶν πετρῶν.
ἡμᾶς ἔτ' ἄξεις, οὐ γάρ ἐστ' ἐνταῦθά τις
ὁδός. Πει. οὐ δὴ μὰ Δί' ἐνταῦθά γ' ἀτραπὸς οὐδα/ (μοῦ.
Ευε. οὐδ' ἡ κορώνη τῆς ὁδοῦ τι λέγει πέρι.
Πει. οὐ. ταὐτὰ κρώζει μὰ Δία νῦν τε καὶ τότε.
Ευε. τί δὴ λέγει περὶ τῆς ὁδοῦ. Πει. τί δ' ἄλλο γ' ἢ,
βρύκουσ' ἀπέδεσθαί φησί μου τοὺς δακτύλους.
Ευε. οὐ δεινὸν οὖν δῆτ' ἐστὶν ἡμᾶς δεομένους
ἐς κόρακας ἐλθεῖν καὶ παρεσκευασμένους,
ἔπειτα μὴ 'ξευρεῖν δύνασθαι τὴν ὁδόν;
ἡμεῖς γὰρ ὦνδρες οἱ παρόντες ἐν λόγῳ
νόσον νοσοῦμεν τὴν ἐναντίαν σάκᾳ.
ὁ μὲν γὰρ ὢν οὐκ ἀστὸς, εἰσβιάζεται.
ἡμεῖς δὲ φυλῇ καὶ γένει τιμώμενοι,
ἀστοὶ μετ' ἀστῶν, οὐ σοβοῦντος οὐδενὸς,
ἀνεπτόμεσθ' ἐκ τῆς πατρίδος ἀμφοῖν ποδοῖν.
αὐτὴν μὲν οὐ μισοῦντ' ἐκείνην τὴν πόλιν.
τὸ μὴ οὐ μεγάλην εἶναι φύσει κεὐδαίμονα.

Τ ὼ δ' οὐκ ἄρ' ἦστην. διὰ τοῦ τ τινὲς ἴστην ἀπὸ τοῦ ᾔδεσαν. τουτέστιν ᾔδεσαν ἔξω τοῦ δάκνειν ἢ ἀπὸ τοῦ ἦσαν. τουτέστιν οὐδὲν ἄλλο ἦσαν ἢ δάκνειν. Καὶ νῦν τί κέχηνας. ὡς τοῦ κολοιοῦ κεχηνότος. κατὰ τῶν πετρῶν. δὲ ὅπου ἐστὶ τόπος πετρώδης. Οὐδὲ μὰ Δί' ἐνταῦθα. ἐδεινοποίησεν. ὡς ἀποκεκλεισμένης πανταχοῦ τῆς ὁδοῦ. ἄλλως δὲ ὀνόματι κέχρηται. Οὐδ' ἡ κορώνη. ὡς ἤδη φθεγξαμένης αὐτῆς. δύναται καὶ ἐρωτηματικῶς καὶ ἀποφαντικῶς. τινὲς γράφουσιν, οὐδ' ἡ κορώνη. βρύκουσα δὲ δάκνουσα παρὰ τὴν βορὰν οἱονεὶ βορύκουσα. Ἐς κόρακας ἐλθεῖν. παίζει. ἐπεὶ εἰς τὰ ὄρνεα βούλεται ἀπελθεῖν. ἐν λόγῳ δὲ ἐν τῇ ὑπολήψει.

Τ ὴν ἐναντίαν σάκα. οὗτός ἐστιν ἀκέστωρ τραγῳδίας ποιητής. ἐκαλεῖτο δὲ σάκας, διὰ τὸ ξένος εἶναι. σάκες γὰρ, θρᾷκες εἰσί. θεόπομπος δὲ, καὶ τὸν πατέρα αὐτοῦ σάκα προσηγόρευσεν ποταμηνόν. ὁ δὲ αὐτὸς καὶ μυσὸν ἐκάλεσεν. εἰς δὲ τὴν ποίησιν αὐτὸν κεχλευάκασι. καλλίας μὲν, ἐν παιδήταις. καὶ σάκον οἱ χοροὶ μισοῦσι. κρατῖνος ἐν κλεοβούλοις. ἀκέστορα γὰρ ὅμως εἰκὸς λαβεῖν πληγὰς, ἐὰν μὴ συστρέψῃ τὰ πράγματα. Οὐ σοβοῦντος. ὡς ἐπὶ ὀρνέων τοῦτό φησι. παύ τις γὰρ σοβοῦσι τὰ ὄρνεα. Ἀνεπτόμεσθ' ἐκ τῆς πατρίδος. τὸ μὲν ἀνεπτόμεσθα, ἀπὸ μεταφορᾶς τῶν ὀρνέων. τὸ δὲ ἀμφοῖν ποδοῖν. ἐκ τῶν ὀρνέων, ἀντὶ τοῦ ἀμφοῖν τοῖν πτεροῖν. ἢ ἐκ τῶν νεῶν. αἱ οὔριοι δραμοῦσαι, ἀμφοῖν τοῖν ποδοῖν πλέουσιν. ὁ δὲ νοῦς, παντὶ σθένει ὅ ἐστι τελέως. προληπτικῶς δὲ τῇ τῶν ὀρνέων χρῶνται μεταφορᾷ. ὡς καὶ αὐτοὶ ὀλίγον ὕστερον ὀρνιθωθησόμενοι.

μένον ἐκβαλεῖν. Ἐντευθενὶ τὴν πατρίδ' ἐρωτηματικῶς. δύναιο δ' ἂν ἐντεῦθεν τὴν πατρίδα ἰδεῖν, τουτέστι τὰς Ἀθήνας. ὡς πολὺ δὲ ἀφεστηκότων ταῦτά φησιν. Ἐ Ἐξηκεστίδης. τοῦτον ὡς ξένον διαβάλλουσι καὶ πλέον τὰς ὁδοὺς γινώσκειν. οἱ γὰρ ξένοι μᾶλλον ἴσασι τὰς ὁδούς. τοῦτο δ' ἂν εἴη μεμνημένος καὶ ἐν τοῖς ἔπειτα, διὰ τούτων. εἰ δὲ δοῦλός ἐστι καὶ γάρ, ὡς περὶ Ἐξηκεστίδης. ἔστι δὲ καὶ ἕτερος ἔχων λύραν ἔργον [illegible] ψίθυρον δι' ἤθη νόμον. μέμνηται δὲ αὐτοῦ καὶ Πλάτων ἐν τῷ δευτέρῳ περὶ τῆς Ἀθηνᾶς ἱερᾶς παρθένους ἐπιδημίας λέγων. ὁ δὲ Ἐξηκεστίδης, κιθαρῳδὸς Πυθιονίκης. νικᾷ δὲ καὶ τὸν τῶν Καρνείων ἀγῶνα, τὸν ἐν Λακεδαίμονι καὶ Παναθήναια δίς. Ἄλλως. ὁ Ἐξηκεστίδης ὡς ξένος κωμῳδεῖται. καὶ Φρύνιχος Μονοτρόπῳ. μεγάλους πιθήκους. οἱ δὲ, ἑτέρους τινὰς λέγειν. Λυκέαν, Τελέαν, Πείσανδρον, Ἐξηκεστίδην. ἀνομοίους εἶπας πιθήκους. ὁ μὲν [illegible]. ὁ δὲ, κόλαξ. ὁ δὲ, νόθος.

Εὐ. Ἐντευθενὶ τὴν πατρίδ' ἂν ἐξεύροις σύ που.
Πει. οὐδ' ἂν μὰ Δία γ' ἐντεῦθεν Ἐξηκεστίδης.
Εὐ. οἴμοι. Πει. σὺ μὲν ὦ τᾶν τὴν ὁδὸν ταύτην ἴθι.
Εὐ. ἦ δεινὰ νὼ δέδρακεν οὑκ τῶν ὀρνέων.
ὁ πινακοπώλης Φιλοκράτης μελαγχολῶν,
ὃς τώδ' ἔφασκε νῷν φράσειν τὸν Τηρέα.
τὸν ἔποφ', ὃς ὄρνις ἐγένετ' ἐκ τῶν ὀρνέων.
κἀπέδοτο τὸν μὲν, Θαρρελείδου τουτονὶ
κολοιὸν, ὀβολοῦ. τηνδεδὶ τριωβόλου.

Σὺ μὲν ὦ τᾶν. παίζων φησί. τουτέστιν εἰς τὴν οἴμοι ὁδὸν βάδιζε. Οὑκ τῶν ὀρνέων. ἀντὶ τοῦ ὀρνεοπώλων. Δίδυμος δὲ, δεινὰ φάσκειν αὐτοὺς ἐκ τῶν ὀρνέων πεπονθέναι. ἐπεὶ Ὀρνεαὶ τῆς Λακωνικῆς εἰσι. πρὸ δὲ ἐτῶν δύο, κακῶς περὶ Μαντίνειαν ἀπήλλαξαν. ὡς καὶ τοὺς στρατηγοὺς ἀποβαλεῖν Λάχητα καὶ Νικόστρατον. καθὰ καὶ Ἀνδροτίων φησίν. Ἄλλως. ὅτι οὕτως ἔλεγον καὶ ἐπὶ τῶν τόπων, ἀντὶ τοῦ ὀρνεοπωλείων. ὡς τῶν χύτρων, ἀντὶ τοῦ χυτροπωλείων. ἡ δὲ ἀναφορὰ, πρὸς τὸ Ὁμηρικόν. δήεις τόν γε σύεσσι παρήμενον. τουτέστι συφεοῖς. ἐξῆς οὖν ἐπάγει. αἱ δὲ, νέμονται πὰρ κόρακος πέτρῃ. Ὁ πινακοπώλης. ὁ ὀρνεοπώλης. ὅτι τὰ λιπαρὰ τῶν ὀρνέων, ἐπὶ πινάκων τιθέντες ἐπώλουν. ἢ πίναξ εἶδος ὀρνέου. Ὃς τώδ' ἔφασκε νῷν. οἱ μὲν φασὶν αὐτὸν διασύρειν τὸν Αἰσώπειον λόγον. καὶ δέον εἰπεῖν τῶν ἀνθρώπων, λέγει ἐκ τῶν ὀρνέων. οἱ δὲ, οὕτως. ὃς ἔφασκε μᾶλλον τῶν ἄλλων ὀρνέων δύνασθαι προηγήσασθαι τῆς ὁδοῦ. καὶ δεῖξαι ἡμῖν αὐτὸν ἐκ τῶν ὀρνέων. οἷον ἐκ τοῦ συστήματος τῶν ὀρνέων ἐν ταὐτῷ ὄντων. Ἄλλως. ἔφασκεν ὁ Φιλοκράτης. τὸ δὲ νῷν. τουτέστιν ἡμῖν δεικτικῶς. σημαίνει ἡμῖν ἐκ τῶν ὀρνέων. τουτέστι διὰ τῶν ὀρνέων. ὅπου τὸν ἔποπα εὑρήσομεν. γράφεται καὶ ὡς τώδε, καὶ διαιροῦσί τινες. καὶ προστιθέασι τὸ ἑξῆς. τὸ ἐκ τῶν ὀρνέων ἀπέδοτο. ἐκ τῶν ὀρνέων, τὸν κολοιὸν καὶ τὴν κορώνην. βιαίως γὰρ πρὸς τοῦτο εἰρῆσθαι σημαίνειν ἡμῖν τὸν ἔποπα ὅς ἐστι. δεῖξαι τὰ ἐκ τῶν ὀρνέων. παρ' ὑπόνοιαν δὲ εἴρηκε τὸ, ὃς ὄρνις ἐγένετ' ἐκ τῶν ὀρνέων. ἔδει γὰρ ἐκ τῶν ἀνθρώπων. Τὸν μὲν Θαρρελείδου. σύμμαχος, Ἀσωπόδωρον. καὶ γὰρ οὗτος ἐπὶ σμικρότητι, ὑπὸ Τηλεκλείδου κεκωμῴδηται. καὶ ὁ κολοιὸς μικρὸς ὤν, ἐκ τῶν πτερῶν τὴν σύστασιν ἔχει.

ἈΡΙΣΤΟΦΑΝΟΥΣ ὌΡΝΙΘΕΣ.

Εὐελπίδης.

ὀ ρθὴν κελεύεις. ἡ εἴσθεσις τοῦ παρόντος δράματος εὐθὺς ἐξ ἀμοιβαίων ἄρχεται προσώπων. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, σπ'. ὧν τελευταῖος ἔσβαινε καὶ ἔγειρε τὴν ἀηδόνα. ἐν εἰσθέσει δὲ μετὰ τὴν ἑξάστιχον κῶλον ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον. καὶ μετὰ τοῦτο ἕτερον ὅμοιον μονόμετρον ἀκατάληκτον. ἐπὶ τῷ πλεῖστον τὴν ἔξω νενευκυῖα. τοῦτο δὲ λέγει, ὁ τὸν κολοιὸν φέρων ὡς ἐν ἀποστάσει τινὶ δένδρου ὄντος καὶ τοῦ κολοιοῦ σημαίνοντος κατ' ἐκεῖνο πορεύεσθαι. πεποίηται δὲ τὰ ὀνόματα τῶν πρεσβυτέρων. τὸ μὲν παρὰ τὸ πείθεσθαι. τὸ δὲ, παρὰ τὸ εὖ ἔχειν τὴν ἐλπίδα.

Πει. Ὀρθὴν κελεύεις ᾗ τὸ δένδρον φαίνεται;

Εὐ. Διαρραγείης. ἥδε δ' αὖ κρώζει πάλιν.

Τί ὦ πόνηρ' ἄνω κάτω πλανύττομεν.

ἀπολούμεθ' ἄλλως τὴν ὁδὸν προφορουμένω.

Πει. Τὸ δ' ἐμὲ κορώνῃ πειθόμενον τὸν ἄθλιον.

ὁδοῦ περιελθεῖν στάδια πλεῖν ἢ χίλια,

Εὐ. Τὸ δ' ἐμὲ κολοιῷ πειθόμενον τὸν δύσμορον.

ἀποσποδῆσαι τοὺς ὄνυχας τῶν δακτύλων.

Πει. ἀλλ' οὐδ' ὅπου γῆς ἐσμὲν οἶδ' ἔγωγ' ἔτι.

Ἥδε δ' αὖ κρώζει. τοῦτο ὁ τὴν κορώνην φέρων, ὡς εἰς τοὐναντίον τῷ κολοιῷ παρακελευόμενος. τὸ γὰρ πάλιν, ἀντὶ τοῦ εἰς τοὐπίσω. κρώζει γὰρ εἰς τοὐπίσω ἀπελθεῖν. πλανύττομεν, πλανώμεθα. ἀττικῶς δὲ παρῆκται. Προφορουμένω. δεῦρο κἀκεῖσε πορευόμενοι εἰς τἀναντία. προφορεῖσθαι γὰρ λέγεται, τὸ παραφέρειν τὴν στήμονα τοῖς διαζομένοις. Τὸ δ' ἐμὲ κολοιόν. ὁ μὲν κολοιὸν ἐκράτει ὥς τι δεῖξαι αὐτῷ δῆθεν τὴν πρὸς τὰ ὄρνεα ὁδόν. ὁ δὲ κορώνην διὰ τὴν χρείαν. διὸ καὶ μέμφονται ἑαυτοῖς, ὅτι δὴ τοῖς ὀρνέοις πεισθέντες μακρὰν διήνυσαν καὶ οὔπω τὸ ζητούμενον εὗρον. ἀττικῷ δὲ ἔθει εἴρηται ταῦτα ἀσύνδετα. ὡς καὶ ἐν Νεφέλαις. τὸ δὲ μὴ κυνῆν οἴκοθεν ἐλθεῖν ἐμὲ τὸν κακοδαίμον' ἔχοντα. νοεῖται γὰρ ἔξωθεν τὸ οὐκ εὔηθες ἢ οὐ μωρίας πλέον ἤ τι τοιοῦτο. Πλεῖν ἢ χίλια. ἀττικὴ ἡ κρᾶσις τοῦ πλέον πλεῖν. Ἀποσποδῆσαι. ἀφανίσαι ἀπὸ τῆς σποδοῦ. αὕτη γὰρ ἀφανίζει τὴν προϋπάρξασαν ὕλην τῶν ξύλων. ἢ ἀποκροῦσαι ἀφανίσαι. τυπό

μενον

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

Εὐελπίδης.
Ἕτερος θεράπων τροχίλος.
Κῆρυξ.
Χρησμολόγος.
Ψηφισματογράφος.
Ἕτερος κῆρυξ.
Γένης συκοφάντης.
Τριβαλός.
Ἕτερος ἄγγελος.

Πεισθέταιρος.
Ἔποψ.
Ἱερεύς.
Γεωμέτρης.
Ἄγγελος.
Πατραλοίας.
Προμηθεύς.
Ἡρακλῆς.

Θεράπων ἔποπος.
Χορὸς ὀρνίθων.
Ποιητής.
Ἐπίσκοπος.
Ἶρις.
Κινησίας διθυραμβοποιός.
Ποσειδῶν.
Οἰκέτης πεισθέταιρος.

χοντο τοῦ κακοπραγμονεῖν καὶ συκοφαντεῖν.

Ἄλλως.

Τῆς τῶν ἀθηναίων πολιτείας τὸ μέγιστον ἦν κλέος, αὐτόχθοσι γενέσθαι φιλοτιμία πρώ-
τη, τῷ μηδέπω μηδεμιᾶς πόλεως φανείσης, οὕτω πρῶτον ἀναβλαστῆσαι. ἀλλὰ τῷ
χρόνῳ ὑπὸ προεστώτων πονηρῶν καὶ πολιτῶν δυσχερῶν, ἀεί τε ἐτράπετο καὶ διωρθοῦ-
το πάλιν. ἐπεὶ οὖν τοῦ σικελικοῦ πολέμου πονηρῶν τινῶν τὰ πράγματα ἐγχειρι-
σθέντων, ἐπισφαλὴς γέγονεν ἡ παρ' ἑαυτοῖς κατάστασις. καὶ ἐν μὲν ἄλλοις δρά-
μασι, διὰ τῆς κωμικῆς ἀδείας ἤλεγχεν ἀριστοφάνης τοὺς κακῶς πολιτευομένους.
φανερῶς μέν, οὐδαμῶς. οὐ γὰρ ἐπὶ τούτου ἦν ἐκκλησία. λεληθότως δὲ ὅσον ἀνῆκεν
ἀπὸ κωμῳδίας προσκρούειν. ἐν δὲ τοῖς ὄρνισι καὶ μέγα τι διανοεῖται. ὡς γὰρ ἀ-
διόρθωτον ἤδη νόσον τῆς πολιτείας νοσούσης, καὶ διεφθαρμένης ὑπὸ τῶν προεστώ-
των, ἄλλην τινὰ πολιτείαν αἰνίττεται. καὶ προεστῶτας ἑτέρους, ὡσανεὶ τῶν ὄντων,
κακῶν καθεστώτων. οὐ μόνον δὲ τοῦτο ἀλλὰ καὶ τὸ σχῆμα ὅλον. καὶ τὴν φύσιν εἰδέει.
συμβουλεύει μεταθέσθαι πρὸς τὸ ἠρεμαίως βιοῦν. καὶ ἡμῖν ἀπόστασις αὕτη. τὰ
δὲ κατὰ θεῶν βλάσφημα, ἐπιτηδείως ᾠκονόμηται. καινῶν γάρ φησι τὴν πόλιν
προσδεῖσθαι θεῶν. ἀφροντιστούντων τῆς κατοικίας τῶν ἀθηναίων τῶν ὄντων, καὶ
παντελῶς ἠλλοτριωκότων ἑαυτοὺς τῆς χώρας. ἀλλ' ὁ μὲν καθόλου στίχος, τοιοῦτος.
ἕκαστος δὲ τῶν κατὰ μέρος, οὐκ εἰκῇ. ἀλλ' ἄντικρυς ἀθηναίων καὶ τῶν παρ' αὐτοῖς ἐγ-
χειριζομένων τὰ κοινά, ἐλέγχει τὴν φαύλην διάθεσιν, ἐπιθυμίαν ἐγκατασπείρων
τοῖς ἀκούουσιν, ἀπαλλαγῆναι τῆς ἐνεστώσης μοχθηρᾶς πολιτείας. ὑποτίθεται γὰρ
περὶ τὸν ἀέρα πόλιν τῆς γῆς ἁπάσης ἀπαλλάσσων. ἀλλὰ καὶ βουλὰς καὶ συνό-
δους ὀρνίθων, τοὺς ἀθηναίων δυσχεραίνων. ἀλλὰ καὶ ὅσα παίζει. ἐπίσκοπον, ἢ ψη-
φισματογράφον. ἢ τοὺς λοιποὺς εἰσάγων οὐχ ἁπλῶς, ἀλλὰ γυμνοῖ τὰς ἁπάντων
προαιρέσεις. ὡς αἰσχροκερδείας ἕνεκεν χρηματίζοντας. εἶθ' ὕστερον καὶ τοὺς θεούς,
εἰς ἀπόνοιαν κωμῳδεῖ. τὰ γὰρ ὀνόματα τῶν γερόντων πεποίηται. ὡς εἰ πεπίθοι ὁ
ἕτερος τῷ ἑτέρῳ. καὶ ἐλπίζοι ἔσεσθαι ἐν βελτίοσι. τινὲς δέ φασι τὸν ποιητήν, τὰς
ἐν ταῖς τραγῳδίαις τερατολογίας διελέγχειν. ἐν δὲ τοῖς νῦν, τὴν τῆς γιγαντομα-
χίας συμπλοκὴν ὅλον ἀποφαίνων, ὀρνίθων ἔδοξε διαφέρεσθαι πρὸς θεοὺς περὶ τῆς
ἀρχῆς. Ἐπὶ χαβρίου τὸ δρᾶμα καθῆκεν εἰς ἄστυ, διὰ καλλίου. εἰς δὲ λήναια,
τὸν ἀμφιάραον ἐδίδαξε διὰ φιλωνίδου. λάβοι δ' ἄν τις τοὺς χρόνους, ἐκ τῶν πε-
ρυσι γεγενημένων ἐπὶ ἀριμνήστου τοῦ πρὸ χαβρίου. ἀθηναῖοι γὰρ πέμπουσι τὴν σαλαμι-
νίαν, ἀλκιβιάδην μεταστελλόμενοι ἐπὶ κρίσει τῆς τῶν μυστηρίων ἐκμιμήσεως. ὁ δὲ
ἄχρι μὲν θουρίου εἵπετο τοῖς μεθήκουσιν. ἐκεῖθεν δὲ δρασμὸν ποιησάμενος εἰς πε-
λοπόννησον ἐπεραιώθη. τῆς δὲ μετακλήσεως, μέμνηται καὶ ἀριστοφάνης, ἀποκρύ-
πτων μὲν τὸ ὄνομα. τὸ δὲ πρᾶγμα δηλῶν. ἐν οἷς γέ φησι, μηδαμῶς ἡμῖν παρὰ θά-
λασσαν, ἵνα ἀνακύψεται κλητῆρ' ἄγουσα ἕωθεν ἡ σαλαμινία.

ἈΡΙΣΤΟΦΑ'ΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ῀ ὈΡΝΙ'ΘΩΝ ὙΠΟ'ΘΕΣΙΣ ΔΙΑ' ΣΤΙ'ΧΩΝ Ἰ'ΑΜΒΩΝ.

Ιὰ τὰς δίκας φεύγοντες ἀθήνας δύο τινές.
Οἱ πρὸς τὸν ἔποπα τὸν λεγόμενον τηρέα.
Ἐλθόντες ἤρων ἀπραγμόνων πόλιν.
Εἷς δ᾽ ὄρνις ἔποπι συμπαρὼν μετὰ πηειόγων.
Πτηνῶν διδάσκει τί δύνατ᾽ ὀρνίθων γένος.
Καὶ πῶς ἐὰν περὶ κατὰ μέσον τὸν ἀέρα.
Πόλιν κτίσωσι, τῶν θεῶν τὰ πράγματα.
Αὐτοὶ παραλήψοντ᾽, ἐκ δὲ τοῦδε τοῦ φαρμάκου.
Πτέρυγάς τ᾽ ἔφυσαν. ἠξίωσαν δ᾽ οἱ θεοί.
Ἐπίθεσιν οὐ μικρὰν ὁρῶντες γινομένην.

Ἄλλως.

Δύο πρεσβύται ἀθηναίων πεισθέταιρος καὶ εὐελπίδης τὴν συκοφαντίαν φεύγοντες τὴν ἀθήνησι, μετανίστασθαι διαμάζουσι. καὶ κολοιὸν καὶ κορώνην πριάμενοι, παραγίνονται πρὸς ὄρνιθας. τῆς παρ᾽ αὐτοῖς ἐπιθυμοῦντες διαγωγῆς. οἱ δὲ ὄρνιθες τὸ μὲν πρῶτον ἀργεῖσθαί φασιν, εἰ μετὰ ἀνθρώπων πολεμίων ὄντων οἰκήσουσι. μαθόντες δὲ ὕστερον ἃ ὠφεληθήσονται, συγχωροῦσι μένειν αὐτούς. οἱ δὲ, πόλιν κτίσαντες ἐν τῷ ἀέρι, νεφελοκοκκυγίαν ὠνόμασαν. ἀλλ᾽ οὐδὲ ταύτην ἀνενόχλητον ἐῶσιν οἱ ἀθηναῖοι. μάντεις γὰρ καὶ χρησμολόγοι φοιτῶσι, λαβεῖν τι βουλόμενοι ἐν οἷς καὶ μέτων. οὗτοι δὲ πάντες, ἀποπέμπονται ἄπρακτοι. τιλλῶνται δὲ καὶ θεοὶ διὰ τὸ μὴ ἐᾶσθαι τὸν καπνὸν τῶν ἱερείων ἀνιέναι, λιμῷ φθειρόμενοι πρεσβεύονται πρὸς τοὺς ὄρνιθας. ὁ δὲ σκοπὸς τοῦ δράματος, διασῦραι πάλιν τοὺς ἀθηναίους ὡς φιλοδίκους. ἡ δὲ σκηνὴ ἐν πέτραις καὶ ὀρνέοις. ἐγράφη δὲ μετὰ τὸν ἀλκιβιάδην ὑπὸ τῆς σαλαμινίας νεὼς μεταπεμφθῆναι διὰ τὴν περικοπὴν τῶν ἑρμῶν. καὶ φυγεῖν εἰς λακεδαίμονα.

Ἄλλως.

Δύο εἰσὶν ἀθήνηθεν ἐκκεχωρηκότες πρεσβύται διὰ τὰς δίκας. πορεύονται δὲ πρὸς τὸν τηρέα ἔποπα γινόμενον, πευσόμενοι παρ᾽ αὐτοῦ, ποία πόλις ἐστὶν εἰς κατοικισμὸν βελτίστη. χρῶνται δὲ τοῖς ὁδοῦ καθηγεμόσιν, ὀρνέοις. ὁ μὲν, κορώνῃ. ὁ δὲ, κολοιῷ. ὀνομάζονται δὲ, ὁ μὲν πεισθέταιρος. ὁ δὲ εὐελπίδης. ὃς καὶ πρότερος ἄρχεται. Ἡ σκηνὴ ἐν ἀθήναις. τὸ δρᾶμα τοῦτο, τῶν ἄγαν δυνατῶς πεποιημένων. ἐδιδάχθη ἐπὶ χαβρίου ἄρχοντος εἰς ἄστυ, διὰ καλλιστράτου. ὃς ἦν, δεύτερος τοῖς ὄρνισι. πρῶτος, ἀμειψίας κωμασταῖς, τρίτος, φρύνιχος μονοτρόπῳ. ἔστι δὲ λε. φοβερὰ δὲ τότε τοῖς ἀθηναίοις τὰ πράγματα. τό τε γὰρ ναυτικὸν ἀπώλετο περὶ σικελίαν. λάμαχος, οὐκέτι ἦν. νικίας ἐτεθνήκει. δεκέλειαν ἦσαν τειχίσαντες λακεδαιμόνιοι. ἆγις ὁ λακεδαιμονίων στρατηγὸς, περιεκάθητο τὴν ἀττικήν. ἀλκιβιάδης, τὰ λακεδαιμονίων ἐφρόνει. καὶ ἐκκλησιάζων, συνεβουλεύσατο τὰ χρηστὰ λακεδαιμονίοις. ταῦτα αἱ ἀθηναίων συμφοραί. διὰ ταῦτα αἱ ἀθηναίων φυγαί. καὶ ὅμως οὐκ ἀπεί-

Ἅλμην κύκα. ὡς πρὸς ἰχθῦς ὁ λόγος, ὅτι ἅλμη ὅτι πάντως ζωμός. καὶ τοῦτο πρὸς τὸ πολυφάγον αὐτῶν. ἵνα γὰρ τὰ κρέα μὴ σήπηται, πάττεται τῇ ἅλμῃ. Ἄλλως. ἐπειδὴ ἅλμην παρασκευάζουσιν ἐπὶ τῷ φαγεῖν ἰχθύδια. οἱ καρκίνους ὡς καρκίνοις οὖν αὐτοῖς χρώμενος φησὶν ὅτι παρασκεύασον ἅλμην, ἵνα ἐὰν αὐτοὺς νικήσω ὀπτήσω αὐτοὺς καὶ φάγω. Βεμβικίζωσιν. δινήσωσιν. βέμβηξ δὲ ὁ ξύλινος στρόμβος. ἐν ἐπιγράμματι. οἱ δ' ἄρ' ὑπὸ πληγῇσι θοὰς βέμβηκας ἔχοντες ἔστρεφον εὐρείῃ παῖδες ἐνὶ τριόδῳ. καὶ ἀλλαχοῦ ἀριστοφάνης. βέμβικος οὐδὲν διαφέρειν δεῖ. ἀντὶ τοῦ εὐκίνητον καὶ εὔστροφον εἶναι δεῖ. ἔστι δὲ βέμβηξ ὀργαλεῖον ὃν μάστιγι στρέφουσιν οἱ παῖδες. ἢ παίγνιον τῶν παίδων. ὡς τροχός. ὃς μάστιγι κινούμενος στρέφεται. καὶ βεμβικιᾶν τὸ περιστρέφεσθαι. ὡς καρκίνοις δὲ ὁ χορὸς αὐτοῖς διαλέγεται. Καὶ τὸ φρυνίχειον. δῆλον ὡς σημειῶδές τι ἦν τὸ φρυνίχειον. τὸ εἰς ὕψος ἐν τῇ ὀρχήσει ἐκλακτίζειν. τὸ δὲ ὤζωσιν. ἀντὶ τοῦ θαυμαστικόν τι λέγωσι. σύνθετον δέ ἐστιν ὡς τὸ οἰμώζειν καὶ κλώζειν ἀπὸ τοῦ ὦ θαυμαστικοῦ. Ῥίπτε σκέλος. εὐφρόνιος οὔπω φησὶν ὀνομάζεσθαι σχῆμά τι τραγῳδικῆς ὀρχήσεως. βέμβικες δὲ περιφοραί. περιαγωγαί ὡς ἀνωτέρω εἴρηται. Καὐτὸς γάρ. ὁ καρκίνος φησὶ προσέρχεται. πρὸς τοῦτο γὰρ καὶ τὸ ποντομέδων. Τοῖσι τριόρχαις. ἔπαιξε διὰ τὸ τρεῖς εἶναι. ἔστι δὲ ὁ τριόρχης ὄρνεον. Ἐξάγετ' εἴ τι φιλεῖτε. ἐξάγετε ἑαυτούς φησιν ἔξω. Οὐδείς πω πάρος. εἰσέρχεται γὰρ ὁ χορὸς ὀρχούμενος. οὐδαμῶς δὲ ἐξέρχεται.

Ἅλμην κύκα τούτοισιν, ἢν ἐγὼ κρατῶ.

Χο. φέρε νυν, ἡμεῖς αὐτοῖς ὀλίγον ξυγχωρήσωμεν ἅπαντες,
ἵν' ἐφ' ἡσυχίας ἡμῶν πρόσθεν βεμβικίζωσιν ἑαυτούς.

ΣΤΡΟΦΗ ΚΩΛΩΝ, Ι.

Ἡμί. Ἄγ' ὦ μεγαλώνυμα
τέκνα τοῦ θαλασσίου,
πηδᾶτε παρὰ ψάμαθον.
καὶ θῖν' ἁλὸς ἀτρυγέτοιο.
καρίδων ἀδελφοί.
ταχὺν πόδ' ἐν κύκλῳ σοβεῖτε.
καὶ τὸ φρυνίχειον
ἐκλακτισάτω τις ὅπως
ἰδόντες ἄνω σκέλος,
ὤζωσιν οἱ θεαταί.

ΣΤΡΟΦΗ ΕΤΕΡΑ ΣΤΙΧΩΝ, Ι.

Ἡμ. στρόβει. παράβαινε κύκλῳ. καὶ γάστρισον σεαυτόν
ῥίπτε σκέλος οὐράνιον. βέμβικες ἐγγενέσθων.
καὐτὸς γὰρ ὁ ποντομέδων ἄναξ πατὴρ προσέρπει.
ἡσθεὶς ἐπὶ τοῖσιν ἑαυτοῦ παισί, τοῖσι τριόρχαις.
ἀλλ' ἐξάγετ' εἴ τι φιλεῖτ' ὀρχούμενοι, θύραζε
ἡμᾶς ταχύ. τοῦτο γὰρ οὐδείς πω πάρος δέδρακεν,
ὀρχούμενός τις ἀπήλλαξεν χορὸν τρυγῳδῶν.

Ἀριστοφάνους Σφηκῶν τέλος.

Ἀλλὰ μανικὰ πράγματα. εἰπόντος αὐτῷ ὅτι νῦν δὴ λέλημαι χαλάσας γενομένης τῆς κοτύλης, ἐπάγει ὁ παῖς ὅτι οὐκ ἐκλύσεως ἀλλὰ μανίας ἐστὶ πράγματα.
Ὁ μέσατος. οὐ τὸν τραγικὸν λέγει μέσατον. ἄλλως ἀντὶ τοῦ μέσος. καὶ μεσαίδρος καρχηδυίοις. ἀκριβῶς δὲ ἔοικε λέγειν. τέσσαρες μὲν δή εἰσιν. ἀλλ' οἱ τρεῖς χορευταί. Ξενοκλῆς δὲ ποιητής. καταλέγει αὐτοὺς σαφῶς Φερεκράτης. τῶν τριῶν οὖν μέσος. Ἐμμελείᾳ κονδύλου. ἐμμέλεια τραγικὴ ὄρχησις, ὡς εἰ ἔλεγεν ἐμμέλεια ᾠδῆς, εἶπε δὲ κονδύλου. δίδωμι αὐτῷ κόνδυλον καὶ ἀπολῶ αὐτόν. μικρὸς γάρ ἐστι καὶ λεπτός.

Βδ. οὐκ οὖν μὰ Δί' οὐδέν τ' ἀλλὰ μανικὰ πράγματα.
Φι. φέρε νυν, ἀνείπω, κἀνταγωνιστὰς καλῶ.
εἴ τις τραγῳδός φησιν ὀρχεῖσθαι καλῶς.
ἐμοὶ διορχησόμενος ἐνθάδ' εἰσίτω.
φησίν τις; ἢ οὐδείς. Βδ. εἷς γ' ἐκεινοσὶ μόνος.
Φι. τίς ὁ κακοδαίμων ἐστίν. Βδ. υἱὸς Καρκίνου.
ὁ μέσατος. Φι. ἀλλ' οὗτός γε καταποθήσεται.
ἀπολῶ γὰρ αὐτὸν ἐμμελείᾳ κονδύλου.
ἐν τῷ ῥυθμῷ γὰρ οὐδέν ἐστ'. Βδ. ἀλλ' ὦ 'ζυρέ.
ἕτερος τραγῳδὸς Καρκινίτης ἔρχεται,
ἀδελφὸς αὐτοῦ. Φι. νὴ Δί' ὠψώνηκ' ἄρα
Βδ. μὰ τὸν Δί' οὐδέν γ' ἄλλο, πλήν γε καρκίνους.
προσέρχεται γὰρ ἕτερος αὖ τῶν Καρκίνου.
Φι. τουτὶ τί ἦν τὸ προσέρπον. ὀξὶς ἢ φάλαγξ.
Βδ. ὁ πιννοτήρης οὗτός ἐστι τοῦ γένους,
ὁ σμικρότατος. ὃς τὴν τραγῳδίαν ποιεῖ.
Φι. ὦ Καρκίν'. ὦ μακάριε, τῆς εὐπαιδίας
ὅσον τὸ πλῆθος. κατέπεσεν τῶν ὀρχίλων.
ἀτὰρ καταβατέον γ' ἐπ' αὐτοὺς ὦ 'ζυρέ.

Ἐν τῷ ῥυθμῷ γάρ. ἀντὶ τοῦ οὐδὲν οἶδε τοῦ ῥυθμοῦ. Καρκινίτης ἐστὶ υἱὸς Καρκίνου. ὠψώνη δὲ εἶπεν ὡς ὀψοφάγον αὐτὸν διαβάλλων. πλήν γε καρκίνους παρὰ τοὺς καρκίνους τοὺς λεγομένους παγούρους. Ὀξὶς ἢ φάλαγξ. εἶδος ἀγγείου ὀξηροῦ ἡ ὀξίς. Ἄλλως. εἰς σμικρὸν τὸν Φιλοκλέα καὶ τὸ φαλάγγιον. δῆλον δὲ ἐκ τῶν Φερεκράτους Ἀγρίων. καὶ Καρκίνος μέν τις ἦν ὁ Θωρυκίου υἱός. ἦσαν δὲ αὐτῷ τρεῖς τινες μικροί. κομῆται τότε καὶ νῦν εἰσι μικροὶ κομῆται. φίλαρχοι τότε παῖδες ἦσαν ὄντες νῦν φιλαρχικώτεροι. μὰ τὸν Δί' οὐ τρεῖς τε ἐκεῖνοί εἰσιν οἱ τέτταρες. Ὁ πιννοτήρης. περὶ Ξενοκλέους ὁ λόγος. πιννοτήρης δὲ οὐκ ἄλλως ἀλλ' ἐπεὶ καρκίνιόν τι ἐστὶ σύννομον καὶ ἀεὶ ταύτῃ προσδεχόμενον. Σοφοκλῆς Ἀμφιαράῳ. ὁ πιννοτήρης τοῦδε μάντεως χοροῦ. Ἄλλως. πίννα ὄστρεόν ἐστι. τοῦτο ὑποδέχεται καρκίνος. καὶ ὅταν εἰσέλθῃ μικρὸν ἰχθύδιον δάκνει τὴν πίνναν καὶ συστέλλει τὸ ὄστρακον καὶ ἐναποκλείει τὸ ἰχθύδιον. Ἄλλως. οἱ μὲν ζῷόν τι λέγουσι σύννομον τῷ καρκίνῳ τὸν πιννοτήρην, οἱ δὲ αὐτὸν τὸν καρκίνον ὡς ἐπιτηροῦντα τὴν πίνναν. φασὶ γὰρ ὅτι ἡ μὲν πίννα πρὸς τὰς ἀκτῖνας πεσοῦσα τοῦ ἡλίου ἀνοίγνυσι τὸ ὄστρακον. καὶ τὴν θέρμην εἰσδέχεται. ὁ δὲ ἐπιτηρῶν εἰσέρχεται καὶ δάκνει αὐτήν. ἡ δὲ συστέλλει τὸ ὄστρακον καὶ βιβρώσκεται ὑπ' αὐτοῦ. Τῶν ὀρχίλων. ὄρχιλος εἶδος ὀρνέου μικροῦ. ἐκ τούτου βραχὺ καὶ κατωφερές, ἅμα μὲν πρὸς τὴν λαγνείαν ἅμα δὲ πρὸς τὴν ὄρχησιν. ἐμφαίνει δὲ αὐτοὺς καὶ μεγάλα αἰδοῖα ἔχοντας.

Ἀγαθῷ· ἱλαρῷ καλῷ κἀγαθῷ. οἱ δὲ ἀθηναῖοι τὸ εὔηθες. καὶ ἀγανοφροσύνη προσήνεια πρᾳότης. ὅμηρος τοῖς ἀγανοῖς ἐπέεσσιν. Εἰσκεκύκληκεν. εἰσήνεγκεν. εἰσήγαγεν. Οὐδὲν παύεται. ὅμοιον τῷ παρ' ὁμήρῳ. ὅτ' ἄριστον ἀχαιῶν οὐδὲν ἔτισεν. ἀντὶ τοῦ οὐκ ἔτισεν. Θέσπις. ὁ κιθαρῳδός. οὐ γὰρ δὴ ὁ τραγικός. Κρόνους ἀρχαίους. μωρούς. λήρους. ἀμαθήτους. Τίς ἐπ' αὐλείοισιν. ὁ ὀρχούμενος ὁ γέρων παρατραγῳδεῖται. σχήματος δὲ τοῦ τραγῳδικοῦ. λυγίσαντος. συστρέψαντος. περιαγαγόντος. ἡ μεταφορὰ ἀπὸ τῶν παλαιῶν. θεόκριτος. τύ θην τὸν ἔρωτα κατεύχεο δάφνι λυγιξεῖν. ἆρ' οὐκ αὐτὸς ἔρωτος ὑπ' ἀργαλέω ἐλυγίχθης.

Σφόνδυλος. ἴσως αἰσχρόν τι πεπρίηκε. Πῖθ' ἐλλέβορον. ἀποσημειοῦνται τὴν λέξιν καὶ ταῦτα τὸ χ̄. ὅτι τὸ μὲν πῖθι, ἐπὶ φαρμάκου λέγουσι. καὶ λαγὼν παράξας πῖθι τὸν θαλάσσιον. τὸ δὲ πῖε ἐπὶ τοῦ ποτοῦ. ἐκ δὲ τοῦ ἐλλεβόρου καὶ ἐλλεβοριᾶν, τὸ ἐλλεβόρου δεῖσθαι. ὡς καλλίας φησί. καὶ ἐλλεβορίζειν.

Πτήσσει φρύνιχος. παροιμία ἐπὶ τῶν κακόν τι πασχόντων. ἀπὸ φρυνίχου τοῦ τραγικοῦ, ὃν ἀθηναῖοι χιλίαις ἐζημίωσαν, ἅλωσιν μιλησίων τραγῳδήσαντα. ὁ δὲ φρύνιχος οὗτος ἀθηναῖος ἦν υἱὸς μελανθᾶ. ἔστι δὲ τῶν δραμάτων αὐτοῦ τάδε. ἀνδρομέδα. ἠριγόνη. ἐπρίησε καὶ πυρρίχας. πτήσσειν δὲ κυρίως τὸ φεύγειν καὶ φοβεῖσθαι. λέγεται δ' ἐπὶ τῶν ὀρνίθων. Τάχα βαλλήσεις. ῥίψεις λίθους δηλονότι ὑπορχούμενος. Σκέλος οὐράνιον. ὡς τοῦ τὸ ἐπάραντος τὸ σκέλος καὶ ἀποδείξαντος τὸν πρωκτόν. Κοτυληδών. ἡ κίνησις ἡ κοτύλη μου στρέφεται.

δεινοὶ γὰρ οὕτως ἀγαθοί.
ξυνεγενόμην. οὐδὲ πρό τρία
ἐπεμαινόμην. οὐδ' ἐξεχύθην.
ἦ γὰρ ἐκεῖνος αὐτὸ λέγων,
οὐ κρείττων ἦν, βουλόμενος
τοὺς φύσαντας σεμνοτέροις
κατακοσμῆσαι πράγμασιν;

Οἰ. νὴ τὸν διόνυσον ἄπορά γ' ἡμῖν πράγματα
δαίμων τις εἰσκέκληκεν εἰς τὴν οἰκίαν.
ὁ γὰρ γέρων ὡς ἔπιε διὰ πολλοῦ χρόνου
ἤκουσέ τ' αὐλοῦ, περιχαρὴς τῷ πράγματι
ὀρχούμενος τῆς νυκτὸς οὐδὲν παύεται.
τἀρχαῖ' ἐκεῖν' οἷς θέσπις ἠγωνίζετο
καὶ τοὺς τραγῳδούς φησιν ἀποδείξειν κρόνους.
τοὺς νοῦν, διορχησάμενος ὀλίγον ὕστερον.

Φι. τίς ἐπ' αὐλείοισι θύραις θάσσει.
Οἰ. τουτὶ καὶ δὴ χωρεῖ τὸ κακόν.
Φι. κλῇθρα χαλάσθω τάδε. Οἰ. καὶ γὰρ δὴ
σχήματος ἀρχὴ
μᾶλλον δέ γ' ἴσως μανίας ἀρχή.
Φι. πλευρὰν λυγίσαντος ὑπὸ ῥώμης.
οἷον μυκτὴρ μυκᾶται. καὶ
σφόνδυλος ἀχεῖ. Οἰκ. πῖθ' ἐλλέβορον.
Φι. πτήσσει φρύνιχος ὥς τις ἀλέκτωρ.
Οἰ. τάχα βαλλήσεις.
Φι. σκέλος οὐράνιόν γ' ἐκλακτίζων.
πρωκτὸς χάσκει. Οἰ. κατὰ σαυτὸν ὅρα.
Φι. νῦν γὰρ ἐν ἄρθροις τοῖς ἡμετέροις.
στρέφεται χαλαρὰ κοτυληδών.

Α Αἰσώπου οἱ Δελφοί. ὁ μὲν Βδελυκλέων ἀράμενος τὸν πατέρα αὐτοῦ Φιλοκλέωνα, εἴσω κομίζει. ὁ δὲ φερόμενος πλάττει μῦθον. διηγεῖται γὰρ τὸν περὶ Αἰσώπου λόγον. ὅν φασιν ἐλθόντα ποτὲ εἰς τοὺς Δελφοὺς ἀποσκῶψαι αὐτούς. ὅτι μὴ ἔχοιεν γῆν ἀφ' ἧς ἐργαζόμενοι διατρέφοιντο ἀλλὰ περιμένοιεν ἀπὸ τῶν θεοῦ θυμάτων διαζῆν. οἱ Δελφοὶ χαλεπήναντες φιάλην ἱερὰν τοῖς Αἰσώπου σκεύεσιν ὑπέβαλον. ὁ μὲν δὴ οὐκ εἰδὼς τὴν ἐς Φωκίδα φέρουσαν ὥρμησεν ὁδόν. οἱ δ' ἐπιδραμόντες καὶ φωράσαντες, ἱεροσυλίας αὐτοῦ κατηγόρουν. ὁ δ' ἐπὶ πέτραν οὐ πάνυ πόρρω τοῦ ἱεροῦ καὶ τῆς πόλεως ἀγόμενος ἀφ' ἧς νόμιμον ἦν τοὺς ἱεροσύλους ῥιπτεῖσθαι, τὸν περὶ τοῦ κανθάρου μῦθον αὐτοῖς διηγήσατο. οὗ γε καὶ ἐν Εἰρήνῃ μέμνηται διὰ τούτων ὁ ποιητής. ἐν τοῖσιν Αἰσώπου λόγοις ἐξηυρέθη, μόνος πετεινῶν εἰς θεοὺς ἀφιγμένος. ἐκεῖ δὲ τὰ εἰκότα λεχθήσεται.

Φι. Αἴσωπον οἱ Δελφοί ποτ'. Βδ. ὀλίγον μοι μέλει.
φιάλην ἐπῃτιῶντο κλέψαι τοῦ θεοῦ.
ὁ δ' ἔλεξεν αὐτοῖς ὡς ὁ κάνθαρός ποτε
Βδ. οἴμ' ὡς ἀπολεῖς αὐτοῖσι τοῖς κανθάροις

ΣΤΡΟΦΗ ΚΩΛΩΝ, ΙΒ.

Χο. Ζηλῶ γε τῆς εὐτυχίας.
τὸν πρέσβυν οἷ μετέστη
ξηρῶν τρόπων καὶ βιοτῆς
ἕτερα δὲ νῦν ἀντιμαθών,
ἦ, μέγα πείσετ' ἐπὶ
τὸ τρυφερὸν καὶ μαλακόν.
τάχα δ' ἂν ἴσως οὐκ ἐθέλοι
τὸ γὰρ ἀποστῆναι χαλεπόν.
φύσεος ἣν ἔχει τις ἀεί.
καί τοι πολλοὶ ταῦτ' ἔπαθον.
ξυνόντες γνώμαις ἑτέρων
μετεβάλλοντο τοὺς τρόπους.

ΑΝΤΙΣΤΡΟΦΗ ΚΩΛΩΝ. ΙΒ.

πολλοῦ δ' ἐπαίνου παρ' ἐμοὶ
καὶ τοῖσιν εὖ φρονοῦσιν.
τυχὼν ἄπεισι διὰ τὴν
φιλοπατρίαν καὶ σοφίαν.
παῖς ὁ Φιλοκλέωνος, οὐ,

Ζηλῶ σε τῆς εὐτυχίας. τὰ τοιαῦτα εἴδη καλεῖται κατὰ σχέσιν. ἔστι γοῦν ἡ παροῦσα στροφὴ κώλων χοριαμβικῶν ἐπιμεμιγμένων ἐπιτρίτοις διτροχαίοις διιάμβοις δισπονδείοις ἰωνικοῖς καὶ παίωσι ιβ. καὶ ἡ ἀντιστροφὴ τοσούτων. ὧν τὸ μὲν δεύτερον καταληκτικὸν ἤτοι ἑφθημιμερές. τὰ δὲ λοιπὰ πάντα δίμετρα ἀκατάληκτα, τὰ μὲν τετρασυλλάβους ἔχοντα πόδας. τὰ δὲ πεντασυλλάβους. διαλύονται γὰρ αἱ μακραὶ συλλαβαὶ ὥσπερ ἐπὶ τῶν ἰάμβων καὶ τροχαίων ὡς εἴρηται εἰς δύο βραχείας, οὕτω καὶ ἐπὶ τῶν τετρασυλλάβων ποδῶν. εὕρηται γὰρ καὶ χορίαμβος πεντασύλλαβος καὶ διίαμβος καὶ διτρόχαιος. καὶ ἰωνικὸς καὶ παίων. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος. τῆς δὲ ἀντιστροφῆς κορωνίς. Ἐπὶ τὸ τρυφερόν. οἷον ἐπὶ τὸ τρυφᾶν μαλακῶς. Γνώμαις ἑτέρων. οἷον μεταπεισθέντες ἐκ παραινέσεως ἑτέρων. Φιλοπατρίαν. διὰ τὸ ὑπὲρ τῆς πατρίδος ἠγωνίσθαι ἢ τοῦ πατρός.

Πρὸς τοὺς ἀγορανόμους. τοὺς ἐπισκοποῦντας τὰ τῆς πόλεως ὤνια καὶ διοικοῦντας αὐτά. ὡς ἐν ἀχαρνεῦσιν. Κλητῆρα. μάρτυρα τουτέστι τὸν εἰς τὸ δικαστήριον καλοῦντα ὑπηρέτην. Χαιρεφῶντα δὲ τὸν πύξινον τὸν σωκράτους ἑταῖρόν φησι. πάλιν δ' αὐτὸν εἰς ὠχρότητα διαβάλλων εἰσάγει μαρτυροῦντα τῇ ἀρτοπώλιδι.

Ἀρ. καὶ καταγᾶς μου, προσκαλοῦμαί σ' ὅστις εἶ
πρὸς τοὺς ἀγορανόμους, βλάβης τῶν φορτίων.
κλητῆρ' ἔχουσα Χαιρεφῶντα τουτονί.
Φι. μὰ δί' ἀλλ' ἄκουσον, ἤν τί σοι δόξω λέγειν.
λᾶσος ποτ' ἀντεδίδασκε καὶ σιμωνίδης.
ἔπειθ' ὁ λᾶσος εἶπεν ὀλίγον μοι μέλει.
Βδε. ἄληθες οὗτος. καὶ σὺ δή μοι Χαιρεφῶν
γυναικὶ κλητεύειν, ἔοικας θαψίνῃ.
ἰνοῖ κρεμαμένῃ πρὸς ποδῶν εὐριπίδου.
Θε. ὁδί τις ἕτερος ὡς ἔοικεν ἔρχεται.
καλούμενός σε τόν γ' ἐπικλητῆρ' ἔχει.

Λᾶσος. χαρβίνου ἑρμιονεὺς πόλεως τῆς ἀχαΐας, γεγονὼς κατὰ τὴν νη' ὀλυμπιάδα. ὅτε δαρεῖος ὁ ὑστάσπου. τινὲς δὲ τοῦτον συναριθμοῦσι τοῖς ἑπτὰ σοφοῖς, ἀντὶ περιάνδρου. πρῶτος δὲ οὗτος περὶ μουσικῆς λόγον ἔγραψε καὶ διθύραμβον εἰς ἀγῶνα εἰσήγαγε καὶ τοὺς ἐριστικοὺς εἰσηγήσατο λόγους. Ὀλίγον μοι μέλει. τοῦ σιμωνίδου δηλονότι. λέγει δ' ἴσως σιμωνίδην τὸν λεωπρεποῦς τῆς ἐν κέῳ τῇ νήσῳ πόλεως λυρικόν. μετὰ στησίχορον τοῖς χρόνοις ὃς ἐπεκλήθη μελικέρτης διὰ τὸ ἡδύ. καὶ τὴν μνημονικὴν δὲ τέχνην εὗρεν οὗτος. προσεξεῦρε δὲ καὶ τὰ μακρὰ τῶν στοιχείων καὶ διπλᾶ. καὶ τῇ λύρᾳ τὸν τρίτον φθόγγον. γέγονε δ' ἐπὶ τῆς ἕκτης καὶ πεντηκοστῆς ὀλυμπιάδος. οἱ δὲ δευτέρας καὶ ἑξηκοστῆς γεγράφασι. καὶ παρέτεινε μέχρις οη' βιοὺς ἔτη πθ'. καὶ γέγραπται αὐτῷ δωρίδι διαλέκτῳ ἡ καμβύσου καὶ δαρείου βασιλεία καὶ ξέρξου ναυμαχία. καὶ ἡ ἐπ' ἀρτεμισίῳ ναυμαχία, δι' ἐλεγείας. ἡ δ' ἐν σαλαμῖνι μελικῶς. θρῆνοι. παιᾶνες. ἐγκώμια ἐπιγράμματα τραγῳδία καὶ ἄλλα. τὸν δὲ λᾶσον καὶ σιμωνίδην ὡς ἀντιτεχνοῦντας ἀλλήλοις ὁ ποιητὴς εἰσάγει. Θαψίνῃ. ὠχρᾷ. ποιά τις γάρ ἡ θάψος, ὃ παρ' ἡμῖν χρυσόξυλον λέγεται. θεόκριτος. καί μευ χρὼς μὲν ὅμοιος ἐγίνετο πολλάκι θάψῳ. παρὰ δ' εὐριπίδῃ γέγραπται ἡ ἰνὼ κρεμαμένη καὶ ὠχρὰ ὑπὸ τῆς κακοπαθείας. πέπαικται δὲ καλῶς παρὰ τὸ θάπτεσθαι. ἰνὼ δὲ κατὰ χόλον ἥρας μανεῖσα. ἔρριψεν αὐτὴν εἰς τὴν θάλασσαν, ἅμα τῷ υἱῷ αὐτῆς μελικέρτῃ. ἐμίσει γὰρ πάντας τοὺς θηβαίους ἡ ἥρα, διότι παρ' αὐτοῖς ἐτέχθη ὁ διόνυσος. καὶ αὐτὸς δὲ ὁ διόνυσος ἐξέμηνε τὰς τούτων γυναῖκας, μὴ προσιεμένων αὐτὸν ὕστερον τῶν θηβαίων. εὐριπίδης δ' ἐν μηδείᾳ φησὶν αὐτόχειρα τῶν δύο παίδων γενομένην λεάρχου καὶ μελικέρτου, αὐτὴν ὕστερον εἰς θάλασσαν ῥίψαι. οἱ δέ φασιν ὡς ἀθάμας κατετόξευσε λέαρχον τὸν ἐξ ἰνοῦς γενόμενον αὐτῷ παῖδα. καὶ αὐτὴ δὲ ἡ ἰνὼ μανεῖσα τὸν ἕτερον ἑαυτῆς παῖδα μελικέρτην ἀποσφάξασα, ἥλατο σὺν αὐτῷ εἰς τὴν θάλασσαν. οὓς δὴ εἰς κόρινθον ἐκβρασθέντας ἀναληφθῆναι προστάξει τοῦ σισύφου. ὡς καὶ ἀγῶνα ἴσθμιον ἐπὶ τῷ μελικέρτῃ θεῖναι καὶ τὴν μὲν λευκοθέαν. τὸν δὲ παλαίμονα μετονομασθῆναι.

Τί δὲ τὸ μέλαν. περὶ τοῦ γυναικείου αἰδοίου ἐρωτᾷ τετριχωμένου. Ἡ πίττα. ἐπεὶ καὶ αἱ δᾷδες καιόμεναι πίτταν ἀποπλοῦσιν. Ὄζος κλάδος. ἅμα καὶ παρὰ τὸ ὀζῶδες εἶναι. Ὀλυμπίασιν. νῦν προπαροξύνεται, λέγεται γὰρ περὶ τόπου. ἐὰν περὶ πράγματος ἡ δηλοῦσα ἡ λέξις. οἷον ὡς εἰ λέγοι τις, δέκα ὀλυμπιάσιν ἐφεξῆς ἐνίκησεν ὁ δεῖνα προπερισπᾶται. γίνεται γὰρ τὸ μὲν ἀπὸ τοῦ ὀλυμπίων ὀλυμπίασι. τὸ δὲ ἀπὸ τοῦ ὀλυμπιὰς ὀλυμπιᾶσι. καὶ ὅτι τὰ εἰς ι λήγοντα τῶν ἐπιρρημάτων, ζητεῖ τὸν πρῶτον τοῦ ὀνόματος τόνον. οἷον ὀλυμπιὰς ὀλυμπιᾶσι. ἀλλ' ἐπὶ τῶν διὰ τοῦ θεν. ἐκεῖνα γὰρ ἐνήλλαξεν. οἷον ἵππος ἱππόθεν. σεσημείωται τὸ οἴκοθεν. Ὑπώπια. τὰς ὄψεις πλήγματα ἐνταῦθα. εἴρηται δ' ἐν ἄλλοις ἀκριβέστερον. Ἴθι μοι παράστηθ' ἀντιβολῶ. γυνή τις ὑβρισμένη ὑπὸ τοῦ γέροντος δεῖται τοῦ υἱοῦ βοηθῆσαι αὐτῇ. διδυμος δὲ ἀρτόπωλις λέγει.

Κἀπιθήκην. τοὺς ἔξωθεν τοῦ φορτίου προσθήκην ὄντας.

Λόγοι διαλλάξουσιν. μιμεῖται τὰ εἰρημένα ὑπὸ τοῦ υἱοῦ.

Καταπροίξει. οὐ μὴ καταφρονήσεις. παρὰ τὴν προῖκα. τουτέστιν οὐ δωρεάν μου ἐγχανῇ. καὶ τοῦτο δὲ ἐν ἄλλοις.

Θυγατέρος. ὅτι οὐκ ἀττικῶς εἴρηται τὸ θυγατέρος ἀλλ' ἰωνικῶς. τὰ φορτία δὲ τοὺς ἄρτους. Ὦ κύον κύον. τὴν ἀρτοπώλιδα κύνα εἶπεν. ὑλακτούσης σου φησὶν οὐ φροντίζω ὦ κύον. πυροὺς ἤτοι σίτους ὥστε ἄρτους ποιῆσαι, ἐπεὶ ἀρτοπῶλις.

Βδ. τί δὲ τὸ μέλαν τοῦτ' ἐστὶν αὐτῆς τοὐν μέσῳ.
Φι. ἡ πίττα δήπου καομένης ἐξέρχεται.
Βδ. ὁ δ' ὄπισθεν, οὐχὶ πρωκτός ἐστιν οὑτοσί;
Φι. ὄζος μὲν οὖν τῆς δᾳδὸς οὗτος ἐξέχει.
Βδ. τί λέγεις σύ, ποῖος ὄζος. οὐκ εἶ δεῦρο σύ;
Φι. ἆ ἆ. τί μέλλεις δρᾶν. Βδε. ἄγειν ταύτην λαβὼν
ἀφελόμενός σε. καὶ νομίσας εἶναι σαπρόν.
κοὐδὲν δύνασθαι δρᾶν. Φι. ἄκουσον νῦν ἐμοῦ.
ὀλυμπίασι γὰρ ἡνίκ' ἐθεώρουν ἐγώ,
ἐφουδίων ἐμαχέσατ' ἀσκώνδᾳ καλῶς.
ἤδη γέρων ὤν. εἶτα τῇ πυγμῇ θένων
ὁ πρεσβύτερος κατέβαλε τὸν νεώτερον.
πρὸς ταῦτα τηροῦ μὴ λάβῃς ὑπώπια.
Βδε. νὴ τὸν Δί' ἐξέμαθές γε τὴν ὀλυμπίαν.
Ἀρ. ἴθι μοι. παράστηθ' ἀντιβολῶ πρὸς τῶν θεῶν.
ὁδὶ γὰρ ἐστὶν ὅς μ' ἀπώλεσε,
τῇ δᾳδὶ παίων. κἀξέβαλεν ἐντευθενὶ
ἄρτους δέκ' ὀβολῶν. κἀπιθήκην τέτταρας.
Βδε. ὁρᾷς ἃ δέδρακας πράγματ' αὖ, δεῖ καὶ δίκας
ἔχειν διὰ τὸν σὸν οἶνον. Φι. οὐδαμῶς γ' ἐπεὶ.
λόγοι διαλλάξουσιν αὐτὰ δεξιοί
ὥστ' οἶδ' ὁτιὴ ταύτῃ διαλλαχθήσομαι.
Ἀρ. οὔτοι μὰ τὼ θεὼ καταπροίξει μυρτίας.
τῆς ἀγκυλίωνος θυγατέρος. καὶ σωστράτης.
οὕτω διαφθείρας ἐμοῦ τὰ φορτία.
Φι. ἄκουσον ὦ γύναι. λόγον σοι βούλομαι
λέξαι χαρίεντα. Ἀρ. μὰ Δία μή μοί γ' ὦ μέλε.
Φι. αἴσωπον ἀπὸ δείπνου βαδίζονθ' ἑσπέρας.
θρασεῖα καὶ μεθύση τις ὑλάκτει κύων.
κἄπειτ' ἐκεῖνος εἶπεν, ὦ κύον. κύον.
εἰ νὴ Δί' ἀντὶ τῆς κακῆς γλώττης ποθὲν,
πυροὺς πρίαιο, σωφρονεῖν ἄν μοι δοκεῖς.

δώσω σοι ταῦτα καὶ συνοικήσω μετὰ σοῦ. Λυσάμενος ἔξω· ἀντὶ τοῦ ἐλευθερώσας ἐκ τοῦ πορνοβοσκείου. χοιρίδιον δὲ τὸ γυναικεῖον αἰδοῖον λέγουσιν. Καὶ φυλάττομαι σφόδρα. καθάπερ οἱ παῖδες οἱ γέροντες. ἢ παρ᾽ ὑπόνοιαν· οἱ παῖδες ταῦτα λέγουσιν. υἱίδιον ἀπὸ τοῦ υἱοῦ ὡς ἀπὸ τοῦ πατρὸς πατρίδιον. Κυμινοπαίζει ἐνταῦθα σμικρολόγον αὐτὸν καὶ ὀξύθυμον λέγων. κυμινοπρίστας γὰρ τοὺς φειδωλοὺς καὶ σμικρολόγους ἐκάλουν. συνέθηκε δὲ τὴν λέξιν μετὰ τοῦ καρδάμου διαβάλλων αὐτὸν ὡς ὀξύθυμον.

Λυσάμενος, ἔξω παλλακὴν ὦ χοιρίον.
νῦν δ᾽ οὐ κρατῶ ᾽γὼ τῶν ἐμαυτοῦ χρημάτων
νέος γάρ εἰμι, καὶ φυλάττομαι σφόδρα.
τὸ γὰρ υἱίδιον τηρεῖ με. κἄστι δύσκολον.
κἄλλως, κυμινοπριστοκαρδαμογλύφον
ταῦτ᾽ οὖν περί μου δέδοικε, μὴ διαφθαρῶ.
πατὴρ γὰρ οὐδείς ἐστιν αὐτῷ, πλὴν ἐμοῦ.
ὁδὶ δὲ καὐτὸς ἐπὶ σὲ κἀμ᾽ ἔοικε θεῖν
ἀλλ᾽ ὡς τάχιστα στῆθι, τάσδε τὰς δετάς.
λαβοῦσ᾽ ἵν᾽ αὐτὸν τωθάσω νεανικῶς,
οἵῳ ποθ᾽ οὗτος ἐμὲ πρὸ τῶν μυστηρίων,
Βδε. ὦ οὗτος. τυφεδανὲ, καὶ χοιρόθλιψ
ποθεῖν ἐρᾶν τ᾽ ἔοικας ὡραίας σοροῦ.
οὔτοι καταπροίξει μὰ τὸν Ἀπόλλω τοῦτο δρῶν.
Φι. ὡς ἡδέως φάγοις ἂν ἐξ ὄξους δίκην.
Βδε. οὐ δεινὰ τωθάζειν σε, τὴν αὐλητρίδα
τῶν ξυμποτῶν κλέψαντα; Φι. ποίαν αὐλητρίδα.
τί ταῦτα ληρεῖς. ὥσπερ ἀπὸ τύμβου πεσών.
Βδε. νὴ τὸν δί᾽ αὕτη που ᾽στί σοί γ᾽ ἡ Δαρδανίς.
Φι. οὐκ. ἀλλ᾽ ἐν ἀγορᾷ τοῖς θεοῖς δᾲς καίεται.
Βδε. δᾲς ἥδε; Φι. δᾲς δῆτ᾽ οὐχ ὁρᾷς ἐστιγμένην;

Περί μου δέδοικε. δι᾽ ἐμοῦ φειδωλός ἐστιν. ἵνα μὴ ἐν ἐξουσίᾳ ἔχων τὰ χρήματα διαφθείρω. Πατὴρ γὰρ οὐδείς. εἰώθασι γὰρ οἱ παῖδες λέγειν μόνος εἰμὶ τῷ πατρί. ἀντὶ δὲ τοῦ εἰπεῖν υἱὸς εἶπε πατὴρ παίζων. Δετάς. τὰς λαμπάδας. ὡς ἀπὸ τοῦ δέω γὰρ τὸ δεσμῶ δετὴ ἐρωματικῶς ἡ συνδεδεμένη ἐκ παπύρων. καὶ ὅμηρος δαιόμεναί τε δεταί. Τωθάσω δὲ σκώψω. πρὸ τῶν μυστηρίων δὲ ὅτι οἱ μεμυημένοι τοὺς μέλλοντας μυεῖσθαι διδίπτονται. Τυφεδανέ. ἐπεὶ τυφογέροντας εἰώθασι λέγειν τοὺς παραληροῦντας καὶ ἀξίους τετύφθαι. χοιρόθλιψ δὲ ὁ τὸ γυναικεῖον αἰδοῖον ἀποθλίβων. ἢ παρὰ τὰς χοιρίνας. ὡς φιλοδικαστὴν τὰς χοιρίνας πιέζοντα κωμῳδῶν. Ὡραίας σοροῦ. παρ᾽ ὑπόνοιαν κόρης. καὶ τοῦτο δὲ ἀντεστραμμένως εἰς γέροντα τὴν αὐλητρίδα πεδρῶντα ἐξ ὄξους δίκην ἀντὶ τοῦ εἰπεῖν κρέα ἢ ἕτερόν τι, δίκην εἶπε. μισῶν οὖν τὰς δίκας λοιπὸν ὁ φιλοκλέων, ὡς ὕβρεις ταῦτα λέγει τῷ υἱῷ. Τὴν αὐλητρίδα. τὸ γένος τοῦ γελοίου. παρὰ ἀριστοφάνους ἐντεῦθεν ἀρξάμενον. Ἀπὸ τύμβου πεσών. καὶ τοῦτο ὡς εἰς γέροντα. ἀντὶ τοῦ ἀπὸ νοῦ καταπεσών. Ἄλλως. Ἐπεὶ ὡς νέος διαλέγεται. εἰώθασι δὲ οἱ νέοι τοῖς γέρουσι τοῦτο λέγειν. Ἡ Δαρδανίς. ἐπεὶ ἀπὸ Δαρδανίας φέρονται αἱ αὐλητρίδες. Ἐστιγμένην. ἐστιγμένην λέγει τὴν δᾶδα. ἔγραφον γὰρ καὶ ἐκόσμουν τὰς λαμπάδας. ἢ τὴν αὐλητρίδα φησὶν ἐστιγμένην διὰ τὸ κεκαλλωπισμένην εἶναι καὶ διὰ τὸ κατέχειν δᾶδας.

φρυνίχου σκευάσαντος ὁ θελήσας προσκαλούμενοι εἰς τὸ δικαστήριον δηλονότι. Ἰαῦ ἰαῦ. χλευαστικὸν ἐπίρρημα τοῦτο. καταφρονεῖ λοιπὸν καὶ τῶν δικαστικῶν ῥημάτων. τὸ γὰρ καλούμενοι ἀπορρίπτει. Βάλλε κημοὺς βάλλε ἐς κόρακας τὰ δικαστικὰ σκεύη. Ἀνάβαινε δεῦρο ἑταίρα τις εἰκολούθει αὐτῷ. ἣν ἔλαχεν ἐκ τοῦ συμποσίου ἣ καὶ προσβάλλει καὶ πειρᾶν ἄρχεται. Χρυσομηλολόνθιον. ἐπὶ τινος μετεώρου ὁ γέρων ἐφεστὼς προσκαλεῖται προσκοριζόμενον τὴν ἑταίραν. χρυσομηλολόνθιον δὲ ζωύφιόν τι ἐστι κατὰ κάνθαρον ξανθόν. ὃ καὶ κατέχοντες οἱ παῖδες, δεσμοῦσιν ἐκ τοῦ ποδὸς καὶ ἀφιᾶσι πρὸς τὸν ἀέρα. Ἄλλως. πρὸς τὴν ἑταίραν ὁ γέρων παρὰ τὸ μηλολόνθιον χρήζοντα ἔχειν τὰ πτερά. οὐ γὰρ οἶμαι τὸ χρυσόμηλον γνωρίζεσθαι. εἰ καὶ μὴ σύνθετον ἀλλ' ἐστὶν ἐκ τούτων. Σχοινίου. ἴσως τοῦ πέους. παίζει δέ. σαπρὸν δὲ παλαιόν. γέρων γὰρ ἦν. ὑφειλόμην δὲ ἔκλεψα ἀπὸ τῶν συμποτῶν. Μέλλουσαν ἤδη λεσβιεῖν. τὸ λεσβιεῖν ἐπὶ αἰσχροῦ τάττεται. ἐπειδὴ οἱ λέσβιοι αἰσχρουργοῦσι τῷ στόματι μολυνόμενοι. παρὰ τὸ ἱστορούμενον ὅτι παρὰ λεσβίοις τοῦτο πρῶτον ἡ γυνὴ ἔπαθε. καὶ παρὰ θεοπόμπῳ ἐν ὀδυσσεῖ. ἵνα μὴ τὸ παλαιὸν τοῦτο καὶ θρυλούμενον δι' ἡμετέρων στομάτων εἴπω σόφισμα ὅ φασι παῖδες λεσβίων εὑρεῖν. στράττις ἐν χρυσίππῳ [illegible] ἤ, μή ποτ' ὦ παῖ ζηνὸς ἔστ' αὐτὸ μόλις. ἀλλὰ παραδοὺς τοῖς λεσβίοις χαίρειν ἔα καὶ ἐν [illegible]. ἐγὼ δ' ἄτ' ἐπίνικος ὀρθίασιν εἰς ἔφη τῷ στόματι δράσω ταῦθ' ἅπερ τοῦ αἰσχροῦ τάττεται. Φιαλεῖς. τῷ ἔργῳ ἐπιβαλεῖς. ὅμηρος. αὐτὸς γὰρ ἐφίαλλε τὰ δ' ἔργα ἀντὶ τοῦ ἐπέβαλλε. καὶ φιαλούμενον τουτέστι τῷ ἔργῳ ἐπιβαλούμενον. ἐπὶ τοῦτο ὁρμήσομεν. φιαλεῖν γὰρ τὸ ἄρχεσθαι τοῦ πράγματος ὁ αὐτὸς ἀριστοφάνης. ἄγε δὴ σὺ ταχέως ὕπεχε τὴν φιάλην ὅπως ἔργῳ φιαλούμενοι λειψάμενοι τοῖς θεοῖς. Ἄλλως φιαλεῖν τὸ τῇ φιάλῃ πιεῖν. νῦν δὲ ἴσως καὶ κακεμφάτως. Πολλοῖς γὰρ ἤδη χἀτέροις. ἢ τὸ αἰσχρὸν χἀτέροις εἰργάσω. εἰ καὶ ἐκφεύγεις ἐμὲ καὶ γὰρ ἄλλοις αὐτὸ εἰργάσω. Ἐὰν δὲ γένη. μιμεῖται ἐνταῦθα τοὺς λέγοντας πρὸς τὰς ἑταίρας καὶ ὀμνύντας, ἐάν μου ὁ πατὴρ ἀποθάνῃ

ΒΔΕ. ἦ μὴν σὺ δώσεις αὔριον τούτων δίκην
ἡμῖν ἅπασι κεἰ σφόδρ' εἶ νεανίας.
ἀθρόοι γὰρ ἥξομέν σε προσκαλούμενοι.
ΦΙ. ἰὴ ἰεῦ, καλούμενοι. ἀρχαῖά γ' ὑμῶν ἆρά γ' ἴσθ'
ὡς οὐδ' ἀκούων ἀνέχομαι δικῶν. ἰαιβοῖ αἰβοῖ
τάδε μ' ἀρέσκει. βάλλε κημούς.
οὐκ ἄπεισι. ποῦ 'στιν ἡλιαστὴς ἐκποδών.
ἀνάβαινε δεῦρο χρυσομηλολόνθιον.
τῇ χειρὶ τουδὶ λαβομένη τοῦ σχοινίου
ἔχου. φυλάττου δ' ὡς σαπρὸν τὸ σχοινίον.
ὅμως γε μέντοι τριβόμενον οὐκ ἄχθεται.
ὁρᾷς, ἐγώ σ' ὡς δεξιῶς ὑφειλόμην,
μέλλουσαν ἤδη λεσβιεῖν τοὺς ξυμπότας.
ὧν εἵνεκ' ἀπόδος τῷ πέει τῳδὶ χάριν.
ἀλλ' οὐκ ἀποδώσεις, οὐδὲ φιαλεῖς οἶδ' ὅτι
ἀλλ' ἐξαπατήσεις. κἀγχανεῖ τούτῳ μέγα.
πολλοῖς γὰρ ἤδη χἀτέροις αὔτ' εἰργάσω.
ἐὰν γένη δὲ μὴ κακὴ νυνὶ γυνή,
ἐγώ σ' ἐπειδὰν οὑμὸς υἱὸς ἀποθάνῃ,

Ἔοικας ὦ πρεσβῦτα. δίδυμος φησὶν, ἀδιανόητα σκώπτει ἐνταῦθα. τὸ δὲ τρυγὶ ὡς πρὸς γεγηρακότα λέγει. Κλητῆρί τ'. διὰ τὸ φιλοδίκας ἦν εἶναι καὶ ὅτι ὡς ἐπίπαν γέροντας παρελάμβανον κλητῆρας. τὸ δὲ λοιπὸν, παιδιᾶς ἕνεκεν. ἢ οὐδὲν πρὸς ἔπος. παρὰ τὴν παροιμίαν· ὄνος εἰς ἀχυρῶνας ἀπέδρα. ὁ δὲ ἄχειρος παρ' εὐπόλιδι, ἐν χρυσῷ γένει, ὅπου καὶ τὸ πλάτωνος παράκειται δ' ἐξ ἀδώνιδος.

Ὁ δ' ἀνακραγὼν καὶ ταῦτα ἀπρόσλογα. ἐπεὶ καὶ τῷ ἀποδεδρακότι, ἀπρόσλογον ἐκεῖνος εἶπεν.

ὥσπερ καχρύων ὀνίδιον εὐωχημένον.
κἀτύπτε δή με νεανικῶς παῖ παῖ καλῶν.
εἶτ' αὐτὸν ὡς εἶδ' ᾔκασεν λυσίστρατος.
ἔοικας ὦ πρεσβῦτα νεοπλούτῳ τρυγὶ
κλητῆρί τ' εἰς ἀχυρῶνας ἀποδεδρακότι.
ὁ δ' ἀνακραγὼν, ἀντῄκασ' αὐτὸν πάρνοπι
τὰ θρῖά γε τοῦ τρίβωνος ἀποβεβληκότι
σθενέλῳ τε τὰ σκευάρια διακεκαρμένῳ.
οἱ δ' ἀνεκρότησαν πλήν γε θουφράστου μόνου.
οὗτος δὲ διεμύλλαινεν. ὡς δὴ δεξιός
ὁ γέρων δὲ τὸν θούφραστον ἤρετ' εἰπέ μοι
ἐπὶ τῷ κομᾷς καὶ κομψὸς εἶναι προσποιεῖ
κωμῳδολοιχῶν περὶ τὸν εὖ πράττοντ' ἀεί.
τοιαῦτα περιύβριζεν αὐτοὺς ἐν μέρει.
σκώπτων ἀγροίκως καὶ προσέτι λόγους λέγων
ἀμαθές τ' οὐδὲν εἰκότας τῷ πράγματι
ἔπειτ' ἐπειδὴ μέθυεν. οἴκαδ' ἔρχεται.
τύπτων ἅπαντας, ἤν τις αὐτῷ ξυντύχοι.
ὁδὶ δὲ δὴ καὶ σφαλλόμενος προσέρχεται.
ἀλλ' ἐκποδὼν ἄπειμι, πρὶν πληγὰς λαβεῖν.
Φι. ἄνεχε. πάρεχε.
κλαύσεταί τις τῶν ὄπισθεν
ἐπακολουθούντων ἐμοὶ
οἷον εἰ μὴ 'ρρήσεσθ' ὑμᾶς
ὦ πόνηροι, ταύτῃ τῇ
δαΐδι φρυκτοὺς σκευάσω.

Τὰ θρῖα τοῦ τρίβωνος. ἐπεὶ ἐνίοτε ὥσπερ φύλλα ἐμποικίλλουσι. σθένελος δὲ ὁ τραγικὸς ὑποκριτὴς ὃς διὰ πενίαν τὴν τραγικὴν σκευὴν ἀπέδοτο κακῶς πράττων. οὗτος ἐλαύνων περὶ τοῖς τείχεσιν ἐνδεδημένος διεχλεύαζε. περὶ τούτου γέγραπται ἐν γηρυτάδῃ. καὶ πῶς ἐγὼ σθενέλου φάγοιμ' ἂν ῥήματα εἰς ὄξος ἐμβαπτόμενος. ἢ ξηροὺς ἅλας. διακεκαρμένῳ δὲ, ἀφῃρημένῳ πωλήσαντι. διεμύλλαινε δὲ, τὰ χείλη διέστρεφεν ὡς χλευάζων καὶ μὴ ἡσθεὶς τῷ λεγομένῳ. Ἐπὶ τῷ κομᾷς. ἐπεὶ κομήτης ὁ θεόφραστος ἦν· ἔστι δὲ καὶ τῶν κολάκων. ἢ μέγα φρονεῖς. ἐν μέρει δὲ καθ' ἕκαστον. Οὐδὲν εἰκότας. οὐδὲν ἁρμόζοντας τῷ πράγματι. Ὁδὶ δὲ δὴ σφαλλόμενος. κινούμενος ὑπὸ μέθης. Ἄνεχε πάρεχε. μετὰ λαμπάδων ἔρχεται καὶ μετὰ αὐλητρίδος ἀποσπάσας αὐτὴν ἐκ τοῦ συμποσίου. ὁ δὲ νοῦς, παρὰ τὴν ἐν τρῳάσι κασαίδραν ἄνεχε πάρεχε. φῶς φέρω. σέβω. φλέγω. τοῦτο παίζει ὅμοια ἐπειδὴ ἐστὶν ἐν τῇ τρῳάδων καθίσεις ἐπιστρέπτα. Ἐπακολουθούντων ἐμοί. ἠκολούθουν αὐτῷ τινες τῶν τυφθέντων ὑπ' αὐτοῦ. Εἰ μὴ 'ρρήσεσθε. εἰ μὴ ἀναχωρήσετε. τὸ ὑμᾶς δὲ πρὸς τὸ φρυκτούς. τὸ δὲ οἷον ἀντὶ τοῦ οἵως. τὸ δὲ ἑξῆς, ἤτοι ὑμᾶς ὡς ἰχθύδια πεφρυγμένα τῇ δαΐδι

ε ἴσως τινὲς. ἄδηλον πότερον τῆς καλλιστράτου εἰς τὴν βουλὴν εἰσαγωγῆς καὶ νῦν μέμνηται, ὅτι αὐτὸν κλέων εἰσήγαγεν ἢ ἑτέρου κατ' αὐτὸν γενομένου ἀριστοφάνους. καὶ μὴ εἰσαγωγῆς, ἀλλὰ ἀπειλῆς τινος, ὅπερ καὶ μᾶλλον ἐμφαίνεται ἔκνισεν. ἀντὶ τοῦ ἐκάκισεν. Ἡνίκα κλέων. ἐπέκειτο γὰρ αὐτῷ ὁ κλέων, ὅτι ἐκωμῴδει τοῦ ἐπ' αὐτοῦ. ἄδηλον δὲ εἰ μετὰ τὸ διδάξαι τοὺς ἱππέας λέγει. Ὅσον δὲ μόνον εἰδέναι. ἀντὶ τοῦ τοσοῦτο μόνον προεῖδον, εἴ ποτε θλιβόμενος ὑπὸ κλέωνος σκώψω αὐτόν. Ὑπό τι μικρὸν ἐπιθήκισα. ταῦτα ἐννοῶν φησιν ὅτι τύπτομαι ὑπ' αὐτοῦ καὶ οὐδενὶ μέλει, μικρὸν αὐτὸν ἐκολάκευσα.

ε ἐξηπάτησεν ἡ χάραξ. παροιμία ὅταν ὑπὸ τοῦ σώζοντος τὸ σωζόμενον ἀπατηθῇ. χωρὶς τοῦ εἶτα νῦν ὅταν ἐξαπατηθῇ τις πιστεύσας. ἔστι οὖν παροιμία ἀπὸ τῶν καλάμων τῶν προσδεδεμένων ταῖς ἀμπέλοις. οἳ ἐνίοτε ῥιζοβολήσαντες, ὑπερέχουσι τῶν ἀμπέλων. νυνὶ δὲ ἠπάτησα, ὑπὲρ τοῦ ποιῆσαι λέγεσθαι τὰς κωμῳδίας ἐπὶ θεάτρων εἰσάγεσθαι. ὅτι δὲ ἡ ξένων παρόντων πολίτας ἔσκωπτον. ἢ ὅτι τὰ μεγάλα ἀσφαλῆ τῆς ἰδίας δόξης πιστεύσαντα ἑαυτὰ τοῖς μικροῖς.

ι ὦ χελῶναι. ὁ οἰκέτης ἐξέρχεται τυπτηθεὶς ὑπὸ φιλοκλέωνος.

ἈΝΤΙΣΤΡΟΦῊ ΚΏΛΩΝ. Θ'.

Εἰσί τινες οἵ μ' ἔλεγον ὡς καταδιηλλάγην.
ἡνίκα κλέων μ' ὑπετάραττεν ἐπικείμενος.
καί με κακίσταις ἔκνισε. κᾆθ' ὅτ' ἀπεδειρόμην,
οὑκτὸς ἐγέλων μέγα κεκραγότα μ' οἱ θεώμενοι
οὐδὲν ἄρ' ἐμοῦ μέλον. ὅσον δὲ μόνον εἰδέναι,
σκωμμάτιον εἴ ποτέ τι θλιβόμενος ἐκβαλῶ.
ταῦτα κατιδὼν, ὑπό τι μικρὸν ἐπιθήκισα.
εἶτα νῦν ἐξηπάτησεν ἡ χάραξ τὴν ἄμπελον.

Θε. ἰὼ χελῶναι μακάριαι τοῦ δέρματος.
καὶ τρισμακάριαι τοῦ 'πὶ ταῖς πλευραῖς ἐμαῖς
ὡς δὲ κατηρέψασθε. καὶ νουβυστικῶς,
κεράμῳ, τὸ νῶτον ὥστε τὰς πληγὰς στέγειν.
ἐγὼ δ' ἀπόλωλα στιζόμενος βακτηρίᾳ.

Χο. τί δ' ἔστιν ὦ παῖ. παῖδα γὰρ κἂν ᾖ γέρων
καλεῖν δίκαιον, ὅστις ἂν πληγὰς λάβῃ.

Θε. οὐ γὰρ ὁ γέρων ἀτηρότατον ἄρ' ἦν κακόν.
καὶ τῶν ξυνόντων πολὺ παροινικώτατος;
καίτοι παρῆν ἵππυλος. ἀντιφῶν. λύκων.
λυσίστρατος. θούφρασος. οἱ περὶ φρύνιχον.
τούτων ἁπάντων ἦν ὑβριστότατος μακρῷ.
εὐθὺς γὰρ ὡς ἐνέπλητο πολλῶν κἀγαθῶν
ἐνήλλατ', ἐσκίρτα. ἐπεπόρδει. κατεγέλα.

κλέωνος. Καὶ νουβυστικῶς. ἀντὶ τοῦ συνεχῶς, νοῦ πεπληρωμένως, παρὰ τὸ νοῦς καὶ τὸ βύσαι. ὅ ἐστι πληρῶσαι. γίνεται ἀσκὴ ποιὸ βεβυσμένον. κεῖται καὶ ἐν ἐκκλησιαζούσαις. Κεράμῳ τὸ νῶτον. ὡς περὶ ὀρόφου στέγης διαλέγεται. ἔνιοι δὲ, στιζόμενος γράφουσιν. οἷον κεντούμενος. ἐὰν δὲ σταζόμενος γράφηται, καὶ οὕτως ἔσται παρὰ τῶν ψεκάδων οὕτω πυκνὰ τυπτόμενος. στέγειν δὲ ἀντὶ τοῦ συνέχειν. ὅθεν καὶ ἡ στέγη ἡ περιέχουσα. Οἱ περὶ φρύνιχον. τῶν κολάκων ἂν εἴη φρύνιχος ὁ ποιητής. ὁ δὲ σύμμαχός φησιν, εὐλογώτατον ἂν εἴη τὸν τραγικὸν ὑποκριτὴν φρύνιχον. Ὥσπερ καχρύων. ὡς περὶ ὄνος κριθῶν κορεσθείς.

ΤΑ ΤΟΥ͂ ΔΡΑ΄ΜΑΤΟΣ ΠΡΟ΄ΣΩΠΑ.

Εὐέλπιδης.
Ἕτερος θεράπων τροχίλος.
Κῆρυξ.
Χρησμολόγος.
Ψηφισματογράφος.
Ἕτερος κῆρυξ.
Γένης συκοφάντης.
Τριβαλός.
Ἕτερος ἄγγελος.
Πεισθέταιρος.
Ἔποψ.
Ἱερεύς.
Γεωμέτρης.
Ἄγγελος.
Πατραλοίας.
Προμηθεύς.
Ἡρακλῆς.
Θεράπων ἔποπος.
Χορὸς ὀρνίθων.
Ποιητής.
Ἐπίσκοπος.
Ἶρις.
Κινησίας διθυραμβοποιός.
Ποσειδῶν.
Οἰκέτης πεισθεταίρου.

χοντο τοῦ κακοπραγμονεῖν καὶ συκοφαντεῖν.

Ἄλλως.

Τῆς τῶν Ἀθηναίων πολιτείας τὸ μέγιστον ἦν κλέος, αὐτόχθοσι γενέσθαι· φιλοτιμία πρώτη, τῷ μηδέπω μηδεμιᾶς πόλεως φανείσης αὐτὴν πρώτην ἀναβλαστῆσαι. ἀλλὰ τῷ χρόνῳ ὑπὸ προεστώτων πονηρῶν καὶ πολιτῶν δυσχερῶν, ἀεί τι ἐτράπετο καὶ διωρθοῦτο πάλιν. ἐπειδὴ οὖν τοῦ σικελικοῦ πολέμου πονηρῶν τινῶν τὰ πράγματα ἐγχειρισθέντων, ἐπισφαλὴς γέγονεν ἡ παρ' ἑαυτοῖς κατάστασις· καὶ ἐν μὲν ἄλλοις δράμασι, διὰ τῆς κωμικῆς ἀδείας ἤλεγχεν Ἀριστοφάνης τοὺς κακῶς πολιτευομένους. φανερῶς μὲν, οὐδαμῶς. οὐ γὰρ ἐπὶ τούτου ἦν ἐκκλησία· λεληθότως δὲ ὅσον αὐτῷ ἧκεν ἀπὸ κωμῳδίας προσκρούειν. ἐν δὲ τοῖς ὄρνισι καὶ μέγα τι διανοεῖται. ὡς γὰρ ἀδιόρθωτον ἤδη νόσον τῆς πολιτείας νοσούσης, καὶ διεφθαρμένης ὑπὸ τῶν προεστώτων, ἄλλην τινὰ πολιτείαν αἰνίττεται· καὶ προεστῶτας ἑτέρους, ὡσανεὶ τῶν ὄντων, κακῶν καθεστώτων. οὐ μόνον δὲ τοῦτο ἀλλὰ καὶ τὸ σχῆμα ὅλον· καὶ τὴν φύσιν εἴδεσι. συμβουλεύει μετατίθεσθαι πρὸς τὸ ἠρεμαίως βιοῦν· καὶ ἡμῖν ἀπόστασις αὕτη. τὰ δὲ κατὰ θεῶν βλάσφημα, ἐπιτηδείως ᾠκονόμηται. καινῶν γάρ φησι τὴν πόλιν προσδεῖσθαι θεῶν· ἀφροντιστούντων τῆς κακίας τῶν Ἀθηναίων τῶν ὄντων, καὶ παντελῶς ἠλλοτριωκότων ἑαυτοὺς τῆς χώρας. ἀλλ' ὁ μὲν καθόλου στίχος, τοιοῦτος. ἕκαστος δὲ τῶν κατὰ μέρος, οὐκ εἰκῆ· ἀλλ' αὖ πικρῶς Ἀθηναίων καὶ τῶν παρ' αὐτοῖς ἐγχειριζομένων τὰ κοινὰ, ἐλέγχει τὴν φαύλην διάθεσιν, ἐπιθυμίαν ἐγκατασπείρων τοῖς ἀκούουσιν, ἀπαλλαγῆναι τῆς ἐνεστώσης μοχθηρᾶς πολιτείας. ὑποτίθεται γὰρ περὶ τὸν ἀέρα πόλιν τῆς γῆς ἁπάσης ἀπαλλάσσων· ἀλλὰ καὶ βουλὰς καὶ συνόδους ὀρνίθων, τοὺς Ἀθηναίων δυσχεραίνων. ἀλλὰ καὶ ὅσα παίζει· ἐπίσκοπον, ἢ ψηφισματογράφον· ἢ τοὺς λοιποὺς εἰσάγων οὐχ ἁπλῶς, ἀλλὰ γυμνοῖ τὰς ἁπάντων προαιρέσεις. ὡς αἰσχροκερδείας ἕνεκεν χρηματίζοντας. εἶθ' ὕστερον καὶ τοὺς θεοὺς, εἰς ἀπόνοιαν κωμῳδεῖ. τὰ δὲ ὀνόματα τῶν γερόντων πεποίηται. ὡς εἰ πεπιθοίη ἕτερος τῷ ἑτέρῳ, καὶ ἐλπίζοι ἔσεσθαι ἐν βελτίοσι. τινὲς δέ φασι τὸν ποιητὴν, τὰς ἐν ταῖς τραγῳδίαις τερατολογίας διελέγχειν. ἐν δὲ τοῖς νῦν, τὴν τῆς γιγαντομαχίας συμπλοκὴν ἕωλον ἀποφαίνων, ὀρνίθων ἔδωκε διαφέρεσθαι πρὸς θεοὺς περὶ τῆς ἀρχῆς. Ἐπὶ Χαβρίου τὸ δρᾶμα καθῆκεν εἰς ἄστυ, διὰ Καλλίου· εἰς δὲ Λήναια, τὸν Ἀμφιάραον ἐδίδαξε διὰ Φιλωνίδου. λάβοι δ' ἄν τις τοὺς χρόνους, ἐκ τῶν πέρυσι γενομένων ἐπὶ Ἀριμνήστου τοῦ πρὸ Χαβρίου. Ἀθηναῖοι γὰρ πέμπουσι τὴν Σαλαμινίαν, Ἀλκιβιάδην μεταστελλόμενοι ἐπὶ κρίσει τῆς τῶν μυστηρίων ἐκμιμήσεως. ὁ δὲ ἄχρι μὲν Θουρίου εἵπετο τοῖς μεθήκουσιν· ἐκεῖθεν δὲ δρασμὸν ποιησάμενος εἰς Πελοπόννησον ἐπεραιώθη. τῆς δὲ μετακλήσεως, μέμνηται καὶ Ἀριστοφάνης, ἀποκρύπτων μὲν τὸ ὄνομα. τὸ δὲ πρᾶγμα δηλῶν. ἐν οἷς γέ φησι, μηδαμῶς ἡμῖν παρὰ θάλασσαν, ἵν' ἀνακύψεται κλητῆρ' ἄγουσα ἕωθεν ἡ Σαλαμινία.

ἈΡΙΣΤΟΦΆΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ͂ ὈΡΝΊΘΩΝ ὙΠΌΘΕΣΙΣ ΔΙᾺ ΣΤΊΧΩΝ ἸΆΜΒΩΝ.

δ Ια τὰς δίκας φεύγοντ' Ἀθήνας δύο τινές.
Οἳ πρὸς τὸν ἔποπα τὸν λεγόμενον Τηρέα.
Ἐλθόντες ἦσαν τῶν ἀπραγμόνων πόλιν.
Εἷς δ' ὄρνις ἔποπι συμπαρὼν μετὰ Τηρεὸν (?)
Πτηνῶν διδάσκει τί δύνατ' ὀρνίθων γένος.
Καὶ πῶς ἐὰν περὶ κατὰ μέσον τὸν ἀέρα.
Πόλιν κτίσωσι, τῶν θεῶν τὰ πράγματα.
Αὐτοὶ παραλήψοντ', ἐκ δὲ τοῦδε τοῦ φαρμάκου.
Πτέρυγάς τ' ἐφύουν. ἠξίωσαν δ' οἱ θεοί.
Ἐπίθεσιν οὐ μικρὰν ὁρῶντες γινομένην.

Ἄλλως.

Δύο πρεσβῦται Ἀθηναίων Πεισθέταιρος καὶ Εὐέλπιδης τὴν συκοφαντίαν φεύγοντες τὴν Ἀθήνησι, μετανίστασθαι δοκιμάζουσι. καὶ κολοιὸν καὶ κορώνην πριάμενοι, παραγίνονται πρὸς ὄρνιθας τῆς παρ' αὐτοῖς ἐπιθυμοῦντες διαγωγῆς. οἱ δὲ ὄρνιθες τὸ μὲν πρῶτον ἀργεῖσθαί φασιν, εἰ μετὰ ἀνθρώπων πολεμίων ὄντων οἰκήσουσι. μαθόντες δὲ ὕστερον ὡς ὠφεληθήσονται, συγχωροῦσι μένειν αὐτούς. οἱ δέ, πόλιν κτίσαντες ἐν τῷ ἀέρι, νεφελοκοκκυγίαν ὠνόμασαν. ἀλλ' οὐδὲ ταύτην ἀνενόχλητον ἐῶσιν οἱ Ἀθηναῖοι. μάντεις γὰρ καὶ χρησμολόγοι φοιτῶσι, λαβεῖν τι βουλόμενοι ἐν οἷς καὶ Μέτων. οὗτοι δὲ πάντες, ἀποπέμπονται ἄπρακτοι. πλουτοῦσι δὲ καὶ θεοὶ διὰ τὸ μὴ ἐᾶσθαι τὸν καπνὸν τῶν ἱερείων ἀνιέναι, λιμῷ φθειρόμενοι πρεσβεύονται πρὸς τοὺς ὄρνιθας. ὁ δὲ σκοπὸς τοῦ δράματος, διασῦραι πάλιν τοὺς Ἀθηναίους ὡς φιλοδίκους. ἡ δὲ σκηνὴ ἐν πέτραις καὶ ὀρνέοις. ἐγράφη δὲ μετὰ τὸν Ἀλκιβιάδην ὑπὸ τῆς Σαλαμινίας νεὼς μεταπεμφθῆναι διὰ τὴν περικοπὴν τῶν ἑρμῶν. καὶ φυγεῖν εἰς Λακεδαίμονα.

Ἄλλως.

Δύο εἰσὶν Ἀθήνηθεν ἐκκεχωρηκότες πρεσβῦται διὰ τὰς δίκας. πορεύονται δὲ πρὸς τὸν Τηρέα ἔποπα γενόμενον, πευσόμενοι παρ' αὐτοῦ, ποία πόλις ἐστὶν εἰς κατοικισμὸν βελτίστη. χρῶνται δὲ τοῖς ὁδοῦ καθηγεμόσιν, ὀρνέοις. ὁ μέν, κορώνῃ. ὁ δέ, κολοιῷ. ὀνομάζονται δέ, ὁ μὲν Πεισθέταιρος. ὁ δὲ Εὐελπίδης. ὃς καὶ πρότερος ἄρχεται. Ἡ σκηνὴ ἐν Ἀθήναις. τὸ δρᾶμα τοῦτο, τῶν ἄγαν δυνατῶς πεποιημένων. ἐδιδάχθη ἐπὶ Χαβρίου ἄρχοντος εἰς ἄστυ, διὰ Καλλιστράτου. ὃς ἦν, δεύτερος τοῖς Ὄρνισι. πρῶτος, Ἀμειψίας Κωμασταῖς, τρίτος, Φρύνιχος Μονοτρόπῳ. ἔστι δὲ λε. φοβερὰ δὲ τότε τοῖς Ἀθηναίοις τὰ πράγματα. τό τε γὰρ ναυτικὸν ἀπώλετο περὶ Σικελίαν. Λάμαχος, οὐκέτι ἦν. Νικίας ἐτεθνήκει. Δεκέλειαν ἦσαν τειχίσαντες Λακεδαιμόνιοι. Ἆγις ὁ Λακεδαιμονίων στρατηγός, περιεκάθητο τὴν Ἀττικήν. Ἀλκιβιάδης, τὰ Λακεδαιμονίων ἐφρόνει. καὶ ἐκκλησιάζων, συνεβουλεύσατο τὰ χρηστὰ Λακεδαιμονίοις. ταῦτα αἱ Ἀθηναίων συμφοραί. αὗται αἱ Ἀθηναίων φυγαί. καὶ ὅμως οὐκ ἀπεί-

Ἁλμηρὰ κύκα. ὡς πρὸς ἰχθῦς ὁ λόγος, ὅτι ἅλμη ὅτι πάντως ζωμός. καὶ τοῦτο πρὸς τὸ τοῦ λυφάγον αὐτῶν. ἵνα γὰρ τὰ κρέα μὴ σήπηται, πάττεται τῇ ἅλμῃ. Ἄλλως. ἐπειδὴ ἅλμην παρασκευάζουσιν ἐπὶ τῷ φαγεῖν ἰχθύδια. ἢ καρκίνους ὡς καρκίνοις οὖν αὐτοῖς χρώμενος φησὶν ὅτι παρασκεύασον ἅλμην, ἵνα ἐὰν αὐτοὺς νικήσω ὀπτήσω αὐτοὺς καὶ φάγω. Βεμβικίζωσιν. διαδινήσωσι. βέμβηξ δὲ ὁ ξύλινος στρόμβος. ἐν ἐπιγράμματι. οἱ δ' ἄρ' ὑπὸ πληγῇσι θοὰς βέμβικας ἔχοντες ἔστρεφον εὐρείῃ παῖδες ἐνὶ τριόδῳ. καὶ ἀναγκαίου Ἀριστοφάνης. βέμβικος οὐδὲν διαφέρειν δεῖ. ἀντὶ τοῦ ἀκίνητον καὶ ἄστροφον εἶναι δεῖ. ἔστι δὲ βέμβηξ ὀργάνιον ὃν μάστιγι στρέφουσιν οἱ παῖδες. ἢ παίγνιον τῶν παίδων. ὡς τροχός. ὃς μάστιγι κόμενος στρέφεται. καὶ βεμβικιᾶν τὸ περιστρέφεσθαι. ὡς καρκίνοις δ' ὁ χορὸς αὐτοῖς διαλέγεται. Καὶ τὸ φρυνίχειον. δῆλον ὡς σημειῶδές τι ἦν τὸ φρυνίχειον. τὸ εἰς ὕψος ἐν τῇ ὀρχήσει ἐκλακτίζειν. τὸ δὲ ὤζωσιν. ἀντὶ τοῦ θαυμαστικόν τι λέγωσι. σύνθετον δέ ἐστι ὡς τὸ οἰμώζειν καὶ κλώζειν ἀπὸ τοῦ ὢ θαυμαστικοῦ. Ῥίπτε σκέλος. Εὐφρόνιος οὔπω φησὶν ὀνομάζεσθαι σχῆμά τι τραγῳδικῆς ὀρχήσεως. βέμβικες δὲ περιφοραί. περιαγωγαί ὡς ἀνωτέρω εἴρηται. Καὐτὸς γάρ. ὁ καρκίνος φησὶ προσέρχεται. πρὸς τοῦτο γὰρ καὶ τὸ ποντομέδων. Τοῖσι τριόρχαις. ἔπαιξε διὰ τὸ τρεῖς εἶναι. ἔστι δὲ ὁ τριόρχης ὄρνεον. Ἐξάγετ' εἴ τι φιλεῖτε. ἐξάγετε ἑαυτούς φησιν ἔξω. Οὐδείς πω πάρος. εἰσέρχεται γὰρ ὁ χορὸς ὀρχούμενος. οὐδαμῶς δὲ ἐξόρχεται.

Ἅλμην κύκα τούτοισιν, ἢν ἐγὼ κρατῶ.

Χο. φέρε νυν, ἡμεῖς αὐτοῖς ὀλίγον ξυγχωρήσωμεν ἅπαντες,
ἵν' ἐφ' ἡσυχίας ἡμῶν πρόσθεν βεμβικίζωσιν ἑαυτούς.

ΣΤΡΟΦΗ ΚΩΛΩΝ, Ι.

Ἡμί. Ἄγ' ὦ μεγαλώνυμα
τέκνα τοῦ θαλασσίου,
πηδᾶτε παρὰ ψάμαθον
καὶ θῖν' ἁλὸς ἀτρυγέτοιο.
καρίδων ἀδελφοί.
ταχὺν πόδ' ἐν κύκλῳ σοβεῖτε.
καὶ τὸ φρυνίχειον
ἐκλακτισάτω τις ὅπως
ἰδόντες ἄνω σκέλος,
ὤζωσιν οἱ θεαταί.

ΣΤΡΟΦΗ ΕΤΕΡΑ ΣΤΙΧΩΝ, Ι.

Ἡμ. στρόβει. παράβαινε κύκλῳ. καὶ γάστρισον σεαυτόν.
ῥίπτε σκέλος οὐράνιον. βέμβικες ἐγγενέσθων.
καὐτὸς γὰρ ὁ ποντομέδων ἄναξ πατὴρ προσέρπει.
ἡσθεὶς ἐπὶ τοῖσιν ἑαυτοῦ παισὶ, τοῖσι τριόρχαις.
ἀλλ' ἐξάγετ' εἴ τι φιλεῖτ' ὀρχούμενοι, θύραζε
ἡμᾶς ταχύ. τοῦτο γὰρ οὐδείς πω πάρος δέδρακεν,
ὀρχούμενός τις ἀπήλλαξεν χορὸν τρυγῳδῶν.

Ἀριστοφάνους Σφηκῶν τέλος.

Ἀλλὰ μανικὰ πράγματα. εἰπόντος αὐτῷ ὅτι νῦν δὴ λέλημαι χαλάσας τὰς ἐπιμελείας τῆς κοτύλης, ἐπάγει ὁ παῖς ὅτι οὐκ ἐκλύσεως ἀλλὰ μανίας ἐστὶ πράγματα.

Ὁ μέσατος. οὐ τὸν τραγικὸν λέγει μέσατον. ἄλλως ἀντὶ τοῦ μέσος. καὶ μεῖ ανδρος καρκινοδυίοις. ἀκριβῶς δὲ ἔοικε λέγειν. τέσσαρες μὲν δή εἰσιν. ἀλλ' οἱ τρεῖς χορευταί. ξενοκλῆς δὲ ποιητής. καταλέγει αὐτοὺς σαφῶς φερεκράτης. τῶν τριῶν οὖν μέσος. Ἐμμελείᾳ κονδύλου. ἐμμέλεια τραγικὴ ὄρχησις, ὡς εἰ ἔλεγεν ἐμμελεία ᾠδῆς, εἶπε δὲ κονδύλου. δίδωμι αὐτῷ κόνδυλον καὶ ἀπολῶ αὐτόν. μακρὸς γάρ ἐστι καὶ λεπτός. Ἐν τῷ ῥυθμῷ γάρ. ἀντὶ τοῦ οὐδὲν οἶδε τοῦ ῥυθμοῦ. Καρκινίτης ὁ υἱὸς καρκίνου. ὀψώνηκε δὲ εἶπεν ὡς ὀψοφάγον αὐτὸν διαβάλλων. πλὴν γε καρκίνους παρὰ τοὺς καρκίνους τοὺς λεγομένους παγούρους. Ὀξὶς ἢ φάλαγξ εἶδος ἀγγείου ὀξηροῦ ἡ ὀξίς. Ἄλλως. εἰς σμικρὸν τὸν φιλοκλέα καὶ τὸ φαλάγγιον. δῆλον δὲ ἐκ τῶν φερεκράτους ἀγρίων. καὶ καρκῖνος μέν τις ἦν ὁ θωρυκίου υἱός. ἦσαν δὲ αὐτῷ τρεῖς τινες. μικροὶ. κομῆται τότε καὶ νῦν εἰσι μικροὶ κομῆται φίλαρχοι τότε παῖδες ἦσαν ὄντες νῦν φιλαρχικώτεροι. μὰ τὸν δί' οὐ τρεῖς τε ἐκεῖνοί εἰσιν οἱ τέτταρες. Ὁ πιννοτήρης. περὶ ξενοκλέους ὁ λόγος. πιννοτήρης δὲ οὐκ ἄλλως ἀλλ' ἐπεὶ καρκίνιόν τι ἐστὶ σύννομον καὶ ἀεὶ ταύτῃ προσδεχόμενον. σοφοκλῆς ἀμφιαράῳ. ὁ πιννοτήρης τοῦδε μαίεται χοροῦ. Ἄλλως. πίννα ὄστρεόν ἐστι. τοῦτο ὑποδέχεται καρκίνος. καὶ ὅταν εἰσέλθῃ μικρὸν ἰχθύδιον διακινεῖ τὴν πίνναν καὶ συστέλλει δ' ὄστρακον καὶ ἐναποκλείει τὸ ἰχθύδιον. Ἄλλως. Οἱ μὲν ζῶόν τι λέγουσι σύννομον τῷ καρκίνῳ τὸν πιννοτήρην, οἱ δὲ αὐτὸν τὸν καρκίνον ὡς ἐπιτηροῦντα τὴν πίνναν. φασὶ γὰρ ὅτι ἡ μὲν πίννα πρὸς τὰς ἀκτῖνας πεσοῦσα τοῦ ἡλίου ἀνοίγνυσι τὸ ὄστρακον. καὶ τὴν θέρμην εἰσδέχεται. ὁ δὲ ἐπιτηρῶν εἰσέρχεται καὶ διακινεῖ αὐτήν. ἡ δὲ συστέλλει τὸ ὄστρακον καὶ βιβρώσκεται ὑπ' αὐτοῦ. Τῶν ὀρχίλων. ὀρχίλος εἶδος ὀρνέου μικρόν. ἐκ τούτου βραχὺ καὶ κατωφερὲς, ἅμα μὲν πρὸς τὴν λαιψηρότητα, ἅμα δὲ πρὸς τὴν ὄρχησιν. ἐμφαίνει δὲ αὐτοὺς καὶ μεγάλα σκέλη ἔχοντας.

Βδε. οὐκ οὖν μὰ Δί' οὐδῆτ' ἀλλὰ μανικὰ πράγματα.
Φι. φέρε νυν, ἀνειπὼ, κἀνταγωνιστὰς καλῶ.
εἴ τις τραγῳδός φησιν ὀρχεῖσθαι καλῶς,
ἐμοὶ διορχησόμενος ἐνθάδ' εἰσίτω.
φησίν τις; ἢ οὐδείς. Βδε. εἷς γ' ἐκεινοσὶ μόνος.
Φι. τίς ὁ κακοδαίμων ἐστίν; Βδε. υἱὸς καρκίνου
ὁ μέσατος. Φι. ἀλλ' οὗτός γε καταποθήσεται.
ἀπολῶ γὰρ αὐτὸν ἐμμελείᾳ κονδύλου.
ἐν τῷ ῥυθμῷ γὰρ οὐδέν ἐστ'. Βδε. ἀλλ' ὦ ζυρέ·
ἕτερος τραγῳδὸς καρκινίτης ἔρχεται,
ἀδελφὸς αὐτοῦ. Φι. νὴ δί' ὀψώνηκ' ἄρα.
Βδε. μὰ τὸν δί' οὐδέν γ' ἄλλο, πλήν γε καρκίνους.
προσέρχεται γὰρ ἕτερος αὖ τῶν καρκίνου.
Φι. τουτὶ τί ἦν τὸ προσέρπον; ὀξὶς ἢ φάλαγξ.
Βδε. ὁ πιννοτήρης οὗτός ἐστι τοῦ γένους,
ὁ σμικρότατος. ὃς τὴν τραγῳδίαν ποιεῖ.
Φι. ὦ καρκίν', ὦ μακάριε, τῆς εὐπαιδίας
ὅσον τὸ πλῆθος. κατέπτησεν τῶν ὀρχίλων.
ἀτὰρ καταβατέον γ' ἐπ' αὐτοὺς ὦ ζυρέ.

Ἀγαθῷ· ἱλαρῷ καλῷ κἀγαθῷ. οἱ δ' ἀθηναῖοι τῷ ἔνθεν καὶ ἀγανοφροσύνη προσήγεια πραότης. ὅμηρος τοῖς ἀγανοῖς ἐπέεσσιν. Εἰς κεκύκληκεν. εἰσήνεγκεν. εἰσήγαγεν.
Οὐδὲν παύσεται. ὅμοιον τῷ παρ' ὁμήρῳ. ὅτ' ἄριστον ἀχαιῶν οὐδὲν ἔτισεν. ἀντὶ τοῦ οὐκ ἔτισεν. Θέσπις. ὁ κιθαρῳδός. οὐ γὰρ δὴ ὁ τραγικός. Κρόνους ἀρχαίους. μωρούς. λήρους. ἀμαθεῖς τούς. Τίς ἐπαυλείοισιν. ὀρχούμενος ὁ γέρων παρατραγῳδεῖται. σχήματος δὲ τοῦ τραγῳδικοῦ. λιγύσαντος. συστρέψαντος περιαγαγόντος. ἡ μεταφορὰ ἀπὸ τῶν παλαιόντων. θεόκριτος. πῆν τὸν ἔρωτα καταπύχεο δάφνι λιγυξεῖν. ἆρ' οὐκ αὐτὸς ἔρωτος ὑπ' ἀργαλέω ἐλιγύχθης.
Σφόνδυλος. ἴσως ἀσχρόν τι πέπρωκε. πῖθ' ἐλλέβορον. ἀποσημειοῦνται τὴν λέξιν καὶ ταῦτα τὸ χ. ὅτι τὸ μὲν πῖθι, ἐπὶ φαρμάκου λέγουσι. καὶ λαγὼν ταράξας πῖθι τὸν θαλάσσιον. τὸ δὲ πῖε ἐπὶ τοῦ ποτοῦ. ἐκ δὲ τοῦ ἐλλεβόρου καὶ ἐλλεβοριᾶν, τὸ ἐλλεβόρου δεῖσθαι. ὡς καλλίας φησί. καὶ ἐλλεβορίζειν.
Πτήσσει φρύνιχος. παροιμία ἐπὶ τῶν κακόν τι πασχόντων. ἀπὸ φρυνίχου τοῦ τραγικοῦ. ὃν ἀθηναῖοι χιλίαις ἐζημίωσαν, ἅλωσιν μιλήτου τραγῳδήσαντα. ὁ δὲ φρύνιχος οὗτος ἀθηναῖος ἦν υἱὸς μελανθᾶ. ἔστι δὲ τῶν δραμάτων αὐτοῦ τάδε. ἀνδρομέδα. ἠριγόνη. ἐποίησε καὶ πυῤῥίχας. πτήσσειν δὲ κυρίως τὸ φεύγειν καὶ φοβεῖσθαι. λέγεται δ' ἐπὶ τῶν ὀρνίθων. Τάχα βαλλήσεις. ῥίψεις λίθους δηλονότι ὀρχούμενος. Σκέλος οὐράνιον. ὡς αὐτοῦ ἐπάραντος τὸ σκέλος καὶ ἀποδείξαντος τὸν πρωκτόν. Κοτυληδών. ἡ κίνησις ἡ κοτύλη μου στρέφεται.

δεινὰ γὰρ οὕτως ἀγαθά.
ξυνεθιζόμην. οὐδὲ πρότερον
ἐπεμαινόμην. οὐδ' ὀξέχυθην.
τί γὰρ ἐκεῖνος ἀντιλέγων,
οὐ κρείττων ἦν, βουλόμενος
τοὺς φύσαντας σεμνοτέροις
κατακοσμῆσαι πράγμασιν;

Οἰ. νὴ τὸν διόνυσον ἄπορά γ' ἡμῖν πράγματα
δαίμων τὶς εἰς κέκληκεν εἰς τὴν οἰκίαν.
ὁ γὰρ γέρων ὡς ἔπιε διὰ πολλοῦ χρόνου
ἤκουσέ τ' αὐλοῦ, περιχαρὴς τῷ πράγματι
ὀρχούμενος τῆς νυκτὸς οὐδὲν παύσεται.
τἀρχαῖ' ἐκεῖν' οἷς θέσπις ἠγωνίζετο
καὶ τοὺς τραγῳδούς φησιν ἀποδείξειν κρόνους.
τὸν νοῦν, διορχησάμενος ὀλίγον ὕστερον.

Φι. τίς ἐπαυλείοισι θύραις θάσσει.

Οἰ. τουτὶ καὶ δὴ χωρεῖ τὸ κακόν.

Φι. κλῇθρα χαλάσθω τάδε. Οἰ. καὶ γὰρ δὴ
σχήματος ἀρχή
μᾶλλον δέ γ' ἴσως μανίας ἀρχή.

Φι. πλευρὰν λυγίσαντος ὑπὸ ῥώμης.
οἷον μυκτὴρ μυκᾶται. καὶ
σφόνδυλος ἀχεῖ. Οἰκέ. πῖθ' ἐλλέβορον.

Φι. πτήσσει φρύνιχος ὥς τις ἀλέκτωρ.

Οἰ. τάχα βαλλήσεις.

Φι. σκέλος οὐράνιόν γ' ἐκλακτίζων.
πρωκτὸς χάσκει. Οἰ. κατὰ σαυτὸν ὅρα.

Φι. νῦν γὰρ ἐν ἄρθροις τοῖς ἡμετέροις.
στρέφεται χαλαρὰ κοτυληδών.

Αἴσωπον οἱ Δελφοί. ὁ μὲν Βδελυκλέων ἀράμενος τὸν πατέρα αὐτοῦ Φιλοκλέωνα, εἴσω κομίζει. ὁ δὲ φερόμενος παρατείνει μῦθον. διηγεῖται γὰρ τὸν περὶ Αἰσώπου λόγον. ὃν φασὶν ἐλθόντα ποτὲ εἰς τοὺς Δελφοὺς ἀποσκῶψαι αὐτούς. ὅτι μὴ ἔχοιεν γῆν ἀφ' ἧς ἐργαζόμενοι διατρέφοιντο ἀλλὰ περιμένοιεν ἀπὸ τῶν θεοῦ θυμάτων διαζῆν. οἱ Δελφοὶ χαλεπήναντες φιάλην ἱερὰν τοῖς Αἰσώπου σκεύεσιν ὑπέβαλον. ὁ μὲν δὴ οὐκ εἰδὼς τὴν ἐς Φωκίδα φέρουσαν ὥρμησεν ὁδόν. οἱ δ' ἐπιδραμόντες καὶ φωράσαντες, ἱεροσυλίας αὐτοῦ κατηγόρουν. ὁ δ' ἐπὶ πέτραν οὐ πάνυ πόρρω τοῦ ἱεροῦ καὶ τῆς πόλεως ἀγόμενος ἀφ' ἧς νόμιμον ἦν τοὺς ἱεροσύλους ῥιπτεῖσθαι, τὸν περὶ τοῦ κανθάρου μῦθον αὐτοῖς διηγήσατο. οὗ γε καὶ ἐν εἰρήνῃ μέμνηται διὰ τούτων ὁ ποιητής. ἐν τοῖσιν Αἰσώπου λόγοις ἐξηυρέθη, μόνος πετεινῶν εἰς θεοὺς ἀφιγμένος. ἐκεῖ δὲ τὰ εἰκότα λεχθήσεται. Ζηλῶ σε τῆς εὐτυχίας. τὰ τοιαῦτα εἴδη καλεῖται κατὰ σχέσιν. ἔστι γοῦν ἡ παροῦσα στροφὴ κώλων χοριαμβικῶν ἐπιμεμιγμένων ἐπιτρίτοις διτροχαίοις. διιάμβοις δισπονδείοις ἰωνικοῖς καὶ παίωσι ιβ. καὶ ἡ ἀντιστροφὴ τοσούτων. ὧν τὸ μὲν δεύτερον καταληκτικὸν ἤτοι ἑφθημιμερές. τὰ δὲ λοιπὰ πάντα δίμετρα ἀκατάληκτα, τὰ μὲν τετρασυλλάβους ἔχοντα πόδας. τὰ δὲ πεντασυλλάβους. διαλύονται γὰρ αἱ μακραὶ συλλαβαὶ ὥσπερ ἐπὶ τῶν ἰάμβων καὶ τροχαίων ὡς εἴρηται εἰς δύο βραχείας, οὕτω καὶ ἐπὶ τῶν τετρασυλλάβων ποδῶν. εὕρηται γὰρ καὶ χορίαμβος πεντασύλλαβος καὶ διίαμβος καὶ διτρόχαιος. καὶ ἰωνικὸς καὶ παίων. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος. τῆς δὲ ἀντιστροφῆς κορωνίς. Ἔστι τὸ τρυφερόν. οἷον ἐστὶ τὸ τρυφῶν μαλακῶς. Γνώμαις ἑτέρων. οἷον μεταπεισθέντες ἐκ παραινέσεως ἑτέρων. Φιλοπατρίαν. διὰ τὸ ὑπὲρ τῆς πατρίδος ἠγωνίσθαι ἢ τοῦ πατρός.

Φι. Αἴσωπον οἱ Δελφοί ποτ'. Βδ. ὀλίγον μοι μέλει.
φιάλην ἐπῃτιῶντο κλέψαι τοῦ θεοῦ.
ὁ δ' ἔλεξεν αὐτοῖς ὡς ὁ κάνθαρός ποτε
Βδ. οἴμ' ὡς ἀπολεῖς αὐτοῖσι τοῖσι κανθάροις

ΣΤΡΟΦΗ ΚΩΛΩΝ, ΙΒ'.

Χο. Ζηλῶ γε τῆς εὐτυχίας.
τὸν πρέσβυν οἷ μετέστη
ξηρῶν τρόπων καὶ βιοτῆς.
ἕτερα δὲ γ' ἀντιμαθών,
ἦ, μέγα πείσετ' ἐπὶ
τὸ τρυφερὸν καὶ μαλακόν.
τάχα δ' ἂν ἴσως οὐκ ἐθέλοι
τὸ γὰρ ἀποστῆναι χαλεπόν.
φύσεος ἣν ἔχει τις ἀεί.
καί τοι πολλοὶ ταῦτ' ἔπαθον.
ξυνόντες γνώμαις ἑτέρων
μετεβάλλοντο τοὺς τρόπους.

ἈΝΤΙΣΤΡΟΦΗ ΚΩΛΩΝ. ΙΒ'.

πολλοῦ δ' ἐπαίνου παρ' ἐμοὶ
καὶ τοῖσιν εὖ φρονοῦσι.
τυχὼν ἄπεισι διὰ τὴν
φιλοπατρίαν καὶ σοφίαν.
παῖς ὁ Φιλοκλέωνος, οὐ-

Προσκαλοῦμαί σ' ὦ γέρον. παραγίνεταί τις ἀνὴρ δεῦρι ἐπίδης ὀνομαζόμενος κατηγορῶν τοῦ Φιλοκλέωνος ὕβρεως καὶ κατήγορον ἀπαγόμενος. Οὐ τρίβων. οὐκ ἔμπειρος. καὶ ἐν νεφέλαις, καὶ τοῦ χρεμαθρῶν οὐ τρίβων τῶν ἐνθάδε. Ἔρδοι τις. ἕκαστός φησιν ἣν οἶδε τέχνην ἐργαζέσθω. καὶ ταῦτα δὲ ἐν παροιμίαις φέρεται. Εἰς τὰ Πιττάλου. εἰς ἰατροῦ φησιν ἀπότρεχε θεραπευθησόμενος τὰς πληγάς. ἰατρὸς γὰρ ὁ Πίτταλος. Ὅμοιά σοι. ὁ Βδελυκλέων ταῦτά φησι πρὸς τὸν κατήγορον. Ἀν. τὸ ἐντελές, ἀνα. Κατέαξ' ἐχῖνον. ἀγγεῖόν τι χαλκοῦν ἢ καὶ ἐκ κεράμου. εἰς ὃ καθίεσαν οἱ διαιτηταὶ τὰ γραμματεῖα τῶν μαρτυριῶν ἅ τινες ἐμαρτύρησαν, καὶ κατασημηνάμενοι μετὰ ταῦτα, εἰ ἐγκληθείη ἡ δίαιτα, τοῖς δικασταῖς ἐπεδίδουν. τοῦ δ' ἀγγείου τούτου καὶ Δημοσθένης μνημονεύουσι καὶ Ἀριστοτέλης. ἔστι δέ τι καὶ ζῶον χερσαῖον καὶ θαλάττιον ὄστρεον. καὶ μὲν δὴ καὶ ἡ γαστὴρ τοῦ βοός. Ναὶ ταὶ κόραν. τὴν Περσεφόνην. τοῦτ' ἔστι τὸν κόρον. τὴν πρὸς δὲ τρέφεσθαι μέχρι κόρου ὕλην. τοῖς δὲ περὶ Σικελίαν δὲ κατὰ Κόρης ὀμνύειν ἐνεφιλοχώρει. ἐντεῦθεν γὰρ ὁ ᾅδης αὐτὴν ἁρπάσαι μυθεύεται. ὡς οἱ τὰ τοιαῦτά γε ἀλληγορῆσαι δεινοί, διὰ τὸν γινόμενον ἐπὶ χρόνον τινὰ τῶν σπερμάτων κατὰ γῆς ἀφανισμόν. δωρίζει δὲ ἐπίτηδες. ἐπίδεσμον δὲ τὸν ἐπὶ τῇ πληγῇ δεσμόν.

Κλητῆρες ἐπιλείψουσι. ἐπιλείψουσι μάρτυρες τοὺς κατηγοροῦντας.

Ευ. ὤμοι κακοδαίμων. προσκαλοῦμαί σ' ὦ γέρον.
ὕβρεως. Β. ὕβρεως; μὴ μὴ καλέσῃς πρὸς τῶν θεῶν.
ἐγὼ γὰρ ὑπὲρ αὐτοῦ δίκην δίδωμί σοι,
ἣν ἂν σὺ τάξῃς, καὶ χάριν προσείσομαι.
Φι. ἐγὼ μὲν οὖν αὐτῇ διαλλαχήσομαι.
ἑκών. ὁμολογῶ γὰρ πατάξαι καὶ βαλεῖν.
ἀλλ' ἐλθὲ δευρί. πρότερον ἐπιτρέπεις ἐμοί.
ὅ,τι χρή μ' ἀποτίσαι τἀργύριον τοῦ πράγματος
εἶναι φίλον τὸ λοιπόν; ἢ σύ μοι φράσεις.
Κα. σὺ λέγε. δικῶν γὰρ οὐ δέομ' οὐδὲ πραγμάτων.
Φι. ἀνὴρ συβαρίτης ἐξέπεσεν ἐξ ἅρματος
καί πως κατεάγη τῆς κεφαλῆς μέγα σφόδρα.
ἐτύγχανε γὰρ οὐ τρίβων ὢν ἱππικῆς.
κἄπειτ' ἐπιστὰς εἶπ' ἀνὴρ αὐτῷ φίλος.
ἔρδοι τις ἣν ἕκαστος εἰδείη τέχνην
οὕτω δὲ καὶ σὺ παράτρεχ' εἰς τὰ Πιττάλου.
Βδ. ὅμοιά σοι καὶ ταῦτα τοῖς ἄλλοις τρόποις.
Κα. ἀλλ' οὖν σὺ μέμνησ' αὐτὸς ἀνάπεκρίνατο.
Φι. ἄκουε. μὴ φεῦγ'. ἐν συβάρει γυνή ποτε
κατέαξ' ἐχῖνον. Κα. ταῦτ' ἐγὼ μαρτύρομαι.
Φι. οὐ χῖνος οὖν ἔχων τιν' ἐπεμαρτύρατο;
εἶθ' ἡ συβαρῖτις εἶπεν. εἰ ναὶ ταὶ κόραν
τὴν μαρτυρίαν ταύτην ἐάσας, ἐν τάχει
ἐπίδεσμον ἐπρίω, νοῦν ἂν εἶχες πλείονα.
Κα. ὕβριζ' ἕως ἂν, τὴν δίκην ἄρχων καλῇ
Βδ. οὔτοι μὰ τὴν Δήμητρ' ἔτ' ἐνταυθοῖ μενεῖς.
ἀλλ' ἀράμενος οἴσω σε. Φι. τί ποιεῖς; Βδ. ὅ,τι ποιῶ.
εἴσω φέρω σ' ἐντεῦθεν, εἰ δὲ μή, τάχα
κλητῆρες ἐπιλείψουσι τοὺς καλουμένους.

Πρὸς τοὺς ἀγορανόμους. τοὺς ἐπισκοποῦντας τὰ τῆς πόλεως ὤνια καὶ διοικοῦντας αὐτά. ὡς ἐν Ἀχαρνεῦσιν. Κλητῆρα. μάρτυρα τουτέστι τὸν εἰς τὸ δικαστήριον καλοῦντα ὑπηρέτην. Χαιρεφῶντα δὲ τὸν πύξινον τὸν Σωκράτους ἑταῖρόν φησι. πάλιν δ' αὐτὸν εἰς ὠχρότητα διαβάλλων εἰσάγει μαρτυροῦντα τῇ ἀρτοπώλιδι.

Ἀρ. καὶ καταγελᾷς μου, προσκαλοῦμαί σ' ὅστις εἶ
πρὸς τοὺς ἀγορανόμους, βλάβης τῶν φορτίων.
κλητῆρ' ἔχουσα Χαιρεφῶντα τουτονί.
Φι. μὰ Δί' ἀλλ' ἄκουσον, ἤν τί σοι δόξω λέγειν.
Λᾶσός ποτ' ἀντεδίδασκε καὶ Σιμωνίδης.
ἔπειθ' ὁ Λᾶσος εἶπεν ὀλίγον μοι μέλει.
Βδε. ἄληθες οὗτος. καὶ σὺ δή μοι Χαιρεφῶν
γυναικὶ κλητεύειν, ἔοικας θαψίνῃ
Ἰνοῖ κρεμαμένῃ πρὸς ποδῶν Εὐριπίδου.
Θε. ὁδί τις ἕτερος ὡς ἔοικεν ἔρχεται.
καλούμενός σε τόν γέ πι κλητῆρ' ἔχων.

Λᾶσος. Χαρβίνου Ἑρμιονεὺς πόλεως τῆς Ἀχαΐας, γεγονὼς κατὰ τὴν νη' ὀλυμπιάδα. ὅτε Δαρεῖος ὁ Ὑστάσπου. τινὲς δὲ τοῦτον συναριθμοῦσι τοῖς ἑπτὰ σοφοῖς, ἀντὶ τοῦ Περιάνδρου. πρῶτος δὲ οὗτος περὶ μουσικῆς λόγον ἔγραψε καὶ διθύραμβον εἰς ἀγῶνα εἰσήγαγε καὶ τοὺς ἐριστικοὺς εἰσηγήσατο λόγους. Ὀλίγον μοι μέλει. τοῦ Σιμωνίδου δηλονότι. λέγει δ' ἴσως Σιμωνίδην τὸν Λεωπρέπους τῆς ἐν Κέῳ τῇ νήσῳ πόλεως λυρικόν. μετὰ Στησίχορον τοῖς χρόνοις ὃς ἐπεκλήθη Μελικέρτης διὰ τὸ ἡδύ. καὶ τὴν μνημονικὴν δὲ τέχνην εὗρεν οὗτος. προσεξεῦρε δὲ καὶ τὰ μακρὰ τῶν στοιχείων καὶ διπλᾶ. καὶ τῇ λύρᾳ τὸν τρίτον φθόγγον. γέγονε δ' ἐπὶ τῆς ἕκτης καὶ πεντηκοστῆς ὀλυμπιάδος. οἱ δὲ δευτέρας καὶ ἑξηκοστῆς γεγράφασι. καὶ παρέτεινε μέχρις οη' βιοὺς ἔτη πθ'. καὶ γέγραπται αὐτῷ Δωρίδι διαλέκτῳ ἡ Καμβύσου καὶ Δαρείου βασιλεία καὶ Ξέρξου ναυμαχία. καὶ ἡ ἐπ' Ἀρτεμισίῳ ναυμαχία, δι' ἐλεγείας· ἡ δ' ἐν Σαλαμῖνι μελικῶς. θρῆνοι. παιᾶνες. ἐγκώμια ἐπιγράμματα τραγῳδίαι καὶ ἄλλα. τὸν δὲ Λᾶσον καὶ Σιμωνίδην ὡς ἀντιτεχνοῦντας ἀλλήλοις ὁ ποιητὴς εἰσάγει. Θαψίνῃ. ὠχρᾷ. ποιά τις γὰρ ἡ θάψος, ὅπερ παρ' ἡμῖν χρυσόξυλον λέγεται. Θεόκριτος. καὶ μὰν χρῶς μὲν ὅμοιος ἐγίνετο πολλάκι θάψῳ. παρὰ δ' Εὐριπίδῃ γέγραπται ἡ Ἰνὼ κρεμαμένη καὶ ὠχρὰ ὑπὸ τῆς κακοπαθείας. πέπαικται δὲ καλῶς παρὰ τὸ θάπτεσθαι. Ἰνὼ δὲ κατὰ χόλον Ἥρας μανεῖσα. ἔρριψεν αὑτὴν εἰς τὴν θάλασσαν, ἅμα τῷ υἱῷ αὐτῆς Μελικέρτῃ. ἐμίσει γὰρ πάντας τοὺς Θηβαίους ἡ Ἥρα, διότι παρ' αὐτοῖς ἐτέχθη ὁ Διόνυσος. καὶ αὐτὸς δὲ ὁ Διόνυσος ἐξέμηνε τὰς τούτων γυναῖκας, μὴ προσιεμένων αὐτὸν ὕστερον τῶν Θηβαίων. Εὐριπίδης δ' ἐν Μηδείᾳ φησὶν αὐτόχειρα τῶν δύο παίδων γενομένην Λεάρχου καὶ Μελικέρτου, αὐτὴν ὕστερον εἰς θάλασσαν ῥῖψαι. οἱ δέ φασιν ὡς Ἀθάμας κατετόξευσε Λέαρχον τὸν ἐξ Ἰνοῦς γενόμενον αὐτῷ παῖδα. καὶ αὐτὴ δὲ ἡ Ἰνὼ μανεῖσα τὸν ἕτερον ἑαυτῆς παῖδα Μελικέρτην ἀποσφάξασα, ἥλατο σὺν αὐτῷ εἰς τὴν θάλασσαν. οὓς δὴ εἰς Κόρινθον ἐκβρασθέντας ἀναληφθῆναι προστάξει τοῦ Σισύφου. ὡς καὶ ἀγῶνα Ἴσθμιον ἐπὶ τῷ Μελικέρτῃ θεῖναι καὶ τὴν μὲν Λευκοθέαν. τὸν δὲ Παλαίμονα μετονομασθῆναι.

Τί δὲ τὸ μέλαν. περὶ τοῦ γυναικείου αἰδοίου ἐρωτᾷ περιχωμένου. Ἡ πίττα. ἐπεὶ καὶ αἱ δᾷδες καιόμεναι πίτταν ἀποπλέουσιν. Ὄζος κλάδος. ἅμα καὶ παρὰ τὸ ὄζειν εἶναι. Ὀλυμπίασιν. νῦν προπαροξύνεται, λέγεται γὰρ περὶ τόπου. ἐὰν περὶ πράγματος ἡ δηλοῦσα ἡ λέξις. οἷον ὡς εἰ λέγοι τις, δέκα ὀλυμπιᾶσιν ἐφεξῆς ἐνίκησεν ὁ δεῖνα προπερισπᾶται. γίνεται γὰρ τὸ μὲν ἀπὸ τοῦ ὀλυμπίω ὀλυμπίασι· τὸ δὲ ἀπὸ τοῦ ὀλυμπιὰς ὀλυμπιᾶσι. καὶ ὅτι τὰ εἰς ι λήγοντα τῶν ῥημάτων, ζήτει τὸν πρῶτον τοῦ ὀνόματος τόνον. οἷον ὀλυμπιὰς ὀλυμπιᾶσι. τὴν δὲ διὰ τοῦ ὅθεν. ἐκεῖνα γὰρ ἐνήλλαξεν. οἷον ἵππος ἱππόθεν. σεσημείωται τὸ οἴκοθεν. Ὑπώπια. τὰ εἰς ὄψιν πλήγματα ἐνταῦθα. εἴρηται δ' ἐν ἄλλοις ἀκριβέστερον. Ἴθι μοι παράστηθ' ἀντιβολῶ. γυνή τις ὑβρισμένη ὑπὸ τοῦ γέροντος δεῖται τοῦ υἱοῦ βοηθῆσαι αὐτῇ. δι' ὕμνος δὲ ἀρτόπωλις λέγεται.

Κἀπιθήκην. τὰ ἔσωθεν τοῦ φορτίου προσθήκην ὄντας.

Λόγοι διαλλάξουσιν. μιμεῖται τὰ εἰρημένα ὑπὸ τοῦ υἱοῦ.

Καταπροίξει οὐ μὴ καταφρονήσεις. παρὰ τὴν προῖκα. τουτέστιν οὐ δωρεάν μου ἐγχανῇ. καὶ τοῦτο δὲ ἐν ἄλλοις.

Θυγατέρος. ὅτι οὐκ ἀττικῶς εἴρηται τὸ θυγατέρος ἀλλ' ἰωνικῶς. τὰ φορτία δὲ τοὺς ἄρτους. Ὦ κύον κύον. τὴν ἀρτοπώλιδα κύνα εἶπεν. ὑλακτούσης σου φησὶν οὐ φροντίζω ὦ κύον. πυροὺς δὲ σίτους ὥστε ἄρτους ποιῆσαι, ἐπεὶ ἀρτόπωλις.

Βδε. τί δαὶ τὸ μέλαν τοῦτ' ἐστὶν αὐτῆς τοὐν μέσῳ.
Φι. ἡ πίττα δήπου καομένης ἐξέρχεται.
Βδε. ὁ δ' ὄπισθεν, οὐχὶ πρωκτός ἐστιν οὑτοσί;
Φι. ὄζος μὲν οὖν τῆς δᾳδὸς οὗτος ἐξέχει.
Βδε. τί λέγεις σύ; ποῖος ὄζος; οὐκ εἶ δεῦρο σύ;
Φι. ἆ ἆ. τί μέλλεις δρᾶν. Βδε. ἄγειν ταύτην λαβὼν
ἀφελόμενός σε. καὶ νομίσας εἶναι σαπρὸν.
κοὐδὲν δύνασθαι δρᾶν. Φι. ἄκουσόν νυν ἐμοῦ.
ὀλυμπίασι γὰρ ἡνίκ' ἐθεώρουν ἐγώ,
ἐφουδίων ἐμαχέσατ' ἀσκώνδᾳ καλῶς.
ἤδη γέρων ὤν. εἶτα τῇ πυγμῇ θένων
ὁ πρεσβύτερος κατέβαλε τὸν νεώτερον.
πρὸς ταῦτα τηροῦ μὴ λάβῃς ὑπώπια.
Βδε. νὴ τὸν Δί' ἐξέμαθές γε τὴν ὀλυμπίαν.
Ἀρ. ἴθι μοι. παράστηθ' ἀντιβολῶ πρὸς τῶν θεῶν.
ὁδὶ γάρ ἐστιν ὅς μ' ἀνὴρ ἀπώλεσε,
τῇ δᾳδὶ παίων. κἀξέβαλεν ἐντευθενὶ
ἄρτους δέκ' ὀβολῶν. κἀπιθήκην τέτταρας.
Βδε. ὁρᾷς ἃ δέδρακας πράγματ' αὖ, δεῖ καὶ δίκας
ἔχειν διὰ τὸν σὸν οἶνον. Φι. οὐδαμῶς γ' ἐπεὶ
λόγοι διαλλάξουσιν αὐτὰ δεξιοί
ὥστ' οἶδ' ὁτιὴ ταύτῃ διαλλαχθήσομαι.
Ἀρ. οὔτοι μὰ τὼ θεὼ καταπροίξει μυρτίας.
τῆς ἀγκυλίωνος θυγατέρος. καὶ σωστράτης.
οὕτω διαφθείρας ἐμοῦ τὰ φορτία.
Φι. ἄκουσον ὦ γύναι. λόγον σοι βούλομαι
λέξαι χαρίεντα. Ἀρ. μὰ Δία μή μοι γ' ὦ μέλε.
Φι. αἴσωπον ἀπὸ δείπνου βαδίζονθ' ἑσπέρας.
θρασεῖα καὶ μεθύση τις ὑλάκτει κύων.
κἄπειτ' ἐκεῖνος εἶπεν, ὦ κύον. κύον.
εἰ νὴ Δί' ἀντὶ τῆς κακῆς γλώττης πόθεν,
πυροὺς πρίαιο, σωφρονεῖν ἄν μοι δοκεῖς.

δώσω σοι πάντα καὶ συνοικήσω μετὰ σοῦ. Λυσάμενος ἔξω. ἀντὶ τοῦ ἐλευθερώσας ἐκ τοῦ πορνοβοσκείου. χοιρίδιον δὲ τὸ γυναικεῖον αἰδοῖον λέγουσιν. Καὶ φυλάττομαι σφόδρα. καθάπερ οἱ παῖδες οἱ γέροντες. ἢ παρ' ὑπόνοιαν. οἱ παῖδες ταῦτα λέγουσιν. υἵδιον ἀπὸ τοῦ υἱοῦ ὡς ἀπὸ τοῦ πατρὸς πατρίδιον. Κυμινο. παίζει ἐνταῦθα σμικρολόγον αὐτὸν καὶ ὀξύθυμον λέγων. κυμινοπρίστας γὰρ τοὺς φειδωλοὺς καὶ σμικρολόγους ἐκάλουν. συνέθηκε δὲ τὴν λέξιν μετὰ τοῦ καρδάμου διαβάλλων αὐτὸν ὡς ὀξύθυμον.

Λυσάμενος, ἔξω παλλακὴν ὦ χοιρίον.
νῦν δ' οὐ κρατῶ 'γὼ τῶν ἐμαυτοῦ χρημάτων
νέος γάρ εἰμι, καὶ φυλάττομαι σφόδρα.
τὸ γὰρ υἵδιον τηρεῖ με. κἄστι δύσκολον.
κἄλλως, κυμινοπριστοκαρδαμογλύφον
ταῦτ' οὖν περί μου δέδοικε, μὴ διαφθαρῶ.
πατὴρ γὰρ οὐδείς ἐστιν αὐτῷ, πλὴν ἐμοῦ.
ὁδὶ δὲ καὐτὸς ἐπὶ σὲ κἄμ' ἔοικε θεῖν
ἀλλ' ὡς τάχιστα στῆθι, τάσδε τὰς δετάς.
λαβοῦσ' ἵν' αὐτὸν τωθάσω νεανικῶς,
οἵω; ποθ' οὗτος ἐμὲ πρὸ τῶν μυστηρίων,
Βδ. ὦ οὗτος. τυφεδανὲ, καὶ χοιρόθλιψ
ποθεῖν ὁρᾶν τ' ἔοικας ὡραίας σοροῦ.
οὔτοι καταπροίξει μὰ τὸν ἀπόλλω τοῦτο δρῶν.
Φι. ὡς ἡδέως φάγοις ἂν ἐξ ὄξους δίκην.
Βδε. οὐ δεινὰ τωθάζειν σε, τὴν αὐλητρίδα
τῶν ξυμποτῶν κλέψαντα; Φι. ποίαν αὐλητρίδα.
τί ταῦτα ληρεῖς. ὥσπερ ἀπὸ τύμβου πεσών.
Βδ. νὴ τὸν δί' αὕτη ποῦ 'στί σοί γ' ἡ δαρδανίς.
Φι. οὐκ. ἀλλ' ἐν ἀγορᾷ τοῖς θεοῖς δᾷς καίεται.
Βδε. δᾷς ἥδε; Φι. δᾷς δῆτ' οὐχ ὁρᾷς ἐστιγμένην;

Περί μου δέδοικε. δι' ἐμοῦ φειδωλός ἐστιν. ἵνα μὴ ἐν ἐξουσίᾳ ἔχων τὰ χρήματα διαφθείρω. Πατὴρ γὰρ οὐδείς. εἰώθασι γὰρ οἱ παῖδες λέγειν μόνος εἰμὶ τῷ πατρί. ἀντὶ δὲ τοῦ εἰπεῖν υἱὸς εἶπε πατὴρ παίζων. Δετάς. τὰς λαμπάδας. ὡς ἀπὸ τοῦ δέω γὰρ τὸ δεσμῶ δετὴ ῥηματικῶς ἡ συνδεδεμένη ἐκ παπύρων. καὶ ὅμηρος δαιόμεναί τε δεταί. Τωθάσω δὲ σκώψω. πρὸ τῶν μυστηρίων δὲ ὅποι μεμυημένοι τοὺς μέλλοντας μυεῖσθαι διδίττονται. Τυφεδανέ. ἐπεὶ τυφογέροντας εἰώθασι λέγειν τοὺς παραληροῦντας καὶ ἀξίους τετύφθαι. Χοιρόθλιψ δὲ ὁ τὸ γυναικεῖον αἰδοῖον ἀποθλίβων. ἢ παρὰ τὰς χοιρίνας. ὡς φιλοδικαστὴν τὰς χοιρίνας περιέχοντα κωμῳδῶν. Ὡραίας σοροῦ. παρ' ὑπόνοιαν κόρης. καὶ τοῦτο δὲ ἀντεστραμμένως εἰς γέροντα τὴν αὐλητρίδα [illegible]ρῶν τα ἐξ ὄξους δίκην ἀντὶ τοῦ εἰπεῖν κρέα ἢ ἕτερόν τι, δίκην εἶπε. μισῶν οὖν τὰς δίκας λοιπὸν ὁ φιλοκλέων, ὡς ὕβρεις ταῦτα λέγει τῷ υἱῷ. Τὴν αὐλητρίδα. τὸ γένος τοῦ γελοίου. παρὰ ἀριστοφάνους ἐντεῦθεν ἀρξάμενον. Ἀπὸ τύμβου πεσών. καὶ τοῦτο ὡς εἰς γέροντα. ἀντὶ τοῦ ἀπὸ νοῦ καταπεσών. Ἄλλως. Ἐπεὶ ὡς νέος διαλέγεται. εἰώθασι δὲ οἱ νέοι τοῖς γέρουσι τοῦτο λέγειν. Ἡ δαρδανίς. ἐπεὶ ἀπὸ δαρδανίας φέρονται αἱ αὐλητρίδες. Ἐστιγμένην. ἐστιγμένην λέγει τὴν δᾷδα. ἔγραφον γὰρ καὶ ἐκόσμουν τὰς λαμπάδας. ἢ τὴν αὐλητρίδα φησὶν ἐστιγμένην διὰ τὸ κεκαλλωπισμένην εἶναι καὶ διὰ τὸ κατέχειν δᾷδας.

φρυκτοὺς σκευάσω ὁ πλήσας προσκαλούμενοι εἰς τὸ δικαστήριον δηλονότι. Ἰηῦ ἰεῦ. χλευαστικὸν ἐπίρρημα τοῦτο. καταφρονεῖ λοιπὸν καὶ τῶν δικαστικῶν ῥημάτων· τὸ γὰρ καλούμενοι ἀπορρίπτει. Βάλλε κημοὺς. βάλλε ἐς κόρακας τὰ δικαστικὰ σκεύη. Ἀνάβαινε δεῦρο. ἑταίρα τις ἠκολούθει αὐτῷ. ἣν ἔλαχεν ἐκ τοῦ συμποσίου ἢ καὶ προσβάλλει καὶ πειρᾶν ἄρχεται. Χρυσομηλολόνθιον. ἐπί τινος μετεώρου ὁ γέρων ἐφεστὼς προσκαλεῖται προσκοριζόμενος τὴν ἑταίραν. χρυσομηλολόνθιον δὲ ζωύφιόν τι ὄζει κατὰ καὶ ἄνθερον ξανθόν. ὃ καὶ κατέχοντες οἱ παῖδες, δεσμοῦσιν ἐκ τοῦ ποδὸς καὶ ἀφιᾶσι πρὸς τὸν ἀέρα. Ἄλλως. πρὸς τὴν ἑταίραν ὁ γέρων παρὰ τὸ μηλολόνθιον χρήζοντα ἔχειν τὰ πτερά. οὐ γὰρ οἶμαι τὸ χρυσόμηλον γνωρίζεσθαι. εἰ καὶ μὴ σύνθετον ἂν εἴη ἐκ τούτων. Σχοινίου. ἴσως τοῦ πέους. παίζει δέ. σαπρὸν δὲ παλαιόν. γέρων γὰρ ἦν. ὑφειλόμην δὲ ἔκλεψα ἀπὸ τῶν συμποτῶν. Μέλλουσαν ἤδη λεσβιεῖν. τὸ λεσβιεῖν ἐπὶ αἰσχροῦ τάττεται. ἐπειδὴ οἱ λέσβιοι αἰσχρουργοῦσι τῷ στόματι μολυνόμενοι. παρὰ τὸ ἱστορούμενον ὅτι παρὰ λεσβίοις τοῦτο πρῶτον ἡ γυνὴ ἔπαθε. καὶ παρὰ θεοπόμπῳ ἐν ὀδυσσεῖ· ἵνα μὴ τὸ παλαιὸν τοῦτο καὶ θρυλούμενον διὰ ἡμετέρων στομάτων εἴπω σόφισμα ὅ φασι παῖδες λεσβίων εὑρεῖν. στράττις ἐν τρωίλῳ ἤ, μή ποτ' ὦ παῖ ζηνὸς ἐς αὐτὸ μόλῃς. ἀλλὰ παραδοὺς τοῖς λεσβίοις χαίρειν ἔα καὶ ἐν πυτίσῳ. ἐγὼ δ' αὖτ' ἐπίνικος ὀρθιᾶσθ' εἰς ἔφη τῷ στόματι δράσω ταῦθ' ἀπὸ τοῦ αἰσχροῦ τάττεται. Φιαλεῖς. τῷ ἔργῳ ἐπιβαλεῖς. ὅμηρος. αὐτὸς γὰρ ἐφίλει τὰ δ' ἔργα αὐτὴ τοῦ ἐπεβάλλετο. καὶ φιαλουμένου τουτέστι τῷ ἔργῳ ἐπιβαλουμένου. ἐπὶ τοῦτο ὁρμήσομεν. φιαλεῖν γὰρ τὸ ἄρχεσθαι τοῦ πράγματος ὁ αὐτὸς ἀριστοφάνης. ἄγε δὴ σὺ ταχέως ὕπεχε τὴν φιάλην ὅπως ἔργῳ φιαλοῦμεν εὐξάμενοι τοῖς θεοῖς. Ἄλλως φιαλεῖν τὸ τῇ φιάλῃ πιεῖν. νῦν δ' ἴσως καὶ κακεμφάτως. Πολλοῖς γὰρ ἤδη χἀτέροις. ἢ τὸ αἰσχρὸν χἀτέροις εἰργάσω. εἰ καὶ ἐκφεύγεις ἐμὲ καὶ γὰρ ἄλλοις αὐτὸ εἰργάσω. Ἐὰν δὲ γένῃ. μιμεῖται ἐνταῦθα τοὺς λέγοντας πρὸς τὰς ἑταίρας καὶ ὀμνύντας, ἐάν μου ὁ πατὴρ ἀποθάνῃ

ΒΔΕ. ἦ μὴν σὺ δώσεις αὔριον τούτων δίκην
ἡμῖν ἅπασι κεἰ σφόδρ' εἶ νεανίας.
ἀθρόοι γὰρ ἥξομέν σε προσκαλούμενοι.
ΦΙ. ἰηῦ ἰεῦ, καλούμενοι. ἀρχαῖά γ' ὑμῶν ἆρά γ' ἴσ/
θ' ὡς οὐδ' ἀκούων ἀνέχομαι. δικῶν. ἰαιβοῖ αἰβοῖ
τάδε μ' ἀρέσκει. βάλλε κημούς.
οὐκ ἄπεισι; ποῦ 'στιν ἡλιαστής; ἐκποδών.
ἀνάβαινε δεῦρο χρυσομηλολόνθιον.
τῇ χειρὶ τουδὶ λαβομένη τοῦ σχοινίου
ἔχου. φυλάττου δ' ὡς σαπρὸν τὸ σχοινίον.
ὅμως γε μέντοι τριβόμενον οὐκ ἄχθεται.
ὁρᾷς, ἐγώ σ' ὡς δεξιῶς ὑφειλόμην,
μέλλουσαν ἤδη λεσβιεῖν τοὺς ξυμπότας.
ὧν εἵνεκ' ἀπόδος τῷ πέει τῳδὶ χάριν.
ἀλλ' οὐκ ἀποδώσεις, οὐδὲ φιαλεῖς οἶδ' ὅτι
ἀλλ' ἐξαπατήσεις. κἀγχανεῖ τούτῳ μέγα.
πολλοῖς γὰρ ἤδη χἀτέροις αὔτ' εἰργάσω.
ἐὰν γένῃ δὲ μὴ κακὴ νυνὶ γυνή,
ἐγώ σ' ἐπειδὰν οὑμὸς υἱὸς ἀποθάνῃ,

Ἔοικας ὦ πρεσβῦτα. Δίδυμός φησιν, ἀδιανόητα σκώπτει ἐνταῦθα. τὸ δὲ τρυγὶ ὡς πρὸς γεγηρακότα λέγει. Κλητῆρί τ'. διὰ τὸ φιλοδικαστὴν εἶναι καὶ ὅτι ὡς ἐπίπαν γέροντας παρελάμβανον κλητῆρας. τὸ δὲ λοιπὸν, παιδιᾶς ἕνεκεν. ἢ οὐδὲν πρὸς ἔπος. παρὰ τὴν παροιμίαν· ὄνος εἰς ἀχυρῶνας ἀπέδρα. ὁ δὲ ἄχειρος παρ' Εὐπόλιδι, ἐν χρυσῷ γένει, ὅπου καὶ τὸ πλάτωνος παράκειται ἐξ ἀδώνιδος.

Ὁ δ' ἀνακραγὼν καὶ ταῦτα ἀπρόσλογα. ἐπεὶ καὶ τῷ ἀποδεδρακότι, ἀπρόσλογον ἐκεῖνος εἶπεν. Τὰ θρῖα τοῦ τρίβωνος. ἐπεὶ ἔνιοι ὥσπερ φύλλα ἐμπεποικίλλουσι. Σθένελος δὲ ὁ τραγικὸς ὑποκριτὴς ὃς διὰ πενίαν τὴν τραγικὴν σκευὴν ἀπέδοτο κακῶς πράττων. οὗτος ἐλαύνων περὶ τοῖς τείχεσιν ἐνδεδυμένος διεχλεύαζε. περὶ τούτου γέγραπται ἐν Γηρυτάδῃ. καὶ πῶς ἐγὼ Σθενέλου φάγοιμ' ἂν ῥήματα εἰς ὄξος ἐμβαπτόμενος ἢ ξηροὺς ἅλας. διακεκαρμένῳ δὲ, ἀφῃρημένῳ πωλήσαντι. διεμύλλαινε δὲ, τὰ χείλη διέστρεφεν ὡς χλευάζων καὶ μὴ ἡσθεὶς τῷ λεγομένῳ. Ἐπὶ τῷ κομᾷς. ἐπεὶ κομήτης ὁ Θεόφραστος. ἔστι δὲ καὶ τῶν κολάκων. ἢ μέγα φρονεῖς. ἐν μέρει δὲ καθ' ἕκαστον. Οὐδὲν εἰκότας. οὐδὲν ἁρμόζοντας τῷ πράγματι. Ὁδὶ δὲ δὴ σφαλλόμενος. κινούμενος ὑπὸ μέθης. Ἄνεχε πάρεχε. μετὰ λαμπάδων ἔρχεται καὶ μετὰ αὐλητρίδος

ὥσπερ κἀχρύων ὀνίδιον δ' ὠχημένον.
κἄτ' ἔτυπτε δή με νεανικῶς παῖ παῖ καλῶν.
εἶτ' αὐτὸν ὡς εἶδ' ᾔκασεν Λυσίστρατος.
ἔοικας ὦ πρεσβῦτα νεοπλούτῳ τρυγὶ
κλητῆρί τ' εἰς ἀχυρῶνας ἀποδεδρακότι.
ὁ δ' ἀνακραγὼν, ἀντῄκασ' αὐτὸν πάρνοπι
τὰ θρῖά γε τοῦ τρίβωνος ἀποβεβληκότι
σθενέλῳ τε τὰ σκευάρια διακεκαρμένῳ
οἱ δ' ἀνεκρότησαν πλήν γε θουφράστου μόνου.
οὗτος δὲ διεμύλλαινεν. ὡς δὴ δεξιός
ὁ γέρων δὲ τὸν θούφραστον ἤρετ' εἰπέ μοι
ἐπὶ τῷ κομᾷς καὶ κομψὸς εἶναι προσποιεῖ
κωμῳδολοιχῶν περὶ τὸν εὖ πράττοντ' ἀεί.
τοιαῦτα περιύβριζεν αὐτοὺς ἐν μέρει.
σκώπτων ἀγροίκως καὶ προσέτι λόγους λέγων
ἀμαθέστατ' οὐδὲν εἰκότας τῷ πράγματι
ἔπειτ' ἐπειδὴ 'μέθυεν. οἴκαδ' ἔρχεται.
τύπτων ἅπαντας, ἤν τις αὐτῷ ξυντύχοι.
ὁδὶ δὲ δὴ καὶ σφαλλόμενος προσέρχεται.
ἀλλ' ἐκποδὼν ἄπειμι, πρὶν πληγὰς λαβεῖν.

Φι. ἄνεχε. πάρεχε.
κλαύσεταί τις τῶν ὄπισθεν
ἐπακολουθούντων ἐμοὶ
οἷον εἰ μὴ 'ρρήσεσθ' ὑμᾶς
ὦ πονηροί, ταυτηὶ τῇ
δαδὶ φρυκτοὺς σκευάσω.

ἀποσπάσας αὐτὴν ἐκ τοῦ συμποσίου. ὁ δὲ νοῦς, παρὰ τὴν ἐν τρῳάσι κασσάνδραν· ἄνεχε πάρεχε· φῶς φέρω· σέβω· φλέγω. τοῦτο παίζει. ὁμοία ἐστὶν ἐν τῇ τρῳάδων καθίσεις ἐπιστρέπτα. Ἐπακολουθούντων ἐμοί. ἠκολούθουν οἱ τινες τῶν τυφθέντων ὑπ' αὐτοῦ. Εἰ μὴ 'ρρήσεσθε. εἰ μὴ ἀναχωρήσετε. τὸ ὑμᾶς δὲ πρὸς τὸ φρυκτούς. τὸ δὲ οἷον ἀντὶ τοῦ οἵως. τὸ δὲ ἑξῆς, ἤτοι ὑμᾶς ὡς ἰχθύδια πεφρυγμένα τῇ δαδί

Ε ἴσως τινές. ἄδηλον πότερον τῆς Καλλιστράτου εἰς τὴν βουλὴν εἰσαγωγῆς καὶ νῦν μέμνηται, ὅτι αὐτὸν Κλέων εἰσήγαγεν ἢ ἑτέρου κατ' αὐτὸν γινομένου Ἀριστοφάνους. καὶ μὴ εἰσαγωγῆς, ἀλλὰ ἀπειλῆς τινος, ὅθεν καὶ μᾶλλον ἐμφαίνεται ἔκνισεν ἀντὶ τοῦ ἐκάκισεν. Ἡνίκα Κλέων. ἐπέκειτο γὰρ αὐτῷ ὁ Κλέων, ὅτι ἐκωμῴδει τοὺς περὶ αὐτοῦ. ἄδηλον δὲ εἰ μετὰ τὸ διδάξαι τοὺς Ἱππέας λέγει. Ὅσον δὲ μόνον εἰδέναι. ἀντὶ τοῦ τοσοῦτο μόνον προειδὼν, εἴ ποτε θλιβόμενος ὑπὸ Κλέωνος σκώψω αὐτόν. Ὑπό τι μικρὸν ἐπιθήκισα. ταῦτα εἰδὼν φησὶν ὅτι τύπτομαι ὑπ' αὐτοῦ καὶ οὐδενὶ μέλει, μικρὸν αὐτὸν ἐκολάκευσα.

Ε Ἐξηπάτησεν ἡ χάραξ. παροιμία ὅταν ὑπὸ τοῦ σώζοντος τὸ σωζόμενον ἀπατηθῇ χωρὶς τοῦ εἶτα νῦν ὅταν δόξα ἀπατηθῇ τῆς ἐπιτρεψάσης. ἔστι δὲ ἡ παροιμία ἀπὸ τῶν καλάμων τῶν προσδιδομένων ταῖς ἀμπέλοις. οἳ ἐνίοτε ῥιζοβολήσαντες, ὑπεραίρονται ἀμπέλων. νυνὶ δὲ ἠπάτησα, ὑπὲρ τὸ ποιῆσαι λέγεσθαι τὰς κωμῳδίας ἐπὶ θεάτρων εἰσάγεσθαι. ὅτι δὴ ἡ ξένων παρόντων πολίτας ἔσκωπτον. ἢ ὅτι τὰ μεγάλα ἀπεσφάλη τῆς ἰδίας δόξης ἐπιτρέψας τὰ ἑαυτῷ τοῖς μικροῖς.

Ι Ὦ χελῶναι. ὁ οἰκέτης ἐξέρχεται τυφθεὶς ὑπὸ Φιλοκλέωνος.

ΑΝΤΙΣΤΡΟΦΗ ΚΩΛΩΝ. Θ'.

Εἰσί τινες οἵ μ' ἔλεγον ὡς καταδιηλλάγην.
ἡνίκα Κλέων μ' ὑπετάραττεν ἐπικείμενος.
καί με κακίσταις ἔκνισε. κᾆθ' ὅτ' ἀπεδειρόμην,
οὑκτὸς ἐγέλων μέγα κεκραγότα μ' οἱ θεώμενοι
οὐδὲν ἄρ' ἐμοῦ μέλον. ὅσον δὲ μόνον εἰδέναι,
σκωμμάτιον εἴποτέ τι θλιβόμενος ἐκβαλῶ.
ταῦτα κατιδὼν, ὑπό τι μικρὸν ἐπιθήκισα.
εἶτα νῦν ἐξηπάτησεν ἡ χάραξ τὴν ἄμπελον.
Θε. ἰὼ χελῶναι μακάριαι τοῦ δέρματος.
καὶ τρισμακάριαι τοῦ 'πὶ ταῖς πλευραῖς ἐμαῖς
ὡς εὖ κατηρέψασθε. καὶ νουβυστικῶς,
κεράμῳ τὸ νῶτον ὥστε τὰς πληγὰς στέγειν.
ἐγὼ δ' ἀπόλωλα στιζόμενος βακτηρίᾳ.
Χο. τί δ' ἐστὶν ὦ παῖ. παῖδα γὰρ κἂν ᾖ γέρων
καλεῖν δίκαιον, ὅστις ἂν πληγὰς λάβῃ.
Θε. οὐ γὰρ ὁ γέρων ἀτηρότατον ἄρ' ἦν κακόν.
καὶ τῶν ξυνόντων πολὺ παροινικώτατος;
καίτοι παρῆν Ἵππυλος. Ἀντιφῶν. Λύκων.
Λυσίστρατος. Θούφρασος. οἱ περὶ Φρύνιχον.
τούτων ἁπάντων ἦν ὑβριστότατος μακρῷ.
εὐθὺς γὰρ ὡς ἐνέπλητο πολλῶν κἀγαθῶν
ἐνήλλατ', ἐσκίρτα. 'πεπόρδει. κατεγέλα.

Καὶ νουβυστικῶς. ἀντὶ τοῦ συνεχῶς. νοῦ πεπληρωμένως, παρὰ τὸ νοῦς καὶ τὸ βύσαι. ὅ ἐστι πληρῶσαι. γίνεται ὡς ἀσκητοῖο βεβυσμένον. κεῖται καὶ ἐν ἐκκλησιαζούσαις. Κεράμῳ τὸ νῶτον. ὡς περὶ ὀρόφου στέγης διαλέγεται. ἔνιοι δὲ, στιζόμενος γράφουσιν. οἷον κεντούμενος. ἐὰν δὲ σταζόμενος γράφηται, καὶ οὕτως ἔσται παρὰ τῶν ψεκάδων οὕτω πυκνὰ τυπτόμενος. στέγειν δὲ ἀντὶ τοῦ συνέχειν. ὅθεν καὶ ἡ στέγη ἡ περιέχουσα. Οἱ περὶ Φρύνιχον. τῶν κολάκων αἱ εἴη Φρύνιχος ὁ ποιητής. ὁ δὲ Σύμμαχός φησιν, εὐλογώτατον ἂν εἴη τὸν τραγικὸν ὑποκριτὴν Φρύνιχον. Ὥσπερ καχρύων. ὥσπερ ὄνος κριθῶν κορεσθείς.

Πολλάκις δὴ 'δοξα. ὁ ποιητὴς ταῦτα λέγει ἀπὸ προσώπου τοῦ χοροῦ. παραβατικὰ δὲ τὰ μελύδρια. Ἀλλ' Ἀμυνίας. κομήτης Ἀμυνίας Προνάπου υἱός. ὁ γὰρ Σέλλος οὐκ ἦν αὐτοῦ πατήρ, ἀλλ' Αἰσχίνου. ἵνα οὖν τὸν Ἀμυνίαν καὶ τὸν Αἰσχίνην κωμῳδήσῃ ὡς πένητας, τοῦτο εἶπεν. ὁ δὲ κρωβύλος, εἶδός ἐστι πλοκῆς ἐπ' ἀνδρῶν εἰς ὀξὺ ληγούσης. ἐκ τοῦ προειρημένου δὲ προσληπτέον τὸ σκαιός μοι ἔδοξε. Σέλλου δὲ εἶπεν, ἐπειδὴ πένης Αἰσχίνης ὁ Σέλλου. ἐκ τῶν κρωβύλου δὲ, ὅτι κομήτης ὡς ἔμπροσθεν εἴπομεν.

ΠΡΟΣΩΔΗ ΚΩΛΩΝ, Θ'.

Πολλάκις δὴ 'δοξ' ἐμαυτῷ, δεξιὸς πεφυκέναι
καὶ σκαιὸς οὐδεπώποτε.
ἀλλ' Ἀμυνίας ὁ Σέλλου μᾶλλον. οὑκ τῶν κρωβύλου.
οὗτος, ὅν γ' ἐγώ ποτ' εἶδον, ἀντὶ μήλου καὶ ῥοιᾶς
δειπνοῦντα μετὰ Λεωγόρου.
πεινῇ γὰρ ἧπερ Ἀντιφῶν
ἀλλὰ πρεσβεύων γὰρ ἐς Φάρσαλον ᾤχετ' εἶτ' ἐκεῖ
μόνος μόνοισι τοῖς πενέσταισι ξυνῆν τοῖς Θετταλῶν.
αὐτὸς πενέστης ὢν ἐλάττων οὐδενός.

ΣΤΡΟΦΗ ΣΤΙΧΩΝ, Θ'.

ὦ μακάρι' Αὐτόμενες, ὥς σε μακαρίζομεν
παῖδας ἐφύτευσας, ὅτι χειροτεχνικωτάτους.
πρῶτα μὲν ἅπασι φίλον, ἄνδρα τε σοφώτατον.
τὸν κιθαραοιδότατον ᾧ χάρις ἐφέσπετο.
τὸν δ' ὑποκριτὴν, ἕτερον ἀργαλέον ὡς σοφόν.
εἶτ' Ἀριφράδην. πολὺ θυμοσοφικώτατον.
ὅντινά ποτ' ὤμοσε, μαθόντα παρὰ μηδενός,
ἀλλ' ἀπὸ σοφῆς φύσεως, αὐτόματον ἐκμαθεῖν.
γλωττοποιεῖν, εἰς τὰ πορνεῖ' εἰσιόνθ' ἑκάστοτε

Ἀντὶ μήλου καὶ ῥοιᾶς. ἐπὶ τῶν δαψιλῶν ὄψων. δῖον ὅτι οὐκ εἶχον ταῦτα. καὶ ἀντὶ τούτων αὐτὸν εἶδον. Ἥπερ Ἀντιφῶν. Ἀντιφῶν τοῦ Αἰδοκίδου. περὶ οὗ προείρηται. καὶ οὗτος δὲ πένης ἦν ὁ Ἀντιφῶν. Ἐς Φάρσαλον. Φάρσαλος πόλις Θεσσαλίας. καὶ Εὔπολις ἐμφαίνει τὴν πρεσβείαν ἐν ταῖς Πόλεσιν. χ' ὡ Μυνίας ἐκεῖνος ἀμέλει κλαύσεται. ὅτι ἄγροικος ἵσταται πρὸς τῷ μορίῳ. ὅτι θεῶν ἕνεκα ἔπλευσε, κακὸς ὢν εἰς τοῦ. πενέστας δέ φασι λέγεσθαι, τὸ θητικὸν παρὰ τοῖς Θετταλοῖς. ἔθνος δὲ ἦν πάλαι ἀπὸ Πενέστου τὴν ἐπωνυμίαν ἔχον. ὃς ἀνέφερε τὸ γένος ἐς Θεσσαλὸν τὸν Ἡρακλέους. δέον οὖν εἰπεῖν μετὰ τῶν πολιτευομένων συνῆν, εἶπε μετὰ τῶν πενέστων. ἀντὶ τοῦ μετὰ τῶν πενήτων. καταλελειμμένον γὰρ ἦν τὸ σύστημα τῶν πενέστων. καὶ λοιπὸν οἱ πένητες καὶ οἱ θῆτες, πενέσται ἐκαλοῦντο. Ὦ μακάρι' Αὐτόμενες. ὁ Αὐτομένης ἔσχε τρεῖς υἱούς. τὸν μὲν, κιθαρῳδόν. τὸν δὲ, ὑποκριτήν. τὸν δὲ τῷ στόματι αἰσχρουργοῦντα. Κιθαραοιδότατον. τῇ λέξει κέχρηται καὶ Εὔπολις ἐν Χρυσῷ γένει. ὦ καλαβρὲ κιθαραοιδότατε. Τὸν δ' ὑποκριτήν. οὐκ ἔστι σαφές, τίς τῶν Αὐτομένους ἐστὶν υἱός. Ὅν ποτ' ὤμοσε. τίς ὤμοσεν εἰ μὴ ἄρα ὁ πατήρ. Ἀρίγνωτον δὲ λέγει τὸν κιθαρῳδόν. δῆλον δὲ ἐκ τούτου Ἀριφράδην λέγεσθαι υἱὸν Αὐτομένους καὶ ἀδελφὸν Ἀριγνώτου. Ἀργαλέον ὡς σοφόν. ἀντὶ τοῦ δυσχερὲς εἰπεῖν ὅπως ἦν σοφός. Θυμοσοφικώτατον. θυμόσοφοι λέγονται ὅσοι ἀφ' ἑαυτῶν εὐφυεῖς εἰσίν.

Κλειταγόρα τε. Κλειταγόρα μέλος, τὸ εἰς αὐτὴν Κλειταγόραν ἥτις ἐγένετο ποιήτρια Θετταλή τις γυνή. Ἁρμοδίου μέλος τὸ εἰς Ἁρμόδιον. καὶ Ἀδμήτου τὸ εἰς Ἄδμητον. ἐν σκολιοῦ τινός ἐστιν Ἀθηναίοις, Θετταλοὶ συνεμάχησαν ἐν τῷ πρὸς τοὺς τυράννους πολέμῳ. Πολλὰ δὴ διεκόμισας. τοῦτό φησιν ἐπαίζων πρὸς τὸ σκολιὸν Αἰσχίνου ἐπεὶ κομπαστὴς ἦν. Εἰς φιλοκτήμονος. Φιλοκτήμων ἄσωτος οὗτος καὶ συνεχῶς δεῖπνα ἐποίει. Τὸ δεῖπνον Χρυσέ. μεταβαλεῖν θέλει τοὺς τρόπους τὸν πρεσβύτην. εἰ δέ που τις ἐκάλει το εἰς ἄριστον ἢ εἰς δεῖπνον, τὸ ἄριστον ἢ τὸ δεῖπνον ἑαυτοῦ ἔφερε. τὸ ὄνομα δὲ τοῦ θεράποντος Χρυσός. Πατάξαι γράφεται καὶ καταράξαι ἀντὶ τοῦ καταβαλεῖν τὴν θύραν. Παρῃτήσαντο. παρεμυθήσαντο ἢ ἐρρύσαντο τῆς δίκης. καὶ ἀπέλυσαν τῆς αἰτίας. καὶ παρῃτεῖτο ἀντὶ τοῦ ἐλιπάρει παρεκάλει παρ' Ἡροδότῳ. ὁ δὲ ἐλθὼν παρῃτεῖτο τὸν ἀδελφεὴν τυχάνων δὲ οὐδενὸς ὧν ἐδέετο, αὐτὸς ἔλυσεν. Αἰσωπικὸν γέλοιον. μῦθοι οὗτοι ἐγένοντο. καὶ οἱ μὲν Συβαριτικοὶ, περὶ τῶν τετραπόδων ἦσαν. οἱ δὲ Αἰσωπικοὶ περὶ τῶν ἀνθρώπων. Αἴσωπος δὲ ὁ τῶν μύθων ποιητὴς Σάμιος δοῦλος οὐ τὴν τύχην μᾶλλον ἢ τὴν προαίρεσιν, οὐκ ἄφρων μὲν οὐδὲ κατ' αὐτὸ τοῦτο ἀνήρ. ὁ γὰρ νόμος οὐ μετεδίδου παρρησίας, τούτῳ προσῆκον ἦν ἐσκιαγραφημένας τὰς συμβουλὰς καὶ πεποικιλμένας ἡδονῇ καὶ χάριτι παραφέρειν. ὥσπερ καὶ τῶν ἰατρῶν οἱ μὲν ἐλεύθεροι, τὸ δέον ἐπιτάττουσιν. ἐὰν δέ τις οἰκέτης γένηται τὴν τύχην καὶ τὴν τέχνην ἰατρός, πράγματα ἔχει κολακεύειν ἅμα καὶ θεραπεύειν τὸν δεσπότην ἀναγκαζόμενος. φασὶ δέ τινες τὸν Αἴσωπον ἀναβιῶναι καὶ Πλάτων ὁ κωμικός. καὶ νῦν ὅμοσόν μοι μὴ πυνᾶσαι τὸ σῶμα. ἐγὼ ψυχὴ δ' ἀπὸ νίκης ὥσπερ Αἰσώπου ποτέ. οὗτοι δὲ οἱ μῦθοι πολιτικοὶ ἦσαν. μῦθος δ' αἴνου διαφέρει. τῷ τὸν αἶνον μὴ πρὸς παῖδας ἀλλὰ πρὸς ἄνδρας πεποιῆσθαι καὶ μὴ πρὸς ψυχαγωγίαν μόνον, ἀλλὰ καὶ παραίνεσιν ἔχειν τινά. βούλεται γὰρ ἐπικρυπτόμενος παραινεῖν τι καὶ διδάσκειν ὅπερ καὶ Ἡσίοδος φαίνεται πεποιηκώς. τὸ δὲ ἑξῆς. ἔλεξας ἐν τῷ συμποσίῳ λόγον ὃν ἔμαθες Αἰσωπικὸν ἢ Συβαριτικὸν ἀφείς ἐστι, ὁ παθὼν δηλονότι.

χρήματα καὶ βίαν. Κλειταγόρα τε κἀμοὶ μετὰ Θετταλῶν

φι. πολλὰ δὴ διεκόμισας σύ τε κἀγώ.

Βδ. τουτὶ μὲν ἐπιεικῶς σύ γ' ἐξεπίστασαι.

ὅπως δ' ἐπὶ δεῖπνον εἰς Φιλοκτήμονος ἴμεν,

παῖ παῖ. τὸ δεῖπνον Χρυσὲ συσκεύαζε νῷν.

ἵνα καὶ μεθυσθῶμεν διὰ χρόνου μηδαμῶς.

κακὸν τὸ πίνειν. ἀπὸ γὰρ οἴνου γίνεται.

καὶ θυροκοπῆσαι. καὶ πατάξαι καὶ βαλεῖν.

κἄπειτ' ἀποτίνειν ἀργύριον ἐκ κραιπάλης.

Βδε. οὔκ. ἢν ξυνῇς ἀνδράσι καλοῖς τε κἀγαθοῖς.

ἢ γὰρ παρῃτήσαντο τὸν πεπονθότα;

ἢ λόγον ἔλεξας αὐτὸς ἀστεῖόν τινα.

Αἰσωπικὸν γέλοιον ἢ Συβαριτικόν.

ὧν ἔμαθες ἐν τῷ συμποσίῳ. κᾆτ' ἐς γέλων

τὸ πρᾶγμ' ἔτρεψας ὥστ' ἀφείς σ' ἀποίχεται.

φι. μαθητέον γ' ἄρ' ἐστὶ πολλοὺς τῶν λόγων.

εἴπερ γ' ἀποτίσω μηδὲν, ἤν τι δρῶ κακόν.

ἄγε νυν ἴωμεν μηδὲν ἡμᾶς ἰσχέτω.

εἰς τὸν δ' ἥθεν λέγοντα κλέωνα αἰνίττεται. Ἄνθρωφ' οὗτος ὁ μαιόμενος παρὰ τὰ ἀλκαίου. ὤνησεν οὗτος καὶ μαιόμενος τὸ μέγα κράτος. τάχα τρέψεις τὴν πόλιν. ἁ δ' ἔχεται ῥοπᾶς. αὐτή που μέγα κράτος, οὕτως ἀπολεῖς. Ἀνατρέψεις. ἀνατρέψεις ταχέως τὴν πόλιν. ἥτις πρὸς τοῦτο ῥέπει. ἐκ τῶν ἀλκαίου δὲ παρῳδεῖ εἰς κλέωνα ὡς μαιόμενον. Ἀδμήτου λόγον. καὶ τοῦτο ἀρχὴ σκολίου. ἑξῆς δέ ἐστι. τῶν δειλῶν ἀπέχου γνοὺς ὅτι δειλῶν ὀλίγα χάρις. καὶ ἐν πελαργοῖς. ὁ μὲν ᾖδεν Ἀδμήτου λόγον πρὸς μυρρίνην. ὁ δὲ, αὐτὸν ἠνάγκαζεν ἁρμοδίου μέλος. ἁρμόδιος δὲ ἐν τοῖς κωμῳδουμένοις. καὶ τὸν Ἀδμήτου ἀνάγει γραφὴν παραθεὶς κρατῖνος ἐκ χειρόνων κλειταγόρας ᾄδειν. ὅταν Ἀδμήτου μέλος αὐλῇ. ἀπολλώνιος δὲ ὁ χαίριδος ὡς ἀρτεμίδωρός φησι, περὶ μὲν τῆς κλειταγόρας τῆς ποιητρίας ὅτι ὡς ἀδρωνύμενον ἀναγέγραφε κλειταγόραν. αὐτὸς δέ φησι φανόδημον λέγειν. ὅτι φυγὰς ἐκ φερῶν Ἄδμητος, ἦλθε πρὸς θησέα. τὸν ἀλκήστιδος καὶ ἱππάσου νεώτατον παῖδα ἠκατωκίσθη παρ' αὐτοῦ ἐν τῇ αὐτοῦ χώρᾳ εἰς ὃν τὸ σκόλιον. τινὲς δέ φασιν ὡς ἀλκήστιδος ὑπεραποθανούσης Ἀδμήτου τοῦ ἀνδρὸς αὐτῆς σκολιὰ καὶ πενθήρη πρὸς αὐτὸν ᾔδοντο μέλη, μέχρις ἡ κόρη ἀνέπεμψεν ἄλκηστιν ὡς δ' εὐριπίδης ἀδ' ἅμμα χεσάμενος ἡρακλῆς. δικαίαρχος δὲ ἐν τῷ περὶ μουσικῶν ἀγώνων ὅτι τρία γένη ἦν ᾠδῶν. τὸ μὲν ὑπὸ πάντων ᾀδόμενον καθ' ἕνα ἑξῆς. τὸ δ' ὑπὸ τῶν συνετωτάτων ὡς ἔτυχε τῇ τάξει ὃ δὴ καλεῖσθαι διὰ τὴν τάξιν σκολιόν. ὡς δ' ἀριστόξενος καὶ φύλλις ὁ μουσικὸς ὅτι ἐν τοῖς γάμοις περὶ μίαν τράπεζαν πολλὰς κλίνας τιθέντες, παρὰ μέρος ἑξῆς μυρρίνας ἔχοντες ᾖδον γνώμας καὶ ἐρωτικὰ σύντονα. ἡ δὲ περίοδος σκολιὰ ἐγένετο διὰ τὴν θέσιν τῶν κλινῶν. οἱ δέ φασιν ὡς ἔθος ἦν τὸν μὴ δυνάμενον ἐν τοῖς συμποσίοις ᾆσαι, δάφνης κλῶνα ἢ μυρρίνης λαβόντα πρὸς τοῦτον ᾄδειν. ἔνιοι δέ φασιν ὡς ἐκ τοῦ ἐναντίου προσηγορεύθησαν σκολιὰ τὰ παροίνια μέλη. ἁπλᾶ γὰρ αὐτὰ ἐχρῆν εἶναι καὶ εὔκολα ὡς παρὰ πότον ᾀδόμενα. οὐκ ἔστι δὲ τοῦτο. τὰ γὰρ δύσφημα ἐπὶ τὸ εὐφημότερον μεταλαμβάνεται οὐ μὴν τοὔμπαλιν. ἀλλ' ὅτι οὐκ ἀπὸ τοῦ ἑξῆς ἡ λύρα τοῖς συμπόταις ἐδίδοτο, ἀλλ' ἐναλλὰξ, διὰ τὴν σκολιὰν τῆς λύρας περιφορὰν, σκολιὰ ἐλέγετο. Τούτῳ τί λέξεις σκολιόν. κολακικὸν τὸ σκολιὸν ἐν τοῖς πραξίλλης δὲ φέρεται παροινίοις. Ἀλωπεκίζειν. πανουργεῖν. κολακεύειν. οὐδὲν δὲ τοῦτο πρὸς τὸ σκολιὸν τὸ εἰρημένον ὑπὸ θεώρου. Ἀλλ' ὡς κόλακα διαβάλλει αὐτόν. Ἀνὴρ σοφός. ὡς εἰ μὴ σοφὸς. οὐδὲ μουσικός.

ΣΤΡΟΦΗ ΚΩΛΩΝ ΙΔ΄.

χο. ὤνθρωφ' οὗτος ὁ μαιόμενος τὸ μέγα κράτος.
ἀνατρέψεις ἔτι τὰν πόλιν. ἁ δ' ἔχεται ῥοπᾶς.
τί δ' ὅταν θέωρος πρὸ τοῦ δ' ὢν κατακείμενος.
ᾄδει. κλέωνος λαβόμενος τῆς δεξιᾶς.
Ἀδμήτου λόγον ὦ ταῖρε μαθὼν, τοὺς ἀγαθοὺς φίλει.
τούτῳ τί λέξεις σκολιόν. φι. ᾠδικὸς ἐγώ
οὐκ ἔστιν ἀλωπεκίζειν.
οὐδ' ἀμφοτέροις γίγνεσθαι φίλον.
Βδε. μετὰ τοῦτον αἰσχίνης ὁ σέλλου δέξεται
ἀνὴρ σοφὸς καὶ μουσικός. κᾆτ' ᾄσεται

σὺν σεαυτῷ τὸν ὑγρᾶς ἀλεῖψαι. χυτλάζειν δὲ τὸ μιγνύναι καὶ διαχεῖν. χύτλα ἐστὶ κυρίως τὸ ὑγροῦ ἔτι ἀπὸ ὕδατος ὄντος τοῦ σώματος ἀλείψασθαι. καὶ χύτλον τὸ ὑδρέλαιον. Ἐπαίνεσόν τι τῶν χαλκωμάτων. ὅτι οἱ ἐν συμποσίοις ἀνακείμενοι πρὸ τοῦ εἰσενεχθῆναι τὰ βρώματα, ἐπαινοῦσι τὰ ἐν τῇ οἰκίᾳ σκεύη καὶ τὴν οἰκίαν. καὶ τὰ ἐν τῇ αὐλῇ. Ὕδωρ κατὰ χειρός. λείπει τὸ αἴτησαι. οὕτω δὲ ἔθος λέγειν· ὕδωρ κατὰ χειρὸς πρὸ τοῦ εἰσενεχθῆναι τὴν τράπεζαν. μετὰ δὲ τὸ δειπνῆσαι, ἀπονίψασθαι δὸς ὦ παῖ.

ἔπειτ᾽ ἐπαίνεσόν τι τῶν χαλκωμάτων.
ὀροφὴν θέασαι. κρεκάδι᾽ αὐλῆς θαύμασον.
ὕδωρ κατὰ χειρός. τὰς τραπέζας εἰσφέρειν
δειπνοῦμεν. ἀπονενίμμεθ᾽ ἤδη. σπένδομεν.
Φι. πρὸς τῶν θεῶν, ἐνύπνιον ἑστιώμεθα.
Βδ. Αὐλητρὶς ἐνεφύσησεν. οἱ δὲ συμπόται
εἰσὶν, θέωρος. αἰσχίνης. φανός. κλέων.
ξένος τις ἕτερος πρὸς κεφαλῆς ἀκέστορος.
τούτοις ξυνὼν, τὰ σκόλι᾽ ὅπως δέξει καλῶς
Φι. ἄληθες. ὡς οὐδείς γε διακρίων δέξεται.
Βδ. ἐγὼ εἴσομαι. Καὶ δὴ γάρ εἰμ᾽ ἐγὼ κλέων
ᾄδω δὲ πρῶτος ἁρμοδίου. δέξει δὲ σύ.
οὐδεὶς πώποτ᾽ ἀνὴρ ἐγένετ᾽ ἀθηναῖος
Φι. οὐχ οὕτω γε πανοῦργος κλέπτης.
Βδ. τουτὶ σὺ δράσεις παραπολεῖ βοώμενος;
φήσει γὰρ ἐξολεῖν σε καὶ διαφθερεῖν.
Καὶ τῆσδε τῆς γῆς ἐξελᾶν. Φι. ἐγὼ δέ γε
ἐάν γ᾽ ἀπειλῇ, νὴ δί᾽ ἑτέραν ᾄσομαι.

Ἐνύπνιον ἑστιώμεθα. ὅτι εἴρηται μὲν τὰ ἐν συμποσίῳ. οὐ μὴν γεγένηται. ὡς ὄνειρον φησὶν ἑωρακέναι. Ἀκέστορος. ἐπεὶ καὶ αὐτὸν τὸν ἀκέστορον, ξένον κωμῳδοῦσι τῶν τραγικῶν ὃς ἐκαλεῖτο σάκος. θεόπομπος τισαμενῷ. οὐ κοινῶς ξένον. ἀλλὰ μυσόν. τὸν δὲ μύσιον ἀκέστορον ἀναπέπεικεν ἀκολουθεῖν. ὁμοίως. ὦ πολῖται δεινὰ πάσχω. τίς πολίτης δ᾽ ἐστὶ πλὴν ἄψσάκας ὁ μυσός. καὶ τὸ καλλίου νόθον. Τὰ σκόλι᾽ ὅπως δέξῃ καλῶς. ἀρχαῖον ἔθος ἑστιωμένους ᾄδειν. ἀκολούθως τὸ πρῶτον ἀπαύσαιτο τῆς ᾠδῆς. καὶ γὰρ ὁ ἐξάρχης δάφνην ἢ μυῤῥίνην κατέχων, ᾖδε σιμωνίδου ἢ στησιχόρου μέλη ἄχρις οὗ ἤθελε. καὶ μετὰ ταῦτα ᾧ ἐβούλετο, ἐδίδου. οὐχ ὡς ἡ τάξις ἀπῄτει. καὶ ἔλεγεν ὁ δεξάμενος παρὰ τοῦ πρώτου τὰ ἑξῆς. κἀκεῖνος ἐπεδίδου πάλιν ᾧ ἐβούλετο. διὰ τὸ πάντας οὖν ἀπροσδοκήτως ᾄδειν καὶ λέγειν τὰ μέλη, σκολιὰ εἴρηται διὰ τὴν δυσκολίαν. Ἄλλως. ὅπως παραδέξῃ. ἐν κύκλῳ γὰρ ᾔει διὰ τὰ σκολιά. ἃ εἰσὶ παροίνιαι ᾠδαί. Ὡς οὐδείς γε διακρίων. ὡς εἰς ταύτην ἑαυτὸν ἀναπέμπων τὴν τάξιν τοῦ πολιτεύματος. κατὰ γὰρ τοὺς σόλωνος νόμους, τρεῖς ἦσαν αἱ τάξεις. μία ἐν τῷ παραλίῳ ὧν προειστήκει μεγακλῆς. ἑτέρα δὲ τῶν πεδιέων ὧν προειστήκει λυκοῦργος. τρίτη δὲ τῶν διακρίων ὧν προειστήκει πεισίστρατος. τὴν δὲ χώραν τὴν διακρίαν πανδίονα φασὶ τοῖς υἱοῖς διανείμαντα, τὴν ἀρχὴν λύκῳ δοῦναι. αἰγεῖ δέ, τὴν περὶ τὸ ἄστυ. πάλλαντι δέ, τὴν παραλίαν νίσῳ δέ, τὴν μεγαρίδα. Οὐχ οὕτω γε πανοῦργος. τοῦτο εἶπεν, ὡς διαδεχόμενος αὐτὸν κατὰ τὴν τάξιν τῶν τὰ σκόλια λεγόντων. οὐδὲν δὲ τοῦτο πρὸς τὸ ἑξῆς τοῦ σκολίου. ἀλλ᾽

Δυ' ὀβολὼ φέρων. ἀντὶ τοῦ μισθοφορῶν περὶ τούτου. ἰκρίοις δὲ θεωροῦντές τινες τοὺς δύο ὀβολοὺς παρεῖχον. Ἀσκώνδα καλῶς τὸ χ̄, ὅτι περὶ τοῦ Ἐφουδίωνος ὡς ἀληθῶς ἱστορεῖ. καὶ πεπυγμένοι δὲ φαίνονται οὗτοι παγκρατιασταὶ ἐπὶ παιδίου. ὁ δὲ Ἀσκώνδας, καὶ ἔστιν αὐτοῦ τοῦ ὀνόματος. εἰ μὴ ἄρα ὁ Ἐφουδίων. ἔστιν ὁ ἐν τοῖς Ὀλυμπιάσι φερόμενος Ἐφουδίων Μαινάλιος. Θώρακ' ἔχων. τὸν πολεμικὸν ἐνόησε χιτῶνα τοῦ δὲ Λυκλέωνος τὸ στῆθος εἰπόντος. θώραξ γὰρ καὶ τὸ στῆθος δηλοῖ παρὰ τὸ θεῖον ὠρεῖν, τουτέστι φυλάττειν τὸ διανοητικὸν, ὅ ἐστιν ἐν ἡμῖν θεῖον. ὅθεν καὶ τὸ θωρήξασθαι ὡς ἐν Ἀχαρνεῦσιν εἴρηται, οὐ μόνον τὸ καθωπλισθῆναι, ἀλλὰ καὶ τὸ μεθυσθῆναι σημαίνει, διὰ τὸ θερμαίνειν τὸ στῆθος. καὶ ἀκροθώρηκας τοὺς ἀκρομεθύσους ἐκάλουν. φησὶν οὖν πῶς ἂν μαχέσαιτο παγκράτιον καθωπλισμένος. ἐπειδὴ νόμος ἦν τοὺς γυμναστὰς γυμνοὺς εἰς τὸν ἀγῶνα εἰσέρχεσθαι. Παρ' ἀνδράσι ξένοις. ἔθος γὰρ ἐπὶ τῶν ξένων καυχᾶσθαι. Σεαυτοῦ. ὁ αὐτὸς σεαυτῷ περιεργίσω. Ἐργασίωνος. γεωργοῦ. θηλυκῶς δὲ, ἐπὶ τῶν ἀμπέλων ἡ χάραξ. ἀρσενικῶς δὲ, ἐπὶ τῶν πρὸς πολιορκίαν. χάραξ δέ ἐστι τὸ λεπτὸν ξύλον ᾧ προσδεσμοῦσι τὴν ἄμπελον, ἵνα μὴ ὑπὸ τῶν ἀνέμων συντρίβηται. Ἐδιώκαθές ποτ' εἰς σεαυτὸν λαμπάδα διαδρομήσαντα. ὅτι γὰρ καὶ ἠγωνίζοντο τῇ [illegible] λαμπάδας ἔχοντες ἐν τῷ κεραμεικῷ, φανερὸν ἐκ τῶν εἰς Βατράχους. Φάϋλλον. εἴρηται περὶ Φαΰλλου ἐν Ἀχαρνεῦσιν, ὁ βούπαις δὲ ἡλικίας ὄνομα ὁ νέος ἔφηλιξ. Εἷλον διώκων. ἀντὶ τοῦ εἰπεῖν ὅτι ἐνίκησα δρόμῳ. πάλιν περὶ δίκης φησί. δρομεὺς δὲ ἄριστος ὁ Φάϋλλος. ξυνουσιαστικὸς δὲ κοινωνικός. Ὡδὶ κελεύεις. φαίνεται ὅτι πρὸς τῷ στόματι ἔχων τὰ γόνατα κατεκλίθη. γυμναστικῶς δὲ παλαιστρικῶς. χύτλασον δὲ διάχυ

τὴν ἐς Πάρον. καὶ ταῦτα δύ' ὀβολὼ φέρων.
Βδ. ἀλλ' οὖν λέγειν χρὴ σ' ὡς ἐμάχετό γ' αὐτίκα.
Ἐφουδίων παγκράτιον, Ἀσκώνδα καλῶς.
ἤδη γέρων ὢν καὶ πολιὸς ἔχων δέ τι
πλευρὰν βαρυτάτην, καὶ χέρας· λαγόνας τι· καὶ
θώρακ' ἄριστον. παῦε παῦ' οὐδὲν λέγεις.
πῶς δ' ἂν μαχέσαιτο παγκράτιον θώρακ' ἔχων.
Βδ. οὕτως διηγεῖσθαι νομίζουσ' οἱ σοφοί,
ἀλλ' ἕτερον εἰπέ μοι· παρ' ἀνδράσι ξένοις·
πίνων, σεαυτοῦ, ποῖον ἂν λέξαι δοκεῖς.
ἐπὶ νεότητος ἔργον ἀνδρικώτατον.
Φι. ἐκεῖν' ἐκεῖν' ἀνδρειότατόν γε τῶν ἐμῶν,
ὅτ' Ἐργασίωνος τὰς χάρακας ὑφειλόμην.
Βδ. ἀπολεῖς με. ποίας χάρακας· ἀλλ' ὡς ἢ κάπρον
ἐδιώκαθές ποτ' ἢ λαγὼν, ἢ λαμπάδα.
ἔδραμες, ἀνευρὼν ὅ τι νεανικώτατον.
Φι. ἐγᾦδα τοίνυν τό γε νεανικώτατον.
ὅτε τὸν δρομέα Φάϋλλον ὢν βούπαις ἔτι
εἷλον διώκων, λοιδορίας ψήφοιν δυοῖν.
Βδ. παῦ' ἀλλὰ δευρὶ κατακλινεὶς, προσμάνθανε·
ξυμποτικὸς εἶναι καὶ ξυνουσιαστικός.
Φι. πῶς οὖν κατακλινῶ. φράζ' ἀνύσας. Βδ. εὐσχημόνως.
Φι. ὡδὶ κελεύεις κατακλιθῆναι; Φι. μηδαμῶς
πῶς δαί. Βδ. τὰ γόνατ' ἔκτεινε. καὶ γυμναστικῶς
ὑγρὸν χύτλασον σεαυτὸν ἐν τοῖς στρώμασιν.

Ἄλλως. ἁβρῶς καὶ μαλακῶς σαυτὸν διακίνησον. ἀπό τινος σαλάκωνος τρυφηλοῦ. τινὲς δὲ σαλακωνίσαι φασὶ, τὸν πρωκτὸν αἰσχρῶς κινῆσαι. σαῦλον δὲ καλεῖ τὸ φαῦλον καὶ διερρυηκός. Οὕτω δοθιῆνι. ἀπρὸς λόγους παίζει. καὶ τοῦτο τῷ σαλακωνίσαι ὅμοιον. ἢ πρὸς τὸν πατέρα ἀμόρφως ἠμφιεσμένον τὴν καυνάκην καὶ ἀναρμόστως, καὶ τὸ σκόροδον τῷ δοθιῆνι, ἀνάρμοστον εἰς θεραπείαν. δοθιὴν δὲ, φῦμα φλυκταίνῃ ἐοικός. Σαυλοπρωκτιᾶν. σαλεύειν τὸν πρωκτόν. σαῦλον γὰρ τὸ κοῦφον. Πρῶτον μὲν, ὡς ἡ λαμία. ὅτι οὐκ οὖσαν τὴν λαμίαν ὑποτίθεται, διὸ τὸ χ. τοῦτο δὲ ἐν μύθῳ λέγεται. Καρδοπίων. καὶ τοῦτο ἀρχὴ μύθου. δίδυμος ὁ καρδοπίων ζητητέος οὐδαμοῦ κωμῳδεῖται. ἀλλ' ἀγκυλίων, ἐπὶ τῷ τὴν μητέρα διατιθέναι λείπει δὲ ἔτυψεν. Μῦς καὶ γαλῆ. πρὸς τὴν συνήθειαν ὅτι μῦθον προέταττον οὕτως. οἷον ἦν γέρων καὶ γραῦς καὶ πλάτων ἐν φαίδρῳ ἦν οὕτω παῖς, μᾶλλον δὲ μειρακίσκος. τούτῳ δ' ἦσαν ἐρασταὶ πάνυ πολλοί. Ἄλλως. ἀρχὴ μύθου. τοῦτο δὲ πρὸς τὸ κατ' οἰκίαν εἰρημένων τῷ βδελυκλέωνι οἰόμενος περὶ μυθαρίων αὐτὸν λέγειν.

ΒΔ. οὕτω δοθιῆνι σκόροδον ἠμφιεσμένῳ.
ΦΙ. καὶ μὴν προθυμοῦμαί γε σαυλοπρωκτιᾶν.
ΒΔ. ἄγε νυν. ἐπιστήσει λόγους σεμνοὺς λέγειν.
ἀνδρῶν παρόντων πολυμαθῶν καὶ δεξιῶν.
ΦΙ. ἔγωγε. ΒΔ. τίνα δῆτ' ἂν λέγοις. ΦΙ. πολλοὺς πάνυ.
πρῶτον μὲν ὡς ἡ λαμί' ἁλοῦσ' ἐπέρδετο. Συν
ἔπειτα δ' ὡς καρδοπίων τὴν μητέρα.
ΒΔ. μή μοί γε μύθους. ἀλλὰ τῶν ἀνθρωπίνων.
οἵους λέγομεν μάλιστα τοὺς κατ' οἰκίαν.
ΦΙ. ἐγῷδα τοίνυν τῶν γε πάνυ κατ' οἰκίαν.
ἐκεῖνον, ὡς οὕτω ποτ' ἦν μῦς καὶ γαλῆ.
ΒΔ. ὦ σκαιὲ κἀπαίδευτε θεογένης ἔφη.
τῷ κοπρολόγῳ. καὶ ταῦτα λοιδορούμενος
μῦς καὶ γαλᾶς μέλλεις λέγειν ἐν ἀνδράσιν.
ΦΙ. ποίους τινὰς δὲ χρὴ λέγειν. Β. μεγαλοπρεπεῖς.
ὡς ξυνεθεώρεις ἀνδροκλεῖ καὶ κλεισθένει.
ΦΙ. ἐγὼ δὲ τεθεώρηκα πώποτ' οὐδαμοῦ.

Θεογένης. ὅτι θεογένης οὗτος δεινὸς ὁ ἀχαρνεύς. ὃν καὶ ἐπὶ τῷ μεγάλα ἀποπαρδεῖν κωμῳδοῦσιν. Τῷ κοπρολόγῳ. μεγαλοφυὴς γὰρ ὢν καὶ ἀλαζὼν. παρῃτεῖτο ὡς μικρὰ ταῦτα ἀκοῦσαι. Ὡς ξυνεθεώρεις. ἐμφαίνει μὲν ὡς περὶ γενναίων τινῶν καὶ λαμπρῶν. ἀνδροκλέα δὲ κρατῖνος σερίφοις φησὶ δοῦλον καὶ πτωχὸν, ἡταιρηκότα αὐτόν. τηλεκλείδης δὲ καὶ φρεαττύσι βαλλαντιοτόμον. ὁ δὲ κλεισθένης, ἐπὶ μαλακίᾳ γνωριμώτατος. ἕτερος δὲ γενναῖος ἢ λαμπρὸς κλεισθένης οὐ πάνυ. δέον δὲ εἰπεῖν αὐτὸν ἐπίσημα ὀνόματα, τούτους εἶπεν. ἵνα αὐτοὺς διαβάλλῃ. Πλὴν ἐς πάρον. αὐτὴ τοῦ μαθητὸς ὢν στρατιώτης. τὸ δὲ πάρον. πόνηρα πόλις; καὶ παροιμία. ἐν δὲ παρίῳ, ψυχρὸν μὲν ὕδωρ. καλαὶ δὲ γυναῖκες. οἱ μὲν, τόπον. οἱ δὲ, κατὰ παιδιὰν εἰρῆσθαι κωμικήν.

Κατήρυγε. κατέπτυσεν. ὡς ἐπὶ τῶν μετὰ τροφὴν ὀξυρεγμιώντων. Διερρυηκέναι. πρὶν συμπεσεῖν ἀπὸ τῆς θλίσεως τὰ κρέα μου. ἐμβάδας. τὰ δικαστικὰ ὑποδήματα. Τὰς λακωνικάς. ἀνδρεῖα ὑποδήματα. ἢ ἀστειότερα. ὡς αὐτὶς ἀριστοφάνης ἐν θεσμοφοριαζούσαις. ποῦ τὸ πέος. ποῦ χλαῖνα. ποῦ λακωνικαί. ὁ δὲ φιλοκλέων ἀποσείεται αὐτὰς ὡς ἐχθρῶν ἀθηναίοις τῶν λακεδαιμονίων. καττύματα δέ, δέρματά τινα ἰσχυρὰ καὶ σκληρά, ἅπερ τοῖς σανδαλίοις καὶ ἄλλοις ὑποδήμασιν ὑποβάλλεται.

ὡς θερμὸν ἡ μιαρά τί μου κατήρυγεν.
Βδε. οὐκ ἀναβαλεῖ; μὰ δί' οὐκ ἔγωγ' ὦ 'γαθὲ
εἴπερ γ' ἀνάγκη, κρίβανόν μ' ἀμπίσχετε,
Βδε. φέρε ἀλλ' ἐγώ σε περιβαλῶ. σὺ δ' οὖν ἴθι
Φι. κατάθου γε μέν τι καὶ κρεάγραν. Βδε. τιή, τί δή.
Φι. ἵν' ἐξέλῃς με, πρὶν διερρυηκέναι.
Βδε. ἄγε νυν, ἀποδύου τὰς καταράτους ἐμβάδας.
Τασδὶ δ' ἀνύσας ὑπόδυθι τὰς λακωνικάς.
Φι. ἐγὼ γὰρ ἂν τλαίην ὑποδύσασθαί ποτε.
ἐχθρῶν παρ' ἀνδρῶν δυσμενῆ καττύματα,
Βδε. ἔνθες ποτ' ὦ τᾶν κἀπόβαιν' ἐρρωμένως.
ἐς τὴν λακωνικὴν ἀνύσας. φι. ἀδικεῖς γέ με.
ἐς τὴν πολεμίαν ἀποβιβάζων τὸν πόδα.
Βδε. φέρε καὶ τὸν ἕτερον. φι. μηδαμῶς τοῦτόν γ' ἐπεὶ
πάνυ, μισολάκων αὐτοῦ 'στιν εἷς τῶν δακτύλων
Βδε. οὐκ ἔστι παρὰ ταῦτ' ἄλλα. φι. κακοδαίμων ἐγώ
ὅστις ἐπὶ γήρᾳ χίμετλον οὐδὲν λήψομαι.
Βδ. ἄνυσόν ποθ' ὑποδυσάμενος. εἶτα πλουσίως.
ὡδὶ προβάς, τρυφερόν τι διασαλακώνισον.
Φι. ἰδού. θεῶ τὸ σχῆμα. καὶ σκέψαι μ' ὅτῳ
μάλιστ' ἔοικα τὴν βάδισιν τῶν πλουσίων.

Ἔνθες. ἔνθες τὸν πόδα σου εἰς τὴν λακωνικὴν ἀνύσας. καὶ περιπάτει ἐρρωμένως. ἔνθες αὐτὶ τοῦ ὑπόδυσαι. ἅμα μὲν πρὸς τὸ ὑπόδημα. ἅμα δὲ πρὸς τὴν χώραν. Εἰς τὴν πολεμίαν. ὁ μὲν εἶπε τὴν λακωνικὴν ἐμβάδα. ὁ δέ, ὑπενόησε λέγειν αὐτὸν τὴν χώραν. Χίμετλον ὅτι κυρίως νῦν, τὸ ἀπὸ τοῦ ψύχους ἐπὶ τῶν δακτύλων τραῦμα, λέγεται δὲ καὶ μέρος τι τοῦ ποδός, περὶ ὃ τὸ πάθος. καὶ ὅτι χίμετλον οὐ λέγουσιν ἑνικῶς. πληθυντικῶς δέ, χίμετλα. παρ' ὑπόνοιαν δέ, ἀντὶ τοῦ εἰπεῖν ἀγαθὸν οὐδὲν λήψομαι ὅστις τὰ τῶν γερόντων οὐ λήψομαι. Διασαλακώνι. ἀβρύνθητι καὶ διαθρύφθητι. οἱ δέ, διασαλακώνισον ἀπὸ σαλάκωνος μαλακοῦ τοῦ αὐτολύκου πατρός. Ἄλλως. ἔοικεν ἐμφαίνεσθαι τῷ ὀνόματι τὸ σαλακωνίζεσθαι τουτέστι τὸ σαλεύειν τὸν πρωκτόν. ἔν τισι μέν, διαλυκώνισον. ἐν δὲ τῇ ἀρτεμιδώρου συναγωγῇ. διειλακώνισεν. αἰτία δὲ τοῦ λεξειδίου, ἡ συνήθεια. μή ποτε γὰρ καὶ πεποίηται ὑπ' αὐτοῦ. εἰ δὲ μὴ ἐσχεδίασται τὸ διαλακώνισον, τάχα ἂν λέγοιτο ἀπὸ λύκου πεντάθλου. φαίνεται γάρ τις καὶ μαλακώτερος ψέγεσθαι ἀμειψίας. εἰ μὴ θαυμάζοιεν δεῖ τις μὴ καταβῶμεν. οἱ μὲν τὸν πένταθλον αὐτὸν λύκωνα. ὁμοίως δ' ὅτι καὶ παρ' ἑρμίππῳ, ἐν τοῖς διμέτροις. ὕστερον δὲ αὐτὸν καὶ στρατηγόν. καὶ καταλαβάζουσαν εἰδὼν καὶ σεσαλακωνισμένην.

Ο ὐδαμῶς μοι ξύμφορον. οὐ λυσιτελεῖ μοί φησι τὸ λυσιτελὲς ἀμφιέννυσθαι. καὶ γὰρ πρώην ἰχθύδια ἐσθίων ὀπτὰ καταστάξας ζωμοῦ ἐπὶ τὸ ἱμάτιον τριώβολον ἔδωκα τῷ κναφεῖ μισθόν. τουτέστι τῷ πλύνοντι τὰ ἱμάτια. Τριβωνικῶς. ἐὰν μὲν τριβωνικῶς, ὡς τὸ τριβώνιον περιβεβλημένῳ καὶ ἀσθενήσαντι. ἐὰν δὲ γεροντικῶς, ὡς πρέπει γέροντι. Φυτεύειν. γεννᾶν. Ἀποπνῖξαι. διὰ τὸ καῦμα τὸ ἀπὸ τῆς καυνάκης. Τουτὶ τὸ κακόν. τὸ καινὸν παρ᾽ ὑπόνοιαν. ἐπεὶ καινὸν παραλαμβάνει ἱμάτιον. Οἱ δὲ καυνάκην. ἔοικε τὸ βαρβαρικὸν εἶναι φόρεμα. Ἐγὼ δὲ σισύραν. σισύραν εἶπε οὐ τὸ μαλλωτὸν ἀλλὰ βαίταν. ἔστι δὲ, ἡ ἀπὸ δέρματος συῤῥαπτομένη χλαινίς. θυμαιτίδα δὲ ἀπὸ δήμου τῆς ἱπποθοωντίδος φυλῆς ἀπὸ θυμοίτου ἥρωος. μήποτε δὲ γραπτέον θυμοιτίδα. Εἰς σάρδεις. εἰς σάρδεις γὰρ ἐπωλεῖτο τὰ περσικὰ ἱμάτια. σάρδεις δὲ, πόλις λυδίας ὑπὸ πέρσαις. ἀναγκαίως οὖν περσικὰ ἐφόρουν. Οὐ τοίνυν γ᾽ ἀτάρ. οὐκ ἦλθον εἰς σάρδεις. μορύχου σάγματι. μόρυχος ὠχρὸς σάγματι δὲ τῷ μαλλωτῷ σάγῳ. ὡς ἐχρῆτο ὡς τρυφερὸς πλείονι θάλπει χρώμενος. Ἄλλως. τῶν περὶ τρυφὴν ἐσπουδακότων ὁ μόρυχος. σάγματι δὲ, ἐπεὶ παχεία ἴσως ὡς ἐκείνου παχεῖ σάγματι χρωμένου. ἐκβάτανα δὲ, πόλις περσῶν. κρόκη δὲ ῥοδανὴ καὶ κροκύφαντος. ὅτι διὰ κρόκης ὑφαίνεται.

Χ όλιξ. χόλιξ λέγεται τὸ τοῦ βοὸς ἔντερον μαλλωτόν. ὅ ἐστιν ἐκ κρόκης μαλλός. Ἄλλως. τὰς ἐξοχὰς τῶν κρόκων εἰκάζει χόλιξι. τοῦτο δὲ, ἀρτεμίδωρος λέγει. τὰς ἐπὶ τῆς κοιλίας λεγομένας χολάδας. εὐφρόνιος δὲ, οὐ τὰ ἔντερα καθ᾽ αὑτό. ἀλλὰ πᾶν σὺν τῷ λίπει καὶ τοῖς ὑμέσιν. Ἐριώλην. ἐρίων ἀπώλειαν παρὰ τὸ ἔρια ἀναλῶσαι.

φι. μὰ τὸν Δί᾽ οὐ γὰρ οὐδαμῶς μοι ξύμφορον.
καὶ γὰρ πρότερον ἐπ᾽ ἀνθρακίδων ἐμπλήμενος,
ἀπέδωκ᾽ ὀφείλων τῷ γναφεῖ τριώβολον.
Βδ. ἀλλ᾽ οὖν πεπειράσθω γ᾽ ἐπειδήπερ γ᾽ ἅπαξ
ἐμοὶ σεαυτὸν παραδέδωκας εὖ ποιεῖν.
φι. τί οὖν κελεύεις δρᾶν με. Βδ. τὸν τρίβων᾽ ἄφες.
τηνδὶ δὲ χλαῖναν ἀναβαλοῦ τριβωνικῶς.
φι. ἔπειτα παῖδας χρὴ φυτεύειν καὶ τρέφειν
ὅθ᾽ οὑτοσί με νῦν ἀποπνῖξαι βούλεται;
Βδ. ἔχ᾽ ἀναβαλοῦ. τηνδὶ λαβὼν καὶ μὴ λάλει.
φι. τουτὶ τὸ κακὸν τί ἐστι πρὸς πάντων θεῶν.
Βδ. οἱ μὲν, καλοῦσι περσίδ᾽ οἱ δὲ, καυνάκην
φι. ἐγὼ δὲ σισύραν ᾠόμην θυμαιτίδα.
Βδ. κοὐ θαῦμά γ᾽ ἐς σάρδεις γὰρ οὐκ ἐλήλυθας.
ἔγνως γὰρ ἄν, νῦν δ᾽ οὐχὶ γιγνώσκεις. φι. ἐγώ;
μὰ τὸν Δί᾽ οὐ τοίνυν γ᾽ ἀτὰρ δοκεῖ γέ μοι
ἐοικέναι μάλιστα μορύχου σάγματι
Βδ. οὐκ. ἀλλ᾽ ἐν ἐκβατάνοισι ταῦθ᾽ ὑφαίνεται.
φι. ἐν ἐκβατάνοισι γίγνεται κρόκης χόλιξ;
Βδ. πόθεν ὦ γάθ᾽. ἀλλὰ τοῦτο παρὰ βαρβάροις
ὑφαίνεται πολλαῖς δαπάναις. αὕτη γέ τοι
ἐρίων τάλαντον καταπέπωκε ῥᾳδίως.
Φι. οὔκουν ἐριώλην δῆτ᾽ ἐχρῆν ταύτην καλεῖν.
δικαιότερόν γ᾽ ἢ καυνάκην. Βδε. ἔχ᾽ ὦ γαθέ.
καὶ στῆθί γ᾽ ἀμπισχόμενος. φι. οἴμοι δείλαιος.

κιῶν τὰ κοῖλα. καὶ τὰ τῆς πεύκης. καὶ τὰ τῆς πίτυος προσαυξοῦντα στροβίλια. καὶ ὁ πυθμὴν καὶ ἡ κατάτρησις. οἱ δέ, καὶ τὰ ἐν τοῖς κηροῖς τρήματα ἢ τὰ κοῖλα ἄγγη, καὶ τῶν ἀηδίων τοὺς βαλάνους. Ἄλλως. κύτταρος τὸ πῶμα τῆς βαλαίου ὅπου ἐγκάθηται ἡ βάλανος ἢ τῆς βαλάνου πυελὶς καὶ κατάτρησις. ἢ τὸ ὑψηλότατον τοῦ οὐρανοῦ. λέγουσι γὰρ κοῖλον εἶναι τὸν οὐρανόν, ὥσπερ τοῦ ὠοῦ τὴν λεπίδα, ὃ κοιλότατον καὶ μυχαίτατον. Θεόφραστος δὲ κυρίως λέγει κύτταρον, τὴν πρόσθεσιν τῆς πίτυος ἥτις ἐστὶν ὡς στάχυς μικρὸς ἐκ μεγάλων πυρῶν. ξηραινόμενος δὲ θυλακοῦται καὶ ἀποπίπτει. ὅθεν ἀστειῶδές φησι κύτταρον οὐρανοῦ ὁ αὐτὸς Ἀριστοφάνης ἐν θεσμοφοριαζούσαις. πόσθιον δὲ τῷ σῷ πρόσμοιον στρεβλὸν ὥσπερ κύτταρον.

ἔς τε τὴν ἄλλην δίαιταν ἐσμὲν εὐπορώτατοι
πάντα γὰρ κεντοῦμεν ἄνδρα. κἀκπορίζομεν βίον.
ἀλλὰ γὰρ κηφῆνες ἡμῖν εἰσὶν ἐγκαθήμενοι
οὐκ ἔχοντες κέντρον. οἳ μένοντες ἡμῶν τοῦ φόρου
τὸν γόνον κατεσθίουσιν, οὐ ταλαιπωρούμενοι.
τοῦτο δ' ἔστ' ἄλγιστον, ὑμῶν ἤν τις ἀστράτευτος ὢν
ἐκφορῇ τὸν μισθὸν ἡμῶν, τῆσδε τῆς χώρας ὕπερ
μήτε κώπην, μήτε λόγχην, μήτε φλύκταιναν λαβών.
ἀλλά μοι δοκεῖ τὸ λοιπὸν τῶν πολιτῶν ἔμβραχυ.
ὅστις ἂν μὴ 'χῃ τὸ κέντρον, μὴ φέρειν τριώβολον.
ΦΙ. οὔτοι ποτὲ ζῶν τοῦτον ἀποδυθήσομαι.
ἐπεὶ μόνος μ' ἔσωσε παρατεταγμένον.
ὅθ' ὁ Βορέας ὁ μέγας ἐπεστρατεύσατο.
ΒΔ. ἀγαθὸν ἔοικας οὐδὲν ἐπιθυμεῖν παθεῖν.

Ἀλλὰ γὰρ κηφῆνες τῶν ἐπὶ τοῦ βήματος λέγει ῥήτορας. κηφῆνες δέ εἰσιν, οἱ ἄρσενες τῶν μελισσῶν. οἵτινες οὔτε κέντρα ἔχουσιν. οὔτε κηρία ἐργάζονται. ἀλλὰ τὰ τῶν μελισσῶν ἔργα ἐσθίουσιν. Ἡσίοδος. κηφήνεσσι κοθούροις ἴκελος ὁρμήν. οἵτε μελισσάων κάματον τρύχουσιν ἀεργοὶ ἔσθοντες. Φλύκταιναν. φύσκαν ἐν τῇ χειρὶ ἐκ τοῦ κωπηλατεῖν. Ἔμβραχυ. καθάπαξ ἢ παντάπασι τὸ ἔμβραχυ, ἀττικὴ συνήθεια. οὐδὲν πλέον δηλοῦσα, ἢ τὸ βραχύ. ὡς ἐμφαγεῖν τὸ φαγεῖν. καὶ παρ' Εὐριπίδῃ τὸ ἐνδυστυχῆσαι, ἀντὶ τοῦ δυστυχῆσαι.

Οὔτοι ποτὲ ζῶν. καυνάκην ἀμφιέσαι βούλεται τὸν πατέρα ὁ υἱὸς ἀφελόμενος τὸ τριβώνιον. φησὶν οὖν, ὅτι τρίβωνα οὐκ ἀφαιρῶ ἐμαυτοῦ. τὸν γὰρ τρίβωνα περισπάσας, θέλει αὐτὸν καυνάκην ἐνδῦσαι. καυνάκης δὲ χλαῖνα περσικὴ ἀλεεινή. παρὰ τὸ ἀλεαίνεσθαι. ὁ δὲ Παλαμήδης φησὶ καυνάκης ἐστὶ περσικὸν ἱμάτιον, ἔχον ἐκ τοῦ ἑτέρου μέρους μαλλούς. Ἄλλως. Καυνάκης εἶδος ἱματίου ὅπερ καὶ περσίδα καλοῦσιν. οἱ δὲ ἀσύραν θυμιατίδα ὅπερ ἔοικε μερύχου σάγματι. σάγμα δὲ ἡ θήκη τοῦ ὅπλου. ὡς ἐν τοῖς ἑξῆς. Ἐπεστρατεύσατο δὲ σφοδρῶς ἐπῆλθε τοῖς ἡμετέροις μαχεσάμενος σώμασι. μή ποτε τὸν πλεύσαντά φησι Βορέαν ἐπὶ τῷ Ἀρτεμισίῳ καὶ διαφθείραντα τὸν τῶν βαρβάρων στόλον. πολὺς γὰρ ἐπελθὼν κατέδυσεν αὐτῶν τὰ σκάφη βοηθῶν Ἀθηναίοις. διὸ καλῶς τὸ ἐπεστρατεύσατο.

Ἆρα δεινός. ἡ ᾠδὴ ἡ καὶ ἀντιστροφὴ ὁμοία ἐστὶ τῇ ᾠδῇ. καὶ αὐτὴ γάρ κώλων ἐστὶ καὶ στίχων ια. καὶ τὰ μὲν τροχαϊκά, τὰ δ' ἔχει ἰαμβικά. πλὴν ἐν τῷ ζ' κώλῳ τὸν τρίτον ἔχει πόδα χορεῖον. ἐπὶ τῷ τέλει αἱ συνήθεις δύο διπλαῖ. τὸ δὲ ἦ καὶ ταῦτα ἀπὸ τοῦ ἔα κατὰ κρᾶσιν ἢ ἀντὶ τοῦ ὑπῆρχον ἐγώ. Οὐ γὰρ ἦν ἡμῖν. τὸ φροντὶς ἐνταῦθα συνάπτεται. Ῥῆσιν εὖ λέξειν. ὡς οἱ νῦν ἀσκοῦσι μόνον τὸ εὖ λέγειν. οὐ τὰ πολεμικά. Πολλὰς πόλεις. ἴσως ὑπὸ μήδοις γενομένας ἀθηναίων. Πολλαχοῦ. τὸ ἀντεπίρρημα ὅμοιόν ἐστι τῷ ἐπιρρήματι, καὶ τοῦτο ἐκ τῶν εἰωθότων στίχων τροχαϊκῶν. ὑφ' ὃ διπλῆ ἔξω νενευκυῖα. Οἱ δὲ παρὰ τοὺς ἕνδεκα. ἐτήρουν οὗτοι τοὺς δεδεμένους. οὗτοι δὲ νῦν, θεσμοφύλακες καλοῦνται. Ἄλλως. ἡ τῶν ἕνδεκα ἀρχή, τοὺς μὲν ὁμολογοῦντας καὶ ἀνδραποδιστάς καὶ λωποδύτας, θανάτῳ ἐκόλαζον. τοὺς δὲ ἀρνουμένους, εἰς δικαστήριον εἰσῆγον. εἰσῆγον δὲ καὶ τὰς ἐνδείξεις. ἔνδειξις δέ ἐστι δίκη φησὶν ὁ παλαμήδης κατὰ τῶν τὰ δημόσια πωλούντων. Οἱ δ' ἐν ᾠδείῳ. τόπος ἐστὶ θεατροειδής. ἐν ᾧ εἰώθασι τὰ ποιήματα ἀπαγγέλλειν, πρὶν τῆς εἰς τὸ θέατρον ἀπαγγελίας. τοῦτο δέ φησιν, ὅτι εἰς πάντα τόπον εὑρήσετε τοὺς δικαστάς ἐν τῇ ἀττικῇ.

ἈΝΤΩΙΔΗ΄ κῶλων, ιά.

χο. ἆρα δεινὸς ἦ τόθ', ὥστε πάντα μὴ δεδοικέναι.
καὶ κατεστρεψάμην
τοὺς ἐναντίους, πλέων ἐκεῖσε ταῖς τριήρεσιν.
οὐ γὰρ ἦν ἡμῖν ὅπως
ῥῆσιν εὖ λέξειν ἐμέλλομεν τότ' οὐδὲ
συκοφαντήσειν τινά,
φροντὶς. ἀλλ' ὅστις ἐρέτης
ἔσοιτ' ἄριστος. τοιγαροῦν πολλὰς πόλεις.
μήδων ἑλόντες, αἰτιώτατοι φέρεσθαι.
καὶ τὸν φόρον δεῦρ' ἐς μὲν οὖν
κλέπτουσιν οἱ νεώτεροι.

ἈΝΤΕΠΙΡΡΗΜΑ ΣΤΙΧΩΝ, Κ΄.

χο. πολλαχοῦ σκοποῦντες ἡμᾶς εἰς ἅπανθ' εὑρήσετε
τοὺς τρόπους καὶ τὴν δίαιταν, σφηξὶν ἐμφερεστάτους.
πρῶτα μὲν γὰρ οὐδὲν ἡμῶν ζῶον ἠρεθισμένον,
μᾶλλον ὀξύθυμόν ἐστιν. οὐδὲ δυσκολώτερον.
εἶτα τἄλλ' ὅμοια πάντα σφηξὶν μηχανώμεθα.
συλλεγέντες γὰρ καθ' ἑσμοὺς ὥσπερεὶ τἀνθρήνια,
οἱ μὲν, ἡμῶν οὗπερ ἄρχων. οἱ δὲ, παρὰ τοὺς ἕνδεκα.
οἱ δ' ἐν ᾠδείῳ δικάζουσ'. οἱ δὲ πρὸς τοῖς τειχίοις.
ξυμβεβυσμένοι, πυκνὸν νεύοντες εἰς τὴν γῆν, μόλις
ὥσπερ οἱ σκώληκες, ἐν τοῖς κυττάροις κινούμενοι.

τοῦτο δὲ οὐ πρὸς ἀλήθειαν. ἀλλὰ πρὸς τὸ πλῆθος τῶν δικῶν. τάχα δὲ καὶ τὰς διαίτας δηλοῖ. Συμβεβυσμένοι. πυκνώσαντες ἑαυτοὺς καὶ κάμψαντες διὰ τὸ γῆρας. τὸ δὲ πυκνὸν, πρὸς τὸ ξυμβεβυσμένοι. παίοντες δὲ μόλις τῇ βακτηρίᾳ, ὡς αἱ γέροντες. ἢ ὑπὸ τοῦ συμπεπυκνῶσθαι. ἐδίδοντο δὲ καὶ βακτηρίαι τοῖς δικασταῖς. ὁμόχροοι τοῖς δικαστηρίοις. ὅπου ἑκάστους εἰσελθόντας, δικάζειν ἔδει. ἵνα τὸν διαμαρτάνοντα ἀπελέγξῃ τὸ χρῶμα. Ὥσπερ οἱ σκώληκες ἐν κυττάροις. τουτέστιν ἠρέμα. ὡς οἱ σκώληκες διὰ τὸ γῆρας. κύτταροι δέ, αἱ τῶν κηρίων κοιλότητες. ἔστι δὲ ὁ ποικίλος. ὁ παρακείμενος τοῖς βαλανείοις. Ἄλλως. καὶ τῶν σφη-

κωμῳδεῖν. κοκκίνους δὲ ἔλεγον τὰς περιτετμημένας καὶ πεπημελημένας τρίχας. σχῆμα δὲ τὴν σκευὴν καὶ τὸν κόσμον. Εἴ τις ὑμῶν ὦ θεαταί. τοῦτό ἐστιν ἐπίρρημα. ὡς ἐπίπαν ι στίχων. ἢ ιβ. ἢ ιϛ. ἐνθάδε δὲ, εἴκοσι. Διεσφηκωμένον. εἰς σφῆκας διεσκευασμένον. ταῦτα δὲ, πρὸς τὴν σκευήν. ἣν περιέθετο ὁ χορὸς, τὴν τῶν σφηκῶν ποικιλίαν μιμούμενος περὶ τοῦ σχήματος ἀπολογούμενός φησιν. Ἄλλως. διαδεδεμένον. κρεῖττον δὲ μέσον σφήκωμα φαινόμενον. εἶχον γὰρ κεντρίδας ὡς τὰς σφῆκας σχηματιζόμενοι.

ΕΠΙΡΡΗΜΑ ΣΤΙΧΩΝ, Κ.

Χο. Εἴ τις ὑμῶν ὦ θεαταὶ τὴν ἐμὴν ἰδὼν φύσιν
εἶτα θαυμάζει μ' ὁρῶν μέσον ἐσφηκωμένον, ἥτις
ἡμῶν ἐστὶν ἡ 'πίνοια τῆσδε τῆς ἐγκεντρίδος
ῥᾳδίως ἐγὼ διδάξω, κἂν ἄμουσος ᾖ τὸ πρίν.
ἐσμὲν ἡμεῖς οἷς πρόσεστι τοῦτο τοὐρρόπυγιον,
ἀττικοὶ μόνοι δικαίως ἐγγενεῖς αὐτόχθονες·
ἀνδρικώτατον γένος, καὶ πλεῖστα τήνδε τὴν πόλιν
ὠφελῆσαν ἐν μάχαισιν, ἡνίκ' ἦλθεν ὁ βάρβαρος.
τῷ καπνῷ τύφων ἅπασαν τὴν πόλιν. καὶ πυρπολῶν.
ἐξελεῖν ἡμῶν μενοινῶν πρὸς βίαν τ' ἀνθρήνια.
εὐθέως γὰρ ἐκδραμόντες, δουρὶ ξὺν ἀσπίδι,
ἐμαχόμεσθ' αὐτοῖσι, θυμὸν ὀξίνην πεπωκότες.
στὰς ἀνὴρ παρ' ἄνδρ' ὑπ' ὀργῆς τὴν χελύνην ἐσθίων.
ὑπὸ δὲ τῶν τοξευμάτων, οὐκ ἦν ἰδεῖν τὸν οὐρανόν.
ἀλλ' ὅμως ἀπωσάμεσθα ξὺν θεοῖς πρὸς ἑσπέρα
γλαῦξ γὰρ ἡμῶν πρὶν μάχεσθαι, τὸν στρατὸν διέπτατο.
εἶτα δ' εἱπόμεσθα θυννάζοντες εἰς τοὺς θυλάκους.
οἱ δ' ἔφευγον, τὰς γνάθους καὶ τὰς ὀφρῦς κεντούμενοι
ὥστε παρὰ τοῖς βαρβάροισι, πανταχοῦ καὶ νῦν ἔτι.
μηδὲν ἀττικοῦ καλεῖσθαι σφηκὸς ἀνδρικώτερον.

Ῥᾳδίως ἐγὼ διδάξω. ὁ στίχος ἐκ σθενεβοίας εὐριπίδου. τὸ δὲ ᾖ ἀντὶ τοῦ ἦν ἀττικόν. ὡς τὸ ἦ παρεσκευασμένος ἐν πλούτῳ. τοὐρρόπυγιον δὲ τὸ ἐγκεντρωμένον λέγει. Ὁ βάρβαρος. τὴν ἐν μαραθῶνι κατὰ τοὺς δαρείου νίκην λέγει. Τἀνθρήνια. νῦν δὲ τὰ τῶν σφηκῶν κηρία. κυρίως δὲ τὰ τῶν ἀνθρηνῶν σμήνη. ἀνθρήνας δὲ, οἱ μὲν, τὰς μελίσσας. οἱ δὲ, ἕτερον ζῷον κηροποιοῦν ὅμοιον σφηκί. οἱ δὲ, τοὺς τόπους ὅπου κατοικοῦσιν οἱ σφῆκες. δέον δὲ ἦν εἰπεῖν τὰς οἰκίας. Θυμὸν ὀξίνην. ἀντὶ τοῦ δριμεῖαν ὀργήν. Τὴν χελύνην ἐσθίων. ἀντὶ τοῦ τὰ χείλη. οἱ γὰρ ὀργιζόμενοι ἐνδάκνουσι τὰ χείλη. Ὑπὸ δὲ τῶν τοξευμάτων. τῶν πεμπομένων ὑπὸ τῶν βαρβάρων. τῷ γοῦν ἀπαγγείλαντι ὡς ὑπὸ τῶν τοξευμάτων τῶν βαρβάρων οὐκ ἦν ἰδεῖν τὸν οὐρανὸν, λεωνίδας ὁ τῶν λακεδαιμονίων στρατηγὸς εἶπεν ἀγαθὰ ἀγγέλλεις ὦ ξένε. ὑπὸ σκιὰν μαχούμεθα. Γλαῦξ. τὸ γλαῦξ ὄνομα, εὐφρόνιός φησιν, ἀττικοὶ μὲν περισπῶσιν. οἱ δὲ δωριεῖς ὀξύνουσιν. γλαῦκα δὲ, τὴν ἀθηνᾶν. φασὶ δὲ κατὰ τὸ ἀληθὲς, γλαῦκα διαπτᾶσθαι τὴν νίκην τοῖς ἀθηναίοις ἀπαγγέλλουσαν. Θυννάζοντες. κεντοῦντες ὡς τοὺς θύννους τοῖς τριόδουσι μεταφορικῶς. Θυλάκους. θυλάκους φασὶν εἶναι τὰς παρὰ τοῖς σκέλεσι καὶ τοῖς μηροῖς περσικάς. εἴδη βρακίων παρὰ πέρσαις. θυννάζοντες εἰς τοὺς θυλάκους. ἀντὶ τοῦ εἰσπηδῶντες εἰς τὰς ἀναξυρίδας. Κεντούμενοι. τοῦτο πρὸς τὴν ὁμοιότητα τῶν σφηκῶν.

Ὡς ἀπὸ τοῦ μὴ τὰς καινὰς διανοίας ἀγνοήσαί τις ἀπὸ τοῦ μὴ νοεῖν παρεκρίνατε. ἀναλδεῖς δὲ ταπεινὰς ἀσθενεῖς. Εἰ παρελαύνων τοὺς ἀντιπάλους. ἀντὶ τοῦ ὑπερχειρῶν καὶ ὑπερτρέχων. τὸ δὲ συνέτριψεν· ἀπὸ τῶν ἐρετῶν ἐπήγαγε. τῶν ὑπὸ ζύμης(?) συντριβόντων τὰς κώπας. νικήσας φησὶ τοὺς ἀντιπάλους τὴν ἐλπίδα τῆς νίκης ἀπώλεσε. τοῦτο γὰρ ἐπίνοιαν λέγει. παρακριθεὶς ὑπὸ τῶν κακῶς κρινάντων. ὁ δὲ βούλεται εἰπεῖν, ὅτι οὐ χεῖρον ἐπαινεθήσεται παρὰ τοῖς σοφοῖς τοὺς ἀνταγωνιζομένους αὐτῶν νικῶν. ἔνιοι δέ φασιν ὅτι ἀπὸ τῶν διατριβόντων τὰ ἅρματα τὴν μεταφορὰν ἐδόξαστο(?). ἐπειδὴ πρὸς τὸ παρελαύνων ἐπήνεγκε τὸ ξυνέτριψε. τὰ νοήματα δὲ τὰ αὐτοῦ νοήματα τῶν δραμάτων. Μετὰ μήλων. εἰώθασι γὰρ εἰς τὰς κιβωτοὺς τὰ μῆλα βάλλειν δι' εὐοσμίαν.

Δεξιότητος. δεξιοὶ δόξετε εἶναι. ἀντὶ τοῦ εἰπεῖν δι' ὀσμῆς, δεξιότητος εἶπεν ὡς πρὸς τὸ πρᾶγμα. Ὦ πάλαι ποτ'. ὁ χορὸς πρὸς ἑαυτόν. παρὰ δ', πάλαι ποτ' ἦσαν ἄλκιμοι· μαχήσιμοι(?).

Ὡς ὑπὸ τοῦ μὴ γνῶναι καθαρῶς ὑμεῖς, ἐποιήσατ' ἀναλδεῖς.
καίτοι σπένδων πόλλ' ἐπὶ πολλοῖσιν ὄμνυσι τὸν Διόνυσον·
μὴ πώποτ' ἀμείνον' ἔπη τούτων κωμῳδικὰ μηδέν' ἀκοῦσαι.
τοῦτο μὲν οὖν ἔσθ' ὑμῖν αἰσχρὸν, τοῖς μὴ γνοῦσιν παραχρῆμα.
ὁ δὲ ποιητὴς οὐδὲν χείρων παρὰ τοῖσι σοφοῖς νενόμισται.
εἰ παρελαύνων τοὺς ἀντιπάλους· τὴν ἐπίνοιαν ξυνέτριψεν.
ἀλλὰ τὸ λοιπὸν τῶν ποιητῶν.
ὦ δαιμόνιοι, τοὺς ζητοῦντας
καινόν τι λέγειν κἀξευρίσκειν,
στέργετε μᾶλλον καὶ θεραπεύετε
καὶ τὰ νοήματα σῴζεσθ' αὐτῶν.
ἐσβάλλετε δ' εἰς τὰς κιβωτούς·
μετὰ τῶν μήλων, κἂν ταῦτα ποιῆθ'
ὑμῖν δι' ἔτους τῶν ἱματίων,
ὀζήσει δεξιότητος.

ΩΔΗ ΚΑΙ ΣΤΡΟΦΗ ΚΩΛΩΝ ΙΑ.

ΧΟ. Ὦ πάλαι ποτ' ὄντες ὑμεῖς, ἄλκιμοι μὲν ἐν χοροῖς,
ἄλκιμοι δ' ἐν μάχαισιν
καὶ κατ' αὐτὸ δὴ τοῦτο μόνον, ἄνδρες μαχιμώτατοι.
πρίν ποτ' ἦν πρὶν ταῦτα. νῦν
δ' οἴχεταί γε. κύκνου τε πολιώτεραι δὴ,
αἵδ' ἐπανθοῦσι τρίχες. Ἀλλὰ κἀκ τῶν λειψάνων
δεῖ τῶνδε ῥώμην νεανικὴν ἔχειν. ἐγὼ
τοὐμὸν νομίζω γῆρας εἶναι κρεῖττον, ἢ πολ-
λῶν κοκκίνους νεανιῶν
καὶ σχῆμα. κεὐρυπρωκτίαν.

Πρὶν ταῦτα. τὰ πρὶν κατορθώματα ἀπώλετο. Δίδυμος φησὶν ὡς παρῳδεῖ ταῦτα ἐκ τῶν Τιμοκρέοντος τοῦ Ῥοδίου. Αἵδ' ἐπανθοῦσι τρίχας. ἤτοι δείξουσιν αὐτοὺς οὕτω τοὺς κροτάφους. οἱ δὲ διαιροῦσιν ἀπ' ἄλλης ἀρχῆς τοῦτο. οἵδ' ἐπανθοῦσι τρίχας. ἵν' ᾖ περὶ τῶν νεωτέρων ὁ λόγος· καὶ γὰρ τὰ ἑξῆς περὶ αὐτῶν φησι. Γῆρας εἶναι κρεῖττον. διαβάλλει τοὺς νέους ὁ ποιητὴς μὴ δυναμένους κατὰ τοὺς ἀρχαίους.

Τοῖς ἠπιάλοις. ἠπίαλος τὸ πρὸ τοῦ πυρετοῦ κρύος. Ἀριστοφάνης νεφέλαις καὶ θεσμοφοριαζούσαις. ἅμα δὲ ἠπίαλος πυρετοῦ πρόδρομος. δίδυμος δέ φησι, δαίμων. ὃν ἠπιάλην καὶ τῖφην καὶ εὐόπαν καλοῦσι. τὸ δὲ πυρετοῖσιν ἐπήνεγκεν, ἀπὸ τοῦ πάθους. Ἄλλως. τοὺς βλάπτοντας τὴν πόλιν λέγει ἠπιάλους καὶ πυρετούς. ταῦτα δὲ εἴδη πυρετῶν. ὥσπερ οὖν οὗτοι βλάπτουσι τὰ σώματα, οὕτω καὶ οὗτοι τὴν πόλιν. Πέρυσιν. πρώην γὰρ τὰς νεφέλας ἐδίδαξεν. ἐν αἷς τὸν περὶ σωκράτην ἐκωμῴδησεν. ἠπιάλους δὲ αὐτοὺς ὠνόμασεν, ὡς ὠχρότητα περισκώπτων. ἐν δὲ τοῖς ἱππεῦσι, τὸν κλέωνα. οὓς πρὸ τῶν νεφελῶν καθῆκε.

τοῖς ἠπιάλοις ἐπιχειρῆσαι πέρυσιν. καὶ τοῖς πυρετοῖσιν
οἳ τοὺς πατέρας τ' ἦγχον νύκτωρ, καὶ τοὺς πάππους ἀπέπνιγον.
κατακλινόμενοί τ' ἐπὶ ταῖς κοίταις. ἐπὶ τοῖσιν ἀπράγμοσιν ὑμῶν.
ἀντωμοσίας. καὶ προσκλήσεις, καὶ μαρτυρίας συνεκόλλων.
ὥστ' ἀναπηδᾶν δειμαίνοντας πολλούς, ὡς τὸν πολέμαρχον.
τοιόνδ' εὑρόντες ἀλεξίκακον τῆς χώρας τῆσδε καθαρτήν,
πέρυσιν καταπρούδοτε, καινοτάταις σπείροντ' αὐτὸν διανοίαις.

τοὺς πατέρας ἦγχον λέγει διὰ τὸν ἥττονα λόγον τὸν πατραλοίαν ἢ διὰ τὸν ὑπ' αὐτοῦ ὡς φησὶ πέρυσιν εἰσαχθέντα. ἐν νεφέλαις τύπτοντα τὸν πατέρα αὐτοῦ. Ἀντωμοσίας. γράμματά τινα γραφαὶ τῶν περὶ ὧν ἠδίκει, ὅτι κατηγορούμενος καὶ ὁ κατηγορῶν ἀποφέρουσι πρὸς τὴν ἀρχήν. καλεῖται δὲ οὕτως, ἐπειδὴ ἑκάτερος αὐτῶν ἀντώμνυεν, ὁ μὲν τἀληθῆ κατηγορήσειν. ὁ δὲ τἀληθῆ ἀπολογήσεσθαι.

Ἄλλως ἀντωμοσία. γραφὴ κατά τινος ἔνορκος περὶ ὧν ἠδικῆσθαί φησι. διωμοσία δὲ ὁ ἑκατέρωθεν γινόμενος ὅρκος ὑπὸ τῶν δικαζομένων. τοῦ μὲν ὡς πράξαντα ἀδικεῖν. τοῦ δὲ, ὡς οὐκ ἔπραξεν ἀποφάσκειν. ἐξωμοσία δὲ ἄρνησις σὺν ὅρκῳ, ὡς ἀδυνατοῦντος ἢ παρὰ καιρὸν ὄντος αὐτῷ τοῦ λειτουργεῖν. Προκλήσεις. παρὰ τὸ προσκαλεῖσθαι ὅπερ ἐστὶν εἰς συμβάσεις καὶ συνθήκας καὶ διαλλαγὰς παρακαλεῖν. Ὡς τὸν πολέμαρχον. ὄνομα ἀρχῆς. οὐ τοῖς πολίταις τοῦτο προσῆψεν, ἀλλὰ τοῖς ξένοις. αἱ γὰρ ξενικαὶ δίκαι, ἐπὶ τοῦ πολεμάρχου εἰσήγοντο. οἱ δὲ καὶ βοηθείας δεόμενοι, ἐπὶ τὴν ἀρχὴν κατέφευγον τοῦ πολεμάρχου. ἀλλὰ καὶ οἱ κατηγοροῦντες γονέων κακώσεως, πρὸς τὸν πολέμαρχον ἐδικάζοντο. κἀκεῖνος ἔκρινεν. Ἄλλως. πολέμαρχος ἄρχων πρὸς ὃν κατηγόρευον τοὺς ξένους. Ἄλλως. ἀρχή τις ἐστὶ παρ' ἀθηναίοις οὕτω καλουμένη. ἔστι δὲ οὗτος εἷς τῶν θ' ἀρχόντων. διοικεῖ δὲ οὗτος ἄλλα τε καὶ εἰσάγει δίκας τάς, τε τοῦ ἀποστασίου καὶ κλήρων τοῖς μετοίκοις καὶ τἆλλα ὅσα τοῖς πολίταις ὁ ἄρχων ἐστὶ, ταῦτα τοῖς μετοίκοις ὁ πολέμαρχος καὶ ἐπικλήρων. παρὰ δ' αἰτωλοῖς τὸν πολέμαρχον συνέβαινε κλείειν τὰς πύλας καὶ προσεῖσθαι τὸ καθ' ἡμέραν τὴν δίαιταν ἐπὶ τῶν πυλώνων. ἔστι δὲ καὶ κύριον ὄνομα ὁ τοῦ λυσίου ἀδελφός.

Προύδοτε καταπροὔδοτε. ὅτι πέρυσι διδάξας τὰς πρώτας νεφέλας ἡττήθη. τοῦτο δὲ ἤδη κατά.

τρέπεις νῦν. ὅτι δὲ ἐκάλουν οὕτω καὶ τὰ πρὸς τὰς γυναῖκας, Εὔπολις. φησὶ γὰρ ὡς πρὸς αὐλητρίδα τις· ἐγὼ δὲ χαίρω πρὸς τοῖς σοῖς παιδικοῖς. καὶ Κρατῖνος δὲ, ὁ ἐραστὴς τῆς παλλακῆς ἀποδημοῦντος τοῦ Διονύσου ἐρώσης, φησὶν ἐπ' αὐτοῦ· μακάριος τῶν παιδικῶν. οὐχὶ δὲ μόνον οἱ ἐρώμενοι καλοῦνται διὰ τούτων τῶν ὀνομάτων, ἀλλὰ καὶ πάντες οἱ σπουδαζόμενοι πάνυ κατὰ μεταφορὰν τὴν ἀπ' ἐκείνων. Πλάτων Φαίδρῳ· ἐσπούδακας ὦ Φαῖδρε ὅτι σου τῶν παιδικῶν ἐπελαβόμην, ἐρεσχελήσω σε.

λέγεται δὲ παιδικὸν καὶ τὸ παιδαριῶδες, οἷον τὸ ἁρμόζον παιδί. ἡ δὲ λέξις ὡς ἐπὶ τὸ πολὺ ἐπὶ τῶν ἀσελγῶς ἐρωμένων. Ἄλλως. παιδικὰ ὀξυτόνως. ἔστι δὲ οὐδέτερον πληθυντικόν. τοῦτο δέ τινες ἐπ' ἀγαθοῦ ἔρωτος, τινὲς ἐπ' αἰσχροῦ λαμβάνουσι. τὸ δὲ παιδικὰ ἐρώμενον.

ἵνα τὰς μούσας αἷς χρῆται μὴ προαγωγοὺς ἀποφήνῃ.
οὐδ' ὅτε πρῶτόν γ' ἦρξε διδάσκειν, ἀνθρώποις φήσ' ἐπιθέσθαι
ἀλλ' ἡρακλέους ὀργήν τιν' ἔχων, τοῖσι μεγίστοις ἐπιχειρεῖν.
θρασέως ξυστὰς εὐθὺς ἀπ' ἀρχῆς αὐτῷ τῷ καρχαρόδοντι
οὗ δεινόταται μὲν ἀπ' ὀφθαλμῶν κύννης ἀκτῖνες ἔλαμπον
ἑκατὸν δὲ κύκλῳ κεφαλαὶ κολάκων οἰμωξομένων ἐλιχμῶντο
περὶ τὴν κεφαλήν. φωνὴν δ' εἶχε χαράδρας ὄλεθρον τετοκυίας
φώκης δ' ὀσμήν. λαμίας δ' ὄρχεις ἀπλύτους, πρωκτὸν δὲ καμήλου
τοιοῦτον ἰδὼν τέρας, οὔ φησιν δείσας καταδωροδοκῆσαι, ἀλλ'
ὑπὲρ ὑμῶν ἔτι καὶ νυνὶ πολεμεῖ. φησίν τε μετ' αὐτοῦ,

Ἵνα τὰς μούσας. τουτέστι δράματα. εἰ γὰρ μὴ κατὰ δήλους ποιήσουσι τοὺς τοιούτους ἀλλ' ἐπικρύψουσιν, οἱονεὶ μαστροποὶ τῶν τοιούτων εὑρεθήσονται. Ἀνθρώποις. ἀλλὰ τέρασί φησι καὶ δαίμοσιν. ὀργὴν δὲ θυμικὸν φρόνημα. Τοῖς μεγίστοις ἐπιχειρῶν. δηλοῖ ὅτι αἱ διδασκαλίαι ἴσως φέρουσι τοὺς ἱππεῖς πρώτους ὑπ' αὐτοῦ καθιεμένους. περὶ Κλέωνος γὰρ αἰνίσσεται. Ξυστὰς ὡς ἐπὶ τῶν παλαιόντων.

Κύννης. πόρνης. κατὰ Κύνναν καὶ Σαλαβάκχην Ἐρατοσθένην δὲ ἀγνοήσαντα τὴν Κύνναν ὅτι πόρνη οἱ μέν τινες προφέρεσθαί φασι κοινῶς ὡς ἐπιμηνίδης. οἱ δὲ, πυρρὸς οὐκ εὐθέλων οὖν παραβαλεῖν τὸν Κλέωνα κυνὶ διὰ τὸ αἰαιδὲς, ἑτέρως ἐσχημάτισεν. ἐλιχμῶντο δὲ ἔλειχον. Φωνὴν δ' εἶχε χαράδρας. ἐπειδὴ πλέον τι τοῦ χειμάρρου εἰς τραχύτητα καὶ ἀνωμαλίαν εἶχεν. Φερεκράτης ἐν ἐπιλήσμοσι. καὶ μὲν σιωπῶ φέρεται, πνίγεται. καὶ φησὶ, τί σιωπᾷς. ὁ δ' ἀποκρίνεται, οἴμοι τάλας φησὶ χαράδρα κατελήλυθεν. Φώκης δ' ὀσμήν. εἰς κακοσμίαν αὐτὸν διαβάλλει. διὰ τὸ βυρσοδέψην αὐτὸν εἶναι. Ὅμηρος· φωκάων ἁλιοτρεφέων ὀλοώτατος ὀδμή. καὶ πικρὸν ἀποπνείουσαι ἁλὸς πολυβενθέος ὀδμήν. Λαμίας ὄρχεις. λάμια θηρίον ἀπὸ τοῦ ἔχειν μέγαν λαιμόν. λαῖμα καὶ λάμια. δραστικοὶ δὲ οἱ ὄρχεις. ἄλλο ποιεῖ δέ τινας ὄρχεις λαμίας. θῆλυ γὰρ, Δοῦρις δ' ἐν β' Λιβυκῶν ἱστορεῖ γυναῖκα καλὴν γενέσθαι τὴν λάμιαν. μιχθέντος δὲ αὐτῇ Διὸς ὑφ' Ἥρας ζηλοτυπουμένην ἃ ἔτικτεν ἀπολλύναι. διόπερ ἀπὸ τῆς λύπης δύσμορφον γεγονέναι καὶ τὰ τῶν ἄλλων παιδία ἁρπάζουσαν διαφθείρειν. Πρωκτὸν δὲ καμήλου. θερμόπρωκτος γὰρ ἡ κάμηλος καὶ λάγνος. κάμιλος δὲ τὸ παχὺ σχοινίον διὰ τοῦ ι.

ματος τούτου. καὶ πρὸ ἑνὸς γὰρ ἐνιαυτοῦ, τὰς πρώτας νεφέλας διδάξας ἀπεκρίθη. Εἴπερ καθαρόν. παρρησιαστικόν. εἰλικρινές. γνήσιον. Πολλ᾽ αὐτοὺς εὖ πεποιηκώς. διὰ τὸ ἐν τοῖς δράμασιν αὐτοῦ ἐλέγχειν τὰς κλοπὰς ἑκάστου. Τὰ μὲν οὐ φανερῶς. οὐκ ἐκ τοῦ φανεροῦ φησιν ἐπικουρεῖ ὁ ποιητὴς τοῖς θεαταῖς ὑμῖν. ἀλλὰ δι᾽ ἑτέρων ποιητῶν λάθρα. ἐπειδὴ διὰ φιλωνίδου καὶ καλλιστράτου καθίει τινὰ τῶν δραμάτων. πρῶτον γὰρ δρᾶμα καθῆκε δι᾽ ἑαυτοῦ τοὺς ἱππέας.

Μὴ πέσῃ φαύλως χαμᾶζ᾽ εὐλαβεῖσθε.
τοῦτο γὰρ σκαιῶν θεατῶν
ἐστὶ πάσχειν κοὐ πρὸς ὑμῶν.

Παράβασις στίχων λϛʹ. καὶ κώλων θʹ.

νῦν αὖτε λεῴ, προσέχετε τὸν νοῦν, εἴπερ καθαρόν τι φιλεῖτε.
μέμψασθαι γὰρ τοῖσι θεαταῖς ὁ ποιητὴς νῦν ἐπιθυμεῖ.
ἀδικεῖσθαι γάρ φησι πρότερος πόλλ᾽ αὐτοὺς εὖ πεποιηκώς.
τὰ μὲν οὐ φανερῶς, ἀλλ᾽ ἐπικουρῶν κρύβδην ἑτέροισι ποιηταῖς
μιμησάμενος τὴν εὐρυκλέους μαντείαν, καὶ διάνοιαν.
εἰς ἀλλοτρίας γαστέρας ἐνδύς, κωμῳδικὰ πολλὰ χέασθαι.
μετὰ τοῦτο δὲ καὶ φανερῶς ἤδη κινδυνεύων καθ᾽ ἑαυτόν.
οὐκ ἀλλοτρίων ἀλλ᾽ οἰκείων μουσῶν στόμαθ᾽ ἡνιοχήσας.
ἀρθεὶς δὲ μέγας, καὶ τιμηθεὶς ὡς οὐδεὶς πώποτ᾽ ἐν ὑμῖν,
οὐκ ἐκτελέσαι φησὶν ἐπαρθείς, οὐδ᾽ ὀγκῶσαι τὸ φρόνημα.
οὐδὲ παλαίστρας περικωμάζειν περιιών. οὐδ᾽ εἴ τις ἐραστὴς
κωμῳδεῖσθαι παιδίχ᾽ ἑαυτοῦ μισῶν, ἔσπευδε πρὸς αὐτόν,
οὐδενὶ πώποτέ φησι πείθεσθαι γνώμην τιν᾽ ἔχων ἐπιεικῆ.

Τὴν εὐρυκλέους μαντείαν. οὗτος ὡς ἐγγαστρίμυθος λέγεται ἀθήνησι τἀληθῆ μαντεύεσθαι, ὁμοίως διὰ τοῦ ἐνυπάρχοντος αὐτῷ δαίμονος. τοιοῦτόν φησι καὶ ὁ ποιητὴς πρότερον ἐποίησεν εἰς τὰ δράματα. ἑτέροις διακόνοις χρώμενος. ἐγγαστρῖται δὲ, καὶ εὐρυκλεῖται ἐκαλοῦντο ἐντεῦθεν, πάντες οἱ μαντευόμενοι, ἀπὸ εὐρυκλέους πρῶτον τοῦτο ποιήσαντος. τὸ δὲ εἰς ἀλλοτρίας γαστέρας ἐνδύς, ἀντὶ τοῦ εἰπεῖν ὅτι πρότερον ἄλλοις ἐδίδου τὰς κωμῳδίας. Κινδυνεύων καθ᾽ ἑαυτόν. διὰ γὰρ τὸν κίνδυνον, οὐδεὶς ὑπεκρίθη τοὺς ἱππέας. Οὐκ ἐκτελέσαι φησίν. οἷον, οὐ τέλεον ἐπαρθῆναί φησιν. ἠθέλησεν οὐκ ἐπὶ τέλος ἔδοξεν αὐτῷ ἐλθεῖν. οὔτε τῆς κρίσεως, οὔτε τῶν ἐπαίνων. Οὐδὲ παλαίστρας. οὐδὲ εἰ προσῆλθεν αὐτῷ τις ἐξώλης διαστραφεὶς καὶ δεόμενος μὴ κωμῳδεῖσθαι, ἐμαλάττετο οὐδὲ ἐπείθετο. Ἄλλως. Διὸ πάλιν. ἐν αὐτολύκῳ δὲ τοιαῦτά φησι τοῦτο δὲ καὶ ἐν εἰρήνῃ οὕτω. περιῄει τὰς παλαίστρας σεμνυνόμενος. καὶ τοῖς παισὶν ἑαυτὸν δῆλον ποιῶν τῆς νίκης ἕνεκα.

Παιδικά. ἐπὶ θηλειῶν καὶ ἀρρένων ἐρωμένων, τάττεται ἡ λέξις. παραδείγματα τῶν ἐπὶ μὲν τῶν ἀρρένων τάττεσθαι ἄλλα τε οὐκ ὀλίγα καὶ τὸ ἐνταῦθα. καὶ ἐν τοῖς ἀχιλλέως δὲ ἐρασταῖς δῆλον ὡς οὕτως ἐξείληπται. ἐπᾳδόντων γάρ τι τῶν σατύρων εἰς τὴν γυναικίαν ἐπιθυμίαν, φησὶν ὁ φοῖνιξ. παπαῖ τὰ παιδικὰ ὡς ἐρᾷς ἀπώλεσας. καὶ κρατῖνος πανόπταις, μισεῖς γὰρ τὰς γυναῖκας, πρὸς παιδικὰ δὲ

Βδ. δείξειν ἔοικεν. ἐκπέφευγας ὦ Λάβης.
πάτερ, πάτερ τί πέπονθας; Φι. οἴμοι. ποῦ 'σθ' ὕδωρ;
Βδ. ἔπαιρ' ἔπαιρε σαυτόν. Φι. εἰπὲ νῦν ἐκεῖνό μοι,
ὄντως πέφευγε; Βδ. νὴ Δί'. Φι. οὐδέν εἰμ' ἄρα.
Βδ. μὴ φροντίσῃς ὦ δαιμόνι', ἀλλ' ἀνίστασο.
Φι. πῶς οὖν ἐμαυτῷ τοῦτ' ἐγὼ ξυνείσομαι,
φεύγοντ' ἀπολύσας ἄνδρα; τί ποτε πείσομαι;
ἀλλ' ὦ πολυτίμητοι θεοί, ξύγγνωτέ μοι.
ἄκων γὰρ αὔτ' ἔδρασα, κοὐ τοὐμοῦ τρόπου.
Βδ. καὶ μηδὲν ἀγανάκτει γ'. ἐγὼ γάρ σ' ὦ πάτερ
θρέψω καλῶς, ἄγων μετ' ἐμαυτοῦ πανταχοῦ,
ἐπὶ δεῖπνον, εἰς ξυμπόσιον, ἐπὶ θεωρίαν,
ὥσθ' ἡδέως διάγειν σε τὸν λοιπὸν χρόνον·
κοὐκ ἐγχανεῖταί σ' ἐξαπατῶν Ὑπέρβολος.
ἀλλ' εἰσίωμεν. Φι. ταῦτά νυν, εἴπερ δοκεῖ.

ΚΟΜΜΑΤΙΟΝ ΚΩΛΩΝ Ζ'

Χο. ἀλλ' ἴτε χαίροντες ὅποι βούλεσθ'. ὑ-
μεῖς δέ γε τέως ὦ μυρι-
άδες ἀναρίθμητοι. νῦν
μὲν τὰ μέλλοντ' εὖ λέγεσθαι,

τὰς ψήφους. Ἐκπέφευγας ὦ Λάβης. ὡς ἀριθμηθεισῶν τῶν ψήφων. καὶ τῶν ἀπολυουσῶν πλειόνων οὐσῶν. Ποῦ 'σθ' ὕδωρ. ὡς παρειμένου αὐτοῦ, ψυχρὸν ὕδωρ αἰτεῖ. ἀκούσας γὰρ τὸ ἐκπέφευγεν ὁ Φιλοκλέων, ἐλιποψύχησεν. ὅσον γὰρ ἐπ' αὐτῷ ἦν καταδικασθείς. Ὄντως ἀπέφυγεν. ὑπεξελήθη. ἤγουν ὅλως ἐκτὸς τιμωρίας τοῦ φεύγοντος. Σύγγνωτέ μοι, ὡς μέγα τι ἀτόπημα πράξας ἀπολογεῖται τοῖς θεοῖς. Ἐπὶ δεῖπνον εἰς ξυμπόσιον. ἕν ἐστιν ἐπὶ δεῖπνον εἰς συμπόσιον. οὕτω γὰρ ἐκάλουν. ὥστε μόνον εἶναι τὸν οἶνον κοινόν. τὰ δὲ λοιπὰ ἑαυτοῦ κομίζειν οὕτω κληθέντα. πανθοινίαν δὲ ἔλεγον, ὥς φησιν Εὐφρόνιος. ὁπότε εἰς κοινὸν καταθέντες τὰ κομισθέντα δεῖπνα, πάντες ἀπήλαυον.
Κοὐκ ἐγχανεῖται. οὐκ ἐγγελάσεταί σοι φησὶν ὁ Ὑπέρβολος. ὁ ὁρῶν σε ταπεινόν τι καὶ οἰκτρὸν ἐκ τοῦ δικάζειν, καὶ τρεῖς ὀβολοὺς λαμβάνειν ἀεὶ πένεσθαι. ὑπὲρ τῆς πονηρίας δὲ Ὑπερβόλου εἴρηται. καὶ νῦν δὲ ὀλίγα παραγράψομεν. Ἀνδοκίδης φησὶ τοίνυν περὶ Ὑπερβόλου λέγειν αἰσχύνομαι. οὗ ὁ μὲν πατὴρ ἐστιγμένος ἔτι καὶ νῦν ἐν τῷ ἀργυροκοπείῳ δουλεύει τῷ δημοσίῳ. ὡς δὲ ξένος ὢν καὶ βάρβαρος, λυχνοποιεῖ. Θεόπομπος δέ φησι καὶ τὸν νεκρὸν αὐτοῦ καταποντωθῆναι γράφων ὅτι ἐξωστράκισαν τὸν Ὑπέρβολον ἓξ ἔτη. ὁ δὲ καταπλεύσας εἰς Σάμον. καὶ τὴν οἴκησιν αὐτοῦ ποιησάμενος, ἀπέθανε. τούτου τὸν νεκρὸν εἰς ἀσκὸν ἀγαγόντες, εἰς τὸ πέλαγος κατεπόντισαν. Ἀλλ' ἴτε χαίροντες. τοῦτο κομμάτιον καλεῖται ὅπερ ἐστὶ προκήρυγμα τῆς παραβάσεως. ἔστι δὲ κώλων χοριαμβικῶν ἐπιμεμιγμένων ἐπιτρίτοις καὶ βακχείοις καὶ παλιμβάκχοις ζ'. ὧν τὸ πρῶτον τρίμετρον καταληκτικόν. τὸ δεύτερον δίμετρον ἀκατάληκτον τὸν πρῶτον ἔχον πόδα πεντασύλλαβον. τὸ τέταρτον δίμετρον ἀκατάληκτον ὅμοιον τῷ β'. τὸ ε'. ὅμοιον τῷ πρώτῳ. τὰ δὲ λοιπὰ ὡς τὸ δεύτερον. ἐπὶ τῷ τέλει παράγραφος.
Μὴ περιφαύλως. φυλάττεσθέ φησι, μὴ ἐκφαυλισθῆναι τὴν διδασκαλίαν τῆς δρα-

πολλάκις γὰρ εἰπόντος τινὸς τὸ κατάβα, ἐξηπάτησαν. Ἐγὼ γὰρ ἀπεδάκρυσα. κοινόν τι παθὼν ὁ πρεσβύτης καὶ ἀποδακρύσας, τῷ τῶν παίδων ὀδυρμῷ, αἰτιᾶται ὡς ἐκ τῆς φακῆς τοῦτο πεπονθώς. καὶ οὐκ ἐξ ἰδίας προαιρέσεως. ὅτι τὸ ῥοφεῖν, φακοῦ ποιεῖ ἐγένετο αἴτιον. ἠμβλύνθη γὰρ τῆς ὁρμῆς. οὐδέποτε γὰρ τὴν γνώμην μου οὐδενὶ εἶπον. εἰ μὴ νῦν ὅτι ἐρρόφησα τὴν φακῆν. ἅμα δὲ, καὶ ὅτι οἱ ἐσθίοντες τὴν φακῆν ἀβουλήτως κλαίουσι καὶ θερμῆς οὔσης αὐτῆς.

ἐγὼ γὰρ ἀπεδάκρυσα νῦν γνώμην ἐμήν.
οὐδέποτέ γ', ἀλλ' ἢ τῆς φακῆς πεπλησμένος.
ΒΔ. οὔκουν ἀποφεύγει δῆτα. ΦΙ. χαλεπὸν εἰδέναι.
ΒΔ. ἴθ' ὦ πατρίδιον, ἐπὶ τὰ βελτίω τρέπου.
τηνδὶ λαβὼν τὴν ψῆφον ἐπὶ τὸν ὕστερον
μύσας παρᾴξον, κἀπόλυσον ὦ πάτερ.
ΦΙ. οὐ δῆτα. κιθαρίζειν γὰρ οὐκ ἐπίσταμαι.
ΒΔ. φέρε νύν σε τηνδὶ τὴν ταχίστην περιάγω.
ΦΙ. ὅδ' ἔσθ' ὁ πρότερος. ΒΔ. οὗτος. ΦΙ. αὑτηὶ ’νταυθενί.
ΒΔ. ἐξηπάτηται κἀπολέλυκεν οὐχ ἑκών.
ΦΙ. φέρ' ἐξεράσω. πῶς γὰρ ἠγωνίσμεθα

Ἀπεδάκρυσα. ὅτι παρὰ τὸ ἔθος ἐποίησα. ἢ ὑπεχάλασα τῆς ὀργῆς καὶ γνώμην ἐμὴν εἶπον. Χαλεπὸν εἰδέναι. οὐκ οἶδα ἀκριβῶς. Ἐπὶ τὰ βελτίω. εἰς τὸ ἐλεῆσαι μᾶλλον ἢ καταδικάσαι. Τηνδὶ λαβὼν τὴν ψῆφον. τὴν τετρυπημένην αὐτῷ δείκνυσι ψῆφον. ἀμφορεῖς ἦσαν, ὧν ὁ μὲν κύριος λεγόμενος. εἰς ὃν τὴν κυρίαν ψῆφον καθίεσαν οἱ δικασταί. ἢ καὶ δικάζοντες, ἢ ἀπολύοντες. ὁ δὲ ἕτερος ξύλινος εἰς ὃν τὰς ἀκύρους καθίεσαν. ὁπότε δὲ πάντες διεψηφίσαντο, εἰς χαλκοῦν κάδον διηριθμοῦντο αἱ ψῆφοι. κατεδίκαζον μὲν αἱ τετρυπημέναι. ἀπέλυον δὲ αἱ πλήρεις. δεῖται οὖν αὐτοῦ, ἵνα τὴν τετρυπημένην εἰς τὸν ὕστερον τὸν ἄκυρον καταθῇ καὶ ἀπολύσῃ τὸν ἀπολογούμενον. φαίνονται δὲ συνήθως καλοῦντες τὸν μὲν κύριον ἀμφορέα πρότερον. τὸν δὲ ἄκυρον ὕστερον. εἰς τὸν ὕστερον δὲ καδίσκον τὴν ἀποδοκιμάζουσαν ἐνέβαλον ψῆφον. Μύσας παρᾴξον. ἐπειδὴ παρὰ τὴν προαίρεσιν αὐτὸν ἀναπείθει ῥίψαι ψῆφον εἰς τὸν ἄκυρον καδίσκον φησὶν αὐτῷ, μύσας τοῦτο ποίησον. ὡς ἀτόπου αὐτῷ τούτου φαινομένου. Ὅδ' ἔσθ' ὁ πρότερος. ὁ καδίσκος ὅπου αἱ τῶν καταδικαζομένων ψῆφοι ἐβάλλοντο. ἐναλλάσσει δὲ τὰς χεῖρας περιφέρων τὰς ὑδρίας. ἵνα ἀγνοήσας ἀποδοκιμάσῃ ἐς τὸν ὕστερον καδίσκον τὴν ἀποδοκιμάζουσαν ἐμβαλὼν ψῆφον. μιμεῖται δὲ τοὺς ἐν τῷ δικαστηρίῳ πολλάκις ἀπατῶντας. ἑστῶτος γάρ του, τοῦ κατηγοροῦντος, καὶ τοῦ ἀπολογουμένου, ῥάβδον κατέχει παρεστὼς ὁ κῆρυξ ἢ θεσμοθέτης. καὶ τούτῳ ἀποτίθησι τοὺς καταψηφισθέντας. ἵνα μὴ ἕτερος ἀνθ' ἑτέρου ἀπαχθῇ. Ἄλλως. Βάλλων ὁ φιλοκλέων τὴν ψῆφόν φησι. καθῆκα δὲ εἰς τὸν πρότερον. Αὑτηὶ ’νταυθενί. δύο καδίσκοι ἦσαν τῶν ψήφων. εἷς μὲν ὁ ἐλέου ὁ ὀπίσω. ἕτερος δὲ ὁ ἔμπροσθεν θανάτου. παρασκευάζεται οὖν, εἰς τὸν τοῦ ἐλέου ἐμβαλεῖν τὴν ψῆφον. ἐναλλάσσει γὰρ τοὺς τόπους αὐτῶν ὁ Βδελυκλέων. ἵνα ἀπατηθεὶς ὁ πατὴρ, βάλῃ εἰς τὸν τοῦ ἐλέου. Φέρ' ἐξεράσω. ἀντὶ τοῦ εἰς τὴν γῆν μεταβαλῶ τὰς ψήφους. ὅρα γὰρ ἡ γῆ. βούλεται δὲ ἀριθμῆσαι

Τῶν μαρτύρων. ἀπολογουμένων δηλονότι. Τυρόκνηστι. ὡς πρὸς τὴν χύτραν τὰ πάλιν καὶ τοῦτο ὡς ἐν κωμῳδίᾳ. Ταμιεύουσα. ἐν τῷ ταμιείῳ οὖσα. ἐν τούτῳ δὲ τῷ προσώπῳ τῆς δίκης ἐχαρακτήρισε τὰς ἐν ταῖς εὐθύναις τῶν ἀρχόντων ἀπολογίας.

Κατέκνησας. ἀντὶ τοῦ ἔτεμες. ἐμέρισας τοῖς στρατιώταις ἃ ἔλαβες τυρία. ὡς ἐπὶ δημοσίου δὲ πράγματος, ἀξιοπιστίαν περιποιεῖται τῇ μαρτυρίᾳ. διὰ τοῦ, στρατιώταις εἰπεῖν περιτετμηκέναι. Καὶ τραχήλι' ἐσθίει. τὰ ἄπυρα καὶ τὰ εὐτελῆ κρέα. ἐν τοῖς ὑπομνήμασι δὲ γέγραπται περὶ τῶν τραχηλίων, οὕτω. τὰ ἀποβαλλόμενα τῶν ὄψων ὡς μικρὰ κλέπτοντος αὐτοῦ. περὶ τηγάνης δέ. ἔστι δὲ τραχήλιόν τι βραχὺ τελέως. παραπλήσιον τοῖς κυρηβίοις. τουτέστι τοῖς τύροις. τοῖς ἀπὸ τῶν κριθῶν ἀποβρέγμασι. τοῖς ἀχύροις. λέγονται καὶ ἀρσενικῶς οἱ τράχηλοι. ἔστι δὲ εὐτελὲς προσέψημα ἐν λοπαδίοις σκευαζόμενον. Ἄλλως. τὰ κεφάλαια τῶν ἰχθύων ὡς ἀκανθώδη. καὶ Φερεκράτης ἐν Ἐπιπολῇ. μόνιός τις παρέθηκε κρανίον. χαρακτηρίζει δὲ τοὺς μικροκλέπτας. ἐν τοῖς ἑξῆς τοὺς οἴκοι μένοντας τῶν πολιτῶν καὶ ἁρπάζοντας. Καὶ τὰς ἀκάνθας. ἅμα μὲν ἐπὶ τοῦ κυνὸς εὐτελέσι χρωμένου καὶ πανταχῇ φοιτῶντος. ἅμα δὲ καὶ ὡς ἐπὶ προϊόντος. Λάχης γὰρ εἷς τῶν ἐξιόντων στρατηγῶν ἐγένετο ἐν ταῖς ἐξόδοις. Ὁ δ' ἕτερος οἷός ἐστιν. ὁ κατήγορος εἴη δ' ἂν ὁ Κλέων. ὅν φησιν ἔνδον μυχεύοντα τὰ τῆς πόλεως κατεσθίειν. τοὺς οἴκοι οἰκουροῦντας τῶν πολιτῶν καὶ ἁρπάζοντας χαρακτηρίζει.

Θε. ἄκουσον ὦ δαιμόνι' ἐμοῦ τῶν μαρτύρων.
ἀνάβηθι τυρόκνηστι, καὶ λέξον μέγα.
σὺ γὰρ ταμιεύουσ' ἔτυχες. ἀπόκριναι σαφῶς,
εἰ μὴ κατέκνησας τοῖς στρατιώταις ἃ 'λαβες.
Βδ. φησὶ κατακνῆσαι. Φι. νὴ δί' ἀλλὰ ψεύδεται.
Βδ. ὦ δαιμόνι' ἐλέει ταλαιπωρουμένους.
οὗτος γὰρ ὁ λάβης, καὶ τραχήλι' ἐσθίει.
καὶ τὰς ἀκάνθας. κοὐδέποτ' ἐν ταὐτῷ μένει.
ὁ δ' ἕτερος οἷός ἐστιν οἰκουρὸς μόνον.
αὐτοῦ μένων γὰρ, ἅττ' ἂν εἴσω τις φέρῃ,
τούτων μεταιτεῖ τὸ μέρος. εἰ δὲ μή, δάκνει.
Φι. αἰβοῖ. τί κακόν ποτ' ἔσθ' ὅτῳ μαλάττομαι.
κακόν τι περιβαίνει με. κἀναπείθομαι.
Βδ. ἴθ' ἀντιβολῶ σ' οἰκτείρατ' αὐτὸν ὦ πάτερ.
καὶ μὴ διαφθείρητε. ποῦ τὰ παιδία.
ἀναβαίνετ' ὦ πόνηρα. καὶ κνυζούμενα,
αἰτεῖτε κἀντιβολεῖτε. καὶ δακρύετε.
Φι. κατάβα. κατάβα. κατάβα. Βδ. καταβήσομαι.
καίτοι τὸ κατάβα τοῦτο, πολλοὺς δὴ πάνυ
ἐξηπάτηκεν. ἀτὰρ ὅμως καταβήσομαι.
Φι. ἐς κόρακας. ὡς οὐκ ἀγαθόν ἐστί γε τὸ ῥοφεῖν.

Αἰβοῖ. ὡς μαλαχθεὶς ὁ γέρων, δυσαρεστεῖται κακόν τι νομίζων αὐτὸ εἶναι. διὰ τὸ ἀήθες εἶναι αὐτῷ. Καὶ μὴ διαφθείρητε. ὡς πρὸς τὸ δικαστήριον ὁ λόγος καὶ τὸν γέροντα. Ποῦ τὰ παιδία. ὅτι τὰ παιδία κλάει ἐν τοῖς δικαστηρίοις τῶν κατηγορουμένων. καὶ ἀνωτέρω δὲ εἶπεν. Κνυζούμενα. παρακλαίοντα. ὡς ἐπὶ κυνῶν δὲ εἶπε. κνυζηθμὸς γὰρ λέγεται ποιά τις ἐπὶ κυνῶν φωνή. Κατάβα κατάβα. εἰώθασι γὰρ λέγειν οἱ δικασταί. ὅταν ἀπολύωσι καὶ πεισθῶσι τοῖς λόγοις, μηκέτι λέγειν.

πολλάκις

Ὅπερ ποτὲ φεύγων ἔπαθεν. Θουκυδίδην λέγει τὸν Μιλησίου, ἀλωπεκῆθεν. τοῦτον δὲ ἐξωστράκισαν Ἀθηναῖοι τὰ ι' ἔτη κατὰ τὸν νόμον. οὐ ξένον δέ, ὅτι ἑτέρωθι μὲν ἐξωστρακίσθαι φησὶν αὐτόν, νῦν δὲ φεύγειν. εἶδος γάρ τι φυγῆς, ἐστὶν ὁ ὀστρακισμός. ἐν δὲ τρισὶν εἴδεσι περιέχεται τὰ γένη. καὶ τὸ μὲν ἐξοστρακίσθαι, τὸ φεύγειν ἄν τις εἰκότως εἴποι. τὸ δὲ φεύγειν, οὐκέτι ἐξωστρακίσθαι. διαφέρει γὰρ φυγὴ, ὀστρακισμοῦ. καθὸ τῶν μὲν φευγόντων αἱ οὐσίαι δημεύονται. τῶν δὲ ὀστρακισμῷ μεταστάντων οὐκέτι κύριος ὁ δῆμος. καὶ τοῖς μέν, καὶ τόπος ἀποδίδοται καὶ χρόνος. τοῖς δέ, οὐδέτερον τούτων. ὅτι δὲ ὁ Ἀθηναίων δῆμος ἀειφυγίαν αὐτοῦ καταγνοὺς ἐδήμευσε τὴν οὐσίαν καὶ πρὸς Ἀρταξέρξην ἥκε φεύγων, σαφὲς ποιεῖ ἰδομενεύς, διὰ τοῦ β' τῶν περὶ τούτων. οἱ μέντοι Ἀθηναῖοι αὐτοῦ καὶ γένει ἀειφυγίαν κατέγνωσαν προδιδόντος τὴν Ἑλλάδα. καὶ αὐτοῦ ἡ οὐσία ἐδημεύθη. Ἄλλως. Θουκυδίδης, Μιλησίου υἱὸς Περικλεῖ ἀντιπολιτευσάμενος. τέσσαρες δὲ εἰσὶ Θουκυδίδαι Ἀθηναῖοι. ὁ ἱστοριογράφος. καὶ ὁ γήττιος καὶ ὁ Θετταλός. καὶ οὗτος ἄριστος ῥήτωρ τυγχάνων. ὃς γὰρ κατηγορηθεὶς ἐν τῷ δικάζειν, οὐκ ἠδυνήθη ἀπολογήσασθαι ὑπὲρ ἑαυτοῦ. ἀλλ' ὥσπερ ἐγκατεχομένην ἔσχε τὴν γλῶτταν. καὶ οὕτω κατεδικάσθη. εἶτα ἐξωστρακίσθη. Ἄλλως. Πρὸς ἱστορίαν μή ποτε ὁ Περικλεῖ ἀντιπολιτευσάμενος. τοῦτο δέ, Φιλόχορος μὲν ἱστορεῖ. ὃς οὐδὲ πάντη γνώριμος ἐγένετο. ἀλλ' οὐδὲ παρὰ τοῖς κωμικοῖς, διὰ τὸ ἐπ' ὀλίγον στρατείας ἀξιωθέντα μετὰ Κλέωνος ἐπὶ Θρᾴκης φυγῇ καταδικασθέντα. ἔνιοι δὲ ὧν καὶ Ἀμμώνιος τοῦ Στεφάνου. καὶ τοῦτο δέ, ὑπαίδοι τις ὥσπερ προείρηται. ὁ δῆμος ὀστρακισμός, ἐμφαίνει τὸν Μιλησίου. Θεόπομπος μέντοι ὁ ἱστορικός, τὸν Πανταίνου φησὶν ἀντιπολιτεύσασθαι Περικλεῖ. ἀλλ' οὐκ Ἀνδροτίων. ἀλλὰ καὶ αὐτὸς τὸν Μιλησίου. Πάρεχ' ἐκποδών. λακτίσας τὸν κύνα φησὶν ἀναχωρεῖ. τοὺς λύκους δὲ τοὺς συκοφάντας. Ξυνωμότης. προδότης. ὡς ἐπὶ ἀνθρώπου δὲ εἶπεν. Οἷός τε. δυνατός ἐστι φησὶ προβάτων προΐστασθαι. Κιθαρίζειν γὰρ οὐκ ἐπίσταται. ὡσεὶ εἶπεν. οὐδὲν ἄλλο ἐπίσταται πλὴν τὸ κλέπτειν, παρὰ τὴν παροιμίαν παίζει. βαδίζω, νεῖν γὰρ οὐκ ἐπίσταμαι οὐδὲν πρὸς ἔπος. δέον γὰρ εἰπεῖν, ὑπὸ πείνης τοῦτο ποιεῖ. ὁ δέ, παρ' ὑπόνοιαν τοῦτο ἐπήγαγεν.

ὅπερ ποτὲ φεύγων ἔπαθε καὶ Θουκυδίδης.
ἀπόπληκτος ἐξαίφνης ἐγένετο τὰς γνάθους.
Βδ. πάρεχ' ἐκποδών. ἐγὼ γὰρ ἀπολογήσομαι.
χαλεπὸν μὲν ὦνδρες ἐστὶ διαβεβλημένου
ὑπεραποκρίνεσθαι κυνός. λέξω δ' ὅμως.
ἀγαθὸς γάρ ἐστι, καὶ διώκει τοὺς λύκους.
Φι. κλέπτης μὲν οὖν οὗτός γε καὶ ξυνωμότης.
Βδ. μὰ Δί', ἀλλ' ἄριστός ἐστι τῶν νυνὶ κυνῶν.
οἷός τε πολλοῖς προβατίοις ἐφεστάναι.
Φι. τί οὖν ὄφελος τὸν τυρὸν εἰ κατεσθίει.
Βδ. ὅτι σοῦ προμάχεται καὶ φυλάττει τὴν θύραν,
καὶ τἄλλ' ἄριστός ἐστιν. εἰ δ' ὑφείλετο,
σύγγνωθι. κιθαρίζειν γὰρ οὐκ ἐπίσταται.
Φι. ἐγὼ δ' ἐβουλόμην ἂν οὐδὲ γράμματα,
ἵνα μὴ κακουργῶν ἐνέγραφ' ἡμῖν τὸν λόγον.

Τὸ σκίρρον ἐξεδήδοκεν. σκίρρον τὸ ῥυπῶδες ἐπὶ τῶν τυρῶν. ὡς δὲ ἡ πόλις χρυσῷ γέμει. λοιπὸς γὰρ οὐδείς. τροφαλὶς ἐκείνη. ἐφ' ὕδωρ βαδίζει σκίρρον ἠμφιεσμένη. ἀπὸ τούτου καὶ τὰ λίαν προσεχόμενα, ἐνεσκιρῶσθαι λέγεται. Ἐμοὶ δέ γ' οὐκ ἔστ'. ὅτι λέγεται καὶ γῆ σκιρράς λευκή τις ὡς γύψος καὶ ἀθηνᾶ σκιρράς. ὅτι λευκῇ χρίεται. πρὸς τὴν ὁμωνυμίαν οὖν. Ἄλλως. Ἐμοὶ δέ γε οὐκ ἔστιν, οἷον οὐκέτι ἔχω, οὐδὲ ἐκπλάσαι τὴν ὑδρίαν ἐκ τῆς λατύπης. ἀλλὰ πᾶσα ἀνάλωται. εἰώθασι δὲ τὰ ῥήγματα τῶν ὑδριῶν τῇ λατύπῃ διαπλάττειν. ὑδρία δὲ τὸ ἀγγεῖον ἰωτογραφούμενον. ὑδρεία δὲ τὸ ὑδρεύεσθαι διὰ διφθόγγου. Οὐ γὰρ ἄν ποτε τρέφειν δύναιτ' ἄν. ἀντὶ τοῦ εἷς οἶκος οὐ δύναται τρέφειν τοὺς δύο κύνας. εἴρηται δὲ, παρὰ τὴν παροιμίαν. μία λόχμη, δύο ἐριθάκους οὐ τρέφει. Ἄλλως. Παροιμία· οὐ τρέφει μία λόχμη δύο ἐριθάκους. ἔστι δὲ ὄρνεον, ὑπὸ μὲν τινων καλούμενον ἐριθεύς. ὑπὸ δὲ ἑτέρων ἐρίθυλος. ὑπὸ τῶν πλειόνων ἐρίθακος. Οὐ κεκλάγξομαι. οὐκέτι κραυγάσω. διὰ γὰρ τῆς βοῆς οἱ κύνες φρουροῦσιν. Κλέπτον τὸ χρῆμα. ἀντὶ τοῦ κλεπτικόν, ἔπαιξε δὲ, ἡ ἐν κωμῳδίᾳ εἴρηται τἀνδρὸς καὶ οὐ κυνός. Ὦ 'λεκτρυών. ὑπόκειται γὰρ τοῦ δικαστηρίου αὐτοῦ ἀλεκτρυών. ὡς ἐν τοῖς ἄνω ἐδήλωσεν. καταμύει δὲ ἐπινυστάζει. οὐρῆσαι δὲ θέλων, ἀμίδα αἰτεῖ.

ἐκ τῶν πόλεων τὸ σκίρρον ἐξεδήδοκεν.
Φι. ἐμοὶ δέ γ' οὐκ ἔστ' οὐδὲ τὴν ὑδρίαν πλάσαι.
Κυ. πρὸς ταῦτα τοῦτον κολάσατ'· οὐ γὰρ ἄν ποτε
τρέφειν δύναιτ' ἂν μία λόχμη κλέπτα δύω·
ἵνα μὴ κεκλάγγω διακενῆς ἄλλως ἐγώ·
ἐὰν δὲ μὴ, τὸ λοιπὸν οὐ κεκλάγξομαι.
Φι. ἰοὺ ἰού. ὅσας κατηγόρησε τὰς πανουργίας.
κλέπτον τὸ χρῆμα τἀνδρός. οὐ καὶ σοὶ δοκεῖ
ὦ 'λεκτρυών; νὴ τὸν Δί' ἐπιμύει γέ τοι.
ὁ θεσμοθέτης. ποῦ 'σθ' οὗτος; ἁμίδα μοι δότω.
Θε. αὐτὸς καθελοῦ. τοὺς μάρτυρας γὰρ ἐσκαλῶ,
λάβητι μάρτυρας παρεῖναι. τρύβλιον
δοίδυκα. τυρόκνηστιν. ἐσχάραν. χύτραν.
καὶ τἄλλα τὰ σκεύη τὰ προσκεκαυμένα.
ἀλλ' ἔτι σὺ γ' οὐρεῖς, κοὐ καθίζεις οὐδέπω.
τοῦτον δέ γ' οἶμ' ἐγὼ χεσεῖσθαι τήμερον.
Βδ. οὐκ αὖ σὺ παύσει χαλεπὸς ὢν καὶ δύσκολος.
καὶ ταῦτα τοῖς φεύγουσιν, ἀλλ' ὀδὰξ ἔχει;
Φι. ἀνάβαιν' ἀπολογοῦ. τί σεσιώπηκας, λέγε.
Βδ. ἀλλ' οὐκ ἔχειν οὗτός γ' ἔοικεν ὅ τι λέγῃ.
Φι. οὐκ· ἀλλ' ἐκεῖνό μοι δοκεῖ πεπονθέναι,

Τοὺς μάρτυρας γάρ. ὅσα ἐν τῷ μαγειρείῳ τυγχάνει ἐργαλεῖα, τοῦ κυρίου χάριν ἄξας φησὶ ταῦτα, εἰς μαρτυρίαν αὐτοῦ. καὶ ὅτι ἐν τῷ μαγειρείῳ, ἡρπάγη ὁ τυρός. Οἶμ' ἐγὼ χεσεῖσθαι. πρὸς τὸ οὐρῆσαι ἐπήνεγκε τὸ χεσεῖσθαι ποιήσω τὸν λάβητα. ὡς φιλόδικος δὲ ἀπειλεῖ καταδικάσαι αὐτόν. Ἀλλ' ὀδὰξ ἔχει. οἷον οὐδὲν φθέγγεται. ἀλλὰ τοὺς ὀδόντας δηκτικῶς κατέχει ὁ κύων. Ἄλλως. Διαπρίζει βούλει τοῖς ὀδοῦσι τὸν κύνα ἵν' ᾖ, τὸ ἔχει δ' ἀντὶ δευτέρου προσώπου. ἀττικοῦ.

Ποῦ δ' οὑδιώκων. τὸ πλῆρες. ποῦ δὲ ὁ διώκων. ἐκλείνουσι μὲν τί καὶ τὸ ὁ ἄρθρον. δύπολις ἀρξί. τὴν παιδὸς καὶ τριῶν γὰρ ἀνὴρ ὁ τλήμων ἔχει. Αὖ αὖ. ὁ κύων λέγει ὑπακούων. διονόπια δὲ εἰμὶ μιμεῖται δὲ τὴν φωνὴν τοῦ κυνὸς διὰ τοῦ αὖ αὖ. Πάρεστιν ἕτερος. αὐτὶ τοῦ ὁ κατήγορος. ὁ φιλοκλέων δέ φησι πρὸς τὸν λάβητα. ὅτι πάρεστιν ὁ κατήγορος σου ἐνῆλθε. Καὶ ῥυππαπαὶ καὶ τὸ ναυτικόν. διὰ δὲ χάριτα πάλιν τοῦτο λέγει. ἴσως γὰρ καὶ τὸ ναυτικὸν στράτευμα ἠδίκησεν. ἔστι δὲ ἐπίρρημα δ' ῥυππαπαὶ ναυτικόν. ὃ ἐν τῇ κωπηλασίᾳ φασὶν ὡς παρακέλευσμα. Ἄλλως συμβολικῶς τὸ ναυτικόν. τοῦτο γὰρ ἀπὸ φωνῆς μάλιστα ναυτικὸν ὡς τῶν ἐρετῶν δὲ καὶ ναῦται ἐν περιπλεύσει σιτουμένων τὸν τυρόν. Κατεσικέλιζε. τὸν σικελικὸν ἤσθιεν. ἐπειδὴ σικελικὸν ἔφη τὸν τυρὸν παίζει δὲ, αὐτὶ τοῦ ἤσθιε καὶ ἐκορέσθη. ἐν τῷ σκότῳ δὲ, ἐπειδὴ ἐν μορφῇ τῆς δύσεως ἡ σικελία. ἐνήρυγε δὲ ἠρεύξατο. Ὁ βδελυρός. τὸ ἑξῆς κατεσικέλιζεν ὁ βδελυρός. ἔνιοι δὲ τὸ βδελυρὸς τῷ φιλοκλέει διδόασι. Οὐδὲ τῷ κοινῷ γέ μοι. τῷ κοινῷ. αὐτὶ τοῦ τῷ κοινωνῷ. οἱ δὲ, τῷ κοινῷ, ἐπὶ τῶν καλουμένων οὐδὲ μέχρι κοινοῦ λόγου. ἔστι δὲ τὰ μὲν πρὸ τούτου τοῦ θεράποντος, τὰ δὲ τοῦ γέροντος.

Ποῦ δ' οὑδιώκων, ὁ κυδαθηναιεὺς κύων.
Κυ. αὖ αὖ. Βδ. πάρεστιν ἕτερος οὗτος αὖ λάβης,
ἀγαθός γ' ὑλακτεῖν καὶ διαλείχειν τὰς χύτρας
Κυ. σίγα. κάθιζε. σὺ δ' ἀναβὰς κατηγόρει.
Φι. φέρε νυν. ἅμα τήνδ' ἐγχεάμενος κἀγὼ ῥοφῶ.
Θε. τῆς μὲν γραφῆς ἠκούσαθ' ἣν ἐγραψάμην
ἄνδρες δικασταὶ τουτονί. δεινότατα γὰρ
ἔργων δέδρακε κἀμὲ καὶ τὸ ῥυππαπαί.
ἀποδρὰς γὰρ εἰς τὴν γωνίαν τυρὸν πολὺν
κατεσικέλιζε κἀνέπλητ' ἐν τῷ σκότῳ.
Φι. νὴ τὸν Δί' ἀλλὰ δῆλός ἐστ' ἔμοιγέ τοι
τυροῦ κάκιστον ἄρτι τὸ ἐνήρυγεν,
ὁ βδελυρὸς οὗτος. κοὐ μετέδωκ' αἰτοῦντί μοι.
καίτοι τίς ὑμᾶς εὖ ποιεῖν δυνήσεται.
ἢν μή τι κἀμοί τις προβάλλῃ τῷ κυνί.
Θε. οὐδὲν μετέδωκεν οὐδὲ τῷ κοινῷ γ' ἐμοί.
Φι. θερμὸς γὰρ ἀνὴρ οὐδὲν ἧττον τῆς φακῆς.
Βδ. πρὸς τῶν θεῶν μὴ προκαταγίγνωσκ' ὦ πάτερ.
πρὶν ἄν γ' ἀκούσῃς ἀμφοτέρων. Φι. ἀλλ' ὦ γαθέ.
τὸ πρᾶγμα φανερόν ἐστιν. αὐτὸ γὰρ βοᾷ.
Θε. μή νυν ἀφῆτέ γ' αὐτὸν ὡς ὄντ' αὖ πολὺ
κυνῶν ἁπάντων ἄνδρα μονοφαγίστατον
ὅστις περιπλεύσας τὴν θυείαν ἐν κύκλῳ,

Ἧττον τῆς φακῆς. ἔπαιξεν ὡς ῥοφῶν φακῆν. τὸ δὲ ἄνδρα παίζων εἴρηκεν. Ὅστις περιπλεύσας. αὐτὶ τοῦ τὴν σικελικὴν θάλασσαν διὰ τὰς νήσους. παρ' ὑπόνοιαν δὲ εἶπε διὰ τὸν χάριτα. ὅτι ἐν σικελίᾳ ὢν τοὺς σικελιώτας ἐπαίδευσεν. αὐτὶ τοῦ ὅστις περιελθὼν, τὸν τυρὸν ἀφείλετο. δέον δὲ εἰπεῖν τὴν θάλασσαν, ἢ τὴν σικελίαν ἔπαιξε παρ' ὑπόνοιαν. Θυεία δὲ ἡ ἴγδις. ἀγγεῖον εἰς ὃ ἐμβάλλοντές τινα ἀρτύματα τρίβομεν καὶ λειοῦμεν. ὡς ἑτέρωθι ἀριστοφάνης. καὶ θυείαν ἱστὰς ὑπερφυᾶ τὸ μέγεθος εἰσηνέγκατο. καὶ τρίβειν. ἐν αὐτῇ τὰς πόλεις βουλεύεται.

τῶν οἰκιῶν βωμοί. ὡς Σοφοκλῆς μεθάγων τὰ ἀθηναίων ἔθη εἰς Τροίαν φησί· λάμπει δ' ἀγυιεὺς βωμὸς ἀτμίζων πυρὶ σμύρνης σταλαγμοὺς βαρβάρους εὐοσμίας. Ἄλλως. ἀγυιεὺς ὁ πρὸ τῶν αὐλείων θυρῶν κωνοειδὴς κίων. ἱερὸς Ἀπόλλωνος. καὶ αὐτὸς θεός. Φερεκράτης Κραπατάλλοις· ὦ δέσποτ' ἀγυιεῦ· ταῦτα σὺ μέμνησό μου. Ἀντὶ σιραίου. μὴ σίραιον, ἀλλὰ μέλι παραμίξας. σίραιον δέ, τὸ ἕψημα γλεύκους, βραχὺ δ' ἔχον παράπικρον, ὅτι καθεψηθῇ. Τὴν ἀκαλήφην. τὴν λεγομένην κνίδην. ἣν προσφέροντες τῷ σώματι, κνησιῶσιν αὐτὸ ποιοῦμεν. Ἄλλως. Μεταφορικῶς τὸ τραχὺ καὶ δηκτικόν. ἣν καὶ ἀκαλήφην λέγεσθαι φησὶ Κράτης Φοινίσσαις. ἔστι δὲ καὶ θαλάττιος ἰχθύς, οὕτω λεγόμενος ἀκαλήφη. Τῶν γε νεωτέρων. εἰ μὲν γε νεωτέρων, τῶν σπουδαίων. εἰ δὲ συνετωτέρων, τῶν ὁμηλίκων. Ὡς ἡνίκ' ἂν λέγωσιν. ἔθος γὰρ ἦν, πρὸ μὲν τῆς καταστάσεως τῶν ῥητόρων, κηρύττειν τοῖς δικασταῖς. ὁπότε δὲ ἤρχοντο τῶν δικῶν, οὐκέτι εἴων εἰσιέναι τοὺς ὑστεροῦντας δικαστάς. ἁλώσεται δὲ καταδικασθήσεται. Κύων Κυδαθηναιεύς. ἔπαιξε παρὰ τὸν κύνα Κυδαθηναιέα φάσκων αὐτόν. ὡς ἐπ' ἀνθρώπων δὲ ποιεῖται τὴν κατηγορίαν. Αἰξωνέα. ἀπὸ δήμου τῆς Πανδιονίδος φυλῆς. ἢ τῆς Κεκροπίδος. Κλῳὸς σύκινος. οὕτως Ἀττικοὶ τὸν κλοιὸν ἔλεγον. σύκινον δέ, διὰ τὸ βραχὺ τοῦ ξύλου. Ἄλλως. τὸ κολλάριον τὸ παρ' ἡμῖν λεγόμενον. ᾧ εἰώθασι τοὺς κύνας δεσμεύειν ἐν τοῖς ἀγροῖς, ἐστὶ ξύλινον. Θάνατος μὲν οὖν κύνειος. παίζει ὡς ἐν κωμῳδίᾳ καταδικάζων τὸν λάβητα κυνείῳ θανάτῳ. ἅμα δέ, ὅτι καὶ χαλεπός ἐστιν ὁ τοῦ κυνὸς θάνατος. δυσχερῶς γὰρ ἀφίησι τὸ πνεῦμα. Ὡς δὲ καὶ κλέπτον βλέπει. ἀντὶ τοῦ κλεπτικόν. κλέπτον δὲ βαρέως Ἀττικοί. καθὰ καὶ Ἀθηναῖός φησιν. Οἷον σεσηρώς. οἱ γὰρ κύνες μέλλοντες φαγεῖν σεσήρασιν. οἱ δὲ σεσηρότες, κύνες.

ἀντὶ σιραίου μέλιτος σμικρὸν τῷ θυμιδίῳ παραμί (ξας.
ἤδη δ' εἶναι τοῖς ἀνθρώποις ἤπιον αὐτόν.
τοὺς φεύγοντάς τ' ἐλεεῖν μᾶλλον τῶν γραψαμένων.
κἀπιδακρύειν ἀντιβολούντων.
καὶ παυσάμενον τῆς δυσκολίας,
ἀπὸ τῆς ὀργῆς,
τὴν ἀκαλήφην ἀφελέσθαι.

ΣΤΡΟΦΗ ΚΩΛΩΝ, ς'.

Χο. Ξυνευχόμεθά σοι, κἀπᾴδομεν νέαισιν ἀρχαῖς,
ἕνεκα τῶν προλελεγμένων. εὖνοι γὰρ ἐσμὲν ἐξ ὅ (του
τὸν δῆμον ᾐσθόμεθά σου
φιλοῦντος ὡς οὐδεὶς ἀνήρ.
τῶν γε νεωτέρων.

Βδ. εἴ τις θύρασιν ἡλιαστής, εἰσίτω.
ὡς ἡνίκ' ἂν λέγωσιν οὐκ εἰσφρήσομεν.

Φι. τίς ἆρ' ὁ φεύγων οὗτος, ὅσον ἁλώσεται.

Θε. ἀκούετ' ἤδη τῆς γραφῆς. ἧς ἐγράψατο.
κύων Κυδαθηναιεύς, Λάβητ' Αἰξωνέα.
τὸν τυρὸν ἀδικεῖν ὅτι μόνος κατήσθιε
τὸν Σικελικόν. τίμημα κλῳὸς σύκινος.

Φι. θάνατος μὲν οὖν κύνειος. ἢν ἅπαξ ἁλῷ.

Βδ. καὶ μὴν ὁ φεύγων οὑτοσὶ Λάβης πάρα.

Φι. ὦ μιαρὸς οὗτος. ὡς δὲ καὶ κλέπτον βλέπει.
οἷον σεσηρὼς ἐξαπατήσειν μ' οἴεται.

K Κἀπιχωρίως. οἷον σκωπτικῶς καὶ φλυάρως. ἐπιχώριον γὰρ ἦν αὐτοῖς τὸ σκώπτειν καὶ παίζειν. ἐκ πολλῆς εἰδήσεως τοῦ ἑλληνισμοῦ. Μυρρίνας. μυρρίναις γὰρ ἐστεφανοῦντο οἱ ἄρχοντες καὶ μυρρινῶν, ἀρχῆς ἐπιθυμῶν. Ὅπως ἂν εὐξώμεσθα. ὡς ἐπὶ μεγίστου πράγματος πραττομένου. οἱ γὰρ ἐπιχειροῦντές τι πρᾶγμα εἰώθασι τοῖς θεοῖς εὐχὰς ποιεῖν καὶ θυσίας. Καὶ μὴν ἡμεῖς ἐπὶ ταῖς σπονδαῖς. ἡ ἀμοιβαία αὕτη περίοδος ἔοικεν ἐκθέσει διπλῆς. διὸ καὶ τὸ παρατέλευτον ἔχει κῶλον. ἔστι γοῦν περιόδων τριῶν. καὶ τῆς πρώτης περιόδου κῶλα τέσσαρα. ὧν τὸ πρῶτον ἀναπαιστικὸν τρίμετρον ἀκατάληκτον. τὰ ἑξῆς δύο δίμετρα ἀκατάληκτα. τὸ τέταρτον δίμετρον καταληκτικόν. ἤτοι ἑφθημιμερὲς ὃ καλεῖται παροιμιακόν. μεθ᾽ ὃ ἐν εἰσθέσει ἰαμβικὸς τρίμετρος ἀκατάληκτος. τῆς δευτέρας περιόδου κῶλα ἕξ. ὧν τὸ πρῶτον ὅμοιον. τὸ δεύτερον ἑφθημιμερές. τὰ ἑξῆς τρία δίμετρα ἀκατάληκτα. τὸ ἕκτον πενθημιμερές. τῆς τρίτης περιόδου ἀναπαιστικὰ κῶλα δέκα ὧν τὰ πρῶτα τέσσαρα τετράμετρα καταληκτικά. τὸ ε΄ καὶ ϛ΄ τρίμετρα ἀκατάληκτα. τὸ ζ΄ καὶ τὸ η΄. δίμετρα ἀκατάληκτα. τὸ θ΄ ἀναπαιστικὴ βάσις ὃ καὶ παρατέλευτον ὀνομάζεται. τὸ δὲ ι΄ τὸ τὴν ἀκαλήφην ἀφελέσθαι, δίμετρον καταληκτικόν. ἐφ᾽ ἑκάστῃ περιόδῳ παράγραφος ἐπὶ τῷ τέλει, αἱ συνήθεις δύο διπλαῖ ἔσω νενευκυῖαι. Φήμην ἀγαθήν. εὐξόμεθα ὥστε ταῦτα γενέσθαι. Καὶ τοῦ νείκους. ἐκ τῆς φιλονεικίας εἰς φιλίαν ἐτράπητε.

Βδε. εὔγ᾽ ἐκπορίζεις αὐτὰ, κἀπιχωρίως,
ἀλλ᾽ ὡς τάχιστα πῦρ τις ἐξενεγκάτω.
καὶ μυρρίνας καὶ τὸν λιβανωτὸν ἔνδοθεν.
ὅπως ἂν εὐξώμεσθα πρῶτα τοῖς θεοῖς
Χο. καὶ μὴν ἡμεῖς ἐπὶ ταῖς σπονδαῖς καὶ ταῖς εὐχαῖς
φήμην ἀγαθὴν λέξομεν ὑμῖν
ὅτι γενναίως, ἐκ τοῦ πολέμου
καὶ τοῦ νείκους ξυνέβητον.
Βδε. εὐφημία μὲν πρῶτα νῦν ὑπαρχέτω.
Χο. ὦ Φοῖβ᾽ Ἄπολλον Πύθι᾽ ἐπ᾽ ἀγαθῇ τύχῃ
τὸ πρᾶγμ᾽ ὃ μηχανᾶται.
ἔμπροσθεν οὗτος τῶν θυρῶν. Ἅπασιν ἡμῖν ἁρμόσαι.
ὡς παυσαμένοισι τῶν πλάνων Ἰήϊε παιάν. (λας
Βδ. ὦ δέσποτ᾽ ἄναξ γεῖτον ἀγυιεῦ τοῦ μοῦ προθύρου πρὸς τοῦ
δέξαι τελετὴν καινὴν ὦναξ, ἣν τῷ πατρὶ καινοτομοῦμεν.
παῦσόν τ᾽ αὐτοῦ τουτὶ λίαν στρυφνὸν καὶ πρίνινον ἦθος.

Γ Ἰήϊε παιάν. ὡς ἐπὶ κακῶν λύσει τὸν παιᾶνα ὕμνον ᾄδουσιν. Γεῖτον ἀγυιεῦ. περὶ τοῦ ἀγυιέως Ἀπόλλωνος ἰδίως Εὐτυχίας οὕτω γράφει. ἐν δὲ τῷ ἰατρῷ τοῦτο διαμυθεῖ. καὶ ἔτι καὶ νῦν δείξειν ὡς ἀγυιεὺς τῶν Δωριέων οἰκησαίτων ἐν τῷ τόπῳ ἀνάθημα. καὶ οὕτω καταμηνύει ὅτι Δωριέων εἰσὶ τὰ ἑλλήνων. τούτοις γὰρ ἐπὶ τὰς στρατιὰς φάσματος οἱ Δωριεῖς μιμούμενοι τὰς ἀγυιάς, ἱστᾶσιν ἔτι καὶ νῦν τῷ Ἀπόλλωνι. Ἄλλως. Πρὸ τῶν θυρῶν ἔθος εἶχον κίονας εἰς ὀξὺ λήγοντας, ὡς ὀβελίσκους ἱδρύειν εἰς τιμὴν Ἀπόλλωνος ἀγυιέως. Ἄλλως. Ἀγυιεὺς κίων εἰς ὀξὺ λήγων. ὃν ἱστᾶσι πρὸ τῶν θυρῶν. ἰδίως δέ φασιν αὐτὸν εἶναι Ἀπόλλωνος. οἱ δὲ Διονύσου. οἱ δὲ ἀμφοῖν. ἔστι δὲ ἴδιον Δωριέων. ἐξ ὧν δ᾽ ἂν οἱ παρ᾽ Ἀττικοῖς λεγόμενοι ἀγυιεῖς, οἱ πρὸ.

Ἀφ' ἑστίας ἀρχόμενος. ἐν ταῖς σπονδαῖς ἀφ' ἑστίας ἄρχονται. καὶ οὕτως ἐκ τῶν θεῶν. ὡς ἐν κωμῳδίᾳ δὲ εἶπεν ὁ θεράπων φήσας ἀποτρίψω τινά. ἐπεὶ γὰρ τοῦ χειροκομείου μέλλει δικάζειν ὁ φιλοκλέων. καὶ καταδικάζειν ὡς φιλόδικος. ἔστι δὲ παροιμία, ἀφ' ἑστίας ἄρχου. μετενήνεκται δὲ ἀπὸ τῶν τὰ ἱερὰ καθιεμένων. τῇ γὰρ ἑστίᾳ τὰς ἀπαρχὰς ἔθος ἦν ποιεῖσθαι. μῦθον δὲ συνέθηκεν ἀριστόκριτος οὕτως ἔχοντα. μετὰ γὰρ τὸ κωλυθῆναι τὴν τῶν τιτάνων ἀρχὴν, τὸν διαδεξάμενον τὴν βασιλείαν, ἐπιτρέπειν ἑστίᾳ λαβεῖν ὅ, τι βούλοιτο. τὴν δὲ, πρῶτον μὲν παρθενίαν αἰτεῖσθαι. μετὰ δὲ παρθενίαν, ἀπαρχὰς θυομένων αὐτῇ νέμεσθαι πρώτῃ παρὰ τῶν ἀνθρώπων. κέχρηται δὲ τῇ παροιμίᾳ καὶ πλάτων ἐν εὐθύφρονι. βουλοίμην ἂν ὦ σώκρατες. ἀλλ' ὀρρωδῶ μὴ τοὐναντίον γένηται ἀτεχνῶς γὰρ ἀφ' ἑστίας δοκεῖ μοι ἄρχεσθαι κακουργεῖν τὴν πόλιν σε ἐπιχειρῶν ἀδικεῖν.

ΦΙ. εἶθ' ἱεροσυλήσας φορεῖς; ΟΙ. οὔκ. ἀλλ' ἵνα
ἀφ' ἑστίας ἀρχόμενος ἐπιτρίψω τινά.
ΦΙ. ἀλλ' ἔκταγ' αὐσας, ὡς ἐγὼ τιμᾶν βλέπω.
ΒΔ. φέρε νυν. ἐνέγκω τὰς σανίδας, καὶ τὰς γραφάς.
ΦΙ. οἴμοι διατρίψεις. κἀπολεῖς τριψημερῶν
ἐγὼ δ' ἀλοκίζειν ἐδεόμην τὸ χωρίον.
ἰδοὺ κάλει νυν. ΒΔΕ. ταῦτα δή. ΦΙ. τίς οὑτοσὶ
ὁ πρῶτός ἐστιν. ΒΔΕ. ἐς κόρακας, ὡς ἄχθομαι.
ὅτι 'πελαθόμην τοὺς καδίσκους ἐκφέρειν.
ΦΙ. οὗτος σὺ ποῖ θεῖς. ΒΔ. ἐπὶ καδίσκους. ΦΙ. μηδαμῶς.
ἐγὼ γὰρ εἶχον τούσδε τοὺς ἀρυστίχους.
ΒΔΕ. κάλλιστα τοίνυν. πάντα γὰρ πάρεστι νῷν.
ὅσων δεόμεθα. πλήν γε δὴ τῆς κλεψύδρας.
ΦΙ. ἡδὶ δὲ δὴ τίς ἐστιν. οὐχὶ κλεψύδρα;

Τὰς σανίδας. σανίδας φησίν, ἐν αἷς ἔγραφον τὴν μακρὰν καὶ τὴν βραχεῖαν τῆς δίκης. γραφὰς δὲ νῦν, ἀντὶ τοῦ τὸ γραφεῖον ἐν ᾧ ἔγραφον.

Οἴμοι διατρίψεις. ἐπειγόμενος εἰς τὸ δικάζειν φησί. δύναμαι καὶ χωρὶς γραφείου δικάσαι τοῖς ὄνυξι τὴν τοῦ γραφείου τάξιν ἀποπληρῶν. Ἀλοκίζειν. ἀροτριᾶν. ἀλοκίζειν, τὸ τῷ ὄνυχι γράφειν εἰς τὸ τιμητικὸν πινάκιον, οὕτως εἴρηκεν. οἷον αὔλακας σχίζειν. Ὁ πρῶτός ἐστιν. ὁ κατηγορῶν. ὡς φιλόδικος δὲ φαντάζεται ἀγωνίαν τινὸς πρώτου. Ὅτι 'πελαθόμην. πάλιν ὑποθέσεως καιρὸν πορίζων, φησὶν ἐπιλελῆσθαι τοὺς καδίσκους. Ἀρυστίχους. ἀρύστιχος καὶ ἄρυστις καὶ ἀρυστὴρ, ἀγγεῖόν ἐστιν οἷον ἀρύσασθαι κοτύλη. ἢ κύαθος. εἶχον δέ φησιν αὐτοὺς πρὸς τὴν διαψήφισιν ἀρυστίχους δ' οὓς ἔνιοι κυλίσκους. Ἄλλως. Ἀρυστίχους τοὺς οἰνοχόους εἴρηκεν ἀπὸ τοῦ ἀρύειν ἔνθεν καὶ ἀρύταινα. ἔλεγον δὲ καὶ ἔφηβον τὸ τοιοῦτον σκεῦος. ἤ· ἦν γὰρ οἱ παλαιοὶ, τὸ τέρπεσθαι κατὰ τὰς εὐωχίας προσηγόρευον. καὶ ὁ ποιητὴς τοίνυν ἀπὸ ταύτης τῆς αἰτίας τὴν ἥβην ὑπεστήσατο. καὶ διὰ τοῦτο τοῖς θεοῖς οἰνοχοοῦσαν παρεισήγαγεν, οἰκείαν τῇ τεταγμένῃ ὑποθέσει τὴν λειτουργίαν αὐτῇ προσμερίζων. Κλεψύδρας. κλεψύδρα, κρήνη ἐν τῇ ἀττικῇ. ἣ τις ἔμπεδω προσηγορεύετο. σημαίνει δὲ τὸ σκεῦος νῦν. Ἡδὶ δέ. μή ποτε τὸ αἰδοῖον αὐτῷ δείκνυσιν ὁ πρεσβύτης ὅτι οὐρεῖ ὡς ἡ κλεψύδρα. ἀμὶς γὰρ αὐτῷ παράκειται.

πολέων. Ἄνδει δρυφάκτου. δρύφακτος τὸ παρατεινόμενον ὡς εἴρηται ξύλον τοῖς δικασταῖς. Ὅ πρῶτον ἡμῖν. ἀπὸ τῶν θυόντων. ἐκεῖ μοι γὰρ πρῶτον τὸ ἧπαρ ἐπισκοποῦνται. εἶτα σπλάγχνα καὶ τὰ λοιπά. Τό, γε παραυτίκ' ἔνδον. τὸ παραυτὰ εὑρισκόμενον ἀντὶ τοῦ δρυφάκτου. Τί ποτε τὸ χρῆμα. τοῦτο ὁ νεανίσκος. φιλοχωρία δὲ ὥσπερ εἰ ἔλεγε τὸ ἐπιχωριάζειν. δεινόν φησι τὰ ἐπιχώρια φιλεῖν. ὅπου καὶ οὕτως τὰ ἐκ δικαστηρίου φιλεῖ πάντα. Βάλλ' ἐς κόρακας. ἐξειπὼν ὁ οἰκέτης κυνὶ εἰσκαλῶν. λείπει δὲ τὸ οὐδεὶς ὤφειλεν ἢ χαλεπὸν ἢ δεινόν. Οὐ γὰρ ὁ λάβης ἀρτίως. ἔσωθέν τις τούτων. τῷ δὲ κυνὶ ὄνομα λάβης, ἀπὸ τοῦ λαμβάνειν θηρία. τυρὸν δὲ ἥρπασεν οὗτος, ἀξιοῦσι δέ τινες ὡς παρὰ γράμμα κωμῳδεῖσθαι λάχητα, τὸν στρατηγήσαντα περὶ σικελίαν ἐπὶ θήρᾳ. τυρὸν δὲ ἥρπασεν οὗτος ἐπὶ δωροδοκίᾳ. καὶ τὰ ἑξῆς, ἐπὶ τοῦτον λέγεσθαι τὴν ὑπόνοιαν. ὅτι δὲ νοσφιστὴς καὶ ὑπὸ ἄλλων κωμῳδεῖται, προείρηται. τοῦτο δὲ κομψόν ἐστιν.

ἀλλ' ἢ δρυφάκτου τὴν δίκην μέλλεις καλεῖν,
ὃς πρῶτον ἡμῖν τῶν ἱερῶν κατεφαίνετο;
Βδε. μὰ τὸν Δί' οὐ πάρεστιν. ἀλλ' ἐγὼ δραμὼν
αὐτὸς κομιοῦμαι, τό γε παραυτίκ' ἔνδοθεν.
τί ποτε τὸ χρῆμ' ὡς δεινὸν ἡ φιλοχωρία.
Οἰ. βάλλ' ἐς κόρακας. τοιουτονὶ τρέφειν κύνα.
Βδε. τί δ' ἔστιν ἐτεόν. Οἰ. οὐ γὰρ ὁ λάβης ἀρτίως
ὁ κύων παρᾴξας εἰς τὸν ἰπνὸν ἁρπάσας
τροφαλίδα τυροῦ σικελὴν, κατεδήδοκε;
Βδε. τοῦτ' ἄρα πρῶτον τἀδίκημα τῷ πατρὶ
εἰσακτέον μοι. σὺ δὲ κατηγόρει παρών.
Οἰ. μὰ Δί' οὐκ ἔγωγ'. ἀλλ' ἅτερος φησὶ κύων
κατηγορήσειν, ἤν τις εἰσάγῃ γραφήν.
Βδε. ἴθι νυν ἄγ' αὐτὼ δεῦρο. Οἰ. ταῦτα χρὴ ποιεῖν.
Φι. τουτὶ, τί ἐστι. Οἰκέ. χοιροκομεῖον ἑστίας.

οὐ πάνυ δὲ οἰκεῖον δοκεῖ. ἐπεὶ καὶ παρεδήλωσεν αὐτό. ἀλλ' ἔοικεν ὁ λάβης, ὄνομα τὸ πεποιῆσθαι ἁπλῶς, καθάπερ ὁ δάκης ὁ παρὰ τηλεκλείδῃ ἐν πρυτάνεσι. δάκης τί ἐστιν οὖν τὴν ἀνθρώπων ὁρᾷς. ἰπνὸς δὲ ὁ φοῦρνος. κυρίως μὲν ἡ κάμινος. ἢ ὁ στανός. καταχρηστικῶς δὲ ἡ ἐσχάρα. καὶ ἴπνια τὰ ἀποκαθάρματα τοῦ ἰπνοῦ. ἢ τὰ πρὸς τὴν κάμινον ἐπιτήδεια καύσιμα. καλλίμαχος δὲ τὴν κόπρον τῶν ζώων. σὺν δ' ἄμυδις φορυτόν τε καὶ ἴπνια λύματ' ἄειρεν. Τροφαλίδα. οἱ μὲν τὸν ἐπιμήκη τυρόν. οἱ δὲ τροχὸν τυροῦ σικελικοῦ. πολυθρέμμων δὲ ἡ σικελία διὸ τυρὸν πολὺν καὶ κάλλιστον ἔχει. Ἀλλ' ἅτερος φησι κύων. νῦν τὰ μὲν πρόσωπα, τῶν κυνῶν ἐστι. τὰ δὲ πράγματα, πολιτικά. εἰσάγει γὰρ κλέωνά τινα κατηγορούμενον ὑφ' ἑτέρου. φανεροὶ δὲ ἦσαν τοῖς τότε ἀφ' ὧν λέγει δήμων. καὶ ἅμα δέ, ὡς σκαιώδεις αὐτοὺς διαβάλλει. Χοιροκομεῖόν ἐστιν. ἀγγεῖόν τι κανωτόν. ὅπου οἱ χοῖροι τρέφονται. ἑστίας δὲ, ἐπεὶ ἐπὶ τῆς ἑστίας τρέφουσι χοίρους. εἰσφέρει δὲ τοῦτο ἀντὶ δρυφάκτου. ἢ κιγκλίδος. ἐν τῇ λυσιστράτῃ κλοιὸν μᾶλλον ἢ πάσσαλον ἐμφαίνει. ὡς καὶ τούτου ὁμοίως λεγομένου· θύμου ὅπου ὁ χοῖρος δέδεται. Ἄλλως. ἔξεισιν ὁ ἕτερος τῶν οἰκετῶν ἀντὶ δρυφάκτου χοιροκομεῖον ἔχων. ἔστι δὲ τὸ καλούμενον ζωγρεῖον κανωτὸν, ὅπου οἱ χοῖροι τρέφονται.

Ὅρα τὸ χρῆμα. ταῦτα πρὸς ἑαυτὸν τοῦ υἱοῦ εἰσελθόντος. οὐκ ἐπαληθεύει δὲ ταῦτα φησὶν ὅτι χρησμὸς ἐδόθη. ἀλλὰ πρὸς τὸ φιλόδικον αὐτῶν παίζει. Ἑκάταιον. ἱερὸν Ἑκάτης. ὡς τῶν Ἀθηναίων πανταχοῦ ἱδρυμένων αὐτὴν ὡς ἔφορον πάντων καὶ κουροτρόφον. Ἑκάταιον οἷον Ἑκάτης ἄγαλμα. τὸ κατήσιον λεγόμενον. τῇ προσωδίᾳ Καλλίστρατος ὡς ἀττικόν. ἔνιοι γὰρ ὀξύνουσιν Ἑκαταῖον. Ἀμὶς μέν. οὐρητρίς. οὐρητρὸν ἀγγεῖον. οὐρητιάσῃς δὲ οὐρῆσαι βουλήσῃ. ἢ στραγγουρίας περιπεσούσης νοσήματι. Στραγγουρίας. φυσικῶς τοῦτο εἶπεν ὅτι συμβαίνει τοὺς ἐπέχοντας τὰ οὖρα στραγγουριᾶν. Προσέστηκε φακῆ. ὥσπερ τὸ συκῆ ἀπὸ συκέα περισπῶσι καὶ τὸ ἀμυγδαλῆ ἀπὸ τοῦ ἀμυγδαλέα. οὕτω καὶ φακῆ ἀπὸ τοῦ φακέα. Ῥοφήσομαι. ὡς φακῆ ῥοφήματος δηλονότι μόνη τοῖς ἀσθενοῦσιν ἔπαιξεν ἐπεὶ οἱ νοσοῦντες χυλὸν πτισάνης ῥοφοῦσι. Τί τὸν ὄρνιν. ὡς ἀλεκτρυόνα ἐξαγαγόντος τοῦ Βδελυκλέωνος. Ἄδων. κυρίως τὸ ᾄδειν ἐπὶ τοῦ ἀλεκτρυόνος. κοκκύζειν δὲ ἐπὶ τοῦ κόκκυγος. Θηρῷον. τὸ ἱερὸν τοῦ ἥρωος Λύκου. πάλιν δὲ καὶ τοῦτο ὡς φιλόδικος. Πάρεστι τουτί. πινάκιον κομίζει ἐν ᾧ γεγραμμένος ἦν ὁ Λύκος. Χαλεπὸν ἄρ' ἦσθ' ἰδεῖν. ὡς δυσμόρφου γεγραμμένου τοῦ ἥρωος. Οἷός περ ἡμῖν ἄρρυθμος καὶ μακρός. προείρηται γὰρ ὅτι φαῦλος ἦν τὴν ὄψιν καὶ κακοσύνθετος τὸ σῶμα ὁ Κλεώνυμος. τοῦτο δὲ εἶπε καθὸ καὶ χαλεπὸς ἦν δημαγωγός. ῥίψασπις δὲ ἦν. Οὐδ' αὐτός. ἐπειδὴ ῥίψασπις ὁ Κλεώνυμος. εἶχον δὲ καὶ οἱ ἥρωες πανοπλίαν. καὶ δῆλον ἐκ τῶν [illegible]

Φι. ὅρα τὸ χρῆμα. τὰ λόγι' ὡς περαίνεται.
ἠκηκόειν γὰρ ὡς Ἀθηναῖοί ποτε,
δικάσοιεν ἐπὶ ταῖς οἰκίαισι τὰς δίκας·
κἀν τοῖς προθύροις ἐνοικοδομήσει πᾶς ἀνήρ.
αὑτῷ δικαστηρίδιον μικρὸν πάνυ
ὥσπερ ἑκάταιον πανταχοῦ πρὸ τῶν θυρῶν.
Βδ. ἰδού, τί ἔτ' ἐρεῖς; ὡς ἅπαντ' ἐγὼ φέρω.
ὅσαπερ γ' ἔφασκον, κἄτι πολλῷ πλείονα.
ἀμὶς μὲν ἢν οὐρητιάσῃς, αὑτηί.
παρὰ σοὶ κρεμήσετ' ἐγγὺς ἐπὶ τοῦ παττάλου.
Φι. σοφόν γε τουτὶ κἀγαθὸν γέροντι πρόσφορον.
ἐξηῦρες ἀτεχνῶς φάρμακον στραγγουρίας.
Βδ. καὶ πῦρ γε τουτὶ καὶ προσέστηκεν φακῆ,
ῥοφεῖν ἐὰν δέῃ τι. Φι. τοῦτ' αὖ δεξιόν.
κἂν γὰρ πυρέττω, τόν γε μισθὸν λήψομαι.
αὐτοῦ μένων γὰρ τὴν φακῆν ῥοφήσομαι.
ἀτὰρ τί τὸν ὄρνιν ὡς ἔμ' ἐξηνέγκατε.
Βδ. ἵνα γ' ἢν καθεύδῃς ἀπολογουμένου τινός,
ᾄδων ἄνωθεν ἐξεγείρῃ σ' οὑτοσί.
Φι. ἓν ἔτι ποθῶ. τὰ δ' ἄλλ' ἀρέσκει μοι. Βδ. τὸ τί.
Φι. θηρῷον εἴ πως ἐκκομίσαις τὸ τοῦ Λύκου.
Βδ. πάρεστι τουτί. καὐτὸς ὁ ἄναξ οὑτοσί.
Φι. ὦ δέσποθ' ἥρως, ὡς χαλεπὸς ἄρ' ἦσθ' ἰδεῖν
οἷός περ ἡμῖν φαίνεται Κλεώνυμος.
Οἰ. οὔκουν ἔχει γ' οὐδ' αὐτὸς ἥρως ὢν ὅπλα.
Βδ. εἰ θᾶττον ἐκαθίζου σύ, θᾶττον ἂν δίκην
ἐκάλουν. Φι. κάλει νυν, ὡς κάθημ' ἐγὼ πάλαι.
Βδ. φέρε νυν, τίν' αὐτῷ πρῶτον εἰσαγάγω δίκην.
τί τις κακὸν δέδρακεν τῶν ἐν τῇ οἰκίᾳ.
ἡ Θρᾷττα προσκαύσασα πρῴην τὴν χύτραν.
Φι. ἐπίσχες οὗτος. ὡς ὀλίγου μ' ἀπώλεσας.

Γ Πῶς οὖν διαγινώσκειν. ἐπειδὴ εἶπεν αὐτῷ ὁ Βδελυκλέων δύνασθαι δικάζοντα ἐπὶ τῆς οἰκίας ἐσθίειν φησί. πῶς δυνήσομαι ἐσθίων δοκιμάζειν τὰ λεγόμενα.

Ἀναμασώμενοι. ἀντὶ τοῦ διαλογιζόμενοι. νοούμενον πρὸς τὸ χρειῶδες. ἐνταῦθα παρέλαβεν ἐπὶ τοῦ ἐσθίοντος. Ἄλλως. ἐκ μεταφορᾶς τῶν ἀναπεμπαζόντων τὴν τροφὴν ζώων. καὶ αὖθις ἀναγκασωμένων, τὸ ἀναγκασώμενοι εἴρηκεν. Λυσίστρατος. σκωπτικός. καὶ ἐν Ἀχαρνεῦσι Λυσίστρατός ἐστιν ἐν ἀγορᾷ χολαργέων ὄνειδος.

Φι. πῶς οὖν διαγινώσκειν καλῶς δυνήσομαι.
ὡς ὑπὸ πρότερον τὰ πράγματ' ἔτι μασώμενος
Βδ. πολλῷ γ' ἄμεινον. καὶ λέγεται γὰρ τουτογὶ,
ὡς οἱ δικασταὶ ψευδομένων τῶν μαρτύρων,
μόλις τὸ πρᾶγμ' ἔγνωσαν ἀναμασώμενοι.
Φι. ἀλλά τοι με πείθεις. ἀλλ' ἐκεῖν' οὔπω λέγεις.
τὸν μισθὸν ὁπόθεν λήψομαι. Βδ. παρ' ἐμοῦ. Φι. καλῶς.
ἥκιστα γάρ τοι μ' εἰργάσατο Λυσίστρατος
ὁ σκωπτόλης. δραχμὴν μετ' ἐμοῦ πρῴην λαβὼν,
ἐλθὼν, διεκερμάτιζέ μ' ἐν τοῖς ἰχθύσιν.
κἄπειτ' ἐπέθηκε τρεῖς λοπίδας μοι κεστρέων.
κἀγὼ 'νέκαψα. ὀβολοὺς γὰρ ᾠόμην λαβεῖν.
κᾆτα βδελυχθεὶς, ὀσφρόμενος ἐξέπτυσα.
κᾆθ' εἷλκον αὐτόν. Βδ. ὁ δὲ τί πρὸς ταῦτ' εἶφ'. Φι. ὅ τι;
ἀλεκτρυόνος μ' ἔφασκε κοιλίαν ἔχειν.
ταχὺ γοῦν καθέψεις τἀργύριον. ἦ δ' ὃς λέγων
Βδ. ὁρᾷς ὅσον περ δῆτα τοῦτο κερδαίνεις;
Φι. οὐ πάνυ τι μικρόν. ἀλλ' ὅπερ μέλλεις ποίει.
Βδ. ἀνάμενε νῦν. ἐγὼ δὲ ταῦθ' ἥξω φέρων.

ἔστι δὲ καὶ ἕτερος Λυσίστρατος, παῖς Μακαρέως, σκωπτόμενος εἰς κιναιδίαν. Ἄλλως. δύο γὰρ δικασταῖς, ἐδίδοτο δραχμὴ μία. καὶ οὕτως ἐμερίζοντο πρὸς τοὺς ὀβολούς. ὡς τοῦ Λυσιστράτου ἅμα αὐτῷ εἰληφότος δραχμὴν ὑπὲρ τοῦ δικαστικοῦ μισθοῦ. καὶ ἐμπεπιστευμένου κερματίσαι αὐτὴν ὥστε μερίσασθαι καὶ παρασχόντος αὐτῷ ἀντὶ ἀργυρίου, λεπίδας ἀγαπητὰς ἔχει τὸ, μόνος λαμβάνειν τοὺς μισθούς. Δραχμὴν μετ' ἐμοῦ λαβών. καθὸ ὡς δύο ἡ δραχμὴ ἐδίδοτο. καὶ αὐτοὶ διῄρουντο κερματίζοντες. ἵνα μὴ οἱ κωλακρέται κέρμα εἰσφέρωσιν.

Ἐν τοῖς ἰχθύσιν. ἐν τοῖς ἰχθυοπώλαις. ἀπὸ τῶν πωλουμένων τοὺς πωλοῦντας εἰπών. λοπίδας δὲ, ἃς ἡμεῖς λεπίδας καλοῦμεν. Κεστρέων. κεστρεὺς εἶδός ἐστιν ἰχθύος ὁ λεγόμενος κέφαλος μεγάλην λεπίδα ἔχον καὶ παχεῖαν. ὡς ὑπόνοιαν αὐτὴν ἔχειν ἀργυρίου. Κἀγὼ 'νέκαψα. ἐνέκαψα. ἐνέθηκα τῷ στόματι. νομίζων εἶναι ἀργύριον. πολλοῖς γάρ ἐστιν ἔθος ἐν τῷ στόματι φυλάττειν τὸ ἀργύριον. Ὠιόμην λαβεῖν. ὅτι δηλοῖ τὸν λεπτὸν ὁποῖος τις ἦν. ἦν δὲ ἀργυρᾶ νομίσματα. ὀσφρόμενος δὲ τῆς δυσωδίας αἰσθόμενος. Ἀλεκτρυόνος μ' ἔφασκεν. ἐπεὶ πάντα πέττουσιν οἱ ἀλεκτρυόνες θερμοτάτην κοιλίαν ἔχοντες. Ταχὺ γοῦν καθέψεις. τοὺς ὀβολοὺς ἀργυροῦς εἴρηκεν. ὡς καὶ ἡμεῖς λέγομεν χαλκοῦς ἀργύρους ὄντας. ἢ καθότι τρεῖς ὀβολοὶ ὄντες, ἀργυροῦν τριώβολον ἐγένοντο. Ἦ δ' ὃς λέγων. ἀντὶ τοῦ ἔφη. καὶ ἔστιν ἀπὸ τοῦ ἠμί. κέχρηται συνεχῶς αὐτῷ ὁ Πλάτων ἐπὶ μέλλοντος μόνου. οἱ δὲ κωμικοὶ καὶ ἐπὶ τῶν ἄλλων χρόνων. Ταῦθ' ἥξω. πρὸς τὸ σχῆμα τοῦ δικαστηρίου ἐστὶ τοῦ δίει.

Κ ἐχάρηκας τῷ ἔθει ἀπὸ ῥήματος παρῳχημένου τοῦ χαίρω. ὁ παρακείμενος κεχάρηκα. Ἡ σηκίς. σηκίδα τὴν κατ' οἶκον διάκονον, ἣν θεράπαιναν λέγουσι. καὶ σεσημειῶσθαί τινας. ὡς ἀπεκδεχομένων τινῶν τὴν σηκίδα ὄνομα. Ταύτης ἐπιβολήν. ταύτης τῆς δίκης μίαν μόνην δραχμὴν ἐπιβολὴν ψηφιεῖ. ἐπιβολὴν δὲ, ἐπιτίμιον ζημίαν παρὰ τὸ ἐπιβάλλειν. Ἄλλως. ἣν οἱ ἄρχοντες ζημίαν ὁρίζουσι τοῖς ἀλοῦσιν ἐξημαρτηκέναι περὶ ὀρφανοὺς ἐπιτρόπους. ἢ καὶ ἄλλοις τισὶ τὰ δημόσια μὴ καλῶς διοικήσαντι ἢ τοῖς κατέχουσι τὰ ἀλλότρια. καὶ μὴ εἰς ἐμφανὲς καθιστᾶσιν, ἐπιβολὴ καλεῖται. καὶ τὸ ῥῆμα ἐπιβάλλειν. Εἵλη κατ' ὄρθρον. εἵλη ἡ τοῦ ἡλίου αὐγὴ, δασέως ληφθέντος δὲ διὰ τοῦ ι, ψιλῶς. γράφεται δὲ καὶ κατ' ὄρθον ἐν πολλοῖς. καὶ ἐξηγούμενος καλλίστρατος, φησί. κατὰ τὸ ὀρθῶς ἔχον. οὐχὶ ἐν τῷ δικαστηρίῳ δ' ἡλιάσεις μήποτε δὲ ψιλῶς προτενεκτέον. παρὰ τὴν ἡλιαίαν, πρὸς ἥλιον δικάσειν ἅμα δὲ παίζει παρὰ τὴν τοῦ ἡλίου ὀνομασίαν. ψυχρῶς δὲ πέπαιχε φησὶν ὁ δίδυμος πρὸς τοὔνομα. ἐπειδὴ γὰρ εἵλη λέγεται ἡ τοῦ ἡλίου αὐγὴ, ἡλιαία δὲ τὸ δικαστήριον, παίζων ἔφησε πρὸς φιλόδικον. ὅτι ἐπειδὰν ἀνάσχῃ ὁ ἥλιος, ἡλιάζειν ἔνεσται σοι. οὕτω δὲ οἱ ἀττικοὶ διὰ τοῦ ι εἵλην λέγουσιν. οὕτω δίδυμος δικάσεις φησὶ πρὸς τὸν ἥλιον καθήμενος ἔπαιξε δὲ παρὰ τὴν ἡλιαίαν τὸ μέγιστον δικαστήριον, ὃ ταύτης καὶ ὀνομασίας ἔτυχε διὰ τὸ ἐν ὑπαίθρῳ αὐτὸ ἀναπεπταμένον βάλλεσθαι τῷ ἡλίῳ. Ὕοντος. ὕοντος τοῦ θεοῦ καὶ νίφοντος γνώσῃ καθήμενος πρὸς τὸ πῦρ τὴν δίκην.

Βδ. σὺ δ' οὖν ἐπειδὴ τοῦτο κεχάρηκας ποιῶν,
ἐκεῖσε μὲν μηκέτι βάδιζ' ἀλλ' ἐνθάδε.
αὐτοῦ μένων, δίκαζε τοῖσιν οἰκέταις.
Φι. περὶ τοῦ. τί ληρεῖς. Βδ. ταὔθ' ἅπερ ἐκεῖ πράττεται.
ὅτι τὴν θύραν ἀνέῳξεν ἡ σηκὶς λάθρα.
ταύτης ἐπιβολὴν ψηφιεῖ μίαν μόνην.
πάντως δὲ κἀκεῖ ταῦτ' ἔδρας ἑκάστοτε.
καὶ ταῦτα μὲν νῦν εὐλόγως ἢν ἐξέχῃ.
εἵλη κατ' ὄρθρον, ἡλιάσει πρὸς ἥλιον.
ἐὰν δὲ νίφῃ, πρὸς τὸ πῦρ καθήμενος.
ὕοντος εἴσει. κἂν ἔγρῃ, μεσημβρινὸς,
οὐδείς σ' ἀποκλείσει. θεσμοθέτης τῇ κιγκλίδι.
Φι. τουτί μ' ἀρέσκει. Βδ. πρὸς δὲ τούτοις, ἢν δίκην
λέγῃ μακράν τις, οὐχὶ πεινῶν ἀναμενεῖς,
δάκνων σεαυτὸν καὶ τὸν ἀπολογούμενον

Κ ἂν ἔγρῃ καὶ βραδέως ἀπὸ τῆς κλίνης ἀναστῇς. οὐδεὶς ἀποκλείσει σε τοῦ δικαστηρίου ὡς βραδέως ἥκοντα. Θεσμοθέτης. ἐπειδὴ θεσμοθέται καὶ δέκατος ὁ γραμματεὺς, κληροῦσι τοὺς δικαστὰς τοὺς τῆς αὐτῆς φυλῆς ἕκαστος. ἀρχῆς δὲ ὄνομα, ὃν τοῖς ψηφίσμασιν ἐχειροτονοῦντο οἱ δικασταί. καὶ ἦρχον αὐτῶν οὕτως, ὡς καὶ δύνασθαι ἐκβαλεῖν καὶ μὴ ἐᾶν εἰσιέναι εἰς τὸ δικαστήριον. εἶχον δὲ καὶ ἑκάστη φυλὴ ἕνα θεσμοθέτην καὶ γραμματέα. εἰς τοὺς τὸ νόμους εἰσηγεῖσθαι.

Δ. ἄκνων σεαυτόν. ἐπειδὴ ἐνίοτε ἀπὸ πείνης ὁ δικαστὴς τὸν λέγοντα καταδικάζει.

Ἐμφανής. ἴσον τῷ ἐναργής. οὐχὶ τῷ φαινόμενος. Σισύραν. σισύρα καλεῖται παρὰ μέν τισιν, ἡ βαίτη. ἔστι δὲ περιβόλαιον ἐκ δερμάτων συνερραμμένων προβάτων ἐχόντων τὰ ἔρια. οἱ δὲ ἀκριβέστεροί φασι, χλαῖναν παλαιὰν εἶναι ἀπηοῖδα. τὴν αὐτὴν δὲ καὶ σισύραν καλοῦσι καὶ σισύρνας. Νενουθέτηκεν αὐτόν. ὁ χορὸς ἀναδέχεται τὸ πρόσωπον τοῦ φιλοκλέωνος. μετέγνω φησὶν ἐπὶ τοῖς πεπραγμένοις πάλαι αὐτῷ. Μή μοι τούτων. ἐξ ἱππολύτου εὐριπίδου. Κεῖθι. ἐν τοῖς δικαστηρίοις. Τίς ἀψήφιστος. ἔνθα ἐν ταῖς δημοσίαις δίκαις εἰς ταὐτὸ συναγόμενοι οἱ δικασταί, τοῦ κήρυκος τὴν κληρωτίδα ἤτοι τὸν κάδον προσφέροντος. ἔβαλον τὰς ψήφους. ἔνιοι δὲ ὑπὸ φιληδίας κατεῖχον αὐτάς. Ἄλλως. ἐνίοτε μέν φησιν, ἔφερον στάμνον. καὶ ἐνέβαλον καθήμενοι οἱ δικασταὶ τὰς ψήφους. ἐνίοτε δὲ καὶ αὐτοὶ ἐγειρόμενοι ἔβαλλον. τοῦτο οὖν λέγει. ὁ μὴ ἐψηφοφορηκώς, ἐγερθεὶς βαλλέτω. Πάρες ὦ σκιερά. παρὰ τὰ ἐκ βελλεροφόντου. παίζει ταῦτα. πάρεσ᾽ ὦ σκιερὰ φυλλάς, ὑπερβῶ κρηναῖα νάπη. τὸν ὑπὲρ κεφαλῆς αἰθέρ᾽ ἰδέσθαι σπεύδω. τίνα ἔχει στάσιν ἐνοδίας. Κλέπτοντα. ἀπειλεῖ καταδικάσειν τὸν κλέωνα. εἰ λάβοι αὐτόν. ἐγκαλούμενον κλοπῆς. τὸ δὲ ὅλον βούλεται διαβάλλειν τὸν δικαστικὸν τρόπον ὡς σκληρὸν καὶ ἄπιστον. ὅποτε. οὐδὲ τῷ κλέωνι ἀφ᾽ οὗ τὸ ὄνομα ἔχει ὁ φιλοκλέων, πιστόν τι φυλάττει. Ἅδης διακρινεῖ. ἐν κρήσσαις εὐριπίδου ὁ ἀτρεὺς πρὸς τὴν ἀερόπην κρινεῖ ταῦτα.

σοὶ δὲ νῦν τις τῶν θεῶν παρὼν ἐμφανὴς
ξυλλαμβάνει τοῦ πράγματος.
καὶ δῆλος εὖ ποιῶν, σὺ δ᾽ αὖ παρὼν δέχου.
Βδ. καὶ μὴν θρέψω γ᾽ αὐτὸν παρέχων
ὅσα πρεσβύτῃ ξύμφορα. χόνδρον
λείχειν. χλαῖναν μαλακήν. σισύραν.
πόρνην ἥτις τὸ πέος τρίψει καὶ τὴν ὀσφῦν.
ἀλλ᾽ ὅτι σιγᾷ κοὐδὲν γρύζει,
τοῦτ᾽ οὐ δύναταί με προσέσθαι.
Χο. Νενουθέτηκεν αὐτὸν ἐς τὰ πράγματα.
οἷς τότ᾽ ἐπεμαίνετ᾽. ἔγνωκε γὰρ ἀρτίως ὅτι
λογίζεταί τ᾽ ἐκεῖνα πάνθ᾽ ἁμαρτίας,
ἃ σοῦ παρακελεύοντος οὐκ ἐπείθετο.
νῦν οὖν ἴσως τοῖς σοῖς λόγοισι πείθεται.
καὶ φρονεῖ μέντοι μεθιστὰς ἐς τὸ λοιπὸν τὸν τρόπον.
πειθόμενός τε σοί γ᾽. Φι. ἰώ μοί μοι. Βδ. οὗτος τί μοι (βοᾷς.
Φι. μή μοι τούτων μηδὲν ὑπισχνοῦ.
κείνων ἔραμαι. κεῖθι γενοίμαν.
ἵν᾽ ὁ κῆρυξ φησὶ τίς ἀψήφιστος ἀνιστάσθω.
κἀπισταίην ἐπὶ τοῖς κημοῖς,
ψηφιζομένων ὁ τελευταῖος.
σπεῦδ᾽ ὦ ψυχή. ποῦ μοι ψυχή.
πάρες ὦ σκιερά. μὰ τὸν ἡρακλέα.
μὴ νῦν ἔτ᾽ ἐγὼ ᾽ν τοῖσι δικασταῖς,
κλέπτοντα κλέωνα λάβοιμι.
Βδ. ἴθ᾽ ὦ πάτερ πρὸς τῶν θεῶν ἐμοὶ πιθοῦ.
Φι. τί πείθομαί σοι. Βδ. λέγ᾽ ὅτι βούλει πλὴν ἑνός.
Φι. ποίου φέρ᾽ ἴδω. Βδ. τοῦ μὴ δικάζειν. Φι. τοῦτο δὲ,
ᾅδης διακρινεῖ πρότερον, ἢ ᾽γὼ πείσομαι.

ἔδωσι γὰρ ἐπὶ ἄρχοντος Ἰσάρχου, ἐστράτευσαν ἐπ' αὐτὴν ὡς Φιλόχορος. μήποτε δὲ περὶ τῆς Αἰγυπτίου δωρεᾶς ὁ λόγος. ἣν Φιλόχορος Ψαμμήτιχον πέμψαι τῷ δήμῳ ἐπὶ Λυσιμαχίδου μυριάδας. πλὴν τὰ τοῦ ἀριθμοῦ, οὐδαμῶς συμφωνεῖ. ἑκάστῳ δὲ αὐτῶν πέντε μεδίμνους. τοὺς γὰρ λαβόντας, γενέσθαι μυρίους τετρακισχιλίους διακοσίους μ. Ἄλλως. σιτοδείας ποτὲ γενομένης ἐν τῇ Ἀττικῇ. Ψαμμήτιχος ὁ τῆς Λιβύης βασιλεὺς, ἀπέστειλε σῖτον τοῖς Ἀθηναίοις αἰτήσασιν αὐτόν. τῆς δὲ διανομῆς γινομένης τοῦ σίτου, ξενηλασίαν ἐποίησαν Ἀθηναῖοι. καὶ ἐν τῷ διακρίνειν τοὺς αὐθιγενεῖς. εὗρον καὶ ἑτέρους τετρακισχιλίους ἑξακοσίους ἑξήκοντα ξένους παρεγγεγραμμένους. τοῦτο οὖν φησι καὶ ἐνθάδε δυνᾶσθαι. μόλις ἔλαβες πέντε μεδίμνους. ἐγκαλούμενος ὡς ξένος. καὶ τούτους. οὐδὲ ὑφ' ἓν ἐν συντομίᾳ. ἀλλὰ κατὰ μέρος κατὰ χοίνικα. οὐδὲν διαφέροντος τοῦ σίτου κριθῶν ὡς κακοῦ σίτου διανεμηθέντος. ὡς λιμοῦ γινομένου. καὶ τῶν ξένων διακριθέντων τουτέστι δοκιμαζομένων εἰ πολίτης εἴη ἢ μή. Στεμφάζοντας. ἐπ' ὀργῷ γελῶντας καὶ στομφάσαι τὸ ἀλαζονεύεσθαι. σύνθετος δὲ ἡ λέξις ἀπὸ τοῦ στόματος καὶ τῆς ὄμφακος. Κωλακρέτου. περιφραστικῶς τὸν δικαστικὸν μισθόν. παρ' ὑπόνοιαν δὲ δέον εἰπεῖν ζώου τινός. Πρὶν ἂν ἀμφοῖν. κατὰ τὸ μηδὲ δίκην δικάσῃς πρὶν ἂν ἀμφοῖν μῦθον ἀκούσῃς. ὑγιῶς δὲ νῦν τὸ ἀμφοῖν κεῖται. τοὺς σκίμπωνας δὲ τὰς βακτηρίας. ἀτενὴς δὲ μανικός. διὰ τὸ ἀεὶ ἀτενὲς βλέπειν τοὺς μανίᾳ κατεχομένους, ἀτενῆ τὸν μανικὸν νῦν εἴρηκεν. ἠγριωμένοι γάρ εἰσι καὶ ὕφαιμοι τῶν τοιούτων οἱ ὀφθαλμοί. Ἀτεράμων. οἱονεὶ μὴ τεράμων, ἀλλὰ σκληρός. ἔνθεν γὰρ καὶ ἀτεράμνα ὄσπρια φαμὲν, τὰ μὴ ἑψόμενα διὰ σκληρότητα. παρὰ τὸ, τέρεν κατὰ δάκρυ χέουσα. καὶ Πλάτων κέχρηται τῇ λέξει. κερασβόλους καὶ ἀτεράμνους λέγων τοὺς σκληρούς. διὰ τούτων. μή τις γένηται τῶν πολιτῶν κερασβόλος ἢ ἀτέραμνος. φασὶ γὰρ τὰ κατὰ τῶν κεράτων βληθέντα σπέρματα, ἀτεράμνα γίνεσθαι.

καὶ ταῦτα μόλις ξενίας φεύγων
ἔλαβες κατὰ χοίνικα κριθῶν.
ὧν εἵνεκ' ἐγώ σ' ἀπέκλειον ἀεί.
βόσκειν ἐθέλων καὶ μὴ τούτους
ἐγχάσκειν σοι στομφάζοντας
καὶ νῦν ἀτεχνῶς ἐθέλω παρέχειν
ὅ,τι βούλει σοι
πλὴν κωλακρέτου γάλα πίνειν.

ΣΤΡΟΦΗ ΣΤΙΧΩΝ, ΙΑ'.

ΧΟ. ἦ που σοφὸς ἦν, ὅστις ἔφασκε πρὶν ἂν, ἀμφοῖν μῦθον ἀκούσῃς
οὐκ ἂν δικάσαις. σὺ γὰρ οὖν νῦν μοι νικᾶν πολλῷ δεδόκησαι
ὥστ' ἤδη τὴν ὀργὴν χαλάσας, τοὺς σκίμπωνας καταβάλλω.
ἀλλ' ὦ τῆς ἡλικίας ἡμῖν τῆς αὐτῆς συνθιασῶτα
πιθοῦ πιθοῦ λόγοισι. μηδ' ἄφρων γένῃ
μηδ' ἀτενὴς ἄγαν γ' ἀτεράμων τ' ἀνήρ.
εἴθ' ὤφελέ μοι κηδεμὼν ἢ ξυγγενὴς
εἶναί τις. ὅστις δὴ τοιαῦτ' ἐνουθέτει

Ὥσπερ ἄλευρον. ἡ εἰκὼν, ἀπὸ τῶν σφόδρα ἀσθενούντων. οἱ γὰρ κατὰ μικρὸν βουλόμενοι βάλλειν, ἐρίῳ ἐνστάζουσι. Τιθασευτήν. ἐν σ' διὰ τὸ μέτρον. τὸν θεραπεύοντά σε καὶ τρέφοντα καὶ κολακεύοντα. Ἐπισίξῃ. Λυκόφρων καὶ οἱ περὶ Ἐρατοσθένην τὸ ἐπαφιέναι τοὺς κύνας, ἐπισίζειν. ἀπὸ τῆς ἐπιφθέγξεως σίου, ἐπισίζειν καὶ τὸ ἐπιρρύξαι. ἐφορμῆσαι ὁμοίως τῇ φωνῇ. Πόλεις χίλιαι. αὗται οὐ πολλαί. τῷ ἀπηρτισμένῳ ἀριθμῷ ἐχρήσατο. ἢ καὶ ἀπὸ ἱστορίας τὸ τοιοῦτον ἔλαβεν. Δύο

ἐντάξουσι κατὰ μικρὸν ἀεὶ τοῦ ζῆν ἕνεχ' ὥσπερ ἄλευρον.
βούλονται γάρ σε πένητ' εἶναι. καὶ τούτων ἕνεκ' ἐρέω σοι.
ἵνα γινώσκῃς τὸν τιθασευτήν. κᾆθ' ὅταν οὗτός γ' ἐπισίξῃ.
ἐπὶ τῶν ἐχθρῶν τιν' ἐπιρρύξας, ἀγρίως αὐτοῖς ἐπιπηδᾷς.
εἰ γὰρ ἐβούλοντο βίον πορίσαι τῷ δήμῳ, ῥᾴδιον ἦν ἄν.
εἰσίν γε πόλεις χίλιαι. αἳ νῦν τὸν φόρον ἡμῖν ἀπάγουσι.
τούτων εἴκοσιν ἄνδρας βόσκειν εἴ τις προσέταξεν ἑκάστῃ,
δύο μυριάδες τῶν δημοτικῶν ἔζων ἐν πᾶσι λαγῴοις.
καὶ στεφάνοισιν. παντοδαποῖσιν. καὶ πυῷ. καὶ πυριάτῃ.
ἄξια τῆς γῆς ἀπολαύοντες, καὶ τοῦ 'ν Μαραθῶνι τροπαίου.
νῦν δ' ὥσπερ ἐλαιολόγοι, χωρεῖθ' ἅμα τῷ τὸν μισθὸν ἔχοντι.
ΦΙ. οἴμοι. τί ποθ' ὥσπερ νάρκη μου κατὰ τῆς χειρὸς καταχεῖται,
καὶ τὸ ξίφος οὐ δύναμαι κατέχειν. ἀλλ' ἤδη μαλθακός εἰμι.
ΒΔ. ἀλλ' ὁπόταν μὲν δείσωσ' αὐτοί, τὴν Εὔβοιαν διδόασιν.
ὑμῖν. καὶ σῖτον ὑφίστανται κατὰ πεντήκοντα μεδίμνους.
ποριεῖν. ἔδοσαν δ' οὐπώποτέ σοι, πλὴν πρώην πέντε μεδίμνους

μυριάδες. ἐκ τοῦ ὅλου φαίνεται περὶ τοσοῦτον ἀριθμὸν τῶν Ἀθηναίων πλῆθος προΐστασθαι καὶ Δημοσθένης γάρ φησιν ἐστὲ δ' ὁμοῦ δισμύριοι πάντες Ἀθηναῖοι. Ἐν πᾶσι λαγῴοις. ἐν κρέασι λαγῷν. ἐν ἀγαθοῖς πᾶσι. τοῦτο γὰρ δηλοῖ τὸ ἐν πᾶσι λαγῴοις. αὐτὴ τῶν ἐν τρυφῇ. Καὶ πυῷ καὶ πυριάτῃ. πυριάτης τὸ πυρίεφθον ὑπό τινων προσαγορευόμενον. ὃ κατασκευάζουσιν ἐκ τοῦ πρώτου γάλακτος μετὰ τὸν τόκον, πυὸν δαινόμενοι, καὶ ἐμπιπλάμενοι πυριάτην. ὅθεν τισὶν ἔδοξε, πυὸν μὲν εἶναι τὸ πρῶτον γάλα οὕτω λαμβανόμενον. πυριάτην δὲ τὸ ἑφθὸν γάλα. ὁ δὲ Παλαμήδης, τὸ αὐτὸ λέγων εἶναι γράφει. ἔθος γὰρ τοῖς ποιηταῖς, παραλλήλοις λέξεσιν ἰσοδυναμούσαις χρῆσθαι. Τοῦ 'ν Μαραθῶνι. ἐκεῖ γὰρ οἱ Ἀθηναῖοι ἐνίκησαν τοὺς Μήδους. Ἐλαιολόγοι. εὐτελεῖς γὰρ οἱ τὰς ἐλαίας μισθοῦ συνάγοντες. Καὶ τὸ ξίφος οὐ δύναμαι. ὡς ὁ Μενέλαος. τοῦτον γάρ φασιν ὁρμήσαντα ἐπὶ τὴν Ἑλένην ἀποβαλεῖν τὸ ξίφος. ἡ δὲ ἱστορία, παρ' Ἰβύκῳ καὶ Εὐριπίδῃ. παίζει δέ, ἐπειδὴ ξίφος ἦν τότε. καὶ ὀρχέων τὸν κατακρατηθέντα. Αὐτοὶ τὴν Εὔβοιαν. οἱ ῥήτορες τῷ λόγῳ καὶ τὴν Εὔβοιαν διδόασιν. Ἄλλως. τὴν Εὔβοιαν φασὶν αὐτοὶ κατανενεμηκέναι ὑμῖν. καὶ κλῆρον ἑκάστῳ μεδίμνων ἐν τοιούτῳ σχήματι εἴρηκεν. Ξενίας φεύγων. τοιοῦτόν τι παρόσον ἐν ταῖς διανομαῖς τῶν πυρῶν ἐξήταζον τὸ ἀκριβὲς οἱ τότε πολῖται. καὶ μή. ὥστε δοκεῖν ξενίας φεύγειν εἰς κρίσιν καθισταμένοις. φησὶ γὰρ ὁ Φιλόχορος αὖθις ποτέ, τετρακισχιλίους ἑπτακοσίους ξ' ὀφθῆναι παρεγγράφους. καθάπερ ἐν τῇ προκειμένῃ λέξει δεδήλωται περὶ τὴν Εὔβοιαν. δύναται καὶ αὐτὰ συνᾴδειν ταῖς διδασκαλίαις.

μαγωγῶν τὰ πλήθη κολακευόντων ὥς φησιν Ἀριστοτέλης ἐν πολιτείαις. κατάπυγον δὲ τὸ πεπορνευμένον. Χαιρέου υἱός. οἷον οὐδὲ γνήσιος πολίτης. τὸν γὰρ Χαιρέαν Εὔπολις ἐν Βάπταις, ὡς ξένον κωμῳδεῖ. τρυφερανθεὶς. ἀντὶ τοῦ μαλακῶς σταθεὶς. τὸ τριώβολον οὐ κομιεῖται. ὡς ἔθους ὄντος, πρὸς σημεῖόν τι ἐκκείμενον, ἀθροίζεσθαι τοὺς δικαστάς. ἐν ἤθει δὲ ταῦτα. Αὐτὸς δὲ φέρει τὸ συνηγορικόν. ὑπὲρ τοῦ συνηγορῆσαι. ἐλάμβανον γὰρ οἱ ῥήτορες δραχμὴν, ὅτι συνηγόρουν ὑπὲρ τῆς πόλεως ἢ ὑπὲρ ἄλλου τινός. ἐκ τούτου δὲ φαίνεται ὅτι μισθοφόρος ἦν ἡ ἀρχή. κληρωτοὺς δὲ γενομένους δέκα συνηγόρους Ἀριστοτέλης φησίν. Κᾆθ' ὡς πρίονα. ὡς οἱ πρίζοντες διαφέλκουσι, τίς πρὸς ἑαυτὸν ἑλκύσει.

ὅταν εἰσελθὸν μειράκιόν σοι κατάπυγον Χαιρέου υἱὸς,
ὡδὶ διαβὰς διακινηθεὶς τῷ σώματι, καὶ τρυφερανθεὶς,
ἥκειν εἴπῃ πρῲ κἀν ὥρᾳ δικάσονθ' ὡς ὅστις ἂν ὑμῶν
ὕστερος ἔλθῃ τοῦ σημείου, τὸ τριώβολον οὐ κομιεῖται.
αὐτὸς δὲ φέρει τὸ συνηγορικὸν, δραχμὴν, κἂν ὕστερος ἔλθῃ.
καὶ κοινωνῶν τῶν ἀρχόντων ἑτέρῳ τινὶ τῶν μεθ' ἑαυτοῦ
ἤν τίς τι διδῷ τῶν φευγόντων ξυνθέντε τὸ πρᾶγμα δύ' ὄντε,
ἐσπουδάκατον. κᾆθ' ὡς πρίον' ὁ μὲν, ἕλκει, ὁ δ' ἀντενέδωκεν.
σὺ δὲ χασκάζεις τὸν κωλακρέτην. τὸ δὲ πραττόμενόν σε λέληθεν.

Φι. ταυτί με ποιοῦσ'; οἴμοι τί λέγεις. ὥς μου τὸν θῖνα ταράττεις.
καὶ τὸν νοῦν μου προσάγεις μᾶλλον. κοὐκ οἶδ' ὅτι χρῆμά με ποιεῖς.

Βδ. σκέψαι τοίνυν ὡς ἐξόν σοι πλουτεῖν καὶ τοῖσιν ἅπασιν
ὑπὸ τῶν ἀεὶ δημαζόντων, οὐκ οἶδ' ὅποι ἐγκεκύκλησαι.
ὅστις πόλεων ἄρχων πλείστων, ἀπὸ τοῦ πόντου μέχρι σαρδοῦς
οὐκ ἀπολαύεις πλὴν τοῦθ' ὃ φέρεις ἀκαρῆ, καὶ τοῦτ' ἐρίῳ σοι.

Σὺ δὲ χασκάζεις. ἀντὶ τοῦ ἀποτηρεῖς, πότε ἔλθῃ ὁ κωλακρέτης καὶ ἐνέγκῃ σοι τὸ τριώβολον. κωλακρέτης δὲ καλεῖται, ὁ κατέχων τὰ χρήματα τῆς πόλεως ὁ ταμίας τοῦ δικαστικοῦ μισθοῦ καὶ τῶν εἰς θεοὺς ἀναλωμάτων. νόμος δὲ ἦν τὰ ὑπολειπόμενα τῆς θυσίας τοὺς ἱερέας λαμβάνειν. ἅπερ ἐστὶν δέρματα καὶ κωλαί. ἀποτηρεῖς φησὶ τὸν ταμίαν, πότε τὸν μισθὸν λήψῃ. Τὸν θῖνα ταράττεις. ἐκ βυθοῦ με κινεῖς. ἀντὶ τοῦ τὴν καρδίαν. Σωφρόνιος δὲ καὶ σεσημειῶσθαί φησιν, ὅτι τὸν θῖνα ἀρσενικῶς εἴρηκεν. παρόσον καὶ ὁ θὶς, ἐν βάθει τοῦ πελάγους κεῖται. καὶ τὸ θυμικὸν ἐν τῇ καρδίᾳ. Κοὐκ οἶδ' ὅτι χρῆμά ἐστι, τί με διαθήσεις. τοῦτο δέ φησιν ὁ πτώμενος ἤδη καὶ δεδοικὼς, ὅτι ἐπὶ ξίφους τὸ τῆς δημηγορίας ἦν αὐτῷ. Δημαζόντων. τῶν τὸν δῆμον ἀπατώντων. ἐγκεκύκλησαι δὲ μεταβέβλησαι. Πλὴν τοῦθ' ὃ φέρεις. τοῦτο ὃ φορεῖς ἱμάτιον. τὸ δὲ ἀκαρῆ, ἐπίρρημα ἀντὶ τοῦ βραχὺ καὶ οἰκτρόν. Καὶ τοῦτ' ἐρίῳ σοι. ἀπὸ μεταφορᾶς τῶν τὰ ὦτα ἀλγούντων. καὶ δι' ἐρίου ἀποσταζομένων ἔλαιον καταβραχύ. ἐκ γὰρ τοῦ τριωβόλου φερόμενοι. καὶ εἰς κατασκευὴν ἱματίου θησαυρίζοντες ὀλίγον, διὰ πολλοῦ χρόνου μόλις συνάγουσι τὴν πλήρη τιμὴν τοῦ ἱματίου.

ὀξύβαφα· ἐξ ὧν τοὺς κύβους ὑφίεσαν. πυξίδια δὲ ἦν ταῦτα. Ἄλλως. Ἐκ κη/θαρίου, τὰ ἐκπέταλα τρύβλια. ὁ Εὐφρόνιος κήθια. μικρὸν οὖν ῥοφῶντα ἐκ τρυ/βλίου καὶ τρωγαλίζοντα. οἷον κυάμους καὶ ὅσα τοιαῦτα. οὐκ ἔστι δὲ, ἀλλ' ἀγγεῖον πλε/κτὸν εἰς ὃ τὰς ψήφους καθιᾶσι τὸ κήθιον. οἷον ὡς ἀπὸ τοῦ ψηφοφορεῖν μόνον. καὶ Χάρις δὲ τὸ κήθιον τρυβλίου τι εἶδος. καὶ τὸ λαγαρίζειν, τὸν ἀποτρώγοντα. θηλά/ζειν. μήποτε μέντοι καὶ πρὸς τὴν τῶν κύβων παιδιὰν ὁμοίως ἐχρῶντο τινὶ βαλ/

σὲ μὲν ἡγοῦνται Κόννου ψῆφον· τούτοισι δὲ δωροδοκοῦσιν
ὕρχας, οἶνον, δάπιδας, τυρόν, μέλι, σήσαμα, προσκεφάλαια,
φιάλας, χλανίδας, στεφάνους, ὅρμους, ἐκπώματα, πλουθυγίειαν·
σοὶ δ' ὧν ἄρχεις, πολλὰ μὲν ἐν γῇ, πολλὰ δ' ἐφ' ὑγρᾷ πιτυλεύσας,
οὐδεὶς οὐδὲ σκορόδου κεφαλὴν τοῖς ἑψητοῖσι δίδωσι.

ΦΙ. μὰ Δί', ἀλλὰ παρ' Εὐχαρίδου καὐτὸς τρεῖς ἄγλιθας μετέπεμψα.
ἀλλ' αὐτήν μοι τὴν δουλείαν οὐκ ἀποφαίνων, ἀποκναίεις.

ΒΔ. οὐ γὰρ μεγάλη δουλεία 'στὶν, τούτους μὲν ἅπαντας ἐν ἀρχαῖς
αὐτούς τ' εἶναι, καὶ τοὺς κόλακας τοὺς τούτων, μισθοφοροῦντας.
σοὶ δ' ἤν τις δῷ τοὺς τρεῖς ὀβολούς, ἀγαπᾷς· οὓς αὐτὸς ἐλαύνων,
καὶ πεζομαχῶν καὶ πολιορκῶν, ἐκτήσω πολλὰ πονήσας.
καὶ πρὸς τούτοις, ἐπιταττόμενος φοιτᾷς, ὃ μάλιστά μ' ἀπάγχει.

λοντος ἐξ αὐτοῦ. καὶ γὰρ Ἕρμιππος ἐν θε/οῖς· καὶ πρὸς κύβους ἕστηκ' ἔχων κήθιον. τὸ δὲ λαγαρύζεσθαι, ἕτερόν τι ἔοικεν ἐμ/φαίνειν. Φερεκράτης μυρμηκανθρώποις· ἀεὶ οὖν λέγοι. ἤ/τι ἐκ τῶν ἀγγείων τῆς ψήφου, ἀποξύοντα τὸν μισθὸν ἐξ ἀγ/γους τινὸς ἤγουν ἐκ τοῦ, οἷον ὁ κάρταλος. τρα/γαλιζόμενον ὡς ἂν πένητας. λαγαρυζόμενον δὲ, ἀντὶ τοῦ ἀποξύοντα. ὡς ἀπὸ τῶν δι/καστικῶν ἀγγείων. ταῦτα δὲ ὡς περὶ πενήτων. Κόννου ψῆφον. κιθαρῳδὸς ἦν νέ/ος. ἔστι δὲ παροιμία ἐπὶ τῶν μηδὲν ἀξίων. Καλλίστρατος δὲ παροιμίαν φησὶ, Κόν/νου θρῖον. παρ' ἣν παίζει. Εὐφρόνιος δὲ, ὅτι ἐλέγχει διὰ τὸ ἡδύν τινα τὸν Κόννον εἶναι. οἱ δὲ, Κόννον λέγουσι τὸν κιθαριστήν. μήποτε δὲ οὐδὲ ἔστι Κόννος· ἀλλὰ Κοννᾶς, ὃν προ/σεχεκλεῖον ὡς Μίδας. Κόννου ψῆφος· οἷον τὸ μηδέν. Ἄλλως. Κόννος εὐτελής. Κόν/νος γὰρ τὰ πατρῷα κατέφαγε καὶ πένης ἦν. ψῆφον δὲ εἶπε διὰ τὸ περὶ δικαστοῦ λέγειν. Ὕρχας. κεράμια ἀγγεῖα ὑποδεκτικὰ ταρίχων, δύο ὦτα ἔχοντα.

Δάπιδας. τὰς ψιλὰς καὶ μὴ μαλλωτὰς δάπιδας λέγουσι καὶ δάπισι τοὺς τάπη/σιν. ἐν δὲ τισὶ τῶν ἀντιγράφων δάπισιν εὕρηται ἐν τῷ Πλούτῳ· οὐδ' ἐν δάπισιν ἔστι καταδαρθεῖν ἀντὶ τοῦ ταπήτων. Πιτυλεύσας. πίτυλος καλεῖται, ἡ καταβο/λὴ τῆς κώπης καὶ κτυπητής. φαντασιοσκόπος. καὶ πιτυλίζω ῥῆμα. ὡς τὸ, οἷόν ἐστιν ἰχθύων γένεσιν ἰδεῖν ἐν κολύμβοις πιτυλίζουσαν. τοῖς ἑψητοῖσι δὲ τοῖς ἰχθυ/δίοις. Ἄγλιθας. αἱ κεφαλαὶ τῶν σκορόδων. ἐξηγεῖται δὲ τὰς ἄγλιθας. προεῖπε γὰρ, οὐδεὶς οὐδὲ σκορόδου κεφαλὴν τοῖς ἑψητοῖσι δίδωσιν. εὔηθες δὲ καὶ τὸ μετέ/πεμψα ἀντὶ τοῦ μετεπεμψάμην. Εὐχαρίδης δὲ, ὄνομα σκοροδοπώλου. Ἀπο/κναίεις. λυπεῖς. ὀδυνᾷς. ἀπολλύεις. ἀποκόπτεις. παρεκτείνεις. ποῦ καθεύδεις; οὐ μὴ ἀποκναίσεις περιπατῶν. Μένανδρος μισουμένῳ. Τοὺς τρεῖς ὀβολούς. τὸν φόρον λέγει ἀφ' ὧν ἐδίδοτο τὸ τριώβολον. τοῦτο δὲ, ἄλλο τι ἄλλως ἐδίδοτο τῶν δι/

Καὶ χρή. καὶ ὡς ἀνδροφόνος λογισθῶ καὶ τῶν θυσιῶν μὴ μεταλάβω. κατὰ τὸ ἔθος ἐστὶν, ὅτι οἱ ἀνδροφόνοι οὐ μεταλαμβάνουσι θυσιῶν. Χαλάσας. παυσάμενος τῆς ὀργῆς. ἔθος γὰρ ὀργιζομένοις αἴρειν τὰς ὀφρῦς. Μὴ ψήφοις. πολλαχοῦ δῆλον, ὅτι ψήφοις ἐλογίζοντο οἱ παλαιοί. ἀφ' οὗ τὸ ψηφίζειν. νῦν δὲ καὶ ταῖς δικαστικαῖς ψήφοις προσπαίζει. τὸ δὲ ἁπλῶς, ἀφελῶς. ὡς φιλόδικος δεῖται ψήφοις. Κἄξω τούτου. καὶ τὴν ἔξω διδομένην τοῖς δικασταῖς δραχμήν. ἑκατοστὰς δὲ, τὰς ὑπὲρ τοῦ τέλους χορηγουμένας ἀπὸ τῶν πόλεων. Πρυτανεῖα. ἃς κατέβαλλον δὲ κατὰ τῶν χρεῶν οἱ δανεισταὶ ὑπὲρ παραστάσεως τῶν χρεωφειλῶν. ὡς ἅπαντα τὰ δὲ ὅσα ὑπὲρ ἧσαν τέλη. καὶ τὰ ὑπὲρ τῶν μετάλλων τοῦ ἀργυρίου εἰσοδιαζόμενα φησί. καὶ τὰ ἀπὸ τῆς ἀγορᾶς καὶ τῶν λιμένων τέλη ὑπομιμνήσκει. Δημιόπρατα. ἐδήμευον γὰρ τινὰς καὶ τὰς οὐσίας αὐτῶν κοινὰς ἐποιοῦντο. Τάλαντ' ἐγγύς. τὸ ἐγγὺς ἀντὶ τοῦ ὁμοῦ. τοῖς ἑξακισχιλίοις γάρ φησιν ἑκατὸν πεντήκοντα τάλαντα τοῦ ἐνιαυτοῦ. Ἑκατὸν δήπου καὶ ν'. εἰς ι' μῆνας λογίζεται τὸν ἐνιαυτόν. ὡς τῶν β' εἰς ἑορτὰς προχωρούντων. ἑκάστῳ γὰρ τριώβολον τοῦ μηνὸς, ιε' τοῦ μηνὸς τάλαντα ἐποίει. ὡς ἐκ τῶν ἑξῆς δῆλον γίνεται. Ἐς τούτους. οὐ τὸ μὴ ὡς ἔτυχεν εἰπεῖν τὸ πλῆθος. ἀλλ' ἀταξίαν προσονειδίσαι. περιπεφθεὶς δὲ ἀπατηθείς. Τοὺς ἀργελόφους. τὰ περιττὰ καὶ ἄχρηστα. ἀργέλοφοι γὰρ τῆς μηλωτῆς οἱ πόδες. οὓς προσέθηκας καλοῦσι καὶ οὔπω ἄχρηστοι. Ἐκ κηθαρίου. σύρφακα. δίκαιον τὸ πλῆθος τῶν δικαστῶν τὸν ὀχλώδη καὶ συρφετώδη. ἐξ εὐτελῶν τρεφόμενον. κηθάριον γὰρ ἀγγεῖον ἐστὶ κανισκῶδες, ἀποτιθέμενον τῇ κληρώσει τῶν ψήφων. λαγαριζόμενον δὲ, τὰ λάγανα ἐσθίοντα. ὅ ἐστιν εὔπρατα καὶ εὐτελῆ τινά. ἢ κηθάρια τὰ ὀξύβαφα.

Βδ. ἀκρόασαί νυν ὦ παππίδιον χαλάσας ὀλίγον τὸ μέτωπον.
καὶ πρῶτον μὲν λόγισαι φαύλως μὴ ψήφοις, ἀλλ' ἀπὸ χειρὸς,
τὸν φόρον ἡμῖν ἀπὸ τῶν πόλεων συλλήβδην τὸν προσιόντα.
κἄξω τούτου τὰ τέλη χωρὶς, καὶ τὰς πολλὰς ἑκατοστάς.
πρυτανεῖα. μέταλλ'. ἀγοράς. λιμένας. μισθοὺς. καὶ δημιόπρατα.
τούτων πλήρωμα, τάλαντ' ἐγγὺς δισχίλια γίγνεται ἡμῖν.
ἀπὸ τούτων νῦν μισθὸν κατάθες τοῖσι δικασταῖς τοῦ ἐνιαυτοῦ.
ἓξ χιλιάσιν, κοὔπω πλείους ἐν τῇ χώρᾳ κατένασθε.
γίγνεται ἡμῖν ἑκατὸν δήπου καὶ πεντήκοντα τάλαντα.
Φι. οὐδ' ἡ δεκάτη τῶν προσιόντων ἡμῖν ἄρ' ἐγίγνεθ' ὁ μισθός.
Βδ. μὰ Δί' οὐ μέντοι. καὶ ποῖ τρέπεται δὴ 'πειτα τὰ χρήματα τἄλλα.
Φι. ἐς τούτους. τοὺς, οὐχὶ προδώσω τὸν Ἀθηναίων κολοσυρτόν.
ἀλλὰ μαχοῦμαι περὶ τοῦ πλήθους ἀεί. Βδ. σὺ γὰρ ὦ πάτερ αὐτοὺς
ἄρχειν αἱρεῖ σαυτοῦ, τούτοις τοῖς ῥηματίοις περιπεφθείς.
κᾆθ' οὗτοι μὲν δωροδοκοῦσι κατὰ πεντήκοντα τάλαντα.
ἀπὸ τῶν πόλεων. ἐπαπειλοῦντες τοιαυτὶ, κἀναφοβοῦντες.
δώσετε τὸν φόρον. ἢ βροντήσας τὴν πόλιν ὑμῶν ἀνατρέψω.
σὺ δὲ τῆς ἀρχῆς ἀγαπᾷς τῆς σῆς, τοὺς ἀργελόφους περιτρώγων.
οἱ δὲ ξύμμαχοι ὡς ᾔσθοντο τὸ γε τῶν μὲν σύρφακα τὸν ἄλλον
ἐκ κηθαρίου λαγαριζόμενον καὶ τραγαλίζοντα τὸ μηδὲν,

τὰ ἔμελλον δρᾷν. Ταύτῃ κράτιστος. τῷ αὐτῷ τρόπῳ ἐν τῷ δημηγορεῖν, ἢ τοι ταύτῃ τῇ γνώμῃ. ὅτι τοῦ δικάζειν βέλτιόν ἐστι τὸ ἔνδον καθέζεσθαι. ἢ ἀπὸ μεταφορᾶς τῶν πυκτῶν τῶν κατὰ τὴν ἑτέραν χεῖρα τὴν δύναμιν ἐχόντων. Ὡς δὲ πάλαι τ' ἐπελήλυθεν. θαυμάζει ὁ χορὸς φιλοκλέωνος τὴν κατάστασιν. Δικάζειν. δέον εἰπεῖν οἰκεῖν. δικάζειν εἶπεν ὡς φιλόδικος. Σκορδινᾶται. σκορδινᾶσθαι ἐστὶν, ὃ ποιοῦσιν οἱ ἐξ ὕπνου ἀνιστάμενοι. καὶ μετὰ χάσμης τὰ μέλη ἐκτείνοντες. φησὶν οὖν ὅτι χασμᾶται καὶ διατείνεται ὑπὸ τῆς ἀθυμίας. Σκύτη βλέπειν. ὅ ἐστι πληγάς σοι ἐμβαλῶ. παροιμία δὲ ἐλέγετο ἐπὶ τῶν δειλιώντων. Ἄλλως. μέμνηται τῆς παροιμίας οὐ πόλις ἐν χρυσῷ γένει. φησὶ γὰρ ἀτεχνῶς μὲν οὖν τὸ λεγόμενον. σκύτη βλέπει. εἴρηται δὲ ἐπὶ τῶν ὑποψιαστικῶς διακειμένων πρὸς τὰ μέλλοντα κακά. Πεπᾶναι δὲ μαλάξαι. ὑποχαλάσαι. Μὴ πρὸς ἐμοῦ λέγοντι. ἀντὶ τοῦ μὴ ὑπὲρ ἐμοῦ. μὴ ἀρέσκοντά μοι λέγοντι. πάντως γὰρ κατὰ τοῦ δικάζειν ἔμελλε λέγειν.

ΣΤΡΟΦΗ.

χο· ὡς δὲ πάλαι τ' ἐπελήλυθεν,
κοὐδὲν παρῆλθεν, ὥστ' ἔγω-
γ' ηὐξάμην ὁμὴν ἀκούων.
καὶ μακάρων δικάζειν.
αὐτὸς ἔδοξαν νήσοις,
ἦ δόλιμος λέγοντι.

ΣΥΣΤΗΜΑ.

φι. ὡς δ' οὗτος ἤδη σκορδινᾶται, κἄστιν οὐκ ἐν αὑτοῦ.
ἦ μὴν ἐγώ σε τήμερον βλέπειν σκύτη ποιήσω.

ΣΤΡΟΦΗ.

χο. δεῖ δέ σε παντοίας πλέκειν
εἰς ἀπόφυξιν παλάμας.
τὴν γὰρ ἐμὴν ὀργὴν πεπᾶ-
ναι χαλεπὸν, μὴ πρὸς ἐμοῦ λέγοντι.
πρὸς ταῦτα μύλην ἀγαθὴν ὥρα ζητεῖν σοι καὶ νεόκοπον
ἣν μή τι λέγῃς. ὅ τις δυνατὴ τὸν ἐμὸν θυμὸν κατερεῖξαι.
Βδε. χαλεπὸν μὲν καὶ δεινῆς γνώμης καὶ μείζονος ἢ 'πὶ τρυγῳδοῖς.
ἰάσασθαι νόσον ἀρχαίαν ἐν τῇ πόλει ἐντετοκυῖαν.
Ἀτὰρ ὦ πάτερ ἡμέτερε κρονίδη. φι. παῦσαι καὶ μὴ πατέριζε.
εἰ μὴ γὰρ ὅπως δουλεύω 'γὼ τουτὶ ταχέως με διδάξῃς,
οὐκ ἔστιν ὅπως οὐχὶ τεθνήξει. κἂν χρῇ σπλάγχνων μ' ἀπέχεσθαι.

ἐμοῦ. μὴ ἀρέσκοντά μοι λέγοντι. πάντως γὰρ κατὰ τοῦ δικάζειν ἔμελλε λέγειν. Μύλην ἀγαθήν. νεοκατασκεύαστον μύλην. καὶ ὅμηρος θηλυκῶς λέγει. ἢ ῥα μύλην στήσασα. Κατερεῖξαι. καταθραῦσαι. ἀφ' οὗ καὶ τὸ ἐρεικτὸν ἀξιοῦσί τινες ἀπὸ τῶν ἐρεικομένων ὀσπρίων. ὅθεν καὶ τὸ, ἐρεικόμενος περὶ δουρί. εἴρηται δ' ἐν τοῖς βατράχοις. Δεινῆς γνώμης. ἀντὶ τοῦ μείζονος ἢ κατὰ κωμῳδίαν ἐστὶ τὸ ἰᾶσθαι νόσον πεπαλαιωμένην ἐν τῇ πόλει. λέγει δὲ τὸ φιλόδικον. ἐντετοκυῖαν δὲ ἐμφωλεύουσαν ἢ ἐμφωλεύουσαν. Μὴ πατέριζε. πατέρα κάλει. ἔμελλε δὲ εἰπεῖν. σοὶ πάντα δυνατά ἐστιν ὦ ζεῦ, καὶ διέκοψεν ὁ φιλοκλέων.

Ἐκκαλαμᾶται. ἀποσπᾷ. ἀπὸ τῶν διὰ καλάμου τοὺς ἰχθύας ἀγρευόντων. φυστὴν μᾶζαν. φυστὴ μᾶζα ἡ ἐξ ἀλφίτων καὶ οἴνου ὀξυτόνως δὲ ὥς φησιν ἡρωδιανός.

Τάδε κέκτημαι. τὰ ἐκ δικαστηρίου χρήματα. σκευὴν δὲ, πανοπλίαν. βελέων δὲ ἀλεωρὴν, σκέπην. Τὸν ὄνον. εἶδος ἀγγείου. ἴσως δὲ διὰ τὸ διάπλασμα ἔχειν ὄνου μορφήν. Οὗτος δέ. ὁ ὄνος ἔπαιξε δὲ ὡς πρὸς τὸ ζῶον. βρωμᾶσθαι δέ ἐστι τὸ πνέοντα τὸν ὄνον ὀγκᾶσθαι. δῖνος δέ ἐστιν ἀγγεῖον κεραμεοῦν βάσιν οὐκ ἔχον ἀλλὰ στρογγύλον καὶ πυ. στράτιον δὲ τὸ εἰς πολλοὺς τῶν στρατευομένων διῆκον. ἐχρῶντο γὰρ καὶ κύλιξιν ἐν τοῖς στρατεύμασιν. Ἅπερ ὁ Ζεύς. ἃ τῷ Διῒ εἰώθασι λέγειν. Κἂν ἀστράψω. φόβον κατ' ἀρχὴν δείξω. Ποππύζουσιν. ἔθος γὰρ ταῖς ἀστραπαῖς ποππύζειν. παρὰ δὲ τὰ εἰωθότα λέγεσθαι παρὰ τῶν ἀνῶν ἐπὶ ὑπερβάλλοντος φόβου λέγει. ὅτι βρονταὶ καὶ ἀστραπαὶ γίνονται παίζων. Ἀλλ' ἐρήμας. παροιμία. οὐκ ἐρήμας τρυγήσεις ἐπὶ τῶν ἀδεῶς τι πραττόντων. ὡς μηδενὸς αὐτοῖς ἀντιπράττοντος, ἐρήμας τρυγήσειν. ἔστι δὲ ἀπὸ τῶν τὰς ἀμπέλους τηρούντων ἀφροντίστως. Καλῶς γὰρ ᾔδειν. ἐν εἰρωνείᾳ. τοὐναντίον γὰρ παραδηλοῖ πειθόμενος οὕτως πιθανώτα-

ἀσπάζονται διὰ τἀργύριον· καὶ πρῶτα μὲν ἡ θυγάτηρ με
ἀπονίζῃ καὶ τὼ πόδ' ἀλείφῃ καὶ προσκύψασα φιλήσῃ
καὶ παππάζουσ' ἅμα τῇ γλώττῃ τριώβολον ἐκκαλαμᾶται
καὶ τὸ γύναιόν μ' ὑποθωπεῦσαν, φυστὴν μᾶζαν προσενέγκῃ
κἄπειτα καθεζομένη παρ' ἐμοὶ, προσαναγκάζῃ φάγε τουτί
ἔντραγε τουτί. τούτοισιν ἐγὼ γάνυμαι καὶ μή με δεήσῃ
ἐς σὲ βλέψαι καὶ τὸν ταμίαν, ὁπότ' ἄριστον παραθήσει.
καταρασάμενος καὶ τονθορύσας ἀλλ' ἢν μή μοι ταχὺ μάξῃ.
Τάδε κέκτημαι πρόβλημα κακῶν. σκευὴν βελέων ἀλεωρήν.
κἂν οἶνόν μοι μὴ 'γχῇς σὺ, τὸν ὄνον τόνδ' ἐσκεκόμισμαι.
οἴνου μεστόν. κᾆτ' ἐγχέομαι κλίνας. οὗτος δὲ κεχηνὼς,
βρωμησάμενος τοῦ σοῦ δίνου, μέγα καὶ στράτιον κατέπαρ-
ἆρ' οὐ μεγάλην ἀρχὴν ἄρχω, δεν.
καὶ τοῦ Διὸς οὐδὲν ἐλάττω,
ὅστις ἀκούω ταὔθ' ἅπερ ὁ Ζεύς;
ἢν γοῦν ἡμεῖς θορυβήσωμεν,
πᾶς τις φησὶ τῶν παριόντων
οἷον βροντᾷ τὸ δικαστήριον.
ὦ Ζεῦ βασιλεῦ. κἂν ἀστράψω,
ποππύζουσι κἀγκεχόδασί με
οἱ πλουτοῦντες καὶ πάνυ σεμνοί.
καὶ σὺ δέδοικάς με μάλιστ' αὐτός.
νὴ τὴν Δήμητρα δέδοικας. ἐγὼ
δ' ἀπολοίμην, εἴ σε δέδοικα. ΣΤΡΟΦΉ.

Χο. οὐπώποθ' οὕτω καθαρῶς
οὐδενὸς ἠκούσαμεν οὐ-
δὲ ξυνετῶς λέγοντος. ΣΥΣΤΗΜΑ.

Φι. οὐκ ἀλλ' ἐρήμας ᾤεθ' οὕτω ῥᾳδίως τρυγήσειν.
καλῶς γὰρ ᾔδειν ὡς ἐγὼ ταύτῃ κράτιστός εἰμι

Εὔαθλος. Εὔαθλος ῥήτωρ συκοφάντης. οὗ μνημονεύει καὶ ἐν Ἀχαρνεῦσι· καὶ ὁλκάσιν. οὗτός ἐστιν ὑμῖν πονηρὸς ξυνήγορος ὥσπερ Εὔαθλος. μνημονεύει δὲ αὐτοῦ καὶ πλάτων ἐν πεισάνδρῳ. καὶ κρατῖνος ἐν θρᾴτταις. κολακώνυμον δὲ εἶπε τὸν κλεώνυμον. εἴρηται δὲ ὅτι κόλαξ καὶ ῥίψασπις. τὸ δὲ οὐχὶ προδώσειν ὑμᾶς, ἐπεὶ λέγουσι τὰ τοιαῦτα οἱ ῥήτορες ὡς ὑπὲρ ὑμῶν ἀγωνίζομαι καὶ οὐχὶ προδώσω τὴν πόλιν. Κἀν τῷ δήμῳ γνώμην. ὅτι ὁ δημηγορῶν ἐν τῷ δήμῳ φησίν, οὐκ ἴσχει τῆς νίκης τὴν ψῆφον, ἄνευ τῆς κρίσεως τῶν δικαστῶν εἰ μὴ πρότερον πρὸς μίαν δίκην δικάσαντες οἱ δικασταί, παρεῖεν καὶ ἐπιτρέψειεν.

εἶτ' Εὔαθλος· χὠ μέγας οὗτος κολακώνυμος ἀσπιδαποβλής.
οὐχὶ προδώσειν ἡμᾶς φασί. περὶ τοῦ πλήθους δὲ μαχεῖσθαι
κἀν τῷ δήμῳ γνώμην οὐδεὶς πώποτ' ἐνίκησεν, ἐὰν μὴ
εἴπῃ τὰ δικαστήρι' ἀφεῖναι πρώτιστα μίαν δικάσαντας,
αὐτὸς δ' ὁ κλέων ὁ κεκραξιδάμας, μόνους ἡμᾶς οὐ περιτρώγει.
ἀλλὰ φυλάττει διὰ χειρὸς ἔχων, καὶ τὰς μυίας ἀπαμύνει
σὺ δὲ τὸν πατέρ' οὐδ' ὁτιοῦν τούτων τὸν σαυτοῦ πώποτ' ἔδρασας.
ἀλλὰ θέωρος καί τοι 'στὶν ἀνὴρ Εὐφημίου οὐδὲν ἐλάττων,
τὸν σπόγγον ἔχων ἐκ τῆς λεκάνης τἀμβάδι' ἡμῶν περικωνεῖ,
σκέψαι δ' ἀπὸ τῶν ἀγαθῶν οἵων ἀποκλείεις καὶ κατερύκεις.
ἣν δουλείαν οὖσαν ἔφασκες χ' ὑπηρεσίαν ἀποδείξειν.
Βδ. ἐμπλήσθητι λέγων πάντως γάρ τοι παύσει ποτὲ κἀναφανήσει
πρωκτὸς λουτροῦ περιγιγνόμενος τῆς ἀρχῆς τῆς περισέμνου.
Φι. ὃ δέ γ' ἥδιστον τούτων ἐστὶ πάντων, οὗ 'γὼ 'πελελήσμην,
ὅταν οἴκαδ' ἴω τὸν μισθὸν ἔχων. κᾆτ' εἰσήκονθ' ἅμα πάντες

Καὶ μὴ εἴπῃ τὰ δικαστήρια. οἷον μὴ κελεύσῃ ἐπιτρέψαι[?] ἄδικον ποιῆσαι. ἀλλ' ἅπαξ κριθῆναι ὑπό τινων καὶ μὴ ἀφίεσθαι ὑπερβόλιμον τινὶ ποιήσασθαι ἐπὶ τῶν γνωμῶν καὶ τῶν ψηφισμάτων. ἀλλὰ τὸ ἅπαξ κριθὲν, κύριον εἶναι. Αὐτός. κατ' ἐξοχὴν τὸ, αὐτός. κεκραξιδάμας ὁ τῇ βοῇ δαμάζων. Εὐφημίου. ὅτι Εὔφημος, τῶν ἄγαν διαβαλλομένων ἐπὶ κολακείᾳ ἐστίν. ᾧ παρείκασε τὸν θέωρον. διὰ κολακείαν τὰ ὑποδήματα τῶν δικαστῶν ἀποψῶντα καὶ ἀλείφοντα. μετῆκται δὲ ἀπὸ τῶν ἀγγείων κυρίως γὰρ περικωνῆσαί ἐστι, τὸ πισσῶσαι τὰ κεράμια.

Πρωκτὸς λουτροῦ. παροιμιακὸν τοῦτο ἐπὶ τῶν ἐπὶ κακῷ τῷ ἑαυτῶν νικώντων. ἢ ἐπὶ τῶν ἀεὶ μολυνομένων καὶ βιαζομένων καθαίρεσθαι. ὁ γὰρ πρωκτὸς πλυνόμενος περιγίνεται τῆς καθάρσεως καὶ ἔτι μολύνεται καὶ μᾶλλον καὶ τῇ ῥύσει τῆς γαστρός. εἴρηται δὲ ἀπὸ τῶν τὴν γαστέρα φερομένην ἐχόντων. καὶ ἐν τῷ ἀπολούεσθαι νικωμένων τῇ φορᾷ. Ἄλλως. Εὐφρόνιος μὲν ὡς τῆς εἰκόνος αὐτοῦ ματαίας οὔσης. ὅτι ματαίων ἐπιθυμεῖ. καὶ γὰρ τὸ μέρος ἐκεῖνο πλυνόμενον, ἔτι μολύνεται. καλλίστρατος δέ φησι παροιμία. πρωκτὸς λουτροῦ περιγίνη. ἐπὶ τῶν βιαζομένων εἰς κακὸν ἑαυτούς. ὡς εἴ τις βιάζοιτο μὴ ἀποπλύνεσθαι. Ὅταν οἴκαδ' ἴω. ὅτι παλαιὰ ἡ διὰ τῶν γυναικῶν ἐπιμέλεια, καὶ οὗτοι ἐπεμέλουν τοὺς πατέρας καὶ γέροντας. ὥστε μετὰ τὸ νίψαι ἀλείφειν τοὺς πόδας. Εὐφρόνιος δὲ καὶ τοὺς παρ' ὁμήρῳ λιπαροὺς πόδας οὕτως ἀποδίδωσι τινάς φησι.

Κἂν Οἴαγρος. ὅτι τραγικὸς ὑποκριτὴς ὁ Οἴαγρος εἴρηται πρότερον. ὡς θαυμάζων δὲ αὐτόν φησιν. ὅτι κἂν ἐκεῖνος ὁ μέγας καταδικασθῇ, ἐκ τῆς Νιόβης δέ, καὶ γὰρ ὑπεκρίθη τὴν Νιόβην, ἢ Σοφοκλέους ἢ Αἰσχύλου. ἐπίχειρα δὲ μισθούς. τὰ ἀπὸ τῶν χειρῶν κέρδη. Ἐν φορβειᾷ. φορβειαί εἰσι τὰ δέρματα τὰ περὶ τὸ στόμα τῶν αὐλητῶν προσδεσμούμενα. ὅπως ἂν σύμμετρον τὸ πνεῦμα πεμπόμενον, ἡδεῖαν τὴν φωνὴν τοῦ αὐλοῦ ποιήσῃ, ὃ δὲ λέγει, τοῦτό ἐστιν. ἐπεὶ νικήσῃ αὐλητής. ἀντίδοσιν τούτου, προπέμπει ἡμᾶς μετὰ αὐλοῦ. ἔθος δὲ ἦν ἐν ταῖς ἐξόδοις τῆς τραγῳδίας χορικῶν προσώπων, προηγεῖσθαι αὐλητήν, ὥστε αὐλοῦντα προπέμπειν. ὅπερ ἔλαβεν εἰς ἰδιότητα τῶν δικαστῶν ὁ Φιλοκλέων. Ἐπίκληρον. ἐπίκληρος λέγεται ἡ νῦν κληρονόμος καλουμένη. ὅταν δὲ παῖς ὀρφανὴ πατρὸς καὶ μητρὸς ἀδελφῶν τε οὖσα ἔρημος, καὶ ταύτῃ τύχῃ ὑποκειμένη οὐσία, ταύτην καλοῦσιν ἐπίκληρον. ὁμοίως δὲ καὶ τὴν ἤδη γεγαμημένην, ὅταν ᾖ ἐπὶ τῇ οὐσίᾳ ὅλῃ καταλελειμμένη. καλοῦσι γὰρ καὶ τὴν οὐσίαν κλῆρον. καλεῖται δὲ ἐπίκληρος καὶ ἡ μηδέπω γεγαμημένη. ἀλλὰ παρὰ τῷ πατρὶ οὖσα. καθότι καθήκει αὐτῇ πᾶσα ἡ οὐσία. καλοῦνται δὲ ἐπίκληροι καὶ δύο ὦσι καὶ πλείους. τινὲς δὲ τὴν ἐπίκληρον καλοῦσιν ἐπιπαματίδα καὶ πατροῦχον. νόμος δὲ ἦν Ἀθήνησι γνησίας μὲν οὔσης θυγατρός, νόθου δὲ υἱοῦ, μὴ κληρονομεῖν τὸν νόθον τὰ πατρῷα. Καὶ τῇ κόγχῃ. τοῖς σημείοις. ὡς κόγχας ἐπιτιθέντων ταῖς σφραγῖσιν, ἀσφαλείας ἕνεκα. κόγχῃ δέ, τῷ κογχυλίῳ τῷ ἐπικειμένῳ ταῖς σφραγῖσι, τῷ μὴ ἀφανίζεσθαι τοὺς τύπους αὐτῆς. Ἔδομεν ταύτην. ἐκδίδομεν αὐτήν φησι τῷ δωροδοκοῦντι ἡμᾶς. Μακαρίζω. λείπει ἡ κατά. κατὰ τοῦτό σέ φησι μακαρίζω, τὸ ἀνεγκλήτως πράττειν.

Ἀνακογχυλιάζων. πρὸς τὴν κογχύλην πέπαιχεν. λέγουσι δὲ βραχεῖαν τὴν δευτέραν συλλαβὴν τοῦ ἀνακογχυλιάσαι. λέγει δὲ ἀντὶ τοῦ κωλύων. Ἔτι δ' ἡ βουλὴ χὠ δῆμος. ἡ βουλὴ καὶ ὁ δῆμος ὅταν ἀπορήσῃ πράγματος, τοῖς δικασταῖς ἐπιτρέπεις.

κἂν Οἴαγρος εἰσέλθῃ φεύγων οὐκ ἀποφεύγει πρὶν ἂν ἡμῖν
ἐκ τῆς Νιόβης εἴπῃ ῥῆσιν τὴν καλλίστην ἀπολέξας.
κἂν αὐλητής γε δίκην νικᾷ, ταύτης ἡμῖν ἐπίχειρα,
ἐν φορβειᾷ τοῖσι δικασταῖς ἔξοδον ηὔλησ' ἀπιοῦσιν.
κἂν ἀποθνήσκων ὁ πατήρ τῳ δῷ καταλείπων παῖδ' ἐπίκληρον
κλαίειν ἡμεῖς μακρὰ τὴν κεφαλὴν, εἰπόντες τῇ διαθήκῃ,
καὶ τῇ κόγχῃ τῇ πάνυ σεμνῶς τοῖς σημείοισιν ἐπούσῃ,
ἔδομεν ταύτην ὅστις ἂν ἡμᾶς ἀντιβολήσας ἀναπείσῃ.
κᾆτ' ἀνυπεύθυνοι δρῶμεν· τῶν δ' ἄλλων οὐδεμί' ἀρχή.
Βδε. τουτὶ γάρ τοι σεμνὸν τούτων ὧν εἴρηκας μακαρίζω.
τῆς δ' ἐπικλήρου τὴν διαθήκην ἀδικεῖς ἀνακογχυλιάζων
Φι. ἔτι δ' ἡ βουλὴ χὠ δῆμος ὅταν κρῖναι μέγα πρᾶγμ' ἀπορήσῃ,
ἐψήφισται τοὺς ἀδικοῦντας τοῖσι δικασταῖς παραδοῦναι

Ἔνδον τούτων ὧν φάσκω. ἀντὶ τοῦ ἃ ἔξωθεν ἐπαγγέλλομαι, ποιεῖν, ἔνδον οὐ ποιῶ. τοιοῦτοι γὰρ οἱ δικασταί. παραχρῆμα μὲν ἐπαγγέλλονται, ὕστερον δὲ ἀρνοῦνται. Κακὰ πρὸς τοῖς οὖσιν. ἐν σχήματι εἴρηκε μεταβὰς ἀπὸ τοῦ πληθυντικοῦ εἰς τὸ ἑνικόν. ὁ δὲ νοῦς, ἕως ἂν αὐτοί τι τὰ κακὰ τὰ ἡμέτερα ἀποφήνωσι τοῖς ἑαυτῶν ἴσα. Ἄλλως. ἀντὶ τοῦ τοσαῦτα λέγουσιν, ἕως ἂν αὐτοὺς πένητας ἀποδείξωσιν ὡς ἐγώ. Αἰσώπου τι γέλοιον. Αἴσωπος τραγῳδίας ἐγένετο ὑποκριτὴς γελοιώδης. προσποιεῖται δὲ τὸ γέλοιον.

ἔνδον, τούτων ὧν αὖ φάσκω πάντων οὐδὲν πεποίηκα.
ἀλλ' ἀκροῶμαι πάσας φωνὰς ἱέντων εἰς ἀπόφευξιν.
φέρ' ἴδω· τί γὰρ οὐκ ἔστιν ἀκοῦσαι θώπευμ' ἐνταῦθα δικαστῇ;
οἱ μέν γ' ἀποκλάονται πενίαν αὐτῶν· καὶ προστιθέασιν
κακά γε πρὸς τοῖσιν οὖσιν, ἕως ἂν ἰσώσῃ τοῖσιν ἐμοῖσιν.
οἱ δὲ λέγουσι μύθους ἡμῖν, οἱ δ' Αἰσώπου τι γέλοιον.
οἱ δὲ σκώπτουσ', ἵν' ἐγὼ γελάσω, καὶ τὸν θυμὸν καταθῶμαι.
κἂν μὴ τούτοις ἀναπειθώμεσθα, τὰ παιδάρι' εὐθὺς ἀνέλκει
τὰς θηλείας καὶ τοὺς υἱεῖς τῆς χειρός, ἐγὼ δ' ἀκροῶμαι.
τὰ δὲ συγκύπτονθ' ἅμα βληχᾶται. κᾆπειθ' ὁ πατὴρ ὑπὲρ αὐτῶν,
ὥσπερ θεὸν ἀντιβολεῖ με τρέμων τῆς εὐθύνης ἀπολῦσαι.
εἰ μὲν χαίρεις ἀρνὸς φωνῇ, παιδὸς φωνὴν ἐλεήσαις.
εἰ δ' αὖ τοῖς χοιριδίοις χαίρω, θυγατρὸς φωνῇ με πιθέσθαι.
χἠμεῖς αὐτῷ τότε τῆς ὀργῆς ὀλίγον τὸν κόλλοπ' ἀνεῖμεν.
ἆρ' οὐ μεγάλη τοῦτ' ἔστ' ἀρχὴ καὶ τοῦ πλούτου καταχήνη;
ΒΔ. δεύτερον αὖ τουτὶ γράφομαι, τὴν τοῦ πλούτου καταχήνην.
καὶ τἀγαθά μοι μέμνησ' ἃ 'χεις φάσκων τῆς Ἑλλάδος ἄρχειν.
ΦΙ. παίδων τοίνυν δοκιμαζομένων, αἰδοῖα πάρεστι θεᾶσθαι.

Εὐθὺς ἀνέλκει. ἄνω τὸ βῆμα. διὰ δὲ τὸν οἶκτον οἱ δικαζόμενοι τῶν τὸ ἑτερίου, ἵνα κἂν ταῦθα ἐλεηθῶσιν. Ἅμα βληχᾶται. προβάτων φωνὴν ἀφίησιν ἐλεεινήν. ἐκ δὲ τῆς ἀσήμου φωνῆς, δηλοῖ τὴν βραχεῖαν τῶν παίδων ἡλικίαν. Εἰ μὲν χαίρεις ἀρνὸς φωνῇ. παίζει ταῦτα. ἐπεὶ ἐκεῖνοι οὕτως λέγουσιν· εἰ μὲν ἄρσενά τις ἔχει, εἰς τοὺς ἄρσενας αὐτά, εἰ δὲ θήλεα, τὰς θηλείας καταποικίλλει ῥᾳδίως. λείπει δὲ τὸ ἐλέησον. Χοιριδίοις. ἴσως ὅτι χοῖρος προσαγορεύεται τὸ γυναικεῖον αἰδοῖον. Τὸν κόλλοπ' ἀνεῖμεν. ἀντὶ τοῦ τὴν τάσιν τῆς ὀργῆς· ἢ τὸ στερεώτατον τῆς ὁρμῆς, ἀπὸ τοῦ κατὰ τὸν τένοντα κόλλοπος. ἔστι δὲ δέρμα στερεώτατον ἢ καὶ παρὰ τὸν τένοντα τοῦ χοιρίου κάλλοπα τὸν κόλλοπα. ἢ κόλλοπας λέγουσιν, οἱ πασσαλίσκοι τῆς κιθάρας, εἰς οὓς ἀποδεσμοῦνται αἱ νευραί. καὶ τείνονται στρεφομένων. ὀργῆς οἷον κόλλοπα ἀντὶ τοῦ τὴν τάσιν τῆς ὀργῆς. Καταχήνη. καταγέλως. καταφρόνησις. Καὶ τἀγαθά μοι μέμνησο. καὶ μέμνησο φησὶν εἰπεῖν ἃ ἔχεις φάσκων ἄρχειν τῆς Ἑλλάδος. ἐπειδὴ ἔλεγεν ὁ Φιλοκλέων ὅτι ἄρχουσιν οἱ δικασταὶ τῆς Ἑλλάδος. Παίδων τοίνυν δοκιμαζομένων. πρὸς τὸ ἔθος. Ἀριστοτέλης δέ φησιν, ὅτι ψήφῳ οἱ ἐγγραφόμενοι δοκιμάζονται οἱ νεώτεροι μὴ ἐτῶν ιε' εἶεν. ἴσως δ' ἂν περὶ τῶν κρινομένων παίδων εἰς τοὺς γυμνικοὺς ἀγῶνας λέγει· οὐχ ὡς ἐν δικαστηρίῳ κρινομένων, ἀλλ' ὑπὸ τῶν πρεσβυτέρων. Ἄλλως. τῶν γὰρ παίδων τὴν ἡλικίαν δοκιμάζοντες, τὰ αἰδοῖα ἐσκόπουν διὰ τὸ δεῖσθαι αὐτῶν εἰς τὸ χρησιμεύειν ἐν ταῖς λειτουργίαις.

παναθηναίοις οἱ γέροντες; θαλλοὺς ἔχοντες ἐπόμπευον. ὡς οὖν εἰς οὐδὲν ὄντων χρησίμων αὐτῶν ἔξω τοῦ θαλλοφορεῖν, οὕτως αὐτοὺς ἐπέσκωψεν. ὁ μέντοι δικαίαρχος ἐν τῷ παναθηναϊκῷ, οὐκ οἶδα ἐξ ὅτου φησὶ καὶ τὰς γραῦς, ἐν τοῖς παναθηναίοις ὑπείληφε θαλλοφορεῖν. ξενοφῶντος μὲν ἐν τῷ συμποσίῳ φιλοχόρου δ' ἐν τῇ δευτέρᾳ. ὅς γε καὶ τὸν καταδείξαντα τὸ ἔθος, ἐριχθόνιον συνίστησι. μνημονεύει τοῦ ἔθους κρατῖνος μὲν ἐν δηλιάσι. φερεκράτης δὲ ἐν ἀπολήσμοσιν. Ἀντωμοσιῶν. τῶν δικῶν. ἀντωμοσίαι δὲ ἐκαλοῦντο, ὅταν ὁ ἐγκαλούμενος περὶ κλοπῆς ἐν τῷ δικαστηρίῳ, ὀμώμοκει πρὸ δίκης. καὶ ὁ ἐνάγων δὲ ἀντομώμοκε τοῦτ' εἶναι τὸν λῃστὴν καὶ οὗτοι μάρτυρες ἐκαλοῦντο. Κελύφη. καλύμματα δικῶν. ἢ τὰ ἐγκλήματα τῶν. κελύφη δὲ τὰ τῶν ᾠῶν καλύμματα. ὥστε εἴρηκεν ἐπιβλήματα δικῶν.

τωμοσιῶν κελύφη.
ἀλλ' ὦ περὶ τῆς πάσης μέλλων βασιλείας ἀντιλογήσειν
τῆς ἡμετέρας. νυνὶ θαρρῶν, πᾶσαν γλῶτταν βασάνιζε.
φι. καὶ μὴν εὐθύς γ' ἀπὸ βαλβίδων περὶ τῆς ἀρχῆς ἀποδείξω.
τῆς ἡμετέρας, ὡς οὐδεμιᾶς ἥττων ἐστὶ βασιλείας
τί γὰρ εὔδαιμον καὶ μακαριστὸν μᾶλλον νῦν ἐστὶ δικαστοῦ.
ἢ τρυφερώτερον, ἢ δεινότερον ζῶον καὶ ταῦτα γέροντος.
ὃν πρῶτα μὲν ἕρποντ' ἐξ εὐνῆς τηροῦσ' ἐπὶ τοῖσι δρυφάκτοις
ἄνδρες μεγάλοι καὶ τετραπήχεις. κἄπειτ' εὐθὺς προσιόντι
ἐμβάλλει μοι τὴν χεῖρ' ἁπαλὴν, τῶν δημοσίων κεκλοφυῖαν.
ἱκετεύουσί θ' ὑποκύπτοντες, τὴν φωνὴν οἰκτροχοοῦντες
οἴκτειρόν μ' ὦ πάτερ αἰτοῦμαί σ' εἰ καὐτὸς πώποθ' ὑφείλου,
ἀρχὴν ἄρξας. ἢ 'πὶ στρατιᾶς τοῖς ξυσσίτοις ἀγοράζων.
ὃς ἔμ' οὐδ' ἂν ζῶντ' ᾔδειν, εἰ μὴ διὰ τὴν προτέραν ἀπόφυξιν.
Βδε. τουτὶ περὶ τῶν ἀντιβολούντων ἔστω τὸ μνημόσυνόν μοι.
φι. εἶτ' εἰσελθὼν ἀντιβοληθεὶς τὴν ὀργὴν ἀπομορχθεὶς

Ἀπὸ βαλβίδων. ἀπ' ἀρχῆς εὐθέως. ἀπὸ μεταφορᾶς τῶν σταδιοδρομούντων. βαλβὶς γάρ ἐστιν, ἡ ἀφετηρία. γραμμὴ δέ, ἐφ' ἧς εἱστήκεσαν. ἕως ἂν ἀποσημανθῇ ὁ δρόμος αὐτῶν.

Ἀλλ' ὦ. ὁ χορὸς παραθαρσύνων τὸν φιλοκλέωνα ταῦτά φησι. Τρυφερώτερον. τρυφῆς δεόμενον. καλῶς δὲ ἡ προσθήκη τοῦ γέροντος. ἀσθενεῖς γὰρ περὶ τὰς ἡδονὰς οἱ γέροντες; Ἐμβάλλει μοι τὴν χεῖρα. ὁ ποιοῦσι τοὺς δικαστάς, οἱ θωπευτικῶς ποιοῦντες ἠρέμα ἐφαπτόμενοι τῆς χειρὸς ἐν τῷ ἀσπάζεσθαι διὰ τὸ μέλλειν κρίνεσθαι ἐπὶ δημοσίων κλοπῇ προκαταλαμβάνοντες.

Οἰκτροχοοῦντες. οἰκτρὰ χέοντες. ὅμηρος. ἥ τε πολυτρωπῶσα χέει πολυηχέα φωνήν. Ὅς ἔμ' οὐδ' ἂν ζῶντ' ᾔδει. ὅστις οὐδ' ἂν λόγου με ἠξίωσεν. εἰ μὴ δίκη[illegible] ὑπ' ἐμοῦ. Τουτὶ περὶ. ἐν τῷ γραμματείῳ ὁ βδελυκλέων ἀπογράφεται ὅτι ἀντιβολοῦνται οἱ δικασταὶ ὡς καὶ ἄνω εἴρηκεν. ἵν' ἔχῃ τοῦτο εἰς κατηγορίαν αὐτῶν. ἀπομορχθεὶς δὲ ἀποβαλών.

ἦσαν αὐτῶν πρὸς τὸ ἐκείνων βούλημα δικάζοντες. Καρπουμένῳ τὴν ἑλλάδα. τοὺς φόρους ἐλάμβανον οἱ ἀθηναῖοι. ὁ δὲ λόγος, τί σοι ἐκ τούτων ἀθηναίων ὄντι προσγίνεται. τὸ δικαστικὸν μόνον λαμβάνοντι. οἱ γὰρ δημαγωγοί, πάντα λαμβάνουσιν. Ἄφετε νῦν ἅπαντες, πρὸς τοὺς σφῆκάς φησιν ὅτι ἄφετε αὐτόν. ἢ πρὸς τοὺς οἰκέτας τοὺς κατέχοντας τὸν φιλοκλέωνα. Μηδέποτε πίοιμ᾽. δέον εἰπεῖν ἄκρατον ἀγαθοῦ δαίμονος, τὸν μισθὸν, εἴρηκεν. ὑπεμφαίνων τὸ φιλόδικον. Ἀγαθοῦ δαίμονος. καὶ ἐν εἰρήνῃ.

ἥτις ἡ τιμή ᾽στι σοι, καρπουμένῳ τὴν ἑλλάδα.

Φι. παύσατε. καὶ τουτοισί γ᾽ ἐπιτρέψαι θέλω. Βδε. καὶ μὴν ἐγὼ

ἄφετε νῦν ἅπαντες αὐτόν. καὶ ξίφος γέ μοι δότε.

ἢν γὰρ ἡττηθῶ λέγων σου, περιπεσοῦμαι τῷ ξίφει.

εἰπέ μοι τί δ᾽ ἢν τὸ δεῖνα τῇ διαίτῃ μὴ ᾽μμένῃς.

Φι. μηδέποτε πίοιμ᾽ ἀκράτου μισθὸν ἀγαθοῦ δαίμονος.

Χο. νῦν δὴ τὸν ἐκ θἠμετέρου

γυμνασίου λέγειν τι δεῖ

καινὸν, ὅπως φανείσῃ.

Βδε. ἐνεγκάτω μοι δεῦρο τὴν κίστην τις ὡς τάχιστα.

Χο. ἀτὰρ φανεῖ ποῖός τις ὢν

ἢν ταῦτα παρακελεύῃ.

μὴ κατὰ τὸν νεανίαν

τόνδε λέγειν. ὁρᾷς γὰρ ὡς

σοι μέγας ἐστ᾽ ἀγὼν καὶ περὶ τῶν ἁπάντων

εἴπερ ὃ μὴ γένοιτο νῦν, οὗτος ἐθέλει κρατῆσαι.

Βδε. καὶ μὴν ὅσ᾽ ἂν λέξῃ γ᾽ ἁπλῶς, μνημόσυνα γράψομ᾽ ἐγώ.

Φι. τί γὰρ φάθ᾽ ὑμεῖς. ἢν ὁδί με τῷ λόγῳ κρατήσῃ,

ΣΤΡΟΦΗ ΚΩΛΩΝ, Η.

Χο. οὐκέτι πρεσβυτῶν ὄχλος

χρήσιμος ἔστ᾽ οὐδ᾽ ἀκαρῆ.

σκωπτόμενοι γὰρ ἂν, ἐν

ταῖσιν ὁδοῖς ἁπάσαις,

θαλλοφόροι καλοίμεθ᾽ ἂν

νῦν γὰρ ἡμῖν πάρεστιν ἁρπάσαι ἀγαθοῦ δαίμονος. ἔθος δὲ ἦν, ὁπότε μέλλοι ἡ τράπεζα αἴρεσθαι, ἀγαθοῦ δαίμονος ἐπιρροφεῖν ὡς θεόπομπός φησιν. ὁ δὲ ἀπολλόδωρος, καὶ ὅτι τὸ ποτήριον μεστὸν πάλιν ἀπημέρουν, δεδήλωκεν ἐν τῇ δ᾽ περὶ σώφρονος. Ἐκ θἠμετέρου. ἐκ τοῦ ὑμετέρου. τοῦτο δὲ πρὸς τὸν κλέωνα. Ἐνεγκάτω μοι. ὁ παῖς τοῦτό φησιν. ὡς ἐν τῇ κίστῃ γραμματείου τινὸς ὄντος, ὅπου τὰ κεφάλαια τῶν ὑπὸ τοῦ πατρὸς λεγομένων ἐνεγέγραπτο. ἵνα φησὶ λαβὼν χάρτην, ἀναγράψωμαι τῶν λεγομένων τὰ κεφάλαια. Μὴ κατὰ τὸν νεανίαν. τινὲς τοῦτο πρὸς τὰ ἄνω. ὅπως φανήσῃ μὴ κατὰ τόνδε λέγειν. ἀλλὰ δηλονότι πραγματικώτερον αὐτοῦ καὶ βέλτιον. Μνημόσυνα. εἰς τὸ μνημονεῦσαι ἀπογράψομαι. Οὐδ᾽ ἀκαρῆ. οὐδὲ βραχύ. οὐδὲ τὸ τυχόν. Θαλλοφόροι. ἐν τοῖς ὑπομνήμασιν οὕτω γέγραπται. θαλλοφόροι ἀντὶ τοῦ ἐργάται. θαλλὸν τ᾽ ἐρίφοισι φορῆναι. οἱ γὰρ γέροντες τὰ τοιαῦτα ἐν ἀγρῷ οἰκονομοῦσιν. δυσχερὲς δέ ἐστι περὶ ὧν μηδὲν ἔχον εἰπεῖν σαφὲς ἀποσχεδιάζοντας. θαλλοφόρους γὰρ ἔφη, βουλόμενος τοὺς γέροντας δηλῶσαι. ἐπειδὴ ἐν τοῖς πα-

Εἰ τὴν Ἱππίου καθίσταμαι. ἀντὶ τοῦ εἰ καταστῆσαι βούλομαι ἐμαυτῷ τυραννίδα. οὗτος γάρ, τύραννος Ἀθηνῶν, τοῦ πατρὸς Πεισιστράτου τυραννικώτερος. ὁ δὲ Ἱππίας ἐτυράννησεν. οὐχ ὁ Ἵππαρχος. κοινῶς δὲ πάντες οἱ Πεισιστρατίδαι, τύραννοι ἐλέγοντο. παίζει δέ, καὶ ἅμα πρὸς τὸ τῆς συνωμοσίας σχῆμα, τὸν Ἱππίαν εἴληφε. χαλεπὴ δὲ ἡ Ἱππίου τυραννὶς ἐδόκει εἶναι πολὺ τῆς τοῦ πατρὸς Πεισιστράτου χείρων. μνημονεύει δὲ αὐτοῦ καὶ ἐν Λυσιστράτῃ. εἰκότως δὲ τεσσάρων ὄντων κατ' ἐνίους τῶν Πεισιστρατιδῶν, τὸν Ἱππίαν παρέλαβεν. πρεσβύτατος γὰρ ἦν αὐτός, καὶ τὴν τυραννίδα εἶχε. καθὰ καὶ Θουκυδίδης φησί. δοκεῖ δὲ ἡ τυραννὶς καταστῆναι, ὥς φησιν Ἐρατοσθένης, ἐπὶ ἔτη ν, τοῦ Ἀνδροβοῦς διαμαρτάνων. Ἀριστοφάνης μὲν τεσσαράκοντα καὶ ἐν Φησάντος Ἡροδότου ἢ ἐξ καὶ τριάκοντα. κελητίζειν δὲ κυρίως τὸ κέλητα ἐλαύνειν. Ὅμηρος. ὡς δ' ὅτ' ἀνὴρ ἵπποισι κελητίζειν εὖ εἰδώς.

ἤρετ' εἰ τὴν Ἱππίου καθίσταμαι τυραννίδα.
Βδ. ταῦτα γὰρ τούτοις ἀκούειν ἡδέ' εἰ καὶ νῦν ἐγὼ
τὸν πατέρ' ὅτι βούλομαι τούτων ἀπαλλαχθέντα τῶν
ὀρθοφοιτοσυκοφαντοδικοταλαιπώρων τρόπων,
ζῆν βίον γενναῖον ὥσπερ Μόρυχος, αἰτίαν ἔχω
ταῦτα δρᾶν, ξυνωμότης ὢν καὶ φρονῶν τυραννίδα.
Φι. νὴ Δί' ἐν δίκῃ γ'· ἐγὼ γὰρ οὐδ' ἂν ὀρνίθων γάλα,
ἀντὶ τοῦ βίου λάβοιμ' ἂν, οὗ με νῦν ἀποστερεῖς.
οὐδὲ χαίρω βατίσιν, οὐδ' ἐγχέλυσιν. ἀλλ' ἥδιον ἂν
δικίδιον σμικρὸν φάγοιμ' ἂν, ἐν λοπάδι πεπνιγμένον.
Βδε. νὴ Δί' εἰθίσθης γὰρ ἥδεσθαι τοιούτοις πράγμασιν.
ἀλλ' ἐὰν σιγῶν ἀνάσχῃ καὶ μάθῃς ἃ 'γὼ λέγω,
ἀναδιδάξειν σ' οἴομαί γ' ὡς πάντα ταῦθ' ἁμαρτάνεις.
Φι. ἐξαμαρτάνω δικάζων; Βδε. καταγελώμενος μὲν οὖν
οὐκ ἐπαΐεις ὑπ' ἀνδρῶν, οὓς σὺ μονονοὺ προσκυνεῖς,
ἀλλὰ δουλεύων λέληθας. Φι. παῦε δουλείαν λέγων.
ὅστις ἄρχω τῶν ἁπάντων. Βδε. οὐ σύ γ' ἀλλ' ὑπηρετεῖς
οἰόμενος ἄρχειν. ἐπεὶ δίδαξον ἡμᾶς ὦ πάτερ,

Ὀρθοφοιτοσυκοφα. παρὰ τὸ ὀρθρεύειν καὶ φοιτᾶν καὶ συκοφαντεῖν καὶ ἐν δίκαις ταλαιπωρεῖν. Ζῆν βίον γενναῖον. πρὸς τὸ ἀψευδὲς ποιήσαντας τὸν Μόρυχον, τὸν πολιτικῶν ἀπειρίηκε πραγμάτων. ἀγνοήσαντες ὅτι τρυφερὸς καὶ ἡδύβιος κωμῳδεῖται. ἢ καὶ νῦν ἐν εἰρωνείᾳ. αἰτίαν γάρ, μέμψιν καὶ ἔγκλημα. Ταῦτα δρᾶν. τὸ ἑξῆς, ἀπαλλαχθέντα τούτων ταῦτα δρᾶν. Ὀρνίθων γάλα. παροιμία ἐπὶ τῶν λίαν εὐδαιμονούντων καὶ πάντα κεκτημένων, ὡς καὶ ἐκ τῶν ἀδυνάτων πόρους κομίζεσθαι. ἀδύνατον γὰρ ἐξ ὀρνίθων γάλα τοῦτο λαβεῖν. οἱ δὲ εὐδαιμονοῦντες καὶ τοῦτο εἰ βουληθεῖεν περιέσονται. Βατὶς γάρ εἶδος ἰχθύος. καὶ βατιοσκόποι οἱ ὀψοφάγοι. Πεπνιγμένον. δέον εἰπεῖν ἑψημένον, φησὶ πεπνιγμένον. ἀπὸ τῶν συμβαινόντων ὑπὸ τῶν δικαστῶν. τοῖς δικαζομένοις. Καταγελώμενος μὲν οὖν, ἀντὶ τοῦ ὁ καταγελώμενος ὑπ' ἀνδρῶν οὓς οὐχὶ μόνον τιμᾷς καὶ σέβεις ὡς βελτίους, ἀλλὰ καὶ ὡς δεσπότας ὑπερλατρεύεις. λέγει δὲ τοὺς δημαγωγούς. ὧν προστάξει δικάζουσιν ὑφ' ὧν καὶ τὸν μισθὸν λαμβάνουσιν. Ἀλλὰ δουλεύων λέληθας. ὅτι πρὸς τὰς ὑποσχέσεις τῶν δημαγωγῶν ἐδίκαζον καὶ ὑπηρέται

Ἀντὶ τοῦ ἐν γυμνικῷ ἀγῶνι. ἦν γὰρ οὐκ ἐν παιδιᾷ. πρὸς οὖν τὰ βρέφη θρηνηθέντα, εὐθὺς ἐν σελίνοις ἐτίθεσαν. τὸ δὲ πήγανον εἶπεν, ἐπειδὴ καὶ σέλινον προέταξεν. ὅθεν καὶ παροιμία. οὐδ' ἐν σελίνοις εἰσί. φησὶν οὖν ὅτι οὔπω σοι οὐδὲ ἀρχὴ γέγονε τῶν παρ' ἡμῶν ἐσομένων. Τῶν τριχοινίκων ἐπῶν. ἀντὶ τοῦ τῶν εὐτελῶν. τὰ τοιαῦτα παρὰ τὰς φωνὰς παίζει. φορτικοῦ ὄντος, ἐν οἷς μάλιστα τῶν ποιητῶν σκώπτουσιν ἀρχιπ/πον. Ἄλλως. ἀντὶ τοῦ εὐτελῶν στίχων. τοῦτο δὲ φησὶν, ἐπεὶ ἐξ εὐτελοῦς παροιμίας ἤρξατο τῆς τῶν

τοῦτο γὰρ παρεμβαλοῦμεν τῶν τριχοινίκων ἐπῶν.
ἀλλὰ νῦν μὲν οὐδὲν ἀλγεῖς. ἀλλ' ὅταν ξυνήγορος
ταὐτὰ ταῦτά σου καταντλῇ. καὶ ξυνωμότας καλῇ.
Βδ. ἆρά γ' ἂν πρὸς τῶν θεῶν ὑμεῖς ἀπαλλαχθεῖτέ μοι;
ἢ δέδοκταί μοι δέρεσθαι καὶ δέρειν δι' ἡμέρας.
Χο. οὐδέποτέ γ' οὐχ ἕως ἄν τί μου λοιπὸν ᾖ.
ὅστις ἡμῶν ἐπὶ τυραννίδ' ἐστάλης.
Βδ. ὡς ἅπανθ' ὑμῖν τυραννίς ἐστι καὶ ξυνωμόται.
ἤν τε μεῖζον ἤν τ' ἔλαττον πρᾶγμά τις κατηγορῇ.
ἧς ἐγὼ οὐκ ἤκουσα τοὔνομ' οὐδὲ πεντήκοντ' ἐτῶν
νῦν δὲ πολλῷ τοῦ ταρίχους ἐστὶν ἀξιωτέρα.
ὥστε καὶ δὴ τοὔνομ' αὐτῆς ἐν ἀγορᾷ κυλίνδεται.
ἢν μὲν ὠνῆταί τις ὀρφώς. μεμβράδας δὲ μὴ θέλῃ,
εὐθέως εἴρηχ' ὁ πωλῶν πλησίον τὰς μεμβράδας
οὗτος ὀψωνεῖν ἔοιχ' ἅνθρωπος ἐπὶ τυραννίδι.
ἢν δὲ γήτειον προσαιτῇ ταῖς ἀφύαις ἥδυσμά τι,
ἡ λαχανόπωλις παραβλέψασά φησι, θατέρῳ
εἰπέ μοι, γήτειον αἰτεῖς; πότερον ἐπὶ τυραννίδι,
ἢ νομίζεις τὰς Ἀθήνας σοὶ φέρειν ἡδύσματα.
Ξαν. κἀμέ γ' ἡ πόρνη χθὲς εἰσελθόντα τῆς μεσημβρίας.
ὅτι κελητίσαι 'κέλευον, ὀξυθυμηθεῖσά μοι,

κήπων. τριχοινίκων δὲ ἀντὶ τοῦ τριῶν χοινίκων ἀξίων. ξυνήγορος δὲ ῥήτωρ. καταντλῇ δὲ καταχέῃ. κατηγορῇ. Καὶ ξυνωμότας. ὡς αὐτῶν συνεχῶς λεγόντων, ὅτι ταῦτα τυραννίς ἐστι καὶ ξυνωμοσία, οὐδὲν ἄλλο φησὶ μεμελέτηται ἡμῖν ἢ ταῦτα δέρεσθαι δὲ καὶ δέρειν ἐπὶ τοῦ τύπτεσθαι. Ἕως ἄν τί μου. ἀντὶ τοῦ ἕως ἂν λείψανόν μου ὑπολείπηται. Πεντήκοντ' ἐτῶν. ἀντὶ τοῦ εἰς πεντηκοστὸν ἔτος καὶ ἐκ πολλοῦ χρόνου οὐκ ἤδειν τὸ ὄνομα τῆς τυραννίδος. Ἀξιωτέρα. εὐωνοτέρα καὶ ἐν ἀγορᾷ εἰθισμένη λέγεσθαι κυλίνδεται γὰρ περιφέρεται. Ὀρφώς. ἐν τοῖς πλείοσιν ὀρφῶς. ἔν τισι δὲ ὀρφούς. μήποτε δὲ, καὶ τὸ ἑνικὸν τοῦ ἰχθύος οὕτως ἔλεγον, ὀρφὼς ὡς λαγὼς καὶ ταώς, μεμβρὰς δὲ εἶδος ἀφύας. Ἥδυσμά τι. πρὸς τὸ γήτειον. ὅτι ἥδυσμά ἐστιν, οὐχ ὡς ἔνιοι, αἱ ἀγραφαὶ τῶν λέξεων αἰθερικῷ τὸ ὅμοιον. ἐν ἱππεῦσι δὲ εἴρηται περὶ αὐτοῦ. ἔστι γὰρ εἶδος βοτάνης παρεοικὸς πράσῳ. Παραβλέψασά φησι. ἑτέρῳ ὀφθαλμῷ αὐτὸν φησι, χαλεπῶς ὑποβλεψαμένη φησὶ, σοῦ ἐστι τὸ φαγεῖν, ὡς οὐκ ἄξιον ἡγουμένη τὸν τυχόντα φαγεῖν γήτειον. Ἢ νομίζεις τὰς Ἀθήνας. ἀντὶ τοῦ ὅτι διὰ σὲ φύουσιν αἱ Ἀθῆναι ἡδύσματα.

νην, καπνώδη διὰ τὴν ἀλαζονείαν. ἀντὶ δὲ τοῦ εἰπεῖν σέλλου, ἔπαιξεν ἐπικλείνας σελαρτίου. ἵνα πάλιν ὡς καπνὸν κωμῳδήσῃ καὶ ψευδόπλουτον. παρὰ τὸ σέλας. ὁ γὰρ καπνὸς, τοῦ σέλαος γέννημα. Τῶν μελέων φιλοκλέους βεβρωκότες. ὡς τοῦ φιλοκλέους ἀγρίου ὄντος ἐν τῇ μελοποιίᾳ. ὁ σοφοκλῆς γὰρ ἡδύς. διὸ καὶ μέλιττα ἐκαλεῖτο. ἔπαιξεν οὖν ὡσεὶ εἶπεν εἴπερ. τὴν πικρίαν αὐτοῦ καὶ τὴν σκληρότητα εἶχον, οὐκ ἂν αὐτοὺς ῥᾳδίως διέφυγες ὡς τοῦ φιλοκλέωνος ὄντος σκληροῦ σφόδρα καὶ δριμυτάτου.

Χο. ἀλλὰ μὰ δί' οὐ ῥᾳδίως οὕτως αὐτοὺς διέφυγες,
εἴπερ ἔτυχον τῶν μελέων φιλοκλέους βεβρωκότες.
Ἡμ. ἆρα δῆτ' οὐκ αὐτὰ δῆλα.
τοῖς πένησιν ἡ τυραννὶς
ὡς λάθρα γ' ἐλάνθαν' ὑπιοῦσά με,
εἰ σύ γ' ὦ πανωπόνηρε καὶ κομηταμυνία,
τῶν νόμων ἡμᾶς ἀπείργεις ὧν ἔθηκεν ἡ πόλις.
οὔτε τιν' ἔχων πρόφασιν,
οὔτε λόγον εὐτράπελον.
αὐτὸς ἄρχων μόνος
Βδε. ἔσθ' ὅπως ἄνευ μάχης, καὶ τῆς κατοξείας βοῆς,
ἐς λόγους ἔλθωμεν ἀλλήλοισι καὶ διαλλαγάς;
Χο. σοὶ λόγους ὦ μισόδημε. Καὶ μοναρχίας ἐραστά.
καὶ ξυνὼν Βρασίδᾳ. καὶ φορῶν
κράσπεδα στεμμάτων, τήν θ' ὑ-
πήνην ἄκουρον τρέφων;
Βδε. νὴ δί' ἦ μοι κρεῖττον ἐκστῆναι τὸ παράπαν τοῦ πατρὸς
μᾶλλον, ἢ κακοῖς τοσούτοις ναυμαχεῖν ὁσημέραι
Χο. οὐδὲ μὴν γ' οὐδ' ἐν σελίνῳ σοῦ 'στιν, οὐδ' ἐν πηγάνῳ.

Οὐκ αὐτὰ δῆλα. οὐκ αὐτή φησὶν ἡ τυραννὶς ἀποδήλως κατὰ τοῦ δήμου ἐστὶ καὶ καθ' ἡμῶν. Β Πανωπόνηρε. ὦ ἀσκήσει καὶ μελέτῃ πεπονημένε, τῆς τυραννίδος. τὸ δὲ κομηταμυνία συνέθηκεν, παρὰ τὸ κομᾶν ὅ ἐστι φρονεῖν μέγα ἐκ δὲ τούτου δηλοῖ τὸ λακωνίζειν παρόσον μέγα ἐφρόνουν οἱ λάκωνες, εἰς ἀνδρίαν. καὶ παρὰ τὸν ἀμυνίαν. ὃς διεβάλλετο ὡς μισόδημος ἀμφότερα ὄντα τῆς συνθέσεως, εἰς οὐδὲν τείνει. ἢ ὡς ἐναντίον ὄντα τῆς πόλεως καὶ τύραννον. Λόγον εὐτράπελον. ἀπολογίαν πιθανὴν καὶ εὐτετραμμένην. Αὐτὸς ἄρχων. προκατάρχων τῆς τυραννίδος μόνος. κατοξείας δὲ σφοδρᾶς καὶ ὀξείας. Καὶ ξυνὼν Βρασίδα. ἀντὶ τοῦ λακωνίζων. ὅτι οἱ λακωνίζοντες τοιαῦτα ἐπετήδευον, ὥστε μακρὰ τὰ κράσπεδα φορεῖν. ὅ ἐστι τοὺς κρωσσούς. φαίνεται οὖν τὸ λεγόμενον εἶναι ὡς λακωνίζων. καὶ βρασίδας γὰρ στρατηγὸς λακεδαιμονίων. ἐκ στεμμάτων δὲ ἀντὶ τοῦ ἐξ ἐρίου. οὐχ ἱμάτια δὲ, ἀλλὰ κράσπεδα στεμμάτων. τοιαῦτα γὰρ φοροῦσιν οἱ λάκωνες. Ναυμαχεῖν. δέον εἰπεῖν μάχεσθαι. Οὐδὲ μὴν γ' οὐδ' ἐν σελίνῳ. παροιμία ἐπὶ τῶν μηδὲ κατὰ τὸ ἐλάχιστον δυνηκότων οἷς ἐπέθεντο. μετενήνεκται δὲ ἀπὸ τῶν κήπων. ἐν γὰρ τοῖς λεγομένοις περικήποις, τὰ σέλινα καὶ πήγανα κατεφύτευον. βούλεται οὖν λέγειν, οὔπω οὐδὲ ἀρχὴν ἔχεις τοῦ πράγματος. καθάπερ οἱ ἐν τοῖς κήποις εἰσιόντες, ἐν τοῖς σελίνοις εἰσίν. Ἄλλως.

Ὦ Κέκροψ. ἑλκόμενος ὑπὸ τῶν οἰκετῶν, τὸν οἰκιστὴν τῆς πόλεως ἐπικαλεῖται. εἰσὶ δὲ οἵ φασι τὸν Κέκροπα διφυᾶ γεγενῆσθαι· καὶ τὰ κάτω ὄφεως ἐσχηκέναι. καὶ διὰ τοῦτο πρὸς τοὔνομα κεχαριέντισται. Οὓς ἐγὼ 'δίδαξα. μή ποτε τοῦτο παροιμιακόν. ἀντὶ τοῦ εἰπεῖν πέττειν καὶ διαπτίζειν, κλάειν εἶπεν. Ἐς τὴν χοίνικα. ὅτι καὶ εἰς τὴν χοίνικα τέσσαρες μεγάλοι ἄρτοι γίνονται. μικροὶ δὲ η. δι' ὧν δὲ αὐτοὺς ὑπομιμνήσκει παλαιᾶς εὐεργεσίας, διὰ τούτων αὐτοὺς ὡς μαστιγίας καὶ ἀνδράποδα ἐλέγχει. οὐ γὰρ μόνον τὸ μέτρον, ἀλλὰ καὶ τὰς πέδας σημαίνει τὸ ὄνομα.

εἰ δὲ μή, πέδας παχείας οὐδὲν ἀριστήσετε.
ὡς ἐγὼ πολλῶν ἀκούσας οἶδα θρίων τὸν ψόφον.
Χο. εἰ δὲ μὴ τοῦτον μεθήσεις, ἕν τι σοι παγήσεται.
Φι. ὦ Κέκροψ ἥρως ἄναξ, τὰ πρὸς ποδῶν Δρακοντίδη.
περιορᾷς οὕτω μ' ὑπ' ἀνδρῶν βαρβάρων χειρούμενον;
οὓς ἐγὼ 'δίδαξα κλάειν τέτταρ' ἐς τὴν χοίνικα;
Χο. εἶτα δῆτ' οὐ πόλλ' ἔνεστι δεινὰ τῷ γήρᾳ κακά;
δηλαδή· καὶ νῦν γε τούτω, τὸν παλαιὸν δεσπότην
πρὸς βίαν χειροῦσιν. οὐδὲν τῶν πάλαι μεμνημένοι
διφθερῶν, κἀξωμίδων, ἃς οὗτος αὐτοῖς ἠμπόλα.
καὶ κυνᾶς. καὶ τοὺς πόδας χειμῶνος ὄντος ὠφέλει.
ὥστε μὴ ῥιγῶν γ' ἑκάστοτ'· ἀλλὰ τούτοις γ' οὐκ ἔνι
οὐδ' ἐν ὀφθαλμοῖσιν αἰδὼς τῶν παλαιῶν ἐμβάδων.
Φι. οὐκ ἀφήσεις οὐδὲ νυνί μ' ὦ κάκιστον θηρίον.
οὐδ' ἀναμνησθεὶς ὅθ' εὑρὼν τοὺς βότρυς κλέπτοντά σε.
προσαγαγὼν πρὸς τὴν ἐλάαν, ἐξέδειρ' εὖ κἀνδρικῶς.
ὥστε σε ζηλωτὸν εἶναι; σὺ δ' ἀχάριστος ἦσθ' ἄρα;
ἀλλ' ἄνες με καὶ σὺ καὶ σύ, πρὶν τὸν υἱὸν ἐκδραμεῖν.
Χο. ἀλλὰ τούτων μὲν τάχ' ἡμῖν δώσετον καλὴν δίκην.
οὐκέτ' ἐς μακράν. ἵν' εἰδῆθ' οἷός ἐστ' ἀνδρῶν τρόπος.
ὀξυθύμων. καὶ δικαίων. καὶ βλεπόντων κάρδαμα.
Βδ. παῖε παῖ' ὦ Ξανθία τοὺς σφῆκας ἀπὸ τῆς οἰκίας.
Ξα. ἀλλὰ δρῶ τοῦτ' ἀλλὰ καὶ σὺ τῦφε πολλῷ τῷ καπνῷ.
Σω. οὐχὶ σοῦσθ' ἐς κόρακας, οὐκ ἄπιτε, παῖε τῷ ξύλῳ.
Ξα. καὶ σὺ προσθεὶς Αἰσχίνην ἔντυφε τὸν Σελλαρτίου.
ἆρ' ἐμέλλομέν ποθ' ὑμᾶς ἀποσοβήσειν τῷ χρόνῳ.

Κἀξωμίδων. ἱμάτια δουλικὰ καὶ ἑτερομάσχαλα. Καὶ κυνᾶς. ταῖς κυνείαις περικεφαλαίαις πρὸς τὸν ὄμβρον ἐχρῶντο. καὶ ἐν Νεφέλαις ὁ πρεσβύτης τὸν ὄμβρον φοβούμενος. τὸ δὲ μὴ κυνῆν οἴκοθεν ἐλθεῖν ἐμὲ τὸν κακοδαίμον' ἔχοντα. Ὥστε μὴ ῥιγῶν. ἀντὶ τοῦ ῥιγοῦν. δώριον δὲ τοῦτο κατακρατῆσαν παρὰ ἀττικοῖς. Τοὺς βότρυς κλέπτοντα. ὡς παλαιῶν αὐτὸν ἀναμιμνήσκων εὐεργεσιῶν. παρὰ τὴν ὑπόνοιαν, αἰκίαν εἰς αὐτὸν γινομένην λέγει. δεικνὺς καὶ ἐν τούτῳ τὸ σκληρὸν αὐτοῦ. Ἀλλὰ τούτων μέν. ἀντὶ τοῦ ὑπὲρ τούτων. ἢ δυϊκῶς χωρὶς τοῦ ν ἀντὶ τοῦ οὗτοι. Κάρδαμα. ἤγουν δριμύτατα. τοιαῦτα γὰρ τὰ κάρδαμα. Τῦφε δὲ. καίων δίωκε. ὁ γὰρ καπνὸς διώκει τὰς μελίσσας καὶ τοὺς σφῆκας. Σοῦσθε. ὁρμᾶσθε. πορεύεσθε. Καὶ σὺ προσθεὶς Αἰσχίνην. ἀντὶ τοῦ καπνὸν εἰπεῖν ἢ πῦρ, Αἰσχίνην εἶπεν. ἐπεὶ καπνὸς ἐκαλεῖτο. Ἄλλως. παίζει παρὰ τὸν Σέλλου Αἰσχί-

Ἀλλὰ μὴ κεκράγατε ταῦτα. ἵνα ἀποδύς ὀρχήσηται ὁ χορὸς καὶ ἀπέλθωσιν οἱ παῖδες. Θεοσεχθρία. καὶ ἄρχιππος ἐν ἰχθύσι. οἴμοι τί δρῶ, μῶν ἔδωκε. πῶς ἔδακεν. κατὰ μὲν οὖν ἔφαγε καὶ ἀπέβρυξε τίς ἡ πανουργία τε καὶ θεοσεχθρία ταυτί. τὰ δέ φησιν, ὡς τοῦ κλέωνος καὶ τοῦ θεώρου, προστατῶν αὐτῶν ὄντων. Ἐν δίκῃ τὸν γοργίου. ἐν τῇ δίκῃ. ἀντὶ τοῦ δικάζοντες. οὗτος δὲ ὁ γοργίας κωμῳδεῖται ὡς προδότης καὶ βάρβαρος. Σμῆνος οἷον. κυρίως τὸ πλῆθος τῶν μελισσῶν. ἀπτιδείως δὲ καὶ ἐνταῦθα τοῦτο εἶπεν ὅτι σφηκῶδες τὸ σύστημα τῶν γερόντων.

Τὰς χελώνας. ὅτι μᾶλλον μακαρίσεις τὰς χελώνας τοῦ δέρματος. ἐπεὶ χελώνης δέρμα ἔχειν ἵνα μὴ τρωθῇς. ὅτι σκληρὸν γὰρ ἔχουσι δέρμα αἱ χελῶναι ὥστε ἀντέχειν πρὸς τὰς πληγάς. Ὦ μίδα καὶ φρύξ. ὀνόματα οἰκετῶν. Εἴθη μὴν πέδαις παχείαις. εἰ δὲ μὴ βοηθήσητε. δέον εἰπεῖν ἐν πέδαις κάμψεσθε, ὁ δὲ εἶπεν οὐδὲν ἀριστήσετε. ἀντὶ τοῦ δεσμευθέντες οὐδὲν μέλλετε φαγεῖν. Οἶδα θρίων τὸν ψόφον. ὅτι παρὰ τὴν παροιμίαν, πολλῶν ἐγὼ θρίων ψόφους ἀκήκοα. τὰ γὰρ θρία καιόμενα ψοφεῖ. εἴρηται δὲ ἡ παροιμία ἐπὶ τῶν διὰ κενῆς θόρυβον καὶ κόμπον ἐμποιούντων διὰ κενῆς.

ΣΤΡΟΦΗ ΚΩΛΩΝ, ΙΑ.

ΧΟ. εἰπέ μοι τί μέλλομεν κινεῖν ἐκείνην τὴν χολήν.
ἥνπερ ἡνίκ' ἄν τις ἡμῶν ὀργίσῃ τὴν σφηκίαν,
νῦν ἐκεῖνο νῦν ἐκεῖνο τοὐξύθυμον
ᾧ κολαζόμεσθα κέντρον ἐντέτατ' ὀξύ.
ἀλλὰ θοἰμάτια λαβόντες ὡς τάχιστα παιδία.
θεῖτε. καὶ βοᾶτε. καὶ κλέωνι ταῦτ' ἀγγέλλετε.
καὶ κελεύετ' αὐτὸν ἥκειν,
ὡς ἐπ' ἄνδρα μισόπολιν.
ὄντα. κἀπολούμενον,
ὅτι τόνδε λόγον εἰσφέρει,
ὡς χρὴ μὴ δικάζειν δίκας.
ΒΔ. ὦ γαθοὶ τὸ πρᾶγμ' ἀκούσατ' ἀλλὰ μὴ κεκράγετε.
ΧΟ. νὴ δί' ἐς τὸν οὐρανόν γ' ὡς τόνδ' ἐγὼ οὐ μεθήσομαι.
ΒΔ. ταῦτα δῆτ' οὐ δεινὰ καὶ τυραννίς ἐστιν ἐμφανής,
ΧΟ. ὦ πόλις καὶ θεώρου θεοσεχθρία.
κεἴ τις ἄλλος προέστηκεν ὑμῶν κόλαξ.
ΞΑ. ἡράκλεις. καὶ κέντρ' ἔχουσιν. οὐχ ὁρᾷς ὦ δέσποτα;
ΒΔ. οἷς γ' ἀπώλεσαν φίλιππον ἐν δίκῃ τὸν γοργίου.
ΧΟ. καὶ σέ γ' αὐτοῖς ἐξολοῦμεν. ἀλλὰ πᾶς ἐπίστρεφε.
δεῦρο. κἀξείρας τὸ κέντρον, εἶτ' ἐπ' αὐτὸν ἵεσο
ξυσταλεὶς εὔτακτος, ὀργῆς καὶ μένους ἐμπλήμενος.
ὡς ἂν εὖ εἰδῇ τὸ λοιπὸν σμῆνος οἷον ὤργισεν.
ΞΑ. τοῦτο μέντοι δεινὸν ἤδη νὴ δί' εἰ μαχούμεθα.
ὡς ἔγωγ' αὐτῶν ὁρῶν δέδοικα τὰς ἐγκεντρίδας.
ΧΟ. ἀλλ' ἀφίει τὸν ἄνδρ' εἰ δὲ μὴ φήμ' ἐγώ,
τὰς χελώνας μακαριεῖν σε, τοῦ δέρματος.
ΦΙ. εἶά νυν γ' ὦ ξυνδικασταὶ σφῆκες ὀξυκάρδιοι
οἱ μὲν, εἰς τὸν πρωκτὸν αὐτοῦ εἰσπέτεσθ' ὠργισμένοι.
οἱ δὲ, τὠφθαλμὼ κύκλῳ κεντεῖτ' οἱ δὲ, τοὺς δακτύλους.
ΒΔ. ὦ μίδα. καὶ φρὺξ, βοηθεῖτε δεῦρο. καὶ μασυντία.
καὶ λάβεσθε τουτουί, καὶ μὴ μεθεῖσθε μηδενί.

Ὦ λύκε δέσποτα. παρὰ τοῖς δικαστηρίοις τὸ τοῦ λύκου ἱερὸν ἦν καὶ ἡρῷον. ὅθεν φασὶν εἰρῆσθαι, λύκου δεκάς. Ἄλλως. λύκου ἡρῷον πρὸς τῷ δικαστηρίῳ ἦν. ὡς ἐμέριζον ὅτι δικαστήρια ἦν, τὸν παρὰ τοῖς λαχοῦσι τῶν ἀθηναίων δικάζειν, δικαστικὸν μισθὸν τριώβολον. Παρὰ τὸν κλάοντα καθῆσθαι. ὡς τῶν καταδικασθέντων, εὐθὺς παρὰ τὸ ἡρῷον κλαόντων. εὐφημότερον δὲ λέγουσιν, ἀντὶ τοῦ κλάων καθῆσο. Κάννας τὰς ψιάθους. λέγεται δὲ καὶ κάννης. καὶ κλίνεται τοῦ κάννητος. ὡς ψιάθοις

σαυτὸν θαρρῶν. κατευξάμενος τοῖσι πατρῴοισι θεοῖσιν.
Φι. ὦ λύκε δέσποτα. γείτων ἥρως. σὺ γὰρ οἷσπερ ἐγὼ κεχάρησαι.
τοῖς δακρύοισι τῶν φευγόντων ἀεὶ καὶ τοῖς ὀλοφυρμοῖς
ᾤκησας γοῦν ἐπίτηδες ἰὼν ἐνταῦθ' ἵνα ταῦτ' ἀκροῷο
κἀβουλήθης μόνος ἡρώων, παρὰ τὸν κλάοντα καθῆσθαι.
ἐλέησον καὶ σῶσον νυνὶ τὸν σαυτοῦ πλησιόχωρον.
κοὐ μή ποτέ σου παρὰ τὰς κάννας οὐρήσω. μηδ' ἀποπαρδῶ.
Βδ. οὗτος, ἐγείρου. Οἰ. τί δὲ πρᾶγμ'. Β. ὥσπερ φωνή με τις ἐγκεκύκλωται.
Οἰ. μῶν ὁ γέρων πῃ διαδύεται; Βδ. μὰ δί' οὐ δῆτ' ἀλλὰ καθιμᾷ.
αὑτὸν δήσας. Οἰ. ὦ μιαρώτατε. τί ποιεῖς, οὐ μὴ καταβήσει;
Βδ. ἀνάβαιν' ἀνύσας κατὰ τὴν ἑτέραν. καὶ ταῖσι φυλλάσι παῖε.
ἤν πως πρύμναν ἀνακρούσηται, πληγεὶς ταῖς εἰρεσιώναις.
οὐ ξυλλήψεσθ' ὁπόσοις δίκαι τῆτες μέλλουσιν ἔσεσθαι;
Φι. ὦ σμικυθίων. καὶ τεισιάδη. καὶ χρήμων, καὶ φερέδειπνε.
πότε δ' εἰ μὴ νῦν ἐπαρήξετέ μοι, πρίν μ' εἴσω μᾶλλον ἄγεσθαι

ἢ τῷ φρατριομένου τοῦ ἥρωος καὶ ἐστεγασμένου φησὶν οὐ παρὰ κάννας οὐρήσω. τουτέστιν οὐκ ἐνυβρίσω σου τὸ ἡρῷον ἀλλὰ τιμήσω. Ἀνάβαιν' ἀνύσας. ὁ οἰκέτης φησὶ διὰ τοῦ ἑτέρου μέρους ἀνάβαινε. Καὶ ταῖσι φυλλάσι. ἐπεὶ κλάδοις παρακελεύεταί τισι παίειν αὐτὸν τοῖς πρὸ τῆς οἰκίας, διὰ τοῦτο ταῖς εἰρεσιώναις εἶπε. τὸ δὲ πρύμναν κρούσασθαι φασί τινες λέγεσθαι, ὅταν μέλλωσι καθίσαι τις οἱ ἐρέται, ἐλαύνοιεν ὀπίσω ἐπὶ τὴν πρύμναν, ὅταν εἰς λιμένα εἰσέρχωνται. ἵνα τὴν πρύμναν εἰς γῆν ἔχωσι νεύουσαν, καὶ τὴν πρῷραν ἔξω. ὅπως αὐτοῦ πρόχειρος εἴη εἰς ἔξοδον ἡ ναῦς. τοῦτο οὖν φησι. παῖε αὐτὸν τοῖς κλάδοις, ὅπως ἀνακρούσηται τὴν πρύμναν. τουτέστιν εἰς τοὐπίσω ἀναδράμῃ. ἀνακρούειν γάρ ἐστι τὰς κώπας, τὸ ἐπέχειν τοῦ δρόμου τοῦ εἰς τὸ ἔμπροσθεν τὴν ναῦν. εἰρεσιώναις δὲ ἁπλῶς τοῖς ξηροῖς κλάδοις. Ὦ σμικυθίων. τοὺς τοῦ χοροῦ ἐξ ὀνόματος καλεῖ. κολαζόμεθα δὲ ἀντὶ τοῦ κολαζόμενοι. Ὦ ἀγαθοὶ τὸ πρᾶγμα. εἴσθεσις διπλῆς ἀμοιβαίας ἐκ στίχων μη. ὧν οἱ πρῶτοι τρεῖς τροχαϊκοὶ τετράμετροι καταληκτικοί. οἱ ἑξῆς δύο ἀντισπαστικοὶ τρίμετροι ἀκατάληκτοι ἐπιμεμιγμένοι ἐπιτρίτοις καὶ διϊάμβοις. οἱ ἑξῆς τούτων ὀκτὼ τροχαϊκοὶ τετράμετροι ὅμοιοι τοῖς πρώτοις. οἱ τούτων ἑξῆς β' ἀντισπαστικοὶ τρίμετροι ὅμοιοι τοῖς ῥηθεῖσιν. ὁ δεύτερος δὲ τὸν β' ἔχει πόδα πεντασύλλαβον. οἱ ἑξῆς δὲ πάντες τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ ὧν τελευταῖος εἴπερ ἔτυχον τῶν μελέων φιλοκλέους βεβρωκότες. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος ἐπὶ δὲ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα.

γὰρ τὸ δίκτυον ἐπήγαγε τὸ δίκτυον ναὶ ἄφετε μὴν ἵλαον ἔσεσθαι. Ἄγοντος. ἀντὶ τοῦ ἄγοντός τι τὰ πρὸς σωτηρίαν καὶ εὑρίσκοντος. τὸ δὲ ἄγοντος γίνεται παρὰ τὸ ἄγω βαρύτονον. οὐ τὸ τρίτον τοῦ παθητικοῦ ἐνεστῶτος, ἄγεται. ὡς τὸ μέγα γὰρ νὺξ ἄγεται. Ἔπαγε τὴν γνάθον. ἀντὶ τοῦ δάκε τῇ γνάθῳ τὸ δίκτυον. τοῖς δικτύοις ἔπαγε τὴν γνάθον καὶ διάκοψον αὐτά. Τὸν περὶ ψυχῆς ἤγουν ἐκφυγεῖν σώζοντα τὴν ψυχήν. Ἵν' εἰδῇ μὴ πατεῖν. καὶ τοῦτο ὡς φιλόδικος. ἔγκλημα δὲ ἦν ὑβρίσαι τὰ μυστήρια.

Χο. ταῦτα μὲν πρὸς ἀνδρός ἐστ' ἄγοντος ἐς σωτηρίαν.
ἀλλ' ἔπαγε δὴ τὴν γνάθον.
Φι. διατετρώξεται τοῦτό γ' ἀλλὰ μὴ βοᾶτε μηδαμῶς.
ἀλλὰ τηρώμεσθ', ὅπως μὴ Βδελυκλέων αἰσθήσεται.

ΣΤΡΟΦΗ ἘΤΕΡΑ ΚΩΛΩΝ, Η.

Χο. Μηδὲν ὦ τᾶν δέδιθι μηδέν. ὡς ἐγὼ τοῦτόν γ' ἐὰν
γρύξῃ τι, ποιήσω δακεῖν.
τὴν καρδίαν.
καὶ τὸν περὶ ψυχῆς δρόμον
δραμεῖν ἵν' εἰδῇ μὴ πατεῖν,
τὰ τοῖν θεοῖν ψηφίσματα.
ἀλλ' ἐξάψας διὰ τῆς θυρίδος τὸ καλῴδιον, εἶτα καθίμα
δήσας σαυτόν. καὶ τὴν ψυχὴν ἐμπλησάμενος Διοπείθους.

ΣΥΣΤΗΜΑ ΚΑΤᾺ ΠΕΡΙΚΟΠΉΝ.

Φι. ἄγε νυν ἢν αἰσθομένω τούτω ζητεῖτον μ' ἐκκαλαμᾶσθαι,
κἀνασπαστὸν ποιεῖν εἴσω τί ποιήσετε. φράζετε νυνὶ
Χο. ἀμυνοῦμέν σοι. τὸν πρινώδη θυμὸν ἅπαντες καλέσαντες.
ὥστ' οὐ δυνατόν σ' εἴργειν τὰ τοιαῦτα ποιήσομεν ἡμεῖς.
Φι. δράσω τοίνυν γ' ὑμῖν πίσυνος. καὶ μανθάνετ' ἤν τι πάθω 'γώ,
ἀνελόντες καὶ κλαύσαντες, θεῖναί μ' ὑπὸ τοῖσι δρυφάκτοις
Χο. οὐδὲν πείσει. μηδὲν δείσῃς. ἀλλ' ὦ βέλτιστε καθίει

ἤδη πάλιν πλέκει αὐτῷ, ἢ δείκνυσιν ὅτι ὡς οὐ χρὴ τὰ μυστήρια εὐτελίζειν, οὕτως οὐδὲ ταῦτα ποιεῖν. Τὰ τοῖν θεοῖν ψηφίσματα. ἀντὶ τοῦ τὰ μυστήρια εἰπεῖν, ψηφίσματα εἶπεν. ὡς δὲ ἐχόντων περὶ ταῦτα. ἢ περὶ ἐκεῖνα ἐσπουδακέναι. καθίμα. ἀντὶ τοῦ, ὑποχάλα. Καὶ τὴν ψυχὴν ἐμπλησάμενος. ὡς παράστημά τι τοῦ Διοπείθους ἔχοντος μανιῶδες. ἦν δὲ ὁ Διοπείθης ἐν ἱερ. μήποτε δὲ οὗτός ἐστιν ὁ καὶ παρὰ Φρυνίχῳ. Καλαμᾶσθαι. ἀνασπάσαι, ἀπὸ τῶν τὴν καλάμην τῶν σπερμάτων ἀνασπώντων. ἕνεκα στέγης τῶν οἰκημάτων. ἢ ἀντὶ τοῦ ἀσιμᾶν. ὡς οἱ τοῖς καλάμοις τοὺς ἰχθύας ἀνέλκοντες. τὸν πρινώδη δὲ τὸν σκληρὸν ἀπὸ τοῦ ξύλου τοῦ πρίνου. μανθάνετε δὲ σκοπεῖτε. τὸ δὲ ἤν τι πάθω, ἀντὶ τοῦ ἐὰν συμβῇ με πεσόντα ἀποθανεῖν. Ἀνελόντες καὶ κλαύσαντες. ἐὰν συμβῇ με πεσόντα ἀποθανεῖν, ἐν τῷ δικαστηρίῳ μεθάψατε. δρύφακτοι γὰρ ξύλινοι θώρακες τὰ διαφράγματα. ἢ τὰ περιτειχίσματα. ἢ κιγκλίδες. περιφράγματα. τὰ νῦν ταβλωτὰ καλούμενα. τὰ τοῦ οἰκοδομήματος ὀξέα ἔχοντα ξύλα. ἐνταῦθα δὲ τὰ σανιδώματα τοῦ δικαστηρίου. διὰ τὸ ἐκ σανίδων καὶ ξύλων τῆς ἰκδρυὸς εἶναι κατεσκευασμένα. λέγει δὲ ἀπὸ μέρους τὸ δικαστήριον.

ται δὲ ἐπὶ τοῦ ὀρνέου τῆς κίττης· ὅπερ ἐπιθυμητικῶς ἔχον τῶν ἀκροδρύων, ταχέως δυσαρεστεῖται. ἐξ ὧν δ' ἂν ἐσθίοι, καὶ πάλιν ἑτέρων ἐπιθυμεῖ· καὶ μεταβάσεις ποιεῖται εἰς ἕκαστον τῶν δένδρων. Διὰ τῶν σανίδων. τῶν δρυφάκτων τῶν ταυλωτῶν τοῦ δικαστηρίου εἰσελθεῖν. ἢ σανίδων φησὶ τῶν περιεχουσῶν τὰ ὀνόματα τῶν εἰσαχθησομένων εἰς τὸ δικαστήριον. ἔδει δὲ ἑκάστην πρῶτον εἰσαχθῆναι καὶ κατὰ τάξιν. Οὐδ' εἰ σέρφῳ. ὅτι ἐν ὄρνισι τινὲς τὸ οὐδ' ἂν καταφαγὼν μύρμηκας ἢ σέρφους,

οὔπω κύπτω διὰ τῶν σανίδων μετὰ χοιρίνης περιελθεῖν.

ΧΟ. ἔστιν ὀπὴ δῆθ' ἥν τιν' ἂν ἔνδοθεν οἷός τ' εἴης διορύξαι.
εἶτ' ἐκδῦναι ῥάκεσι κρυφθεὶς ὥσπερ πολύμητις Ὀδυσσεύς.

ΦΙ. πάντα πέφρακται. κοὐκ ἔστιν ὀπῆς οὐδ' εἰ σέρφῳ διαδῦναι
ἀλλ' ἄλλο τι δεῖ ζητεῖν ὑμᾶς. ὀπίαν δ' οὐκ ἔστι γενέσθαι.

ΧΟ. μέμνησαι δῆθ' ὅτ' ἐπὶ στρατιᾶς κλέψας ποτὲ τοὺς ὀβελίσκους.
ἵεις σαυτὸν κατὰ τοῦ τείχους. ὅτε δή γ' ἡ νάξος ἑάλω;

ΦΙ. οἶδ' ἀλλὰ τί τοῦτ'. οὐδὲν γὰρ τοῦτ' ἔστ' ἐκείνῳ προσόμοιον.
ἥβων γάρ, κἀδυνάμην κλέπτειν. ἴσχυόν τ' αὐτὸς ἐμαυτοῦ.
κοὐδείς μ' ἐφύλαττεν ἀλλ' ἐξῆν μοι
φεύγειν ἀδεῶς. νῦν δὲ σὺν ὅπλοις
ἄνδρες ὁπλῖται διαταξάμενοι,
κατὰ τὰς διόδους σκοπιωροῦνται.
τὼ δὲ δύ' αὐτῶν ἐπὶ ταῖσι θύραις
ὥσπερ μεγάλην κρέα κλέψασαν,
τηροῦσιν ἔχοντ' ὀβελίσκους.

ΣΤΡΟΦΗ ΕΤΕΡΑ ΚΩΛΩΝ ΚΑΙ ΣΤΙΧΩΝ Η.

ΧΟ. Ἀλλὰ καὶ νῦν ἐκπόριζε μηχανὴν ὅπως τάχιστα.
ἕως γὰρ ὦ μελίττιον.

ΦΙ. διατραγεῖν τοίνυν κράτιστόν ἐστί μοι τὸ δίκτυον.
ἡ δέ μοι δίκτυννα συγγνώμην ἔχοι τοῦ δικτύου,

ἐξηγοῦνται καρπὸν τὸν σέρφον. ἔστι δὲ θηρίδιόν τι μικρόν. Κράτης δέ, μύρμηκα φησὶ τὸν σέρφον. οἱ δέ, ζωύφια κωνώπωδες. ἀφ' οὗ ἡ παροιμία, ἔστι κἂν μύρμηκι κἂν σέρφῳ χολή. παραινοῦσα μηδὲ τῶν μικρῶν καταφρονεῖν. Ὀπίαν δ' οὐκ ἔστι. παρὰ τὴν ὀπὴν τὸ ὄνομα. καὶ τυρὸν δὲ λέγουσι τὸν ὀπίαν τὸν τῷ ὀπῷ τῆς συκῆς πηγνύμενον. Μέμνησαι δῆθ'. ὑπομιμνήσκει αὐτὸν παλαιᾶς πράξεως τόλμαν. Ὅτε νάξος ἑάλω. τὴν νάξον, ἐπιτετήρηκε πρὸς τὸν γέροντα. ἑάλω γὰρ ἐπὶ πεισιστράτου. τοῦ δὲ ἑάλω, ἐκτείνουσι τὸ α συνήθως. ἔστι δὲ μία τῶν κυκλάδων νήσων. Σκοπιωροῦνται. κατοπτεύουσι καὶ παραφυλάττουσιν. ἕρμιππος δέ, καὶ ἐπὶ τοῦ ἀπὸ τῆς σκοπῆς θεωρεῖν. Ἀλλὰ νῦν ἐκπόριζε. ἡ ἀμοιβαία αὕτη στροφὴ ἔοικεν εἶναι ἀντιστροφὴ τῆς ἄνω ἐκτεθείσης ὁμοίας στροφῆς. ἀλλ' ἔστιν ἐλλιπής. στίχων γὰρ ἐστὶ καὶ κώλων ὀκτώ. ὧν τὸ πρῶτον τροχαϊκὸν τετράμετρον καταληκτικόν. τὸ β ἰαμβικὸν δίμετρον ἀκατάληκτον καὶ τὸ ς. τὰ δ' ἄλλα ὅμοια τῷ πρώτῳ ἐπὶ τῷ τέλει κορωνίς. Ἕως γὰρ ὦ μελίττιον. ὄρθρος γὰρ ὦ προσφιλέστατον μελίττιον. δηλοῦσι γὰρ ὅτι ἡμέρα γέγονεν. Ἡ δέ μοι δίκτυννα. πρὸς τὴν ἄρτεμιν τοῦτο· ἐπειδὴ ἄγρευτος ἦν. παρὰ δὲ τὸ ὄνομα γελοιάζει. παρὰ

Σ πόδισον ταχέως. τῆξον, καῦσον ὡς ἐν σποδῷ. Κἄπειτ' ἀνελών μ' ἀποφυσήσας. τῶν γὰρ ἀπανθρακιζομένων ἰχθύων, ἀποφυσῶσι τὴν σποδόν. ἢ παρόσον ἐν τῷ ὀπτᾶν φυσῶσιν. ἵνα πλέον ἐγερθῇ τὸ πῦρ καὶ βέλτιον γένηται. Εἰς ὀξάλμην. ὡς ἐπὶ ἰχθύων ὀπτῶν ὀξάλμῃ ἐσθιομένων. Τὰς χοιρίνας ἐν τῷ τῶν ἱππέων δράματι εἴρηται ὅτι χοιρίναις ἐχρῶντο πρὸ τῶν ψήφων οἱ δικασταί. ἦσαν δὲ, κόγχαι τινὲς ὥς φησιν Ἐπαφρόδιτος ἐν ταῖς λέξεσι. Ταῦτά σ' εἴργων. τὸ ἑξῆς, σὺν ἡμῖν καὶ δικάζειν

ὕφεσθε δὲ ὑποχαλᾶτε ἐκ μεταφορᾶς τῶν πλοίων. Τοῦ δ' ἐφίξειν. γράφεται καὶ ὑφέξειν. δι' ὑποχεῖν τι, ὑποχνούμενός τι, ἀποχεῖσθαι ἢ τίνος χάριν. παρὰ δὲ τοῖς τραγικοῖς. ἔφεσις ἡ πρόφασις. τί προφασιζόμενος συγκλείει σε. καὶ τὸ παρ' ὁμήρῳ. οὐδέ τιν' ἄλλου μῦθον ποιήσασθαι ἀπεχθάνεσθε δύνασθε Ἐγὼ δ' οὐ βούλομαι. δείκνυσιν ἐντεῦθεν τὸ φιλόδικον αὐτοῦ. χανεῖν δὲ ἀντὶ τοῦ λέγειν. Ὁ δημολογοκλέων. ὁ τύραννος καὶ ἄρχων τῶν. συνέθηκε τὴν λέξιν ἐκ τοῦ

Διατινθαλέω, σπόδισον ταχέως.
κἄπειτ' ἀνελών μ' ἀποφυσήσας.
ἐς ὀξάλμην ἔμβαλε θερμήν
ἢ δῆτα λίθον με ποίησον, ἐφ' οὗ
τὰς χοιρίνας ἀριθμοῦσιν.

ΣΤΡΟΦΗ ΚΩΛΩΝ ΚΑΙ ΣΤΙΧΩΝ ΙΒ΄.

χο. Τίς γάρ ἐσθ' ὁ ταῦτά σ' εἴργων. κἀποκλείων τὰς θύρας
λέξον. πρὸς εὔνους γὰρ φράσεις.
φι. οὑμὸς υἱός. ἀλλὰ μὴ βοᾶτε. καὶ γὰρ τυγχάνει
οὑτοσὶ πρόσθεν καθεύδων. ἀλλ' ὕφεσθε τοῦ τόνου.
χο. τοῦ δ' ἐφίξειν ὦ μάταιε ταῦτα δρᾶν σε βούλεται;
τίνα πρόφασιν ἔχων.
φι. οὐκ ἐᾷ μ' ὦνδρες δικάζειν. οὐδὲ δρᾶν οὐδὲν κακόν.
ἀλλά μ' εὐωχεῖν ἕτοιμός ἐστ'. ἐγὼ δ' οὐ βούλομαι.
χο. τοῦτ' ἐτόλμησ' ὁ μιαρὸς χανεῖν ὁ δημολογοκλέων,
εἴπερ λέγεις περὶ τῶν νεῶν ἀληθές αὖ;
φι. οὐ γὰρ ἄν ποθ' οὗτος ἁνὴρ τοῦτ' ἐτόλμησε λέγειν.
εἰ μὴ ξυνωμότης τις ἦν.
χο. ἀλλ' ἐκ τούτων ὥρα τινά σοι ζητεῖν καινὴν ἐπίνοιαν.
ἥτις σε λάθρα τἀνδρὸς τουδὶ καταβῆναι δεῦρο ποιήσει.
φι. τίς ἂν οὖν εἴη; ζητεῖθ' ὑμεῖς. ὡς πᾶν ἔγωγε ποιοίην.

δήμου καὶ τοῦ λόγου καὶ τοῦ κλέωνος. δηλῶν τὸ ἀρχικόν. καθάπερ ἐν τῷ δήμῳ ἄρχειν. τοῦτο δὲ εἴρηκε διὰ τὸ τὸν κλέωνα πολυλόγον εἶναι καὶ τοῖς λόγοις ὑπάγειν τὸν δῆμον. ἐπὶ δὲ τὸ αὐτὸ ἦθος κατηνέχθαι, ἐπεὶ ὁ χορὸς πρὸς τοὺς κλέωνος ἐτύγχανεν. Ὅτι λέγεις. ὁ πάλιν δὲ λέγεις περὶ τῶν τριήρων. ἴδιον παρρησίαι ἄγεις περὶ τοῦ δήμου. μελετᾷ δὲ ὁ χορὸς κακουργίαν φάσκων. ἐπειδὴ ὑπὸ χρησίμου τῆς πόλεως λέγεις εἰσηγούμενος περὶ τριηραρχίας ἐγκλείει σε. τινὲς δὲ οὕτως· εἴ τι εἴποις κακὸν περὶ τῶν νεῶν, τοῦτο ἀληθές ἐστι. διαβάλλει δὲ τοῦτον. οὐ γὰρ περὶ νεῶν ἐστιν ὁ λόγος, ἀλλὰ περὶ τοῦ μὴ δικάζειν αὐτόν. ξυνωμότας δὲ ἔλεγον τοὺς ἐπὶ καταλύσει τοῦ δήμου συνερχομένους. δεῦρο δὲ, πρὸς ἡμᾶς. Οὐ κυητιῶ. ἀποθυμῶ, ἀπὸ τῶν ἀρτίως τικτουσῶν γυναικῶν καὶ ἀποθυμουσῶν τινῶν. εἴρηται δὲ ἐπὶ

+ κυουσῶν
322. 6.

τις ἀπάγξοιτο. Μισθαρίου ὡς τριωβόλου τοῦ δικαστικοῦ ὄντος μισθοῦ. Σῦκα μ᾽ αἰτεῖς. ἤγουν τρυφᾶν βούλει. ὅτι τρυφὴν φασὶ τὸ ἐσθίειν ἰσχάδας. Πόρον Ἕλλας. νῦν πόρον, τὸν πορισμὸν φησίν. ἐπήνεγκε δὲ τοῦτο παρὰ τὸ πινδαρικόν. παιδεύματι μὲν ὑπερπόντιον Ἕλλας πόρον ἱερόν. Πράγματα βόσκειν. ὁ λόγος ἐκ Θησέως Εὐριπίδου. ἐκεῖ γὰρ ταῦτα λέγουσιν οἱ πεμπόμενοι παῖδες εἰς βορὰν τῷ Μινωταύρῳ. τὸ δὲ ἑξῆς, τὸ αἰόκητον ἄρα, ἀπολυτός ἐστιν ὁ λέγων ἐκεῖ. αἰόκητον ἄγαλμα πάτερ οἴκοισι τεκών. Θυλάκιον. ὡς αὐτοῦ βαστάζοντος θύλακον. Ὑπὸ τῶνδε τῶν οἰκετῶν. Ἐπὶ τοὺς καδίσκους. τοὺς ἐν τῷ δικαστηρίῳ κάδους, ἐν οἷς τὰς ψήφους καθίεσαν ὑποκοριστικῶς λέγει. ὀνομάζει δὲ ἀπὸ μέρους τὸ δικαστήριον. ὡς καὶ πρότερον κλεψύδραν αὐτὸ εἴρηκεν, ἀπὸ τοῦ κειμένου ἐν αὐτῷ ἀγγείου. πρὸς ὃ οἱ ῥήτορες ἔλεγον. Ἐπὶ τοὺς καδίσκους. τοὺς κάδους τῆς κλεψύδρας ὅπου αἱ ψῆφοι. ὑποκοριστικῶς δὲ τοὺς κάλπεις. ἔνθα τὰς ψήφους καθίεσαν δικάζοντες. ἐκ τούτου δὲ δηλοῖ, τὴν ἐπὶ τὸ δικαστήριον ἄφιξιν. Κακόν τι ποιῆσαι. καταδικάσαι τινά. Καπνὸν ἐξαίφνης. ὥς τι διὰ βραχύτητα, τῶν ὀπῶν τὴν ἔξοδον ποιήσασθαι. Ἢ τὸν Σέλλου. ἐπεὶ καπνὸν εἶπεν, ἐπήνεγκε τούτους ὡς ἀλαζόνας. οὓς λέγουσι καπνὸν Προξενίδου καὶ Αἰσχίνου τοῦ Σέλλου, καὶ ἐν Ὄρνισι μέμνηται Προξενίδου ὡς ἀλαζονικοῦ. Ψευδαμάμαξυν. εἶδος ἀμπέλου ἡ ἀμάμαξυς. ἣν λέγουσιν ἀναδενδράδα. ὅλον δὲ εἴρηται παρὰ τὸ ψεύδεσθαι τὸν Αἰσχίνην καὶ ψοφώδη κομιδῇ λέγειν. καὶ τὸ ξύλον γὰρ τῆς ἀμαμάξυος καιόμενον ψόφον ἀποτελεῖ. διαπειθαλέω δὲ διαθέρμω.

τρίτον αὐτὸν τ᾽ ἔχειν ἄλφιτα δεῖ καὶ
ξύλα κὤψον. σὺ δὲ νῦν σῦκά μ᾽ αἰτεῖς.
Παῖ. ἄγε νῦν ὦ πάτερ. ἢν μὴ
τὸ δικαστήριον ἄρχων
καθίσῃ νῦν, πόθεν ὠνη-
σόμεθ᾽ ἄριστον. ἔχεις ἐλ-
πίδα χρηστήν τινα νῷν, ἢ
πόρον Ἕλλας ἱερόν.

ΣΤΡΟΦΗ.

Χο. Ἀπαπαῖ φεῦ.
μὰ Δί᾽. οὐκ οὖν ἔγωγε νῷν
οἶδ᾽ ὁπόθεν δεῖπνον ἔσται.
Παῖ. Τί με δῆτ᾽ ὦ μελέα μῆτερ ἔτικτες.
ἵν᾽ ἐμοὶ πράγματα βόσκειν παρέχῃς.
Χο. Ἀνόνητον ἄρα σ᾽ ὦ θυ-
λάκιόν γ᾽ εἶχον ἄγαλμα.
Παῖ. ἒ ἔ. πάρα νῷν στενάζειν.
Φι. φίλοι. πάλαι μὲν τήκομαι διὰ τῆς ὀπῆς
ὑμῶν ὑπακούων. ἀλλ᾽ οὐχ οἷός τ᾽ εἰμ᾽ ᾄδειν.
τί ποιήσω. τηροῦμ᾽ ὑπὸ τῶνδ᾽ ἐπεὶ
βούλομαί γε πάλιν μεθ᾽ ὑμῶν
ἐλθὼν ἐπὶ τοὺς καδίσκους,
κακόν τι ποιῆσαι.
ἀλλ᾽ ὦ Ζεῦ. μέγα βρόντα. ἤ με
ποίησον καπνὸν ἐξαίφνης
ἢ Προξενίδην ἢ τὸν Σέλ-
λου. τοῦτον τὸν ψευδαμάμαξυν.
τόλμησον ἄναξ χαρίσασθαί μοι
πάθος οἰκτείρας, ἤ με κεραυνῷ

ποικίλλεις. καὶ εἰς ὕδωρ γράφεις. καὶ αἰθίοπα λευκαίνεις. καὶ κατὰ θαλάττης σπείρεις καὶ τὰ τοιαῦτα. Διὰ τὸν χεσιανὸν ἄνθρωπον. σχάζεται ἑτέραν πρόφασιν καὶ ὡς κρινομένου τινὲς καὶ διαφεύγοντος τὴν δίκην, ἀναξίως φησὶν αὐτὸν ὀδυνηθῆναι. Τἀν Σάμῳ. τὰ περὶ σάμου, ἐννεακαιδεκάτῳ ἔτει πρότερον ἐπὶ περικλέους ἄρχοντος γέγονε. μιλησίων γάρ ποτε καὶ σαμίων μαχομένων, ἀθηναῖοι παρακληθέντες ὑπὸ μιλησίων εἰς συμμαχίαν, ἐπεστράτευσαν κατὰ τῶν σαμίων, περικλέους ἡγουμένου τοῦ ξανθίππου. κακῶς δὲ διατεθέντες σάμιοι, ἐπεχείρησαν πρὸς τὸν βασιλέα τῶν περσῶν ἐπελθεῖν. καὶ δὴ τοῦτο μαθόντες ἀθηναῖοι, τριήρεις πολεμικὰς κατ' αὐτῶν κατεσκεύασαν, περικλέους στρατηγησαμένου αὐτῶν. τοῦτο δὲ μαθόντες σάμιοι, μηχανήν τινα κατεσκεύασαν κατ' αὐτῶν. ἣν μαθόντες ἀθηναῖοι ὑπό τινος καρυστίωνος, ἐφυλάξαντο. καὶ σαμίους μὲν κακῶς διέθηκαν. τὸν δὲ καρυστίωνα ἐτίμησαν σφόδρα μετὰ τοῦ γένους. καὶ τῆς αὐτῶν πολιτείας ἠξίωσαν. ὡς οὖν τινος ἐξαπατήσαντος καὶ εἰπόντος ἑαυτὸν εἶναι μηνυτὴν τοῦ σκαιοῦ ῥήματος τῶν σαμίων καὶ διὰ τοῦτο ἀπολυθέντος, φησὶν ὀδυνῆσθαι τὸν φιλοκλέωνα. ὡς ταῖς καταδίκαις μᾶλλον χαίροντα. Ἀλλ' ὦγαθ' ἀνίστασο. πρὸς τὸν φιλοκλέωνα φησί. παχὺς δὲ πλούσιος. ἐκ δὲ τοῦ ἐναντίου λεπτοὺς τοὺς πένητας φασίν. Ἐγχυτριεῖς. ἀντὶ τοῦ φονεύσεις. ἐκ τοῦ παρεπομένου. καὶ ἐγχύτριαι, αἱ τὰς χοὰς τοῖς τετελευτηκόσιν ἐπιφέρουσαι. μίνως ἐν τῷ περὶ νόμου. ἔλεγον δὲ καὶ τὸ βλάψαι καταχυτρίσαι ὡς ἑτέρωθι ἀριστοφάνης. ἐγχυτρίας δὲ λέγεσθαι καὶ ὅσαι τοὺς ἐναγεῖς καθαίρουσιν, αἷμα ἐπιχέουσαι ἱερείου καὶ τὰς θρηνητρίας. ἔτι γε μὴν καὶ τὰς μαίας τὰς ἐκτιθείσας ἐν χύτραις τὰ βρέφη. Ὕπαγε εἰς τὴν οἰκίαν δηλονότι ὡς καταστάντων αὐτῶν. παπία δὲ, πάτερ. Οὐκ ἂν μὰ τὸν δία. ὠνήσομαι δηλονότι ἰσχάδας, εἰ κρέμασθέ γ-

διὰ τὸν χεσιόν γ' ἄνθρωπον, ὃς ἡμᾶς διεδύετ'
ἐξαπατῶν, καὶ λέγων ὡς φιλαθήναιος ἦν. καὶ
τἀν σάμῳ πρῶτος κατείποι. διὰ τοῦτ' ὀδυνηθεὶς,
εἶτ' ἴσως κεῖται πυρέττων.
ἔστι γὰρ τοιοῦτος ἀνήρ. ἀλλ' ὦγαθ' ἀνίστασο μηδ' οὕ
σαυτὸν ἔσθιε. μηδ' ἀγανάκτει. (τω
καὶ γὰρ ἀνὴρ παχὺς ἥκει τῶν προδόντων
τἀπὶ θρᾴκης. ὃν ὅπως ἐγχυτριεῖς.

ὉΜΙΟΣΤΡΟΦΑ.

Παῖ. ὕπαγ' ὦ παῖ ὕπαγε.
ἐθελήσεις τί μοι οὖν ὦ
πάτερ ἤν σού τι δεηθῶ;
Χο. πάνυ γ' ὦ παιδίον. ἀλλ' εἰ

ΣΤΡΟΦΗ.

πὲ τί βούλει με πρίασθαι
καλόν. οἶμαι δ' ἐρεῖν ἀ
στραγάλους δή πουθεν ὦ παῖ.

ΣΥΣΤΗΜΑ.

Παῖ. μὰ Δί'. ἀλλ' ἰσχάδας ὦ παπία. ἥδιον γάρ.
Χο. οὐκ ἂν μὰ τὸν Δί' εἰ κρέμαισθέ γ' ὑμεῖς.
Παῖ. μὰ Δί' οὐκ ἄρα προπέμψω σε τὸ λοιπόν.

ΣΤΡΟΦΗ.

Χο. ἀπὸ γὰρ τοῦδέ με τοῦ μισθαρίου νῦν,

Οὑτοιὶ μύκητες. φασὶν ὅτι ὑετοῦ μέλλοντος γίνεσθαι, οἱ περὶ τὴν θρυαλλίδα τοῦ λύχνου σπινθῆρες ἀποπηδῶσιν· οὓς μύκητας νῦν λέγει. ὡς τοῦ λύχνου ἐναντιουμένου τῷ νοτερῷ ἀέρι. καὶ Ἄρατος· ἢ λύχνοιο μύκητες ἐγείρονται περὶ μύξαν. νύκτα κατὰ νοτίην. τινὲς δέ φασι τὸν μύκητα ζωΰφιόν τι εἶναι λεπτότατον πάνυ σκνιπὶ ἐοικός. ὃ δι' ὑπερβολὴν λεπτότητος τῆς ψύξεως τῆς περὶ τὸν ἀέρα βαθύτερον ἀντιλαμβανόμενον περὶ τὸν λύχνον ἵπταται θέρμης ἐπιθυμοῦν. καὶ περικροῦον ἐν τῷ λύχνῳ,

ἔπεισι, γοῦν τοῖσι λύχνοις, οὑτοιὶ μύκητες.
φιλεῖ δ᾽ ὅταν ᾖ τοῦτο, ποιεῖν ὑετὸν μάλιστα.
δεῖται δὲ καὶ τῶν καρπίμων ἅττα μή 'στι πρώϊμα,
ὕδωρ γενέσθαι. κἀπιπνεῦσαι βόρειον αὐτοῖς.
τί χρῆμ' ἄρ' οὑκ τῆς οἰκίας τῆσδε συνδικαστὴς
πέπονθεν. ὡς οὐ φαίνεται δεῦρο πρὸς τὸ πλῆθος.
οὐ μὴν πρὸ τοῦ γ' ἐφολκὸς ἦν. ἀλλὰ πρῶτος ἡμῶν
ἡγεῖτ' ἂν ᾄδων Φρυνίχου καὶ γάρ ἐστιν ἀνὴρ
φιλῳδός. ἀλλά μοι δοκεῖ, στάντας ἐνθάδ' ὦνδρες,
ᾄδοντας αὐτὸν ἐκβαλεῖν, ἤν τι πως ἀκούσας
τοὐμοῦ μέλους, ὑφ' ἡδονῆς ἐξερπύσῃ θύραζε.

ΧΟΡΟΥ ΜΕΛΟΣ.

Τί ποτ' οὐ πρὸ θυρῶν φαίνετ' ἄρ' ἡμῖν
ὁ γέρων. οὐδ' ὑπακούει. μῶν ἀπολώλεκε τὰς ἐμ-
βάδας, ἢ προσέκοψε τῷ σκότῳ τὸν δάκτυλόν που.
εἶτ' ἐφλέγμηνεν αὐτοῦ τὸ σφυρὸν γέροντος ὄντος.
καὶ τάχ' ἂν βουβωνιῴη; ἦ μὴν πολὺ δριμύτατος
γ' ἦν τῶν παρ' ἡμῖν. καὶ μόνος οὐκ ἂν ἐπείθετο.
ἀλλ' ὁπότ' ἀντιβολοίη τις, κάτω κύπτων ἂν οὕτω
λίθον ἕψεις ἔλεγεν. τάχα δ' ἂν

ποιεῖ σπινθῆρας. ὅθεν τεκμαίρονται τὸν ὑετόν. καὶ Καλλίμαχος· ἄδδην ἐγένοντο μύκητες. Δεῖται δὲ, ἐμφαίνει διὰ τούτων τὸ γεωργικὸν ἦθος συμπαραδεικνύων ὅτι μέλει αὐτοῖς τῶν καρπίμων. Ἐφολκὸς ἦν. ἐφολκὶς κυρίως λέγεται ὁ λέμβος, ἤτοι ἡ μικρὰ ναῦς ἡ ὑφ' ἑτέρας μεγίστης νεὼς ἑλκομένη, διὰ βραδυτῆτα. φησὶ γοῦν καὶ ἐνταῦθα. ὅτι οὐχ ὑπό τινος ἑλκόμενος ἐξήρχετο. ἀλλὰ πρῶτον ἡγεῖτο ἡμῶν. νυνὶ δέ τι παθὼν οὐκ ἐξέρχεται. Στάντες. πρὸ τῶν θυρῶν τοῦ Φιλοκλέωνος στάντες οἱ τοῦ χοροῦ, τὸ στάσιμον ᾄδουσι μέλος. τῶν γὰρ χορικῶν μελῶν, τὰ μέν ἐστι παροδικά, ὡς τὸ ἀέναοι νεφέλαι ἀρθῶμεν φανεραί. καὶ τὸ προειρημένον ἐνταῦθα. χώρει προβαίν' ἐρρωμένως. τὰ δὲ στάσιμα, ὡς τὸ παρόν. καὶ παρ' Αἰσχύλῳ· στένω σε τᾶς οὐλομένας τύχας Προμηθεῦ. τὰ δὲ, προῳδικά. τὰ δὲ μεσῳδικά. τὰ δὲ ἐπῳδικά. περὶ ὧν προείρηται τίνος χάριν οὕτω καλοῦνται. τὰ δὲ ἐξῳδικά. ἢ ὑποχωρητικά, ἅπερ ἐπὶ τῇ ἐξόδῳ τοῦ δράματος ᾄδεται. ὡς ἐν τῷ Πλούτου δράματι. τὸ οὐκέτι νῦν γ' εἰκὸς μέλλειν οὐδ' ἡμᾶς ἀλλ' ἀναχωρεῖν, εἰς τοὔπισθεν. δεῖ γὰρ κατόπιν τούτων ᾄδοντας ἕπεσθαι. Μῶν ἀπολώλεκε τὰς ἐμβάδας. ἐκ τοῦ σκότους τὴν τοῦ γέροντος ἐπὶ τὰ ἔνδον διατριβὴν τεκμαίρεται. βουβωνιῴη δὲ τὸν βουβῶνα ἀλγοίη.

Ἀλλ' ὁπότ' ἂν ἤγουν ὁπότε μεταστῆσαι τοῦ δικάζειν παρεκάλει αὐτόν τις, ὅπως ἂν μὴ αἰδεσθείη διὰ τῶν ὀφθαλμῶν, κάτω κύπτων, λίθον ἕψεις ἔλεγεν. παροιμία δέ ἐστιν ἐπὶ τῶν ἀδυνάτων γίνεσθαι. τὸ λίθον ἕψεις. ὡς καὶ τὸ πλίνθον πλύνεις. καὶ χύτραν

Σίμβλον δ᾽ ἔφασκε. σίμβλον κυρίως εἰσὶν αἱ θῆκαι ἔνθα αἱ μέλισσαι ἀποτίθενται τὸ μέλι. ὡς τοῦ Λάχητος δὲ τὰ δημόσια σφετερισαμένου, καὶ πλουτήσαντος. Χθὲς οὖν Κλέων. κατ᾽ ἐπιταγὴν δὲ τοῦ στρατηγοῦ καὶ οἱ δικασταὶ ἐκαλοῦντο. ὥρα δὲ νῦν, οὐχ ὁ καιρός. ἀλλὰ ταχέως. Ἡμερῶν ὀργὴν τριῶν. παρὰ τὸ κηρύσσεσθαι σιτία ἡμερῶν τριῶν τοῖς στρατιώταις ἔπαιξε. κολουμένους δὲ, κατὰ αὐτοῦ κολάσοντας. Ὦ πάτερ πάτερ. παρέπονται αὐτοῖς παῖδες καὶ πιθανῶς. ἵνα ἡ ὀρχήστρα πληρωθῇ. παῖς δέ τις προηγούμενος μετὰ λύχνου προεωρακὼς πηλόν. τὸ δὲ μέτρον ἐντεῦθεν ἤλλαξεν. ἔστι γὰρ μικτόν. συντεθὲν ἔκ τε ἰαμβικοῦ τριμέτρου ἀπληκτικοῦ, καὶ ἰθυφαλλικοῦ. ὁ δὲ ἰθύφαλλος τροχαϊκὴν συζυγίαν ἔχει δίμετρον βραχυκατάληκτον. τουτέστι τρεῖς τροχαίους. Κάρφος χαμᾶθεν. ἐν κάρφει γὰρ ἠρέμα, τις προμύσσει. πρὸς τοὺς παῖδας δέ φησι τοὺς προπέμποντας αὐτόν. Ἀλλὰ τῳδί μοι. δεικτικῶς τῷ λιχανῷ δακτύλῳ. προβύσσειν δὲ, εἰς τὸ ἔμπροσθεν βαλεῖν τὸ ἐλλύχνιον. Τί δὴ μαθών. ὡς τοῦ παιδὸς τῷ δακτύλῳ ἀπώσαντα μὲν τὸ ἐλλύχνιον. καὶ ἐν τοσούτῳ ἐλαίου ἐκχυθέντος. εἷς τῶν πρεσβυτῶν, ὃς καὶ πατὴρ τοῦ παιδίου ἀγανακτήσας, κονδύλους αὐτῷ δίδωσιν. Εἰς τὸ αὐτό. τοῦτο εἰπὼν δίδωσιν αὐτῷ κόνδυλον. Οὐ γὰρ δάκνει σ᾽ ὅταν δέῃ. οὐ γὰρ λυπεῖ σε τὸ ἔλαιον πολλοῦ πιπρασκόμενον. οὐ γὰρ αὐτὸς ἀγοράζεις. πατρὸς δὲ υἱὸς σμικρολόγου. Ὥσπερ ἀτταγᾶς. ὁ ἀτταγᾶς ὄρνεόν ἐστι πετώμενον ἐν ἕλεσι, καὶ πηλώδεσι τόποις καὶ τέλμασιν. ὃν ἡμεῖς φαμὲν ἀτταγῆνα. Τυρβάσεις. ἀντὶ τοῦ ταράξεις. ὁ δὲ ἀτταγᾶς, ὄρνεόν ἐστιν εὑρισκόμενον ἐν τοῖς ἕλεσι. καὶ πετώμενον ἐν τοῖς πηλώδεσι τόποις.

Σύμβλον δέ φασι χρημάτων ἔχειν ἅπαντες αὐτόν.
Χθὲς οὖν Κλέων ὁ κηδεμὼν ἡμῖν ἐφεῖτ᾽ ἐν ὥρᾳ
ἥκειν ἔχοντας ἡμερῶν ὀργὴν τριῶν πονηράν.
ἐπ᾽ αὐτὸν ὡς κολουμένοις ὧν ἠδίκησεν. ἀλλὰ γὰρ
σπεύσωμεν ὦνδρες ἥλικες, πρὶν ἡμέραν γενέσθαι.
χωρῶμεν. ἅμα τε τῷ λύχνῳ πάντῃ διασκοπῶμεν.
μή που λαθών τις ἡμᾶς ἐμποδὼν κακόν τι δράσῃ.
Παι. τὸν πηλὸν ὦ πάτερ πάτερ σὺ τουτονὶ φύλαξαι,
Χο. κάρφος χαμᾶθεν σὺ νῦν λαβὼν, τὸν λύχνον πρόβυσον.
Παι. οὐκ. ἀλλὰ τῳδί μοι γε νῦν δοκῶ τὸν λύχνον προβύσειν.
Χο. τί δὴ μαθὼν, τῷ δακτύλῳ τὴν θρυαλλίδ᾽ ὠθεῖς.
καὶ ταῦτα τοὐλαίου σπανίζοντος ὦνόητε σύ.
οὐ γὰρ δάκνει σ᾽ ὅταν δέῃ τίμιον πρίασθαι.
Παι. Εἰ νὴ Δί᾽ αὖθις κονδύλοις νουθετήσεθ᾽ ἡμᾶς,
ἀποσβέσαντες τοὺς λύχνους, ἄπιμεν οἴκαδ᾽ αὐτοί.
κἄπειτ᾽ ἴσως ἐν τῷ σκότῳ τουτουὶ στερηθεὶς,
τὸν πηλὸν ὥσπερ ἀτταγᾶς τυρβάσεις βαδίζων.
Χο. ἦ μὴν ἐγώ σου χἀτέρους μείζονας κολάζω.
ἀλλ᾽ οὑτοσί μοι βόρβορος φαίνεται πατοῦντι
κοὐκ ἔσθ᾽ ὅπως οὐχ ἡμερῶν τεττάρων τὸ πλεῖστον
ὕδωρ ἀναγκαίως ἔχει τὸν θεὸν ποιῆσαι.

καὶ τοῦ στρατοῦ. Ὅμοιον σφηκιᾷ. αὐτὶ τοῦ σφηκώδεις εἰσὶ καὶ κεντρώδεις. ἐν σχήματι γὰρ σφηκῶν εἰσάγονται. Ἐκ τῆς ὀσφύος. ὅτι ἐν σχήματι σφηκῶν εἰσάγει τὸν χορὸν, προβάλλοντα ἐκ τῆς ὀσφύος κέντρον τι ὀξύτατον. πεποίηκε δὲ τοῦτο διὰ τὸ τοὺς γέροντας, καὶ τοὺς δικαστὰς ὀξυχόλους εἶναι καὶ δίκην σφηκῶν τιτρώσκειν τοῖς λόγοις. Ὦ κωμία βραδύνεις. ἀντὶ τοῦ ἐβράδυνας εἰς τὸ δικαστήριον ἐλθεῖν. οἱ τοῦ χοροῦ δὲ ἀλλήλοις ἐγκελευόμενοι, τὴν πάροδον ποιοῦνται. ὄνομα δὲ γέροντος ὁ κωμίας. καὶ ἴσως πεποίηται παρὰ τὴν κώμην. κύνειος δὲ, εὔζωνος καὶ ἰσχυρός. χαρινάδης δὲ ὄνομα γέροντος. Κονθυλεῦ. κονθύλη δῆμος ἀττικῆς τῆς πολεμαΐδος φυλῆς, ἢ πανδίονος. Χάβης. οὕτως ἡρωδιανὸς ἐν τῷ τρίτῳ τῆς καθόλου παρατίθεται τὸ ὄνομα διὰ τοῦ β, χάβης. τὸ δὲ, φλυεὺς ἀπὸ δήμου. Πάρεσθ' ὃ δὴ λοιπόν. ὅ ἐστιν ὑπόλοιπον ἡμῶν ἤκομεν· διὸν τὸ λοιπὸν καὶ τὸ λείψανον τοῦ συστήματος ἡμῶν πάρεστι. τοῦτο δ' ἐπειδὴ ἐν νυκτὶ τὴν πορείαν ἐποιοῦντο. Τῆς ἀρτοπώλιδος. παρ' ὑπόνοιαν τοῦτο, δίον εἰπεῖν, τοῖς πολεμίοις ἐχειρωσάμεθα.

τὸ τῶν γερόντων ἔθνος ὅμοιον σφηκιᾷ.
ἔχουσι γὰρ καὶ κέντρον ἐκ τῆς ὀσφύος
ὀξύτατον, ᾧ κεντοῦσι. καὶ κεκραγότες
πηδῶσι. καὶ βάλλουσιν ὥσπερ φέψαλοι.

Οἰ. Μὴ φροντίσῃς. ἐὰν ἐγὼ λίθους ἔχω.
πολλῶν δικαστῶν σφηκιὰν διασκεδῶ.

ΣΤΡΟΦΗ ΣΤΙΧΩΝ, ΙΗ.

Χο. Χώρει. πρόβαιν' ἐρρωμένως. ὦ κωμία. βραδύνεις.
μὰ τὸν δί', οὐ μέντοι πρὸ τοῦ γ'. ἀλλ' ἦσθ' ἱμὰς κύνειος.
νυνὶ δὲ κρείττων ἐστὶ σοῦ χαρινάδης βαδίζειν.
ὦ στρυμόδωρε κονθυλεῦ. βέλτιστε συνδικαστῶν.
εὐεργίδης ἆρ' ἐστί που 'νταῦθ', ἢ χάβης ὁ φλυεύς.
πάρεσθ' ὃ λοιπόν γ' ἔτ' ἐστὶν, ἀππαπαῖ. παπαῖ. παππαιάξ.
ἥβης ἐκείνης ἡνίκ' ἐν βυζαντίῳ ξυνῆμεν,
φρουροῦντ' ἐγώ τε καὶ σύ. κᾆτα περιπατοῦντε νύκτωρ
τῆς ἀρτοπώλιδος λαθόντ' ἐκλέψαμεν τὸν ὅλμον.
κᾆθ' ἥψομεν τοῦ κορκόρου, κατασχίσαντες αὐτόν.
ἀλλ' ἐγκονῶμεν ἄνδρες. ὡς ἔσται λάχητι νυνί.

ἢ λόχον τινὰ ἐπεκτησάμεθα. Τὸν ὅλμον. ξυλίνου ὄντος τοῦ ὅλμου. καὶ ἡσίοδος. ὅλμον μὲν τριπόδην τάμνειν. Ἄλλως. ὁ ὅλμος τὸ μαγειρικὸν ὄργανον καὶ ὁ τρίπους τοῦ ἀπόλλωνος καὶ ὁ λμειὸς στρογγύλος λίθος εἰς ὃν κόπτουσι τὰ ὄσπρια καὶ ἄλλα τινά. Τοῦ κορκόρου. πρὸς τὸν λυκόφρονα. κόρκορον λέγονται ἰχθύδιόν τι. ἢ πάντως δὲ ὥς φησιν ἐρατοσθένης. ἔστι γὰρ λάχανόν τι ἄγριον καὶ εὐτελές. ἐν πελοποννήσῳ. ὡς καὶ ἡ παροιμία. καὶ κόρκορος ἐν λαχάνοις. τὸ δὲ κατασχίσαντες αὐτὸν τὸν ὅλμον δηλονότι. οὐ γὰρ τὸν κόρκορον. Ὡς ἔσται λάχητι νυνί. ἡ δίκη ἡ τιμωρία ἢ τοιοῦτόν τι. τοῦτο δέ φησιν ὡς τοῦ κλέωνος εἰς δίκην ἐπαγαγόντος τὸν λάχητα. στρατηγῆσαι δὲ αὐτόν φησι δημήτριος πρὸ ἐτῶν ἐτῶν εἰς σικελίαν πεμφθέντα μετὰ νεῶν λεοντίνοις βοηθήσοντα. οἱ δὲ περὶ τὸν φιλόχορον, διαδέξασθαι αὐτὸν σωστοφοκλέα καὶ πυθόδωρον, οὓς καὶ φυγῇ ζημιωθῆναι. εἰκὸς γοῦν μετακληθῆναι αὐτὸν ἐπὶ τὴν κρίσιν. ἧς νῦν ὁ κωμικὸς μνημονεύει.

Τὸ βώλιον. ἡ βῶλος ὑποκοριστικῶς. ἐν ὅσῳ δὲ ἕλκει ἐκ τῆς στέγης, ἔπεσε κατ' αὐτοῦ μικρὸς λίθος. Ὀροφίας. ἀντὶ τοῦ εἰπεῖν μῦς ὀροφίας. λέγονται μῦς ὀροφίαι καὶ ὄφεις, οἱ περὶ τὰς ὀροφὰς διάγοντες καὶ ταύτας κατατρώγοντες. Στρουθὸς ἀνὴρ γίνεται. ἐπειδὴ ἀναπηδᾷ ὁ γέρων ταῦτά φησιν ὁ οἰκέτης. Σοῦ σοῦ. ἀποσοβοῦσι τὸν γέροντα ὡς στρουθόν. ὡς εἰώθαμεν τὰ ὄρνεα σοβεῖν. Σκιώνην. φιλόχορος ἐπὶ ἰσάρχου φησὶν, πρὸ ἐνιαυτοῦ βρασίδαν ἀποστῆσαι σκιωνεῖς τῶν ἀθηναίων. ἀθηναίους δέ φασι λ' τριήρεις πρότερον πέμψαντας, σκιώνην περιτειχίσαι. ὕστερον δὲ μαθόντας ἀποστῆναι αὐτῶν, ἀποστεῖλαι στρατὸν καὶ πολιορκῆσαι καὶ ἀποτειχίσαι αὖθις ὡς τὸ πρότερον. ἔστι δὲ χωρίον θρᾴκης πολέμιον ἀθηναίοις. ἣν ἐφρούρουν ἐπιεικῶς. ἣν πολιορκήσαντες ἀπετείχισαν. Ἀντὶ τούτου, ἀντὶ τοῦ πατρὸς τούτου. ἵνα ᾖ ὁ οἰκέτης λέγων περὶ τοῦ πατρὸς τοῦ βδελυκλέωνος. Ὅσον στίλην. ὅτι σημαίνει τὸ ἐλάχιστον. καλλίστρατος δὲ, νόσμα πού τι ἐλάχιστον. Ἀλλ' ὦ πόνηροι. πρὸς τοὺς οἰκέτας τὸ, ὦ πόνηροι. Παρακαλοῦντες τουτονί. ἀντὶ τοῦ ἐκκαλοῦντες. οὐχ ὡς ἐν τῇ συνηθείᾳ ἐπὶ τοῦ ἀξιοῦν.

πόθεν ποτ' ἐμπέπτωκέ μοι τὸ βώλιον;
Οἰ. ἴσως ἄνωθεν μῦς ἐνέβαλέ σοι ποθέν.
Οἰ. μῦς οὐ μὰ δί' ἀλλ' ὑποδυόμενός τις οὑτοσὶ,
ὑπὸ τῶν κεραμίδων ἡλιαστὴς ὀροφίας
Οἰ. οἴμοι κακοδαίμων, στρουθὸς ἀνὴρ γίγνεται.
ἐκπτήσεται. ποῦ ποῦ 'στί μοι τὸ δίκτυον
σοῦ. σοῦ. πάλιν σοῦ. νὴ δί' ἦ μοι κρεῖττον ἦν.
τηρεῖν σκιώνην, ἀντὶ τούτου τοῦ πατρός.
Οἰ. ἄγε νυν ἐπειδὴ τουτονὶ σεσοβήκαμεν,
κοὐκ ἔσθ' ὅπως διαδὺς ἂν ἡμᾶς ἔτι λάθοι,
τί οὐκ ἀπεκοιμήθημεν ὅσον ὅσον στίλην
Βδε. ἀλλ' ὦ πόνηρ', ἥξουσιν ὀλίγον ὕστερον.
οἱ συνδικασταὶ, παρακαλοῦντες τουτονί.
τὸν πατέρα. Οἰ. τί λέγεις; ἀλλ' ἄρτι νῦν ὄρθρος βαθύς.
Βδε. νὴ τὸν δί' ὀψὲ γὰρ ἀνεστήκασι νῦν.
ὡς ἀπὸ μέσων νυκτῶν παρακαλοῦντες μ' ἀεί.
λύχνους ἔχοντες, καὶ μινυρίζοντες μέλη,
ἀρχαιομελισιδωνοφρυνιχήρατα.
οἷς ἐκκαλοῦνται τοῦτον. Οἰκέ. οὐκοῦν ἢν δέῃ,
ἤδη ποτ' αὐτοὺς τοῖς λίθοις βαλλήσομεν.
Βδε. ἀλλ' ὦ πόνηρε. τὸ γένος ἤν τις ὀργίσῃ

τοῦτο δέ φησιν εὐκαίρως βουλόμενος τὴν εἴσοδον τοῦ χοροῦ ποιῆσαι. ἐκ γὰρ φιλοδικῶν ἀνδρῶν συνέστηκεν. Ἀρχαιομελισιδωνοφρυνιχήρατα. παρὰ τὸ μέλι ὅπερ ἐστὶν ἡδὺ τὰ μέλη καὶ τὴν σιδῶνα καὶ τὸν φρύνιχον. καὶ τὰ ἐρατὰ ἔπαιξεν. ὅ ἐστιν ἀρχαῖα μέλη φρυνίχου ἐρατὰ καὶ ἡδέα. καθάπερ μέλι περιέχοντα δ' τοῦ σιδῶνος ὄνομα. φρύνιχος δὲ ἐγένετο τραγῳδίας ποιητής. ὃς ἔγραψε δρᾶμα φοινίσσας. ἐν ᾧ μέμνηται σιδωνίων. τὰ δὲ μέλη εἶπε διὰ τὴν γλυκύτητα τοῦ ποιητοῦ. Ἄλλως. Ὅτι δι' ὀνόματος ἦν καθόλου μὲν ὁ φρύνιχος ἐπὶ μελοποιΐᾳ. μάλιστα δὲ τὸ ἐκ φοινισσῶν αὐτοῦ. τὸ καὶ σιδῶνος προλιποῦσα τὸν ναὸν. καὶ σιδώνιον ἄστυ λιποῦσα. πεποίηται δὲ ἡ λέξις, παρά τε τὸ ἀρχαῖον καὶ τὸ μέλος. καὶ τὸ σιδών, καὶ τὸ φρύνιχος. καὶ τὸ ἐρατόν. ἀρίσταρχος δέ φησι συντεθεῖσθαι, ἀπὸ τοῦ μέλι. καὶ τοῦ σιδῶνος. καὶ τοῦ φρυνίχου

δικαστῶν εἰπεῖν. ἀκούσατε ὦ ἄνδρες διηγήματος τερπνοῦ. νεανίσκος ποτὲ ὄνον ἐμισθώσατο, ἀθήνηθε μέγαράδε. μεσημβρίας δὲ καταλαβούσης καταλύσας τὸν γόμον ὑπῆλθε τὴν σκιὰν τοῦ ὄνου. ἐκβαλλόμενος δὲ ὑπὸ τοῦ ὀνηλάτου πρὸς βίαν, διεφέρετο μεμισθωκέναι καὶ τὴν σκιὰν λέγων. ἀντιλέγοντος δὲ τοῦ ὀνηλάτου καὶ φάσκοντος τὸν ὄνον μεμισθωκέναι, εἰς δικαστήριον εἰσῆλθον ἀμφότεροι. εἰπὼν δὲ ταῦτα ὁ δημοσθένης κατέβαινεν ἐκ τοῦ βήματος. ἀξιούντων δὲ τῶν δικαστῶν τῆς δίκης τὸ τέλος μαθεῖν, εἶπεν ἀναβὰς πάλιν ἐπὶ τοῦ βήματος, ὑπὲρ μὲν ὄνου σκιᾶς ἀκούειν ὦ ἄνδρες ἐπιθυμεῖτε. ἀνθρώπου δὲ κινδυνεύοντος ὑπὲρ ψυχῆς οὐδὲ τῆς φωνῆς ἀνέχεσθε. ἄλλοι δὲ λέγουσιν ὅτι ἀθήνηθεν εἰς δελφοὺς τὸν ὄνον ἐμισθώσατο. ὅθεν φασὶ καὶ αὐτὸς ὁ δημοσθένης περὶ τῆς ἐν δελφοῖς σκιᾶς φησι. καὶ ὁ πλάτων δὲ καὶ ἄλλοι πολλοί. καὶ ἀρχίππῳ δὲ κωμῳδία γέγονεν ὄνου σκιά. τάττεται δὲ ἐπὶ τῶν περὶ μηδενὸς χρησίμου φιλοτιμουμένων. Πόρρω τέχνης. ἀντὶ τοῦ οὐκ ἀπὸ τέχνης τινὸς πονηρὸς εἶ. οὐδ' ἀπὸ μελέτης. ἀλλὰ φύσει. παράβολος δὲ ἀντὶ τοῦ οὐ γνήσιος.

Βδ. πονηρὸς εἶ πόρρω τέχνης καὶ παράβολος.
Φι. ἐγὼ πονηρός; οὐ μὰ δί' ἀλλ' οὐκ οἶσθα σὺ
νῦν μ' ὄντ' ἄριστον. ἀλλ' ἴσως ὅταν, φάγῃς
ὑπογάστριον, γέροντος ἡλιαστικοῦ
Βδ. ὦθει τὸν ὄνον καὶ σαυτὸν, ἐς τὴν οἰκίαν.
Φι. ὦ ξυνδικασταὶ, καὶ κλέων ἀμύνατε.
Βδ. ἔνδον κέκραχθι τῆς θύρας κεκλεισμένης.
ὦθει σὺ πολλοὺς τῶν λίθων πρὸς τὴν θύραν,
καὶ τὴν βάλανον ἔμβαλλε πάλιν εἰς τὸν μοχλὸν
καὶ τῇ δοκῷ προσθεὶς τὸν ὅλμον τὸν μέγαν.
ἀνύσας τι προσκύλιε γ'. Οἰκε. ὤμοι δείλαιος.

Ὅταν φησὶ τραφῇς, ὑπ' ἐμοῦ ὑπογάστριον. ἀπὸ μέρους δὲ τὴν τροφὴν ἁπλῶς λέγει. ἢ ὅτι ὄνους ἔτρωγον ἐν ἀθήναις. καὶ τοὺς μισθοὺς λαμβάνοντες οἱ δικασταὶ, ὠνοῦντο τὰ ὑπογάστρια. λείπει δὲ ἡ παρά. παρὰ γέροντος ἡλιαστοῦ, οἷον ἐκ τῆς ἡμετέρας σπουδῆς καὶ τέχνης. Ὑπογάστριον. ἐπεὶ πωλάριον ἐμιμεῖτο ἐπὶ τῷ ὄνῳ, τὸ ὑπογάστριον πρὸς τοῦτο. ἐχρῶντο δὲ τοῖς ὀνείοις. ἀντὶ τοῦ εἰπεῖν ὑπογάστριον ὄνου ἢ βοὸς, ἔχεις γνῶναι ἄριστόν με ὄντα εἰ καὶ μὴ νῦν με οἶδας ἐπεὶ δικαστής ἐστιν, ὑπὲρ γέροντος ἡλιαστικοῦ ἀντὶ τοῦ ὄνου. Ὦθει τὸν ὄνον. τὸ πρῶτον πρὸς τὸν οἰκέτην. τὸ δὲ δεύτερον πρὸς τὸν πατέρα. ὦθει σεαυτόν. Καὶ κλέων. ἐπεὶ δοκεῖ κλέων μισθοὺς πορίζειν τοῖς δικασταῖς. Ὦθει σὺ πολλούς. ἤγουν ἐπίθες λίθους ἐπὶ τὴν θύραν ἵνα μὴ εὐκόλως ἀνοίγῃ. Καὶ τὴν βάλανον. τὴν εἰς τὸν μοχλὸν βάλανον. ἔμβαλε εἰς τὸ πῆγμα. δηλονότι, κλεῖσον τῷ κλειδίῳ. Καὶ τῇ δοκῷ. ἐμβαλεῖν κελεύει τὴν δοκόν τουτέστι τὸν ἀντιβάτην. πρὸς τὴν θύραν. αὐτῇ δὲ τῇ δοκῷ, τὸν ὅλμον. κατὰ φύσιν δὲ ἦν μᾶλλον εἰπεῖν, καὶ τὴν δοκὸν προσθείς.

Προσκύλιε. οὐκ εἶπε βάστασον ἀλλὰ κύλιε. δηλῶν τὸ μέγεθος τοῦ ὅλμου. ὅν φησι κάτω πρὸς τῇ ἀρχῇ τοῦ ἀντιβάτου προσθεῖναι.

Τὸν ὄνον ἔξαγε. πρὸς τὸν οἰκέτην φησί. Ἀλλ' οὐκ ἔσπασεν. οὐκ ἔτυχε. παρὰ τὴν παροιμίαν. αὕτη μὲν ἡ μήρινθος οὐδὲν ἔσπασεν. ἐλέγετο δὲ ἐπὶ τῶν πεῖραν καθιέντων ἄγκιστρον μετὰ σχοίνου καὶ μὴ ἐπιτυγχανόντων ἰχθύος τινός. Καὶ ὧν τί κλάεις. ὡς βαρουμένου τοῦ ὄνου. ἔφερε γὰρ τὸν γέροντα ὑποκρεμασθέντα λάθρα κατὰ μίμησιν τοῦ ὀδυσσέως ἐπὶ τοῦ κριοῦ φερομένου ἐφ' ᾧ τε διαδρᾶσαι τὸν κύκλωπα ὅτε τὰ πρόβατα ἐξῄει τοῦ σπηλαίου ἐφαπτόμενος αὐτῶν τῆς ῥάχεως πρὸς τῇ θύρᾳ τοῦ σπηλαίου καθήμενος ἵνα μὴ λαθὼν ἐξέλθῃ κύκλωπα ὁ ὀδυσσεύς. τοῦτο δὲ λαθὼν ἐποίησεν ὁ γέρων. διὸ πρὸς βαρυνόμενον τὸν ὄνον φησίν. Οὔτις νὴ δία. ὅτι ὁ ὀδυσσεὺς οὔτις παρ' ὁμήρῳ ἐκαλεῖτο. Ἀπὸ δρασιππίδου. πέπαιχε τὸ ὄνομα ἀπὸ τοῦ ἀποδρᾶσαι. ὥσπερ ἀπὸ φυλῆς ἢ ἀπὸ γένους φάσκων. Ἰνδάλλεται. φαίνεταί μοι. ὅμοιος εἶναι πώλῳ κλητῆρος. Ἄλλως. οἱ γὰρ πῶλοι, ὑποδύνουσι τὰς μητέρας καὶ θηλάζουσιν. Πωλίῳ. ἀντὶ τοῦ ὄνου ἢ ἡμιόνου, κλητῆρος εἶπε. πώλῳ ὑποκοριστικῶς. κλητῆρες δὲ οἱ καλοῦντες εἰς τὸ δικαστήριον πάντας. σημαίνει δὲ ἡ λέξις καὶ τὸν μάρτυρα.

Βδ. μὰ δί' ἀλλ' ἄμεινον ἀλλὰ τὸν ὄνον ἔξαγε.
Οἰ. οἵαν πρόφασιν καθῆκεν ὡς εἰρωνικῶς,
ἵνα θᾶττον ἐκπέμψειας. Βδ. ἀλλ' οὐκ ἔσπασεν.
ταύτην γ' ἐγὼ γὰρ ᾐσθόμην τεχνωμένου.
ἀλλ' εἰσιών μοι τὸν ὄνον ἐξάγειν δοκῶ.
ὅπως ἂν ὁ γέρων μὴ δὲ παρακύψῃ πάλιν.
κάνθων. τί κλάεις; ὅτι πεπράσει τήμερον.
βάδιζε θᾶττον. τί στένεις, εἰ μὴ φέρεις
ὀδυσσέα τινά γ'. Οἰκέ. ἀλλὰ ναὶ μὰ δία φέρει
κάτω γε τουτονί τιν' ὑποδεδυκότα.
Βδ. ποῖον; φέρ' ἴδωμαι. Οἰκ. τουτονί. Βδ. τουτὶ τί ἦν;
τίς εἶ ποτ' ὤνθρωπ' ἐτεόν; Φι. οὔτις νὴ δία.
Βδ. οὔτις σύ; πόδαπός; Φι. ἴθακος ἀπὸ δρασιππίδου.
Βδ. οὔτις μὰ τὸν δί' οὔτι χαιρήσων γ' ἔσει.
ὕφελκε θᾶττον αὐτόν. ὦ μιαρώτατος.
ἵν' ὑποδέδυκεν. ὥστ' ἔμοιγ' ἰνδάλλεται
ὁμοιότατος κλητῆρος εἶναι πωλίῳ.
Φι. Εἰ μή μ' ἐάσεθ' ἥσυχον, μαχούμεθα.
Βδε. περὶ τοῦ, μαχεῖ νῷν δῆτα. Φι. περὶ ὄνου σκιᾶς.

Περὶ ὄνου σκιᾶς. παροιμία ἐστὶν ἴσον τῷ περὶ μηδενός. ἔστι δὲ ἐπὶ τῶν τὰ ἀνόητα φιλονεικούντων. ἣν μετήνεγκεν νῦν ὁ πρεσβύτης. ἔστι δὲ ἀπὸ τοιαύτης αἰτίας. φασί ποτε ἐν ἀθήναις τινὰ δεηθέντα ὀνηλάτου, μισθώσασθαι ὄνον ἐπὶ τῷ τὰ φορτία βαστάσαι μόνον ἐπὶ τὰ μέγαρα. καὶ δὴ οὕτω δόξαν αὐτοῖς, ἐπιθέντες τὰ φορτία, ὥδευον. μεσημβρίας δὲ γενομένης, καὶ τῶν ὑπὸ κύνα καυμάτων σφοδρῶς αὐτοῖς ἐπικειμένων, οὐχ εὑρίσκοντες σκέπην, καθεῖλε τὰ φορτία ἀπὸ τοῦ ὄνου ὁ δεσπότης αὐτῶν, καὶ δι' αὐτῶν ἑαυτῷ σκιὰν ἐποίησε. πρὸς ὃ μαχόμενος ὁ ὀνηλάτης, ἔλεγεν ὄνον μεμισθωκέναι ἐπὶ τῷ φορτία φορεῖν, οὐ σκιὰν παρέξειν. ὁ δὲ ἔλεγε μεμισθῶσθαι ὅπως ἂν ὡς βούλοιτο χρῆσθαι. ἐκ δὲ ταύτης τῆς φιλονεικίας μηδὲν οὔσης, εἰς δικαστήρια κατηνέχθησαν. ὅθεν ἡ παροιμία. τῆς δὲ παροιμίας μέμνηται καὶ μένανδρος ἐν τῷ ἐγχειριδίῳ. λέγουσι δὲ ὅτι δημοσθένης ὁ ῥήτωρ ἀπολογούμενος ὑπέρ τινος κινδυνεύοντος οὐκ ἀνεχομένων τῶν

Ὅστις πατρὸς νῦν Καπνίου. τὸ ὑποκλυόμενον οἶνόν φασί τινες καπνίαν λέγεσθαι. ἐν δὲ τοῖς περὶ Κρατῖνον διώρισται. ἢ τὸ ἀπόθετον ἢ καὶ παλαιόν. διὸ ἐκφαντίδην καπνίαν καλοῦσιν. Ἄλλως. ἅμα καὶ τῷ καπνῷ εἰκάζει εἶναι αὐτόν. εἶπε γὰρ καπνὸς ἐγώ. ἅμα δὲ καὶ κάπνη εἶδος ἀμπέλου ξηρότατον καὶ δριμύτατον οἶνον ποιούσης. ὁμοίως καπνῷ ποιοῦντα δάκρυα. τινὲς δὲ καπνίαν οἶνον ἐν Βενεβεντῷ τῆς Ἰταλίας γίνεσθαί φασι. καὶ καπνία ἡ ἄμπελος.

ὅστις, πατρὸς νυνὶ Καπνίου κεκλήσομαι.
Οἰ. παῖ. τὴν θύραν ὤθει. πίεζε νῦν σφόδρα.
εὖ κἀνδρικῶς. κἀγὼ γὰρ ἐνταῦθ' ἔρχομαι.
καὶ τῆς κατακλεῖδος ἐπιμελοῦ καὶ τοῦ μοχλοῦ
φύλαττε θ' ὅπως μὴ τὴν βάλανον ἐκτρώξεται.
Φι. τί δράσετ'. οὐκ ἐκφρήσετ'. ὦ μιαρώτατοι.
δικάσοντά μ'. ἀλλ' ἐκφεύξεται Δρακοντίδης.
Βδε. σὺ δὲ τοῦτο βαρέως ἂν φέροις. ὁ γὰρ θεός.
μαντευομένῳ μοὔχρησεν ἐν Δελφοῖς ποτε,
ὅταν τις ἐκφύγῃ μ' ἀποσκλῆναι τότε
Φι. ἄπολλον ἀποτρόπαιε, τοῦ μαντεύματος.
ἴθ' ἀντιβολῶ σ' ἔκφερέ με. μὴ διαρραγῶ.
Βδε. μὰ τὸν Ποσειδῶ Φιλοκλέων οὐδέποτέ γε.
Φι. διατρώξομαι τοίνυν γ' ὀδὰξ τὸ δίκτυον.
ἀλλ' οὐκ ἔχεις ὀδόντας. φι. οἴμοι δείλαιος.
πῶς ἄν σ' ἀποκτείναιμι. πῶς δότε ξίφος.
ὅπως τάχιστ'. ἢ πινάκιον τιμητικόν
Βδε. ἄνθρωπος οὗτος μέγα τι δράσει κακόν.
Φι. μὰ τὸν Δί' οὐδῆτ' ἀλλ' ἀποδόσθαι βούλομαι.
τὸν ὄνον ἄγων αὐτοῖσι, τοῖς κανθηλίοις.
νουμηνία γάρ ἐστιν. Βδε. οὔκουν κἂν ἐγὼ
αὐτὸν ἀποδοίμην δῆτ' ἄν. φι. οὐχ ὥσπερ ἐγώ.

Ἐκτρώξεται. ἀντὶ τοῦ τὸν μοχλὸν φύλαττε. ὅπως μὴ τὸ κλεῖθρον φαγὼν ἐξέλθῃ. Βάλανον. τὸν μοχλόν. κυρίως δὲ τὸ εἰς τὸν μοχλὸν σιδήριον. ὃ καλοῦμεν μάγγανον. καὶ βάλανοι τὰ μάγγανα τῆς κλειδώσεως. καὶ βεβαλάνωται ἀντὶ τοῦ κεκλείδωται. καὶ βαλανάγρα ἡ κλεὶς παρὰ τὸ ἀγρεύειν τὴν βάλανον. Δρακοντίδης. πονηρός οὗτος καὶ πλείσταις καταδίκαις ἐνεχόμενος. ὡς Πλάτων σοφισταῖς. Καλλίστρατος δέ, ἕνα τῶν λ φησιν, εἰ μὴ ὁμώνυμος. ἔστι γὰρ οὗτος ὁ τὸ περὶ τῶν λ ψήφισμα περὶ ὀλιγαρχίας γράψας. ὡς Ἀριστοτέλης ἐν πολιτείαις. Ὀδὰξ τὸ δίκτυον. νῦν πάλιν διὰ τὸ δίκτυον, φαίνεται ἄνω περὶ τὴν καπνοδόχην. Ἀλλ' οὐκ ἔχεις ὀδόντας. ἔπαιξεν ἐπεὶ γέρων ἦν. οἱ δὲ γέροντες, ἀποβάλλουσι τοὺς ὀδόντας. Τιμητικόν. καταδικαστικὸν ὅπου τὴν μακρὰν χαράσσοντες κατεδίκαζον ἢ τὴν μικρὰν καὶ ἀπέλυον. Ἀποδόσθαι. πωλῆσαι. Κανθηλίοις. ὄνοις μεγάλοις. Ξενοφῶν. ὅτι ἐν Βαβυλῶνι οἱ φοίνικες οὐ μεῖον ἢ πλεθριαῖοι τὸ μέγεθος γίνονται. οἱ δὲ πιεζόμενοι ἀπὸ βάρους ἄνω κυρτοῦνται ὥσπερ ὄνοι κανθήλιοι. καὶ Πολύβιος. ἐν γὰρ τοῖς ἐπιδεδεμένοις φορτίοις τὰ κανθήλια λαβόντας ἐκ τῶν ὄπισθεν, προστίθεσθαι πρὸ αὐτῶν ἐκέλευσε τοὺς πεζούς. οὗ γινομένου συνέβη παρὰ πάντας χάρακας ἀσφαλέστατον γίνεσθαι πρόβλημα. Νουμηνία γάρ ἐστιν. ἔθος ἦν Ἀθήνησιν ἐν νουμηνίᾳ πιπράσκειν.

Ὡσπερεὶ κολοιός. τοῖς γὰρ ἐν τῷ οἴκῳ κολοιοῖς καὶ τοῖς ἄλλοις ὀρνέοις, πηγνύουσι πάτταλον ἵνα εἰς αὐτοὺς ἅλλοιντο. Φιλοκλέων. ἰδίως εἶπε τῇ φράσει τῷ υἱῷ ὄνομα Βδελυκλέων. καὶ τῷ πατρὶ, ὄνομα Φιλοκλέων. Ἔχων τρόπους. ἀντίπτωτόν ἐστιν, ἀντὶ δοτικῆς τῆς ἔχοντι. συνήθως δὲ, ὀφρύαγμα ἀπὸ τοῦ ὀφρῦς ἢ φρύαγμα. καὶ σεμνὸν, ἀντὶ τοῦ ὑπερήφανον. Καθεύδετε. ἐν ἀπειλητικῇ φωνῇ τοῦτό φησιν. Εἰς τὸν ἰπνόν. ἰπνὸς κυρίως ἡ κάμινος. Αἰσχύλος. ἰπνούμενος ξύλοισιν ἀντναίαις ὕπο. νῦν δὲ τὸ μαγειρεῖόν φησιν, ἐν ᾧ λαθὼν αὐτοὺς ὁ Φιλοκλέων εἰσῆλθεν. καὶ εἰς τρύπην ὑπέδυ. Μυσπολεῖ. καταδύεται. ὡς μῦς φοιτᾷ. οὕτως Ἀττικοὶ ὑπὸ μίαν λέξιν. Ἄλλως. πρὸς τὴν λέξιν ὅτι ἀπὸ τῶν μυῶν ἔοικεν ὠνοματοπεποιῆσθαι, τὸ διερευνᾶσθαι κρύφα. Κατὰ τῆς πυέλου. αἱ γὰρ πύελοι, τρώγλας εἶχον ἐπὶ τὴν ὁδὸν πρὸς τὸ ὕδωρ ἐξέρχεσθαι. Ἄλλως. ἡ πύελος ἔχει τρώγλην, δι' ἧς ἀπολουόμενοι, ἐκχέουσι τὸ θερμόν. παίζει δὲ, καὶ τοῦτο ὡς ἐπὶ μυός. Κάπνη. ἡ καπνοδόχη. ἔστι δὲ, σωληνοειδὲς ἐπὶ τῶν μαγειρείων. δι' οὗ ὁ καπνὸς ἔξεισιν. ὡς ἐπὶ τοῦ Φιλοκλέωνος πειρωμένου δι' αὐτῆς ἐξελθεῖν καὶ κτύπον ποιήσαντος, τοῦτό φησι. ταῦτα δὲ πάντα, κωμικά ἐστι τοῦ γελοίου χάριν. Συκίνου. ὅτι καὶ οἱ δικασταὶ δριμύτατοι. καὶ ὁ γέρων. καπνοποιὸν γὰρ τὸ σύκινον ξύλον. καὶ ὅτι ὁ ἐκ τῶν συκίνων ξύλων καπνὸς, δριμύτατος. καὶ Ἀριστοτέλης φησὶν ἐν προβλήματι. Οὐκ ἐσερρήσεις γε. ὡς ἐπὶ τῷ καπνῷ φησιν, οὐκ εἰσελεύσῃ, μετὰ φθορᾶς. Ποῦ 'σθ' ἡ τηλία. τῇ κάπνῃ βούλεται ἐπιθεῖναι πῶμα τὴν τηλίαν. τηλία δὲ, σανὶς βαθεῖα. ἐν ᾗ τὰ ἄλφιτα ἐν τῇ ἀγορᾷ ἐπίπρασκον. Φέρ' ἐπιθῶ σοι καὶ ξύλον. οὐ τῷ πατρὶ ταῦτα λέγει. ἀλλὰ τῇ κάπνῃ. ἢ πρὸς τὴν τηλίαν. ἵνα ἐπιθῇ αὐτῇ ξύλον εἰς βάρος, διὰ τὰς τοῦ πατρὸς μηχανάς. Ἐνταῦθα νῦν. ἀποκλείσας τὴν διέξοδον τοῦ μὴ δυνηθῆναι αὐτὸν εἰσελθεῖν ταῦτά φησι.

ὁ δ' ὡσπερεὶ κολοιὸς, αὑτῷ παττάλους
ἐνέκρουεν εἰς τὸν τοῖχον· εἶτ' ἐξήλλετο.
ἡμεῖς δὲ τὴν αὐλὴν ἅπασαν δικτύοις
καταπετάσαντες ἐν κύκλῳ, φυλάττομεν.
ἔστιν δ' ὄνομα τῷ μὲν γέροντι, Φιλοκλέων.
ναὶ μὰ Δία. τῷ δ' υἱεῖ γε τῳδὶ, Βδελυκλέων.
ἔχων τρόπους, ὀφρυαγμοσεμνακους τινάς.
Βδε. ὦ Ξανθία καὶ Σωσία, καθεύδετε;
Ξαν. οἴμοι. Σω. τί ἐστι; Ξαν. Βδελυκλέων ἀνίσταται.
Βδε. οὐ περιδραμεῖται σφῷν ταχέως δεῦρ' ἅτερος;
ὁ γὰρ πατὴρ εἰς τὸν ἰπνὸν εἰσελήλυθε
καὶ μυσπολεῖ τι καταδεδυκώς. ἀλλ' ἄθρει
κατὰ τῆς πυέλου, τὸ τρῆμ' ὅπως μὴ 'κδύσεται.
σὺ δὲ τῇ θύρᾳ πρόσκεισο. Οι. ταῦτ' ὦ δέσποτα.
ἄναξ Πόσειδον. τί ποτ' ἄρ' ἡ κάπνη ψοφεῖ.
οὗτος τίς εἶ σύ. Φι. καπνὸς ἔγωγ' ἐξέρχομαι.
Βδε. καπνὸς, φέρ' ἴδω τίνος ξύλου σύ. Φι. συκίνου.
Βδε. νὴ τὸν Δί' ὅσπερ γ' ἐστὶ δριμύτατος καπνῶν.
ἀτὰρ οὐκ ἐρρήσεις γε. ποῦ 'σθ' ἡ τηλία.
δῦθι πάλιν. φέρ' ἐπιθῶ σοι καὶ ξύλον.
ἐνταῦθα νῦν ζήτει τιν' ἄλλην μηχανήν.
ἀτὰρ ἄθλιός γ' εἴμ' ὡς ἕτερος οὐδεὶς ἀνήρ.

ἐξῆς, δός τι μοι ξίφος ὅπως τάχιστα. ἢ πινάκιον τιμητικόν. τοῦτο δὲ ἐποίουν, μετὰ τὸ ἀποβλέψαι εἰς τὰς ψήφους τὰς ἐν τῇ κάλπιδι. εἰ γὰρ ἑώρων τὰς μελαίνας πλείους, ἐχάραττον τῷ ὄνυχι τὴν μακράν. εἰ δὲ τὰς λευκάς, τὴν βραχεῖαν. ὅτι δὲ πλείους ἦσαν αἱ λευκαί, ὁ διώκων ἐνίκα. ὁ φεύγων δ' ἢν πλείους αἱ μέλαιναι κατεκρίνετο. Ὁ βομβυλιός. ζῷον μελίττῃ ὅμοιον. καὶ ὅτι κηρὸν ποιεῖ. Ὑποπεπλασμένος. περιπεπληρωμένος τοὺς ὄνυχας κηροῦ ὑπὸ τῶν χαραγμάτων. γράφεται ἀναπεπλασμένος.

ὥσπερ μέλιττ' ἢ βομβυλιὸς εἰσέρχεται,
ὑπὸ τοῖς ὄνυξι κηρὸν ὑποπεπλασμένος.
ψήφων δὲ δείσας μὴ δεηθείη ποτέ,
ἵν' ἔχῃ δικάζειν, αἰγιαλὸν ἔνδον τρέφει.
τοιαῦτ' ἀλύει· νουθετούμενος δ' ἀεί,
μᾶλλον δικάζει. τοῦτον οὖν φυλάττομεν,
μοχλοῖσιν ἐνδήσαντες, ὡς ἂν μὴ ξίῃ.
ὁ γὰρ υἱὸς αὐτοῦ τὴν νόσον βαρέως φέρει.
καὶ πρῶτα μὲν λόγοισι παραμυθούμενος,
ἀνέπειθεν αὐτὸν μὴ φορεῖν τριβώνιον.
μηδ' ἐξιέναι θύραζ'· ὁ δ' οὐκ ἐπείθετο.
εἶτ' αὐτὸν ἀπέλου κἀκάθαιρ'· ὁ δ' οὐ μάλα.
μετὰ τοῦτ' ἐκορυβάντιζ'· ὁ δ' αὐτῷ τυμπάνῳ
ᾄξας, ἐδίκαζεν εἰς τὸ καινὸν ἐμπεσών.
ὅτε δὴ δὲ ταύταις ταῖς τελεταῖς οὐκ ὠφέλει,
διέπλευσεν εἰς Αἴγιναν· εἶτα συλλαβών,
νύκτωρ κατέκλινεν αὐτὸν εἰς Ἀσκληπιοῦ.
ὁ δ' ἀνεφάνη κνεφαῖος ἐπὶ τῇ κιγκλίδι.
ἐντεῦθεν, οὐκέτ' αὐτὸν ἐξεφρείομεν.
ὁ δ' ἐξεδίδρασκε διά τε τῶν ὑδρορρόων,
καὶ τῶν ὀπῶν· ἡμεῖς δ' ὅσ' ἦν τετρημένα,
ἐνεβύσαμεν ῥακίοισι, κἀπακτώσαμεν

ἀναπεπλασμένος. Αἰγιαλὸν ἔνδον ἔχων. ὡς ἐπὶ ζώου ἔφη τὸ τρέφει. οἷον, ἐγέμισε τὴν οἰκίαν ψήφων. Νουθετούμενος. παρὰ τὰ Εὐριπίδου ἐκ Σθενεβοίας. πεσοῦτ' ἀλύει νουθετούμενος ἔρως. Ἐκορυβάντιζεν. ὡς μαινόμενος καὶ κατεχόμενος ὑπὸ θείου. αὐτὸ τοῦτο τὰ τῶν κορυβάντων ἐποίει αὐτῷ μυστήρια, ἐπὶ καθαρμῷ τῆς μανίας. Εἰς τὸ καινὸν ἐμπεσών. τόπος ἐν τῷ δικαστηρίῳ οὕτω λεγόμενος. εἰσὶ δὲ δ'. παράβυστος. καινός. τρίγωνος μέσος. τελούμενος ὧν φησὶ τὰ μυστήρια τῶν κορυβάντων, παρουδὲν αὐτὰ θέμενος. κατέχων τὸ τύμπανον, ὥρμησεν εἰς τὸ δικαστήριον. Εἰς Ἀσκληπιοῦ. ἐκεῖ γὰρ ἱερόν ἐστιν. ὡς νοσοῦντα ὧν ἐκεῖ ἔφερεν.

Ἐπὶ τῇ κιγκλίδι. αὐτὴ τοῦ ἐν τῷ δικαστηρίῳ ὁ πατήρ. κιγκλὶς γὰρ, ἡ θύρα τοῦ δικαστηρίου. ἣν καὶ καγκελλωτὴν καλοῦσι. κνεφαῖος δὲ ἐπισκότους ὄντος, καὶ μή πω φαινομένης ἡμέρας, ἀπῆλθεν ἐν τῷ δικαστηρίῳ. Ἐντεῦθεν οὐκ ἔτ' αὐτόν. ἀπ' ἐκείνου τοῦ χρόνου μετὰ ταῦτα. Ἐξεφρείομεν. ἐξεφέρομεν. ὑδρορρόων. οἱ κοῖλοι τόποι δι' ὧν χωρεῖ τὸ ὕδωρ τὸ ἐξ ὑετοῦ. Ἐνεβύσαμεν. ἐπληρώσαμεν. ἐφράξαμεν. ὅμηρος. νήματος ἀσκητοῖο βεβυσμένον. Κἀπακτώσαμεν. ἐφράξαμεν. ἐπληρώσαμεν. πακτῶσαι γὰρ τὸ σφηνῶσαι.

Ἢν μὴ 'πὶ τοῦ πρώτου. ὃ ἡμεῖς βάθρον. καὶ ἐν Ἀχαρνεῦσιν. ἐλθόντες ἤδη περὶ πρώτου ξύλου. Οὐδὲ πασπάλην. ἀντὶ τοῦ οὐδὲ βραχύ. πρὸς Λυκόφρονα δὲ ὅτι ἀδιορίστως ἀπέδωκεν ἐλάχιστόν τι. τινὲς δέ φασιν ὅτι μαγνῆτιν πέτρον πασπάλην φασί. Κἂν ἄχνην. τὸ λεπτομερὲς τοῦ στάχυος καὶ Ὅμηρος ὡς δ' ἄνεμος ἄχνας φορέει ἱερὰς κατ' ἀλωάς. Περὶ τὴν κλεψύδραν. ἀντὶ τοῦ περὶ τὸ δικαστήριον. κλεψύδρα γὰρ ἀγγεῖον τετρημένον ἐν ᾧ ὕδωρ ἔβαλλον καὶ εἴων ῥεῖν ἄχρι τῆς ὀπῆς. καὶ οὕτως ἔπαυον τὸν ῥήτορα. τοῦτο δὲ ἐποίουν διὰ τὸ φλυαρεῖν τὸν λέγοντα καὶ ἐμποδίζειν ἄλλοις θέλουσι λέγειν. ἵνα τὰ σπουδαῖα λέξας ἐξέλθῃ. Τοὺς τρεῖς ξυνέχων. τούτοις γὰρ κατέχουσι τὰς ψήφους οἱ δικασταί. τῷ μεγάλῳ καὶ τῷ λιχανῷ καὶ τῷ μέσῳ. Νουμηνίᾳ. κατὰ νουμηνίαν γὰρ ἔθος εἶχον, λιβανωτοὺς ἐντιθέναι τοῖς ἀγάλμασι. Τὸν Πυριλάμπους. μέμνηται τούτου καὶ ἐν Πόλεσιν Εὔπολις. καὶ τῷ Πυριλάμπους Δήμῳ, ὅρα κυψέλη ἔνεστιν. ἦν δὲ καὶ εὔμορφος ὁ Δῆμος. ἐπέγραφον δὲ οἱ Ἀθηναῖοι τὰ τῶν καλῶν ὀνόματα, οὕτως.

Ἢν μὴ 'πὶ τοῦ πρώτου καθίζηται ξύλου.
ὕπνου δ' ὁρᾷ τῆς νυκτὸς οὐδὲ πασπάλην.
ἢν δ' οὖν καταμύσῃ κἂν ἄχνην, ὅμως ἐκεῖ
ὁ νοῦς πέτεται τὴν νύκτα περὶ τὴν κλεψύδραν.
ὑπὸ τοῦ δὲ τὴν ψῆφον γ' ἔχειν εἰωθέναι,
τοὺς τρεῖς ξυνέχων τῶν δακτύλων, ἀνίσταται.
ὥσπερ λιβανωτὸν ἐπιθεὶς νουμηνίᾳ.
καὶ νὴ Δί' ἢν ἴδῃ γέ που γεγραμμένον
τὸν Πυριλάμπους ἐν θύρᾳ Δῆμον καλόν,
ἰὼν παρέγραψε πλησίον, κημὸς καλός.
τὸν ἀλεκτρυόνα δ' ὃς ᾖδ' ἀφ' ἑσπέρας ἔφη,
ὀψ' ἐγείρειν αὐτὸν ἀναπεπεισμένον.
παρὰ τῶν ὑπευθύνων ἔχοντα χρήματα.
εὐθὺς δ' ἀπὸ δορπηστοῦ, κέκραγεν ἐμβάδας.
κἄπειτ' ἐκεῖσ' ἐλθών, προκαθεύδει πρῲ πάνυ
ὥσπερ λεπὰς προσεχόμενος τῷ κίονι
ὑπὸ δυσκολίας δ' ἅπασι τιμῶν τὴν μακράν,

ὁ δεῖνα καλός. ἔγραφον δὲ καὶ ἐν τοίχοις καὶ ἐν θύραις. καὶ ὅπου τύχῃ. καὶ οὗτός φησιν, ὡς ἐρῶν τοῦ κημοῦ ἔγραψε, κημὸς καλός. Κημὸς καλός. κημὸς καλεῖται τὸ τοῖς καδίσκοις ἐπιτιθέμενον. δι' οὗ τὰς ψήφους καθίεσαν, ἵνα μὴ ὀλισθαίνωσιν. ἔστι δὲ πλέγμα τι δικτυῶδες. καὶ ἠθμῶδες. ἄνωθεν πλατύ. κάτωθεν στενόν. Ὀψ' ἐξήγειρεν. ἐν ὑπερβολῇ τοῦτο. ἐμέμφετο γὰρ τῷ ἀλέκτορι φησί, καὶ ταῦτα ἑσπέρας κράζοντι, ὅτι βραδέως αὐτὸν ἐγείρει. Ἀπὸ δορπηστοῦ. Λυκόφρων ἀπὸ ἀρίστου. οἱ δὲ ἄλλοι πάντες δόρπα τὰ δεῖπνα. Ἐμβάδας. εἶδος ὑποδήματος. διὰ τὸ φιλοδικαστὴς εἶναι. οὐ καθεύδει φησὶν ἐν τῷ οἴκῳ αὐτοῦ μετὰ τὸ δειπνῆσαι. ἀλλ' εὐθὺς ἀναστὰς ἀπὸ τῆς τραπέζης καὶ ζητήσας τὰς ἐμβάδας καὶ ὑποδησάμενος, ἀπέρχεται ἐν τῷ δικαστηρίῳ καὶ καθεύδει. Πρῲ πάνυ. ἀντὶ τοῦ πρὸ τοῦ δέοντος καιροῦ ἀπιών, ἐπινυστάζει ἐπὶ τῷ κίονι. λεπὰς δὲ, κογχύλιόν τι ταῖς πέτραις προσπηγνύμενον. Τιμῶν τὴν μακράν. προείρηται, ὑπὲρ τοῦ τοὺς δικαστὰς ἐν πινακίῳ, ἤτοι ἐπὶ σανίδος κηρῷ ἀληλιμμένης ὁπότε καταλαμβάνοιεν τινα τῷ τολμήματι, ἕλκειν μακρὰν γραμμήν. ὁπότε ἀπολύοιεν, βραχεῖαν. καὶ

Ὁ μέγας· οὐ τῇ ἡλικίᾳ, ἀλλὰ τῇ ἐξουσίᾳ καὶ τῇ σεμνότητι. τὸ δὲ αὐτῷ, δεικτικῶς φησιν ἐπὶ ὑπερῴου. ὁρᾶται γὰρ ὁ βδελυκλέων ἐπὶ ὑπερῴου καθήμενος. Νόσον γὰρ ὁ πατὴρ ἀλλόκοτον. ξένην καὶ παρηλλαγμένην αὐτῷ. παρόσον ὁ μὲν, φιλόδικος. ὁ δὲ τοῦτο βδελυττόμενος. Τοπάζετε. εἰκάζετε. ὑπονοεῖτε φησὶ τοῖς, πάθει ἡττηται. γράφεται δὲ καὶ ἀπροσώπως, τοπάζετε. Ἀμυνίας μὲν. ὧδε μὲν ὡς φιλόκυβος ὁ ἀμυνίας κωμῳδεῖται. ἐν δὲ σερίφοις ὡς ἀλαζὼν καὶ συκοφάντης, καὶ κόλαξ. Ἀλλὰ φιλο μέν ἐστι. αὐτὶ τοῦ εἰπεῖν ἀρχὴν τοῦ ὀνόματός φησι τοῦ κακοῦ· τὸ φίλο ἢ εἶπε, παρόσον φιλοκλέων ἐκαλεῖτο. πεποιημένον δὲ τοῦτο παρὰ τὸ φιλεῖν τὰς κλέωνος πράξεις. φιλόδικος δὲ οὗτος καὶ συκοφάντης. Πρὸς δερκύλον. οὗτος ὡς κάπηλος ἢ μεθυστής. πρὸς ὃν σωσίας τις διαλέγεται. ἄλλως Ὁ δερκύλος κωμικὸς ὑποκριτής. δύο δὲ εἰσὶ σωσίαι. ὁ μὲν, πυθίδος. ὁ δὲ παρμενίωνος. Αὕτη γε χρηστῶν ἀνδρῶν. ὡς μεθυστὴς ὁ οἰκέτης ἐπαινεῖ τὴν μέθην. σκαμβωνίδης. ἀπὸ δήμου τῆς λεοντίδος φυλῆς. φιλοθύτην αὐτόν. φιλοθύται εἰσὶν οἱ δεισιδαίμονες. καὶ θύουσιν ἀεὶ τοῖς θεοῖς, νομίζοντες ἐκ τούτου ἀβλαβεῖς ἔσεσθαι.

αὐτῷ καθεύδων, ὁ μέγας οὑπὶ τοῦ τέγους.
οὗτος φυλάττειν τὸν πατέρ' ἐπέταξε νῷν.
ἔνδον καθείρξας, ἵνα θύραζε μὴ 'ξίῃ.
νόσον γὰρ ὁ πατὴρ ἀλλόκοτον αὐτοῦ νοσεῖ.
ἣν οὐδ' ἂν εἷς γνοίη ποτ' οὐδ' ἂν ξυμβάλοι,
εἰ μὴ πύθοιθ' ἡμῶν. ἐπεὶ τοπάζετε.
ἀμυνίας μὲν ὁ προνάπου φήσ' οὑτοσὶ
εἶναι φιλόκυβον αὐτόν. Σω. ἀλλ' οὐδὲν λέγει.
Σω. Μὰ δί', ἀλλ' ἀφ' αὑτοῦ τὴν νόσον τεκμαίρεται.
Ξαν. οὐκ, ἀλλὰ φιλο μέν ἐστιν ἀρχὴ τοῦ κακοῦ.
ὁδὶ δέ φησι σωσίας πρὸς δερκύλον.
εἶναι φιλοπότην αὐτόν. Σω. οὐδαμῶς γ' ἐπεὶ
αὕτη γε χρηστῶν ἐστὶν ἀνδρῶν ἡ νόσος.
Ξαν. νικόστρατος δ' αὖ φησὶν ὁ σκαμβωνίδης,
εἶναι φιλοθύτην αὐτὸν, ἢ φιλόξενον.
Σω. μὰ τὸν κύν' ὦ νικόστρατ', οὐ φιλόξενος.
ἐπεὶ καταπύγων ἐστὶν ὅ γε φιλόξενος.
Ξαν. ἄλλως φλυαρεῖτ'. οὐ γὰρ ἐξευρήσετε
εἰ δὴ 'πιθυμεῖτ' εἰδέναι, σιγᾶτε νῦν.
φράσω γὰρ ἤδη τὴν νόσον τοῦ δεσπότου.
φιληλιαστής ἐστιν ὡς οὐδεὶς ἀνήρ.
ἐρᾷ τε τούτου τοῦ δικάζειν. καὶ στένει.

Ἢ φιλόξενον. ὁ μὲν, πρὸς τὸν ἀγαθὸν τρόπον εἶπε τὸ φιλόξενον. ὁ δὲ, ὡς κύριον ἥρπασε. καὶ γὰρ ὁ φιλόξενος ἐκωμῳδεῖτο ὡς πόρνος. δίπολις, πόλεσιν. ἔστι δέ τις θήλεια φιλόξενος ἐκ διομείων. καὶ φρύνιχος σατύροις. Μὰ τὸν κύν' ὦ νικόστρατε. οὕτω διὰ δεισιδαιμονίαν ὤμνυον. ἢ τάχα μιμεῖται τοὺς φιλοσόφους εἰς κύνα καὶ χῆνα ὀμνύοντας. Ἄλλως. φλυαρεῖτε. αὐτὶ τοῦ μάτην φλυαρεῖτε. εἴρηται δὲ ἀπὸ μεταφορᾶς τοῦ λέβητος. ἀπὸ τοῦ φλύειν ὅ ἐστι καχλάζειν. καὶ ἐκ τούτου τὸν ἀφρὸν ἀποβάλλειν. καὶ ὅμηρος. ἀνὰ δ' ἔφλυε καλὰ ῥέεθρα. Φιληλιαστής. αὐτὶ τοῦ φιλόδικος. ἀπὸ τοῦ μεγίστου δικαστηρίου τῆς ἡλιαίας. ὅπερ οὕτω καλεῖται, ἀπὸ τοῦ ἐν ἀθρείᾳ δημηγορεῖν καὶ ἐν ὑπαίθρῳ εἶναι καὶ ἡλίῳ βάλλεσθαι.

Μεγαρόθεν. ἢ ὡς περὶ τῶν ὄντων τινῶν ἀπὸ μεγαρίδος ἀμούσων καὶ ἀφυῶς σκωπτομένων. ἢ ὡς τῶν μεγαρέων γελώντων καὶ ἄλλως φορτικῶς γελοιαζόντων. εὔπολις προσπαλτίοις· τὸ σκῶμμ' ἀσελγὲς καὶ μεγαρικὸν σφόδρα. Κεκλαμμένον. ἀποσπασθέντα. γράφεται καὶ κεκλαμμένον δωρικῶς, ἀπὸ μετοχῆς τῆς κλαπείς. ὡς τραφείς. ὥσπερ οὖν τεθραμμένον, οὕτω κεκλαμμένον ἔφη. Ἐκ φορμίδος. φορμὶς κυρίως ἡ ψίαθος. νῦν δὲ ἡ σπυρίς. ὡς τῶν ἄλλων ποιητῶν διὰ ψυχρότητα ποιήσεως, διόβολου κάρυων ὑποστελλομένων τὴν κακίαν τοῦ δράματος.

Ο Οὐδ' ἡρακλῆς τὸ δεῖπνον. ἐν τοῖς πρὸ τούτου δεδιδαγμένοις δράμασιν, εἰς τὴν ἡρακλέος ἀπληστίαν, πολλὰ προείρηται. ποιοῦσι δὲ τὸν ἡρακλέα γελοίου χάριν, κεκλημένον εἰς δεῖπνον καὶ δυσχεραίνοντα, διὰ τὸ βραδέως αὐτῷ παρατιθέναι τὰ ὄψα. Ἀνασελγαινόμενος. καταχωμῳδούμενος. ὑβριζόμενος. κατ' αὐτοῦ γὰρ καθῆκε τὰς θεσμοφοριαζούσας. φησὶν οὖν, οὐδὲ δεύτερον ταυτολογήσω περὶ αὐτοῦ ὡς οἱ ἄλλοι. οὐ μόνον δὲ ἐν τούτῳ τῷ δράματι εἰσήγαγεν οὕτως εὐριπίδην. ἀλλὰ καὶ ἐν τῷ προάγωνι καὶ ἐν ἀχαρνεῦσιν.

οὔκουν ἐναργὲς τοῦτο ξυμβαλεῖν, ὅτι
ἀρθεὶς ἀφ' ἡμῶν, ἐς κόρακας οἰχήσεται.
Σω. εἶτ' οὐκ ἐγὼ δοὺς δύ' ὀβολὼ μισθώσομαι,
οὕτως ὑποκρινόμενον σαφῶς ὀνείρατα.
Ξαν. φέρε νυν κατείπω τοῖς θεαταῖς τὸν λόγον.
ὀλίγ' ἄττα ὑπειπὼν πρῶτον αὐτοῖσι ταδί.
μηδὲν παρ' ἡμῶν προσδοκᾶν λίαν μέγα.
μηδ' αὖ γέλωτα μεγαρόθεν κεκλεμμένον.
ἡμῖν γὰρ οὐκ ἔστ' οὐδὲ κάρυ' ἐκ φορμίδος.
δούλω διαρριπτοῦντε τοῖς θεωμένοις.
οὐδ' ἡρακλῆς τὸ δεῖπνον ἐξαπατώμενος.
οὐδ' αὖθις ἀνασελγαινόμενος εὐριπίδης.
οὐδ' εἰ κλέων ἔλαμψε τῆς τύχης χάριν,
αὖθις τὸν αὐτὸν ἄνδρα μυττωτεύσομεν.
ἀλλ' ἔστιν ἡμῖν λογίδιον, γνώμην ἔχον.
ὑμῶν μὲν αὐτῶν οὐχὶ δεξιώτερον.
κωμῳδίας δὲ φορτικῆς σοφώτερον.
ἔστι γὰρ ἡμῖν δεσπότης ἐκεινοσί.

Ο Οὐδ' εἰ κλέων γ' ἔλαμψεν. τοῦτό φησιν ὡς τοῦ κλέωνος, ἀπὸ δυστυχιῶν ἐκλάμψαντος. ὃν ἐκωμῴδησεν ἐν τοῖς ἱππεῦσι καὶ εἰς κατ' αὐτοῦ τὸ δρᾶμα. καί φησιν· οὐ πάλιν αὐτὸν κωμῳδήσει ἑτέραν κωμῳδίαν ποιούμενος. Μυττωτεύσομεν δέ, ἀντὶ τοῦ συντρίψομεν. δριμύξομεν. ἐκπικρανοῦμεν, μετήνεκται δὲ ἀπὸ τῶν σκορόδων. μυττωτὸν γάρ ἐστι κυρίως τὸ ἐκ σκορόδων καὶ τυροῦ καὶ ὄξους τρίμμα. καὶ οὕτως ὠνομάσθη, ἀντὶ τοῦ μυσωτόν τι, παρὰ τὸ μυσάττεσθαι αὐτοῦ τὴν ὀσμήν. καὶ τροπῇ ἀττικῇ τοῦ σ εἰς τ καὶ πλεονασμῷ μυττωτός. ἔγνε καὶ ὁ καλλίμαχος φησίν· ἣν ἐτρίψαντο μυσωτόν. Ἀλλ' ἔστιν ἡμῖν λογίδιον. ὑπόθεσις ἔχουσα περιπέτειαν. λογίδιον δὲ εἶπε, μετριάζων. διὸ ἐπιφέρει. ὑμῶν αὐτῶν οὐχὶ δεξιώτερον. ἀντὶ τοῦ ἧττον τῆς ὑμῶν σοφίας. φορτικῆς, ἀντὶ τοῦ οἰκτρᾶς τῆς ὑπ' ἄλλων λεγομένης. ἐν ᾗ φορτικά τινα εἰσάγουσιν.

Ε᾿κκλησιάζειν. εἰς ἐκκλησίαν συνάγειν. πρόβατα δὲ, τοὺς ἀθηναίους φησὶ, διαβάλλων τὸ προβατῶδες αὐτῶν. παλαιὸν δὲ ἦν ἔθος, τοὺς ἐντίμους γέροντας τριβωνοφοροῦντας, ἐκκλησιάζειν μετὰ βακτηρίας. Τοῖσι προβάτοις μοὐδόκει. τὸ πλήρες, τοῖς προβάτοισι μοι ἐδόκει. καὶ ἔκθλιψις καὶ κρᾶσις. φάλαινα δὲ, θηρίον θαλάττιον. πανδοκεύτρια δὲ, ἡ πάντα δεχομένη καὶ καταπίνουσα. ἡ πάντα ἀπαιτοῦσα. κωμῳδεῖ δὲ πάντα χοῦ τὸν κλέωνα. σκώπτων ὡς ἅρπαγα καὶ πολλὰς μηχανὰς ἐπινοοῦντα εἰς τὸ κερδαίνειν. ἐμπεπρησμένης δὲ, αὐτὶ τοῦ ἐμπεφυσημένης καὶ παχείας. πλῆσαι γὰρ τὸ φυσῆσαι. καὶ τοῦτο δὲ, εἰς τὸ ἁρπακτικὸν τοῦ κλέωνος. πολλαχοῦ γὰρ ὡς πιοῦτον τὸν αὐτὸν διασύρει. φάσκων κυκλοβόρου φωνὴν ἔχων. καὶ παφλάγονα παρὰ τὸ παφλάζειν τῇ φωνῇ. Πανδοκεύτρια. ἡ πάντα δεχομένη. λέγει δὲ τὸν κλέωνα. Ἐμπεπρησμένης. ἐμπεφυσημένης. παχείας. πρῆσαι γὰρ τὸ φυσῆσαι. ἕνεκα καὶ πρηστήρ. καὶ ὅμηρος. ἐυπρῆσον αὐτμὴν ἐξανιεῖσαι. Τὸν δῆμον ἡμῶν βούλεται. πρὸς

> Ε᾿κκλησιάζειν πρόβατα συγκαθήμενα.
> βακτηρίας ἔχοντα καὶ τριβώνια,
> κἄπειτα τούτοις τοῖς προβάτοισι μοὐδόκει.
> δημηγορεῖν φάλαινα πανδοκεύτρια.
> ἔχουσα φωνὴν ἐμπεπρησμένην ὑός.
>
> Ξαν. αἰβοῖ. Σω. τί ἐστι. Ξαν. παῦε παῦε μὴ λέγε.
> ὄζει κάκιστον τοὐνύπνιον βύρσης σαπρᾶς.
>
> Σω. εἶθ' ἡ μιαρὰ φάλαιν' ἔχουσα τρυτάνην.
> ἵστη βόειον δημόν. Ξαν. οἴμοι δείλαιος
> τὸν δῆμον ἡμῶν βούλεται διιστάναι.
>
> Σω. ἐδόκει δέ μοι θέωρος αὐτῆς πλησίον
> χαμαὶ καθῆσθαι. τὴν κεφαλὴν κόρακος ἔχων.
> εἶτ' ἀλκιβιάδης εἶπε πρός με τραυλίσας.
> ὁλᾷς θέωλος τὴν κεφαλὴν κόλακος ἔχει.
>
> Ξαν. ὀρθῶς γε τοῦτ' ἀλκιβιάδης ἐτραύλισεν.
>
> Σω. οὐκοῦν ἐκεῖν' ἀλλόκοτον, ὁ θέωρος κόραξ
> γιγνόμενος. Ξαν. ἥκιστ' ἀλλ' ἄριστον. Σω. πῶς. Ξ. ὅπως;
> ἄνθρωπος ὢν. εἶτ' ἐγένετ' ἐξαίφνης κόραξ.

τὸν δῆμον καὶ τὸ ἵστη τὸ διιστάναι ἐπήνεγκεν. ἀντὶ τοῦ διαχωρίσαι. παρὰ τοὺς τόνους δὲ ἔπαιξε. μίξας πρὸς τὰ σημαινόμενα. ἄλλως τε καὶ ἀφ' ἱστορίας τοῦτό φασι. καὶ γὰρ πρὸ δύο ἐτῶν καὶ διδασκαλίας τούτου τοῦ δράματος, λακεδαιμονίων περὶ εἰρήνης πρεσβευσαμένων, ὁ κλέων ἀπήλασε τοὺς πρέσβεις. Ἐδόκει δέ μοι θέωρος. οὗτος ὡς κόλαξ κωμῳδεῖται. Κόρακος ἔχων. καὶ ὡς ἅρπαγα αὐτὸν σκώπτων, ἐπήνεγκε τὸ, κόρακος κεφαλὴν ἔχει. ὁ αὐτὸς δὲ πονηρὸς, καὶ μοιχὸς κωμῳδεῖται. Ἀλκιβιάδης. τοῦτον διαβάλλει ὡς τραυλόν. οἱ δὲ τραυλοὶ τὸ λ ἀντὶ τοῦ ρ λέγουσιν. Ἐτραύλισεν. ὁ τραυλισμὸς τοῦ στίχου εἰς τὸ θέωρος. ἐπειδὴ προείρηται κόλαξ. ὅτι δὲ ἀλκιβιάδης τραυλὸς, δῆλος τὸ λ ἀντὶ τοῦ ρ λέγων.

Α᾿λλόκοτον. τεράστιον. ξένον. ἄτοπον. ἀλλοφυές. ὁ δὲ λόγος. δεινὸν δοκεῖ τοῦτο τὸ ἐνύπνιον θέωρος γιγνόμενος κόραξ. Εἶτ' ἐγένετ' ἐξαίφνης. διὰ τοῦτο φησὶ καλὸν, ὅτι αὐτὸς ὢν, κόραξ ἐγένετο. διὸ καὶ ἐπιφέρει. ἀφθεὶς ἀφ' ἡμῶν, ἐς κόρακας οἴχεται. ἐπὶ τοῖς δὲ τοῦτο εἶπεν, ὅπως ἂν τὸ βλάσφημον δικαίως κατ' αὐτοῦ δόξῃ λέγειν.

Μῆδός τις. πρὸς τὸ σαβάζιος, εἶπε καὶ οὗτος τὸ μῆδος. ἢ ἀντὶ τοῦ ἐχθρός. ἐπεὶ καὶ ἐστράτευσαν τότε. πολέμιοι γάρ, ἕλλησιν οὗτοι. Ἐπίχαλκον. τὴν ἔξωθεν χαλκῆν. τοῦτο δὲ προσέθηκε, διὰ τὴν ὁμωνυμίαν τὴν πρὸς τὸ ἑρπετόν. δοκεῖ δέ μοι τὴν ἀσπίδα τὸ ὅπλον ἀπὸ τοῦ τοιούτου ὠνομάσθαι ζώου. διὰ τὸ εἰς κύκλους πολλοὺς ἑλισσόμενον καθεύδειν. κυκλικαὶ γὰρ ἦσαν αἱ ἀσπίδες τῶν παλαιῶν ὡς αἰσχύλος· ἄλλω δὲ πολλὴν ἀσπίδος κύκλον λέγω, ἔφριξα δινήσαντος. οὕτω δὲ τὸ ζῶον ὠνόμασται, ἀπὸ τοῦ α ἐπιτατικοῦ μορίου καὶ τοῦ πίζω [?] τὸ ἐκτείνω, διὰ τὸ ὀξὺν αὐτοῦ συριγμόν. ἢ διὰ τὸ τοῦ σώματος αὐτοῦ μῆκος. ἀνεκάς δέ, ἀντὶ τοῦ ἄνω πάνυ ἑκάς. καὶ εἰς ὕψος. Ἀποβαλεῖν κλεώνυμον. ὅτι μετὰ τῶν ἄλλων ὃν κωμῳδεῖται, καὶ δειλὸς καὶ ῥίψασπις. παρὰ ὑπόνοιαν δὲ κωμῳδεῖ αὐτόν. Οὐδὲν ἄρα γρίφου. ἀντὶ τοῦ, παροιμίου [?] ζητήματος. οἷον δύναταί τις γρῖφον ποιῆσαι, καὶ ἀπὸ τῶν κλεωνύμου πράξεων. ἐπειδὴ ἀναγράφει αὐτῶν γένη ὁ κλέαρχος, ἐν τῷ περὶ γρίφων συντάγματι. γρῖφοι δὲ λέγονται, τὰ ἐν τοῖς συμποσίοις προβαλλόμενα αἰνιγματώδη ζητήματα.

Μῆδός τις ἐπὶ τὰ βλέφαρα νυστακτὴς ὕπνος.
καὶ δῆτ' ὄναρ θαυμαστὸν εἶδον ἀρτίως.
Σω. κἄγωγ' ἀληθῶς οἷον οὐδεπώποτε.
ἀτὰρ σὺ λέξον πρότερος. Ξαν. ἐδόκουν αἰετὸν
καταπτάμενον ἐς τὴν ἀγορὰν μέγαν πάνυ
ἀναρπάσαντα τοῖς ὄνυξιν ἀσπίδα,
φέρειν ἐπίχαλκον ἀνεκὰς εἰς τὸν οὐρανόν.
κἄπειτα ταύτην ἀποβαλεῖν κλεώνυμον.
Σω. οὐδὲν ἄρα γρίφου διαφέρει κλεώνυμος.
πῶς δή; προσερεῖ τις τοῖσι συμπόταις λέγων
ὅ,τι ταυτὸ θηρίον ἔν τε γῇ κἀν οὐρανῷ·
κἀν τῇ θαλάττῃ γ' ἀπέβαλε τὴν ἀσπίδα.
Ξαν. οἴμοι· τί δῆτά μοι κακὸν γενήσεται
ἰδόντι τοιοῦτον ἐνύπνιον. Σω. μὴ φροντίσῃς
οὐδὲν γὰρ ἔσται δεινὸν. οὐ μὰ τοὺς θεούς.
Ξαν. δεινόν γέ τοί πού 'στ' ἄνθρωπος ἀποβαλὼν ὅπλα.
ἀτὰρ σὺ τὸ σὸν αὖ λέξον. Σω. ἀλλ' ἔστι μέγα.
περὶ τῆς πόλεως γάρ ἐστι τοῦ σκάφους ὅλου.
Ξαν. λέγε νυν ἀνύσας τι, τὴν τρόπιν τοῦ πράγματος.
Σω. ἔδοξέ μοι περὶ πρῶτον ὕπνον ἐν τῇ πυκνὶ

Τοῖς συμπόταις. ἐν γὰρ τοῖς συμποσίοις, προεβάλλοντο οἱ γρῖφοι πρὸς λύσιν. Ὅτι ταυτόν. ἐν ᾧ ὅτι· περιττεύει τὸ ὅ ἀττικῶς. τὸ γὰρ σημαινόμενον ἀντὶ τοῦ τί ταυτὸν ἐν γῇ ἐρωτήσει. καὶ ἔστιν ὁ λόγος οὕτω. τί τὸ αὐτὸ θηρίον ἐν παντὶ τόπῳ δυστυχεῖ τὰ πολεμικά. καὶ ἐν γῇ καὶ ἐν ναυμαχίᾳ. θηρίον δὲ ὁ αἰετὸς πάντα χεῦμα [?] ἐπιπτάμενος. ᾧ παραβάλλει τὸν κλεώνυμον. Θηρίον τὴν ἀσπίδα. οὐκ ἀπεικότως θηρίον αὐτὸν εἶπεν. ἐπεὶ μακρὸς καὶ ἄρρυθμος ὁ κλεώνυμος. Δεινόν γέ τοι ἄνθρωπος. τοῦτό φησιν οἶδα ὅτι δεινὸν πρᾶγμα ἰδεῖν αὐτοῦ ἀποβαλεῖν τὴν ἀσπίδα. Τοῦ σκάφους ὅλου. ἀεὶ οἱ ποιηταὶ τὰς πόλεις πλοίοις παραβάλλουσι. καὶ ὁ σοφοκλῆς. Λέγε νυν ἀνύσας. τὸ ἀνύσας, ἀττικοὶ δασύνουσι. τρόπιν δὲ ὥσπερ εἰ ἔλεγε τὴν ῥίζαν. ἐπεὶ τοῦ δρυόχου ἡ τρόπις ἵσταται πρῶτον. Ἄλλως. τρόπιν, ἀντὶ τοῦ θεμέλιον [?], ἀπὸ μεταφορᾶς τοῦ σκάφους. οἱ δέ, τὴν ἀρχήν. ἐπάξει δὲ περὶ τὸ σκάφος.

Ἐκκλησιάζειν.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΣΦΗΚΕΣ.

Σωσίας.

Οὗτος τί πάσχεις. προλογίζουσι δύο οἰκέται, ἀποδυσπετοῦντες πρὸς τὴν φυλακὴν τοῦ γέροντος δεσπότου. κατ' αὐτὴν δὲ, στίχοι ἴαμβοι τρίμετροι ἀκατάληκτοι, σκθ'. ὧν τελευταῖος· πολλῶν δικαστῶν σφηκιὰ διασκεδῶ. Φυλακὴν καταλύειν. οὕτω λέγουσι τὸ ἀπαλλάξαι ἐπὶ τῆς φυλακῆς, φυλακὴν καταλύειν νυκτερινήν. ἤγουν καταλιπεῖν τὴν τάξιν βούλομαι καὶ μελετῶ καθεύδειν ἤγουν νυστάζω.

Οὗτος τί πάσχεις ὦ κακόδαιμον ξανθία;

Ξα. φυλακὴν καταλύειν νυκτερινὴν διδάσκομαι.

Σω. Κακὸν ἄρα ταῖς πλευραῖς τι προὐφείλεις μέγα.

ἆρ' οἶσθα γ' οἷον κνώδαλον φυλάττομεν;

Ξα. οἶδ'· ἀλλ' ἐπιθυμῶ σμικρὸν ἀπομερμηρίσαι.

Σω. σὺ δ' οὖν παρακινδύνευ', ἐπεὶ καὐτοῦ γ' ἐμοῦ
κατὰ τοῖν κόραιν ἤδη τι καταχεῖται γλυκύ.

Ξα. ἀλλ' ἢ παραφρονεῖς ἐτεὸν, ἢ κορυβαντιᾷς.

Σω. οὔκ. ἀλλ' ὕπνος μ' ἔχει τις ἐκ σαβαζίου.

Ξα. τὸν αὐτὸν ἄρ' ἐμοὶ βουκολεῖς σαβάζιον.
κἀμοὶ γὰρ ἀρτίως τις ἐπεστρατεύσατο

Προὐφείλεις. οὐδὲν ἄλλο ἐκ τοῦ προὐφείλεις ἐκδεκτέον ἢ μόνον τὸ ὀφείλεις. ἐχρεώστεις τί μέγα κακὸν ταῖς πλευραῖς σου. καὶ θέλεις αὐτὸ ἀποδοῦναι. Κνώδαλον. κυρίως ἐπὶ τοῦ θαλαττίου θηρίου. εἴρηται δὲ καὶ ἐπὶ τοῦ χερσαίου κνώδαλον παρὰ τὸ κυσὶν ἁλίσκεσθαι. Ἀπομερμηρίσαι. μέρμηρα ἡ εἰς ὕπνον καταφορὰ περὶ τὴν ἕω λέγεται ἢ μέρμηρα καὶ φροντίς. ἐκ δὲ τούτου τὸ καθευδῆσαι. οἱ γὰρ καθεύδοντες, ἀποτίθενται τὰς φροντίδας. καὶ πρὸς τὸν ὄρθρον δὲ γίνεταί τις ὕπνος ἐν ταῖς ἐπιστάσεσι ἐλαφρός. οὗ τούτῳ τῷ ὀνόματι καλοῦσι.

Παρακινδύνευε. παρ' ὑπόνοιαν εἶπε. δέον εἰπεῖν κατακοιμῶ, εἶπε παρακινδύνευε. ἐπεὶ ἔμελλε μαστίζεσθαι ἐὰν κοιμηθῇ, ἐκ τοῦ ἑπομένου εἶπε τὸ προηγούμενον. Κορυβαντιᾷς μανίῃ. παρόσον οὗτοι οἱ δαίμονες, μανίας καὶ ἐκθειασμοῦ εἰσὶν ἐμποιητικοί, ὀνειδίζει δὲ αὐτῷ καὶ οὕτως, ὅτι ἐλοιδορεῖτο αὐτόν. φάσκων κινδυνεύειν περιπεσόντι. Ἐκ σαβαζίου. πρὸς τὸ κορυβαντιᾷς, ἐπήγαγε τὸ σαβαζίου. ἐκεῖνος δὲ, ἐπὶ τοῦ παραφρονεῖν συμβουλεύει καὶ ἀποκοιμηθῆναι. σαβάζιον δὲ τὸν διόνυσον οἱ θρᾶκες καλοῦσι. καὶ σάβους τοὺς ἱερούς αὐτοῦ. παίζει δὲ, ὥστε εἰ ἔλεγε βάρβαρός τις καὶ σκληρὸς ὕπνος. βουκολεῖς δὲ τρέφεις.

δικῶν. διὰ τὸ τοιοῦτο, καὶ τοὺς δικαστὰς σφηξὶν εἰκάζει κέντρα ἔχουσι. καὶ πεποίηται δ' αὐτῷ χαριέντως. Ἐδιδάχθη ἐπὶ ἄρχοντος Ἀμυνίου διὰ Φιλωνίδου ἐν τῇ πόλει Ὀλυμπίων ἦν β΄ εἰς λήναια. καὶ ἐνίκα πρῶτος φιλωνίδης προάγων Γλαύκων πρέσβεσι τρίτος.

ΤᾺ ΤΟΥ͂ ΔΡΆΜΑΤΟΣ ΠΡΌΣΩΠΑ.

Οἰκέται δύο Σωσίας καὶ Ξανθίας. Βδελυκλέων.
Φιλοκλέων. Χορὸς γερόντων σφηκῶν. Παῖδες.
Κύων. Κῆρυξ. Κυδαθηναιεύς.
Θεσμοθέτης. Γυνὴ ἀρτοπῶλις. Ἀνήρ τις [illegible].
Κατήγορος.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ ΣΦΗΚΩΝ ΥΠΟΘΕΣΙΣ ΔΙΑ ΣΤΙΧΩΝ ΙΑΜΒΩΝ.

Φιλοῦντα δικάζειν πατέρα, παῖς εἴρξας ἄφνω,
Αὐτὸς ἐφύλαττεν ἔνδον οἰκουροῦντα γ' ὅπως,
Μὴ λανθάνῃ, μηδ' ἐξίῃ, διὰ τὴν νόσον.
Ὁ δ' ἀντιμάχεται παντὶ τρόπῳ καὶ μηχανῇ,
Εἶθ' οἱ συνήθεις καὶ γέροντες λεγόμενοι
Σφῆκες, παραγίνονται βοηθοῦντες σφόδρα.
Ἐπὶ τῷ δ' ὑγαθαὶ κέντρον ἱέναι τῷ
φρονοῦντες ἱκανόν. ὁ δὲ γέρων τηρούμενος,
Ξυμπείθετ' ἔνδον διαδικάζειν καὶ βιοῦν.
Ἐπεὶ τὸ δικάζειν κέκρικεν ἐκ παντὸς τρόπου.

ἌΛΛΩΣ.

Φιλοκλέων ἀθηναῖος φιλοδικαστὴς ὢν τὴν φύσιν, ἐφοίτα εἰς δικαστήρια συνεχῶς. Βδελυκλέων δὲ ὁ τούτου παῖς ἀχθόμενος ταύτῃ τῇ νόσῳ καὶ πειρώμενος τὸν πατέρα παύσειν ἐγκαθείρξας τοῖς οἴκοις καὶ δίκτυα περιβαλὼν, ἐφύλαττε νύκτωρ καὶ μεθ' ἡμέραν. ὁ δὲ ἐξόδου αὐτῷ μὴ παρικειμένης, ἔκραζεν. οἱ δὲ συνδικασταὶ σφηξὶν αὐτοὺς ἀφομοιώσαντες, παρεγένοντο. βουλόμενοι διὰ ταύτης τῆς τέχνης ὑπεκκλέπτειν τὸν συνδικαστήν. ἐξ ὧν καὶ ὁ χορὸς συνέστηκε. καὶ τὸ δρᾶμα ἐπιγέγραπται. ἀλλ' οὐδὲν ἤνυον οὐδὲ οὗτοι. πέρας δὲ τοῦ νεανίσκου θαυμάζοντος, τίνος ἕνεκα ὁ πατὴρ οὕτως ἥττηται τοῦ πράγματος, ἔφη ὁ πρεσβύτης εἶναι τὸ πρᾶγμα σπουδαῖον καὶ σχεδὸν ἀρχῆς τὸ δικάζειν. ὁ δὲ παῖς ἐπειρᾶτο τὰς ὑπονοίας ἐξαίρειν τοῦ πράγματος, νουθετῶν τὸν γέροντα. ὁ δὲ πρεσβύτης μηδαμῶς νουθετούμενος, οὐ μεθίει τοῦ πράγματος. ἀλλ' ἀναγκάζεται ὁ νέος ἐπιτρέπειν αὐτῷ φιλοδικεῖν. καὶ ἐπὶ τῆς οἰκίας μόνον τοῦτο ποιεῖν, καὶ τοὺς κατὰ τὴν οἰκίαν δικάζειν. καὶ δύο κύνες παρεισάγονται παρ' αὐτῷ πολιτευτικῶς κρινόμενοι. καὶ κατὰ τοὺς φεύγοντας ἐκφέρειν συνεχῶς τὴν ψῆφον μέλλων, ἀπατηθεὶς ἄκων, τὴν καταδικάζουσαν ἅμα φέρει ψῆφον. περιέχει δὲ καὶ δικαιολογίαν τινὰ τοῦ χοροῦ ἐκ τοῦ ποιητικοῦ προσώπου διὰ τὸ σφηξὶν ἐμφερεῖς εἶναι τοὺς τοῦ χοροῦ. ἐξ ὧν καὶ τὸ δρᾶμα. οἱ ὅτε μὲν ἦσαν νέοι, πικρῶς τὰς δίκας ἐφήδρευον. ἐπεὶ δὲ γέροντες γεγόνασι κεντοῦσι τοῖς κέντροις. ἐπὶ τέλει τοῦ δράματος, ὁ γέρων ἐπὶ δεῖπνον καλεῖται καὶ ἐπὶ ὕβριν τρέπεται. καὶ κρίνει αὐτὸν ὕβρεως ἀρτόπωλις. ὁ δὲ γέρων, πρὸς αὐλὸν καὶ ὄρχησιν τρέπεται. καὶ γελοιοποιεῖ τὸ δρᾶμα. Τοῦτο τὸ δρᾶμα πεποίηται αὐτῷ οὐκ ἐξ ὑποκειμένης ὑποθέσεως, ἀλλ' ὡσανεὶ γεγενημένης. πέπλασται δὲ τὸ ὅλον. διαβάλλει δὲ ἀθηναίους ὡς φιλοδικοῦντας. καὶ σωφρονίζει τὸν δῆμον ἀποστῆναι

συμβολάς· παίζων πρὸς τὴν ὁμωνυμίαν τὸ ἐπὶ τὸ δεῖπνον λεγόμενον. λέγεται γὰρ συμβολὴ καὶ ἐπὶ δείπνου τοῦ ἐκ κοινοῦ ἐπιπλουμένου. οὓς ἐράνους ὅμηρός φησιν· εἰλαπίνη ἠὲ γάμος. ἐπεὶ οὐκ ἔρανος τάδε γ' ἐστίν. Ἀλλ' οὐχὶ νυνὶ τήμερον· οὐκ ἔστι σοι σήμερον ἡμέρα παιωνία καὶ ὑγιεινή. ἕκαστον δὲ ὧν ὁ λάμαχος λέγει, τρέπει οὗτος εἰς παιδιάν. παιώνια φησὶν ἐπὶ καιροῦ ὥσπερ οὐκ εἰδώς, ὅτι σήμερον οὐκ ἔστι παιώνια. ἔστι δὲ ἑορτὴ ἀθήνησιν, ἀπόλλωνι ἴσως ἀνακειμένη. καὶ παιώνιον ἰατρεῖον θεραπευτήριον·

Δι. ἀλλ' οὐχὶ νυνὶ τήμερον παιώνια.
Λα. λάβεσθέ μου, λάβεσθε τοῦ σκέλους. παπαῖ.
προσλάβεσθέ μ' ὦ φίλοι.
Δι. ἐμοῦ δέ γε σφὼ τοῦ πέους ἄμφω μέσου.
προσλάβεσθέ μ' ὦ φίλαι.
Λα. ἰλιγγιῶ κάρα λίθῳ πεπληγμένος.
καὶ σκοτοδινιῶ.
Δ. κἀγὼ καθεύδειν βούλομαι καὶ στύομαι
καὶ σκοτοδινιῶ.
Λα. θύραζέ μ' ἐξενέγκατ' ἐς τοῦ πιττάλου.
παιωνίαισι χεροῖν.
Δι. ὡς τοὺς κριτάς μ' ἐκφέρετε. ποῦ 'στιν ὁ βασιλεύς;
ἀπόδοτέ μοι τὸν ἀσκόν.
Λα. λόγχη τις ἐμπέπηγέ μοι δι' ὀστέων ὀδυρτά.
Δι. ὁρᾶτε τουτονὶ κενόν; τήνελλα καλλίνικος.
Χο. τήνελλα δῆτ', εἴπερ καλεῖς πρέσβυ καλλίνικος.
Δι. καὶ πρός γ' ἄκρατον ἐγχέας ἄμυστιν ἐξέλαψα.
Χο. τήνελλα νῦν ὦ γεννάδα χώρει λαβὼν τὸν ἀσκόν.
Δι. ἕπεσθε νῦν ᾄδοντες ὦ, τήνελλα καλλίνικος.
Χο. ἀλλ' ἑψόμεσθα σὴν χάριν.
τήνελλα καλλίνικον ᾄ-
δοντές σε καὶ τὸν ἀσκόν.

ἢ σωτήριον φάρμακον. καὶ παιωνίοισι φαρμάκοις σωτηρίοις, ἰατρευτικοῖς θεραπευτικοῖς. καὶ παρακαπὼν ἐρεῖ παιωνίαισι χεροῖν.

Λάβεσθέ μου λάβεσθε. διπλῆ καὶ δυάδες τρεῖς δικώλου ἔχουσαι τὰς περιόδους, ὧν ἐξ ἰάμβου τριμέτρου ἀκαταλήκτου ἐκκειμένου. τῆς μὲν οὖν πρώτης δυάδος ὁ πρῶτον παιωνικὸν δίρρυθμον· τὸ προσλάβεσθ' ὦ φίλαι.

Ι Ἰλιγγιῶ ὅταν περὶ τὴν καρδίαν στρόφος γένηται, εἶτα ἀκολουθεῖ σκότος. καὶ τοῦτο καλοῦσι τὸ πάθος, ἴλιγγον.

Π Ποῦ 'στιν ὁ βασιλεύς. δηλοῖ ὡς ἄρα τὴν ἐπιμέλειαν ὁ βασιλεὺς εἶχε τῆς ἁμίλλης τοῦ χοὸς καὶ τὸ ἆθλον ἐδίδου τῷ νικήσαντι, τὸν ἀσκόν. ὁ δὲ βασιλεὺς ἀρχή τις ἐστίν. ἦν δὲ καὶ τῶν μυστηρίων ἐπιμελητὴς τῶν πομπῶν, καὶ τῶν θυσιῶν δὲ ἦρχεν. Ὀδυρτά. κατὰ ἐναλλαγὴν τοῦ σ, ὀδυρτὰ τουτέστι θρηνητικά. ἢ ἀπὸ τοῦ ὀδύρεσθαι· τουτέστι θρῆνον ἐμποιοῦσα καὶ ὀδυρμόν. Ὦ πρέσβυ. ἑαυτὸν γὰρ ὑπετίθετο πρέσβυν πρὸς τὴν γυναῖκα διαλεγόμενος ἐν ἀρχῇ τοῦ δράματος. Ἄμυστιν. τὴν ἀθρόαν πόσιν οὕτως ἔλεγον. ἔστι δὲ εἶδος ποτηρίου φιαλώδους. Ἄλλως. οἷον ὁμοῦ καὶ ἀθρόως ἔπινον, ἢ παρὰ τὸ ἀπνευστὶ ἐκπιεῖν, ἢ παρὰ τὸ μὴ μύειν. ἔστι δὲ καὶ εἶδος ποτηρίου. Τήνελλα. μίμημα ἀποφθέγματος αὐλοῦ τὸ τήνελλα. Ἀρχίλοχος. τήνελλα καλλίνικε χαῖρ' ἄναξ ἡράκλεις, αὐτός τε καὶ ἰόλαος αἰχμητὰ δύω.

Α Ἀλλ' ἑψόμεθα σὴν χάριν. λείπει ἡ εἰς πρόθεσις. ἵν' ᾖ εἰς σὴν χάριν.

Π Πτίλον μέγα λέγει τὴν περικεφαλαίαν αὐτοῦ, ἀπὸ τοῦ ἐν αὐτῇ πτεροῦ. οὐ γὰρ τὸ πτερὸν πεσὸν εἰς πέτραν ἤχησεν, ἀλλὰ τὸ κράνος ἐκ χαλκοῦ κατεσκευασμένον. ὑδρορρόαν δὲ ὕφαλον πέτραν ἢ τὸ μέρος τῆς στεφανίδος. δι' οὗ τὸ ἀπὸ τοῦ ὄμβρου ὕδωρ συναγόμενον κατέρχεται. ἢ ὁ στενὸς τόπος. λέγεται δὲ καὶ ὑδρορρόια. ὡς τό, οἱ δὲ εἰς τὰς ὑδρορρόας συνωθοῦντες αὐτούς. διὰ τούτων ἐσώζοντο εἰς τὰς ναῦς.

Α' Ἀτταταῖ. θρηνῶν παρατραγωδεῖ. κατεγχάνοι δὲ καταγελάσοι. παρατηρητέον δὲ ὅτι αἱ ἀντιθέσεις αὖθις ὁ μὲν τὰ ἐκ τοῦ πολέμου δεινὰ ἅπερ ἔπαθεν. ὁ δὲ ἅπερ ἔχει ἐν εἰρήνῃ χαρμόσυνα.

Πτίλον δὲ τὸ μέγα κομπολακύθου πεσὸν
πρὸς ταῖς πέτραισι, δεινὸν ἐξηύδα μέλος·
ὦ κλεινὸν ὄμμα νῦν πανύστατόν σ' ἰδὼν,
λείπω φάος γε τοὐμόν. οὐκέτ' εἴμ' ἐγώ.
τοσαῦτα λέξας, εἰς ὑδρορρόαν πεσὼν,
ἀνίσταταί τε καὶ ξυναντᾷ δραπέταις·
λῃσταῖς ἐλαύνων καὶ κατασπέρχων δορί.
ὁδὶ δὲ καὐτός, ἀλλ' ἄνοιγε τὴν θύραν.

Λα. Ἀτταταῖ ἀτταταῖ
στυγερὰ τάδε γε κρυερὰ πάθεα.
τάλας ἐγὼ διόλλυμαι
δορὸς ὑπὸ πολεμίου τυπείς.
ἐκεῖνο δ' αὖ ἀλγεινὸν ἄν
οἰμωκτὸν ἂν γένοιτό μοι
Δικαιόπολις γὰρ εἴ μ' ἴδοι, τετρωμένον
κατεγχάνοι γε ταῖς ἐμαῖσιν ἂν τύχαις.

Δι. Ἀτταταῖ ἀτταταῖ
τῶν τιτθίων ὡς σκληρὰ καὶ κυδώνια.
φιλήσατόν με μαλθακῶς ὦ χρυσίω,
τὸ περιπεταστὸν κἀπιμανδαλωτὸν ἄν.
τὸν γὰρ χοᾶ νῦν πρῶτος ἐκπέπωκά γε.

Λα. ὦ συμφορὰ τάλαινα τῶν ἐμῶν κακῶν.
ἰὼ ἰὼ τραυμάτων ἐπωδύνων

Δι. ἰὴ ἰή. ὦ χαῖρε λαμαχίππιον.

Λα. στυγερὸς ἐγώ. Δι. μογερὸς ἐγώ.

Λα. τί με σὺ κυνεῖς. Δι. τί με σὺ δάκνεις.

Λα. τάλας ἐγὼ τῆς ἐν μάχῃ
νῦν ξυμβολῆς βαρείας.

Δι. τοῖς χουσὶ γάρ τις ξυμβολὰς ἐπράττετο.

Λα. ἰὼ ἰώ. παιὰν παιάν.

Ω Ὦ χρυσίω πρὸς τὰς δύο πόρνας λέγει. Τὸ περιπεταστὸν καὶ τὸ μανδαλωτόν. εἴδη φιλημάτων ἐρωτικῶν. ἐν ᾧ δεῖ τὴν γλῶτταν τῶν καταφιλούντων λείχειν. Ἄλλως. Μανδαλωτὸν εἶδος φιλήματος ποικίλον καὶ ἡδύ. θηλυδριῶδες καὶ κατεγλωττισμένον. Τί με σὺ κυνεῖς. ἔνιοι ἓν βούλονται εἶναι, ἵνα ᾖ ὁ Λάμαχος λέγων πρὸς τὸν Δικαιόπολιν τὸ τί με σὺ κυνεῖς τί με σὺ δάκνεις. ἵνα ᾖ τὸ κυνεῖν ἀντὶ τοῦ σαίνειν. ὡσεὶ ἔλεγε, τί μου καταπαίζεις καὶ λυπεῖς με Δικαιόπολι. Τάλας ἐγώ. διπλῆ περίοδος δεκάκωλος ἧς τὸ πρῶτον ὅμοιον τῷ πρὸ αὐτοῦ. δίμετρον ἀκατάληκτον. τὸ τρίτον ἰαμβικὸν ἐν εἰσθέσει, τὸ τέταρτον ἐν εἰσθέσει ἰαμβικὸν ἡμιόλιον. τὸ πέμπτον ἰαμβικὸς στίχος.

Τοῖς χουσὶ γάρ τις. ἐπεὶ ὁ Λάμαχος εἶπε ξυμβολῆς βαρείας ἐπήνεγκε ὁ Δικαιόπολις.

λος καλεῖται· ἐπήνεγκε τὸ κέλλοιο· δεῖ προσορμίζοι ὡς ἐπὶ νεώς. Ἠπιαλῶν γάρ. ἀντὶ τοῦ ῥιγοπυρέττων περιπεσών. ἠπίαλος γὰρ κυρίως ὁ μετὰ ῥίγους πυρετός. ἠπιαλῶν δέ, εἶπε καὶ βαδίζων ἀντὶ τοῦ ἠπιαλοῦντός τις καὶ βαδίζοντος. ἱππασίας δέ, ἀντὶ τοῦ ἱππικῆς ὡς ὄντος αὐτοῦ ἱππέως. καὶ γὰρ ἕως ἑσπέρας διατρίβουσιν ἐν τῇ δοκιμασίᾳ οἱ ἵπποι. Τῆς κεφαλῆς Ὀρέστης. ἀντὶ τοῦ τὴν κεφαλήν, ἀττικῶς. ὁ δὲ Ὀρέστης οὗτος προσποιούμενος μωρίαν, τοὺς παριόντας ἀπέδυεν. ἦν γὰρ λωποδύτης, ἢ πρὸς τὴν ὁμωνυμίαν. ἀντὶ τοῦ ὁ μαινόμενος. πέλεθον δέ, βόλιτον. Β ἄλλοι κρατῖνον. παρ' ὑπόνοιαν λέγει· οὐ τὸν ποιητήν, ἀλλά τινα ἀλαζόνα καὶ θρασύν, καὶ μαινόμενον καὶ μέθυσον. βάλοι οὖν φησὶ τοῦτον, ἵνα πλείοσι κακοῖς περιπέσῃ τυπτόμενος ὑπ' αὐτοῦ. Ὦ δμῶες. κορωνίς. εἰσέρχεται γὰρ ὁ ὑποκριτής. καί ἐστιν ἰαμβεῖα τρίμετρα καταληκτικὰ ιϛ. Ὀθόνια. τὰ λεγόμενα παρὰ ἰατροῖς λυχνώματα. Ἔρι' οἰσυπηρά. οἱ μὲν τὸ λεπτὸν χοιρίδιον, οἱ δὲ ἄλλο τι ἔσεσθαι εἶδος. οἱ δὲ τὸν νάρθηκα τῶν ἰατρῶν. τὸν δὲ ῥυγκίζοντα. τοῦ σφυροῦ. οἱ δέ, τὰ ἔμματα. οἰσυπηρὰ δέ, ῥύπου πεπληρωμένα. λαμπάδιον δὲ καταδέσμου εἶδος.

ἈΝΤΙΣΤΡΟΦῊ ΚΩ͂ΛΩΝ, ΙΒ΄.

τοῦτο μὲν αὐτῷ κακὸν ἕν·
ἄλλο δ' ἕτερον νυκτερινὸν γένοιτο.
ἠπιαλῶν γὰρ οἴκαδ' ἐξ
ἱππασίας βαδίζων,
εἶτα κατάξειέ τις αὐ-
τοῦ μεθύων τῆς κεφαλῆς Ὀρέστης·
μαινόμενος. ὁ δὲ λίθον βαλεῖν
βουλόμενος ἐν σκότῳ λάβοι
τῇ χειρὶ πέλεθον, ἀρτίως κεχεσμένον.
ἐπᾴξειεν δ' ἔχων
τὸν μάρμαρον, κἆθ' ἁμαρ-
τών, βάλοι κρατῖνον.

ΣΎΣΤΗΜΑ ΚΑΤᾺ ΠΕΡΙΚΟΠΉΝ.

Ἀγγ. ὦ δμῶες οἳ κατ' οἶκόν ἐστε Λαμάχου.
ὕδωρ ὕδωρ ἐν χυτριδίῳ θερμαίνετε.
ὀθόνια. κηρωτὴν παρασκευάζετε.
ἔρι' οἰσυπηρά. λαμπάδιον περὶ τὸ σφυρόν.
ἁνὴρ τέτρωται χάρακι, διαπηδῶν τάφρον.
καὶ τὸ σφυρὸν παλίνορρον ἐξεκόκκισεν.
καὶ τῆς κεφαλῆς κατέαγε περὶ λίθον πεσών.
καὶ Γοργόν' ἐξήγειρεν ἐκ τῆς ἀσπίδος.

περὶ τὸ σφυρὸν δὲ περὶ τὸ ὀστοῦν τὸ κάτωθεν τοῦ ποδός. χάραξ δὲ δεῖ ξύλον ἐν ᾧ τὰς ἀμπέλους δεσμοῦσιν ὥστε ἵστασθαι καὶ μὴ πίπτειν εἰς τὴν γῆν. παλίνορρον ἐξεκόκκισεν, ἐκ τραπέζης τῆς ἁρμονίας ἐχώρησεν. Καὶ Γοργόν' ἐξήγειρεν. παρ' ὑπόνοιαν. θέλων γὰρ εἰπεῖν ὅτι ἀπὸ τῆς πληγῆς κονδύλην ἐποίησεν αὐτὸς ὁ Λάμαχος, ἔφη Γοργόνα ἐξήγειρεν ὡς εἰ ἔλεγεν. οἴδημα ἀνέστησεν ἐπὶ τῆς κεφαλῆς. Πτίλον δὲ τὸ μέγα. ἔπαιξε πλάσας ὄνομα ὀρνίθος. διὰ τὸ κομπηρὸν τοῦ Λαμάχου. γράφεται δὲ οὕτως· πτίλου δὲ τοῦ μεγάλου πεσόντος εἰς τὰς πέτρας, δεινὸν μέλος ἐξηύδα ὁ Λάμαχος. ἢ πεσὼν πρὸς ταῖς πέτραις, ἐξερύει δὲ μέγα πτίλον. Ἄλλως.

σει λέγουσιν τὸ μεθύειν. καὶ θώρακας τοὺς ἀκρομεθύσους ἐκάλουν. κέχρηται δὲ τῇ λέξει καὶ ἀνακρέων. ἔστι δὲ ἀττική. ἔξελε τοῦτον φησὶ κἀμοὶ τὸν χοᾶ. οὐ καλεῖ θώρακα. ὥστε θωρακισθῆναι τουτέστι τὸν θώρακα πληρῶσαι. Κίστιδος. καὶ κίστη καὶ κίστις λέγεται. καὶ διελθὼν τοῦτο τὸ δρᾶμα γνώσῃ. Νίφει βαβαιάξ. οἱ γὰρ τὸν πόλεμον ἐξιόντες, ἐπετήρουν τὰς διοσημείας. Ἴτε δὴ χαίροντες. κορωνὶς καὶ εἴσθεσις ἐς μέλος τοῦ χοροῦ προῳδικόν, περιόδων τριῶν. ὧν ἐστι πρώτη ἀνάπαιστική. τριὰς τρισκαιδεκάμετρος ὀκτάκωλος. τέλος δὲ αὐτῆς, ἀνατριβομένῳ τι τὸ δεῖνα. τουτέστι τὸ αἰδοῖον κατ᾽ εὐφημισμόν. Ἀντίμαχον τὸν συγγραφέα. ψακὰς δὲ οὗτος ἐκαλεῖτο. ἐπειδὴ προσέρραινε τοὺς συνομιλοῦντας διαλεγόμενος. ἦν δέ τις ὀλυμπιακὸς καλούμενος ψακὰς διὰ τοῦτο. ἐδόκει δὲ ὁ ἀντίμαχος οὗτος, ψήφισμα πεποιηκέναι, μὴ δεῖν κωμῳδεῖν ἐξ ὀνόματος. καὶ ἐπὶ τούτῳ πολλοὶ τῶν ποιητῶν οὐ προσῆλθον λυπούμενοι τὸν καιρόν. καὶ δῆλον ὅτι πολλοὶ τῶν χορευτῶν ἐπείνων. ἐχορήγει δὲ ὁ ἀντίμαχος τότε. ὅτε εἰσήνεγκε τὸ ψήφισμα. οἱ δὲ, λέγουσιν ὅτι ποιητὴς ὢν καλὸς, χορηγῶν ποτε μακρολόγως τοῖς χορευταῖς ἐχρήσατο. Ἀπέλυσεν ἄδειπνον. ἀπέκλεισε δείπνων. αὐτὴ τοῦ ἀπεστέρησε τοὺς μισθούς. οὐδὲν μοι ἐχορήγησε. Σίζουσα. αὐτὴ ζέουσα. ὡς ἐπὶ τηγανιζομένης. οἷον ἦχον ἀποτελοῦσα. καὶ ὅμηρος. ὡς τοῦ σίζ᾽ ὀφθαλμός. παράλιος δὲ αὐτὴ τοῦ παραθαλασσία. ἢ ἡ παρὰ τοὺς ἅλας κειμένη. ἐπεὶ δὲ καὶ ἱερὰ ναῦς τῶν αἰτωλῶν παρα/

Δι. ἐν τῷδε πρὸς τοὺς συμπότας θωρήξομαι.

Λα. τὰ στρώματ᾽ ὦ παῖ δῆσον ἐκ τῆς ἀσπίδος.
ἐγὼ δ᾽ ἱμαυτῷ τὸν γύλιον οἴσω λαβών.

Δι. τὸ δεῖπνον ὦ παῖ δῆσον ἐκ τῆς κίστιδος.
ἐγὼ δὲ θοἰμάτιον λαβὼν, ἐξέρχομαι.

Λα. τὴν ἀσπίδ᾽ αἶρου καὶ βάδιζ᾽ ὦ παῖ λαβών.
νίφει. βαβαιάξ. χειμέρια τὰ πράγματα.

Δι. αἶρου τὸ δεῖπνον συμποτικὰ τὰ πράγματα.

ΠΡΟῼΔΟΣ ΚΩΛΩΝ, Ζ'.

Χο. Ἴτε δὴ χαίροντες ἐπὶ στρατιάν.
ὡς ἀνομοίαν ἔρχεσθον ὁδόν.
τῷ μὲν πίνειν στεφανωσαμένῳ.
σοὶ δὲ ῥιγῶν τε προφυλάττειν.
τῷ δὲ, καθεύδειν μετὰ παιδίσκης.
ὡραιοτάτης.
ἀνατριβομένῳ τε τὸ δεῖνα.

ΣΤΡΟΦΗ ΚΩΛΩΝ ΙΒ'.

Ἀντίμαχον τὸν ψακάδος,
τὸν ξυγγραφῆ τῶν μελέων τὸν ποιητήν.
ὡς μὲν ἁπλῷ λόγῳ, κακῶς.
ἐξολέσειεν ὁ Ζεύς.
ὅς γ᾽ ἐμὲ τὸν τλήμονα
λήναια χορηγῶν, ἀπέλυσ᾽ ἄδειπνον
ὃν γ᾽ ἔτ᾽ ἐπίδοιμι τευθίδος
δεόμενον, ἡ δ᾽ ὠπτημένη
σίζουσα παράλιος ἐπὶ τραπέζῃ κειμένη,
ὀκέλλοι. κᾆτα μέλ/
λοντος λαβεῖν αὐτοῦ, κύων.
ἁρπάσασα φεύγοι

Ἄνθρωπε βούλει. κατ' εἰρωνείαν. ψιλοῖ δὲ τὸ ἐνέχειρα [?] εἶναι. Κἀπιτρέψαι Λαμάχῳ. ἐπιτρέψαι ὥστε κρῖναι. καὶ Μένανδρος ἐν ἐπιτρέπουσι. ἐπιτρέπειν τινί ἐστι περὶ τούτων. ταῦτα δὲ διαλέγεται πρὸς τὸν οἰκέτην διασύρων καὶ παίζων τὸν Λάμαχον. Πότερον ἀκρίδες. διασύρει τὸν Λάμαχον ὡς ἀκρίδας ἐσθίοντα. ἢ ὅτι πρότερον οὐ πλεῖ ἐχρῆτο τῇ διαίτῃ. Καθελών μοι τὸ δόρυ. παρατηρητέον ὅπως ὁ μὲν φιλοπόλεμος ὤν, πάντα τὰ εἰς πόλεμον ζητεῖ. ὁ δὲ αὐτοτρόφως [?] τὰ τῆς εἰρήνης.

Λα. ὦνθρωπε βούλει μὴ προσαγορεύειν ἐμέ.
Δι. οὐκ· ἀλλ' ἐγὼ χὠ παῖς, ἐρίζομεν πάλαι.
βούλει περιδόσθαι κἀπιτρέψαι Λαμάχῳ.
πότερον ἀκρίδες ἥδιόν ἐστιν ἢ κίχλαι;
Λα. οἴμ' ὡς ὑβρίζεις. Δι. τὰς ἀκρίδας κρίνει πολύ.
Λα. παῖ παῖ καθελών μοι τὸ δόρυ δεῦρ' ἔξω φέρε.
Δι. παῖ παῖ. σὺ δ' ἀφελὼν δεῦρο τὴν χορδὴν φέρε.
Λα. φέρε τοῦ δόρατος ἀφελκύσωμαι τοὔλυτρον.
ἔχ' ἀντέχου παῖ. Δι. καὶ σὺ παῖ τοῦδ' ἀντέχου.
Λα. τοὺς κιλλίβαντας οἶσε παῖ τῆς ἀσπίδος.
Δι. καὶ τῆς ἐμῆς τοὺς κριβανίτας ἔκφερε.
Λα. φέρε δεῦρο γοργόνωτον ἀσπίδος κύκλον.
Δι. κἀμοὶ πλακοῦντος τυρόνωτον δὸς κύκλον.
Λα. ταῦτ' οὐ κατάγελώς ἐστιν ἀνθρώποις πλατύς.
Δι. ταῦτ' οὐ πλακοῦς δῆτ' ἐστὶν ἀνθρώποις γλυκύς,
Λα. κατάχει σὺ παῖ τοὔλαιον ἐν τῷ χαλκίῳ.
ἐνορῶ γέροντα δειλίας φευξούμενον.
Δι. κατάχει σὺ τὸ μέλι. κἀνθάδ' εὔδηλος γέρων
κλάειν κελεύων Λάμαχον τὸν Γοργάσου.
Λα. φέρε δεῦρο παῖ θώρακα πολεμιστήριον.
Δι. ἔξαιρε παῖ θώρακα κἀμοὶ τὸν χοᾶ.
Λα. ἐν τῷδε πρὸς τοὺς πολεμίους θωρήξομαι.

Δεῦρο τὴν χορδήν. χορδὴ καλεῖται, τὸ παχὺ ἔντερον τοῦ προβάτου. Τοὔλυτρον. τὴν θήκην. τὸ ἐντελές, τὸ ἔλυτρον. Καὶ σὺ παῖ τοῦδ' ἀντέχου, τοῦ βελίσκου. ὥστε τὰ ἐμπεπαρμένα κρέα ἢ τὴν χορδὴν μὴ ἐλκύσαι. Τοὺς κιλλίβαντας. τρισκελῆ τινα σκευάσματα. ἐφ' ὧν ἀποτιθέασι τὰς ἀσπίδας ἐπειδὰν κάμωσι πολεμοῦντες. Καὶ τοὺς ἐμῆς τοὺς κριβανίτας. λείπει γαστρός. ἵν' ᾖ, καὶ τῆς ἐμῆς γαστρὸς τὴν ἀσπίδα [?] ἔκφερε τοὺς κριβανίτας ἄρτους. ἔπαιξε δὲ χαριέντως ὅτι καὶ οὗτοι περιφερεῖς ὡς αἱ ἀσπίδες. Γοργόνωτον. περιγραφικῶς τὴν ἀσπίδα. γοργόνωτον δὲ τὴν ἔχουσαν γοργόνα. Κατάχει σὺ παῖ εἰς τὸν ὀμφαλὸν τῆς ἀσπίδος; ἵνα γένηται λαμπροτέρα. ὁ Λάμαχος δέ ἐστι παρακελευόμενος ἐπὶ τὸ μέσον τὸ χαλκοῦν τῆς ἀσπίδος, ἔλαιον καταχυθῆναι ἵνα στίλβῃ. εἰσὶ γάρ τινες οἳ ἐν ἐλαίῳ ὁρῶντες μαντεύονται. οὕτως ὁ σύμμαχος. σμήχει οὖν τὴν ἀσπίδα καταχέων τὸ ἔλαιον ἐπὶ τῆς χαλκῆς ἐπιφανείας [?]. εἶτα ὡς φαιδρυνθείσης αὐτῆς ἐνοπτριζομένης [?] πρὸς αὐτὸν λέγει ὁρῶ ἐν αὐτῇ γέροντα ὑπὸ δειλίας φεύγοντα. οἷον μὴ [?] ... διὰ τὴν ἔλλαμψιν. ὅμηρος· Ὄσσε δ' ἄμερδε. ταῦτα δὲ ὡς μαντευόμενος λέγει. Ἔξαιρε παῖ θώρακα. πρὸς τὴν ὁμωνυμίαν ἔπαιξε. θωρήξασθαι γάρ ἐστι τὸ καθοπλισθῆναι ἀλλὰ καὶ τὸ πίνειν καὶ μεθύειν οὕτω καλοῦσιν. ἐπειδὴ θώραξ καὶ τὸ στῆθος. διὰ τὸ θερμαίνειν οὖν τὸ στῆθος, θωρύσ

Σησαμοῦντες. ἄλλο σησαμοῦς. καὶ ἄλλο σησάμη. σησαμοῦς μὲν εἶδος πλακοῦντος. σησάμη δὲ ἣν ἡμεῖς καλοῦμεν σησαμίδα. ἴτρια δὲ καὶ πυρώδη πλάσματα.
Ὀρχηστρίδες. ὑπερβατόν ἐστιν, ὀρχηστρίδες πάρεισι καλαὶ καὶ τὰ φίλτατα τοῦ ἁρμοδίου. τουτέστι τὰ εἰς ἁρμόδιον σκολιὰ ᾄσματα. ὅπερ ἀνωτέρω ἔφη, ἁρμοδίου μέλος ᾄσεται. Ἐπεγράφου τὴν γοργόνα ὅτι ἐζωγράφουν ἐν τῇ ἀσπίδι μεγάλην γοργόνα. Τὸν γύλιον. γυλιὸς, σπυριδῶδες πλέγμα ἐν ᾧ τὰς τροφὰς ἔχοντες οἱ στρατιῶται ἐβάδιζον ἐπὶ πόλεμον. Θρῖον ταρίχους. ἐπεὶ ἐπὶ φύλλων ταῖς μάχαις βαλλόμενα βαστάζονται. σαπροῦ δὲ, ἀντὶ τοῦ παλαιοῦ καὶ μὴ νέου. σκεύασμα δέ τι παρὰ ἀθηναίοις τὸ θρῖον. ὅπερ λαμβάνει, ὕδωρ στέαρ ἢ ἔριφον. καὶ σεμίδαλιν. καὶ γάλα. καὶ οὕτως εἰς φύλλα συκῆς ἐμβαλλόμενον, ἥδιστον ἀποτελεῖ βρῶμα. οὕτω δ' ἴδυμος. ἐκαλεῖτο δὲ καὶ ἄλλη τις σκευασία, θρῖον. ἐγκέφαλος μετὰ γάρου καὶ τυροῦ κατασκευαζόμενος, καὶ ἑλιττόμενος ἐν φύλλῳ συκῆς καὶ ὀπτώμενος. Τὸ λοφεῖον. ἐὰν μὲν ὑποκοριστικὸν, δηλοῖ ἐλάττονα τῶν τριῶν λόφων. ἐὰν δὲ διὰ τῆς ει διφθόγγου, προπερισπᾶται καὶ δηλοῖ τὴν θήκην. Λεκάνιον. κρατῆρα πεπληρωμένον τῶν λαγώων κρεῶν. λεκάνια δὲ καὶ λεκανίδας, τὰ μείζονα τῶν ὀξυβάφων καὶ ἐκπέταλα. Τριχόβρωτες. σῆτες θρὶψ σκώληξ. κατεσθίων τὰς τρίχας. καὶ προπερισπωμένως δὲ λέγεται τριχοβρῶτες. Ἀλλ' ἢ πρὸ δείπνου. κυρίως μὲν μίμαρκυς ἡ λαγῴα χορδὴ ἐκ τῶν ἐντέρων. χρῶνται δὲ καὶ ἐπὶ χοίρου. Ἄλλως. Μίμαρκυς σκευασία τις τῆς κοιλίας ἢ τῶν ἐντέρων. οἱ δὲ τὴν ἐκ τοῦ λαγῴου αἵματος καὶ τῶν ἐντοσθίων σκευαζομένην καρύκην.

ἀλλ' ἐγκόνει. δειπνεῖν κατακωλύεις πάλαι.
τὰ δ' ἄλλα πάντ' ἐστὶν παρεσκευασμένα.
κλῖναι. τράπεζαι. προσκεφάλαια. στρώματα.
στέφανοι. μύρον. τραγήμαθ' αἱ πόρναι πάρα
ἄμυλοι. πλακοῦντες. σησαμοῦντες. ἴτρια.
ὀρχηστρίδες. τὰ φίλταθ' ἁρμοδίου. καλαί.
ἀλλ' ὡς τάχιστα σπεῦδε. Λα. κακοδαίμων ἐγώ.
Δι. καὶ γὰρ σὺ μεγάλην ἐπεγράφου τὴν γοργόνα.
σύγκλειε. καὶ δεῖπνόν τις ἐνσκευαζέτω.
Λα. παῖ παῖ. φέρ' ἔξω δεῦρο τὸν γύλιον ἐμοί.
Λα. παῖ παῖ. φέρ' ἔξω δεῦρο τὴν κίστην ἐμοί
ἅλας θυμίτας οἶσε παῖ καὶ κρόμμυα.
Δι. ἐμοὶ δὲ τεμάχη. κρομμύοις γὰρ ἄχθομαι.
θρῖον ταρίχους οἶσε σαπροῦ δεῦρό μοι.
Δι. κἀμοὶ δὲ δ' ἢ σὺ παῖ θρῖον. ὀπτήσω δ' ἐκεῖ.
Λα. ἔνεγκε δεῦρο τὼ πτερὼ τὼ 'κ τοῦ κράνους
Δι. ἐμοὶ δὲ τὰς φάττας γε φέρε καὶ τὰς κίχλας.
Λα. καλόν γε καὶ λευκὸν τὸ τῆς στρουθοῦ πτερόν
Δι. καλόν γε καὶ ξανθὸν τὸ τῆς φάττης κρέας.
Λα. ὤνθρωπε. παῦσαι καταγελῶν μου τῶν ὅπλων.
Δι. ὤνθρωπε. βούλει μὴ βλέπειν εἰς τὰς κίχλας,
Λα. τὸ λοφεῖον ἐξένεγκε τῶν τριῶν λόφων.
Δι. κἀμοὶ λεκάνιον τῶν λαγῴων δὸς κρεῶν.
Λα. ἀλλ' ἦ τριχόβρωτες τοὺς λόφους μου κατέφαγον.
Δι. ἀλλ' ἢ πρὸ δείπνου τὴν μίμαρκυν κατέδομαι.

χοι τέσσαρες μαχίμων ἀνδρῶν ἔνδον ὄντων ἐξωπλισμένων· καὶ καταλοχίσαι τὸ εἰς λόχους καταμερίσαι τὸ πλῆθος τοῦ στρατοῦ. λόφους δὲ περικεφαλαίας. λόφος γὰρ καὶ τὸ περικεφαλαίας ἄκρον· καὶ γῆς ἀνάστημα. Τὰς εἰσβολάς. τὰς εἰσόδους τῶν πολεμίων στρατῶν. νιφόμενον δὲ, ὡς χιόνος οὔσης. Ὑπὸ τοὺς χόας. γὰρ θεόπομπος τοὺς διασωθέντας ἐκ τοῦ κατακλυσμοῦ ἑψῆσαι φησὶ χύτρας πανσπερμίας. ὅθεν οὕτω κληθῆναι τὴν ἑορτήν· καὶ θύειν τοῖς χυσὶν ἑρμῇ χθονίῳ. τῆς δὲ χύτρας οὐδένα γεύσασθαι.

τοῦτο δὲ ποιῆσαι τοὺς περισωθέντας ἀλισκομένους τὸν ἑρμῆν. καὶ περὶ τῶν ἀποθανόντων. ἤγετο δὲ ἡ ἑορτὴ ἀνθεστηριῶνος τρίτῃ ἐπὶ δέκα ὡς φιλόχορος. Ἄλλως. Ἐν μιᾷ ἡμέρᾳ ἄγονται οἵ τε χύτροι καὶ οἱ χόες ἐν ἀθήναις, τῷ διονύσῳ καὶ ἑρμῇ· οὕτω δίδυμος. Ἐμβαλεῖν βοιωτίους. πολέμιοι γὰρ ἦσαν οἱ βοιωτοί. ἐν τοῖς αἰῶσιν ὁ δερκέτης ἔφη, ὅτι βοιωτοί τινες ἀφείλοντό μου τὸ ζεῦγος τῶν βοῶν.

κἄπειτα τηρεῖν νιφόμενον τὰς εἰσβολάς
ὑπὸ τοὺς χόας γὰρ καὶ χύτρους αὐτοῖσί τις
ἤγγειλε λῃστὰς ἐμβαλεῖν βοιωτίους.
Λα. ἰὼ στρατηγοὶ πλείονες ἢ βελτίονες.
Δι. οὐ δεινὰ μὴ ξεῖναί με μηδ' ἑορτάσαι;
ἰὼ στράτευμα πολεμολαμαχαϊκόν.
Λα. οἴμοι κακοδαίμων. καταγελᾷς ἤδη σύ μου;
Δι. βούλει μάχεσθαι γηρυόνῃ τετραπτίλῳ;
Λα. αἰ αἰ. οἵαν ὁ κῆρυξ ἀγγελίαν ἤγγειλέ μοι.
Δι. αἰ αἰ. τίνα δ' αὖ μοι προστρέχει τις ἀγγελῶν.
Ἄγ. δικαιόπολι. Δι. τί ἐστιν. Ἄγ. ἐπὶ δεῖπνον ταχύ,
βάδιζε. τὴν κίστιν λαβὼν καὶ τὸν χοᾶ.
ὁ τοῦ διονύσου γάρ σ' ἱερεὺς μεταπέμπεται.

Οὐ δεινὰ μὴ ξεῖναί με. ὁ δικαιόπολις οὐ δεινόν φησι μὴ ἐξουσίαν ἔχειν με ἑορτάσαι, ἴσως διὰ τὸν τῶν στρατιωτῶν θόρυβον. Πολεμολαμαχαϊκόν. ἔμφασιν ἔχει ὡσεὶ ἔφη, ξενικὸν ἢ κορινθιακόν. Καταγελᾷς ἤδη σύ μου διὰ τὸ εἰπεῖν πολεμολαμαχαϊκόν. Βούλει μάχεσθαι γηρυόνῃ. ἀντὶ τοῦ τετρακεφάλῳ. αἰνίττεται δὲ εἰς τὴν λαμάχου περικεφαλαίαν τρεῖς λόφους ἔχουσαν. ἀπὸ τῶν περικειμένων αὐτῇ πτίλων. ὃ δὲ θέλει εἰπεῖν, τοῦτό ἐστι· βούλει πρὸς δυσκαταγώνιστόν τινα μάχεσθαι, ὁ γὰρ γηρυόνης οὗ ἐμνήσθη, τρικέφαλος ἦν καὶ πολὺν ἀγῶνα παρέσχε τῷ ἡρακλεῖ. δείκνυσι δὲ αὐτῷ τι τῶν πτεραπτερυλλίδων ἅμα τοῦτο λέγων, ἀντὶ τοῦ εἰπεῖν γηρυόνῃ τρισωμάτῳ, τετραπτίλῳ εἶπεν. Αἰ αἰ. τούτων τινὲς τὸ μὲν πρῶτον, διὰ τῆς αι διφθόγγου. θρηνητικὸν γάρ. τὸ δὲ δεύτερον, ψιλόν. θαυμαστικὸν γάρ. Οἵαν ἀγγελίαν. τὸν πόλεμον δηλονότι. Αἰ αἰ, τινὰ δ' αὖ μοι προστρέχει. ἔρχεται ἄγγελος καλῶν τὸν δικαιόπολιν εἰς δεῖπνον καὶ φησί. Βάδιζε τὴν κίστιν. τότε γὰρ οἱ καλοῦντες ἐπὶ δεῖπνον στεφάνους καὶ μύρα καὶ τραγήματα καὶ ἄλλα τοιαῦτα παρετίθεσαν. οἱ δὲ καλούμενοι ἔφερον ἑψήματα. κίστιν δὲ τὴν ὀψοθήκην. ὅμηρος· μήτηρ δ' ἐν κίστῃ ἐτίθει μενοεικέ' ἐδωδήν. ὄψα τε οἷα ἔδουσι διοτρεφέες βασιλῆες. χοᾶ δὲ ἐπεφόρουν οἱ καλούμενοι, ἵνα μὴ κοινωνῶσιν ἄλλου ποτηρίου, διὰ τὴν ἐπὶ ὀρέστῃ γενομένην αἰτίαν. Ἐγκόνει. ἀντὶ τοῦ σπεῦδε. μέλλοντας γὰρ αὐτοὺς δειπνεῖν ἐπέχεις.

ε ἰρήνης ἕνα. ὥσπερ εἰ ἔλεγε κοχλιάριον ἕν. ἔστι δὲ λήκυθος ὦτα μὴ ἔχουσα. ἧς οὐκ ἔστι λαβέσθαι. Ὡς οὐκ ἂν ἐγχέαιμι. παραιτεῖται ὁ δικαιόπολις μεταδοῦναι τῆς εἰρήνης. Ἡ νυμφεύτρια. ἔρχεται νυμφεύτρια δεομένη δικαιοπόλιδος καὶ λέγουσα, ὅτι ἔπεμψέ με τῆς νύμφη δεηθῆναί σου πρὸς τὸ λαβεῖν τῆς εἰρήνης. ὅπως ἀλείφῃ τὸ αἰδοῖον τοῦ ἀνδρὸς αὐτῆς καὶ μὴ ἐξέρχοιτο εἰς πόλεμον. κωφὸν δὲ εἰσάγει τὸ πρόσωπον τῆς νυμφευτρίας. Φέρε δὴ τί σὺ λέγεις. παραθεὶς τὸ οὖς, ἤκουσεν ὁ δικαιόπολις τῆς νυμφευτρίας. Ὡς γελοῖον. κράζων καὶ ἀπειθόμενος ὁ δικαιόπολις ἔφη ὅτι ἤκουσε παρὰ τῆς νυμφευτρίας λέγοντος, ὡς γελοῖον ὦ θεοὶ δ' δέημα τῆς νύμφης. τὸ δὲ δέημα αὐτῆς ἦν, μικρὸν τῆς εἰρήνης λαβεῖν, ὅπως ἀλείφοι ταύτῃ τὸ αἰδοῖον τοῦ ἀνδρὸς κατὰ τὰς νύκτας καὶ μὴ ἐς πόλεμον ἐξέρχοιτο. Ὅπως ἂν οἰκουρῇ τὸ πέος. ἀντὶ τοῦ εἰπεῖν τὴν οἰκίαν, εἶπε τὸ πέος. Ὕπεχ' ὧδε δεῦρο. πρόσφερε τὸ ἀλάβαστρον φησὶν, ἐξ οὗ ἀλείφονται οἱ δειπνοῦντες, τὴν τοῦ μύρου λήκυθον. κατ' ἐρώτησιν δὲ τοῦτο ἀναγνωστέον. τὸ δὲ ἑξῆς ὡς συμβουλεύοντος καὶ ὑποτιθεμένου πῶς αὐτῷ δεῖ χρήσασθαι. Καταλέγωσι τουτῳί. τῷ ἀλείμματι. λέγει δὲ τῇ εἰρήνῃ. τὸ δὲ καταλέγωσιν, ἀντὶ τοῦ κατατάττωσιν. Οἰνήρυσιν. τὴν τοῦ οἴνου κοτύλην ᾗ ἀφύονται. Τὰς ὀφρῦς ἀνεσπακώς. ἐσκυθρωπακώς. Ἰὼ πόνοι τε. ἔρχεταί τις εἰς πόλεμον καλῶν τὸν λάμαχον. Ἀμφιχαλκοφάλαρα. ἀντὶ τοῦ πολύχαλκα. τραγικώτερον δὲ λέγει. διὰ τὸ μεγαλορρήμονα τοῦ λαμάχου. Λόχους. ἔνιοι μὲν τὸ ἐξ ἀνδρῶν ὀκτὼ σύστημα. οἱ δὲ τὸ ἐξ ἀνδρῶν δώδεκα. οἱ δὲ τὸ ἀπὸ ἑκκαίδεκα ἀνδρῶν πλῆθος. ὃ καὶ πλεῖόν φασι καὶ σύμμετρον. καὶ λοχαγὸς προστάτης καὶ ἡγεμὼν, ὁ αὐτός ἐστι. πρῶτος καὶ ἄριστος τοῦ λόχου. παρὰ δὲ λακεδαιμονίοις ὑπῆρχον πιστάξες λόχοι οἷς ἐκέχρητο ὁ βασιλεύς, ὡς ἀναχ[illegible]ισοφάνης γνώσεσθ' ὅτι καὶ παρ' ἡμῖν εἰσι λό

ἐς τὸν ἀλάβαστον, κύαθον εἰρήνης ἕνα.
Δι. ἀπόφερ', ἀπόφερε τὰ κρέα καὶ μή μοι δίδου,
ὡς οὐκ ἂν ἐγχέαιμι χιλίων δραχμῶν.
ἀλλ' αὑτηὶ τίς ἐστιν; Πα. ἡ νυμφεύτρια.
δεῖται παρὰ τῆς νύμφης τι σοὶ λέξαι μόνῳ.
Δι. φέρε δή, τί σὺ λέγεις; ὡς γελοῖον ὦ θεοὶ
τὸ δέημα τῆς νύμφης, ὃ δεῖταί μου σφόδρα,
ὅπως ἂν οἰκουρῇ τὸ πέος τοῦ νυμφίου.
φέρε δεῦρο τὰς σπονδὰς ἵν' αὐτῇ δῶ μόνῃ,
ὁτιὴ γυνή 'στι τοῦ πολέμου τ' οὐκ αἰτία.
ὕπεχ' ὧδε δεῦρο τοὐξάλειπτρον ὦ γύναι.
οἶσθ' ὡς ποιεῖται τοῦτο; τῇ νύμφῃ φράσον
ὅταν στρατιώτας καταλέγωσι, τουτῳὶ
νύκτωρ ἀλειφέτω τὸ πέος τοῦ νυμφίου.
ἀπόφερε τὰς σπονδάς. φέρε τὴν οἰνήρυσιν,
ἵν' οἶνον ἐγχέω λαβὼν ἐς τοὺς χόας.
Χο. καὶ μὴν ὁδί τις τὰς ὀφρῦς ἀνεσπακώς,
ὥσπερ τι δεινὸν ἀγγελῶν ἐπείγεται.
Ἀγγ. ἰὼ πόνοι τε καὶ μάχαι καὶ λάμαχοι.
Λα. τίς ἀμφὶ χαλκοφάλαρα δώματα κτυπεῖ;
Ἀγγ. ἰέναι σ' ἐκέλευον οἱ στρατηγοὶ τήμερον
ταχέως λαβόντα τοὺς λόχους καὶ τοὺς λόφους.

Οὐ δημοσιεύων τυγχάνω. δημόσια χειροτονούμενοι ἰατροὶ καὶ δημόσιοι προῖκα ἐθεράπευον. φησὶν οὖν καὶ οὗτος ὅτι οὐ τῶν δημοσιευόντων ἰατρῶν τυγχάνω. οἷον οὐ κοινῇ ἐσπεισάμην. τουτέστι σὺν τῇ πόλει. ἰδίᾳ δὲ καὶ ἐμαυτῷ μόνῳ. Ὑπάλειψον. ἀντὶ τοῦ ἔγχρισον τοὺς ὀφθαλμούς μου ταχέως. Ἴθ' ἀντιβολῶ. ἱκετεύω. δός μοι τῆς εἰρήνης, ὅπως ἀπολάβω τοὺς βόας. Πρὸς τοὺς Πιττάλου. ὁ Πίτταλος οὗτος, ἰατρὸς παρὰ Ἀθηναίοις. λείπει δὲ τοὺς μαθητάς. τοῦτο δὲ εἶπεν, ἐπειδὴ ἐκεῖνος εἶπεν. ὑπάλειψον τοὺς ὀφθαλμούς. ὡσεὶ ἔλεγεν, ἄπελθε ἐγχρίου παρὰ Πιττάλου. Εἰς τὸν καλαμίσκον. τὸν χαλκοῦν ἢ τὸν ἀργυροῦν. οἵους ἔχουσιν οἱ ἰατροί. Στριβιλικίγξ. ἀντὶ τοῦ οὐδὲ ῥανίδα. στρίβος δὲ καλεῖται, ἡ λεπτὴ καὶ ὀξεῖα βοή. λίκιγξ δέ, ἡ ἐλαχίστη βοὴ τῶν ὀρνέων. λέγει δὲ ὅτι οὐδὲ ἐλάχιστόν σοι μέρος μεταδίδωμι. τοῖν γεωργοῖν δὲ τοῖν τὴν γῆν ἐργαζομένοιν. Ἀνὴρ ηὕρηκε. διπλαῖ αὗται γάρ εἰσιν ἡ περίοδος. ὁμοίως τῇ ἀντιστρόφῳ. ἑπτάκωλος ἀντιστρέφουσα. Μεταδώσειν. τῶν σπονδῶν δηλονότι. στάθευε δὲ ὄπτα. Ὀρθιασμάτων. ἀντὶ τῆς ἐκστάσεως ῥημάτων. τῶν μετὰ βοῆς κόμπων. ἢ τῶν μελῶν. παρ' ὅσον ὄρθιος νόμος κιθαρῳδικός. Ἐγχέλεια. ἢ λείπει τὰ κρέα. ἵν' ᾖ τὰ ἐγχέλεια κρέα, ἢ λέγει τὰς ἐγχέλεις. λάσκων δὲ φωνῶν βοῶν. Ξανθίζετε. οἷον τῷ μέλιτι χρίετε. ἢ πυρρὰ τῇ ὀπτήσει ποιεῖτε. ἡ δὲ καλῶς ἔχουσα ὄπτησις τῶν κρεῶν δηλοῖ, ὅταν πυρρὰ ᾖ. Δικαιόπολι. ἔρχεταί τις παράνυμφος βαστάζων κρέα τῷ Δικαιοπόλιδι παρά τινος νυμφίου. καὶ αἰτεῖ αὐτὸν λαβεῖν ἐν βησάσῳ μύρον τῆς εἰρήνης. ὅπως μὴ ἐξέρχοιτο εἰς πόλεμον ὁ νυμφίος. ἀλλὰ μένοι τερπόμενος σὺν τῇ γυναικὶ αὐτοῦ. Ἐγχέαι. ἀντὶ ἐγχεῖν, ἐμβαλεῖν. τῶν κρεῶν δὲ ὧν ἔπεμψέ σοι. ἐς τὸν ἀλάβαστρον δὲ εἰς τὴν μυροθήκην.

Δι. ἀλλ' ὦ πόνηρ' οὐ δημοσιεύων τυγχάνω.
Γε. ἴθ' ἀντιβολῶ σ' ἤν πως κομίσωμαι τὼ βόε.
Δι. οὐκ ἔστιν. ἀλλὰ κλᾶε πρὸς τοὺς Πιττάλου.
Γε. σὺ δ' ἀλλά μοι σταλαγμὸν εἰρήνης ἕνα,
εἰς τὸν καλαμίσκον ἐνστάλαξον τουτονί.
Δι. οὐδ' ἂν στριβιλικίγξ. ἀλλ' ἀπιὼν οἴμωζέ που.
Γε. οἴμοι κακοδαίμων τοῖν γεωργοῖν βοιδίοιν.

ἈΝΤΙΣΤΡΟΦΗ ΚΩΛΩΝ, Ι'.

Χο. ἁνὴρ ηὕρηκέ τι ταῖς
σπονδαῖσιν ἡδύ. κοὐκ ἔοι-
κεν οὐδενὶ μεταδώσειν.
Δι. κατάχει σὺ τῆς χορδῆς τὸ μέλι.
τὰς σηπίας στάθευε.
Χο. ἤκουσας ὀρθιασμάτων;
Δι. ὀπτᾶτε τἀγχέλεια.
Χο. ἀποκτενεῖς λιμῷ με καὶ
τοὺς γείτονας, κνίσῃ τε καὶ
φωνῇ τοιαῦτα λάσκων.
Δι. ὀπτᾶτε ταυτὶ καὶ καλῶς ξανθίζετε.
Πα. Δικαιόπολι. Δι. τίς οὑτοσί. τίς οὑτοσί.
Πα. ἔπεμψέ τίς σοι νυμφίος ταυτὶ κρέα.
ἐκ τῶν γάμων. Δι. καλῶς γ' ἐποίησεν ὅστις ἦν.
Πα. ἐκέλευε δ' ἐγχέαι σε τῶν κρεῶν χάριν
ἵνα μὴ στρατεύοιτ'. ἀλλὰ βινοίη μένων.

ζοντες καὶ ἐστιώμενοι. Ἀναβράττετε. ἀναστρέψατε τὰ ὀπτώμενα κρέα. καὶ ὀπτηθέντα ἐξέλκετε. Ζηλῶ σε τῆς εὐβουλίας. θαυμάζω τὴν εὐβουλίαν σου ὦ δικαιόπολι. εἰσὶ δὲ καὶ περίοδος ἑπτάκωλος ἀμοιβαία. ἧς τὸ πρῶτον ἐν εἰσθέσει ἰαμβικὰ δίμετρα καταληκτικὰ δύο. καὶ ἐν εἰσθέσει κῶλα δ΄. καὶ ἐν εἰσθέσει κῶλον ἓν ὅμοιον τῷ πρώτῳ καὶ πέντε ἐν παρεκθέσει ἰαμβικὰ ἐφθημιμερῆ. ἐξ ὧν ἀμφοτέρων γίνονται στιχιόμοιοι τοῖς δύο, ἓξ ἐν εἰσθέσει δὲ κῶλον ὅμοιον τῷ πρώτῳ. ἔπειτα στιχιομοίως ἰαμβικοί, τετράμετροι καταληκτικοί.

Ἀναβράττετ', ἐξοπτᾶτε, τρέπετ', ἀφέλκετε
τὰ λαγῷα ταχέως· τοὺς στεφάνους ἀνείρετε.
φέρε τοὺς ὀβελίσκους, ἵν' ἀναπείρω τὰς κίχλας.

ΣΤΡΟΦΗ ΚΩΛΩΝ Ι΄.

Χο. Ζηλῶ σε τῆς εὐβουλίας. μᾶλλον δὲ τῆς εὐωχίας
ἄνθρωπε τῆς παρούσης. Δι. τί δῆτ' ἐπειδὰν τὰς κίχλας
ὀπτωμένας ἴδητ'. Χο. οἶμαί σε καὶ τοῦτ' εὖ λέγειν.
Δι. τὸ πῦρ ὑποσκάλευε.
Χο. ἤκουσας ὡς μαγειρικῶς,
κομψῶς τε καὶ δειπνητικῶς
αὑτῷ γε διακονεῖται.
Γε. οἴμοι τάλας. Δι. ὦ ἡράκλεις τίς οὑτοσί;
Γε. ἀνὴρ κακοδαίμων. Δι. κατὰ σεαυτὸν νῦν τρέπου.
Γε. ὦ φίλτατε, σπονδαὶ γάρ εἰσί σοι μόνῳ,
μέτρησον εἰρήνης τί μοι κἂν πέντ' ἔτη.
τί ἔπαθες. Γε. ἐπετρίβην ἀπολέσας τὼ βόε.
Δι. πόθεν γ'. Γε. ἀπὸ φυλῆς ἔλαβον οἱ βοιώτιοι.
Δι. ὦ τρισκακοδαίμων. εἶτα λευκὸν ἀμπέχει;
Γε. καὶ ταῦτα μέντοι νὴ Δί' ὥπερ μ' ἐτρεφέτην
ἐν πᾶσι βολίτοις. Δι. εἶτα νυνὶ τοῦ δέει.
Γε. ἀπόλωλα τὠφθαλμὼ δακρύων τὼ βόε.
ἀλλ' εἴ τι κήδει δερκέτου φυλασίου,
ὑπάλειψον εἰρήνῃ μου τὠφθαλμὼ ταχύ.

Οἴμοι τάλας. ἔρχεται ἀνὴρ ἀθηναῖος, γεωργός. ἀπολέσας αὐτοῦ τὰς βόας. καὶ ληφθείσας ὑπὸ τῶν βοιωτῶν, δεόμενος τοῦ δικαιοπόλιδος λαβεῖν τῆς εἰρήνης πρὸς πέντε ἔτη. Κατὰ σεαυτὸν νῦν τρέπου. ἀντὶ τοῦ ἐν σεαυτῷ ἔχε τὴν κακοδαιμονίαν. μὴ ἀναμίγνυσο ἡμῖν κακοδαιμονῶν. Σπονδαὶ γάρ εἰσί μοι μόνῳ. ἐπεὶ αὐτὸς ἐσπείσατο μόνος εἰρήνην πρὸς λακεδαιμονίους. Κἂν πέντ' ἔτη. ἀντὶ τοῦ εἰς πέντε ἔτη. τὸ δὲ μέτρησον, οἷον δάνεισον. καὶ ἡσίοδος. εὖ μὲν μετρεῖσθαι παρὰ γείτονος εὖ δ' ἀποδοῦναι. καὶ θεόπομπος. καπήλισον ἢ μίσθωσον. ἢ μέτρησον. ἢ τιμὴν λάβε.

Ἀπὸ φυλῆς. ὄνομα δήμου. καὶ μένανδρος δυσκόλῳ νομίζετ' εἶναι τὸν τόπον φυλήν. Λευκὸν ἀμπέχῃ. ἀντὶ τοῦ λευχειμονεῖς. οἱ γὰρ φυλάσσοντες λευκὰ ἐφόρουν. καὶ ταῦτα μέντοι. καὶ οὔτι φασὶν ἦσαν, οἵπερ με ἔτρεφον καὶ ἐποίουν τρυφᾶν βόες. Βολίτοις. βόλιτον οἱ ἀττικοὶ οὕτως ἔλεγον χωρὶς τοῦ β. ὅπερ ἡμεῖς βόλβιτον. λέγει δὲ ἀντὶ τοῦ ἐν πάσῃ τρυφῇ. ἐν πᾶσιν ἀγαθοῖς. βολίτοις δέ, ὅτι περὶ βοῶν ὁ λόγος αὐτῷ. Ἄλλως. Δέον εἰπεῖν ἐν πᾶσιν ἀγαθοῖς, βολίτοις εἶπε παρ' ὑπόνοιαν παίζων. ἢ ἐπειδὴ διὰ τῆς κόπρου τὰ σπέρματα θάλλειν ποιοῦσιν οἱ γεωργοὶ καὶ καρπὸν πλεῖστον ποιεῖν ἐξ οὗ τρέφονται τοῦτο εἴρηκε.
Ἀπόλωλα τὠφθαλμώ. ἀπώλεσα τοὺς ὀφθαλμούς μου, κλαίων καὶ ὀδυρόμενος τὰς βόας.

Τὰ δ' ἐπὶ τὸ δεῖπνον. πρὸς τὰ ἄνω ἀπέδωκε περὶ τοῦ δικαιοπόλιδος. τὰ γὰρ διὰ μέσου, περὶ τοῦ πολέμου εἴρηται. ὁ δὲ λόγος. δικαιόπολις σπουδάζει περὶ τὸν δεῖπνον.

Δεῖγμα. τὰ πτερά. οἷον τί; παρ' αὐτῷ πρὸ ἔνδον τρυφῆς σημεῖον πρόκειται τῶν θυρῶν αὐτοῦ τὰ τῶν ὀρνίθων πτερά. Ω Κύπρι δῖ. αὐτὴ τοῦ ὦ εἰρήνη. καλῶς δὲ εἰρήνη τῇ ἀφροδίτῃ καὶ ταῖς χάρισι φίλη. ὅτι οἱ γάμοι καὶ αἱ ἑορταὶ ἐν καιρῷ τῆς εἰρήνης ἄγονται. καὶ ὅτι ἡδίστη καὶ ἀπὸ χάριτος ὅλη. Ως καλὸν ἔχουσα. σωματοποιεῖ τὴν εἰρήνην καὶ κάλλος αὐτῇ περιτίθησι καὶ ἔρωτα αὐτῆς ἔχειν βούλεται. Ελάνθανες. ἐμὲ δηλονότι ὦ εἰρήνη. Ως περ ὁ γεγραμμένος. ζεῦξις ὁ ζωγράφος ἐν τῷ ναῷ τῆς ἀφροδίτης ἐν ταῖς ἀθήναις, ἔγραψε τὸν ἔρωτα ὡραιότατον ἐστεμμένον ῥόδοις. ὁ δὲ νοῦς ὑπερβατός. ἐλάνθανές με οὕτως εὐειδὴς οὖσα. ὡς ὁ γεγραμμένος ἔρως. ἀνθέμων. αὐτὴ τοῦ ῥόδων. Η πάνυ γερόντιον. εἰ καὶ γέροντά με δοκεῖς ὁρᾶν, ὅμως λαβών σε, ἰσχύσω συγγενέσθαι σοι τρὶς καὶ πολλάκις. παίζει δὲ ἑξῆς.

Αμπελίδος ὄρχον. αὐτὴ τοῦ εἰπεῖν σχῆμα συνουσίας, τοῦτο ἔφη ὡς γεωργός. παρὰ δὲ τὸν ὄρχατον φυτεῦσαι μοσχεύματα σύκων. οὕτω δὲ καλοῦνται αἱ νέαι συκαῖ μοσχίδια γάρ, τὰ νέα βλαστήματα. καὶ ἡ παλαιὰ καὶ νέα λύγος μόσχος. ὅμηρος. μόσχοισι λυγίνοις. ὄρχον δὲ οἷον ὄρχατον. κωμικῶς ὡς φιλογεώργος ἀνηγόρευσε, ὡς ἐπὶ συνουσίας ἐμφαντικῶς κατὰ γεωργίαν τὸ μακρόν. ὄρχος δὲ καὶ ὄρχατος στίχος ἀμπέλων ἢ ἑτέρων φυτῶν. παρὰ τὸ ἔρχεσθαι δι' αὐτῶν τὰς τάξεις τῶν φυτῶν. Ημερίδος κλάδου. ἡμερὶς ἡ ἄμπελος ὥς φησιν ὅμηρος. ἡμερὶς ἡβώωσα. εἴρηται δὲ διὰ τὸ ἡμερῶσαι τὸ τῶν ἀνθρώπων φῦλον. Ασκὸν Κτησιφῶντος. ὡς παχὺς καὶ προγάστωρ ὁ κτησιφῶν κωμῳδεῖται. ἐτίθετο δὲ ἀσκὸς πεφυσημένος ἐν τῇ τῶν χοῶν ἑορτῇ, ἐφ' οὗ τοὺς πίνοντας πρὸς ἀγῶνα ἑστάναι, τὸν πρῶτον πιόντα ὡς νικήσαντα λαμβάνειν ἀσκόν. ἔπινον δέ, μέτρον τι οἷον χοᾶ. Του κήρυκος οὐκ ἀκούετε. καλοῦντος εἰς τὴν τῶν χοῶν ἑορτὴν πάντας. ἐκάλουν δὲ οἱ κήρυκες, σάλπιγγας βαστά

216.b.

Τὰ δ' ἐπὶ τὸ δεῖπνον ἅμα κἠμεγάλα γε φρονεῖ
τοῦ βίου δ' ἐξέβαλε δεῖγμα, τὰ πτερὰ πρὸ τῶν θυρῶν.

ΣΥΣΤΗΜΑ ΚΑΤΑ ΠΕΡΙΚΟΠΗΝ.

ΔΙ. ὦ κύπριδι τῇ καλῇ καὶ χάρισι ταῖς φίλαις
ξύντροφε διαλλαγή.
ὡς καλὸν ἔχουσα τὸ πρόσωπον ἆρ' ἐλάνθανες.
πῶς ἂν ἐμὲ καὶ σέ τις ἔρως ξυναγάγοι λαβών.
ὥσπερ ὁ γεγραμμένος ἔχων στέφανον ἀνθέμων.
ἢ πάνυ γερόντιον ἴσως νενόμικάς με σύ
ἀλλά σε λαβὼν τρία δοκῶ γ' ἂν ἔτι προσβαλεῖν.
πρῶτα μὲν ἂν ἀμπελίδος ὄρχον ἐλάσαι μακρόν.
εἶτα παρὰ τόνδε νέα μοσχίδια συκίδων.
καὶ τὸ τρίτον, ἡμερίδος ὄρχον ὁ γέρων ὁδί.
καὶ περὶ τὸ χωρίον ἅπαν ἐλάδας ἐν κύκλῳ
ὥστ' ἀλείφεσθαί σ' ἀπ' αὐτῶν κἀμὲ ταῖς νουμηνίαις.

ΚΗ. ἀκούετε λεῴ· κατὰ τὰ πάτρια τοὺς χοᾶς
πίνειν ὑπὸ τῆς σάλπιγγος. ὃς δ' ἂν ἐκπίῃ
πρώτιστος, ἀσκὸν κτησιφῶντος λήψεται.

ΔΙ. ὦ παῖδες, ὦ γυναῖκες, οὐκ ἠκούσατε;
τί δρᾶτε; τοῦ κήρυκος οὐκ ἀκούετε;

ἴδες ὦ. ὑφ' ὁ κορωνὶς, ὑποχωρησάντων τῶν ὑποκριτῶν. καὶ ἔστι συζυγία κατὰ περικοπὴν ἀνομοιομερὴς φαντασίαν παρέχουσα ἐπιρρήματος ὅτι τὰς στιχικὰς περιόδους οὐκ ἔχει ἐκ τοῦ αὐτοῦ στίχου. ἀλλ' οὐδ' εἰσὶ παρεισβατικαὶ πρὸς τὸ θέατρον. ἀλλὰ μὲν προηγητικαί. καὶ αὐταῖς περίοδοι εἰσὶν ἑπτὰ, κῶλα παιωνικὰ ἐκ μονομέτρου καὶ τετραμέτρου δὶς καὶ τριῶν μέτρων. διεμπολᾶν δὲ τὸ πρὸς πραγματείαν ἐπιτήδεια ἀγοράζειν. Ὧν τὰ μὲν ἐν οἰκίᾳ. τῶν ὀρνέων τὰ μὲν χρήσιμα καὶ αἴθηρα, κατὰ τοὺς οἴκους τρέφομεν. τὰ δὲ μὴ αἴθηρα, ἐσθίομεν. Ἄλλως. ἀντὶ τοῦ τῶν ὀρνέων τὰ μὲν, ἐάσει γίνεσθαι ἐν τῇ οἰκίᾳ. τὰ δὲ γίνεται ἔπαιξε ἢ εἰπὼν παρὰ προσδοκίαν τὰ χλιαρά. Οὐδέποτ' ἐγὼ πόλεμον. ἐσωματοποίησε τὸν πόλεμον διό ἔφη. οὐχ ὑποδέξομαι αὐτόν. ὡσανεὶ ἄνθρωπόν τινα. αἱ δὲ ἀκολουθητικαὶ περίοδοι, εἰσὶ δεκάκωλοι ἐξ ἐννέα παιωνικῶν τετραμέτρων. καὶ ἐξ ἑνὸς τετραμέτρου τροχαϊκοῦ καταληκτικοῦ. Τὸν ἁρμόδιον ᾄσεται ἐν ταῖς τῶν ποτῶν ᾠδαῖς, ἦδόν τι μέλος ἁρμοδίου καλούμενον. οὗ ἡ ἀρχή, φίλταθ' ἁρμόδιε, οὔτι που τέθνηκας. ἦδον δὲ αὐτὸ εἰς ἁρμόδιον καὶ ἀριστογείτονα. ὡς καθῃρηκότας τὴν τῶν πεισιστρατιδῶν τυραννίδα. ἐπέθεντο δ' αὐτοῖς τιμωρίας χάριν ἀλλ' οὐχ ὑπεροχῆς. ὡς ἀριστοτέλης πολιτικῶν ε. διὰ τὸ προπηλακίσαι μὲν τὴν ἁρμοδίου ἀδελφὴν, ἐπηρεάσαι δ' ἁρμόδιον. ὁ γὰρ ἁρμόδιος διὰ τὴν ἀδελφήν. ὁ δ' ἀριστογείτων διὰ τὸν ἁρμόδιον. ἦν δὲ καὶ ἕτερα μέλη. τὸ μὲν ἀδμήτου λεγόμενον. τὸ δὲ λάμπωνος. ὁ δὲ λόγος. οὐδέποτε παρ' ἐμοὶ ἑστιαθήσεται ὁ πόλεμος. παροίνιος δὲ, μέθυσος καὶ ὑβριστὴς δηλονότι ὁ πόλεμος. Ἐπὶ πάντ' ἀγάθ' ἔχοντας. ἐφ' ἡμᾶς τοὺς γεωργοὺς, ἐπικωμάσας ἀντὶ τοῦ μετὰ φθορᾶς εἰσπεσών. Προσέτι πολλά. ἐν τῷ πίνειν πολλὰ ἐμοῦ προκαλουμένου αὐτὸν καὶ λέγοντος πῖνε καὶ ἀνάκεισο ἥσυχος. καὶ οὐκ ἠνέσχετο. ἀλλὰ καὶ μᾶλλον τὰ πράγματα συνέτριψε καὶ ἠφάνιζε, τὰς χώρας καὶ τὸν οἶνον ἐκ τῶν ἀμπέλων. φιλοτησίαν δὲ ἔλεγον τὴν φιάλην τὴν διδομένην ἐν τοῖς συμποσίοις. Χάρακας. τοὺς πεπηγότας καλάμους ἐν ταῖς ἀμπέλοις ἔκαιεν. ἤγουν τὰς ἀμπέλους ἀπὸ μέρους. Ἐξέχει θ' ἡμῶν βίᾳ. ὡς ἐπὶ πολέμου. ἔδει δὲ εἰπεῖν ἐκ τῶν πίθων εἰπεῖν οὐκ ἐκ τῶν ἀμπέλων.

ΣΤΡΟΦΗ ΣΤΙΧΩΝ ΙΖ'.

χο. Εἶδες ὦ, εἶδες ὦ.
πᾶσα πόλι τὸν φρόνιμον ἄνδρα τὸν ὑπέρσοφον·
σπεισάμενον, ἐμπορικὰ χρήματα διεμπολᾶν·
ὧν τὰ μὲν, ἐν οἰκίᾳ,
χρήσιμα. τὰ δ' αὖ πρέπει χλιαρὰ καθεσθίειν,
αὐτόματα πάντ' ἀγαθά. τῷδέ γε πορίζεται.
οὐδέποτ' ἐγὼ πόλεμον οἴκαδ' ὑποδέξομαι
οὐδὲ παρ' ἐμοί ποτε τὸν ἁρμόδιον ᾄσεται.
συγκατακλινεὶς, ὅτι παροίνιος ἀνὴρ ἔφυ
ὅστις ἐπὶ πάντ' ἀγάθ' ἔχοντας ἐπικωμάσας,
εἰργάσατο πάντα κακά. κἀνέτρεπε. κἀξέχει.
κἀμάχετο· καὶ προσέτι πολλὰ προκαλουμένου,
πῖνε κατάκειτο λαβὲ τήνδε φιλοτησίαν,
τὰς χάρακας ἧπτε πολὺ μᾶλλον ἐν τῷ πυρὶ
ἐξέχει θ' ἡμῶν βίᾳ τὸν οἶνον ἐκ τῶν ἀμπέλων.

Εἰς τοὺς χόας. εἰς τὴν ἑορτὴν τῶν χοῶν. ἐπιτελεῖτο δὲ, πυανεψιῶνος ὀγδόῃ. οἱ δὲ ἀνθεστηριῶνος δεκάτῃ. φησὶ γὰρ ἀπολλόδωρος ἀνθεστήρια καλεῖσθαι κοινῶς τὴν ὅλην ἑορτὴν διονύσῳ ἀγομένην. κατὰ μέρος δὲ πιθοιγίαν. χόας. χύτραν. καὶ αὖθις. ὅτι ὀρέστης μετὰ τὸν φόνον εἰς ἀθήνας ἀφικόμενος, ἦν δὲ ἑορτὴ διονύσου ληναίου, ὡς μὴ γένοιτο σφίσιν ὁμόσπονδος ἀπεκτονὼς τὴν μητέρα, ἐμηχανήσατο τοιόνδε τι πανδίων. χοᾶ οἴνου τῶν δαιτυμόνων ἑκάστῳ παραστήσας, ἐξ αὐτοῦ πίνειν ἐκέλευσε μηδὲν ὑπομιγνύντας ἀλλήλοις, ὡς μήτε ἀπὸ τοῦ αὐτοῦ κρατῆρος πίοι ὀρέστης. μήτε ἐκεῖνος ἄχθοιτο καθ' αὑτὸν πίνων μόνος. καὶ ἀπ' ἐκείνου ἀθηναίοις, ἑορτὴ ἐνομίσθη οἱ χόες. τοῦτο δ' ἡμῖν καὶ ἐν τοῖς πρόσθεν εἴρηται. τὸ γὰρ χοᾶς ὅτι ἐπὶ μέτρων τίθεται πολλαπάται. ὡς τὸ ἓξ χοᾶς χωρήσεται. καὶ αὖθις τὴν ὑστάτην

εἰς τοὺς χόας αὐτῷ μεταδοῦναι τῶν κιχλῶν.
τριῶν δραχμῶν δ' ἐκέλευε καὶ παῖδ' ἐγχέλυν.
Δι. ὁ ποῖος οὗτος λάμαχος τὴν ἐγχέλυν,
ἀγ. ὁ δεινός. ὁ ταλαύρινος. ὃς τὴν γοργόνα
πάλλει κραδαίνων τρεῖς κατασκίους λόφους.
Δι. οὐκ ἂν μὰ δί' εἰ δοίη γέ μοι τὴν ἀσπίδα.
ἀλλ' ἐπὶ ταρίχει τοὺς λόφους κραδαινέτω.
ἢν δ' ἀπολιγαίνῃ, τοὺς ἀγορανόμους καλῶ.
ἐγὼ δ' ἐμαυτῷ τόδε λαβὼν τὸ φορτίον,
εἴσειμ' ὑπαὶ πτερύγων κιχλῶν καὶ κοψίχων.

ἤκουσαν οἴνου τρεῖς χοᾶς ἡμῖν ἀποτίσειν καὶ ἐρεβίνθων χοίνικα. μέτρον δέ ἐστιν ἀττικὸν χωροῦν κοτύλας ὀκτώ. καὶ ἀναχοῦ ἀριστοφάνης. ἐπὶ δεῖπνον ταχὺ βάδιζε τὴν κίστιν λαβών. οἱ γὰρ καλοῦντες ἐπὶ δεῖπνον στεφάνους καὶ μύρα καὶ τραγήματα καὶ ἄλλα τινὰ τοιαῦτα παρετίθεσαν. οἱ δὲ καλούμενοι ἔφερον ἐψήματα καὶ κίστιν καὶ χοᾶ. ὅμηρος περὶ τῆς κίστεώς φησι. μήτηρ δ' ἐν κίστει ἐτίθει μενοεικέα δαῖτα ὅπλα τὰ ἴδια ἔδουσι διοτρεφέες βασιλῆες. χοὰς δὲ ὡς τιμὰς, ἐκχύσεις, ἐναγίσματα ἐπὶ νεκροῖς ἢ σπονδάς. ἐκ τοῦ δεῖ δὲ χρησμὸς δεῖν χοὰς τοῖς τεθνεῶσιν ἐπάγειν ἀεὶ πᾶν ἔτος. καὶ ἑορτὴν χοὰς ἄγειν. λέγονται καὶ θυσίαι νεκρῶν. σοφοκλῆς. πρῶτον μὲν ἱερὰς ἐξ ἀειρρύτου χοὰς κρήνης ἐνέγκοι δι' ὁσίων χειρῶν θιγών. Ὅταν δὲ χεῦμα τοῦτ' ἀκήρατον λάβῃς, κρατῆρές εἰσιν ἀνδρὸς εὔχειρος τέχνη. Ὁ ποῖος οὗτος. διασύρει τὸν λάμαχον ὡς αἰεὶ ἄσημον ὄντα. ταλαύρινος δὲ ὑπομονητικὸς καρτερικὸς ἐν τῇ μάχῃ. Κατασκίοις λόφοις. δυναμένοις σκιάν τινι ποιῆσαι διὰ τὸ ὑπερμήκεις μεγάλους. Οὐκ ἂν μὰ δί' οὐ δοίην. ἐπὶ ὀψαρίου μόνον λέγεται τὸ τέμαχος. ἐπὶ δὲ τῶν ἄλλων, τὸ μέρος. οἷον τυροῦ. Ἀλλ' ἐπὶ ταρίχει. ταρίχη ἐσθίων ὀψιζέσθω. τοῦτο γὰρ ἐν τοῖς πολέμοις ἥδιον. δέον δὲ εἰπεῖν ἐπὶ ταρίχει ἀριστάτω, ἔφη ἐπὶ ταρίχει τοὺς λόφους κραδαινέτω διαπαίζων αὐτόν. Ἢν δ' ἀπολιγαίνῃ. ἐὰν δὲ θορυβῇ ἢ ὀξέως βοᾷ. παρὰ τὸ λιγὰ, καλέσω κατ' αὐτοῦ τοὺς ἀγορανόμους. λέγει δὲ τοὺς ἱμάντας οὓς ἀγορανόμους ἤδη κατέστησεν αὐτῷ. Εἴσειμ' ὑπαὶ πτερύγων ἀντὶ τοῦ μετὰ πτερύγων καὶ κιχλῶν καὶ κοψίχων. ὁ δὲ τρόπος, ποιητικός. μιμεῖται δὲ τὸ μέλος.

εἶδες ὦ.

τὸ φαίνειν νοεῖται. καὶ ἐπὶ τοῦ ποιεῖν φῶς. διὰ τοῦτο καὶ λυχνοῦχον ἐπήγαγεν ὃν λέγομεν φανόν, ἢ λαμπτῆρα. Πῶς δ' ἂν πεποιθοίη. διὰ τὸ κράζειν καὶ βοᾶν τὸν συκοφάντην λέγει ὁ χορός· ὅτι πῶς ἂν θαρρήσειεν τοιούτῳ ἀγγείῳ ἄνθρωπός τις τὸ τοιοῦτον ἦχον ποιοῦντι. παρόσον καὶ οἱ ἄνθρωποι παραιτοῦνται ἐπὶ τοιούτων κεράμων, ἀναγκαῖόν τι βαλεῖν φοβούμενοι τὸ σαθρὸν αὐτῶν. Ἄλλως. τῷ συκοφάντῃ λέγει πῶς ἂν θαρροίη τις. διὰ τὸ καὶ αὐτὸν κράζοντα, μέγαν ἦχον ποιεῖν.

Χο. πῶς δ' ἂν πεποιθοίη τις ἀγ-
γείῳ τοιούτῳ χρώμενος κατ' οἰκίαν,
τοσόνδ' ἀεὶ ψοφοῦντι.
Δι. ἰσχυρόν ἐστιν ὦγαθ', ὥς-
τ' οὐκ ἂν καταγείη ποτ' εἴ-
περ ἐκ ποδῶν
κατωκάρα κρέμαιτό γε.
Χο. ἤδη καλῶς ἔχει σοι.
Βοι. μέλλω γέ τοι θερίδδειν.
Χο. ἀλλ' ὦ ξένων βέλτιστε συν-
θέριζε, καὶ τοῦτον λαβών,
πρόβαλλ' ὅπου βούλει φέρων
πρὸς πάντα συκοφάντην.
Δι. μόλις γ' ἐνέδησα τὸν κακῶς ἀπολούμενον.
αἴρου λαβὼν τὸν κέραμον ὦ βοιώτιε.
Βοι. ὑπόκυπτε τὰν τύλαν ὦ ἰσμήνιχε.
χ' ὅπως κατοίσεις αὐτὸν εὐλαβούμενος.
πάντως μὲν οἴσεις οὐδὲν ὑγιὲς ἀλλ' ὅμως.
κἂν τοῦτο κερδάνῃς ἄγων τὸ φορτίον,
εὐδαιμονήσεις συκοφαντῶν γ' οὕνεκα.
Ἀγγ. Δικαιόπολι. Δι. τίς ἐστι. τί με βωστρεῖς. Ἀγγ. ὅτι
ἐκέλευσε Λάμαχός σε ταυτησὶ τῆς δραχμῆς,

Κατωκάρα. κατὰ κορυφήν. οὕτω γὰρ οἱ ἀττικοὶ ὑφ' ἓν λέγουσι. Ἤδη καλῶς ἔχει σοι. ἤδη καλῶς ἐδέσμευσας. τε διπλῆ καὶ ἔπεται ὁμοία ἐκ τῆς ἐφθημιμερῶν τῇ πρώτῃ. Μέλλω γέ τοι θερίδδειν. θερίσδειν. θερίζειν. καταβάλλειν. ἀπὸ μεταφορᾶς τῶν θεριζόντων. ὅτι τὰ πράγματα τεθέασιν ἢ διότι πολλοὶ ἐθέριζον διὰ τὸν πόλεμον. τινὲς δέ φασι τὸν δικαιόπολιν εἰρηκέναι, μέλλοντα λαβεῖν τὰ τοῦ βοιωτοῦ φορτία. Ἀλλ' ὦ ξένων βέλτιστε. διπλῆ καὶ ἄλλη περίοδος τοῦ χοροῦ ἰαμβικὴ καὶ αὕτη, ἐκ τριῶν μὲν διμέτρων ἀκαταλήκτων καὶ τετάρτου καταληκτικοῦ. πρὸς πάντα δὲ συκοφάντην ἀντὶ τοῦ εἰπεῖν σαπρόν. Μόλις γ' ἐνέδησα. ὁ δικαιόπολις λέγει τὸν συκοφάντην. διπλῆ δὲ καὶ εἴσθεσις εἰς ἰάμβους δύο. Τὰν τύλαν. τὸν τύλον τὸν ἀπὸ τοῦ ἀχθοφορεῖν γεγενημένον. Ἄλλως. τὴν ἀπὸ τοῦ ἀχθοφορεῖν ἐν τῷ τραχήλῳ γινομένην τοῦ τραχήλου σκληρότητα. ἐκ μεταφορᾶς τῶν ἀχθοφόρων ζώων. ὃν δὲ εἶπεν ἄνω ἰσμηνίαν, νῦν ἰσμήνιχον ὁ θηβαῖος καλεῖ. Χ' ὅπως κατοίσεις αὐτόν. ἐπεὶ οἱ βαστάζοντες κεράμους, εὐλαβῶς πάνυ καὶ προσεχόντως βαστάζουσι. Δικαιόπολι. ἔρχεται λαμάχου ἄγγελος λέγων τῷ δικαιοπόλιδι ὅτι ἔπεμψε λάμαχος σὺν τρισὶ δραχμαῖς καὶ ἑτέρα μιᾷ. ὅπως εἰς τὴν ἑορτὴν τῶν χοῶν δῶς μοι, τῆς μὲν μιᾶς δραχμῆς κίχλας. τῶν δὲ γ´, ἐγχέλυν.

214:a.

Τῶν πολεμίων χάριν. δι' οὐκ εἰς τὴν χάριν, ἀλλὰ τῶν παρόντων ὡς φιλόπολις. ἢ τὸ αὐτό. ἰδίως φησὶ φράσω διὰ τοὺς παρεστῶτας. Θρυαλλίδας. διὰ τὰ ἐλλύχνια. ὡς ἀπορρήτου δὲ ὄντος τούτου δεινοῦ, εἰσφέρειν θρυαλλίδας εἰς τὰς ἀθήνας. Ἐνθεὶς ἂν ἐς τίφην. οἱ ἀθηναῖοι τίφην καλοῦσι τὴν καλουμένην σίλφην. ἔστι δὲ ζῶον κανθαρῶδες. λέγει δὲ, ὅτι ἐκ ταύτης δήσας τις τὴν θρυαλλίδα ἡμμένην, εἰς πέμπει εἰς τὰ νεώρια, ἐπιτηρήσας βορέαν πνέοντα. καὶ οὕτω καύσει τὰς ναῦς. νεώριον δὲ καλεῖται ὁ τόπος ὁ περιέχων τὰ πλοῖα. ἡνίκα ἂν ἑλκυσθῶσιν. Εἰς τὸ αὐτό. ἐμβαλὼν ἐνδήσας τὴν θρυαλλίδα εἰς τὴν σίλφην.

ΝΙ. ἐγὼ φράσω σοι τῶν πολεμίων χάριν.
ἐκ τῶν πολεμίων εἰσάγεις θρυαλλίδας
ΔΙ. ἔπειτα φαίνεις δῆτα διὰ θρυαλλίδας;
ΝΙ. αὕτη γὰρ ἐμπρήσειεν ἂν τὸ νεώριον.
ΔΙ. Νεώριον θρυαλλίς; ΝΙ. οἶμαι. ΔΙ. τίνι τρόπῳ;
ΝΙ. ἐνθεὶς ἂν ἐς τίφην ἀνὴρ βοιώτιος,
ἅψας ἂν ἐς πέμψειεν ἐς τὸ νεώριον.
δι' ὑδρορρόας βορέαν ἐπιτηρήσας μέγαν.
κεἴπερ λάβοιτο τῶν νεῶν τὸ πῦρ ἅπαξ,
σελαγοῖντ' ἂν αἱ νῆες. ΔΙ. ὦ κάκιστ' ἀπολούμενε
σελαγοῖντ' ἂν ὑπὸ τίφης τε καὶ θρυαλλίδος,
ΝΙ. μαρτύρομαι. ΔΙ. ξυλλάμβαν' αὐτοῦ τὸ στόμα.
δός μοι φορυτὸν ἵν' αὐτὸν ἐνδήσας φέρω.
ὥσπερ κέραμον, ἵνα μὴ καταγῇ φορούμενος.
ΧΟ. ἔνδησον ὦ βέλτιστε τῷ ξένῳ καλῶς
τὴν ἐμπολὴν οὕτως ὅπως ἂν μὴ φέρων κατάξῃ.
ΔΙ. ἐμοὶ μελήσει ταῦτ' ἐπεί τοι καὶ ψοφεῖ
λάλον τι καὶ πυρροραγὲς, κἄλλως θεοῖσιν ἐχθρόν,
ΧΟ. τί χρήσεταί ποτ' αὐτῷ.
ΔΙ. πάγχρηστον ἄγγος ἔσται.
κρατὴρ κακῶν. τριπτὴρ δικῶν
φαίνειν ὑπευθύνους. λυχνοῦχος καὶ κύλιξ.
τὰ πράγματ' ἐγκυκᾶσθαι.

Δι' ὑδρορρόας. διὰ στενοῦ τόπου ὑδρορρόα καλεῖται τὸ μέρος τῆς στεφανίδος δι' οὗ τὸ ἀπὸ τοῦ ὄμβρου ὕδωρ συναγόμενον κατέρχεται. Κεἴπερ λάβοιτο. ἐὰν ἅψηται φησὶ μόνον, εὐθὺς καίονται. Σελαγοῖντ' ἄν. αἱ ναῦς δηλονότι. ταῦτα δὲ λέγει ἐκπλητττόμενος ὁ δικαιόπολις τὸν συκοφάντην. ταῦτα δὲ εἰπὼν, τύπτει εὐθὺς τὸν νίκαρχον. Μαρτύρομαι. ὁ νίκαρχος τυπτόμενος ὑπὸ τοῦ δικαιοπόλιδος λέγει. Φορυτόν. φρύγανον. χοινίον. δέσμην χόρτου συστρεφομένου. ἢ φρυγανώδη ἀκαθαρσίαν. ὡς τὸ σίνδ' ἄμυ διοφορυτόν τι καὶ ἴπνια λύματ' ἀείρας. διὰ τοῦ ο μικροῦ. ἢ ψιαθῶδες πλέγμα ἐν ᾧ τοὺς στάχυας ἐμβάλλουσιν. ἢ τὴν ἐκ φρυγανώδων στρωμνήν. Ὥσπερ κέραμον. οἱ γὰρ καλῶς δεσμούμενοι κέραμοι δυσχερῶς καὶ μόλις κλῶνται. Ἔνδησον ὦ λῷστε. διπλῆ καὶ μετάβασις εἰς μονοστροφικὴν δυάδα. δίστιχεῖς ἔχουσαι τὰς περιόδους. Τὴν ἐμπολήν. ἐμπολὴ γὰρ ἀπὸ τῆς πραγματείας κέρδος. Πυρροραγές. πυρροραγὴς κέραμος, ὁ ἐν πυρὶ ῥηγνύμενος. ὁ δὲ κέραμος πυρροραγὴς γινόμενος, σαθρὸν ἠχεῖ. Τριπτὴρ δικῶν δέον εἰπεῖν ἀλῶν, ὁ δὲ εἶπε δικῶν. διὰ τὸ ἐπιτρίβειν αὐτὸν τὰ παίδια δικάζοντα καὶ συκοφαντοῦντα. Φαίνειν ὑπευθύνους καὶ ἐπὶ τοῦ συκοφαντεῖν,

Τὴν ἐσχάραν μοι· ἐσχάραν τὴν νῦν καλουμένην ἄφουλαν. ῥιπίδα δὲ, τὸν φυσητῆρα. Τὴν ἀρίστην ἔγχελυν· ἀττικῶς ἔγχελυν. βοιωτιοὶ ἔγχελιν. σκέψασθε δὲ, ἀντὶ τοῦ θεάσασθε προσέχετε. Τῆς ξένης χάριν· διὰ τὸ ἐπιξενίζεσθαι παίζων δὲ ἔφη. Ἐντετευτλανωμένης· ἀντὶ τοῦ μετὰ τεύτλων ἑψηθείσης. μετὰ τεύτλων γὰρ ἥψουν τὰς ἐγχέλεις. λέγονται γὰρ τεύτλοις συνεψόμεναι ἥδισται εἶναι. καὶ ἀναχοῦ φησι τὰς ἐν τεύτλοις λοχευομένας. Ἐμοὶ δὲ τιμά· ἐμοὶ γὰρ τὸ τίμημα αὐτῆς ποῦ ἐστιν. Ἀγορᾶς τέλος· ἔθος ἦν τὸ παλαιὸν, ὡς καὶ μέχρι τοῦ νῦν, τοὺς ἐν τῇ ἀγορᾷ πιπράσκοντας τέλος διδόναι τοῖς λογισταῖς. λέγει δὲ ὁ δικαιόπολις, ὅτι τέλος λαμβάνω ταύτην ὑπὲρ ὧν ἐπώλησας. Ἰῶγα· ἀντὶ τοῦ ἐγὼ ταῦτα πάντα. Κεῖσ' ἄξεις ἰών· γράφεται καὶ ἰὼ ἀντὶ τοῦ ἐγώ, καὶ δύο στιγμαὶ ἐν τῷ ἄξεις. εἶτα τὸ ἰώ. Ὅτι γ' ἔστ' ἀθήναις. ταῦτά φησιν ὠνήσομαι παρὰ τῶν ἀθηναίων, ἃ τοῖς βοιωτοῖς οὐκ ἔστιν. Ἀφύας ἢ κέραμον· καὶ ἀφύαι καὶ κέραμοι εἰσὶν ἐν τῇ βοιωτίᾳ. Συκοφάντην ἔξαγε· διαβάλλει πάλιν τοὺς ἀθηναίους ὡς πολλοὺς ἔχοντας συκοφάντας. Λάβοιμι μέντ' ἂν κέρδος· εἰληφὼς τὸν συκοφάντην πεπληρωμένον ἁμαρτίας καὶ πωλήσας ἅπερ πίθηκον, εὑρήσω πολὺ κέρδος. ταῦτα δὲ εἰρωνευόμενος λέγει. Ἅπερ πίθακον· ὥσπερ πίθηκον. ἁμαρτίας καὶ ἀδικίας πεπληρωμένον. Νίκαρχος· ὁ Νίκαρχος κωμῳδεῖται ὡς συκοφάντης. φανῶν δὲ, ἀντὶ τοῦ κατηγορήσων. Θείβαθεν ἴττω Ζεύς· ἐκ τῆς θήβης ἴστω ὁ Ζεύς. Ὄρνα τε πόισιν· ἀντὶ τοῦ ὀρνέοις. ὡς ἐπὶ ἐθνῶν δὲ λέγει. διὰ τὸ ὀρνέοις πόλεμον ποιεῖς. ὡσεὶ ἔλεγε βοιωτοῖς ἢ ἅπασιν ἄλλοις.

Τὴν ἐσχάραν μοι δεῦρο καὶ τὴν ῥιπίδα.
σκέψασθε παῖδες τὴν ἀρίστην ἔγχελυν.
ἥκουσαν ἕκτῳ μόλις ἔτει ποθουμένην.
προσείπατ' αὐτήν, ὦ τέκν', ἄνθρακας δ' ἐγὼ
ὑμῖν παρέξω τῆσδε τῆς ξένης χάριν.
ἀλλ' ἔσφερ' αὐτήν· μηδὲ γὰρ θανών ποτε
σοῦ χωρὶς εἴην ἐντετευτλανωμένης.
Βοι. ἐμοὶ δὲ τιμὰ τᾶσδε πᾶ γενήσεται.
Δι. ἀγορᾶς τέλος ταύτην γέ που δώσεις ἐμοί.
ἀλλ' εἴ τι πωλεῖς τῶνδε τῶν ἄλλων λέγε.
Βοι. ἰῶγα ταῦτα πάντα. Δι. φέρε πόσου λέγεις
ἢ φορτί' ἕτερ' ἐνθένδε κεῖσ' ἄξεις ἰών.
Βοι. ὅτι γ' ἔστ' ἀθάναις, ἐν βοιωτοῖσι δὲ μή.
Δι. ἀφύας ἄρ' ἄξεις πριάμενος φαληρικὰς
ἢ κέραμον. Βοι. ἀφύας ἢ κέραμον, ἀλλ' ἔντ' ἐκεῖ.
ἀλλ' ὅτι παρ' ἁμῖν μή, τᾶδε δ' αὖ πολύ.
Δι. ἐγᾦδα· τοίνυν συκοφάντην ἔξαγε
ὥσπερ κέραμον ἐνδησάμενος. Βοι. νὴ τὼ σιώ·
λάβοιμι μέντ' ἂν κέρδος ἀγαγών, καὶ πολὺ
ἅπερ πίθακον, ἀλιτρίας πολλᾶς πλέων.
Δι. καὶ μὴν ὁδὶ νίκαρχος ἔρχεται φανῶν.
Βοι. μικκός γα μᾶκος οὗτος. Δι. ἀλλ' ἅπαν κακόν.
Νι. ταυτὶ τίνος τὰ φορτί' ἐστί; Βοι. τῶδ' ἐμὰ
θείβαθεν ἴττω ζεύς. Νι. ἐγὼ τοίνυν γ' ὁδὶ
φαίνω πολέμια ταῦτα. Βοι. τί δαὶ κακὸν παθών,
ὄρνα τε πόισι πόλεμον ἤρω καὶ μάχαν.
Νι. καὶ σέ γε φανῶ πρὸς τοῖσδε. Βοι. τί ἀδικειμένος.

Ν ὴ τὸν ἰόλαον. ἰόλαος ἥρως οὕτω τιμώμενος παρὰ θηβαίοις. τὸ δὲ ἐξόπισθέν μου φησὶ φυσῶντες τῷ πνεύματι αὐτῶν, τὰ ἄνθη τῆς γλήχωνος ἀπέβαλον. ἐβάσταζε γὰρ φορτίον τῆς γλήχωνος. τὸ δὲ ἐπιχαρίτως ἀντὶ τοῦ κεχαριτωμένως. καὶ κεχαρισμένως ἡμῖν ἀπόλοιντ' ἄν. Τετραπτερυλλίδων. τῶν ἀκρίδων παρὰ τὸ δ' ἔχειν πτερά. ὀρταλίχων δὲ τῶν ἀλεκτρυόνων κατὰ τὴν τῶν βοιωτῶν διάλεκτον. Κολλικοφάγε. κόλιξ εἶδος ἄρτου περιφεροῦς. ὀρίγανον δὲ θηλυκῶς ἀττικοί. Γλαχώ. ἡ γλαχὼ τῆς γλήχους, ἀττικοὶ δὲ βληχὼ φασίν.

Βοι. Νὴ τὸν ἰόλαον ἐπιχαρίτως αὖ γ' ὦ ξένε.
θείβαθι γὰρ φυσῶντες ἐξόπισθέ μου,
καὶ τἄνθεα τᾶς γλάχωνος ἀπέκιξαν χαμαί.
ἀλλ' εἴ τι βούλει πρίασο τῶν, ἐγὼ φέρω.
τῶν ὀρταλίχων ἢ τῶν τετραπτερυλλίδων.
Δι. Ὦ χαῖρε κολλικοφάγε βοιωτίδιον.
τί φέρεις. Βοι. ὅσ' ἐστὶν ἀγαθὰ βοιωτοῖς ἁπλῶς.
ὀρίγανον. γλαχώ. ψιάθους. θρυαλλίδας.
νάσσας κολοιοὺς ἀτταγᾶς. φαλαρίδας.
τροχίλους. κολύμβους. Δι. ὡς περεὶ χειμὼν ἄρα
ὀρνιθίας ἐς τὴν ἀγορὰν ἐλήλυθας;
Βοι. καὶ μὰν φέρω χᾶνας. λαγῶς. ἀλώπεκας.
σκάλοπας. ἐχίνως. αἰελούρως. πυκτίδας.
ἴκτιδας ἐνύδρους. ἐγχέλεις κωπαΐδας.
Δι. ὦ τερπνότατον σὺ τέμαχος ἀνθρώποις φέρων.
δός μοι προσειπεῖν, εἰ φέρεις τὰς ἐγχέλεις.
Βοι. πρέσβειρα πεντήκοντα κωπαΐδων κορᾶν.
ἔκβαθι τῷδε κἠπιχάριττα τῷ ξένῳ.
Δι. ὦ φιλτάτη σὺ καὶ πάλαι ποθουμένη.
ἦλθες ποθεινὴ μὲν τρυγῳδικοῖς χοροῖς
φίλη δὲ μορύχῳ. δμῶες ἐξενέγκατε.

Φ αλαρίδας. οἱ μὲν γένος ὀρνίθων. οἱ δὲ τὰς ἐν τῷ φαληρεῖ γινομένας. Ὀρνιθίας. οὕτως ὁ σφοδρὸς χειμὼν ἐν ᾧ καὶ τὰ ὄρνεα διαφθείρεται. οὕτω δὲ καὶ ἄνεμος ὀρνιθίας. ὃς ὑπὲρ τὴν γῆν τὰ ὄρνεα στορέννυσιν ὑπὸ τῆς τοῦ ψύχους πνοῆς. ὁ δὲ σύμμαχος χειμῶνα ὀρνιθίαν ἀποδίδωσι, διὰ τὸ χειμῶνος ταῦτα τὰ ὄρνεα ἐπιφαίνεσθαι. ὡς παρὰ ἀράτῳ. Σκάλωπας μύας τινὰς οὓς φαμὲν σπάλακας. Ἴκτιδας. εἶδος ζώου ὡς οἱ κάστορες. ἢ ἔνυδρον. ἔστι δὲ ἰχθυοφάγον. Κωπαΐδας. λίμνη ἐν βοιωτίᾳ κωπαΐς. ἐν ᾗ ἐγχέλεις πλεῖσται. ἔστι δὲ καὶ πόλις ὁμώνυμος. Δός μοι προσειπεῖν. ὁ δικαιόπολις ἀκούσας τὰ περὶ τῆς ἐγχέλεως, πρὸς τὴν μεγαλεῖα λέγει ἀσμένως. ὅτι ὦ τερπνὸν καὶ καλὸν ἡμῖν τέμαχος κομίσας τὴν ἔγχελυν, δός μοι αὐτὴν προσειπεῖν. Πρέσβειρα. ὁ στίχος ἀπὸ δράματος αἰσχύλου. ὅπλων κρίσεως οὕτως ἐπιγεγραμμένου. ἐν ᾧ ἐπικαλεῖται τὰς νηρεΐδας τις ἐξελθούσας κρῖναι πρὸς τὴν θέτιν λέγων. δέσποινα πεντήκοντα νηρεΐδων κορῶν. Κἠπιχάριττα. ἀντὶ τοῦ ἐπιχαρίτως ἔκβηθι τῷ ξένῳ. Ὦ φιλτάτη. ὁ δικαιόπολις εἰληφὼς τὴν ἔγχελυν, λέγει αὐτὴν ἀσμένως ὁρῶν. Μορύχῳ. ὁ μόρυχος ἐπὶ ὀψοφαγίᾳ κωμῳδεῖται. ἦν δὲ καὶ τῶν ἡδέως βιούντων. τραγῳδίας δὲ ποιητὴς οὗτος.

Ὁ ταχὺς ἄγειν τὴν μουσικήν. ὡς ἐπὶ τροχοῦ ποιοῦντος αὐτοῦ ποιήματα. ἦν δὲ καὶ μελοποιός. Ὁ ζῶν, ὡς δυσώδη διαβάλλει αὐτόν. τραγασαίου δὲ διὰ τὴν τῶν τράγων δυσωδίαν εἶπε. Λυσίστρατος. ἐπὶ μαλακίᾳ διεβάλλετο. ἐν ἐνίοις δὲ καὶ πένης ὁ αὐτὸς καὶ κυβευτής. ἐκαλεῖτο δὲ καὶ χηναλώπηξ. Χολαργέων. δῆμος ἀττικῆς οἱ χολαργεῖς τῆς ἀκαμαντίδος φυλῆς. Ὁ περιαλουργός. ὁ κακοῖς βεβαμμένος ἢ βαθὺς τοῖς κακοῖς. μετενήνεκται δὲ ἡ λέξις. ἀπὸ τῆς βαφῆς τῆς πορφύρας τῆς θαλάσσης. ὅτι ἐκ βάθους τὸ ὄστρακον εὑρίσκεται. ἁλουργὴς ἐσθὴς ἡ πορφυρᾶ.

Ὁ ταχὺς ἄγειν τὴν μουσικὴν
ὁ ζῶν κακὸν τῶν μασχαλῶν.
πατρὸς τραγασαίου
οὐδ' αὖθις αὖ σε σκώψεται παύσων ὁ παμπόνηρος.
λυσίστρατός τ' ἐν ἀγορᾷ χολαργέων ὄνειδος.
ὁ περιαλουργὸς τοῖς κακοῖς
ῥιγῶν τε καὶ πεινῶν ἀεί.
πλεῖν ἢ τριάκονθ' ἡμέρας
τοῦ μηνὸς ἑκάστου.

ΒΟΙ. Ἴττω ἡρακλῆς. ἔκαμόν γα ταὶ τύλαι κακῶς
κατάθου τὺ ταὶ γλάχων' ἀτρέμας ἰσμηνία
ὑμὲς δ' ὅσοι θείβαθεν αὐληταὶ πάρα,
τοῖς ὀστίνοις φυσῆτε τὸν πρωκτὸν κυνός.

ΔΙ. Παῦ' ἐς κόρακας. οἱ σφῆκες οὐκ ἀπὸ τῶν θυρῶν;
πόθεν προσέπταν οἱ κακῶς ἀπολούμενοι
ἐπὶ τὴν θύραν μοι χαριδεῖς βομβαύλιοι.

Πλεῖν ἢ τριάκονθ' ἡμέρας. ἀντὶ τοῦ τριάκοντα ἡμέρας. ὁ γὰρ μὴν τριάκοντα ἡμέραις πληροῦνται. Ἔκαμόν γα ταὶ τύλαι. κορωνὶς εἰσιᾶσι γὰρ οἱ ὑποκριταὶ καὶ εἰσὶν ἴαμβοι ξε. Ἄλλως. ἤρχετο τις ἀνὴρ θηβαῖος καμὼν τὸν ὦμον ἐν τῷ βαστάζειν τὸ φορτίον ὃ ἔφερε καὶ φησίν. ἴττω ἡρακλῆς ἀντὶ τοῦ ἴστω ἔκαμον τὸν ὦμον βαστάζων. τύλον δὲ ἀρσενικῶς, ἔλεγον τὸν ὦμον τὸν τετυλωμένον. καὶ πεπιλημένον καὶ τετριμμένον ἐκ τῆς σαρκός. ὁποῖον πολλάκις ἐπὶ τοῦ ὤμου γίνεται τοῖς ἀχθοφόροις, ἐκ τοῦ βαστάζειν τι συνεχῶς. καὶ τηλεκλείδης τραχήλου τύλας εἶπεν. γλάχανα. τὴν ὀρίγανον. κλίνεται καὶ γλήχω ὡς σαπφώ. καὶ βλήχω. Αὐληταὶ πάρα. ἀντὶ τοῦ πάρεστε. ἐσπούδαζον δὲ οἱ ἀθηναῖοι περὶ τὸν αὐλόν. Τοῖς ὀστίνοις φυσῆτε. λείπει τὸ αὐλοῖς. ὀστίνοις δὲ ἔφη. ἐπεὶ τὸ παλαιὸν ἀπὸ τῶν ἐλαφείων ὀστῶν κατεσκεύαζον τοὺς αὐλούς. τὸ δὲ πρωκτὸν κυνός, κομμάτιόν ἐστιν ἀπὸ παροιμίας. ἣν τοῖς ὀφθαλμοῖς ἔλεγον. ἐς πρωκτὸν κυνὸς βλέπε. μέμνηται ἐν ἐκκλησιαζούσαις. τούτῳ μὲν εἶπον, ἐς πρωκτὸν κυνὸς βλέπε. Οἱ σφῆκες. ἀπὸ τοῦ ἠχεῖν τοὺς αὐλητὰς ὡς οἱ σφῆκες. μετὰ τοῦ θηβαίου γάρ, αὐληταὶ πολλοὶ ἦλθον εἰς τὰς θύρας τοῦ δικαιοπόλιδος. Χαριδεῖς βομβαύλιοι. τὰ τοῦ χαίριδος πεπαιδευμένοι ἢ μελετῶντες. χαῖρις δέ, αὐλητὴς θηβαῖος ἄμουσος. οὗ μέμνηται ἐν ἀρχῇ τοῦ δράματος. ὅτε δὴ παρέκυψε χαῖρις ἐπὶ τὸν ὄρθιον. ἀττικὴ δὲ ἡ συνήθεια τό, οὕτω λέγειν ἀπὸ τοῦ χαίριδος, χαιριδεῖς. καὶ ἀπὸ τοῦ, περιστερᾶς περιστεριδεῖς. Βομβαύλιοι αὐληταί. τὸ δὲ βομβύλιος, ἐν προσθέσει τοῦ α, ἔφη βομβαύλιος παίζων παρὰ τὸν αὐλόν. βομβύλιος γὰρ εἶδος μελίσσης. καὶ εἴρηται παρὰ τὸ βομβεῖν.

τοῦτο εἰς τὴν ἐμὴν κεφαλὴν τραπήσεται. ἀστείως δὲ παίζει. καὶ νὶς δὲ ἀντὶ τοῦ καὶ χθές. Παίειν ἐφ' ἅλι τὰν μᾶζαν. ἐσθίειν μετὰ τῶν ἁλῶν τὸν ἄρτον διὰ τὸ ἀπορεῖν προσφαγίου. Εὐδαιμονεῖ γ' ἅνθρωπος. ἐξελθόντων τῶν ὑποκριτῶν καὶ μενόντων τοῦ χοροῦ, μονοστροφικὸν περίοδον ἑξάκωλον δ'. ὧν ἡγοῦνται στίχοι ἰαμβικοὶ τετράμετροι καταληκτικοὶ δύο. μεθ' οὓς κῶλα δίμετρα ἀκατάληκτα. τὸ δ' αὐτὸ καὶ ἐπὶ τῶν ἑξῆς τριῶν περιόδων καὶ αἱ μὲν πρῶται παραγράφῳ· ἡ δὲ τελευταία κορωνίδι σημειοῦται.

παίειν ἐφ' ἅλι τὰν μᾶζαν, αἴκα τις διδῷ.

ΣΤΡΟΦΗ ΚΩΛΩΝ. ΚΔ'.

χο. εὐδαιμονεῖ γ' ἅνθρωπος. οὐκ ἤκουσας οἷ προβαίνει.
τὸ πρᾶγμα τοῦ βουλεύματος; καρπώσεται γὰρ ἁνὴρ
ἐν τῇ ἀγορᾷ καθήμενος
κἂν εἰσίῃ τις Κτησίας,
ἢ συκοφάντης ἄλλος, οἰ-
μώζων καθεδεῖται.
οὐδ' ἄλλος ἀνθρώπων ὑποψωνῶν σε πημανεῖ τι.
οὐδ' ἐξομόρξεται Πρέπις τὴν εὐρυπρωκτίαν σοι.
οὐδ' ὠστιεῖ Κλεωνύμῳ
χλαῖναν δ' ἔχων φανὴν, δίει.
κοὐ ξυντυχὼν Ὑπέρβολος,
δικῶν ἀναπλήσει.
οὐδ' ἐντυχὼν ἐν τῇ ἀγορᾷ πρόσεισί σοι βαδίζων.
Κρατῖνος. ἀεὶ κεκραμένον μοιχὸν, μιᾷ μαχαίρᾳ.
οὐδ' ὁ περιπόνηρος Ἀρτέμων

Ἐν τῇ ἀγορᾷ καθήμενος. ἔντισιν εὑρέθη, ἔν τ' ἀγορᾷ καθήμενος, μόνους τοὺς καρποὺς ἐξοίσεται. Κτησίας. οὗτος ὡς συκοφάντης διαβάλλεται. Ὑποψωνῶν σε. παρακλέπτων. ὅτι ὁ ψώνια κακουργῶν βλάπτει. διότι αὐτὸς μόνος συναλλάττει τὰς ἀγοράς. Ἄλλως. προστιθεὶς τῇ ὀψωνίᾳ. εἰσὶ γὰρ πολλοὶ διὰ μακρᾶς προσθήκης ὠνούμενοι. πημανεῖται δὲ βλάψει. λυπήσει ὦ δικαιόπολι. Ἐξομόρξεται. ἐναποψήσεται ἐναπομάξει. ὡς καταπύγων δὲ κωμῳδεῖται ὁ Πρέπις. ἀντὶ τοῦ οὐκ ἀναξίῃ τῆς κιναιδείας Πρέπιδος. Οὐδ' ὠστιεῖ Κλεωνύμῳ. ὠθήσεις. ἀντὶ τοῦ οὐδὲ ἀπεωσθήσῃ ὑπὸ Κλεωνύμου ἀναγκάζοντός σε κινεῖν. οὗτος δὲ ὁ Κλεώνυμος ὡς ἀλιφάγος καὶ ῥίψασπις κωμῳδεῖται. Ὑπέρβολος. τοῦτον ὡς φιλόνεικον διαβάλλει συνεχῶς Ἀριστοφάνης. ἦν δὲ στρατηγὸς Ἀθηναίων. φανὴν δὲ λαμπράν. δίει δὲ διελεύσῃ. Κρατῖνος. οὗτος μελῶν ποιητής. κωμῳδεῖται δὲ ἐπὶ μοιχείᾳ καὶ ὡς ἀσέμνως κειρόμενος. μοιχὸς δὲ εἶδος καὶ ὄνομα κουρᾶς ἀπρεποῦς κιναιδώδους. Οὐδ' ὁ περιπόνηρος. ὥσπερ ἔλεγεν ὁ περιφόρητος Ἀρτέμων ἀπὸ τῆς παροιμίας. ἧς μέμνηται καὶ Ἀνακρέων [illegible] τινος ἐπὶ καλοῦ καὶ ἁρπαζομένου πρὸς πάντων παιδός. παρ' ὑπόνοιαν δὲ ἔφη τὸ Ἀρτέμων. οὐ γὰρ τοῦτον ἀλλὰ τὸν Κρατῖνον βούλεται δηλῶσαι. συνεχρόνισε δὲ τῷ δικαίῳ Ἀριστείδῃ οὗτος ὁ Ἀρτέμων. ὃς ἦν ἄριστος μηχανητής. διὰ δὲ τὸ χωλὸν αὐτὸν εἶναι, ὅπου ἂν κατειλήφει πόλεμος καὶ χρεία μηχανῆς ἦν ἐπὶ τὸ τεῖχος καταβληθῆναι ἢ τὸ τοιοῦτον, μετεπέμποντο αὐτὸν φερόμενον. ἀπὸ τούτου οὖν ἡ παροιμία. καὶ πάντες οἱ σοφοί, περιφόρητοι καλοῦνται.

διαβάλλει τοὺς μεγαρέας, ὅτι εἰς τοσοῦτον ἦλθον πενίας, ὥστε τὰ τέκνα πωλεῖν δεσμοῦ σκορόδων καὶ χοίνικος ἁλῶν. τροπαλλὶς δέ. ἡ δέσμη τῶν σκορόδων. ἀστείως δὲ ὁ μεγαρεὺς ἅμα καὶ περιπαθῶς ταῦτα παρὰ τοῦ δικαιοπόλιδος ζητεῖ, ἃ πρότερον οἱ μεγαρεῖς, ἄλλοις παρεῖχον. Ἑρμῆ 'μπολαῖε. τὸ πλῆρες ἑρμᾶ. λείπει δὲ τὸ γένοιτο. ἐμπολαῖε δὲ, ἐμπορικὲ πραγματευτικέ. ὁ μεγαρικὸς δὲ πάνυ καλῶς ἐμφαίνει τὸν πολὺν λιμόν· ὡς εὐτυχῶς γὰρ πωλήσας τὴν θυγατέρα αὐτοῦ καὶ καλῶς, εὔχεται πάλιν οὕτως ἀποδόσθαι καὶ τὴν μητέρα. ἐμφαίνει δὲ τὸν μέγαν λιμόν. Ἐγὼ φανῶ. ἀποδείξω. ἔστι δὲ φάσις ὄνομα δίκης οὕτω καλουμένης. Κλάων μεγαριεῖς. ἐπειδὴ τῇ μεγαρέων ἐχρῆτο φωνῇ, ἀντὶ τοῦ λιμώξεις. ἢ εἰς μέγαρα ἀπελεύσῃ. ἢ τὰ μεγαρέων φρονήσεις ἢ τῇ μεγαρέων διαλέκτῳ χρήσῃ. Ὅθεν περ ἀρχά. ἐκ τοῦ συκοφαντεῖν δηλονότι. Οὐκ ἀφήσεις τὸν σάκον. σάκος νῦν δι' ἑνὸς κ. ἀνωτέρω δὲ, διὰ δύο. Φαντάζομαι. ἀντὶ τοῦ συκοφαντοῦμαι. καλεῖ δὲ τὸν δικαιόπολιν πρὸς τὸ συμμαχῆσαι αὐτῷ. Φαίνεις ἄνευ. πρὸς τὴν ὁμωνυμίαν παίζει.

Δι. ὠνήσομαί σοι. περίμειν' αὐτοῦ. Με. ταῦτα δή.
Ἑρμῆ 'μπολαῖε. τὰν γυναῖκα τὰν ἐμὰν
οὕτω μ' ἀποδόσθαι, τάν τ' ἐμαυτοῦ ματέρα.
Συ. ἄνθρωπε ποδαπός. Με. χοιροπώλας μεγαρικός.
Συ. τὰ χοιρίδια τοίνυν γ' ἐγὼ φανῶ ταδί.
πολέμια κᾆσέ. Με. τοῦτ' ἐκεῖν', ἵκει πάλιν
ὅθεν περ ἀρχὰ τῶν κακῶν ἁμῖν ἔφυ.
Συ. κλάων μεγαριεῖς. οὐκ ἀφήσεις τὸν σάκον;
Με. δικαιόπολι. δικαιόπολι. φαντάζομαι.
Δι. ὑπὸ τοῦ. τίς ὁ φαίνων σ' ἐστίν. Με. οἱ δ' ἀγορανόμοι
Δι. τοὺς συκοφάντας οὐ θύραζ' ἐξείρξετε;
τί μαθὼν φαίνεις ἄνευ θρυαλλίδος.
Συ. οὐ γὰρ φανῶ τοὺς πολεμίους; Δι. κλάων γε σὺ
εἰ μὴ 'τέρωσε συκοφαντήσεις ἰών.
Με. οἷον τὸ κακὸν ἐν ταῖς ἀθάναις τοῦτ' ἔνι.
Δι. θάρρει μεγαρίκ' ἀλλ' ἧς τὰ χοιρίδι' ἀπέδου
τιμῆς, λαβὲ ταυτὶ τὰ σκόροδα καὶ τοὺς ἅλας.
καὶ χαῖρε πολλά γ'. Με. ἀλλὰ μὲν οὐκ ἐπιχώριον.
Δι. πολυπραγμοσύνης νῦν, ἐς κεφαλὴν τρέποιτ' ἐμοί.
Με. ὦ χοιρίδια πειρῆσθε καἄνευ τῶ πατρός.

Εἰ μὴ 'τέρωσε. εἰ μὴ ἀλλαχοῦ ἀπελθὼν ἑτέρους συκοφαντήσεις. Οἷον τὸ κακόν. τὸ τῶν συκοφαντῶν. διαβάλλει οὖν τοὺς ἀθηναίους ὡς πολλοὺς συκοφάντας ἔχοντας. Ἀλλὰ μὴν οὐκ ἐπιχώριον. τὸ χαίρειν διὰ τὰ κατέχοντα ἡμᾶς κακά. Πολυπραγμοσύνης. ὅτι προπετῶς ἐφθεγξάμην τὸ χαίρειν, ἐς κεφαλήν μου τράποιτο. λείπει δὲ τὸ ἕνεκα. ἕνεκα τῆς πολυπραγμοσύνης. ὁ δὲ λόγος, ἀλλὰ τὸ χαίρειν ἔλθοι ἐς τὴν κεφαλήν μου. ὅτι πολυπράγμων εἰπών σοι χαίρειν. οὕτω δὲ ἔλεγον οἱ ἀττικοὶ εἰ κατηγόρουν τινὸς εἰς κεφαλὴν τρέποιτο. τοῦτο δὲ ἐπὶ κακῶν λέγοντες. ἐπειδὴ δὲ ὁ μεγαρεὺς λέγει οὐκ εἶναι αὐτοῖς ἐπιχώριον τὸ χαίρειν, φησὶν ὁ ἀττικὸς διὰ τὴν πολυπραγμοσύνην εἰς τὴν ἐμὴν κεφαλὴν τρέποιτο τὸ χαίρειν. ἀντὶ τοῦ ὅτι πολυπράγμων εἰμί, εἰπών σοι μὴ βουλομένῳ τὸ χαίρειν, γένοιτο

Ὡς ξυγγενὴς ὁ κύσθος. τῇ ἑτέρᾳ φησὶ κόρῃ ὅμοιός ἐστι. διὰ τὸ ἀδελφὰς εἶναι αὐτάς.

Κἀναχνοανθῇ. ἀντὶ τοῦ δασυνθῇ. χνοῦς γάρ, ἡ πρώτη θρὶξ καὶ λεπτή. τουτέστιν ἐὰν ἀκμάσῃ καὶ ἡβήσῃ. Κάλλιστος ἐστὶ χοῖρος. κοινὴ ἡ ἔννοια ἐπί τε τοῦ ζώου τοῦ χοίρου. καὶ ἐπὶ τοῦ αἰδοίου τῆς κόρης. πάνυ δὲ μετὰ χάριτος ἔφη. ἅμα μὲν πρὸς θυσίαν. ἅμα δὲ καὶ πρὸς τὴν συνουσίαν. τυθῆναι δὲ αὐτὴν λέγει τῇ Ἀφροδίτῃ, τὸ φθαρῆναι αὐτήν. Ἀλλ᾽ οὐχὶ χοῖρος. πολλοὶ τῶν ἑλλήνων οὐ θύουσι χοίρους τῇ Ἀφροδίτῃ. ὡς βδελυττομένῃ διὰ τὸν Ἄδωνιν, αὐτόν. Μόνα γε δαιμόνων. αὐτῇ μόνῃ. μάλιστα ὁ χοῖρος θύεται. ὡς πρὸς τὸ αἰδοῖον. Τὸν ὀδελὸν ἐμπεπαρμένον. Βοιωτοὶ τὸν ὀβελόν, ὀδελὸν λέγουσι. Πάνθ᾽ ἃ δίδως. ἅτινα ἂν παραβάλῃς αὐταῖς; ἐσθίουσιν. Τρώγοις ὀρεβίνθους. ἔπαιξε πρὸς τὸ αἰδοῖον τοῦ ἀνδρός. ἐπεὶ καὶ ἐρέβινθον αὐτὸ καλοῦσι.

Τ Ἰσχάδας φιβάλεως. τὸ πρὸς μεγαρίδας. ἄλλοι ἀττικῆς. ἀμφιβάλλεται γάρ. γένος δὲ συκῆς ἡ φίβαλις ἀπὸ τῆς ὁδοῦ εἰς ξηρασίαν ἰσχάδων. ἐπεὶ ἀπὸ τοῦ ἰσχναῖσθαι, ἰσχὰς καλεῖται. καὶ τοὺς ἰσχνοὺς τῶν ἀνθρώπων, φιβάλεις καλοῦσιν. ὁ δὲ τόνος. φιβάλεως προπαροξυτόνως. ὡς κορώνεως πελέκεως. Οἷον ῥοθιάζουσ᾽. ἀθρόον. καὶ μετὰ κτύπου φωνῆς ὁρμῶσι καὶ ἐσθίουσι. θαυμαστικῶς δὲ οἷον. μετὰ ῥόθου καὶ ψόφου ἐσθίουσιν. Τραγασαῖα. ἀπὸ τοῦ τρώγειν ἔπαιξεν. ἅμα δὲ καὶ ὡς ἀπὸ πόλεως. Ταὶ δὲ μίαν ἀνειλόμαν. τῶν ἰσχάδων δηλονότι μίαν ἔλαβον. Ἀστείω γε τὼ βοσκήματε. ἀνθηρὰ καὶ καλὰ τὰ βοσκήματα. ἐπὶ χοίρων δὲ καλεῖται τὸ βόσκημα. ξενοφῶν δὲ ἐν δευτέρῳ τῆς παιδείας καὶ ἐπὶ ἵππων τέθεικε τὴν λέξιν. Σκορόδων προπαλλίδος.

ΔΙ. Ὡς ξυγγενὴς ὁ κύσθος αὐτῆς θατέρᾳ.
ΜΕ. ὁμομητρία γάρ ἐστι. κἠκ ταὐτοῦ πατρός.
αὐτὰ δ᾽ ἂν παχυνθῇ. κἀναχνοανθῇ γ᾽ ἐν τριχί,
κάλλιστος ἐστὶ χοῖρος Ἀφροδίτᾳ θύειν.
ΔΙ. ἀλλ᾽ οὐχὶ χοῖρος τἀφροδίτῃ θύεται,
ΜΕ. οὐ χοῖρος; Ἀφροδίτᾳ μόνᾳ γε δαιμόνων.
καὶ γίνεταί γα τῶνδε τῶν χοίρων τὸ κρῆς,
ἅδιστον, ἂν τὸν ὀδελὸν ἐμπεπαρμένον.
ΔΙ. ἤδη δ᾽ ἄνευ τῆς μητρὸς ἐσθίοιεν ἄν,
ΜΕ. ναὶ τὸν Ποτειδᾶν. αἰ κἄνευ γα τῶ πατρός.
ΔΙ. τί δ᾽ ἐσθίει μάλιστα. ΜΕ. πάνθ᾽ ἅ κα δίδῳς.
αὐτὸς δ᾽ ἐρώτη. ΔΙ. χοῖρε. χοῖρε. ΚΟ. κοΐ κοΐ.
ΔΙ. τρώγοις ἂν ἐρεβίνθους; ΚΟ. κοΐ κοΐ.
ΔΙ. τί δαὶ φιβάλεως ἰσχάδας; ΚΟ. κοΐ κοΐ.
τί δαί, σὺ καὶ τρώγοις αὐτὸς ἄν. ΚΟ. κοΐ κοΐ.
ΔΙ. ὡς ὀξὺ πρὸς τὰς ἰσχάδας κεκράγατε.
ἐνεγκάτω τις ἔνδοθεν τῶν ἰσχάδων.
τοῖς χοιριδίοισιν. ἆρα τρώξονται; βαβαί.
οἷον ῥοθιάζουσ᾽ ὦ πολυτίμηθ᾽ Ἡράκλεις.
ποδαπὰ τὰ χοίρι᾽; ὡς Τραγασαῖα φαίνεται
ἀλλ᾽ οὐχὶ πάσας κατέτραγον τὰς ἰσχάδας.
ΜΕ. Ἐγὼ γὰρ αὐτῶν ταίδε μίαν ἀνειλόμαν.
ΔΙ. νὴ τὸν Δί᾽ ἀστείω γε τὼ βοσκήματε.
πόσου πρίωμαί σοι τὰ χοιρίδια λέγε.
ΜΕ. τὸ μὲν ἕτερον τούτων, σκορόδων προπαλλίδος.
τὸ δ᾽ ἅτερον αἰ λῇς, χοίνικος μόνας ἁλῶν.

Τουτὶ τί ἦν τὸ πρᾶγμα. ὁ ἀττικὸς κρεμάσας τὴν παῖδα ὁρᾷ τὸ αἰδοῖον αὐτῆς. καὶ ἐρωτᾷ περὶ αὐτοῦ, ὅτι ποτέ ἐστιν. οὐ γὰρ ἦν ὅμοιον τῷ αἰδοίῳ τοῦ χοίρου. Ἢ οὐ χοῖρος ἔσθ᾽ ἅδε. τὸ αἰδοῖον δείκνυσι τῆς παιδός. Θᾶσθε τοῦδε τᾶς ἀπιστίας. ὁ μεγαρεὺς, θεᾶσθέ φησι τοῦ δικαιοπόλιδος τῆς ἀπιστίας. Ἀλλὰ μὰν αἰ λῇς. ἀλλὰ μὴν ἐὰν θέλῃς. τὸ δὲ περίδου μοι ὅμηρος. δεῦρό γε νῦν τρίποδος περιδώμεθα.

Περὶ θυμιτιδᾶν ἁλῶν. εἰ βούλει φησὶ ποιησώμεθα συνθήκας περὶ θυμιτιδῶν ἁλῶν. οἷον μετὰ θύμου τετριμμένων. καὶ ἑτέρωθι. ἅλας θυμίτας δὸς ἐμοὶ καὶ κρόμμυα.

Δι. τουτὶ τί ἦν τὸ πρᾶγμα. Με. χοῖρος ναὶ Δία.
Δι. τί λέγεις; ποδαπὴ δ᾽ ἥδ᾽ ἐστὶ χοῖρος. Με. μεγαρικά.
ἢ οὐ χοῖρος ἔσθ᾽ ἅδ᾽. Δι. οὐκ ἔμοιγε φαίνεται.
Με. οὐ δεινά; θᾶσθε τοῦδε τᾶς ἀπιστίας.
οὔ φατι τάνδε χοῖρον ἦμεν. ἀλλὰ μάν
αἰ λῇς, περίδου νῦν μοι περὶ θυμιτιδᾶν ἁλῶν
αἰ μή 'στιν οὗτος χοῖρος ἑλλάνων νόμῳ.
Δι. ἀλλ᾽ ἔστιν ἀνθρώπου γε. Με. ναὶ τὸν διοκλέα.
ἐμά γα. σὺ δ᾽ ἐνὶν ἦμεν τινὸς δοκεῖς.
ἦ λῇς ἀκοῦσαι φθεγγομένας; Δι. νὴ τοὺς θεοὺς
ἔγωγε. Με. φώνει δὴ σὺ ταχέως χοιρίδιον
οὐ χρῆσθα σιγῆν ὦ κάκιστ᾽ ἀπολουμένα.
πάλιν τύ γ᾽ ἀπισῶ, ναὶ μὰ τὸν ἑρμᾶν οἴκαδις.
Κο. Κοῒ κοΐ.
Με. αὕτα 'στὶ χοῖρος. Δι. νῦν γε χοῖρος φαίνεται.
ἀτὰρ ἐκτραφείς γε, κύσθος ἔσται πέντ᾽ ἐτῶν.
Με. σάφ᾽ ἴσθι ποττὰν ματέρ᾽ εἰκασθήσεται.
Δι. ἀλλ᾽ οὐδὲ θύσιμός ἐστιν αὐτηγί. Με. σὰ μάν.
πᾶδ᾽ οὐχὶ θύσιμός ἐστι. Δι. κέρκον οὐκ ἔχει.
Με. νέα γάρ ἐστιν. ἀλλὰ δελφακουμένα,
ἑξεῖ μεγάλαν τε καὶ παχεῖαν κἠρυθράν.
ἀλλ᾽ αἰ τράφειν λῇς, ἅδε τοι χοῖρος καλά.

Αἰ μή 'στιν οὗτος χοῖρος. τοῦτό φησιν, ἐπεὶ καὶ τὸ γυναικεῖον αἰδοῖον χοῖρον ἐκάλουν οἱ ἕλληνες. διὰ τοῦτο γοῦν ὁ ἀττικὸς ἐπιφέρει. ἀλλ᾽ ἔστιν ἀνθρώπου. Ναὶ τὸν διοκλέα. διοκλῆς ἥρως ἐτιμᾶτο παρὰ μεγαρεῦσιν ᾧ καὶ ἀγῶνα τελοῦσι τὰ διόκλεια. οὗ καὶ θεόκριτος μέμνηται. Νισαῖοι μεγαρῆες ἀριστεύοντες ἐρετμοῖς. ὄλβιοι οἰκείοιτε τὸν ἀττικὸν ὡς περίαλλα ξεῖνον τιμήσασθε διοκλέα τὸν φιλόπαιδα. οὐ δὲ ἐπὶ τῷ διοκλεῖ ἔθηκεν ἀγῶνα, ἀλκάθους ὁ πέλοπος, ἀποτελοῦσιν οἱ μεγαρεῖς. Οὐ χρῆσθα σιγᾶς. λεληθότως πρὸς τὰ χοιρίδια λέγει. οὐ χρῆσθα σιγᾶς. Πάλιν τύ γ᾽ ἀπισῶ. ἐὰν σιωπήσητε ἀποφέρω πάλιν ὑμᾶς οἴκαδε λιμώξοντας. Κοῒ κοΐ. αἱ παῖδες μιμοῦνται τὴν χοίρων φωνὴν κοῒ κοῒ λέγουσαι. Νῦν γε χοῖρος φαίνεται. νῦν σαφῶς σημαίνει, ὅτι χοῖρος τὸ γυναικεῖον αἰδοῖον λέγεται. ἔστι δὲ καὶ κύσθος. ποττὰν ματέρα δὲ πρὸς τὸ τῆς μητρὸς αἰδοῖον.

Θύσιμος. διὰ τὸ εἶναι αὐτὴν γυναῖκα τοῦτο ἔφη. Κέρκον οὐκ ἔχει. τὰ γὰρ κόλουρα ἐν ταῖς ἱερουργίαις οὐ θύεται. καὶ καθόλου ὅπερ ἂν ᾖ μὴ τέλειον καὶ ὑγιὲς, οὐ θύεται τοῖς θεοῖς.

Νέα γάρ ἐστι. τὸ νέα, ἀντὶ τοῦ ἡβῶσα καὶ αὐξομένη, ἕξει παχεῖαν καὶ μεγάλην οὐράν. τοὺς γὰρ μείζονας λοιπὸν χοίρους δέλφακας ἐκάλουν. ἅμα δὲ καὶ ὡς ἐπὶ κόρης παίζει. ὅτι ἕξει μεγάλην οὐρὰν τὴν τοῦ ἀνδρὸς πόσθην. αἰνίττεται δὲ, εἰς τὸ κακέμφατον.

Ἀγράσοντες ἥκομες. ἐν ἀγρᾷ διατρίψοντες ἤλθομεν. ἢ ὠνησόμενοί τι ἢ πωλήσοντες. Διαπεινᾶμες. πίνομεν ὤφειλεν εἰπεῖν πρὸς τὸ πῦρ καθήμενοι. χειμῶνος γὰρ οἱ πότοι πρὸς τὸ πῦρ γίνονται· ὁ δὲ πεινῶμεν εἶπε διὰ τὸν λιμόν. ἢ ἐσχάτως πεινῶμεν· ὥστε καὶ τὰ ἱμάτια ἀποδυόμενοι καθεζόμεθα πρὸς τῷ πυρὶ διὰ τὸ ψῦχος. ἢ διαπύρως καὶ ἐκτόπως πεινῶμεν· ὃ καὶ βέλτιον. Ἀλλ' ἡδύ τοι νὴ τὸν Δί' ἢν αὐλὸς παρῇ· ὡς ἐπὶ τῶν πινόντων τὸν αὐλόν. ὅτι τὸ πῦρ, δυσχείας σημαντικόν. ὥστε ἡδὺ ἦν καθῆσθαι μετὰ αὐλῶν. Ὅπως τάχιστα· καὶ τοῦτο παρ' ὑπόνοιαν· πικρῶς ἐπήγαγε τὸ ἀπολλύμεθα. ἔδει γὰρ εἰπεῖν ὅτι πῶς σωθῶμεν.

Αὐτίκ' ἄρ' ἀπαλλάξεσθε. πρὸς τὸ ῥηθὲν παρὰ τοῦ μεγαρέως ἀπήντησεν ὁ δικαιόπολις ἀστείως. ἀλλ' ἀπαλλαγήσεσθέ φησι, ἀπαλλάττεσθε τῶν πραγμάτων. σαμαί· ἀντὶ τοῦ τί μήν. τί γὰρ ἄλλο καταλείπεται ἢ τοῦτο.

Ἅπερ τοὶ θεοί· ἀντὶ τοῦ ὥσπερ οἱ θεοὶ πολυτίμητοί εἰσι καὶ τίμιοι, οὕτω καὶ ὁ σῖτος πολλῆς τιμῆς ἐστι· παίζει οὖν.

Ἅλας οὖν φέρεις, ἐννίσσεται τῆς μεγαρίδος ἅλες ἐπήγνυντο.

Δι. τί ἀνὴρ μεγαρικός· Με. ἀγράσοντι; ἥκομες
Δι. πῶς ἔχετε; Με. διαπεινᾶμες ἀεὶ ποττὸ πῦρ
Δι. ἀλλ' ἡδύ τοι νὴ τὸν Δί' ἢν αὐλὸς παρῇ.
τί δ' ἄλλο πράττεθ' οἱ μεγαρεῖς νῦν· Με. οἷα δή·
ἁμὰ γὰρ ὄκα μεύγα τηνόθεν ἐμπορευόμαν
ἄνδρες πρόβουλοι τοῦτ' ἔπραττον τᾷ πόλει.
ὅπως τάχιστα καὶ κάκιστ' ἀπολοίμεθα.
Δι. αὐτίκ' ἄρ' ἀπαλλάξεσθε πραγμάτων. Με. σαμαί.
τί δ' ἄλλο. Δι. μεγαροῖ, πῶς ὁ σῖτος ὤνιος.
Με. παρ' ἁμὲ πολυτίματος. ἅπερ τοὶ θεοί.
Δι. ἅλας οὖν φέρεις; Με. οὐχ ὑμὲς αὐτῶν ἄρχετε;
Δι. οὐδὲ σκόροδα; Με. ποῖα σκόροδ' ὑμὲς, ὧν ἀεὶ
ὄκκ' ἐσβαλεῖτε ὡσάρουραῖοι μύες.
πασσάλῳ τὰς ἀγλῖθας ἐξορύσσετε;
Δι. τί δαὶ φέρεις. Με. χοίρους ἐγώγα μυστικάς.
Δι. καλῶς λέγεις. ἐπίδειξον. Με. ἀλλὰ μὰν καλαί.
ἄντεινον αἰ λῇς· ὡς παχεῖαι καὶ καλαί.

ἦν δὲ ὁ τόπος ὑπήκοος τῶν ἀθηναίων. Ὑμὲς αὐτῶν ἄρχετε. διὰ τὸ θαλασσοκρατεῖν τοὺς ἀθηναίους, ἔφη ὑμεῖς αὐτῶν ἄρχετε. Ὄκκ' ἐσβαλεῖτε. ἐσβαλεῖν ἐστι τό τινας ἐν ἀγρῷ εἰσελθόντας ἐκκόψαι πάντα τὰ ἐν αὐτῷ. λέγει οὖν ὁ μεγαρικὸς ὅτι ποῖα σκόροδα, ἅτινα ὑμεῖς ἐπελθόντες τοῖς χωρίοις τῆς μεγαρίδος, καθάπερ γήινοι μύες ἐκκόπτετε. ἀπὸ δὲ τῶν σκορόδων ἐσήμανε. καὶ τὰ ἄλλα πάντα. τούτων δὲ ἐμνήσθη ὡς μηδὲ τῶν οὕτως εὐτελῶν φειδομένων τῶν ἀθηναίων.

Πασσάλῳ. ὑποκοριστικῶς τῷ πασσάλῳ. ἀγλῖθας δὲ, τὰς κεφαλὰς τῶν σκορόδων. φησὶν οὖν, ὅτι ὥσπερ ἀρουραῖοι μύες, ὀρύσσετε τῷ πασσάλῳ τὰς ἀγλῖθας.

Χοίρους ἐγώγα μυστικάς. διὰ τὸ ἐν τοῖς μυστηρίοις τῆς Δήμητρος θύεσθαι χοίρους.

Ἄντεινον αἰ λῇς. ἀνάτεινον εἰ βούλει· καὶ κρεμάσας ἐπίσκεψαι πρὸς τοῦ βάρους εἰσίν. εἰώθασι δ' οἱ τὰς ὄρνεις ὠνούμενοι ἀνατείνειν ταύτας καὶ τὸ βάρος αὐτῶν σκοπεῖν. καὶ οὕτω καταλαμβάνειν εἶναι παχείας· ἀπὸ τούτου οὖν καὶ ἐπὶ τῶν χοίρων τοῦτο ποιῆσαι παρακελεύεται.

Ἐ[πόθουν] πόθουν τυ γαὶ τὸν φίλιον. ναὶ τὸν φίλιον Δία, ἐπόθουν σε ὥσπερ μητέρα. Ἀμβᾶτε. ἀνάβητε, ἐμφαντικῶς διὰ τὸν λιμὸν ἐδήλωσεν εἰπών· ἐμβᾶτε πρὸς τὴν μάζαν. οἱ μεγαρεῖς δὲ τρέπουσι τὸ ζ', εἰς δύο δ'. Ἀκούετον δή, ποτ'· παρὰ προσδοκίαν. δέον γὰρ εἰπεῖν πρόσεχετε ἡμῖν τὸν νοῦν, ἔφη τὴν γαστέρα, ἐπειδὴ ἐπείνων. ταῦτα δὲ λέγει ὁ μεγαρεὺς, πρὸς τὰς ἑαυτοῦ θυγατέρας. ἃς ἤγαγεν ἐπὶ τὸ πωλῆσαι διὰ τὸν λιμόν. μακρὰ δὲ ἡ ἔννοια τῷ ποιητῇ. Ἐγώνγα καὐτός φαμι. κἀγὼ αὐτὸς τοῦτο σύμφημι. Φανερὰν ζαμίαν. ἐπεὶ κόραι ἦσαν καὶ οὐ χοῖροι. ἡ τούτων δὲ φροντὶς καὶ δαπάνη πολλή ἐστιν. Μεγαρικά τις μαχανά. ἀντὶ τοῦ πονηρὰ πανοῦργος μηχανή. διεβάλλοντο γὰρ ἐπὶ πονηρίᾳ οἱ μεγαρεῖς. ἄλλα μὲν λέγοντες, ἄλλα δὲ ποιοῦντες. Χοίρους γὰρ ὑμὲ σκευάσας. τοὺς παρ' ὑμῖν νῦν λεγομένους δέλφακας. λέγω δὴ τοὺς μικροὺς σῦς. οὓς οἱ ἀρχαῖοι χοίρους ἐκάλουν. Ὅμηρος· ἔσθιε νῦν ὦ ξεῖνε τά, τε δμώεσσι πάρεστι χοίρε'. ἀτὰρ σιάλους γε σύας μνηστῆρες ἔδουσιν. ἐκάλουν δὲ τοὺς μεγάλους χοίρους δέλφακας. ἐν γοῦν τοῖς ἑξῆς φησι· νεαρὰ γάρ ἐστιν. ἀλλὰ δελφακουμένα ἕξει μεγάλα. Τὰς ὁπλὰς τῶν χοιρίων. οὐ μόνον ἀριστοφάνης ἐπὶ τῶν χοίρων τὰς ὁπλὰς εἴρηκεν. ἀλλὰ καὶ σιμωνίδης ὁμοίως ἐπὶ χοίρου. ὁπλὰς ἐκίνει τῶν ὀπισθίων ποδῶν. καὶ ἡσίοδος ἐπὶ βοῶν. μή τ' ἀφ' ὑπερβάλλων βοὸς ὁπλήν. καὶ τὸ ἐναντίον ἐπὶ τοῦ ἵππου, νύσσοντες χηλῇσιν. Ἐξ ἀγαθᾶς ὑός. ὗν ἐπὶ θηλείας. σῦν δὲ ἐπὶ ἄρρενος. κέχρηνται δὲ καὶ ἐπὶ ἄρρενος. Εἴπερ ἵξετ' οἴκαδις. ἐκ δευτέρου εἰς τὸν οἶκον ἀφίξεσθε, τῷ πρώτῳ τῆς ἀφαιρήσεσθε λιμοῦ. δωριεῖς δὲ, θῆλυ λέγουσι τὴν λιμόν. τὰ πρῶτα δὲ ἤγουν τὰς ἄκρας. Ῥυγχία. τὰ ῥυγχία κυρίως ἔφη. ἐπὶ γὰρ χοίρου λέγεται ῥύγχος. ἄμεινον δὲ ἀντὶ τοῦ γράφειν ταδί, τὰ δή. διορίζει γὰρ γρυλλίζειν μὲν, δίκην χοίρων βοήσετε. κοΐζειν δὲ ποιὰ τῶν δελφακίων φωνή. Χοιρίων μυστηρικῶν. ὅτι ἐν τοῖς μυστηρίοις τῆς Δήμητρος χοῖρος θύεται. ἀνάκειται δὲ τὸ ζῷον τῇ θεῷ. ἕκαστος δὲ τῶν θυομένων, ὑπὲρ ἑαυτοῦ ἔθυεν. ταῦτα δὲ καλεῖται μυστήρια.

ἐπόθουν τυ γαὶ τὸν φίλιον ἅπερ ματέρα.
ἀλλ' ὦ πόνηρα κώρια γ' ἀθλίου πατρὸς
ἀμβᾶτε ποττὰν μάδδαν, αἴ χ' εὕρητέ πα.
ἀκούετον δή, ποτέχετ' ἐμὶν τὰν γαστέρα.
πότερα πεπρᾶσθαι χρῄδδετ', ἢ πεινῆν κακῶς;

Κό. πεπρᾶσθαι, πεπρᾶσθαι.

Με. ἐγώνγα καὐτός φαμι. τίς δ' οὕτως ἄνους,
ὃς ὑμέ κα πρίαιτο φανερὰν ζαμίαν.
ἀλλ' ἔστι γάρ μοι μεγαρικά τις μαχανά.
χοίρους γὰρ ὑμὲ σκευάσας, φασῶ φέρειν.
περίθεσθε τάσδε τὰς ὁπλὰς τῶν χοιρίων.
ὅπως δὲ δόξετ' ἦμεν ἐξ ἀγαθᾶς ὑός.
ὡς ναὶ τὸν Ἑρμᾶν εἴπερ ἵξετ' οἴκαδις,
τὰ πρᾶτα πειρασεῖσθε τᾶς λιμοῦ κακῶς.
ἀλλ' ἀμφίθεσθε καὶ τὰ δὴ τὰ ῥυγχία.
κἤπειτεν ἐς τὸν σάκκον ὧδ' ἐσβαίνετε.
ὅπως δὲ γρυλλιξεῖτε καὶ κοΐξετε,
χἠσεῖτε φωνὰν χοιρίων μυστηρικῶν.
ἐγὼν δὲ καρυξῶ γε δικαιόπολιν, ὅπα
δικαιόπολις. ἦ λῇς πρίασθαι χοιρία;

Εὐάθλους δέκα. οὗτος ὁ Εὔαθλος ῥήτωρ πονηρός. Ἀριστοφάνης ἐν ὁλκάσιν. ἔστι τις πονηρὸς ἡμῖν τοξότης συνήγορος ὥσπερ παρ' ἡμῖν τοῖς νέοις. ἦν δὲ καὶ εὐρύπρωκτος καὶ λάλος. εἴη δ' ἂν καὶ ἀγεννής. διὸ καὶ τοξότην αὐτὸν καλεῖ, οἷον ὑπηρέτην. διεβάλλετο γὰρ ἡ τοξεία ὡς εὐτελής. καὶ σοφοκλῆς. ὁ τοξότης ἔοικεν οὐ σμικρὰ φρονεῖν. ἀλλ' ἔνδοξον ταύτην δεῖξαι βουλόμενός φησιν. οὐ γὰρ βάναυσον τὴν τέχνην ἐκτησάμην. αὐτοῦ δὲ τοῦ πατρὸς, τοῦ Εὐάθλου. Ὅπως ἂν ᾖ τῷ γέροντι. ἵνα ἁπλῶς οἱ νέοι τῶν γερόντων κεχωρισμένοι ὦσιν. νωδὸς δὲ, ὁ μὴ ἔχων ὀδόντας ὑπὸ γήρως. Κἀξελαύνειν χρή. καὶ ἐξελαύνειν δέῃ. κἂν φύγῃ ζημιοῦν, ὑπὸ τοῦ γέροντος τοῦτο πάσχειν τὸν γέροντα. Χὠ κλεινίου. ἀλκιβιάδην τὸν κλεινίου. ὡς καταπύγωνα κωμῳδοῦσιν. Ὅροι μὲν ἀγορᾶς. κορωνὶς ὅτι ἐπεισίασι. καὶ εἰσὶ στίχοι ἰαμβικοὶ ἀκατάληκτοι, ιϛ. Ἀγοράζειν. ἐν ἀγορᾷ διατρίβειν, ἀττικῶς. ὅθεν καὶ ἡ κόριννα δῆλον τοῦ πινδάρου ἀττικιστί. ἐπεὶ καὶ ἐν τῷ πρώτῳ τῶν παρθενίων ἐχρήσατο τῇ λέξει. ἀγορανόμους δὲ οὓς νῦν λογιστὰς καλοῦμεν. Τοὺς δ' ἱμάντας ἐκ λεπρῶν. οἱ μὲν ἀπὸ τοῦ λέπειν ὅ ἐστι τύπτειν. οἱ δὲ ἀπὸ λεπρίου πολίσματος τῆς πελοποννήσου. ἧς μέμνηται καὶ καλλίμαχος ἐν ὕμνοις. καυκώνων πτολίεθρον ὁ λέπριον πεφάτισται. οἱ δὲ, ἐκ λεπρῶν βοῶν. φασὶ γὰρ τὰ τῶν λεπρῶν βοῶν δέρματα ἰσχυρὰ εἶναι. οἱ δὲ, ὅτι μεγαρεῖς λεπροὶ τὸ σῶμα, πρὸς οὓς ἀποτείνεται. ἄμεινον δὲ λέγειν ὅτι τόπος ἔξω τοῦ ἄστεος καλούμενος. ἔνθα τὰ βυρσεῖα ἦν. οὗ καὶ ἐν ὄρνισι μέμνηται. τί δ' οὐ τὸν ἥλιον λεπρὸν οἰκίζετε. ἱμάντας δὲ, λώρους. φραγέλλια. τὸ γὰρ παλαιὸν φραγέλλαις ἔτυπτον οἱ λογισταὶ τοὺς τῆς ἀγορᾶς. Φασιανός. ἀντὶ τοῦ συκοφάντης, παρὰ τὴν φάσιν ὅ ἐστι δὲ φαίνειν. ἔστι καὶ πόλις τῆς σκυθίας φᾶσις, ὁμώνυμος τῷ ποταμῷ. Ἀγορὰ 'ν ἀθάναις. ὀρχεῖται μεγαρεύς τις. οἰκεία δὲ ἡ ἔννοια. καὶ [illegible] μετήει. πεινῶν γὰρ ἥκει. καὶ τὰς θυγατέρας πωλεῖ διὰ τὸν λιμὸν εἰς χοίρους αὐτὰς μετασχηματίσας.

ἀλλὰ κατεπάλαισε μὲν ἂν, πρῶτον Εὐάθλους δέκα.
κατεβόησε δ' ἂν κεκραγὼς, τοξότας τρισχιλίους.
περιετόξευσε δ' ἂν αὐτοῦ τοῦ πατρὸς τοὺς ξυγγενεῖς.
ἀλλ' ἐπειδὴ τοὺς γέροντας οὐκ ἐᾶθ' ὕπνου τυχεῖν,
ψηφίσασθε χωρὶς εἶναι τὰς γραφάς. ὅπως ἂν ᾖ
τῷ γέροντι μὲν γέρων καὶ νωδὸς ὁ ξυνήγορος.
τοῖς νέοισι δ' εὐρύπρωκτος καὶ λάλος χὠ κλεινίου
κἀξελαύνειν χρὴ τὸ λοιπόν. κἂν φύγῃ τις, ζημιοῦν.
τὸν γέροντα τῷ γέροντι. τὸν νέον δὲ τῷ νέῳ.
ΔΙ. ὅροι μὲν ἀγορᾶς εἰσιν οἵδε τῆς ἐμῆς.
ἐνταῦθ' ἀγοράζειν πᾶσι πελοποννησίοις
ἔξεστι. καὶ μεγαρεῦσι. καὶ βοιωτίοις.
ἐφ' ᾧτε πωλεῖν πρὸς ἐμέ. λαμάχῳ δὲ μή.
ἀγορανόμους δὲ τῆς ἀγορᾶς καθίσταμαι,
τρεῖς τοὺς λαχόντας. τοὺς δ' ἱμάντας ἐκ λεπρῶν.
ἐνταῦθα μήτε συκοφάντης εἰσίτω,
μήτ' ἄλλος ὅστις φασιανός ἐστ' ἀνήρ.
ἐγὼ δὲ τὴν στήλην καθ' ἣν ἐσπεισάμην,
μέτειμ' ἵνα στήσω φανερὰν ἐν τῇ ἀγορᾷ.
ΜΕ. ἀγορὰ 'ν ἀθάναις χαῖρε. μεγαρεῦσιν φίλα.

ὑζει. ἐὰν διὰ τοῦ ζ. ὀλολύζει. ἐὰν δὲ χωρὶς τοῦ ζ. ἀλύει. τουτέστιν ἀδημονεῖ. λύζει, … φωνὴν τραχεῖαν ἀφίησιν, ἢ λυγμῷ συνέχεται. Κλεψύδραν. ἐν τῷ δικαστηρίῳ ἡ κλεψύδρα ἀγγεῖόν ἐστιν ἔχον μικρὰ τρυπήματα περὶ τὸν πυθμένα. ὅπερ ἐν τῷ δικαστηρίῳ μεστὸν ὕδατος ἐτίθετο. πρὸς ὃ ἔλεγον οἱ ῥήτορες. Μαραθῶνι. λείπει ἦν οἷον ἐν μαραθῶνι. Μαραθῶνι μὲν ὅτ᾽ ἦμεν. περιεγένοντο γὰρ οἱ ἀθηναῖοι περσῶν. ὅτ᾽ ἐμαχέσαντο πρὸς αὐτοὺς ἐν μαραθῶνι. Ὑπ᾽ ἀνδρῶν. τῶν νέων ῥητόρων. διωκόμεθα ἢ κατηγορούμεθα. Κᾆτα προσαλισκόμεθα. ἀντὶ τοῦ προσπίπτοντες καταδικαζόμεθα καὶ ζημιούμεθα. Μαρψίας. οὗτος ὁ μαρψίας, φιλόνεικος καὶ φλύαρος. καὶ θορυβώδης ἦν. τῶν κωμῳδεῖται. Τῷ γὰρ εἰκός. πῶς δίκαιόν ἐστιν ἄνδρα γεγηρακότα ἀπολιπ… περικλεῖ, ἀπολεῖσθαι συμπλακέντα ἀγριότητι. τοῦτο γὰρ δηλοῖ ἡ σκυθῶν ἐρημία, λέγει δὲ ἀγριότητα. οὗτος δὲ ὁ θουκυδίδης. μελησίου παῖς ἦν. γέγονασι δ΄. ὁ ἱστορικός. ὁ γαργήττιος. ὁ θετταλός. ὁ μελησίου υἱός. Κηφισοδήμῳ. οὗτος θρασὺς καὶ δεινὸς πρὸς τὰς δίκας. ἀθηναῖος δὲ καὶ οὗτος. Σκυθῶν ἐρημία. ἐπεὶ θηριώδεις αἱ ἐρημίαι τῶν σκυθῶν, ἀντὶ τοῦ ὀλέθρῳ καὶ κακοῖς συμπλακέντα. τοῦτο δὲ λέγει ὅτι οἱ σκύθαι ἄοικοι ὄντες. καὶ ἐπὶ τῶν ἁμαξῶν φερόμενοι… ἑαυτοῖς ὀλέθρου γίνονται. ἔστι δὲ παροιμία ἡ σκυθῶν ἐρημία τουτέστιν ἔρημον ὄντα. Κἀπομορξάμην. ἐκ τοῦ παρακολουθοῦντος. παρέπεται γὰρ τοῦτο τοῖς δακρύουσιν. Ὑπ᾽ ἀνδρὸς τοξότου. ἀντὶ τοῦ ὑπηρέτου δημοσίου ἑτέρου καλουμένου. Ὃς μὰ τὴν δήμητρα. ὅστις πρεσβύτης ὑπὸ τοῦ τοξότου βλαπτόμενος, οὐδὲ τὴν δήμητρα ἠνέσχετο ἡνίκα ἦν νέος. ἀχαιὰν δὲ, τὴν δήμητρα ἐκάλουν, ἀπὸ τοῦ … ἤχου τῶν κυμβάλων καὶ τυμπάνων. τοῦ γινομένου κατὰ ζήτησιν τῆς κόρης. ἢ ἀπὸ τοῦ ἤχου ὃν παρεῖχεν ἐν τοῖς περὶ τὴν γέφυραν ὡς ἀθήνας ἀπιοῦσιν. ἢ ἀπὸ τοῦ περὶ τὴν θυγατέρα ἄχους. ὁ δὲ νοῦς, ἡνίκα ἦν θουκυδίδης, οὐχ ὅπως τοξότην ἠνέσχετο ἂν καταβοῶντα αὐτοῦ, ἀλλ᾽ οὐδὲ τὴν ἀχαιὰν αὐτήν.

εἶτα λύζει καὶ δακρύει. καὶ λέγει πρὸς τοὺς φίλους
οὗ μ᾽ ἐχρῆν σορὸν πρίασθαι, τοῦτ᾽ ὀφλὼν ἀπέρχομαι.

ἈΝΤΩΔΗ΄ καὶ ἀντιστροφὴ κώλων ιδ΄.

Χο. ταῦτα πῶς εἰκότα γέροντ᾽ ἀπολέ-
σαι πολιὸν ἄνδρα, περὶ κλεψύδραν,
πολλὰ δὴ ξυμπονήσαντα καὶ
θερμὸν ἀπομορξάμενον.
ἀνδρεικὸν ἱδρῶτα δὴ καὶ πολύν,
ἄνδρ᾽ ἀγαθὸν ὄντα μαραθῶνι περὶ τὴν πόλιν.
εἶτα μαραθῶνι μὲν ὅτ᾽ ἦμεν ἐδιώκομεν
νῦν δ᾽ ὑπ᾽ ἀνδρῶν πονη-
ρῶν σφόδρα διωκόμεθα.
κᾆτα προσαλισκόμεθα
πρὸς τάδε τίς ἀντερεῖ μαρψίας.

ἈΝΤΕΠΙΡΡΗΜΑ στίχων ἑκκαίδεκα.

Χο. τῷ γὰρ εἰκὸς ἄνδρα κυφὸν, ἡλίκον θουκυδίδην
ἐξολέσθαι συμπλακέντα τῇ σκυθῶν ἐρημίᾳ.
τῷδε τῷ κηφισοδήμῳ τῷ λάλῳ ξυνηγόρῳ.
ὥστ᾽ ἐγὼ μὲν ἠλέησα, κἀπεμορξάμην ἰδὼν,
ἄνδρα πρεσβύτην ὑπ᾽ ἀνδρὸς τοξότου κυκώμενον.
ὃς μὰ τὴν δήμητρ᾽ ἐκεῖνος ἡνίκ᾽ ἦν θουκυδίδης,
οὐδ᾽ ἂν αὐτὴν τὴν ἀχαιὰν ῥᾳδίως ἠνέσχετο.

ἄμπυκα δὲ παρὰ τὸ σκεπάζειν καὶ καλύπτειν τὸν οἶνον καταχρηστικῶς. Ἀγροικότονον· πρόθυμοι γὰρ, οἱ ἄγροικοι εἰς πᾶσαν πρᾶξιν καὶ σύντονοι. εἰς γραφὰς δὲ· ἐς δικαστήρια, εἰς κατηγορίας. Κωφούς· ἀφώνους. ὅμηρος· κύματι κωφῷ. Παρεξηυλημένους ἐκ μεταφορᾶς τῶν παλαιῶν αὐλῶν καὶ ἀχρείων· κυρίως γὰρ παρεξηυλεῖσθαι λέγομεν αὐλοὺς, τοὺς τὰς γλωσσίας διερρηγμένους. Ἀσφάλειός ἐστιν· ἀσφάλειος ποσειδῶν παρὰ ἀθηναίοις τιμᾶται παρὰ τὸ καὶ αὐτὸν τριαίνῃ χρῆσθαι καὶ τοὺς γέροντας τῇ βακτηρίᾳ, τοῦτο ἔφη· παρὰ δὲ τὸ πάντη πρὸς τὸ ποσειδῶν πεποίηκε. τιμᾶται δὲ ποσειδῶν ἀσφάλιος παρ' αὐτοῖς, ἵνα ἀσφαλῶς πλέωσι. Τονθορύζοντες· λάθρα φθεγγόμενοι. ὑπότρομοι. τὰ χείλη κινοῦντες. λίθῳ δὲ· τῷ βήματι τῷ ἐν τῇ πνυκὶ δικαστηρίῳ. Τῆς δίκης τὴν ἠλύγην· οἱ γέροντες ἡμεῖς δηλονότι οὐδὲν ὁρῶντες ἐν τῷ δικαστηρίῳ εἰ μὴ τὴν σκιὰν τῆς δίκης. ἠλύγη γὰρ τὸ σκότος. καὶ ἠλυγισμένον τὸ ἐσκοτισμένον. βαρύνεται δὲ, παρὰ τὴν λύγην γὰρ, πλεονάζει τὸ η. παρὰ προσδοκίαν δὲ εἶπε τῆς δίκης. δέον εἰπεῖν ἀνθρώπων. Σπουδάσας· ἐς τὸ βλάψαι τὸν γέροντα. Ἐς τάχος παίει· παίειν λέγουσι τὸ πᾶν ὁπουοῦν συντόμως ποιεῖν. στρογγύλοις δὲ πιθανοῖς καὶ πανούργοις. τὸ δὲ ἐς τάχος, ἀπὸ μεταφορᾶς τῶν ἐν τοῖς διδασκαλείοις παίδων. ἐφ' ὧν οὕτως ἐλέγετο. ἐς τάχος γράφει. ἐς κάλλος. Σκανδάληθρ' ἱστάς· διχῶς ἀναγινώσκεται. ὑφ' ἕν. ἵν' ᾖ σκανδαληθριστάς. ἢ ἀπόστροφος ἐν τῷ ρ. ἵν' ᾖ σκανδάληθρα ἱστάς. καὶ ἡ μὲν λέξις πεποίηται, παρὰ τὰ πέτευρα τῶν παγίδων ἀπὸ τοῦ σκάζοντα συμπίπτειν καὶ κρατεῖν τὸ ἐμπεσόν. ὁ δὲ νοῦς. ἀνελκύσας ἀπὸ τοῦ βήματος συνηγόρους ἑαυτῷ καὶ θηρευτὰς τῶν λόγων, ἐρωτᾷ ἡμᾶς. Ἄλλως. σκανδάληθρα λέγεται, τὰ ἐν ταῖς παγίσιν ἐπικαμπῆ ξύλα. ἃ ἐρείδει. ὅπερ ἀρχίλοχος λέγει στόπερον. ἐνταῦθα οὖν λέγει ἐρείσματα λόγων καὶ βάρη. τὸ δὲ ὑπερβατὸν οὕτως. κᾆτ' ἀνελκύσας σκανδαληθριστὰς ἐρωτᾷ ἡμᾶς. Ἄνδρα τιθωνόν· ὑπεράγαν γεγηρακότα. ἀπὸ τιθωνοῦ τοῦ πανουργήσαντος καὶ μεταβληθέντος εἰς τέττιγα. Μασταρύζει· συνέλκει καὶ συνάγει τὰ χείλη. ἀπὸ μεταφορᾶς τῶν ὑποτιτθίων παίδων. ἃ τὸν μαστὸν ἕλκοντα τῷ στόματι, συνάγει τὰ χείλη.

ἘΠΙΡΡΗΜΑ ΣΤΊΧΩΝ ἘΚΚΑΙΔΕΚΑ.

Χο. Οἱ γέροντες οἱ παλαιοὶ, μεμφόμεσθα τῇ πόλει
οὐ γὰρ ἀξίως ἐκείνων ὧν ἐναυμαχήσαμεν,
γηροβοσκούμεσθ' ὑφ' ὑμῶν. ἀλλὰ δεινὰ πάσχομεν.
οἵτινες γέροντας ἄνδρας ἐμβαλόντες ἐς γραφὰς,
ὑπὸ νεανίσκων ἐᾶτε καταγελᾶσθαι ῥητόρων
οὐδὲν ὄντας. ἀλλὰ κωφοὺς, καὶ παρεξηυλημένους.
οἷς ποσειδῶν ἀσφάλειός ἐστιν, ἡ βακτηρία.
τονθορίζοντες δὲ, γήρᾳ τῷ λίθῳ προσέσταμεν.
οὐχ ὁρῶντες οὐδὲν, εἰ μὴ τῆς δίκης τὴν ἠλύγην.
ὁ δὲ νεανίας ἑαυτῷ σπουδάσας ξυνηγορεῖν,
ἐς τάχος παίει, ξυνάπτων στρογγύλοις τοῖς ῥήμασι.
κᾆτ' ἀνελκύσας ἐρωτᾷ. σκανδάληθρ' ἱστὰς ἐπῶν
ἄνδρα τιθωνὸν, σπαράττων καὶ ταράττων καὶ κυκῶν.
ὁ δ' ὑπὸ γήρως μασταρύζει. κᾆτ' ὄφλων ἀπέρχεται.

τοφάνην. διὰ τὸ ἐπεγνωκέναι αὐτόν. ἀλλ' ἵνα τοῦτον τὸν ποιητὴν ἀφέλωνται τὴν αἴγιναν, οὐχ ὑμᾶς. ταῖς ἀληθείαις εἷς ἦν τῶν ἐν τῇ νήσῳ κληρουχησάντων. οὐδὲν δὲ ἐκώλυε καὶ ἑτέρωθι συγγράφειν. εἰ ὑπὸ λακεδαιμονίους ἡ νῆσος ἐγεγόνει. Ἄλλως. οὐδεὶς ἱστόρηκεν ὡς ἐν αἰγίνῃ κέκτηταί τι ἀριστοφάνης. ἀλλ' ἔοικε ταῦτα περὶ καλλιστράτου λέγεσθαι. ὃς κεκληρούχηκεν ἐν αἰγίνῃ μετὰ τὴν ἀνάστασιν αἰγινητῶν ὑπὸ ἀθηναίων. Οὐ θωπεύων. οὐ κολακεύων. οὐκ ἀπατῶν. Οὐθ' ὑποτείνων φαίνων. οὐδ' ἐπὶ μισθὸν διδούς. ἵν' αὐτὸν ἐπαινέσωσιν. Οὔτε κατάρδων. καταχέων ὑπερχέσας. Ἄλλως. οὐ καταβρέχων ὑμᾶς τοῖς ἐπαίνοις ὡς φυτά. Πρὸς ταῦτα κλέων. διπλῆ καὶ ἔσθεσις εἰς τὸ κα... ῥυθμὸν πνίγος καὶ τὸ μακρόν. καὶ αὐτὸ ἀναπαιστικὸν ὥσπερ καὶ ἡ κατακλεὶς ἐκ διμέτρου μὲν ἑνὸς τοῦ παλαιταίου καταληκτικοῦ ἀκαταλήκτων δὲ ἕξ.

φησὶν δ' ὑμᾶς πολλὰ διδάξειν ἀγάθ' ὥστ' εὐδαίμονας εἶναι
οὐ θωπεύων. οὐθ' ὑποτείνων μισθούς. οὐδ' ἐξαπατύλλων.
οὔτε πανουργῶν, οὔτε κατάρδων, ἀλλὰ τὰ βέλτιστα διδάσκων
πρὸς ταῦτα κλέων, καὶ παλαμάσθω. καὶ πᾶν ἐπ' ἐμοὶ τεκταινέσθω.
τὸ γὰρ εὖ μετ' ἐμοῦ, καὶ τὸ δίκαιον, ξύμμαχον ἔσται κοὐ μή ποθ' ἁλῶ.
περὶ τὴν πόλιν ὢν, ὥσπερ ἐκεῖνος δειλὸς καὶ λακαταπύγων.

ἈΝΤΙΣΤΡΟΦΗ ΚΩΛΩΝ. Η.

Χο. δεῦρο μοῦσ' ἐλθὲ φλεγυρὸν πυρὸς ἔ/
χουσα μένος, ἔντονος ἀχαρνική.
οἷον ἐξ ἀνθράκων πρινίνων. φέψαλος ἀνήλατ' ἐρε/
θιζόμενος οὐρίᾳ ῥιπίδι. ἡνίκ' ἐπανθρακίδες ὦσι παρακείμεναι
οἱ δὲ θασίαν ἀνακυκλῶσι λιπαράμπυκα. οἱ δὲ μάττουσιν, οὕ
τω σοβαρὸν ἐλθὲ μέλος,
εὔτονον ἀγροικότονον.
ὡς ἐμὲ λαβοῦσα τὸν δημότην.

ἐπὶ τῷ τέλει τῆς παραβάσεως παράγραφος. ὁμοίως δὲ καὶ τῷ τοῦ πνίγους. Δεῦρο μοῦσα. διπλῆ καὶ ἀντεπιρρηματικὴ συζυγία ἧς αἱ μὲν μελικαὶ εἰσὶ κώλων ια. παιωνικῶν. ὧν τὰ μὲν πρῶτα γ, τρίρρυθμα. τὸ δὲ δ, δίρρυθμον. εἶτα ἐν εἰσθέσει τετράρρυθμα δύο καὶ ἐν ἐκθέσει τρία μὲν δίρρυθμα. ἓν δὲ τρίρρυθμον. Φλεγυρά. φλέγουσα λάμπουσα ἢ θερμὴ διὰ τοὺς ἄνθρακας. Πρινίνων. ἀντὶ τοῦ ἀγροίκων στερεῶν. ἐπεὶ ὁ πρῖνος ξύλον στερεόν. Οὐρίᾳ ῥιπίδι. τῇ τοῦ ἀνέμου φορᾷ. λέγει δὲ τὸ πρὸς κίνησιν πνεύματος ἐπιτήδειον. ὃ ἡμεῖς ῥιπίδιον καλοῦμεν. Ἐπανθρακίδες. λεπτοὶ ἰχθύες ὀπτοί. πάντα δὲ τὰ ἐπὶ ἀνθράκων ὀπτώμενα, ἀνθρακίδας ἐκάλουν. Οἱ δὲ, θασίαν ἀνακυκλῶσιν. οἱ μὲν φασὶ λείπειν τὸ λάγυνον. ἐπεὶ καταχρίονται πίσσῃ τὸ σῶμα οὐ πιθανῶς. οὐδέποτε γὰρ θάσιος οἶνος ηὐδοκίμει παρὰ ἀθηναίοις. οἱ δὲ, ὅτι θάσιαι τινὲς ῥαφανίδες λέγονται. λέγει δὲ τὴν ἠτυμωμένην καὶ βρασσομένην. οἱ δὲ, θάσιον φασὶ ἔμβαμμα λέγεσθαι. ἐκ τοῦ ἀπὸ πυρὸς ἰχθύων. ἰδίως θασίαν ἐκάλουν κρατήσει δὲ εἰς τὴν θασίαν ἅλμην. οἱ δὲ, τὴν λεγομένην θερμοπότιδα. Θασίας ζωμὸν ἅλμης. εἰς ὃν ἀπέβαπτον τὰ ἠνθρακωμένα τῶν ἰχθύων. Λιπαράμπυκα. φιάλην θασίου οἴνου πεπληρωμένην. ἄμπυξ δὲ λέγεται τὸ περιέχον. νῦν οἷον τὸ πῶμα τοῦ ἀγγείου λέγει. καὶ λιπαρὸν μὲν διὰ τὸ ἡδὺ τοῦ οἴνου.

304.b.

Ἐπ' ἄκρων τῶν πυγιδίων. παρὰ τὴν παροιμίαν. ἐπ' ἄκρων τῶν ὀνύχων. οἱ γὰρ ἡδέως τι ἀκούοντες, δοκοῦσιν ἐπάνω τῶν πυγῶν καθέζεσθαι. Ἄλλως. παρὰ τὴν παροιμίαν τὸ ἐπ' ἄκρων τῶν ὀνύχων. ἔπαιξεν οὗτος ἐπ' ἄκρων τῶν πυγιδίων εἰπών. καὶ σοφοκλῆς. ἐπεὶ τραφεὶς ἂν μητρὸς εὐθύνους ἄπο, ὑψηλὰ κομπεῖς, κἀπ' ἄκρων ὁδοιπορεῖς. εἰώθασι γὰρ ἀλαζόνες ἐπ' ἄκρων ὀνύχων βαδίζειν. καὶ οἱ ἐπαίνους εἰς ἑαυτοὺς γινομένων ἀκούοντες, τὴν πυγὴν τῆς καθέδρας ἐξαίρειν. Ὑποθωπεύσας. κολακεύσας. παρὰ τὸ λιπαρὰς ἀθήνας, τὸ λιπαρὰς ἀφύας. Ηὗρε δ' ἂν πᾶν ἄν. ἀντὶ τοῦ πᾶν πρᾶγμα κατορθοῖ.

εὐθὺς διὰ τοὺς στεφάνους, ἐπ' ἄκρων τῶν πυγιδίων ἐκάθησθε.
εἰ δέ τις ὑμᾶς ὑποθωπεύσας, λιπαρὰς καλέσειεν ἀθήνας,
ηὗρε τὸ πᾶν ἂν διὰ τὰς λιπαράς, ἀφύων τιμὴν περιάψας.
ταῦτα ποιήσας, πολλῶν ἀγαθῶν αἴτιος ὑμῖν γεγένηται.
καὶ τοὺς δήμους ἐν ταῖς πόλεσι δείξας ὡς δημοκρατοῦνται.
τοιγάρτοι νῦν ἐκ τῶν πόλεων τὸν φόρον ὑμῖν ἀπάγοντες
ἥξουσιν ἰδεῖν ἐπιθυμοῦντες τὸν ποιητὴν τὸν ἄριστον.
ὅστις παρεκινδύνευσεν ἀθηναίοις εἰπεῖν τὰ δίκαια,
οὕτω δ' αὐτοῦ περὶ τῆς τόλμης ἤδη πόρρω κλέος ἥκει,
ὅτε καὶ βασιλεύς, λακεδαιμονίων πρεσβείαν βασανίζων,
ἠρώτησε πρῶτα μὲν αὐτούς, πότεροι ταῖς ναυσὶ κρατοῦσιν·
εἶτα δὲ τοῦτον τὸν ποιητὴν ποτέρους εἴποι κακὰ πολλά.
τούτους γὰρ ἔφη τοὺς ἀνθρώπους βελτίους γεγενῆσθαι.
καὶ τῷ πολέμῳ πολὺ νικήσειν, τοῦτον ξύμβουλον ἔχοντας.
διὰ ταῦθ' ὑμᾶς λακεδαιμόνιοι τὴν εἰρήνην προκαλοῦνται.
καὶ τὴν αἴγιναν ἀπαιτοῦσι. καὶ τῆς νήσου μὲν ἐκείνης,
οὐ φροντίζουσ' ἀλλ' ἵνα τοῦτον τὸν ποιητὴν ἀφέλωνται.
ἀλλ' ὑμεῖς τοι μή ποτ' ἀφῆσθ'. ὡς κωμῳδήσει τὰ δίκαια.

Ἀφύων τιμήν. καὶ ἐνιαχῶς λέγεται ὡς ἐν ταγηνισταῖς. ἅλις ἀφύης μοι. πέπαμαι γὰρ ἰδίων. Καὶ τοὺς δήμους ἐν ταῖς πόλεσιν. ἀντὶ τοῦ τὴν ἡμῶν αὐτῶν πολιτείαν, ἀλλὰ δείξας ταῖς συμμάχοις πόλεσι. τουτέστι διδάξας τοὺς συμμάχους ὡς χρὴ δημοκρατεῖσθαι, δήλους ὑμῖν αὐτοὺς ἐποίησεν. Ἄλλως. ἐν ταῖς ἄλλαις πόλεσι τοὺς ἡμετέρους δείξας δήμους ὅτι δημοκρατοῦνται καὶ οὐ τυραννίδος, ἀλλ' ἄλλοις πειθόμενοι. Βασιλεὺς ὁ μέγας περσῶν. Βασανίζων. ἀκριβῶς ἐξετάζων. Πότεροι ταῖς ναυσί. πότεροι αὐτοὶ τῶν ἀθηναίων ἐν τῇ ναυμαχίᾳ κρατοῦσιν. ἔθος δὲ τοῖς βασιλεῦσι τὰ τοιαῦτα περιεργάζεσθαι. Ποτέρους εἴποι πολλά. ἀντὶ τοῦ περὶ τούτου ποιητοῦ ἠρώτα, τίνας κωμῳδεῖ καὶ διαβάλλει. ἔφασκε γὰρ ὁ τῶν πρέσβεων βασιλεύς, ὅτι οὓς ἂν οὗτος ὁ ποιητής, τουτέστιν ὁ ἀριστοφάνης σκώψῃ, τούτοις σωφρονίζεσθαι καὶ γίνεσθαι βελτίους. τοῦτο δὲ χαριεντιζόμενος ὑπὲρ ἑαυτοῦ λέγει. Τούτους γὰρ ἔφη. τοὺς ἀθηναίους δηλονότι ὁ ἐρωτῶν ὁ βασιλεύς. ταῦτα δὲ λέγει περὶ αὐτοῦ. Διὰ ταῦθ' ὑμᾶς λακεδαιμονίους. διὰ τὸ ἔχειν ὑμᾶς τὸν ἀριστοφάνην ποιητὴν ἄριστον. Καὶ τῆς νήσου μὲν ἐκείνης. τῆς νήσου ἐν ᾗ τὰ χωρία ἀριστοφάνους. λέγω δὲ ἡ τῆς αἰγίνης. Ἀλλ' ἵνα τοῦτον τὸν ποιητήν. ἴσως αὐτὸν λάβωσιν. ἐντεῦθεν τινὲς νομίζουσιν ἐν αἰγίνῃ τὰς κωμῳδίας ποιεῖν τὸν ἀρι/

φάνην

θύρων μεγακλέα καὶ λάμαχον. ὡς πρότερον μὲν πένητας ὄντας. εἶτα ἐξαίφνης πλουτήσαντας ἀπὸ τῆς πόλεως. ὅτι αὐτοῖς οἱ φίλοι χθὲς καὶ πρώην συνεβούλευον καταχρέοις οὖσιν. ὑπό τε δανείων καὶ ὀφλημάτων ἐξίστασθαι τῆς οὐσίας. ὡς μὴ δυναμένοις ἀποδοῦναι. ἢ τοῖς δανείζουσι παρῄνουν οἱ φίλοι ἐξίστασθαι τοῦ δανείζειν τοῖς τοιούτοις; ὀφείλουσιν ἐράνους καὶ χρέα. οὐ νῦν οὖν διαβάλλει ὡς πένητας, ἀλλ' ὡς ποτὲ πένητας. Ἀγοράζειν. τὸ ἀγοράζειν οὐκ ἴσον τέθεικε τοῦ ὠνεῖσθαι. ὡς ἡμεῖς. ἀλλ' ἀπὸ τοῦ ἐν ἀγορᾷ διατρίβειν. λείπει δὲ τὸ, ἰόντας. Ἀνὴρ νικᾷ, ἐξιόντων τῶν ὑποκριτῶν, ὁ χορὸς λέγει τὴν πλείαν παράβασιν. τῆς δὲ παραβάσεως, τὸ μὲν κομμάτιον ἐστὶ στίχων δύο ἀναπαίστων τετραμέτρων καταληκτικῶν. αὐτὴ δὲ ἡ παράβασις ἐξ ὁμοίων στίχων λβ. Ἀλλ' ἀποδύντες. ἀπὸ μεταφορᾶς τῶν ἀποδυομένων ἀθλητῶν. οἳ ἀποδύονται τὴν ἐξωτέραν στολὴν, ἵνα εὐτόνως χορεύωσι καὶ ἐλαφρότεροι ὦσι πρὸς τὰ παλαίσματα. Οὔπω παρέβη. ἀντὶ τοῦ ἐν τῇ παραβάσει οὔπω εἶπε. Ταχυβούλοις. ταχέως μεταβαλλομένοις. προπετέσιν. ἀπερισκέπτοις. κωμῳδοῦνται δὲ οἱ ἀθηναῖοι ὡς τοιοῦτοι. καὶ ὅτι ταχέως μετανοοῦσιν ἐν οἷς βουλεύονται. Ξενικοῖσι λόγοις. ἀντὶ τοῦ ἀλλοτρίοις καὶ μὴ προσήκουσιν. ὅτι ἀνοίκειον ἕλλησι τὸ ἐξαπατᾶσθαι ἢ ξενικοῖς, τοῖς ἀπὸ τῶν ξένων πρέσβεων λεγομένοις. Χαυνοπολίτας. κεχαυνωμένους περὶ τὴν πολιτείαν ἢ τὴν πόλιν. Ἰοστεφάνους. παρὰ τὰ ἐκ τῶν πινδάρου διθυράμβων. αἱ λιπαραὶ καὶ ἰοστέφανοι ἀθῆναι. διασύρει δὲ ἄλλως, ὅτι οἱ προδόται, τούτοις χρῶνται τοῖς λόγοις.

λα. ἀλλ' οὖν ἐγὼ μὲν πᾶσι πελοποννησίοις,
ἀεὶ πολεμήσω. καὶ ταράξω πανταχῆ.
καὶ ναυσὶ καὶ πεζοῖσι κατὰ τὸ καρτερόν.
δι. ἐγὼ δὲ κηρύττω καὶ πελοποννησίοις,
ἅπασι. καὶ μεγαρεῦσι. καὶ βοιωτίοις,
πωλεῖν. ἀγοράζειν πρὸς ἐμέ. λαμάχῳ δὲ μή.

ΚΟΜΜΑΤΙΟΝ.

χο. ἁνὴρ νικᾷ τοῖσι λόγοισιν. καὶ τὸν δῆμον μεταπείθει
περὶ τῶν σπονδῶν. ἀλλ' ἀποδύντες, τοὺς ἀναπαίστους ἐπίωμεν.

ΠΑΡΑΒΑΣΙΣ ΣΤΙΧΩΝ, ΛΑ'.

ἐξ οὗ γε χοροῖσιν ἐφέστηκε τρυγικοῖς ὁ διδάσκαλος ἡμῶν,
οὔπω παρέβη πρὸς τὸ θέατρον λέξων, ὡς δεξιός ἐστιν.
διαβαλλόμενος δ' ὑπὸ τῶν ἐχθρῶν ἐν ἀθηναίοις ταχυβούλοις.
ὡς κωμῳδεῖ τὴν πόλιν ἡμῶν καὶ τὸν δῆμον καθυβρίζει,
ἀποκρίνεσθαι δεῖται νυνὶ πρὸς ἀθηναίους μεταβούλους.
φασὶ δ' εἶναι πολλῶν ἀγαθῶν ἄξιος ὑμῖν ὁ ποιητής.
παύσας ὑμᾶς ξενικοῖσι λόγοις μὴ λίαν ἐξαπατᾶσθαι.
μήθ' ἥδεσθαι θωπευομένους, μήτ' εἶναι χαυνοπολίτας
πρότερον δ' ὑμᾶς οἱ πρέσβεις ἀπὸ τῶν πόλεων ἐξαπατῶντες,
πρῶτον μὲν ἰοστεφάνους ἐκάλουν. κἀπειδὴ τοῦτό τις εἴπῃ.

Κόκκυγες. ἀντὶ τοῦ ἄτακτοι καὶ ἀπαίδευτοι. καὶ γὰρ ὁ κόκκυξ τὸ ζῷον ἄμουσόν τι φθέγγεται. Τισαμενοφαινίππους. ὁ τισαμενὸς, ὡς ξένος καὶ μαστιγίας κωμῳδεῖται. ὁ δὲ φαίνιππος, ὡς ὑώδης καὶ ἑταιρικῶς. ὁ δὲ χάρης, ἐπὶ ἀμαθίᾳ διεβάλλετο. Πανουργιππαρχίδας. τούτοις κωμῳδεῖ ὡς πανούργους, τόν τε τισαμενὸν καὶ τὸν φαίνιππον καὶ ἱππαρχίδην, καὶ γέρητα τὸν φαλακρόν. καὶ θεόδωρον τὸν διομειαλαζόνα τὸν δήμου ὄντα. ὃς ὠνόμασται οὕτως ἀπό τινος διόμου. Τοὺς δ᾽ ἐν χαόσι. χάονες μὲν ἔθνος ἠπειρωτικόν. πέπαικται δὲ παρὰ τὸ ἐν ἱππεῦσιν. ὁ πρωκτός ἐστιν αὐτὸ χρῆμ᾽ ἐν χάοσιν. ἐπειδὴ καὶ εἰς μαλακίαν διεβάλλετο γέρης καὶ θεόδωρος. καὶ ὅτι ἐκ δούλων. Κἀν γέλᾳ. καμαρίνα καὶ γέλα πόλις σικελίας. ἐποίησε δὲ τὸ καταγέλᾳ, ἀπὸ τοῦ καταγελᾶν αὐτῶν τοὺς στρατηγούς. Ἀμηγέπου. ἁπανταχοῦ. ὅπως ἂν τύχῃ. καθ᾽ οἱονδήποτε τρόπον. Ὦ μαριλάδη. ἀπὸ τῆς μαρίλης. ὅτι δ᾽ ἀμαυρὸν πῦρ δηλοῖ. τουτέστιν ὦ γέρον ἀχαρνικέ. Ἤδη πεπρέσβευκας σὺ πολιὸς ὤν. οὕτως ἐν τοῖς ἀκριβεστάτοις ἔνη, ἵνα λέγῃ ἐκ πολλοῦ. ἀττικοὶ δὲ τὸ ἔνη, περιττὸν ἐτίθεσαν, ὡς τὸ ἔχων, ληρεῖς ἔχων. οἱ δὲ λείπειν φασὶ τὸ δύω. ἵνα ἐρωτῶν λέγῃ, ἔνη δύω. Πρινίδης. ἀπὸ τοῦ πρίνου ἔπλασεν ὄνομα. ἐπειδὴ οἱ ἀχαρνεῖς, ἀνθρακεῖς. ἡ δὲ πρῖνος ἐπιτήδειον ξύλον εἰς ἄνθρακας. Ὁ κοισύρας. ὁ μεγακλῆς. κοισύρα δὲ ἐγένετο ἀθήνησιν εὐγενὴς γυνὴ καὶ πλουσία, μήτηρ τοῦ μεγακλέους, ὃς καταβεβρωκὼς τὴν οὐσίαν. καὶ ὕστερον πενητικῶς, ἐκ τοῦ τὰ κοινὰ πράσσειν λέγεται. Οἷς ὑπ᾽ ἐράνου. ἔθος εἶχον τέλεσμά τι εἰς τὸ κοινὸν διδόναι. ὅθεν οἱ μὴ διδόντες, καὶ ἄτιμοι ἐνομίζοντο. καὶ μετὰ βίας ἀπῃτοῦντο. παρὰ προσδοκίαν δὲ ἐπήγαγε τὸ χρεῶν. Ἅπαντες ἐξίστων. εἰώθεισαν εἴ τί τις ἐκχέοιτο ἀπόνιπτρα ἐκ τῶν θυρίδων. ἵνα μή τις βραχῇ τῶν παριόντων ἔξω λέγειν. παίζει οὖν πρὸς τὸ ἐξίστω ὄνομα, ὁμώνυμον ὂν τῷ ἐκχώρησον. τοῦτο δὲ λέγει δια/

λα. ἐχειροτόνησαν γάρ με. δι. κόκκυγές γε τρεῖς.
ταῦτ᾽ οὖν ἐγὼ βδελυττόμενος, ἐσπεισάμην.
ὁρῶν πολιοὺς μὲν ἄνδρας ἐν ταῖς τάξεσι.
νεανίας δ᾽ οἵους σὺ, διαδεδρακότας.
τοὺς μὲν, ἐπὶ θρᾴκης μισθοφοροῦντας τρεῖς δραχ
τισαμενοφαινίππους, πανουργιππαρχίδας. (μὰς
ἑτέρους δὲ παρὰ χάρητι. τοὺς δ᾽ ἐν χαόσι
γερητοθεοδώρους διομειαλαζόνας.
τοὺς δ᾽ ἐν καμαρίνῃ. κἀν γέλᾳ. κἀν καταγέλᾳ.
λα. ἐχειροτονήθησαν γάρ. δι. αἴτιον δὲ τί
ὑμᾶς μὲν ἤδη μισθοφορεῖν ἁμηγέπου.
τωνδὶ δὲ μηδὲν εἰπὸν ὦ μαριλάδη
ἤδη πεπρέσβευκας σὺ πολιὸς ὢν ἔνη;
ἀνένευσε. καίτοι γ᾽ ἐστὶ σώφρων κἀργάτης.
τί δαὶ δράκυλλος. κεὐφορίδης. ἢ πρινίδης.
οἶδέν τις ὑμῶν τἀκβάταν᾽ ἢ τοὺς χάονας;
οὔ φασιν. ἀλλ᾽ ὁ κοισύρας. καὶ λάμαχος.
οἷς ὑπ᾽ ἐράνου τε καὶ χρεῶν πρώην ποτὲ,
ὥσπερ ἀπόνιπτρον ἐκχέοντες ἑσπέρας,
ἅπαντες ἐξίστων παρῄνουν οἱ φίλοι.
λα. ὦ δημοκρατία. ταῦτα δῆτ᾽ ἀνασχετά;
δι. οὐ δῆτ᾽ ἐὰν μὴ μισθοφορῇ γε λάμαχος.

Ἐκ τοῦ σάγματος. ἐκ τῆς θήκης τοῦ ὅπλου, ὃ καλεῖται σάγμα. σάγη γὰρ τὸ ὅπλον. καὶ πανσαγία ἡ πανοπλία, ἀντὶ οὖν τὴν ἀσπίδα. ἐν δὲ τῇ ἀσπίδι ἐπετύπωτο ἡ γοργών. Κἀστωμυλάμην. ἐφλυάρησα. περισσόν τι τοῦ δέοντος ἐλάλησα. ἢ πανούργως ἐφθεγξάμην. Ἰλιγγιῶ. σκοτοδινῶ. ὑπὸ τῆς γαστρὸς συνέχομαι. τοῦτο δὲ καὶ συρακόσιοι, ἔπιλον λέγουσιν. ὅταν δὲ περὶ τὴν καρδίαν στρόφος γένηται, ἐπακολουθεῖ σκότος. καὶ τοῦτο τὸ πάθος καλοῦσιν ἴλιγγον. φασὶ δ' ὅτι τὸ μὲν ῥῆμα διφθόγγῳ γράφεται. τὸ δ' ὄνομα διὰ τοῦ ἰῶτα ἴλιγγος. Τὴν μορμόνα. ἀντὶ τοῦ τὰ φοβερά. φοβερὰ γὰρ ὑπῆρχεν ἡ μορμώ. ἐνταῦθα δὲ μορμόνος ὡς τρυγόνος. ἀλλαχοῦ δὲ μορμοῦς, ὡς σαπφοῦς. Τὸ πτερόν. πτερὸν αἰτεῖ ἵνα ἐξεμέσῃ. εἰώθασι γὰρ οἱ δυσεμεῖς, πτερῷ χρῆσθαι. Βδελύττομαι. ἀλληγορικῶς ἀπὸ τῶν ἐξεμούντων διὰ τὰς χολάς. οὗτος δὲ ἐπὶ τοὺς λόφους. Ἆρα κομπολακύθου. ματαιοκόμπου καὶ κομπώδους ἐν τῷ καυχᾶσθαι. παρεποίησε δὲ καὶ παρέπλασεν ὄνομα ὄρνιθος διὰ τὸ κομπαστὴν εἶναι τὸν λάμαχον. Ἄλλως. ἀπὸ τοῦ λακεῖν ἐν παραγωγῇ γέγονε τὸ ληκύθιον. ληκυθίζειν γὰρ τὸ μεῖζον βοᾶν καὶ ψοφεῖν. ἦχον γὰρ ἀποτελεῖ καὶ ἡ λήκυθος. ἐπεὶ καὶ αὕτη πεφύσηται. πάντα γὰρ τὰ πεφυσημένα κόμπον ποιεῖ. ἀπὸ οὖν τοῦ κόμπου καὶ τῆς ληκύθου, ὄνομα συνέθηκεν. Οἴμ' ὡς τεθνήσει. τὸ τέλειόν ἐστιν οἴμοι. ἀττικοὶ δὲ, διὰ τοῦ σ φασὶ τεθνήσει. Οὐ σπουδαρχίδης. σπουδάζων περὶ ἀρχῆς. αἰολέων δὲ ἴδιον τὰ ἐπίθετα πατρωνυμικῷ τύπῳ φράζειν. Στρατωνίδης. ἀντὶ τοῦ στρατευόμενος στρατιώτης. Μισθαρχίδης. μισθὸν λαμβάνων. ἢ ὅτι τοὺς τῶν στρατιωτῶν μισθοὺς ἤσθιεν.

Τίς Γοργόν' ἐξήγειρεν ἐκ τοῦ σάγματος.
Δι. ὦ Λάμαχ' ἥρως· τῶν λόφων καὶ τῶν λόχων.
Χο. ὦ Λάμαχ' οὐ γὰρ οὗτος ἅνθρωπος πάλαι·
ἅπασαν ἡμῶν τὴν πόλιν κακορροθεῖ;
Λα. οὗτος σὺ τολμᾷς πτωχὸς ὢν λέγειν τάδε;
Δι. ὦ Λάμαχ' ἥρως· ἀλλὰ συγγνώμην ἔχε·
εἰ πτωχὸς ὢν εἶπόν τι κἀστωμυλάμην.
Λα. τί δ' εἶπας ἡμᾶς; οὐκ ἐρεῖς; Δι. οὐκ οἶδά πω.
ὑπὸ τοῦ δέους γὰρ τῶν ὅπλων, ἰλιγγιῶ.
ἀλλ' ἀντιβολῶ σ' ἀπένεγκέ μου τὴν μορμόνα.
Λα. ἰδού. Δι. παράθες νῦν ὑπτίαν αὐτὴν ἐμοί.
Λα. κεῖται. Δι. φέρε νῦν ἀπὸ τοῦ κράνους μοι τὸ πτερόν.
Λα. τουτὶ πτίλον σοι. Δι. τῆς κεφαλῆς νῦν μου λαβοῦ
ἵν' ἐξεμέσω. βδελύττομαι γὰρ τοὺς λόφους.
Λα. οὗτος τί δράσεις; τῷ πτίλῳ μέλλεις ἐμεῖν;
Δι. πτίλον γάρ ἐστιν; εἰπέ μοι τίνος ποτέ.
Λα. ὄρνιθός ἐστιν. Δι. ἆρα κομπολακύθου;
Λα. οἴμ' ὡς τεθνήσει. Δι. μηδαμῶς ὦ Λάμαχε
οὐ κατ' ἰσχύν ἐστιν. εἰ δ' ἰσχυρὸς εἶ,
τί μ' οὐκ ἀπεψώλησας; εὔοπλος γὰρ εἶ.
Λα. ταυτὶ λέγεις σὺ τὸν στρατηγὸν, πτωχὸς ὤν;
Δι. ἐγὼ γάρ εἰμι πτωχός. Λα. ἀλλὰ τίς γὰρ εἶ.
Δι. ὅστις; πολίτης χρηστὸς, οὐ σπουδαρχίδης,
ἀλλ' ἐξ ὅτου περ ὁ πόλεμος, στρατωνίδης.
Σὺ δ' ἐξ ὅτου περ ὁ πόλεμος, μισθαρχίδης.

σιν. ὅτι τὴν ἱερὰν γῆν τὴν ὀργάδα ἐγεώργησαν. Ὅτι δὴ ᾽πείνων. αἰτία τοῦ λιμώττειν. ὑπὸ λιμοῦ διεφθείροντο. βάδην δὲ, αἰτία τοῦ καταβραχὺ αὐξανομένου τοῦ λιμοῦ καὶ ἐπίδοσιν λαμβάνοντος. Ἐρεῖ τις οὐ χρῆν καὶ τοῦτο ἀπὸ τηλέφου εὐριπίδου. ἐρεῖ τις ὅτι οὐκ ἐχρῆν πόλεμον κινῆσαι τοὺς λακεδαιμονίους. πῶς ἐχρῆν αὐτοὺς ποιεῖν. εἴπατε. Φέρ᾽ εἰ καὶ λακεδαιμονίων. ὡς συγγυμνάζων τὸ πρᾶγμά φησιν. εἴ τις τῶν λακεδαιμονίων πλεύσας εἰς σέριφον, καὶ τὸ τυχὸν αὐτοὺς ἀδικήσας καὶ λαβὼν παρ᾽ αὐτῶν τοῦτο, ἀπέδοτο. εἶτα ἐκεῖνοι καταφυγόντες πρὸς ἡμᾶς δεόμενοι βοηθείας, ἤ γε τι ἄρα ἡσυχίαν. λέγει ὅτι οὐδαμῶς. ἀλλὰ κατὰ τάχος ἐβοηθεῖτε αὐτοῖς. τοῦτ᾽ αὐτὸ καὶ λακεδαιμόνιοι ἐποίησαν ἀδικούντων ὑμῶν μεγαρέας. πικρῶς δὲ οὐκ εἶπεν εἴ τις συκοφαντήσας ἀπέδοτο ἀπὸ τῶν ἀθηναίων λαβών. τοῦτο γὰρ οὐδὲν μέγα αὐτῶν τινα καὶ εἰς τὸ ἐλάχιστον ἀδικούμενον ἀμύνασθαι. ἀλλά φησιν ὅτι τῆς σερίφου τῆς εὐτελεστάτης νήσου τῶν ἀθηναίων καὶ οὐχὶ εἰ ἔλαβέ τι ἄξιον λόγου κτῆμα. ἀλλὰ κυνίδιον, ἠνέχεσθε ἄν.

ἐντεῦθεν οἱ μεγαρῆς ὅτε δὴ ᾽πείνων βάδην
λακεδαιμονίων ἐδέοντο, ψήφισμ᾽ ὅπως
μεταστραφείη τὸ διὰ τὰς λαικαστρίας.
κοὐκ ἠθέλομεν ἡμεῖς δεομένων πολλάκις.
κἀντεῦθεν ἤδη πάταγος ἦν τῶν ἀσπίδων.
ἐρεῖ τις οὐ χρῆν, ἀλλὰ τί χρῆν εἴπατε.
φέρ᾽ εἰ λακεδαιμονίων τις ἐκπλεύσας σκάφει
ἀπέδοτο φήνας κυνίδιον σεριφίων.
καθῆσθ᾽ ἂν ἐν δόμοισιν ἢ πολλοῦ γε δεῖ.
καὶ κάρτα μέντἂν εὐθέως καθείλκετε
τριακοσίας ναῦς. ἦν δ᾽ ἂν ἡ πόλις πλέα.
θορύβου στρατιωτῶν. περὶ τριηράρχου βοῆς.
μισθοῦ διδομένου. παλλαδίων χρυσουμένων.
στοᾶς στεναχούσης. σιτίων μετρουμένων.
ἀσκῶν. τροπωτήρων. κάδους ὠνουμένων.
σκορόδων. ἐλαῶν. κρομμύων ἐν δικτύοις.

Φήνας. συκοφαντήσας. φενακίσας. ἡ δὲ σέριφος νῆσός ἐστιν εὐτελεστάτη πρὸς τῇ θράκῃ. Ἦ πολλοῦ γε δεῖ. αἰτία τοῦ οὐδὲ ὅλως. καὶ τοῦτο ἐκ τηλέφου. Θορύβου στρατιωτῶν. τοῦ θορύβου τῶν πραττόντων. τῶν βοώντων περὶ τοῦ δεῖν τριηράρχους εἶναι. Μισθοῦ διδομένου. μισθοῦ μὲν τοῦ διδομένου τοῖς ἐμβαίνουσιν εἰς τὰς ναῦς. παλλάδια δὲ, ἐν ταῖς πρώραις τῶν τριήρων ἦν ἀγάλματά τινα ξύλινα τῆς ἀθηνᾶς καθιδρυμένα. ὧν ἐπεμελοῦντο μέλλοντες πλεῖν. Στοᾶς στεναχούσης. τῆς λεγομένης ἀλφιτοπώλιδος. ἣν ᾠκοδόμησε περικλῆς. ὅπου καὶ σῖτος ἀπέκειτο τῆς πόλεως ἦν δὲ περὶ τὸν πειραιᾶ. στεναχούσης δὲ, διὰ τὸ πλῆθος τῶν σωρευομένων ἀποσιτισμῶν.

Τροπωτήρων. τῶν ἱμάντων τῶν συνδεόντων τὸ ἐπὶ πάσσαλον. λέγω δὲ τὸν σκαλμὸν, τὴν κώπην ὅμηρος. τροποῖς ἐν δερματίνοισι, τοῖς τροπωτῆρσιν.

Σκορόδων ἐλαῶν. οἱ γὰρ ἐπὶ πόλεμον ἐξιόντες, ταῦτα ὠνοῦντο καὶ ἐν λίνοις ἔβαλλον.

ταῦτ' ἦν μεγαρικά. ταῦτα λέγοντες εἶναι μεγαρικὰ πάντα διήρπαζον ὑπὸ τῶν συκοφαντούντων καὶ τοῦ σμικρολόγου. Πόρνην δὲ σιμαίθαν. οἱ ἀπὸ τῶν ἀθηναίων μεγαρικὴν γυναῖκα ἥρπασαν σιμαίθαν. δωρικώτερον δὲ εἶπε σιμαίθαν. ταύτης δὲ καὶ ἀλκιβιάδης ἠράσθη. ὃς καὶ δοκεῖ αἴτιος πεπεικέναι τινάς, ἡρπακέναι τὴν πόρνην. Μεθυσοκότταβοι. λάταξ χαλκῆ φιάλη. ἣν μεταξὺ τοῦ δείπνου ἐτίθεσαν οἴνου πεπληρωμένην. εἶτα εἰς σμικρὰ ποτήρια ἐμβαλόντες ταύτην ἔρριπτον εἰς τὸ ψόφον ἐκτελέσαι.

ταῦτ' ἦν μεγαρικά, κἀπέπρατ' αὐθημερόν.
καὶ ταῦτα μὲν δὴ, σμικρὰ κἀπιχώρια.
πόρνην δὲ σιμαίθαν ἰόντες μεγαράδε
νεανίαι κλέπτουσι μεθυσοκότταβοι.
κᾆθ' οἱ μεγαρεῖς ὀδύναις πεφυσιγγωμένοι
ἀντεξέκλεψαν ἀσπασίας πόρνα δύο
κἀντεῦθεν ἀρχὴ τοῦ πολέμου κατερράγη
ἕλλησι πᾶσιν ἐκ τριῶν λαικαστριῶν.
ἐντεῦθεν ὀργῇ περικλέης οὑλύμπιος
ἤστραπτεν, ἐβρόντα, ξυνεκύκα τὴν ἑλλάδα.
ἐτίθει νόμους, ὥσπερ σκολιὰ γεγραμμένους,
ὡς χρὴ μεγαρέας μήτ' ἐν γῇ μήτ' ἐν ἀγορᾷ
μήτ' ἐν θαλάττῃ, μήτ' ἐν ἠπείρῳ μένειν.

ὃς ἐκαλεῖτο κότταβος. ἐπῃνεῖτο δὲ ὁ μείζονα ψόφον ποιῶν. Πεφυσιγγωμένοι. φῦσιγξ λέγεται, τὸ ἐκτὸς λέπισμα τῶν σκορόδων ἡ φυσίγγη. ἔπαιξεν οὖν τοῦτο εἰς μεγαρέας ὅτι πολλὰ σκόροδα ἔχουσιν. ἢ πεπλησμένοι. ἀπὸ μεταφορᾶς τῶν τὸν ἄνεμον δεχομένων ἀσκῶν ἢ φυσῶν. ἢ ἐκκεκαυμένοι οἰδοῦντες.

Ἀσπασίας πόρνα δύο· τῇ μάχῃ τούτῳ ἐχρήσατο ὁ περικλῆς δι' ἣν ὀργισθείς, ἔγραψε τὸ κατὰ μεγαρέων ψήφισμα ἀπαγορεύων δέχεσθαι αὐτοὺς εἰς τὰς ἀθήνας. ὅθεν ἐκεῖνοι εἰργόμενοι τῶν ἀθηνῶν προσέφυγον τοῖς λακεδαιμονίοις. ἡ δὲ ἀσπασία, περικλέους ἦν σοφίστρια, καὶ διδάσκαλος λόγων ῥητορικῶν. ὕστερον δὲ καὶ γαμετὴ γέγονε. Κἀντεῦθεν ἀρχὴ τοῦ πολέμου. ἐνταῦθα ὡς τὸν περικλέα βούλεται ἀγαγεῖν τὴν αἰτίαν τοῦ πολέμου. ὡς οὐκ εὐπρεπῆ αὐτῷ προστάττων πρόφασιν. Περικλέης οὑλύμπιος. πρῶτος ὀλύμπιος. ὅτι ὁ ζεὺς ὀλύμπιος καλεῖται, ἐπήγαγε τὸ ἤστραπτεν, ἐβρόντα, εὔπολις δήμοις. κράτιστος οὗτος ἐγένετ' ἀνθρώπων λέγειν ὁπότε παρέλθοι ὥσπερ οἱ ἀγαθοὶ δρομεῖς, ἐκ καίδεκα ποδῶν ᾕρει λέγων τοὺς ῥήτορας. ταχὺν λέγειν μὲν πρὸς δέ γ' αὐτοῦ τῷ τάχει πειθώ τις ἐπεκάθιζεν ἐπὶ τοῖς χείλεσιν. οὕτως ἐκήλει. καὶ μόνος τῶν ῥητόρων, τὸ κέντρον ἐγκατέλιπε τοῖς ἀκροωμένοις. Ἐτίθει νόμους. μιμούμενος τὸν τῶν σκολιῶν ποιητήν. τιμοκρέων δὲ ὁ ῥόδιος μελοποιός, τοιοῦτον ἔγραψε σκολιὸν κατὰ τοῦ πλούτου. οὗ ἡ ἀρχή· ὤφελες ὦ τυφλὲ πλοῦτε, μήτ' ἐν γῇ μήτ' ἐν θαλάττῃ, μήτ' ἐν ἠπείρῳ φανήμεναι. ἀλλὰ τάρταρόν τε ναίειν κἀχέροντα. διὰ σὲ γὰρ πάντ' ἐν ἀνθρώποις κακά. τούτοις ἔοικε καὶ τὰ ὑπὸ περικλέους ἐστιχηθέντα. ἐπεὶ ὁ περικλῆς γράφων τὸ ψήφισμα εἶπε. μεγαρέας μήτε ἀγορᾶς μήτε θαλάττης μήτ' ἠπείρου μετέχειν. ἐπεὶ ἔν ὅμοια τοῖς τιμοκρέοντος ἔγραψε, διὰ τοῦτο εἶπεν ἐτίθει νόμους ὡς σκολιὰ γεγραμμένους. ἐνεκάλεσε δὲ ὁ περικλῆς τοῖς μεγαρεῦσι

Ου γάρ με καὶ νῦν. ὡς ἐκ τοῦ πρώτου τοῦτο. προείρηται δὲ τὰ περὶ τούτου. Ξένων παρόντων. διὰ τὸ ἐν τοῖς βαβυλωνίοις πολλῶν παρόντων ξένων, εἰρηκέναι κατὰ πολλῶν τὸν ἀριστοφάνην. διὸ καὶ κατηγορήθη ὑπὸ τοῦ κλέωνος. Αὐτοὶ γάρ ἐσμεν. οἷον μόνοι ἀθηναῖοι χωρὶς τῶν συμμάχων καὶ ξένων. χειμῶνος γὰρ λοιπὸν ὄντος, εἰς τὰ λήναια καθῆκε τὸ δρᾶμα. εἰς δὲ τὰ διονύσια, ἐτέτακτο ἀθήναζε κομίζειν τὰς πόλεις τοὺς φόρους. ὡς εὔπολίς φησιν ἐν πόλεσιν. Οὑπὶ ληναίῳ τ' ἀγών, ὁ τῶν διονυσίων ἀγὼν ἐτελεῖτο δὶς τοῦ ἔτους. τὸ μὲν πρῶτον ἔαρος ἐν ἄστει, ὅτε οἱ φόροι ἀθήνησιν ἐφέροντο. τὸ δεύτερον ἐν ἀγροῖς, ὁ ἐπὶ ληναίῳ λεγόμενος. ὅτε ξένοι οὐ παρῆσαν ἀθήνησι· χειμὼν γὰρ λοιπὸν ἦν. Περιεπτισμένοι. οἷον ξένων ἀπηλλαγμένοι καὶ καθαροὶ ἀστοί. κυρίως πτίσσειν ἐστὶ, τὸ κριθὰς ἢ ἄλλο τι λεπίζειν καὶ καθαροποιεῖν. ἔνθεν καὶ πτισάνη. Οὑπὶ ταινάρῳ θεὸς ὁ αὐτῶν τῶν λακεδαιμονίων. ταίναρον γάρ ἐστι τῆς λακωνικῆς ἀκρωτήριον. ἐν ᾧ στόμιον ἦν κατάγον εἰς ᾅδου. ἐνταῦθα δὲ ἦν καὶ ποσειδῶνος ἱερὸν ἀσφαλείου. τοῦτο δὲ εἶπεν. ἐπειδὴ τοὺς εἵλωτας οἰκέτας καθεσθέντας ἐν τῷ ἱερῷ τοῦ ποσειδῶνος τοῦ ταιναρίου, οὐδὲν δείσαντες ἀνεῖλον λακεδαιμόνιοι. καὶ διὰ τοῦτο ἐδόκουν ἐναγεῖς εἶναι.

οὐ γάρ με καὶ νῦν διαβαλεῖ κλέων, ὅτι
ξένων παρόντων, τὴν πόλιν κακῶς λέγω.
αὐτοὶ γάρ ἐσμεν, οὑπὶ ληναίῳ τ' ἀγών.
κοὔπω ξένοι πάρεισιν. οὔτε γὰρ φόροι
ἥκουσιν οὔτ' ἐκ τῶν πόλεων οἱ ξύμμαχοι
ἀλλ' ἐσμὲν αὐτοὶ νῦν γε περιεπτισμένοι.
τοὺς γὰρ μετοίκους ἄχυρα τῶν ἀστῶν λέγω.
ἐγὼ δὲ μισῶ μὲν λακεδαιμονίους σφόδρα.
καὐτοῖς ὁ ποσειδῶν, οὑπὶ ταινάρῳ θεός,
σείσας, ἅπασιν ἐμβάλοι τὰς οἰκίας.
κἀμοὶ γάρ ἐστιν ἀμπέλια κεκομμένα.
ἀτὰρ φίλοι γὰρ οἱ παρόντες ἐν λόγῳ,
τί ταῦτα τοὺς λάκωνας αἰτιώμεθα.
ἡμῶν γὰρ ἄνδρες οὐχὶ τὴν πόλιν λέγω·
μέμνησθε τοῦθ' ὅτ' οὐχὶ τὴν πόλιν λέγω,
ἀλλ' ἀνδράρια μοχθηρὰ παρακεκομμένα
ἄτιμα. καὶ παράσημα. καὶ παράξενα,
ἐσυκοφάντει μεγαρέων τὰ χλανίσκια.
κεἴπου σίκυον εἶδεν, ἢ λαγῴδιον.
ἢ χοιρίδιον. ἢ σκόροδον. ἢ χόνδρους ἅλας

Παρακεκομμένα. μηδὲν ἐντελὲς ἔχοντα. ἀπὸ μεταφορᾶς τῶν ἀδοκίμων νομισμάτων. ἅπερ παράτυπα λέγεται καὶ παρακεκομμένα. καὶ νῦν δὲ εἰώθασι λέγειν παραχαράκτας τοὺς παρακόπτοντας. ὅθεν καὶ παρὰ ἀθηναίοις παράσημος ῥήτωρ. Μεγαρέων τὰ χλανίσκια. οἱονεὶ ἐξετίναξαν αὐτοὺς παραφυλαττόμενοι. ἢ τοιοῦτό τι λέγει. ἐσυκοφάντουν οὐ μόνον μεγαρέας ἀλλὰ καὶ τὰ χλανίσκια αὐτῶν. ἀντὶ τοῦ τὴν ὕπαρξιν αὐτῶν τὴν οὐσίαν. ἢ περιφραστικῶς τοὺς μεγαρέας. Σίκυον. ἀπὸ εὐθείας τῆς ὁ σίκυος καὶ ἀλλαχοῦ. σικύους ἐνταῦθά τε φυομένους οὐδενὶ κόσμῳ περιέντες κατήσθιον. καὶ ἐν ἄλλῳ γράμματι. καὶ σίκυον χνοάοντα τὸν ἐν φύλλοις πέδοικοι τὴν πυτίσι πέπωνα.
Ἢ χόνδρους ἅλας. οὕτως οἱ ἀττικοί. πολλαὶ δὲ ἦσαν παρὰ μεγαρεῦσιν ἅλες.

Γ λίσχρος. ἀντὶ τοῦ ταπεινὸς κόλαξ. προσαιτῶν δὲ ἀντὶ τοῦ τὰ πολλὰ αἰτῶν. τὸ δὲ λιπαρεῖν, τὸ τ' ἐκλείπεται. ἔστι γὰρ τὸ λίαν παρεῖναί τισι. Διακεκαυμένον λύχνῳ. ὅποι πρεσβῦται διὰ τὸ μόλις βαδίζειν, ἐν σπυρίδι κρύπτουσι τὸν λύχνον ὥστε σώζειν τὸ πῦρ. Πλέκους χρέος. τοῦ σπυριδίου. τοῦ πλέγματος. καὶ τοῦτο δὲ, παρὰ τὰ ἐκ Τηλέφου Εὐριπίδου. τί δ' ὦ τάλας σὺ τῷδε πείθεσθαι μέλλεις.
Β ούλομαι δ' ὅμως λαβεῖν. μιμεῖται τὸν Εὐριπίδου χαρακτῆρα τῷ λόγῳ.

Γλίσχρος· προσαιτῶν· λιπαρῶν τ' Εὐριπίδην.
δός μοι σπυρίδιον, διακεκαυμένον λύχνῳ.
εὐ. τί δ' ὦ τάλας σε τοῦδ' ἔχει πλέκους χρέος.
δι. χρέος μὲν οὐδέν. βούλομαι δ' ὅμως λαβεῖν.
εὐ. λυπηρὸς ἴσθ' ὤν, κἀποχώρησον δόμων.
δι. φεῦ. εὐδαιμονοίης ὥσπερ ἡ μήτηρ ποτέ.
εὐ. ἄπελθέ νυν μοι. δι. μή· ἀλλά μοι δὸς ἓν μόνον
κυλίσκιον τὸ χεῖλος ἀποκεκρουσμένον.
εὐ. φθόρου λαβὼν ταῦτ'. ἴσθ' ὀχληρὸς ὢν δόμοις.
δι. οὔπω μὰ Δί' οἶσθ' οἷ' αὐτὸς ἐργάζει κακά.
ἀλλ' ὦ γλυκύτατ' Εὐριπίδη. τουτὶ μόνον
δός μοι χυτρίδιον σπογγίῳ βεβυσμένον.
εὐ. ἄνθρωπ' ἀφαιρήσει με τὴν τραγῳδίαν.
ἄπελθε ταυτηνὶ λαβών. δι. ἀπέρχομαι.
καίτοι τί δράσω. δεῖ γὰρ ἑνὸς οὗ μὴ τυχὼν,
ἀπόλωλ'. ἄκουσον ὦ γλυκύτατ' Εὐριπίδη.
τουτὶ λαβὼν ἄπειμι κοὐ πρόσειμ' ἔτι.
ἐς τὸ σπυρίδιον, ἰσχνά μοι φυλλεῖα δός.
εὐ. ἀπολεῖς μ'. ἰδού σοι φροῦδά μοι τὰ δράματα.
δι. ἀλλ' οὐκέτ' ἀλλ' ἄπειμι καὶ γάρ εἰμ' ἄγαν
ὀχληρὸς οὐ δοκῶν με κοιραίους στυγεῖν.
οἴμοι κακοδαίμων ὡς ἀπόλωλ'. εὐ. ἐπελαβόμην,

Εὐδαιμονοίης. σκώπτει αὐτὸν ὡς λαχανόπωλιν ἔχοντα μητέρα τὴν Κλειτώ. Κυλίσκιον δὲ ποτήριον. γράφεται δὲ κυλίκειον. ἀποκεκρουσμένον δὲ ἀποκεκλασμένον. Οὔπω μὰ Δί'. οἷον οὐκ οἶδα ὅπως βαρὺς εἶ ἐν τοῖς δράμασι καὶ ἀποκναίεις τοὺς θεατάς. Οἷ' αὐτὸς ἐργάζει κακά. ἐργάσῃ κακῶς αὐτὸς σαυτόν. χαριζόμενός μοι ταῦτα. δι' ὧν σε κακῶς λέγω. ἢ λείπει τὸ μὴ δούς. Δός μοι χυτρίδιον. ἢ ὅτι χύτραν φέρουσιν ἐν ᾗ σπόγγος πεπληρωμένος μέλιτος. καὶ τιθέασι τῷ στόματι τῶν παιδίων, ὅπως σιωπήσωσι ζητοῦντές τροφήν. ἢ ὅτι οἱ πένητες τὰ τρήματα τῆς χύτρας σφηνοῦσι τοῖς σπόγγοις ἢ τετρημένον ἅπαντα χοῦ ὥσπερ οἱ σπόγγοι καὶ τοῦτο δὲ ὑπερβολὴ πενίας. τὸ κεχρῆσθαι τοῖς τετρημένοις. μιμεῖται δὲ Τήλεφον. βεβυσμένον δὲ κεκλεισμένον. Τὴν τραγῳδίαν. οἷον τὰ σκεύη τῆς τραγῳδίας. ταυτηνὶ δὲ ἤγουν τὴν χύτραν. Ἰσχνά μοι φυλλεῖα. τὰ ἀπολείσματα τῶν λαχάνων. ἰσχνὰ δὲ, οἷον εὐτελῆ καὶ μεμαραμμένα τῶν λαχάνων φύλλα. τοιαῦτα γὰρ οἱ πτωχοὶ ἐσθίουσι. καὶ ἐν Πλούτῳ. ἀντὶ δὲ μάζης, φυλλ' ἰσχνῶν ῥαφανίδων. καλεῖται δὲ φυλλεῖα, καὶ τὰ τῆς θριδακίνης φύλλα. σκώπτει δὲ αὐτὸν, ὡς λαχανοπώλιδος υἱόν. Ὀχληρὸς οὐ δοκῶν με κοιραίους. τοῦτο παρῳδεῖται ἀσήμως ἐξ Οἰνέως Εὐριπίδου. ὁ δὲ σύμμαχος, καὶ ἐκ Τηλέφου φησὶν αὐτό.

ἃ δυσπινῆ. τὰ ἐρρυπωμένα. τὰ ῥυπαρά. πίνος γὰρ ὁ ῥύπος. εἰσήγαγε γὰρ καὶ τοῦτον καταβληθέντα ἐκ πηγάσου. καὶ ἐρρυπωμένα ἱμάτια ἔχοντα. οὗτος δ' εἴπερ ἔκειτο γὰρ [illegible] καὶ τοῦ βελλεροφόντου. ἐπεὶ τοῖς δὲ ταῦτα ἐποίησεν ἵνα διέλθῃ πάντας ὅσους ἐποίησε πτωχοὺς ῥάκια ἐνδεδυμένους. Προσαιτῶν. οὐκ ἐπαιτῶν. ἀλλὰ προσαιτῶν. οὕτω γὰρ λέγεται. Τῶν θυεστείων ῥακῶν. ἤτοι τὰ τῶν ἀρνηστῶν. ἢ αὐτοῦ τοῦ θυέστου. Ὦ ζεῦ διόπτα, ταῦτά φησιν ἐπεὶ πολύτρητα ἦν τὰ ῥάκια δι' ὧν ἦν πάντα ἀποσκοπῆσαι. Ἐσκευάσασθαί με. λείπει τὸ πρέπον. διασύρει δὲ ὅτι οὐκ ἐχρῆν ταῦτα ἐπὶ σκηνὴν λέγειν. Τὸ πιλίδιον. πρὸς τοὺς νῦν ὑποκριτάς, ὅτι χωρὶς πίλου εἰσάγουσι τὸν τήλεφον. τὸ δὲ τοῦ τηλέφου πιλίδιον, τὸ νῦν καμελαύκιον καλούμενον. Δεῖ γάρ με δόξαι οἱ δύο στίχοι οὗτοι, ἐκ τηλέφου εὐριπίδου. Φαίνεσθαι δὲ μή. τουτέστι μὴ ἀλλάξαι τὴν φύσιν, ἀλλὰ τὴν μορφήν. Τοὺς μὲν θεατάς. ἵν' εἴπῃ, τῶν μὲν θεατῶν τὸ ἀπαίδευτον. τῶν δὲ χορευτῶν τὴν ἀμουσίαν. Τοὺς δ' αὖ χορευτάς. καὶ διὰ τούτων εὐριπίδην διασύρει. οὗτος γὰρ εἰσάγει τοὺς χορούς, οὐ τὰ ἀκόλουθα φθεγγομένους τῇ ὑποθέσει ἀλλ' ἱστορίας τινὰς ἀπαγγέλλοντας ὡς ἐν ταῖς φοινίσσαις. οὔτι ἐμπαθῶς ἀντιλαμβανομένους τῶν ἀδικηθέντων. ἀλλὰ μεταξὺ ἀντιπίπτοντας. Σκιμαλίσω. ἐξουθενίσω. ἢ χλευάσω. τῷ μέσῳ δακτυλίζω. ὡς τῶν γυναικείων πυγῶν ἅψομαι. εἴρηται δὲ ἡ λέξις καὶ ἐν εἰρήνῃ. ἐλέγετο δὲ σκιμαλίζειν, τὸ τῷ μέσῳ δακτύλῳ τῶν ὀρνίθων ἀποπειρᾶσθαι εἰ ᾠοτοκοῦσιν. Εὐδαιμονοίης. παρὰ τὰ ἐκ τηλέφου εὐριπίδου. καλῶς ἔχοιμι. τηλέφῳ δ' ἁγὼ φρονῶ.

εὐ. ἀλλ' ἢ τὰ δυσπινῆ θέλεις πεπλώματα,
ἃ βελλεροφόντης εἶχ' ὁ χωλὸς οὑτοσί,
δι. οὐ βελλεροφόντης. ἀλλὰ κἀκεῖνος μὲν ἦν,
χωλός. προσαιτῶν. στωμύλος. δεινὸς λέγειν.
εὐ. οἶδ' ἄνδρα μυσὸν τήλεφον. δι. ναὶ τήλεφον.
τούτου δὸς ἀντιβολῶ σέ μοι τὰ σπάργανα.
εὐ. ὦ παῖ, δὸς αὐτῷ τηλέφου ῥακώματα.
κεῖται δ' ἄνωθεν τῶν θυεστείων ῥακῶν,
μεταξὺ τῶν ἰνοῦς. θε. ἰδοὺ ταυτὶ λαβέ.
δι. ὦ ζεῦ διόπτα καὶ κατόπτα πανταχῇ.
ἐνσκευάσασθαί μ' οἷον ἀθλιώτατον.
εὐριπίδη. ἐπειδήπερ ἐχαρίσω μοι ταδί,
κἀκεῖνά μοι δὸς τἀκόλουθα τῶν ῥακῶν
τὸ πιλίδιον περὶ τὴν κεφαλὴν, τὸ μύσιον.
δεῖ γάρ με δόξαι πτωχὸν εἶναι τήμερον.
εἶναι μὲν ὥσπερ εἰμί. φαίνεσθαι δὲ μή.
τοὺς μὲν θεατὰς εἰδέναι μ' ὃς εἴμ' ἐγώ.
τοὺς δ' αὖ χορευτὰς, ἠλιθίους παρεστάναι.
ὅπως ἂν αὐτοὺς, ῥηματίοις σκιμαλίσω.
εὐ. δώσω. πυκνῇ γὰρ λεπτὰ μηχανᾷ φρενί.
δι. εὐδαιμονοίης. τηλέφῳ δ' ἁγὼ φρονῶ,
εὖγ' οἷον ἤδη ῥηματίων ἐμπίπλαμαι.
ἀτὰρ δέομαι καὶ πτωχικοῦ βακτηρίου.
εὐ. τουτὶ λαβὼν ἄπελθε λαΐνων σταθμῶν
δι. ὦ θυμ' ὁρᾷς γὰρ ὡς ἀπωθοῦμαι δόμων,
πολλῶν δεόμενος σκευαρίων. νῦν δὴ γλισχροῦ.

Ο ὐ σχολή. ἐν ἐκθέσει μονόμετρον ἰαμβικὸν μεθ' ὃ ἐκθέσεις εἰς στίχους ἰαμβικοὺς ἀκαταλήκτους τριμέτρους. Ἀλλ' ἐκκυκλήθητι. εἰ μὴ σχολὴν ἔχεις κατελθεῖν, ἀλλ' ἐκκυκλήθητι. τουτέστι συστράφηθι. ἐκκύκλημα δὲ λέγεται μηχάνημα ξύλινον τροχοὺς ἔχον· ὅπερ περιστρεφόμενον, τὰ δοκοῦντα ἔνδον, ὡς ἐν οἰκίᾳ διαπράττεσθαι, καὶ τοῖς ἔξω ἐδείκνυε. λέγω δὴ τοῖς θεαταῖς. βούλεται δὲ εἰπεῖν, ὅτι καὶ φανερὸς γίνου. διὸ ἐπήνεγκεν· ἀλλ' ἐγκυκλήσομαι. καταβαίνειν δ' οὐ σχολή. Ἀναβάδην ποιεῖς. φαίνεται γὰρ ἐπὶ τῆς σκηνῆς μετέωρος. τὸ δὲ ἀναβάδην ἀντὶ τοῦ ἄνω τοὺς πόδας ἔχων. Τί λέλακας. ἀντὶ τοῦ κέκραγας. λακεῖν γὰρ ἔστι, τὸ ποιεῖν· καὶ ὁ ποιητὴς λάκε δ' ἀσπὶς ὑπ' αὐτῆς. λάκε δ' ὀστέα. καὶ δεινὸν λελακυῖα. τραγικὴ δ' ἡ λέξις. Τὰ ῥάκια. οὕτως αὐτὸν ἐσκωποίησεν ἐν ῥακίοις καθεζόμενον καὶ ποιοῦντα τὰς τραγῳδίας. κωμῳδεῖ οὖν αὐτὸν ὡς πτωχοὺς καὶ ταπεινοὺς εἰσάγοντα τοὺς ἥρωας. Παλαιοῦ δράματος. τηλέφου. ἀμφίβολον δὲ, τὸ παλαιὸν πῶς ἔφη. δηλοῖ γὰρ καὶ τὸ πρὸ πολλοῦ χρόνου, παρ' ὁμήρῳ. ἦ ῥά νύ μοι ξεῖνος πατρώιος ἐσσί. παλαιὸν δὲ καὶ τὸ διερρυηκὸς ὡς τὸ πολλαὶ ἐν ἀμφιάλῳ ἰθάκῃ. ἠμὲν νέαι ἠδὲ παλαιαί. Ῥῆσιν μακράν. τὸ μακρὸν οὐκ ἀργῶς αὐτῷ λέλεκται. ἀλλ' ἐπειδὴ καὶ τοὺς ἀγγέλους καὶ τοὺς προλόγους μακρολογοῦντας εἰσάγει εὐριπίδης, πρὸς αὐτὸν ὁ λόγος ἀποτείνεται.

ευ. ἀλλ' οὐ σχολή.
δι. ἀλλ' ἐκκυκλήθητ'. ευ. ἀλλ' ἀδύνατον. δι. ἀλλ' ὅμως.
ευ. ἀλλ' ἐκκυκλήσομαι. καταβαίνειν δ' οὐ σχολή.
δι. εὐριπίδη. ευ. τί λέλακας. δι. ἀναβάδην ποιεῖς
ἐξὸν καταβάδην, οὐκ ἐτὸς χωλοὺς ποιεῖς.
ἀτὰρ τί τὰ ῥάκι' ἐκ τραγῳδίας ἔχεις.
ἐσθῆτ' ἐλεεινήν. οὐκ ἐτὸς χωλοὺς ποιεῖς;
ἀλλ' ἀντιβολῶ πρὸς τῶν γονάτων σ' εὐριπίδη,
δός μοι ῥάκιόν τι τοῦ παλαιοῦ δράματος.
δεῖ γάρ με λελέξαι τῷ χορῷ ῥῆσιν μακράν.
αὕτη δὲ θάνατον ἢν κακῶς λέξω φέρει.
ευ. τὰ ποῖα τρύχη. μῶν ἐν οἷς οἰνεὺς ὁδὶ,
ὁ δύσποτμος γεραιὸς ἠγωνίζετο;
δι. οὐκ οἰνέως ἦν, ἀλλ' ἔτ' ἀθλιωτέρου.
ευ. τὰ τοῦ τυφλοῦ φοίνικος; δι. οὐ φοίνικος οὔ.
ἀλλ' ἕτερος ἦν φοίνικος ἀθλιώτερος.
ευ. ποίας ποτ' ἀνὴρ λακίδας αἰτεῖται πέπλων.
ἀλλ' ἢ φιλοκτήτου τὰ τοῦ πτωχοῦ λέγεις;
δι. οὔκ. ἀλλὰ τούτου πολὺ πολὺ πτωχιστέρου.

Τ ὰ ποῖα τρύχη. γέγραπται τῷ εὐριπίδῃ δρᾶμα οἰνεύς. μετὰ δὲ τὸν θάνατον τυδέως, καὶ ἐπιστρατεῦσιν διομήδους κατὰ θηβαίων, ἀφῃρέθη τὴν βασιλείαν οἰνεὺς ὑπὸ τῶν ἀγρίου παίδων. καὶ περιῄει ταπεινός. ἄχρις οὗ ἐπανελθὼν διομήδης, ἄγριον μὲν ἀνεῖλε, τὴν βασιλείαν δὲ οἰνεῖ παρέδωκε. τρύχη δὲ τὰ ῥάκη τραγικῶς.

Τ ὰ τοῦ τυφλοῦ φοίνικος. φοίνικα λέγει τὸν ἀμύντορος. λακίδας δὲ, τὰ διερρωγότα ἱμάτια. Φιλοκτήτου. εἰσήγαγε γὰρ τὸν φιλοκτήτην ἐν τῇ λήμνῳ πεινώμενον. Πτωχιστέρου. συνήθως αὐτὸ παρεσχημάτισεν ὡς γὰρ λαλίστερον, καὶ ψευδιδέστερον οὕτω καὶ πτωχίστερον.

Τὰς σισύφου. δριμύν τινα καὶ πανοῦργον παραδεδώκασιν οἱ ποιηταὶ τὸν σίσυφον. διὰ μιᾶς λέξεως παρ' ὁμήρου δεδιδαγμένοι. σίσυφος ὃς κέρδιστος ἐπιχθονίων γένετ' ἀνδρῶν. Καί μοι βαδιστέ' ἐστὶν. μεταβολὴ γέγονεν ὡς ἐπὶ τὴν οἰκίαν εὐριπίδου. βαδιστέα δὲ ἀντὶ τοῦ βαδιστέον. τὰ δὲ τοιαῦτα σχηματίζουσι καὶ πληθυντικῶς λεγόμενα. καὶ ἐν τῷ αὐτῷ. συνετώτερα ἐστί σοι καὶ τὴν τρύγα. ἀντὶ τοῦ συνετώτερον. καὶ θουκυδίδης πολεμιστέα τοῖς ἀθηναίοις εἶναι. Τίς οὗτος. τοῦ δικαιοπόλιδος κρούσαντος τὴν θύραν, κηφισοφῶν ὑπακούει.

εἶτ' ἐξαλοῖ γε μηχανὰς τὰς σισύφου.
ὡς σκῆψιν αὖ ἀγὼν οὗτος οὐκ ἐσδέξεται.
δι. ὥρα 'στὶν ἤδη καρτερὰν ψυχὴν λαβεῖν.
καί μοι βαδιστέ' ἐστὶν ὡς εὐριπίδην.
παῖ παῖ. κη. τίς οὗτος. δι. ἔνδον ἔστ' εὐριπίδης;
κη. οὐκ ἔνδον ἔνδον ἐστὶν, εἰ γνώμην ἔχεις.
δι. πῶς ἔνδον εἶτ' οὐκ ἔνδον. κη. ὀρθῶς ὦ γέρον.
ὁ νοῦς μὲν ἔξω συλλέγων ἐπύλλια,
οὐκ ἔνδον. αὐτὸς δ' ἔνδον ἀναβάδην ποιεῖ
τραγῳδίαν. δι. ὦ τρισμακάρι' εὐριπίδη.
ὅθ' ὁ δοῦλος οὑτωσὶ σοφῶς ἀπεκρίνατο.
ἐκκάλεσον αὐτόν. κη. ἀλλ' ἀδύνατον. δι. ἀλλ' ὅμως.
οὐ γὰρ ἂν ἀπέλθοιμ' ἀλλὰ κόψω τὴν θύραν
εὐριπίδη. εὐριπίδιον.
ὑπάκουσον εἴπερ πώποτ' ἀνθρώπων τινὶ
δικαιόπολις καλεῖ σε. χολλίδης ἐγώ.

Οὐκ ἔνδον. οἰκείως ἐξομοιοῖ τὸν οἰκέτην τῷ δεσπότῃ. διὰ δὲ τοῦ δοκοῦντος ἐπαίνου διαβάλλει τὸν εὐριπίδην, ὅτι δεινοὺς ἀποδείκνυσι τοὺς δούλους καὶ ἐν ταῖς τραγῳδίαις. τὸ δὲ εἰ γνώμην ἔχεις. ἀντὶ τοῦ εἰ φρόνιμος εἶ καὶ συνετός. Ὁ νοῦς μὲν ἔξω συλλέγων. σκώπτει πάλιν τὸν εὐριπίδην. διὰ τὸ ἐν τοῖς λόγοις εἶναι συλλογιστικόν. καὶ, νῦν αὖ λέγῃ, τὸ ἐναντίον πάλιν κατασκευάζοντα. οἷον ἡ γλῶσσ' ὀμώμοχ'. ἡ δὲ φρὴν ἀνώμοτος. οἷον αὐτὸς μὲν ἔνδον ἐστὶν, ὁ δὲ νοῦς αὐτοῦ συλλογίζεται τῶν ἔξω τι καὶ μετεωρίζεται. παρατηρητέον δὲ, ὅτι ὁ εὐριπίδης ἐνταῦθα νοεῖται τὸ, αὐτός. ἐπύλλια δὲ ἰαμβεῖα. Ἄλλως. ὁμηρικῶς. ὁ γὰρ ποιητὴς διώρισε τὰς ψυχὰς πρὸς τὰ σώματα εἰπών. πολλὰς δ' ἰφθίμους ψυχὰς ἄϊδι προΐαψεν ἡρώων αὐτοὺς δ' ἑλώρια τεῦχε κύνεσσιν. οὕτω καὶ ὁ ἀριστοφάνης. εἶπε γὰρ ὁ νοῦς μὲν ἔξω, αὐτὸς δὲ ἔνδον. τὸ δὲ ἀναβάδην, ἐπὶ ὑψηλοῦ τόπου καθήμενος. κακοσχόλως δὲ εἶπε. τρυγῳδίαν δὲ εἶπεν, ἀντὶ τοῦ κωμῳδίαν. διὰ τὸ τοῖς νικῶσι κωμικοῖς τρύγα δίδοσθαι. τουτέστι νέον οἶνον. Ὦ τρισμακάρι. θαυμάζων τὸν κηφισοφῶντα ὁ δικαιόπολις ἐφ' οἷς εἶπε, τοῦτό φησι. καὶ ὅμηρος. τρισμάκαρες δαναοί. Ὅθ' ὁ δοῦλος οὑτωσί. διὰ τοῦ δοκοῦντος ἐπαίνου διαβάλλει τὸν εὐριπίδην, ὅτι δεινοὺς εἰσάγει τοὺς δούλους ἐν ταῖς τραγῳδίαις. Εὐριπίδιον. ἐρωτικὰς μιμεῖται φωνάς. οἱ γὰρ ἐρῶντες εἰώθασι τοὺς ἐρωμένους ἐρωτικῶς δι' ὑποκοριστικῶν καλεῖν. Χολλίδης ἐγώ. δῆμος τῆς αἰγηΐδος φυλῆς. ἢ παίζει διὰ τὸ χωλοὺς εἰσάγειν.

Ἀνήρ. ἀλαζών. διαβάλλει τοὺς ῥήτορας. Ἀπεμπολώμενοι. πιπρασκόμενοι διὰ τῆς κολακείας. τοῦτο δέ φησι, διὰ τὸ εὐχερῶς πείθεσθαι τοῖς ῥήτορσι τοὺς ἀθηναίους, ἀπατᾶσθαι αὐτούς. Τῶν τ' αὖ γερόντων οἶδα. τῆς τε γερόντων φιλοδικίας. καὶ τῆς περὶ τὸ καταγινώσκειν ἑτοιμότητος ὅλον. Ψηφοδακεῖν. οἷον καταδικάζειν, πανταχοῦ ὡς φιλοδίκους καὶ πρὸς τὸ καταδικάζειν ἑτοίμους, τοὺς ἀθηναίους κωμῳδεῖ. Αὐτός τ' ἐμαυτόν. ὡς ἀπὸ τοῦ προσώπου τοῦ ποιητοῦ ὁ λόγος οὗτος.

κἀνταῦθα λανθάνουσ' ἀπεμπολώμενοι.
τῶν τ' αὖ γερόντων οἶδα τὰς ψυχάς, ὅτι
οὐδὲν βλέπουσιν ἄλλο, πλὴν ψηφοδακεῖν.
Αὐτός τ' ἐμαυτὸν ὑπὸ κλέωνος ἅπαθον,
Ἐπίσταμαι, διὰ τὴν πέρυσι κωμῳδίαν.
εἰσελκύσας γάρ μ' εἰς τὸ βουλευτήριον
διέβαλλε. καὶ ψευδῆ κατεγλώττιζέ μου.
κἀκυκλοβόρει. κἄπλυνεν. ὥστ' ὀλίγου πάνυ
ἀπωλόμην. μολυνοπραγμονούμενος.
νῦν οὖν με πρῶτον πρὶν λέγειν ἐάσατε.
ἐνσκευάσασθαί μ' οἷον ἀθλιώτατον.

ΑΝΤΙΣΤΡΟΦΗ ΚΩΛΩΝ, Η.

Χο. Τί ταῦτα στρέφει, τεχνάζει τε.
καὶ πορίζεις τριβάς.
λαβὲ δ' ἐμοῦ γ' εἵνεκα
παρ' ἱερωνύμου.
σκοτοδασυπυκνότριχα
τὴν ἄϊδος κυνῆν.

Διὰ τὴν πέρυσι κωμῳδίαν. τοὺς βαβυλωνίους. τούτους γὰρ πρὸ τῶν ἀχαρνέων ἀριστοφάνης ἐδίδαξεν, οἷς πολλοὺς κακῶς εἶπεν. ἐκωμῴδησε γάρ, τάς τε κληρωτὰς καὶ χειροτονητὰς ἀρχάς. καὶ κλέωνα παρόντων τῶν ξένων. ἔθηκε γὰρ δρᾶμα τοὺς βαβυλωνίους τῇ τῶν διονυσίων ἑορτῇ. ἥτις ἐν τῷ ἔαρι ἐπιτελεῖται. ἐν ᾧ ἔφερον τοὺς φόρους οἱ σύμμαχοι. καὶ διὰ τοῦτο ὀργισθεὶς ὁ κλέων, ἐγράψατο αὐτὸν ἀδικίας εἰς τοὺς πολίτας, ὡς εἰς ὕβριν τοῦ δήμου ταῦτα πεποιηκότα. καὶ ξενίας δὲ αὐτὸν ἐγράψατο καὶ εἰς ἀγῶνα ἐνέβαλεν. τὰ δὲ λήναια ἐν τῷ μετοπώρῳ ἤγετο. ἐν οἷς οὐ παρῆσαν οἱ ξένοι. ὅτε τὸ δρᾶμα τοῦτο οἱ ἀχαρνεῖς ἐδιδάσκετο. Κἀκυκλοβόρει. ἐνταῦθα κατέμιξε τὴν κωμῳδικὴν χάριν καὶ τὰ δικαστικὰ ῥήματα. τὸ μὲν γὰρ διαβάλλειν καὶ λέγειν ψευδῆ καὶ πλύνειν, εἴποι τις ἂν περὶ τὰ δικαστήρια ταῦτα λέγεσθαι. τὸ δὲ κυκλοβορεῖν καὶ καταγλωττίζειν, χαριεντίσματά ἐστι κωμῳδίας. κυκλοβόρος δὲ ποταμὸς ἐν ἀθήναις χείμαρρος ἄγαν ἠχῶν. ὡς ἐν τοῖς εἰς τοὺς ἱππέας εἴρηται. Ἐνσκευάσασθαί με. ἀντὶ τοῦ πτωχικὴν στολὴν λαβεῖν ἐσθῆτα ὡς ἀπὸ τοῦ σχήματος, ἐλεεινότατον καὶ ἀθλιώτατον εἶναί με δοκεῖν. τὰ γὰρ σεμνὰ τῶν σχημάτων, καὶ φθόνον ἐπάγει. Τί ταῦτα στρέφει. ἀντὶ τοῦ τεχνάζῃ μεταβάλλῃ. καὶ μετὰ τέχνης καὶ ποικιλίας προσέρχῃ. Παρ' ἱερωνύμου. οὗτος ὁ ἱερώνυμος, μελῶν ἦν ποιητής. καὶ τραγῳδοποιὸς ἀνώμαλος καὶ ἀνοικονόμητος. διὰ δ' ἄγαν ἐμπαθεῖς γράφειν ὑποθέσεις. καὶ φοβεροῖς προσωπείοις χρῆσθαι. ἐδόκει δὲ κροτεῖσθαι. ἐκωμῳδεῖτο δὲ ὡς πάνυ κομῶν. διόπερ ἄϊδος κυνῆν ἔφη αὐτόν, παίξας κωμικῶς τὸν κουριῶντα.

ἀντὶ τοῦ ὠμόν. σκληρόν. μεταφορικῶς ἀπὸ τῶν ὀμφάκων. οὔπω δὲ αἱ σταφυλαὶ διερ μείνουσαι, καὶ οὔπω πέπειροι. ἐκ γὰρ τοῦ ἐναντίου. πέπειρον γὰρ τὸ ἥμερον καὶ ἡδύ. θηλυκῶς δὲ καὶ τοὺς ὄμφακας λέγει. ἔχεις παρὰ Πλάτωνι, τῷ κωμικῷ ἐν δράματι ἑορταῖς. καὶ τὰς ὀφρῦς χάσασθε καὶ τὰς ὄμφακας. Μηδὲν ἴσον ἴσῳ. ἀντὶ τοῦ δίκαιον καὶ ὀξίσου. ἀπὸ μεταφορᾶς τοῦ κιρναμένου οἴνου πρὸς ὕδωρ ἴσον. λέγει δὲ κατ' ἴσον εἰπεῖν τε καὶ ἀκοῦσαι. Ἐμοῦ θέλοντος. τὸ ἑξῆς οὕτως. ἐμοῦ θέλοντος ὑπὲρ ἐπιξήνου λέγειν πάντα ὅσ' ἂν λέγω ὑπὲρ λακεδαιμονίων. Τί οὖν λέγεις. διπλῆ καὶ εἴσθεσις εἰς περίοδον τοῦ χορικοῦ πεντάκωλον δοχμίων. ὧν διπλῶν μὲν τῶν δύο πρώτων. ἁπλῶν δὲ τριῶν τῶν λοιπῶν. Ἄλλως. εἴσθεσις χοροῦ προῳδικὴ στροφῆς λόγον ἔχουσα. ἔχει γὰρ καὶ ἀντίστροφον τὴν τί ταῦτα στρέφεις. καὶ ἔστιν ἐκ κώλων παιωνικῶν ἓξ. ἐπιμεμιγμένων κρητικοῖς καὶ βακχείοις. ὧν τὸ πρῶτον τρίμετρον καταληκτικὸν ἐκ βακχείων. τὸ δεύτερον δίμετρον ἀκατάληκτον ἐκ κρητικῶν. τὸ τρίτον δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές. τὸ τέταρτον ἡμιόλιον ἤτοι δίμετρον βραχυκατάληκτον. τὸ πέμπτον δίμετρον καταληκτικόν. ἐκ βακχείου. τὸ ἕκτον ἡμιόλιον ὅμοιον τῷ τετάρτῳ. ἐν ἐκθέσει δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι β' ὅμοιοι τοῖς ἑξῆς ιθ'. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλῆ ἔσω νενευκυῖα. Ἀλλ' ᾗπερ. τὸ ᾗπερ, ἀντὶ τοῦ ὥσπερ καθάπερ.

Ἐθέλειν τ' ἀκοῦσαι μηδὲν ἴσον ἴσῳ φέρον.
ἐμοῦ θέλοντος ὑπὲρ ἐπιξήνου λέγειν,
ὑπὲρ λακεδαιμονίων ἅπανθ' ὅσ' ἂν λέγω.
καίτοι φιλῶ γε τὴν ἐμὴν ψυχὴν ἐγώ.

ΣΤΡΟΦΗ' ΚΩΛΩΝ. Η'.

χο. Τί οὖν οὐ λέγεις τοὐπίξηνον.
ἐξενεγκὼν θύραζ'
ὅ τι ποτ' ὦ σχέτλιε,
τὸ μέγα τοῦτ' ἔχεις.
πόθος γὰρ πάνυ με
ὅ,τι φρονεῖς ἔχει. *φρονεῖς*
ἀλλ' ᾗπερ αὐτὸς τὴν δίκην διωρίσω.
θεὶς δεῦρο τοὐπίξηνον, ἐγχείρει λέγειν.

ΣΥΣΤΗΜΑ ΚΑΤΑ' ΠΕΡΙΚΟΠΗ'Ν.

δι. ἰδοὺ θεᾶσθε. τὸ μὲν ἐπίξηνον, τοδὶ
ὁ δ' ἀνὴρ ὁ λέξων οὑτοσὶ, τυννουτοσί.
ἀμέλει. μὰ τὸν Δί' οὐκ ἐνασπιδώσομαι.
λέξω δ' ὑπὲρ λακεδαιμονίων ἅ μοι δοκεῖ.
καίτοι δέδοικα πολλά. τούς τε γὰρ τρόπους
τοὺς τῶν ἀγροίκων οἶδα χαίροντας σφόδρα,
ἐάν τις αὐτοὺς εὐλογῇ καὶ τὴν πόλιν.
ἀνὴρ ἀλαζὼν καὶ δίκαια κἄδικα.

Ἰδοὺ θεᾶσθε. ἀφ' ἑαυτοῦ ταῦτα ὁ δικαιόπολις λέγει. διὰ τῶν λελεγμένων ὁ κωμικὸς ἡμᾶς παιδεύει, ὡς χρὴ τοὺς λέγοντας οὐκ ἀπὸ τοῦ μεγέθους τῶν σκωμμάτων σκοπεῖν, ἀλλ' ἐπ' ἐκεῖνα ἀφ' ὧν λέγειν ἔμελλον. τὸ δὲ τυννουτοσί, δεικνὺς τὸν δάκτυλον τὸν μικρὸν λέγει. Οὐκ ἐνασπιδώσομαι. ἀντὶ τοῦ οὐ καθοπλίσομαι. οὐκ ἀσπίδι περιβαλοῦμαι σεμνυνόμενος. ἢ σκεπασθήσομαι. ἐπειδὴ βραχύς εἰμι. βούλεται δὲ εἰπεῖν, ὅτι οὐ παρασκευάσομαι ἐπὶ πολύ.

τῆς πρὸ αὐτῆς, οὐ προδώσω ποτέ. τοῖς δὲ ὀρχησταῖς τῇ στροφῇ γίνεται. Ἀλλὰ νῦν λέγ᾽ εἴποι ἂν τρέχουσιν αὐτῷ λέγειν μόνον ἵνα ἀφῇ τὸν λάρκον. Ὅτι τῷ τρόπῳ σοῦ 'στιν. ἀντὶ τοῦ εἰπὲ καὶ ὅτι τῷ τρόπῳ σου λακεδαιμόνιός ἐστί σοι φίλος. ἢ οὕτως. εἰπέ τι σου τῷ τρόπῳ φίλον ἐστὶ τῶν λακεδαιμονίων. τὸ δὲ ἑνικὸν, ἀντὶ τοῦ πληθυντικοῦ προήνεγκατο. ἀντὶ τοῦ τῶν λακεδαιμονίων. ὅμοιον καὶ παρὰ τῷ ῥήτορι ἐν τῷ πρώτῳ τῶν φιλιππικῶν. ἀλλὰ μὴν τόν γε παίονα καὶ ἰλλυριόν. Ἐξεράσατε. ἀντὶ τοῦ ἐκκενώσατε. ἐκβάλλετε. ἀπορρίψατε. πεποίηται δὲ ἡ λέξις. ἀπὸ τῆς ἔρας τουτέστι τῆς γῆς. Οὑτοιί σοι χαμαί. κωμῳδεῖ καὶ διασύρει τοὺς ἀθηναίους, ὡς καὶ ταχέως θυμουμένους καὶ ταχέως παυομένους. Ἀλλὰ κατάθου τὸ βέλος. σημειωτέον ὅτι ἐπὶ ξίφους τὸ βέλος τέθεικε. καὶ ὅμηρος. πᾶν τὸ βαλλόμενον. Ἐγκάθηνταί που λίθοι. ἐγκεκρυμμένοι εἰσίν. οἱ γὰρ κρυπτόμενοι ὑποκάθηνται. Ἐκσέσεισται. ὁ κόλπος. ἢ ὁ τρίβων. Ὡς ὅδε γε σειστός. χορεύουσιν ἅμα καὶ κόρδακα ἐνδείκνυνται. τὸ λεγόμενον οὕτως ἐπὶ τῆς κωμικῆς ὀρχήσεως. ἀναστρεφόμενοι δὲ, ἀποτινάσσουσι τοὺς χιτῶνας. καὶ ἀποδεικνύντες ὡς μηδένα τῶν λίθων ἀποκεκρυμμένον ἔχουσι. λέγεται δὲ στροφὴ, τῶν κώλων τὸ σύστημα. γράφεται καὶ στρόφιγγι. Ἐμέλλετ᾽ ἄρα. ἠθικώτατα καὶ ἥδιστα πρὸς τοὺς ἐν τῷ λάρκῳ ἄνθρακας διαλέγεται. λέγων ὅτι ἐμέλλετε μετὰ βοῆς ἀνασείειν. ὡς τῆς τοῦ λάρκου ῥήξεως μετὰ βοῆς μελλούσης γίνεσθαι. Ἐμέλλετ᾽ ἄρα πάντες. ὑφ᾽ ὃ διπλῆ καὶ ἐν εἰσθέσει στίχοι ἰαμβικοὶ ια. Ἄνθρακες παρνάσιοι. ἀντὶ τοῦ μεγάλοι. πάρνης γὰρ ὄρος τῆς ἀττικῆς χορηγίαν ἔχον πολλῶν ξύλων. ἔπαιξεν δὲ παρνασίοις εἰπὼν, ὡς ἀπὸ τοῦ παρνασοῦ τὴν λέξιν παραγαγών. ἵνα ὑποδηλώσῃ τοὺς ἱερούς. ὁ γὰρ παρνασὸς, ὄρος φωκίας ἐστὶ ἱερὸν ἀπόλλωνος καὶ διονύσου. Παρνάσιοι. ἀντὶ τοῦ μεγάλοι. τὸν γὰρ παρνασὸν ἐπὶ τοῦ μεγάλου ἔταξαν. οἱ δὲ τοὺς ἀπὸ πάρνηθος τοῦ ὄρους τῆς ἀττικῆς ἄνθρακας. Ὑπὸ τοῦ δέους τῆς μαρίλης. ἡ ἐξ ἀνθράκων τέφρα, μαρίλη λέγεται. μαρίλης οὖν, ἀντὶ τοῦ τῆς ἀπὸ τῶν ἀνθράκων σποδιᾶς, ἐπαφῆκεν ὁ λάρκος ὑπὸ ἀγωνίας, ὥσπερ ἡ σηπία τὸ μέλαν. θηρώμεναι γὰρ αἱ σηπίαι, ἐπαφιᾶσιν ἐκ τοῦ προσόντος αὐταῖς μέλανος, παραπέμπειν θέλουσαι τὸν περὶ αὐταῖς τόπον ἵνα μὴ καταφανεῖς ὦσι τοῖς θηρῶσιν. Ὀμφακίαν.

δαιμόνιον αὐτὸν, ὅτι τῷ τρόπῳ σοῦ 'στὶ φίλον.
ὡς τόδε τὸ λαρκίδιον οὐ προδώσω ποτέ.
Δι. τοὺς νῦν μοι λίθους χαμᾶζε πρῶτον ἐξεράσατε.
Χο. οὑτοιί σοι χαμαί, καὶ σὺ κατάθου πάλιν τὸ ξίφος.
Δι. ἀλλ᾽ ὅπως μὴ 'ν τοῖς τρίβωσιν ἐγκάθηνταί που λίθοι.
Χο. ἐκσέσεισται χαμᾶζ᾽. οὐχ ὁρᾷς σειόμενον;
ἀλλὰ μή μοι πρόφασιν· ἀλλὰ κατάθου τὸ βέλος.
ὡς ὅδε γε σειστὸς ἅμα τῇ στροφῇ γίνεται.
Δι. ἐμέλλετ᾽ ἄρα πάντες ἀνασείειν βοήν,
ὀλίγου τ᾽ ἀπέθανον ἄνθρακες παρνάσιοι.
καὶ ταῦτα διὰ τὴν ἀτοπίαν τῶν δημοτῶν
ὑπὸ τοῦ δέους δὲ τῆς μαρίλης μοι, συχνὴν
ὁ λάρκος ἐνετίλησεν ὥσπερ σηπία.
δεινὸν γὰρ οὕτως ὀμφακίαν πεφυκέναι,
τὸν θυμὸν ἀνδρῶν, ὥστε βάλλειν καὶ βοᾶν

μαρίλη

Θυμάλωψ. ὁ διακεκαυμένος ἀνάβατης· ὁ ἀπολελειμμένος τῆς θύσεως ἄνθραξ ὁ ἡμίκαυτος. ξύλον καὶ ἐν σποδιᾷ. ἢ διακεκαυμένος ἄνθραξ. χαριέντως δὲ εἶπεν. ἐπεὶ ἀνθρακεῖς εἰσιν οἱ ἀχαρνεῖς. ἀντὶ γὰρ τοῦ εἰπεῖν οἵως ὀξὺ καὶ θυμῷ, θυμάλωψ ἐπέζεσεν. Ἀχαρνῆδαι. τὴν ὁμηρικὴν παράφρασιν πολιτικῶς μιμεῖται. ὦ υἷες ἀχαιῶν. ἐν μιᾷ λέξει προεισενεγκάμενος τὸ ὄνομα ὅλον. ὦ ἀχαρνέων παῖδες. Ἀνταποκτενῶ. ταῦτα λέγει τινὸς τῶν ἀχαρνέων ἁρπάσας κόφινον γέροντος, ἐν ᾧ τοὺς ἄνθρακας φέρουσιν. ὃν βούλεσθε ξίφει διαχρήσασθαι. σκώπτει δὲ ἤτοι τοὺς ἀχαρνέας, ὡς ἀνθρακοπώλας. Ὁμήρους. ὅμηρα ἐκάλουν τὰ ἐπὶ συνθήκαις διδόμενα ἐνέχυρα. Ἔνδον εἵρξας. ἀποκλείσας. δασέως δὲ εἵρξας ἀττικοί. τὸ μὲν γὰρ παρ' ὁμήρῳ ἐρχθέντ' ἐν μεγάλῳ ποταμῷ, ψιλῶς. τὸ δὲ εἵρξας δασέως ἀναγνωστέον, ὅταν τὸ πράξας δηλοῖ. ἢ μὲν ἀφ' οὗ ἔρξας ἀπέβησαν διὰ θεάων. τὸ δὲ ἐπὶ τῆς εἱρκτῆς δασέως ἀττικοί.

οἷος αὖ μέλας τις ὑμῖν θυμάλωψ ἐπέζεσεν.

δι. οὐδ' ἀκούσεσθ'; ἀκούσεσθ' ἐτεὸν ὦ 'χαρνῆδαι;

χο. οὐκ ἀκουσόμεσθα δῆτα. δι. δεινά γ' ἄρα πείσομαι.

χο. ἐξολοίμην ἢν ἀκούσω. δι. μηδαμῶς ὦ 'χαρνικοί.

χο. ὡς τεθνήξων ἴσθι νυνί. δι. δήξομαι γ' ἄρ' ὑμᾶς ἐγώ.

ἀνταποκτενῶ γὰρ ὑμῶν τῶν φίλων τοὺς φιλτάτους

ὡς ἔχω γ' ὑμῶν ὁμήρους οὓς ἀποσφάξω λαβών.

χο. εἰπέ μοι, τί τοῦτ' ἀπειλεῖ τοὔπος ἄνδρες δημόται.

τοῖς ἀχαρνικοῖσιν ὑμῶν, μῶν ἔχει του παιδίον

τῶν παρόντων ἔνδον εἵρξας; ἢ 'πὶ τῷ θρασύνεται

δι. βάλλετ' εἰ βούλεσθ'· ἐγὼ γὰρ τουτονὶ διαφθερῶ.

εἴσομαι δ' ὑμῶν τάχ' ὅστις ἀνθράκων τι κήδεται.

χο. ὡς ἀπωλόμεσθ'· ὁ λάρκος δημότης ὅδ' ἔστ' ἐμός.

ἀλλὰ μὴ δράσῃς ὃ μέλλεις· μηδαμῶς ὦ μηδαμῶς

δι. ὡς ἀποκτενῶ κέκραχθ'· ἐγὼ γὰρ οὐκ ἀκούσομαι.

χο. ἀπολεῖς ἄρα τὸν ἥλικα τόνδε φιλανθρακέα.

δι. οὐδ' ἐμοῦ λέγοντος ἀρτίως ἠκούσατε.

χο. ἀλλὰ νῦν λέγ' εἴ σοι δοκεῖ, τόν τε λακε

Εἴσομαι δ' ὑμῶν. ψιάθου ἀνθράκων προενήνοχεν. ὅν φασι παιδία εἶναι τῶν ἀχαρνέων πάνυ κωμικώτατα. τὰ δὲ μεγάλα πάθη, ὑποπαίζει τῆς τραγῳδίας. ἐπεὶ καὶ ὁ τήλεφος κατὰ τὸν τραγῳδοποιὸν αἰσχύλον ἵνα τύχῃ παρὰ τοῖς ἕλλησι σωτηρίας, τὸν ὀρέστην εἶχε συλλαβών. παραπλήσιον δ' ἔτι καὶ ἐν ταῖς θεσμοφοριαζούσαις ἐποίησεν. ὁ γὰρ εὐριπίδου κηδεστὴς μνησίλοχος ἀπειλούμενος παρὰ τῶν γυναικῶν, ἀσκὸν ἁρπάσας παρά τινος γυναικός, ὡς ἂν παιδίον ἀποκτεῖναι βούλεται. τὸ δὲ εἴσομαι ἀντὶ τοῦ γνώσομαι. ὡς καὶ παρ' ὁμήρῳ. εἴσομαι αἴ κέ μ' ὁ τυδείδης κρατερὸς διομήδης. Ὁ λάρκος δημότης. πλέγματι κοφινώδες ἢ ψιαθῶδες. ἐν ᾧ φέρουσι τοὺς ἄνθρακας. Μηδαμῶς ὦ μηδαμῶς. τοῦτο ἀποσιώπησις καλεῖται. ἔχεις καὶ παρὰ δημοσθένει τὸ ὅμοιον. ἀλλ' ὦ τί ἄν σε τίς προσειπὼν ὀρθῶς προσείποι. Ἀπολεῖς ἄρα τὸν ἥλικα. ἤτοι τὸν λάρκον. ἢ ἐμὲ τὸν τοῦ αὐτοῦ ἥλικα διὰ τῆς τοῦ λάρκου σφαγῆς. διπλαῖ δὲ δύο. ἢ ὅτι ἑτέρα ἔπεται δυάς, ἡ ἀντιστρέφουσα τῇ ἀποδεδομένῃ ἧς ἡ ἀρχή, ὡς ἀποκτενῶ κέκραχθε. τέλος δὲ

τῆς πρώτης

Τ ῶν δ' ἐμῶν σπονδῶν. λείπει ἡ περί. οὐ βούλεται γὰρ αὐτοὺς τῶν Λακεδαιμονίων μνημονεύειν, διὰ τὸ ἐνθυμουμένους τὰ ὑπ' αὐτῶν γεγενημένα ὀργίλως καθίστασθαι.

Ο ὔτε πίστις, οὔθ' ὅρκος. ἐπὶ ἀπιστίᾳ γὰρ διεβάλλοντο οἱ Λακεδαιμόνιοι. καὶ Εὐριπίδης ἐν Ἀνδρομάχῃ, Σπάρτης ἔνοικοι, δόλια βουλευτήρια. τρία δὲ ἐγκλήματα παραβάσεως προστέθεικεν αὐτοῖς. αἱ γὰρ συνθῆκαι διὰ τριῶν πληροῦνται· λόγων, ἱερῶν, χειρῶν. λόγων μὲν, οἷον διὰ ὅρκων. ἔργων δὲ, διὰ τῶν ἐν βωμοῖς θυσιῶν. χειρῶν δὲ, ἐπειδὴ αἱ πίστεις διὰ τῶν δεξιῶν γίνονται. καὶ Ὅμηρος. δεξιαὶ ᾗς ἐπέπιθμεν. Οἶδ' ἐγὼ καὶ τοὺς Λάκωνας. παιδευτικῶς καὶ τεθαρρηκότως ἐχρήσατο τῇ ἐπαναλήψει, καὶ οὐ κατέπληξεν. οὐδὲ ηὐλαβήθη ἐν τοσούτοις ὑπὲρ τῶν ἐχθρῶν εἰπών, ὅτι οὐ μόνον οὐκ ἠδίκησαν κατὰ πάντα, ἀλλ' ὅτι καὶ ἐν τοῖς ἀδικηθεῖσι τεθεῖεν ἄν. Ταραξικάρδιον. αὐξήσει κέχρηται εἰπὼν ταραξικάρδιον. ἔστι γὰρ δεινόν, ὃ μὴ οὕτως ἐστὶ δεινόν, ὡς δάκνειν καὶ ταράττειν τὴν καρδίαν. ὅπερ δὲ τῇ καρδίᾳ ταραχὴν ἐμποιήσειεν ἄν, τοῦτο ἀναμφιβόλως δεινότατον νομίζοιτο ἄν. Κἄν γε μὴ λέγω δίκαια. τοῦτο δεινὸν καὶ προσκρουστικόν. ἐπειδὴ οἱ στρατηγοῦντες, καὶ δημαγωγοῦντες, κωλυταὶ τῆς εἰρήνης ἐγίνοντο.

Τῶν δ' ἐμῶν σπονδῶν, ἀκούσατ' εἰ καλῶς ἐσπεισάμην.

Χο. πῶς δέ γ' ἂν καλῶς λέγοις ἄν, εἴπερ ἐσπείσω γ' ἅπαξ.
οἷσιν οὔτε βωμός, οὔτε πίστις, οὔθ' ὅρκος μένει.

Δι. οἶδ' ἐγὼ καὶ τοὺς Λάκωνας οἷς ἄγαν ἐγκείμεθα,
οὐχ ἁπάντων ὄντας ἡμῖν αἰτίους τῶν πραγμάτων.

Χο. οὐχ ἁπάντων ὦ πανοῦργε; ταῦτα δὴ τολμᾷς λέγειν
ἐμφανῶς ἤδη πρὸς ἡμᾶς; εἶτ' ἐγώ σου φείσομαι;

Δι. οὐχ ἁπάντων. οὐχ ἁπάντων ἀλλ' ἐγὼ λέγων ὁδὶ,
πόλλ' ἂν ἀποφήναιμ' ἐκείνους ἔσθ' ἃ κἀδικουμένους.

Χο. τοῦτο τοὔπος, δεινὸν ἤδη καὶ ταραξικάρδιον,
εἰ σὺ τολμήσεις ὑπὲρ τῶν πολεμίων ἡμῖν λέγειν.

Δι. κἄν γε μὴ λέγω δίκαια, μήδε τῷ πλήθει δοκῶ,
ὑπὲρ ἐπιξήνου θελήσω τὴν κεφαλὴν ἔχων, λέγειν.

Χο. εἰπέ μοι τί φειδόμεσθα τῶν λίθων ὦ δημόται,
μὴ οὐ καταξαίνειν τὸν ἄνδρα τοῦτον ἐς φοινικίδα.

Υ ὑπὲρ ἐπιξήνου. ἐπίξηνος καλεῖται ὁ μαγειρικὸς κορμός, ἐφ' οὗ τὰ κρέα συγκόπτουσιν. Μὴ οὐ καταξαίνειν. μὴ οὐχὶ λίθοις αὐτὸν αἱμάξειν, ὥστε φοινικοῦν αὐτοῦ ποιῆσαι τὸ σῶμα. τὸ δὲ καταξαίνειν, ὡς ἐπὶ ἐρίων ἔθηκε. διὸ καὶ φοινικίδα εἶπεν ὡς ἐπὶ ἱματίου. Ἀριστοτέλης δέ φησιν ἐν τῇ Λακεδαιμονίων πολιτείᾳ, χρῆσθαι Λακεδαιμονίους φοινικίδι πρὸς τοὺς πολέμους. τοῦτο μὲν, ὅτι τὸ τῆς χρόας ἀνδρικόν. τοῦτο δὲ ὅτι τὸ τοῦ χρώματος αἱματῶδες τῆς τοῦ αἵματος ῥύσεως, ἐθίζει καταφρονεῖν. τὸ οὖν ἐν φοινικίδι, ἀντὶ τοῦ ἐν τάξει πολεμίων ἀπὸ τοῦ φορήματος δηλῶσαι ἐν ἂν εἰκότως. ἐπεὶ τὸ φοινιχθῆναι αἱμαχθῆναι. δίκην φοινικοβαφοῦς ἐνδύματος. καὶ τὸ ξαίνω ῥῆμα καὶ παρὰ Δημοσθένει κεῖται ἐν τῷ κατ' Αἰσχίνου. περὶ τῆς παραπρεσβείας. εἰπούσῃ; τί καὶ δακρυσάσης ἐκείνης, περιρρήξας τὸν χιτῶνα ὁ οἰκέτης, ξαίνει κατὰ τοῦ νώτου πολλάς.

κέα. τὸ δὲ τῆς δευτέρας, οὔτε ἴσοι χαμαί· ἔπεται δὲ τοῖς δυσὶ κώλοις στίχος τροχαϊκός. ὅδε· ἀντὶ ποίας, αἰτίας. καὶ ἐν εἰσθέσει τὰ λοιπὰ κῶλα ϛ παιωνικὰ δίρρυθμα. Ὦ μιαρὰ κεφαλή· ἐκ τοῦ ἡγεμονικοῦ μέρους τοῦ σώματος, δηλοῖ τὸν ἄνδρα παραπλησίως Ὁμήρῳ· τοίην γὰρ κεφαλήν. καὶ παρὰ Δημοσθένει· ταῦτ᾽ ἔλεγες μιαρὰ κεφαλή. Χώσομεν τοῖς λίθοις. τοιοῦτο καὶ τὸ ὁμηρικόν· λάϊνον ἕσσο χιτῶνα. ἐν ἤθει γὰρ αὐτὸ μετεποίησεν. Ἀλέξανδρος μὲν οὖν ἄξιος ἦν λίθων Λακεδαιμονίας ἐρασθεὶς γυναικός.

χο. σὲ μὲν οὖν καταλεύσομεν ὦ μιαρὰ κεφαλή.
δι. ἀντὶ ποίας αἰτίας ὦ Ἀχαρνέων γεραίτατοι.

ΣΤΡΟΦΗ ΚΩΛΩΝ. ϛ.

Τοῦτ᾽ ἐρωτᾷς; ἀναίσχυντος εἶ καὶ βδελυρὸς
ὦ προδότα τῆς πατρίδος.
ὅστις ἡμῶν μόνος
σπεισάμενος, εἶτα δύνα
σαι πρὸς ἔμ᾽ ἀποβλέπειν.
δι. ἀντὶ δ᾽ ὧν ἐσπεισάμην, οὐκ ἴστε γ᾽· ἀλλ᾽ ἀκούσατε.

ΣΤΡΟΦΗ ΕΓΚΡΑ ΚΩΛΩΝ, Η.

χο. Σοῦ γ᾽ ἀκούσωμεν; ἀπολεῖ
κατά σε χώσομεν τοῖς λίθοις
δι. μηδαμῶς, πρίν γ᾽ ἂν ἀκούσητέ γ᾽, ἀλλ᾽ ἀνάσχεσθ᾽ ὦ ('γαθοί)
χο. οὐκ ἀνασχήσομαι.
μηδὲ λέγε δὴ σὺ λόγον.
ὡς μεμίσηκά σε Κλέ
ωνος ἔτι μᾶλλον. ὃν ἐ
γὼ κατατεμῶ τοῖσιν ἱππεῦσι ποτὶ
ἐς κατύμματα
σοῦ δ᾽ ἐγὼ λόγους λέγοντος οὐκ ἀκούσομαι μακρούς
ὅστις ἐσπείσω Λάκωσιν· ἀλλὰ τιμωρήσομαι.
δι. ὦ 'γαθοί· τοὺς μὲν Λάκωνας ἐκποδὼν ἐάσατε

ἐπὶ συμφορᾷ τῆς πατρίδος· οὗτος δὲ εἰρήνης δρᾷ ἐπ᾽ ἀγαθῷ τῆς πατρίδος. Μηδαμῶς πρίν γ᾽ ἀκούσητε· μεγαλοφρόνως καὶ γενναίως οὐ παραιτεῖται τὸν θάνατον. ἀλλὰ πρῶτον εἰπεῖν ἀξιοῖ καὶ τότε ἀποθανεῖν ἐὰν ᾖ δίκαιον. Οὐκ ἀνασχήσομαι. ὅτι τινὲς τὸ ἀνασχήσομαι, ὡς ἐκ φυλογγομίζουσιν. ἐχρήσατο δὲ αὐτῷ Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους. οὐδ᾽ ἢ οὖν μόνον ἀνέξομαι. Ὃν ἐγὼ κατατεμῶ. ἐνταῦθα πάλιν παρέλκει τὸ ποτὶ διὰ τὴν μετροποιΐαν καὶ ἔτι πρὸς τὴν ἐξήγησιν, οὐ προτετίμηκεν τὸν Κλέωνα Ἀριστοφάνης. ἀλλ᾽ ἀεί· ὡς οὖν ἄνω τὸ νῦν παρέλκει, οὕτως ἐνταῦθα τὸ ποτί. ἔστι γὰρ τοῦ αὐτοῦ μέτρου τὸ κῶλον. κατύματα δέ ἐστι δέρματά τινα ἰσχυρὰ καὶ σκληρὰ ἃ παρὰ τοῖς σανδαλίοις καὶ τοῖς ἄλλοις ὑποδήμασιν ὑποβάλλεται. οἰκεία δὲ ἡ ἀπειλὴ κατὰ τοῦ Κλέωνος βυρσοδέψης γὰρ οὗτος. ὅτι δὲ τοῖς ἱππεῦσιν ἦν τις ἔχθρα πρὸς Κλέωνα, διὰ τῆς ἀρχῆς δεδήλωκε. καὶ φιλῶ τοὺς ἱππέας διὰ τοῦτο τοὔργον. Σοῦ δ᾽ ἐγὼ λόγους λέγοντος. ἔπεται τῇ δυάδι δίστιχον. ὃ τοῖς μέλεσιν ἐξ ἔθους ὑπάγουσιν· ὅπερ ἐστὶ τετράμετρον τροχαϊκὸν καταληκτικόν. οὐ λέγουσι δὲ ὅτι τοὺς μὲν μακροὺς οὐ προήσομαι ἀκούσομαι δὲ τοὺς διὰ συντομίας λεγομένους. ἀλλ᾽ ὅτι πάντως οἱ λόγοι μακροὶ πεφύκασι κρινόμενοι πρὸς πρᾶξιν εἰ πεπρᾶχθαι.

Τὴν στρυμοδώρου θρᾷτταν. ἤτοι κοινῶς δούλην. ἢ οὕτω καλουμένην, τὴν ἐκ θρᾴκης. ὡς τὴν ἀπὸ φρυγίας καὶ παφλαγονίας. φελλεῖς δὲ ἔλεγον ἀττικοὶ τοὺς πετρώδεις τόπους οἵτινες κάτωθεν μέν εἰσι πετρώδεις. ἐπιπολῆς δὲ, ὀλίγην ἔχουσι γῆν. μέμνηται καὶ ἐν νεφέλαις τοῦ φελλέως. οἱ δὲ, ὅτι ὄρος φελλεὺς οὕτω καλούμενον.

Μέσην λαβόντ' ἄραντα. ἐν εἰσθέσει κῶλα τρία ἰσάριθμα. ὧν τὰ δύο ἰαμβικὰ δίμετρα. τὸ δὲ ἕν, μονόμετρον. Καταγιγαρτίσαι. ἀντὶ τοῦ κατὰ τῶν γεωργικῶν γιγάρτων βαλεῖν. καὶ διαμηρίσαι. γεωργικῶς δὲ παίζει. ἢ ὅτι τὸ ῥῆμα πρόσκαιρον ἵνα ἀπὸ τῶν γιγάρτων τὸ μόριον ᾖ πεπλασμένον. οὐ γὰρ πάντως συνουσιάσαι δηλοῖ τὸ καταγιγαρτίσαι. γίγαρτα δὲ τὰ ἐντὸς τῆς σταφυλῆς ἰσαράδι. ἢ ἀντὶ τοῦ συνουσιάσαι. γίγαρτον γὰρ τὸ αἰδοῖον. ἢ καταθλίψαι ἀπὸ μεταφορᾶς τῶν γιγάρτων.

τὴν στρυμοδώρου θρᾷτταν ἐκ τοῦ φελλέως.
μέσην λαβόντ' ἄραντα κατα
βαλόντα, καταγιγαρτίσαι.
φαλῆς φαλῆς.
ἐὰν μεθ' ἡμῶν ξυμπίῃς ἐκ κραιπάλης.
ἕωθεν εἰρήνης ῥοφήσεις τρύβλιον.
Ἡ δ' ἀσπὶς ἐν τῷ φεψάλῳ κρεμήσεται.
Χο. οὗτος αὐτός ἐστιν οὗτος.
βάλλε. βάλλε. βάλλε. βάλλε.
παῖε. παῖε τὸν μιαρόν.
οὐ βαλεῖς οὐ βαλεῖς;
Δι. ἡράκλεις. τουτὶ τί ἐστι τὴν χύτραν συντρίψετε;

Ἐκ κραιπάλης, ἡ ἐξ ἑωθινοῦ μέθη, κραιπάλη καλεῖται. ἢ ἀπὸ χθιζῆς οἰνοποσίας. Ἐν τῷ φεψάλῳ. ἐν τῷ καπνῷ. φέψαλοι γάρ εἰσιν οἱ σπινθῆρες ὡς καλλίας δηλοῖ. ἀλλ' οὐδὲ μὴ χῶ καταλέλειπται φέψαλυξ. καὶ παρὰ ἀρχιλόχῳ κεῖται. πυρὸς δὲ ἦν αὐτῷ φέψαλυξ. διὰ δὲ τὸ μὴ δεῖσθαι ἀσπίδος εἰρήνης γενομένης, ἔφη ἐν φεψάλῳ κρεμήσεται ἡ ἀσπίς. παρὰ τὸ ἡσιόδειον. ἔνθα κα πηδάλιον μὲν ὑπὲρ καπνοῦ καταθεῖο. καὶ τί δεῖ περὶ ἀσπίδος καὶ πηδαλίου λέγειν. ὅπου γε καὶ περὶ ἀχρήστων βουλευμάτων ταύτην ἐξήνεγκε τὴν γνώμην ὁ ποιητὴς εἰπών. ἐν πυρὶ δὲ βουλαί τε γενοίατο μήδεά τ' ἀνδρῶν. περὶ δὲ ὅπλων ἐπιμελείας, ἀξιουμένων. τοὐναντίον ἔθηκεν. ἐκ καπνοῦ κατέθηκ' ἐπεὶ οὐκέτι τοῖσιν ἐῴκει. Ἡράκλεις. βαλλόμενος λίθοις ὑπὸ τοῦ χοροῦ ὁ δικαιόπολις, ὡς ἀλεξίκακον τὸν ἡρακλέα καλεῖ. παίζει δὲ κινεῖ γέλωτα. τῆς μὲν κεφαλῆς αὐτοῦ ἀφροντιστῶν. τῆς δὲ χύτρας προνοούμενος ἐν ᾗ τὸ ἔτνος ἦν. τὸ δὲ συντρίβειν, καὶ μένανδρος κέχρηται ἐν λευκαδίᾳ καὶ ἐν ἀσπίδι. ἔχων τὴν ἀσπίδα ἔκειτο σὺν τετριμμένην. σχετλιαστικὴ δὲ καὶ ἡ τοῦ ἡράκλεις φωνή. οὗτος γὰρ ὁ θεὸς εἰς ἐπικουρίαν ἐκαλεῖτο ὡς ἀλεξίκακος τοῖς δεινὰ πάσχουσιν. Ἡράκλεις. διπλῆ εἶτα ἕπεται δυὰς μονοστροφική. ἀμοιβαία τὰς περιόδους ἔχουσα δεκακώλους ἐκ στίχων δύο τροχαϊκῶν τριμέτρων καταληκτικῶν. καὶ κώλων η. ὧν τοὺς μὲν στίχους ὁ ὑποκριτὴς λέγει. τὰ δὲ κῶλα ὁ χορός. πρῶτος τοίνυν ἐστὶν ἐν ἐκθέσει κατὰ τὸ ἴσον τοῖς χορικοῖς. ἃ ποιεῖ δοχμίων συζυγίαν καὶ παίωνα τρεῖς. καὶ διαίρεσιν. τῷ δὲ δικώλῳ τούτῳ, τὸ μὲν πρῶτον ἐστὶν, ἀπολεῖς ἄρα τὸν ἥλικα τόνδε φιλαιθρα-

Ὀρθὸς ἑκτέος. ὑμῖν δ' ἐστὶν ὁ φαλλὸς κατασχετέος βασταχτέος ἐπὶ τοῖς ὤμοις τῇ κανηφόρῳ ἅμα. δὲ καὶ πρὸς τὸ κακέμφατον ἐστὶν ὁ φαλλός. τὸ πρὸς μίμησιν τοῦ αἰδοίου. καὶ τοῦτο δὲ παίζει κωμικῶς λέγων· τὸν φαλλὸν ὀρθὸν κατέχειν ὄπισθεν τῆς παρθένου. Ἄσομαι τὸ φαλλικόν. ᾄσματα λέγονται φαλλικά, τὰ ἐπὶ τῷ φαλλῷ ᾀδόμενα μέλη. ἔστι δὲ εἰς Διόνυσον ἢ εἰς ἄλλον καρπόν. Φαλῆς ἑταῖρε. δι' ἣν καὶ μέλος. οὗ ἡγεῖται περίοδος ἡ περὶ κωμικὴ κώλων ιζ' τοῦ ὑποκριτοῦ. ἧς πρῶτα μὲν εἴπομεν ἐν εἰσθέσει

Δι. ὦ Ξανθία, σφῷν δ' ἐστὶν ὀρθὸς ἑκτέος
ὁ φαλλὸς ἐξόπισθε τῆς κανηφόρου.
ἐγὼ δ' ἀκολουθῶν, ᾄσομαι τὸ φαλλικόν.
σὺ δ' ὦ γύναι θεῶ μ' ἀπὸ τοῦ τέγους. πρόβα.
Φαλῆς, ἑταῖρε Βακχίου
ξύγκωμε, νυκτοπεριπλάνητε
μοιχέ, παιδεραστά.
ἕκτῳ σ' ἔτει προσεῖπον ἐς
τὸν δῆμον ἐλθὼν ἄσμενος
σπονδὰς ποιησάμενος ἐμαυ-
τῷ πραγμάτων τε καὶ μαχῶν
καὶ Λαμάχων ἀπαλλαγείς.
πολλῷ γάρ ἐστιν ἥδιον, ὦ Φαλῆς Φαλῆς.
κλέπτουσαν εὑρόνθ' ὡρικὴν ὑληφόρον

ἰαμβικὰ δίμετρα ἀκατάληκτα μὲν ιβ'. τὸ δὲ ιγ' καταληκτικόν. τὰ δὲ ἄλλα ε', καταληκτικά. περισπωμένως δὲ τὸ φαλῆς ἀναγνωστέον ὡς ἑρμῆς. οὕτω γὰρ Ἀττικοί, παρὰ Δωριεῦσι δὲ βαρυτόνως ὁ δ' αὖ φάλης κατακυπάξει. οὕτω Σώφρων ἐχρήσατο. ὡς καὶ ὁ Ὅμηρος ἥρμοσε κατὰ μῖξιν τῇ φυγῇ καὶ ἑταίραν αὐτῆς ἔφησεν εἶναι θεσπεσίη ἔχε φύζα εἰπὼν φόβου κρυόεντος ἑταίρη. οὕτω καὶ ὁ κωμικὸς ἐκεῖθεν λαβὼν τὰς ἀφορμάς, Διονύσου τὸν φαλλὸν ἑταῖρον εἶναί φησιν. ἀκόλουθα γὰρ Διονυσιακῷ πότῳ τὰ ἀφροδίσια. μαρτυρεῖ δὲ ἡμῖν καὶ Εὐριπίδης. ὁ δ' ἡδὺς ἡδύς, εἴς τι βακχεῖον πεσών. Νυκτοπεριπλάνητε. οἰκείας ἐντίθησι φωνὰς ψυχῇ ἀεὶ μεθύῃ καὶ ἤδη μεθυούσῃ. ἡδίστην δὲ τὴν σύνθεσιν τὴν τοῦ νυκτοπεριπλάνητε, ἡ περὶ πρόθεσις εἰργάσατο. Μοιχέ. διὰ τὸ τοὺς μεθύοντας γίνεσθαι περὶ τὰ ἀφροδίσια. δεῖ δὲ νοεῖν, ὅτι ταῦτα οὐχ ὡς ἐν βλασφημίᾳ λέγεται τὸ μοιχὲ καὶ παιδεραστά. ἀλλὰ πρὸς διάχυσιν καὶ ἱλαρότητα τοῦ φαλλοῦ. ὡς καὶ παρ' Ὁμήρῳ πρὸς διάθεσιν ψυχῆς ἄρες ἄρες βροτολοιγέ. Ἕκτῳ σ' ἔτει προσεῖπον. ἕκτον γὰρ ἦν λοιπὸν ἔτος, ἀφ' οὗ ὁ πόλεμος Ἀθηναίοις πρὸς Πελοποννησίους συνέστη. δῆμον δὲ ἔφη τὴν κώμην. οὐχ ὡς παρ' Ὁμήρῳ δήμου Ἐρεχθῆος. Καὶ Λαμάχων. ὁ Λάμαχος οὗτος Ἀθηναίων στρατηγὸς υἱὸς Ξενοφάνους. ὃν ὅτε εἰς Σικελίαν ἔπλεον οἱ Ἀθηναῖοι ἐχειροτόνησαν. ἦν δὲ μετὰ Ἀλκιβιάδου καὶ Νικίου ὡς ἱστορεῖ Θουκυδίδης ς'. ἦν δὲ φιλοπόλεμος οὗτος. Ὡρικὴν ὑληφόρον. ἀντὶ τοῦ ὡραίαν καὶ ἀκμαίαν. ὥρα γὰρ ἡ ἀκμή. καὶ ὡραῖον φασὶν οἱ τραγικοὶ τὸ ἀκμαῖον. κοινὰ δὲ τὰ τοιαῦτα ὀνόματα. ὡρικὸν δὲ μειράκιον καὶ κόρη. ὡς ἐν Δαιταλεῦσιν αὐτός. ἡ δὲ λέξις ἀπόδεκτος.

γαλεείας καὶ τέχνης, ἀπέστειλαν θεωροὶ μετὰ σπουδῆς. οἳ δὴ ἐπανελθόντες, ἔφασαν ἴασιν εἶναι μόνην ταύτην, εἰ διὰ πάσης τιμῆς ἄγοιεν τὸν θεόν. πεισθέντες οὖν τοῖς ἠγγελμένοις οἱ ἀθηναῖοι, φαλλοὺς ἰδίᾳ τε καὶ δημοσίᾳ κατεσκεύασαν. καὶ τούτοις ἐγέραιρον τὸν θεὸν, ὑπόμνημα ποιούμενοι τοῦ πάθους. ἴσως δὲ, καὶ ὅτι παίδων γενέσεως, αἴτιος ὁ θεός. ἡδονὴν γὰρ καὶ ἀφροδίσια μέθη ἐξανίστησι. τοιγαροῦν καὶ ὁ λάϊος ἐκδοὺς ἑαυτὸν μέθῃ, εἴς τε βακχεῖον πεσὼν, ἐφύτευσε παῖδα. φαλλὸς δὲ, τὸ πέος.

ΘΥ. ὦ μῆτερ, ἀνάδος δεῦρο τὴν ἐτνήρυσιν.
ἵν' ἔτνος καταχέω τοὐλατῆρος τουτουΐ.
ΔΙ. καὶ μὴν καλόν γ' ἔστ'. ὦ διόνυσε δέσποτα,
κεχαρισμένως σοι τήνδε τὴν πομπὴν ἐμὲ
πέμψαντα καὶ θύσαντα μετὰ τῶν οἰκετῶν,
ἀγαγεῖν τυχηρῶς τὰ κατ' ἀγροὺς διονύσια.
στρατιᾶς ἀπαλλαχθέντα. τὰς σπονδὰς δέ μοι
καλῶς ξυνενεγκεῖν τὰς τριακοντούτιδας.
ΜΗ. ἄγ' ὦ θύγατερ ὅπως τὸ κανοῦν καλὴ καλῶς
οἴσεις, βλέπουσα θυμβροφάγον. ὡς μακάριος
ὅστις σ' ὀπύσει κἀκποιήσεται γαλᾶς,
σοῦ μηδὲν ἧττον βδεῖν, ἐπειδὰν ὄρθρος ᾖ
πρόβαινε κἀν τὤχλῳ φυλάττεσθαι σφόδρα.
μή τις λαθών σου περιτράγῃ τὰ χρυσία

παίζει δὲ πρὸς τὸν οἰκέτην. ξανθίας γὰρ οἰκετικὸν ὄνομα. κέχρηται δὲ αὐτῷ καὶ ἐν βατράχοις. ὁ ξανθίας τοῦ ξανθίας. εἰσὶ δὲ καὶ ἐν τῇ κωμῳδίᾳ οἰκέται. ξανθίας. τίβιος. σωσίας. δᾶος. γέτας. Τὴν ἐτνήρυσιν. τὴν ζωμάρυστρον. ἐν ᾗ τὸ ἔτνος ἀρύονται. καθάριον δ' ὡς ὑπερβολὴν τὸ ὄνομα. ἔστι δὲ καὶ τοῦτο ἀστεῖον καὶ τῷ παιδευομένῳ ἁρμόζον, μὴ δὲ τῶν κατὰ τὴν οἰκίαν σκευῶν τῆς καθημερινῆς χρείας, ἀγνοεῖν τὰ ὀνόματα. ἐτνήρυσιν οὖν ἐκάλεσε, παρὰ τὸ ἐν αὐτῇ ἀρύεσθαι τὸ ἔτνος. λέγομεν δὲ ἐτνήρυσιν πᾶν τὸ ταράσσον. ἔτνος δὲ ἔλεγον, τὴν ἀθάραν. καὶ τὸ πίσινον ἀφέψημα. ὡς καὶ ἐν βατράχοις. ἤδη ποτ' ἐπεθύμησας ἔτνους; Τοὐλατῆρος. ἐλατήρ ἐστι πλακουντῶδες πέμμα πλατύ. ἔνθεν καὶ ἡ ἐπωνυμία, παρὰ τὸ ταῖς χερσὶν ἐλαύνεσθαι εἰς πλάτος. ἐλατῆρος οὖν τοῦ πέμματος. ἔστι δὲ ἄρτος πλατὺς ἐν ᾧ τὸ ἔτνος ἐτίθεσαν καὶ προσῆγον τῷ βωμῷ. ἐλατὴρ δὲ παρὰ τὸ πλατύ. εἰσὶ δὲ καὶ λαγαρώδεις, παρὰ τὸ λαγαρόν. καὶ παλαιοὶ παρ' Εὐπόλιδι. Θυμβροφάγον. ἤτοι ἀγροικικὸν καὶ ἐλευθέριον. παρόσον οἱ ἐν ἀγρῷ διατρίβοντες, ἀφελέστεροι καὶ ἁπλοϊκέστεροι. τὸ γὰρ θύμβρον ἐν ἀγρῷ γίνεται. ἔστι δὲ καὶ τοῦτο ἄγριον φυτόν. ἢ πικρὸν καὶ δριμὺ κατὰ τῶν ἐχθρῶν. δριμὺ γὰρ τὸ φυτόν. οἱ δὲ ἀντὶ τοῦ δριμὺ καὶ ἱλαρόν. τινὲς δὲ τῷ θύμῳ παραπλήσιον. ἢ ἁπαλόν. ἡδύ. κωμικῶς δὲ ἔπαιξεν. Γαλᾶς. ἀντὶ τοῦ παῖδας δριμυτάτους. τοῦτο δὲ σχῆμα καλεῖται παρὰ προσδοκίαν. ἔδει γὰρ ἐκφάναι, ἐκποιήσεται παῖδας νεανίας. Ἐπειδὰν ὄρθρος ᾖ. παρόσον ἐν τῷ ὄρθρῳ δοκοῦσιν οἱ ἄνθρωποι συνεχῶς βδέειν διὰ τὸ τότε τὰς πέψεις γίνεσθαι. Πρόσβαινε. ὡς ἐπὶ ὄχλου πομπευόντων αὐτὸν λέγει, φυλάττεσθαι δὲ ἀντὶ τοῦ παρατηρεῖν φυλάττειν.

ἐλατήρ

θύμβρον

παρὰ προσδοκίαν σχῆμα

ἀμυνόμενοι αὐτόν, πόλεμος συνέστη. συγκέκοπται δὲ ἡ λέξις. τὸ γὰρ ὁλόκληρόν ἐστι, παλληνιάδε. ὑπήλλακται δὲ ἡ κυριότης τῆς διανοίας. δέον γὰρ εἰπεῖν ζητεῖν τὸν ἄνδρα καὶ βλέπειν παλληνικόν, τουτέστι γενναῖον, εἶπε παλληνιάδε. ὃ δὲ εἰπεῖν βούλεται, τοῦτό ἐστιν ὁμοίως διακεῖσθαι καὶ τραχέως ἔχειν πρὸς τὸν σπεισάμενον Λακεδαιμονίοις, ὡς πάλαι πρὸς Πεισίστρατον τὸν τύραννον. ἡνίκα συνεστήσαμεν ἐν Παλλήνῃ τὴν μάχην. μέμνηται δὲ τούτου, καὶ Ἀνδροτίων καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

ὡς ἐγὼ βάλλων ἐκεῖνον, οὐκ ἂν ἐμπλήμην λίθοις.
δι. εὐφημεῖτε εὐφημεῖτε.
χο. σῖγα πᾶς. ἠκούσατ' ἄνδρες ἆρα τῆς εὐφημίας;
οὗτος αὐτός ἐστιν ὃν ζητοῦμεν. ἀλλὰ δεῦρο πᾶς
ἐκποδών. θύσων γὰρ ἁνὴρ ὡς ἔοικ' ἐξέρχεται.
δι. εὐφημεῖτε εὐφημεῖτε.
πρόϊθ' ὡς τὸ πρόσθεν ὀλίγον ἡ κανηφόρος.
ὁ Ξανθίας τὸν φαλλὸν ὀρθὸν στησάτω.
μη. κατάθου τὸ κανοῦν ὦ θύγατερ, ἵν' ἀπαρξώμεθα.

Ἄλλως. παλληνὶς δῆμος τῆς Ἀττικῆς. νῦν δὲ διὰ τοῦ β' γράφεται. καὶ κατὰ συγγένειαν τοῦ β εἰς τὸ π. εἴρηται δὲ ἀπὸ τοῦ βάλλει λίθοις. θέλει γὰρ εἰπεῖν, ὅτι δεῖ ζητεῖν τὸν ἄνδρα καὶ λιθολευστεῖν αὐτόν. Ἐμπλείμην λίθοις κορεσθείην. εὐκτικῆς ἐγκλίσεως τετύχηκε τὸ ἐμπλείμην. ἔστι γὰρ ἐμπίπλω. ὃ κατὰ ἀναδιπλασιασμὸν κέκλιται. ἀφ' οὗ παράγωγον τὸ ἐμπίπλημι. ἀπὸ τούτου γίνεται τὸ πίμπλασι μυχούς, λιμένος εὐόρμου. τὸ δέ, ἑτέρα παραγωγή. ἀφ' οὗ τὸ πλήθω. ὡς ἀπὸ τοῦ νῶ νήθω. ἀπὸ δὴ τοῦ πλῶ πλείμην, ὡς ἀπὸ τοῦ βλῶ βλείμην. οὗ τὸ δεύτερον. εἴπερ γὰρ κέβλειο. Εὐφημεῖτε. τοῦτο ὁ Δικαιόπολις μέλλων ποιεῖν θυσίαν φησί. τοῦτο γὰρ ἦν ἔθος. Σῖγα πᾶς. ἐπ' αὐτῷ τούτῳ δυσχεραίνουσι καὶ διάκεινται χαλεπῶς. ὅτι οὐ μόνον εἰρήνην ἐποίησεν, ἀλλὰ καὶ θυσίας ἐπιτελεῖ. Οὗτος αὐτός ἐστιν ὃν ζητοῦμεν. τὸ δὶς τὸν αὐτὸν λόγον, ἀποφθέγξασθαι παρίστησιν ἐκ μεταστροφῆς ἀλήθειαν βεβαιούμενος. Ἀλλὰ δεῦρο πᾶς. πρὸς ὀλίγον χρόνον ὑποστείλασθαι βούλονται. ἵνα μὴ προϊδόμενος ὁ σπονδοφόρος φύγῃ. ἀλλὰ δυνηθῶσιν αὐτὸν χειρώσασθαι. τοιαῦται ἦσαν καὶ αἱ Ὀδυσσέως πρὸς Διομήδη παρακελεύσεις. ἀλλ' ἐῶμέν μιν πρῶτα παρεξελθεῖν πεδίοιο τυτθὸν ἔπειτα δέ κατ' αὐτὸν ἐπαΐξαντες ἕλοιμεν. Πρόϊθ' ὡς τὸ πρόσθεν. κατὰ τὴν τῶν Διονυσίων ἑορτὴν παρὰ τοῖς Ἀθηναίοις, αἱ εὐγενεῖς παρθένοι ἐκανηφόρουν. ἦν δὲ ἐκ χρυσοῦ πεποιημένα τὰ κανᾶ. ἐφ' ὧν τὰς ἀπαρχὰς ἁπάντων ἐτίθεσαν. διπλῆ δὲ μετὰ κορωνίδος. ὅτι εἰσίασιν οἱ ὑποκριταὶ καὶ εἰσὶν ἰαμβεῖα.

Ὁ Ξανθίας τὸν φαλλόν. φαλλὸς ξύλον ἐπίμηκες, ἔχον ἐν τῷ ἄκρῳ σκύτινον αἰδοῖον ἐξηρτημένον. ἵστατο δὲ ὁ φαλλὸς τῷ Διονύσῳ, κατά τι μυστήριον. περὶ δὲ αὐτοῦ τοῦ φαλλοῦ τοιαῦτα λέγεται. Πήγασος ἐκ τῶν Ἐλευθερῶν. Ἐλευθεραὶ δὲ πόλις εἰσὶ Βοιωτίας, λαβὼν τοῦ Διονύσου τὰ ἀγάλματα ἧκεν εἰς τὴν Ἀττικήν. οἱ δὲ Ἀττικοί, οὐκ ἐδέξαντο μετὰ τιμῆς τὸν θεόν. ἀλλ' οὐκ ἀμισθί γε αὐτοῖς ταῦτα βουλευσαμένοις ἀπέβη. μηνίσαντος γὰρ τοῦ θεοῦ, νόσος κατέσκηψεν εἰς τὰ αἰδοῖα τῶν ἀνδρῶν. καὶ τὸ δεινὸν ἀνήκεστον ἦν. ὡς δὲ ἀπεῖπον πρὸς τὴν νόσον κρείττω γενομένην πάσης μαγ

Ἀ πεπήξατο. ἀπεσείσατο, ἀπέφυγεν. πὴξ γὰρ τὸ βῆμα. καὶ πήγματα τὰ πηδήματα. ἔνθεν καὶ τὸ παραβάδην ἀμφιπὴξ παρὰ Σοφοκλεῖ ἐν Τριπτολέμῳ. καὶ Ὅμηρος. αἳ δ' οὐ μὲν τρώχων αἳ δ' ἐπήσσοντο πόδεσσιν. ἔλεγον δὲ πὴξ καὶ τὸ ἀπὸ τῆς χειρὸς εἰς τὸν λιχανὸν δάκτυλον διάστημα. καὶ τὸ μεταξὺ τῶν μηρῶν ὀστοῦν. Νῦν δ' ἐπειδὴ στερρόν. σκληρόν. ἀντὶ τοῦ γεγηρακὸς καὶ αὖον. ὡς παρὰ κατὰ ἀντίθεσιν ἐπὶ τῶν ἀκμαζόντων χλωρόν. Θεόκριτος. ποιηταὶ δὲ λόγων χλωρῶν. ἀντὶ τῶν ἀκμαίων νέων.

οὐδ' ἂν ἐλαφρῶς ἀπεπήξατο.

ΜΕΣΩΔΗ ΚΩΛΩΝ Δ'.

νῦν δ' ἐπειδὴ στερρὸν ἤδη τοὐμὸν ἀντικνήμιον.
καὶ παλαιῷ Λακρατίδῃ τὸ σκέλος βαρύνεται.
οἴχεται διωκτέος δέ. μὴ γάρ ἐγχάνῃ ποτέ.
μηδὲ περ γέροντας, ὄντας ἐκφυγὼν Ἀχαρνέας,

ἈΝΤΙΣΤΡΟΦΗ ΚΩΛΩΝ, ΙΑ'.

ὅστις ὦ Ζεῦ πάτερ
καὶ θεοὶ τοῖσιν ἐ-
χθροῖσιν ἐσπείσατο,
οἷσι παρ' ἐμοῦ πόλεμος.
ἐχθοδοπὸς αὔξεται, τῶν ἐμῶν χωρίων.
κοὐκ ἀνήσω. πρὶν ἂν σχοῖνος αὐ-
τοῖσιν ἀντεμπαγῶ.
ὀξὺς ὀδυνηρός. ἐπί-
κωπος. ἵνα μήποτε
πατῶσιν ἔτι τὰς ἐμὰς ἀμπέλους

ἘΠΩΔΟΣ ΣΤΙΧΩΝ Γ'.

ἀλλὰ δεῖ ζητεῖν τὸν ἄνδρα καὶ βλέπειν Βαλλήναδε
καὶ διώκειν γῆν πρὸ γῆς, ἕως ἂν εὑρεθῇ ποτε

ἀπὸ μεταφορᾶς τῶν καλάμων. οἳ ὄντες μὲν χλωροί, ἁπαλοί εἰσι. ξηραινόμενοι δὲ ξηροὶ καὶ σκληροὶ γίνονται. εὐφήμως δὲ εἶπε στερρὸν ἀντὶ τοῦ ξηρόν. Λακρατίδης. Λακρατίδης ἀρχαῖος ἄρχων Ἀθήνησιν. ὡς καὶ Φιλόχορος. ἦρξε δὲ ἐπὶ τῶν χρόνων Δαρείου. ἐφ' οὗ πλείστη χιὼν ἐγένετο. καὶ ἀπέπηξε πάντα, ὡς μὴ δύνασθαί τινα προϊέναι. διὸ καὶ τὰ ψυχρὰ πάντα Λακρατίδου ἐκάλουν. δηλοῦνται δὲ καὶ νῦν τῷ ψυχρῷ καὶ γεροντικῷ. λέγει οὖν ὅτι διὰ τὸ γῆρας, οὐχ οἷός τε εἰμὶ θᾶττον βαδίζειν. Τῶν ἐμῶν χωρίων. καὶ ἐνταῦθα λείπει τὸ ἕνεκα. Πρὶν ἂν σχοῖνος. εἶδος φυτοῦ κατὰ τὸ ἄκρον ὀξέος καὶ πληκτικοῦ προσεοικότος βελόνῃ. παρατηρεῖν δὲ δεῖ ὅτι ἀρσενικῶς λέγουσι τὸν σχοῖνον. ὁ δὲ λόγος, πρὶν αὐτοὺς τρώσω ὡς σχοῖνος ὀξύς. καὶ ὀδυνηρός. Ἐπίκωπος. ἀντὶ τοῦ διὰ νεὼς καὶ ναυτικὸς ὤν, ἐπίω αὐτοῖς. ναυτικοὶ δὲ οἱ Ἀθηναῖοι καὶ προσέχοντες τῷ ναυτικῷ. ἡ δὲ ὁμώνυμος λέξις ἐστὶ καὶ παρ' Ὁμήρῳ. οὐ γάρ μοι νέες εἰσὶν ἐπήρετμοι. ἐπίκωπος οὖν ἤτοι ὅπερ ἔφην ναυτικός. ἢ ξιφήρης. κώπη γὰρ τοῦ ξίφους ἡ λαβὴ ἡ κόπτειν δυναμένη. ἢ γοῦν κωπήεις. Ἵνα μήποτε πατῶσιν. εἰώθασι γὰρ σκόλοπάς τινας ἐγκρύπτειν ἐν ταῖς ἀμπέλοις. ἵνα μηδεὶς ἐξ ἐπιδρομῆς καὶ εὐχερῶς κακουργῇ. ἐπειδὴ οὖν προεῖπε σκόλοψ καὶ σχοῖνος αὐτοῖς ἀντεμπαγῶ, εἰκότως ἐπήνεγκε τοῦτο. ἵνα μηκέτι πατῶσι τὰς ἐμὰς ἀμπέλους. Παλλήναδε. οἱ Παλληνεῖς δῆμός ἐστι τῆς Ἀττικῆς, ἔνθα Πεισιστράτῳ βουλομένῳ τυραννεῖν, καὶ Ἀθηναίοις

Καὶ τὸν ἄνδρα πυνθάνου. ἀντὶ τοῦ περὶ τοῦ ἀνδρός. ὅμοιον γάρ ἐστι τῷ, ἄνδρα μοι ἔννεπε μοῦσα. Ξυλλαβεῖν τὸν ἄνδρα. διττὴ ἐστὶν ἡ χρῆσις τοῦ συλλαβεῖν, παρὰ τοῖς ἀρχαίοις. πρὸς γὰρ διάφορον κλίσιν διάφορος καὶ ἡ διάνοια. εἰ μὲν γὰρ πρὸς αἰτιατικὴν ἡ σύνταξις ᾖ, ἔχθραν καὶ δυσμένειαν παρίστησι τοῦ συλλαμβάνοντος. κακουργίαν δὲ τοῦ συλλαμβανομένου ὥσπερ καὶ νῦν, καὶ δημοσθένης ἐν τῷ κατὰ μειδίου. οὐχὶ συλληψόμεθα, ἐὰν δὲ πρὸς δοτικήν, σημαίνει φιλίαν καὶ συμμαχίαν. ὡς ἰσοκράτης ἐν ταῖς παραινέσεσιν.

ΧΟΡΟ'Σ ἈΧΑΡΝΕ'ΩΝ.

Τῇδε πᾶς ἕπου. δίωκε. καὶ τὸν ἄνδρα πυνθάνου
τῶν ὁδοιπόρων ἁπάντων. τῇ πόλει γὰρ ἄξιον

ΣΤΡΟΦΗ' ΚΩ'ΛΩΝ ΙΑ'.

ἡμί. Ξυλλαβεῖν τὸν ἄνδρα τοῦτον. ἀλλά μοι μηνύετε,
εἴ τις οἶδ' ὅποι τέτραπται γῆς ὁ τὰς σπονδὰς φέρων.
ἐκπέφευγ' οἴχεται.
φροῦδος. χο. οἴμοι τάλας.
τῶν ἐτῶν τῶν ἐμῶν
οὐκ ἂν ἐπ' ἐμῆς γε νεό-
τητος ὅτ' ἐγὼ φέρων
ἀνθράκων φορτίον,
ἠκολούθουν φαΰλλῳ τρέχων
ὧδε φαύλως ἂν ὁ
σπονδοφόρος οὗτος ὑπ' ἐμοῦ τότε δι-
ωκόμενος, ἐξέφυγεν.

ὁρῶ δὲ καὶ τὴν τύχην ἡμῖν συλλαμβάνουσαν. ἴσον τῷ, συναγωνιζομένην. ἐπάγει γοῦν καὶ τὸν παρόντα καιρὸν συναγωνιζόμενον. καὶ δημοσθένης ἐν πρώτῳ φιλιππικῶν. Εἴ τις οἶδ' ὅποι τέτραπται. ἀστεία καὶ καθαρὰ εἰς ὑπερβολὴν ἡ σύνταξις. τὸ μὴ λέγειν οὐκ εἰς ποίαν γῆν πέφευγεν, ἀλλὰ ποῦ γῆς. δόξαν γὰρ πεπαιδευμένου καρπώσαιτο ἄν τις εἰπών. Τῶν ἐτῶν τῶν ἐμῶν. οὐκ ἀπόβλητον οὐδὲ τοῦτό μοι δοκεῖ. σφόδρα γὰρ ἀττικὴ ἡ φράσις. λείπει γὰρ τὸ ἕνεκα. τὸ κατ' ἔλλειψιν οὖν ἐνθέν, κοινὸν αὐτῷ περιῆκε. λέγοις ἂν καὶ σὺ παραπλησίως. οἴμοι τῆς τύχης. μακάριος τῆς ἐμῆς παιδείας. Οὐκ ἂν ἐπ' ἐμῆς νεότητος. ὁ μὲν χορὸς συνέστηκεν ἐξ ἀνδρῶν κδ'. ἐστι δὲ νῦν γεροντικός. πάνυ δὲ ἐμμελῶς καὶ μετὰ πάσης ἀρετῆς ἐμιμήσατο γερόντων τρόπους καὶ λόγους. τρόπους μὲν ἐκ τῆς ἀκροχολίας. λόγους δὲ ἐκ τῆς τῶν πεζῶν ἔργων ὑπολήψεως. τοιοῦτος ὑμῖν καὶ ὁ νέστωρ δοκεῖ λέγων. ἡβῷμ' ὡς ὅτ' ἐπ' ὠκυρόῳ. καὶ πάλιν. εἴθ' ὣς ἡβώοιμι. τῷ κε τάχ' ἀντήσειε μάχης κορυθαίολος ἕκτωρ. ὁ μὲν οὖν ὅμηρος, ἡρωϊκὸς ὢν ἡρωϊκῶν πράξεων μέμνηται. ἀριστοφάνης δέ, ὡς μετρίοις ἀνδράσι καὶ βαναύσοις, τέθεικεν ἄνθρακας καὶ φορτία βασταζόμενα. Φαΰλλῳ. ὁ φάϋλλος, ἄριστος δρομεὺς ὀλυμπιονίκης. ὁπλιτοδρόμος περιώνυμος. ὃν ἐκάλουν ὁδόμετρον. ἦν δὲ καὶ πένταθλος. φέρεται καὶ ἐπίγραμμα τοιόνδε. πέντ' ἐπὶ πεντήκοντα πόδας πήδησε φάϋλλος. δίσκευσε δ' ἑκατὸν πέντ' ἀπολειπομένων. ἐγένετο δὲ καὶ ἕτερος ἀθλητὴς ἐνδόξως ὀλυμπιάδα νικήσας καὶ τρίτος λωποδύτης. Ὧδε φαύλως ἄν. ἀντὶ τοῦ εὐχερῶς μετὰ ῥᾳστώνης. δηλοῦται δὲ ἐκ τῆς λέξεως καὶ τὸ ἁπλοῦν. καὶ τὸ κακόν. τὸ δὲ ἑξῆς οὐκ ἂν ὧδε φαύλως.

χεῖν τῇ πόλει. Ἄλλως. ἀπὸ μεταφορᾶς τοῦ τραπέντος οἴνου εἰς ὄξος. καὶ τοῦ οἴνου τὸ ὀξύτατον. Ὦ διονύσια. θαυμάζων ταῦτα λέγει. εἴρηται δὲ ἐπὶ τῶν ἀποδοχῆς ἀξίων. προσδοκῶν εἰρήνης οὔσης, τὴν τῶν διονυσίων πανήγυριν ἔσεσθαι, αἳ τοῦ ἥδισται ἄξιαι τῶν διονυσίων. διονύσια δὲ ἑορτὴ διονύσου ἢ ἤγουν ναυπάκτοι. Καὶ μὴ ἐπιτηρεῖν. εἴποτε γὰρ ἔξοδος ἐπὶ στρατὸν ἐγένετο, εἰώθεισαν οἱ στρατηγοὶ προλέγειν τοῖς στρατιώταις, ὥστε τριῶν ἡμερῶν παρασκευάζεσθαι σιτία. σκώπτει οὖν τοῦτο

ἀμ. ἀλλ' αὗται αἱ σπονδαί, τριακοντούτιδες
κατὰ γῆν τε καὶ θάλατταν. δι. ὦ διονύσια.
αὗται μὲν ὄζουσ' ἀμβροσίας καὶ νέκταρος.
καὶ μὴ 'πιτηρεῖν σιτί' ἡμερῶν τριῶν
κἀν τῷ στόματι λέγουσι, βαῖν' ὅπῃ θέλεις.
ταύτας δέχομαι καὶ σπένδομαι κἀκπίομαι
ἀμ. χαίρειν κελεύω πολλὰ τοὺς ἀχαρνέας.
δι. ἐγὼ δὲ πολέμου καὶ κακῶν ἀπαλλαγείς,
ἄξω τὰ κατ' ἀγροὺς εἰσιὼν διονύσια.
δι. ἐγὼ δὲ φεύξομαί γε τοὺς ἀχαρνέας.

τὸ στρατηγικόν, παράγγελμα ὡς ἀνδράσιν ἔχει βαρὺ τοῖς εἰρήνης ἐπιθυμοῦσι. Κἀν τῷ στόματι. ὡς γυναῖκας εἰδωλοποιεῖ τὰς σπονδάς· στόμα γοῦν αὐταῖς προστίθησιν. ἢ ἐν τῷ ἡμετέρῳ στόματι γευσαμένων ἡμῶν, μονονουχὶ φωνὴν ἀφιᾶσιν. Ἄλλως. λέγουσί φησιν αἱ σπονδαὶ ἄπιθι ὅπου θέλεις εἰκότως. ἐν γὰρ πολέμῳ διὰ τὰς ἐπιδρομὰς τῶν πολεμίων καὶ τῆς πολιορκίας, οὐκ ἔστιν ἀπελθεῖν ὅπου τις βούλεται. Χαίρειν κελεύων κατ' εὐφημισμὸν τὸ χαίρειν κελεύων, τὸν ἀμφίθεον οἴονταί τινες. ἵνα γραφῇ τὸ κελεύω χωρὶς τοῦ ν. τὸ δὲ ἑξῆς ἐγὼ δὲ πολέμου, τὸν δικαιόπολιν. Ἄξω κατ' ἀγρούς. τὰ λήναια λεγόμενα. ἔνθεν τὰ λήναια καὶ ὁ ἐπιλήναιος ἀγὼν τελεῖται τῷ διονύσῳ. λήναιον γάρ ἐστιν ἐν ἀγροῖς ἱερὸν τοῦ διονύσου. διὰ τὸ πλεκτοὺς ἐνταῦθα γεγονέναι. ἢ διὰ τὸ πρῶτον ἐν τούτῳ τῷ τόπῳ λήναιον τεθῆναι. μένανδρος τραγῳδός. ἦν ἀγὼν, διονύσια. Τῇδε πᾶς ἕπου. ἐντεῦθεν παρῳδία γίνεται τοῦ χοροῦ ὃν συμπληροῦσιν οἱ ἀχαρνεῖς. παράγονται δὲ συντόνως μετὰ σπουδῆς διώκοντες τὸν ἀμφίθεον σπονδὰς ποιησάμενον πρὸς τοὺς λακεδαιμονίους. γέγραπται δὲ τὸ μέτρον τροχαϊκόν, πρόσφορον τῇ τῶν διωκόντων γερόντων σπουδῇ. ταῦτα δὲ ποιεῖν εἰώθασιν οἱ τῶν δραμάτων ποιηταὶ κωμικοὶ καὶ τραγικοί, ἐπειδὰν δρομαίως εἰσάγωσι τοὺς χορούς, ἵνα ὁ λόγος συντρέχῃ τῷ δράματι. τὸ δὲ τῇδε, τοπικόν ἐστιν ἐπίρρημα καὶ κεῖται ἐν ἴσῳ τῷ ἐνταῦθα. καὶ ἔχει παρὰ τοῦ ποιητοῦ. τῇ ἴμεν ᾗ κεν δὴ κελαινεφὲς ἡγεμονεύεις. σημαίνει δέ ποτε καὶ ῥῆμα προστακτικόν. κύκλωψ, τῆ πίε οἶνον. ἐχρήσατο δὲ τῷ ποιητικῷ ὁ σώφρων εἰπών. τῇ τε τοὶ κορῶναι εἰσίν. Ἄλλως. κορωνίς. εἰσέρχεται γὰρ ὁ χορὸς διώκων τὸν ἀμφίθεον. καὶ ἔστι μεταβολικὸν μέλος ἐκ δύο μονάδων μονοστροφικῶν. ὧν ἡ μὲν πρώτη, ιδ΄ κώλων ἔχει τὰς περιόδους. ὧν δ΄ μὲν ἐκθέσει εἰσὶ τροχαϊκὰ καὶ καταληκτικὰ τετράμετροι. εἶτα ἐν ἐκθέσει κῶλα παιωνικὰ ἕνδεκα κρητικοῖς ἐπιμεμιγμένα καὶ τὸ ϛ΄ καὶ τὸ ὄγδοον καὶ δέκατον, δίρρυθμα. τὰ δ' ἄλλα, τρίρρυθμα.

θένης ἐν τῷ κατὰ ἀριστογείτονος τὰς ἐννέας ἀρχὰς, τοὺς νέους ὑπεξιέναι. Μυττωτόν. ἀντὶ τοῦ σκόροδα ἐξ ὧν ὁ μυττωτὸς γίνεται. κατασκευάζεται δὲ, ἀπὸ τυροῦ καὶ σκορόδου καὶ ᾠοῦ ἀπὸ τοῦ παντὸς οὖν κατασκευάσματος, τὸ μέρος ἐδήλωσε τουτέστι τὰ σκόροδα. Μήπω γε. γελοίου χάριν εἶπε πρὸς τὸ χαίρειν τὸ μήπω γε. Ὤσφροντο. ἀντὶ τοῦ ᾔσθοντο, εἶπε τὸ ὤσφροντο. ὅτι δὲ οἴνου εἰσὶν αἱ σπονδαί. ὡς ἐκ τῶν μετὰ ταῦτα δῆλον. δι' αἰσθήσεως δὲ, ἡ αἴσθησις τῆς ἀναφορᾶς τοῦ οἴνου.

169. b.
225. b.

Στιπτοὶ γέροντες. ἀντὶ τοῦ πυκνοί. εἴρηται δὲ ἀπὸ τῶν ἐσθήτων. αἵτινες ὑφανθεῖσαι εἰς πυκνότητα συνάγονται. ἢ ἀντὶ τοῦ στερεοὶ καὶ πεπιλημένοι. ἀπὸ τοῦ στείβειν ὅ ἐστι πατεῖν.

Πρίνινοι. στερεοὶ καὶ σκληροί. ἰσχυρὸν γὰρ τὸ τῆς πρίνου ξύλον. καὶ ἡσίοδος. πρίνου δὲ γύην καὶ πάλιν πρίνινον ὃς γὰρ βουσὶν ἀροῦν ὀχυρώτατός ἐστιν. ἀτεράμονες δὲ σκληροὶ μὴ τειρόμενοι αἰένδοτοι. κυρίως δὲ τὰ μὴ ἑψόμενα τῶν ὀσπρίων ἀτεράμονα λέγεται οἷον, οὐχ ἁπαλά. Σφενδάμνινοι. ἰσχυροί. τοιοῦτον γὰρ τὸ τῆς σφενδάμνου ξύλον. ἀντὶ τοῦ σφενδονῆται.

δι. οἴμοι τάλας. μυττωτὸν ὅσον ἀπώλεσα.
ἀλλ' ἐκ λακεδαίμονος γὰρ ἀμφίθεος ὁδί,
χαῖρ' ἀμφίθεε. ἀμ. μήπω γε, πρὶν ἂν στῶ τρέχων.
δεῖ γάρ με φεύγοντ' ἐκφυγεῖν ἀχαρνέας.
δι. τί δ' ἐστί. ἀμ. σοὶ μὲν δεῦρο γὼ σπονδὰς φέρων
ἔσπευδον. οἱ δ' ὤσφροντο πρεσβῦταί τινες.
ἀχαρνικοί. στιπτοὶ γέροντες. πρίνινοι.
ἀτεράμονες. μαραθωνομάχαι. σφενδάμνινοι
ἔπειτ' ἀνέκραγον πάντες ὦ μιαρώτατε,
σπονδὰς φέρεις τῶν ἀμπέλων τετμημένων,
κἀς τοὺς τρίβωνας ξυνελέγοντο τῶν λίθων.
ἐγὼ δ' ἔφευγον. οἱ δ' ἐδίωκον. κἀβόων.
δι. οἱ δ' οὖν βοώντων. ἀλλὰ τὰς σπονδὰς φέρεις,
ἀμ. ἔγωγε. φημί. τρία γε ταυτὶ γεύματα.
αὗται μέν εἰσι πεντέτεις. γεῦσαι λαβών,
δι. αἰβοῖ. ἀμ. τί ἐστιν. δι. οὐκ ἀρέσκουσί μ' ὅτι
ὄζουσι πίττης καὶ παρασκευῆς νεῶν.
ἀμ. σὺ δ' ἀλλὰ τασδὶ τὰς δεκέτεις γεῦσαι λαβών.
δι. ὄζουσι χαὖται πρέσβεων ἐς τὰς πόλεις.
ὀξύτατον ὥσπερ διατριβῆς, τῶν συμμάχων.

Ἄλλως. Τὸ σφενδάμνινοι, ταυτόν ἐστι τῷ πρίνινοι. σφένδαμνος γὰρ, εἶδος ἰσχυροῦ ξύλου. ἔστι δὲ καὶ εἶδος καννάβεως ἡ σφένδαμνος. ἡ γὰρ σφενδόνη, ἀπὸ καννάβεως γίνεται. Τῶν ἀμπέλων τετμημένων. οἱ γὰρ πελοποννήσιοι εἰσβάλλοντες ἐς τὴν ἀττικὴν, ἔτεμνον τὴν γῆν τῶν ἀχαρνέων. Κἀς τοὺς τρίβωνας. ἀττικὸν τὸ σχῆμα. ἀντὶ τοῦ ἐς τοὺς τρίβωνας ξυνελέγοντο τῶν λίθων. Τρία γε ταυτί. ἔπαιξε παρὰ τὰς σπονδάς. ἐπεὶ οἴνῳ γίνονται αἱ δι' ὅρκων συνθῆκαι. ἀντὶ δὲ τοῦ εἰπεῖν γεῦσαι, εἶπεν ἀνάγνωθι. Ὄζουσι πίττης. κοινὸν ἐπὶ οἴνου καὶ νεὼς, τὸ πίσσης ὄζειν. ἔστι γὰρ πισσίζων οἶνος. ὁ δὲ λόγος, ὄζουσιν αἱ σπονδαὶ αὗται, κατασκευῆς τριήρων. διὰ τὸ ὀλιγοχρόνιον αὐτῶν. εἰς τὰς πόλεις δὲ τὰς τῶν συμμάχων. Ὀξύτατον ὥσπερ διατριβῆς. ἀντὶ τοῦ ἀπωλείας καὶ συντριβῆς. ἢ ἀντὶ τοῦ μόνον πρεσβεῖαι ἔσονται περὶ τῶν συμμάχων. ὥστε πείθειν αὐτοὺς καὶ μὴ μεθίστασθαι. ἀλλὰ συμμα-

Ὀδομάντων. ἔθος θρακικόν. φασὶ δὲ αὐτοὺς ἰουδαίους εἶναι. Ἀποτέθρακεν. ἀπέτιλε. κυρίως δὲ ἀπεφύλλισε συκᾶς. θρία γὰρ τὰ φύλλα τῆς συκῆς. ἐλεαίνοντο δὲ καὶ ἀπέτιλλον οἱ θρᾷκες τὰ αἰδοῖα. καὶ ἀπεσεσυρμένα εἶχον αὐτά. Καταπελτάσονται. κατακοντίσουσι. καταπολεμήσουσι. πέλτη γὰρ εἶδος μηχανῆς. ἀφ᾽ ἧς ἀκόντια καὶ ἄλλα τινὰ πέμπουσιν. ἢ καταδραμοῦνται. πέλτη γὰρ ἀσπὶς μικρὰ μὴ ἔχουσα ἱμάντα. ἐχθροὶ δὲ ἦσαν καὶ οἱ βοιωτοὶ τοῖς ἀθηναίοις. Ὁ θρανίτης λεώς. ἀντὶ τοῦ ὁ ναυτικός. ἐκ μέρους δὲ τὸ πᾶν εἶπε. τῶν γὰρ ἐρεττόντων οἱ μὲν ἄνω ἐρέττοντες, θρανῖται λέγονται. οἱ δὲ μέσοι ζυγῖται. οἱ δὲ κάτω θαλαμῖται. ὁ δὲ λόγος, εἰ οἱ ὀδόμαντες τοσαῦτα λαμβάνουσι, πᾶν τὸ παρ᾽ ἡμῶν ναυτικὸν πλῆθος ἀγανακτήσει. πολλὰ μὲν ἐν ταῖς τριήρεσι καμόντες. ὀλίγα δὲ λαμβάνοντες. Οἴμοι τάλας. δεῖ νοεῖν ὅτι ἐκ τῶν ἀγρῶν ἔρχεται ὁ δικαιόπολις ἔχων φορτίον σκορόδων. καὶ ἠπηρεάζετο ὑπὸ τῶν ξένων ὡς ἐκείνων λιμωττόντων καὶ ἁρπαζόντων τὰ σκόροδα. τοῦτο δὲ εἶπε πορθούμενος, παρόσον καὶ οἱ πορθούμενοι ἀπόλλυνται. ἀρέσκονται δὲ τοῖς σκορόδοις, οἱ θρᾷκες. θερμὰ γὰρ τὰ σκόροδα φυσικῶς. οἱ δὲ θρᾷκες, ψυχρὰν χώραν νέμονται. Οὐ μὴ πρόσει. οὐ καταβαλεῖτε. ὁ θεωρὸς δὲ ἐπιτιμᾷ τοῖς βαρβάροις ἁρπάζουσι τὰ σκόροδα. καὶ τῷ δικαιοπόλιδι ὁμοίως ἐπιτιμᾷ ἐρεθίζοντι αὐτούς. Ἄλλως. ἀντὶ τοῦ σφοδροῖς οὖσι καὶ πικροῖς γενομένοις. μετειληφόσι τῶν σκορόδων ἀπὸ μεταφορᾶς τῶν ἀλεκτρυόνων. τούτοις γὰρ ὅτε μέλλουσι μάχεσθαι, σκόροδα δίδονται ἐσθίειν. ἵνα θερμανθέντες ὀξύτεροι γένωνται. ὡς καὶ ἐν ἱππεῦσί φησιν. ἵν᾽ ἄμεινον ὦ τᾶν, ἐσκοροδισμένος μάχῃ. Διοσημία ἐστί. παρεφυλάττοντο γὰρ οἱ ἀθηναῖοι τὰς τοῦ διὸς ἡμέρας. καὶ διέλυον τὰς ἐκκλησίας διοσημίας γενομένης. ἢ ἄλλο τι μέλλοντές τι ἀνύειν. διοσημία δέ ἐστιν ὁ παρὰ καιρὸν χειμών. Παρεῖναι δ᾽ εἰς ἕνην. οἷον εἰς τρίτην. μηδ᾽ ἀναβάλλεσθαι ἔς τ᾽ αὔριον ἔς τ᾽ ἔννηφι. τινὲς δέ, εἰς τριακάδα. διαλυθείσης δὲ τῆς ἐκκλησίας, συνήγοντο πάλιν βουλόμενοι περὶ τῶν αὐτῶν. ἀττικοὶ δὲ καλοῦσιν ἕνην καὶ τὴν παλαιάν. καὶ διμο

Δι. τουτὶ τί ἐστι τὸ κακόν; Κηρ. Ὀδομάντων στρατός.
Δι. ποίων Ὀδομάντων; εἰπέ μοι, τουτὶ τί ἦν;
τίς τῶν Ὀδομάντων τὸ πέος ἀποτεθράκεν;
Θε. τούτοις ἐάν τις δύο δραχμὰς μισθὸν διδῷ,
καταπελτάσονται τὴν Βοιωτίαν ὅλην.
Δι. τοισδὶ δύο δραχμὰς τοῖς ἀπεψωλημένοις;
ὑποστένοι μέντἂν ὁ θρανίτης λεώς
ὁ σωσίπολις. οἴμοι τάλας, ἀπόλλυμαι,
ὑπὸ τῶν Ὀδομάντων τὰ σκόροδα πορθούμενος.
Θε. οὐ καταβαλεῖτε τὰ σκόροδ᾽; ὦ μοχθηρὲ σύ
οὐ μὴ πρόσει τούτοισιν ἐσκοροδισμένοις.
Δι. ταυτὶ περιείδεθ᾽ οἱ πρυτάνεις πάσχοντά με
ἐν τῇ πατρίδι, καὶ ταῦθ᾽ ὑπ᾽ ἀνδρῶν βαρβάρων;
ἀλλ᾽ ἀπαγορεύω μὴ ποιεῖν ἐκκλησίαν,
τοῖς Θρᾳξὶ περὶ μισθοῦ. λέγω δ᾽ ὑμῖν, ὅτι
διοσημία ἐστί, καὶ ῥανὶς βέβληκέ με.
Κη. τοὺς Θρᾷκας ἀπιέναι. παρεῖναι δ᾽ εἰς ἕνην.
οἱ γὰρ πρυτάνεις λύουσι τὴν ἐκκλησίαν.

δῆμος, ἀριστόδημος. πῶλος ἐχέπωλος. καὶ ὅμηρος. θαλυσιάδην ἐχέπωλον. κνέφαιος. ἀκροκνέφαιος. ὀμφαῖος. πανόμφαιος. ἀρχαῖος. φιλάρχαιος οὕτω καὶ φιλαθήναιος. Ἐν τοῖς τοίχοις. ἴδιον ἐραστῶν ἦν. τὰ τῶν ἐρωμένων ὀνόματα γράφειν ἐν τοῖς τοίχοις. ἢ δένδροις. ἢ φύλλοις, οὕτως. ὁ δεῖνα καλός. καὶ παρὰ καλλιμάχῳ. ἀλλ' ἐνὶ δὴ φύλλοισι κεκομμένα. τόσα φέροι τι γράμματα, κυδίππην ὡς ἐρέουσι καλήν. καὶ ἐν τοῖς σφηξίν. ἴων παρέγραψε κῆμος καλός. καὶ λιβάνιος. φιλοῦσι γὰρ οἱ σφόδρα περί τι ἐρωτικῶς ἔχοντες, ἤδη ἐκ ὡς συνεῖναι καὶ τοῖς ὀνόμασι. Ὁ δ' υἱὸς ὃν ἀθηναῖον. τοῦτον πολίτην ἐποίησαν ἀθηναῖοι τῶν παρ' αὐτοῖς παραπέμποντα. ἐλέγετο δὲ οὗτος, λήρης. ἔνιοι δέ φασιν ὅτι ὁμώνυμος ἦν τῷ πατρὶ σιτάλκει. σύμμαχος, ἀθηναίοις μέμνηται. θουκυδίδης προστίθησι καὶ τὸ ὄνομα λέγων οὕτως. καὶ σάδοκον τὸν υἱὸν αὐτοῦ ἀθηναῖον.

ἐν τοῖσι τοίχοις ἔγραφον, ἀθηναῖοι καλοί.
ὁ δ' υἱός, ὃν ἀθηναῖον ἐπεποιήμεθα,
ἤρα φαγεῖν ἀλλᾶντας ἐξ ἀπατουρίων
καὶ τὸν πατέρ' ἠντιβόλει βοηθεῖν τῇ πάτρᾳ.
ὁ δ' ὤμοσε σπένδων, βοηθήσειν. ἔχων
στρατιὰν τοσαύτην, ὥστ' ἀθηναίους ἐρεῖν,
ὅσον τὸ χρῆμα παρνόπων προσέρχεται.
Δι. κάκιστ' ἀπολοίμην, εἴ τι τούτων πείθομαι·
Θε. καὶ νῦν ὅπερ μαχιμώτατον θρᾳκῶν γένος,
ἔπεμψεν ὑμῖν. Δι. τοῦτο μὲν γ' ἤδη σαφές.
Κῆρ. οἱ θρᾷκες ἴτε δεῦρ', οὓς θέωρος ἤγαγε.

Ἤρα φαγεῖν. χαριέντως ὡς ἐξαπατωμένων τῶν ἀθηναίων. λέγει δὲ νῦν περὶ ἀπατουρίων, ἑορτῆς ἐπισήμου καὶ δημοτελοῦς ἀγομένης παρὰ τοῖς ἀθηναίοις κατὰ τὸν πυανεψιῶνα μῆνα, ἐπὶ τρεῖς ἡμέρας. καλοῦσι δὲ τὴν μὲν πρώτην δόρπειαν. ἐπειδὴ φράτορες ὀψίας συνελθόντες, εὐωχοῦντο. τὴν δὲ δευτέραν ἀνάῤῥυσιν ἀπὸ τοῦ θύειν. ἔθυον δὲ διὶ φρατρίῳ καὶ ἀθηνᾷ. τὴν δὲ τρίτην κουρεῶτιν ἀπὸ τοῦ τοὺς κούρους καὶ τὰς κόρας εἰσγράφειν εἰς τὰς φρατρίας. ἐν ᾗ ἐγράφη ἐν τῇ πολιτείᾳ ὁ υἱὸς σιτάλκους. ἡ δὲ αἰτία, πόλεμος ἦν ἀθηναίοις πρὸς βοιωτοὺς περὶ κελαινῶν. ὃ ἦν χωρίον ἐν μεθορίοις. ξάνθιος δὲ βοιωτὸς προεκαλέσατο τὸν ἀθηναίων βασιλέα θυμοίτην. οὐ δεξαμένου δέ, μέλανθος ἐπιδήμων μεσσήνιος τὸ γένος ἀπὸ περικλυμένου τοῦ νηλέως ὑπέστη ἐπὶ τῇ βασιλείᾳ. μονομαχούντων δέ, ἔφάνη τῷ μελάνθῳ τις ὄπισθεν τοῦ ξανθίου. τραγῆν τουτέστιν αἰγίδα μέλαιναν ἐνημμένος. ἔφη οὖν ἀδικεῖν, αὐτὸν δεύτερον ἥκοντα. ὁ δὲ ἐπιστραφείς, ὁ δὲ παίσας, ἀποκτείνει αὐτόν. ἐκ δὲ τούτου ἡ τε ἑορτὴ ἀπατούρια καὶ διονύσου μελαναίγιδος ἱδρύσαντο. οἱ δέ φασιν ὅτι τῶν πατέρων ὁμοῦ συνερχομένων διὰ τὰς τῶν παίδων ἐγγραφὰς οἷον ὁμοπατόρια λέγεσθαι τὴν ἑορτήν. ὃν τρόπον λέγομεν ἄλοχον τὴν ὁμόλεκτρον καὶ ἄκοιτιν τὴν ὁμόκοιτον οὕτω καὶ ὁμοπατόρια ἀπατούρια. Ὅσον τὸ χρῆμα. ὡς πολλῶν ὄντων παρνόπων ἐν τῇ ἀττικῇ. βούλεται δὲ πολὺ πλῆθος σημαίνειν. εἶδος δὲ ἀκρίδων οἱ πάρνοπες. εἰσὶ δὲ οὕτοι ἀττέλαβοι ἀττικοὶ πάρνοπες. Τοῦτο μὲν γ' ἤδη σαφές. τοῦτο ψεύδεται ὡς ἀθηναίων ὀλίγων ὄντων.

226. b. 334. b. ἄλοχος · ἄκοιτις. ἀπατούρια.

Τοὺς δὲ ξενίζειν. παροιμία ἐπὶ τῶν πολλοὺς ξένους ἀποδεχομένων. οὐδέ ποτ' ἴσχει ἡ θύρα. μέμνηται καὶ εὔπολις ἐν φίλοις. νὴ τὸν ποσειδῶ, οὐδέ ποτ' ἴσχει ἡ θύρα. καὶ καλλίμαχος ἐνέκαλει τὸν δ' ἐπαίτη, ὅς ἴτω. ἡ ξα φιλοξενίης ἴσχες γῆν πύργος ἀκλήϊστον. καὶ πίνδαρος. ἔνθ' ἄρα πετάλα μένων ξείνων ἕνεκεν τᾶν θύρᾶν. λέγει δὲ περὶ τῶν πρυτανέων. διότι αὐτὴν μὲν ὑπὸ τῆς πόλεως στρατευομένων καὶ πενοῦντα, οὐδὲ ἔχονται. τοὺς δὲ πρέσβεις ξένους ὄντας, καὶ ξενίζουσιν ἐν αὐτῷ. ἴσχει δὲ, ἀντὶ τοῦ κωλύει ἢ ἀποκλείει. Ἄλλως οὐδέ ποτε ἐκώλυσεν ἢ ἀπέκλεισεν. ὁ δὲ λόγος, ἐπὶ τῶν πρυτανέων, καθὸ ἐπὶ ξενίαν καλοῦσι τοὺς ἀφικνουμένους. Καὶ τῇ πλάτιδι. τῇ γυναικὶ παρὰ τὸ πελάζειν τῷ ἀνδρὶ κατὰ τὴν κοίτην. Πρεσβεύεσθε. ἀντὶ τοῦ πρέσβεις πέμπετε. τὸ δὲ κεχήνατε ἐξαπατᾶσθε καὶ ἐννεοί ἐστε. Προσίτω θέωρος οὗτος ἐπὶ κολακείᾳ κωμῳδεῖται. ὁ κῆρυξ καλεῖ ἄλλον πρέσβυν τὸν ἐλθόντα παρὰ σιτάλκους τοῦ θρακῶν βασιλέως. πρεσβεύσοντα ἀποστείλαντες αὐτὸν ἀθηναῖοι. οὕτω δὲ, ἐκαλεῖτο θέωρος. μέμνηται δὲ αὐτοῦ ποτὲ μὲν ὡς ἐπιόρκου ὡς ἐν νεφέλαις. φησὶ γὰρ, εἰ περιβάλλει τοὺς ἐπιόρκους, πῶς δῆτ' οὐχὶ σίμωνα ἐνέπρησεν, οὐδὲ κλεώνυμον. οὐδὲ θέωρον καί τοι σφόδρα γ' εἴσ' ἐπίορκοι, ποτὲ δὲ, ὡς κόλακος. ὡς ἐν τοῖς σφηξίν. εἰς κηρύττεται δὲ ἀντὶ τοῦ καλεῖται ὑπὸ τοῦ κήρυκος.

τοὺς δὲ ξενίζειν, οὐδέ ποτ' ἴσχ' ἡ θύρα.
ἀλλ' ἐργάσομαί τι δεινὸν ἔργον καὶ μέγα.
ἀλλ' ἀμφίθεός μοι ποῦ 'στιν. ἀμ. οὑτοσὶ παρά.

δι. ἐμοὶ σὺ ταυτασὶ λαβὼν ὀκτὼ δραχμάς,
σπονδὰς ποίησαι πρὸς λακεδαιμονίους μόνῳ.
καὶ τοῖσι παιδίοισι καὶ τῇ πλάτιδι.
ὑμεῖς δὲ πρεσβεύεσθε. καὶ κεχήνατε.

κή. προσίτω θέωρος ὁ παρὰ σιτάλκους. **θε.** ὁδί. **κή.** θέωρος.

δι. ἕτερος ἀλαζὼν οὗτος εἰσκηρύττεται.

θε. χρόνον μὲν οὐκ ἂν ἦμεν ἐν θράκῃ πολύν.

δι. μὰ δί' οὐκ, ἂν εἰ μισθόν γε μὴ 'φερες πολύν.

θε. εἰ μὴ κατένιψε χιόνι τὴν θράκην ὅλην,
καὶ τοὺς ποταμοὺς ἔπηξ' ὑπ' αὐτὸν τὸν χρόνον.
ὅτ' ἐνθαδὶ θέογνις ἠγωνίζετο.
τοῦτον μετὰ σιτάλκους ἔπινον τὸν χρόνον.
καὶ δῆτα φιλαθήναιος ἦν ὑπερφυῶς.
ὑμῶν τ' ἐραστὴς ἦν ἀληθῶς, ὥστε καὶ

Οὐκ ἂν γ' εἰ μισθόν γε μὴ 'φερες. τοῦτο διὰ μέσου ὁ δικαιόπολις. οὐκ ἂν ἔτριψας τὸν χρόνον εἰ μὴ πολὺν μισθὸν ἐλάμβανες. τὸ γὰρ ἔφερες, ἀντὶ τοῦ ἐλάμβανες. ἐβάσταζες.

Ὅτ' ἐνθαδὶ θέογνις. οὗτος ὁ θέογνις τραγῳδίας ποιητὴς ψυχρός. κωμῳδῶν οὖν αὐτὸν, παρίστησιν ἡμῖν τὴν πολλὴν χιόνα, διὰ τὴν τούτου περὶ τὰ ποιήματα ψυχρότητα. τὸν ψυχρὸν οὖν τῷ ψυχρῷ παρέβαλεν. πάνυ δὲ χαριέντως ἔσκωψε.

Καὶ δῆτα φιλαθήναιος. τὸ φιλαθήναιος, προπαροξύνειν δεῖ. ἐπεὶ τὰ εἰς ος λήγοντα προπερισπώμενα ἁπλᾶ, ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον. οἷον

Ο ὐκ. ἀλλ' ἀχάνας. ἀχάνη μέτρον ἐστὶ περσικόν. ὥσπερ ἡ ἀρτάβη παρ' αἰγυπτίοις. ἐχώρει δὲ μεδίμνους ἀττικούς. με΄. ὡς μαρτυρεῖ ἀριστοτέλης. ἄλλοι δέ φασιν, ὅτι κίστη ἐστὶν εἰς ἣν κατετίθεντο τοὺς ἐπισιτισμούς, οἱ ἐπὶ τὰς θεωρίας στελλόμενοι.

Α γε δὴ σὺ φράσον. ἀντὶ τοῦ πρὸς ἐμαυτόν. ἀττικὸν δὲ τὸ τοιοῦτο σχῆμα. ὡς μὴ συνιέντος δὲ αὐτοῦ δείκνυσι τῷ δακτύλῳ. ἐμοὶ λέγων καὶ τουτονί. Βάμμα σαρδιανικόν. ἀντὶ τοῦ ἐρυθρὸν φοινικοῦν. σαρδὼ γὰρ νῆσός ἐστι τῶν ἑπτά. σταδίους ἑξήκοντα κύρνου διέχουσα. ἐνταῦθα γίνονται πορφύραι διάφοροι καὶ ὀξύταται. ἢ ὅτι εἰς τὴν σαρδὼ τῆς λυδίας πυρρὰ βάμματα γίνεται. βούλεται δὲ δὴ λοιπὸν ὅτι εἰ μὴ εἴπῃς τἀληθές, μαστίζων σε ἐρυθρὸν ποιήσω τοῖς αἵμασι. τὸ δὲ ἀνανεύει. καὶ ἐπινεύει παρεπιγραφὴ ὑπὲρ τοῦ σαφὲς γενέσθαι ὅτι ἀρνούμενος μὲν ἀνένευσεν. ὁμολογῶν δέ, κατένευσεν. Ἄλλως; ἄρ' ἐξηπατώμεθα. ἠλιθίως καὶ ματαίως. καὶ ὅμηρος. ἀπέχει ἄλλως σοί γε πατὴρ ἠρήσατο πολλάς. οἱ δὲ ἀττικοὶ εἰώθασι προστιθέναι τὴν τὴν. λέγοντες τηνάλλως. Ἑλληνικόν γ' ἐπένευσαν. τοῦτο εἶπεν, ὡς διαφέροντος καὶ τοῦ νεύματος τοῦ ἑλληνικοῦ. ἐπένευσε δὲ μετὰ τὸ ἀνάγειν τὴν κεφαλὴν χρὴ μέντοι εἰδέναι ὅτι ἕνα καλέσας μικρῷ πρότερον, νῦν ὡς περὶ δυεῖν τὸν λόγον ποιεῖται, δῆλον ὅτι δι' ἑνὸς τοῦ ἐνδοξοτέρου τοὺς δύο καλεῖ. αὐτόθεν δὲ ἀπὸ τῆς ἀττικῆς, ἐντεῦθεν.

ἄγε δὴ σὺ φράσον ἐμοὶ σαφῶς πρὸς τουτονὶ
ἵνα μή σε βάψω βάμμα σαρδιανικόν.
βασιλεὺς ὁ μέγας ἡμῖν ἀποπέμψει χρυσίον;
ἀνανεύει. ἄλλως ἄρ' ἐξαπατώμεθ' ὑπὸ τῶν πρέσβεων,
ἐπινεύει. ἑλληνικόν γ' ἐπένευσαν ἅνδρες οὑτοιί
οὐκ ἔσθ' ὅπως, οὐκ εἰσὶν ἐνθένδ' αὐτόθεν.
καὶ τοῖν μὲν εὐνούχοιν τὸν ἕτερον τουτονί,
ἐγᾦδ' ὅς ἐστι. κλεισθένης ὁ σιβυρτίου.
ὦ θερμόβουλον πρωκτὸν ἐξυρημένε.
τοιόνδε δ' ὦ πίθηκε τὸν πώγων' ἔχων,
εὐνοῦχος ἡμῖν ἦλθες ἐσκευασμένος;
ὁδὶ δέ, τίς ποτ' ἐστίν. οὐ δήπου στράτων;
ΚΗ. Σίγα. κάθιζε.
τὸν βασιλέως ὀφθαλμὸν ἡ βουλὴ καλεῖ.
εἰς τὸ πρυτανεῖον. ΔΙ. ταῦτα δῆτ' οὐκ ἀγχόνη;
κἄπειτ' ἐγὼ δῆτ' ἐνθαδὶ στρατεύομαι.

Ε γᾦδ' ὅς ἐστι. τὸ ἐγᾦδα, ἀντὶ τοῦ ἐγὼ οἶδα. οὗτος δὲ ὁ κλεισθένης ἀεὶ τὸ γένειον ἐξυρᾶτο πρὸς τὸ ἀεὶ φαίνεσθαι νέος. διὰ τοῦτο εὐνούχῳ αὐτὸν εἰκάζει. Ὦ θερμόβουλον. παρῳδίᾳ χρῆται. ἔστι γὰρ ἐν τῇ μηδείᾳ εὐριπίδου ὦ θερμόβουλον σπλάγχνον. οὗτος οἷον σκώπτων εὐριπίδην, προσέθηκε πρωκτὸν παρὰ προσδοκίαν.

Τ οιόνδ' ὦ πίθηκε. καὶ τοῦτο παρῴδηκεν ἐκ τῶν ἀρχιλόχου ἐπῶν. τοιήνδ' ὦ πίθηκε τὴν πυγὴν ἔχων. Οὐ δήπου στράτων. καὶ οὗτος κωμῳδεῖται ὡς λαβώμενος τὸ γένειον καὶ λεαίνων τὸ σῶμα. ὡς κλεισθένης. ὥς φησιν αὐτὸς ἀριστοφάνης ἐν ὁλκάσι. παῖδες ἀγένειοι στράτων. Εἰς τὸ πρυτανεῖον. ὥστε ἐκεῖ εἶναι τοὺς πρέσβεις παρὰ ἀθηναίοις. Ταῦτα δῆτ' οὐκ ἀγχόνη. ἡ διαφορὰ τοῦ ὀνόματος ἐν τῷ τόνῳ. ὀξυτόνως μὲν γάρ, τὸ εἶδος τοῦ πάθους. βαρυτόνως δὲ τὸ χοινίον καὶ ὁ βρόχος.

πως. ἀπὸ δυσθέας τῆς, ὁ πρέσβυς. οἱ δὲ, παροξυτόνως ὡς χαλκέως, ἀπὸ δυσθείας τῆς, ὁ πρεσβεύς. οἵτινες ἁμαρτάνουσιν· οὐ γάρ ἐστιν ὁ πρεσβεύς. Ὁ βασιλέως ὀφθαλμός. οὕτως ἐκάλουν οἱ κήρυκες ἐξ ὀνόματος. Πρὸς τῶν θεῶν. ἐξεποίησε μέγαν ὀφθαλμὸν ἐσκευασμένον ἔχοντα τὸν πρεσβευτήν. ναύφρακτον δὲ, ἤτοι ναύσταθμον. ὡς περιβλέποντος ἐγκύκλῳ τοῦ πρεσβευτοῦ, καὶ ἀξιωματικῶς εἰσιόντος, τινὲς δὲ ναύφρακτον, τὴν ἐν ναυσὶ στρατιάν· οἷον οὖν στρατιὰν βλέπεις ὅλην. ἐπειδὴ μεγάλοι ταῖς τριήρεσιν ὀφθαλμοὶ γίνονται, δι' ὧν τὰς κώπας ἐμβάλλοντες, ἐκωπηλάτουν. ἐφράττοντο δὲ καὶ δέρμασιν οἱ τρόποι πρὸς τὸ μὴ τρίβεσθαι τὰ σανιδώματα. Ἄλλως. Ὁ ναυτικὸς στρατὸς, ναύφρακτος καλεῖται. σκώπτων οὖν αὐτὸν ὁ ... βαρβάρως καὶ μόλις ...ποτε ναυτὰ ταῦτά φησι· πότερον ἐν ὀφθαλμοῖς τὸ ναυτικὸν ἔχων οὕτω βαδίζεις, ἢ ναῦν ἀκρωτήριον κάμπτουσαν. ἐπειδὴ δεδοικότες οἱ ἐμπλέοντες,

ἦ περὶ ἄκραν κάμπτων, νεώσοικον σκοπεῖς.
ἄσκωμ' ἔχεις που περὶ τὸν ὀφθαλμὸν κάτω.
κη. ἄγε δὴ σὺ, βασιλεὺς ἅττα σ' ἀπέπεμψε φράσον.
λέξον τ' ἀθηναίοισιν ὦ ψευδαρσάβα.
βα. ἰαρταμὰν ἐξάρξαν ἀπισσονα σάτρα.
κη. ξυνήκαθ' ὃ λέγει; δι. μὰ τὸν ἀπόλλω 'γὼ μὲν οὔ.
κη. πέμψειν βασιλέα φησὶν ὑμῖν χρυσίον.
λέγε δὴ σὺ μεῖζον, καὶ σαφῶς τὸ χρυσίον.
βα. οὐ λῆψι χρυσοχαυνόπρωκτ' ἰαοναῦ.
κη. οἴμοι κακοδαίμων ὡς σαφῶς. δι. τί δ' αὖ λέγει;
κη. ὅτι χαυνοπρώκτους τοὺς ἴονας λέγει,
εἰ προσδοκῶσι χρυσίον ἐκ τῶν βαρβάρων.
δι. οὐκ, ἀλλ' ἀχάνας ὅδε γε χρυσίου λέγει.
κη. ποίας ἀχάνας; σὺ μὲν ἀλαζὼν εἶ μέγας.
δι. ἄπιθ'· ἐγὼ δὲ βασανιῶ τοῦτον μόνος.

ὅταν ὦσι πλησίον τῆς γῆς, ἠρέμα καὶ ἀτρεμαίως ἰθύνουσι, μὴ προσπταίσωσι τῇ γῇ. ἐσκευασμένος δὲ ἦν ὁ πέρσης, δέρμα ἔχων καθειμένον, εἰς τὸ πρὸ τοῦ τε πώγωνος καὶ τοῦ στόματος, ὡς ἐν προσωπείον. Ἄλλως. ἐξέθεσε τερατώδη τις γελοίως ἐσκευασμένος καὶ ὀφθαλμὸν ἔχων ἕνα ἐπὶ παντὸς τοῦ προσώπου. Ἢ περὶ ἄκραν κάμπτων. τηνικαῦτα γὰρ μάλιστα εἰώθασι προορᾶν καὶ φυλάττειν τὴν ναῦν, ὁπόταν ἄκραν τινὰ κάμπτωσι. νεώριον οὖν φησι περιβλέπεις, ἐν ᾧ νεωλκήσεις. οἶκον δὲ νεὼς, ὃ καλοῦσιν ἀγκῶνα. ἢ μᾶλλον ὑποκρύφους τόπους διὰ τὸ γαλήνιον ἐν αὐτῷ σκέπην εἶπεν. Ἄσκωμ' ἔχεις. ὡς τοῦ δέρματος ἐξηρτημένου τοῦ μύστακος αὐτοῦ καὶ τῆς ῥινὸς, καὶ οὕτω γελοίως ἐσκευασμένου. ἄσκωμα δὲ, ὁ ἱμὰς ὁ συνέχων τὴν κώπην, πρὸς τῷ σκαλμῷ. Ἄλλως. ὁ τῆς κώπης ὀφθαλμὸς, ἔχει τὸ ἄσκωμα. κώπης δὲ ὀφθαλμὸς τὸ τρῆμα. Ἀπισσονα σάτρα. παίζει ὡς τῇ περσικῇ διαλέκτῳ χρώμενος. Πέμψειν βασιλέα. τοῦτό φησιν ὁ κῆρυξ ἢ οἱ πρέσβεις. Χρυσοχαυνόπρωκτοι. ἀντὶ τοῦ ἔκλυτοι ἰαοναῦ δὲ ἀντὶ τῆς ἀθῆναι, ἴωνες γὰρ οἱ ἀθηναῖοι ἀπὸ ἴωνος τοῦ ξούθου ὡς βάρβαρος δὲ τὸ αὖ ἔφη δωρικὸν ἀντὶ ἑλληνιζομένου.

Ὅτι χαυνοπρώκτους. ὅτι πάντας τοὺς ἕλληνας ἰάονας οἱ βάρβαροι ἐκάλουν· προείρηται καὶ ὅμηρος· ἰάονας ἑλκεχίτωνας. τὸ δὲ αὖ, ἀντὶ τοῦ οὖ βαρβαρίζων ἔφη.

Δ ὑπὸ ταῦτα ἐς ἄλλως τε διὰ τοῦ εἰπεῖν ἐπὶ χρυσῶν ὀρῶν. τά που οὖρος δὲ χαλάσεια, ἅ φασιν ἀμίδας. καὶ τὰ τῆς περσίδος ὄρια. ἐν οἷς φασι γίγνεσθαι τὸν χρυσόν. ὅθεν ἱστοροῦσι τὸν ξέρξην ὑπὸ χρυσῆν πλάτανον καθεύδειν ὅτι κατὰ τῶν ἀθηναίων ἐστράτευσεν. αἰτίᾳ δὲ τοῦ εἰπεῖν πόσου χρόνου συνήγαγε τὸν στρατὸν, τὴν πορείαν εἶπε.

Ϡ ἡ πανσελήνῳ. οἱ γὰρ ἕλληνες πάντα ἔπραττον πρὸς τὴν σελήνην ἀποβλέποντες καὶ μάλιστα οἱ λακεδαιμόνιοι. διὰ τοῦτο γοῦν καὶ αἰτιοφέρνους τῶν στρατηγῶν τῶν περσῶν βασιλέως εἰς μαραθῶνα ἐμβεβληκότων, περιέμενον τὴν πανσέληνον ἐπὶ τῷ τό τε ἐξελθεῖν ἐπὶ τὸν πόλεμον. πρὶν οὖν ἐκείνους παραγενέσθαι κατώρθωσαν οἱ ἀθηναῖοι τὸν πόλεμον. παίζει οὖν πρὸς τὸ τοιοῦτον ἔθος. Ἐκ κριβάνου οὐδὲ τέρως λέγεται τὸ κρίβανον. ὡς μαρτυρεῖ φερεκράτης. τουτέστιν. ὡς αἱ ἑκάστῳ τὸ κρίβανον.

πρ. τῇ πανσελήνῳ. κᾆτ' ἀπῆλθεν οἴκαδε.
εἶτ' ἐξένιζε. παρετίθει δ' ἡμῖν ὅλους
ἐκ κριβάνου βοῦς. δι. καὶ τίς εἶδε πώποτε
βοῦς κριβανίτας. τῶν ἀλαζονευμάτων.
πρ. καὶ ναὶ μὰ δί' ὄρνιν τριπλάσιον κλεωνύμου.
παρέθηκεν ἡμῖν. ὄνομα δ' ἦν αὐτῷ φέναξ.
δι. ταῦτ' ἄρ' ἐφενάκιζες σὺ δύο δραχμὰς φέρων.
πρ. καὶ νῦν ἄγοντες ἥκομεν ψευδαρτάβαν
Τὸν βασιλέως ὀφθαλμόν. δι. ἐκκόψειέ γε
κόραξ πατάξας τόν γε σὸν τοῦ πρέσβεως.
κη. ὁ βασιλέως ὀφθαλμός. δι. ὦναξ ἡράκλεις
πρὸς τῶν θεῶν ἄνθρωπε ναύφρακτον βλέπεις.

οὕτω δὲ λέγεται οἱονεὶ κρίβανον. ἐν ᾧ αἱ κριθαὶ ὀπτῶνται. βαίνους δὲ, ἔλεγον τὰς καμίνους. ἀρισταρχός. οἱ δὲ ξένια ἔφερον θύννους ἐν κριβάνοις ὀπτούς. καὶ κριβανίτης ἄρτος ὁ ἐν κριβάνῳ ὠπτημένος τὴν δὲ τῶν ἄρτων ἐν κριβάνῳ ὄπτησιν, αἶνος αἰγύπτιος ἐπενόησεν ὅθεν καὶ παροιμία, αἶνος κρίβανον ἐπὶ τῶν καινόν τι ἐφευρηκότων

Κ αἱ τίς εἶδε πώποτε. λείπει τὸ οὐδείς. ὡς καὶ παρ' ὁμήρῳ. τίς ἂν τάδε γηθήσειεν ἰδών. προσυπακουστέον γὰρ τὸ οὐδείς. Τριπλάσιον κλεωνύμου. ὅτι ὡς μέγα ἔχων σῶμα καὶ δειλὸς διεβάλλετο ὁ κλεώνυμος. ἐπίρρωσιν δὲ καὶ ἀδηφάγος εἴρηται. νῦν δὲ καὶ φενακιστὴν αὐτὸν καλεῖ χαριεντιζόμενος. Ταῦτ' ἄρ' αἰτίᾳ τοῦ διὰ ἴσου τὰ φόρων δὲ, τουτέστι λαμβάνων. κομιζόμενος. Ψευδαρτάβαν. γελοίως ἔπαιξε. παίζει δὲ, ὡς τοιούτων ὄντων ὀνομάτων παρὰ πέρσαις, ἀρταβάζου καὶ ἀρταξέρξου. καὶ τὸ ψευδαρτάβαν ἐποίησε, παρὰ τὴν ἀρτάβην τὸ μέτρον. περσικὸν δὲ καὶ αἰγύπτιον τὸ ὄνομα. Τὸν βασιλέως ὀφθαλμόν. τὸν μέγα δυνάμενον παρὰ βασιλεῖ. οὕτω δὲ ἐκάλουν τοὺς σατράπας, δι' ὧν πάντα ὁ βασιλεὺς ἐπισκοπεῖ, ὡς βασιλέως ὦτα, οἱ ὠτακουσταί. δι' ὧν ἀκούει τὰ πραττόμενα ἑκάστῳ πανταχοῦ. δὶς ὡς συνάρχοις χρῆται. ὡς ἀριστοτέλης πολιτικῶν γ κατὰ λέξιν οὕτω φησίν. ἄτοπον δ' ἴσως ἂν εἶναι δόξειεν εἰ βέλτιον ἴδοι τις δυοῖν ὄμμασι καὶ δυσὶν ἀκοαῖς κρίνων καὶ πράττων δυσὶ ποσὶ καὶ χερσὶν ἢ πολλοὶ πολλοῖς. ἐπεὶ καὶ νῦν ὀφθαλμοὺς πολλοὺς οἱ μόναρχοι ποιοῦσιν αὐτῶν καὶ ὦτα καὶ χεῖρας καὶ πόδας. τοὺς γὰρ τῇ ἀρχῇ καὶ αὐτοῖς φίλους, ποιοῦνται συνάρχους. Τοῦ πρέσβεως. προπαροξυτόνως. ὡς μάντεως.

ἀθήνησι, καθάπερ γὰρ τῶν πρεσβευτῶν ὡς ἐπί τινες χρονοτριβούντων ἐν ταῖς πρεσβείαις, ὑπὲρ τοῦ πλείονα μισθὸν λαμβάνειν. Ἐπ' εὐθυμένους ἄρχοντος. οὗτος ὁ ἄρχων ἐφ' οὗ κατελύθη τὸ ψήφισμα, τοῦ μὴ κωμῳδεῖν, γραφὲν ἐπὶ μορυχίδου· καὶ ἴσχυσεν ἐκεῖνόν τε τὸν ἐνιαυτὸν, καὶ δύο τοὺς ἑξῆς· ἐπὶ γλαυκίνου τε καὶ θεοδώρου· μεθ' οὓς ἐπ' εὐθυμένους κατελύθη. Διὰ τῶν καϋστρίων. καΰστριος ποταμὸς τῆς λυδίας περὶ μίλητον πλησίον λυδίας. παρ' ᾧ καὶ ὁ ἄσος λειμών. ἔνθα καὶ χῆνές εἰσι διατώμενοι καὶ ὅμηρος,

χηνῶν ἢ γεράνων ἢ κύκνων δουλιχοδείρων. ἀσίῳ ἐν λειμῶνι καϋστρίου ἀμφὶ ῥέεθρα. γενικὴ δέ ἐστι τὸ, ἀσίω. Ἐσκηνημένοι κέκληται τὸ ῥῆμα ἀπὸ τῆς πρώτης τῶν περισπωμένων. εἰ γὰρ ἦν ἀπὸ τῆς τρίτης ἦν ἂν διὰ τοῦ ω. ὡς κεχρυσωμένοι. Σφόδρα γὰρ ἐσωζόμην. ἐκ τοῦ ἐναντίου ἀπήντησεν ἀγανακτῶν. ὅτι ὑμεῖς ἀπώλλυσθε οὕτω διάγοντες, ἐσωζόμην ἄρα ἐγὼ πολιορκούμενος ὑπὸ λακεδαιμονίων. κατακείμενος καὶ καθεύδων ἐν τῷ τείχει ἐπὶ φρυγανῶν καὶ καλάμης καὶ συφερτῶν. τὸ δὲ ἐσωζόμην εἰρωνικῶς λέγει.

Πρ. καὶ δῆτ' ἐτρυχόμεσθα διὰ τῶν καϋστρίων
πεδίων ὁδοιπλανοῦντες ἐσκηνημένοι,
ἐφ' ἁρμαμαξῶν μαλακῶς κατακείμενοι,
ἀπολλύμενοι. Δι. σφόδρα γὰρ ἐσωζόμην ἐγὼ
παρὰ τὴν ἔπαλξιν ἐν φορυτῷ κατακείμενος.
Πρ. ξενιζόμενοι δὲ, πρὸς βίαν ἐπίνομεν
ἐξ ὑαλίνων ἐκπωμάτων, καὶ χρυσίδων
ἄκρατον οἶνον ἡδύν. Δι. ὦ κραναὰ πόλις.
ἆρ' αἰσθάνει τὸν κατάγελων τῶν πρέσβεων;
Πρ. οἱ βάρβαροι γὰρ ἄνδρας ἡγοῦνται μόνους
τοὺς πλεῖστα δυναμένους, καταφαγεῖν τε καὶ πιεῖν.
Δι. ἡμεῖς δὲ λαικαστάς τε καὶ καταπύγονας.
Πρ. ἔτει τετάρτῳ δ' εἰς τὰ βασίλει' ἤλθομεν.
ἀλλ' εἰς ἀπόπατον ᾤχετο, στρατιὰν λαβὼν
κἄχεζεν ὀκτὼ μῆνας ἐπὶ χρυσῶν ὀρῶν.
Δι. πόσου δὲ τὸν πρωκτὸν χρόνου ξυνήγαγεν

Ξενιζόμενοι δὲ, προτρεπόμενοι εἰς τὰ ξένια βρώματα τοῦ βασιλέως τῶν περσῶν. Ὦ κραναὰ πόλις. τοῦτο παρὰ τὰ ἐπὶ τῶν παλαιῶν. καὶ αἰσχύλος γὰρ καὶ σοφοκλῆς ἐχρήσαντο τῇ λέξει. λέγει δὲ κραναὰς, τὰς ἀθήνας. ἤτοι τὰς τραχείας. λεπτόγεως γὰρ ἡ ἀττικὴ ἢ ἀπὸ κραναοῦ τινός. ὃς ἦν τῶν αὐτοχθόνων εἷς. Οἱ βάρβαροι γὰρ ἄνδρες. ἄνδρας νῦν ἀντὶ τοῦ ἀνδρείους καὶ γεννάδας. Καταφαγεῖν. ἐμφατικῶς ἢ κατὰ ὥσπερ καὶ τὸ ἐμφαγεῖν. Λαικαστὰς δὲ τοὺς πόρνους· καὶ ἀλλαχοῦ· Κάμπτει δὲ νέας ἁψῖδας ἐπῶν. Γογγυλίζει καὶ λαικάζει καὶ λαικάστρια ἡ πόρνη. Ἀλλ' εἰς ἀπόπατον. ἀπόπατος λέγεται, τῆς ἐκ δὲ ἠτιμημένης τροφῆς ἡ ἄφοδος. παρὰ τὸ ἐκτρέπεσθαι τῆς ὁδοῦ. πάτος γὰρ ἡ κοινὴ ὁδός. καὶ ὅμηρος. πάτον ἀνθρώπων ἀλεείνων. ἀντὶ δὲ τοῦ εἰπεῖν ἐπὶ πόλεμον ᾤχετο, ἔφη εἰς ἀπόπατον ᾤχετο. Ἐπὶ χρυσῶν ὀρῶν. παρόσον ἱστόρηται ὅτι τῶν περσῶν βασιλεὺς ὑπὸ χρυσῆν πλάτανον καθεζόμενος, ἔπαιξεν εἰπών, ἐπὶ χρυσῶν ὀρῶν. ὄρος ἦν ἅμις. ἢ διὰ τὰ ἐν περσίδι χρυσοῦ μέταλλα. ἄλλως.

Σπονδὰς ποιεῖσθαι. οὗτος γὰρ ὁ σκοπὸς τοῦ δράματος, ὥστε σπονδὰς ποιεῖσθαι πρὸς Λακεδαιμονίους. Ἐφόδι' οὐκ ἔχω. ὅτι ἐκ τοῦ πολέμου πένης εἰμί. καὶ ἐφόδια οὐκ ἔχω. Οἱ τοξόται. τοῦτό φησιν εἷς τῶν πρυτανέων, κελεύων ἐκβαλεῖν τὸν ἀμφίθεον ὡς ὑβριστήν. Ἄλλως. τοῦτο ἐκ τῶν πρυτανέων τις φησὶ κελεύων ἀπελαύνειν τὸν ἀμφίθεον. εἰσὶ δὲ οἱ τοξόται δημόσιοι ὑπηρέται φύλακες τοῦ ἄστεος τὸν ἀριθμὸν χίλιοι, οἵτινες πρότερον μὲν ᾤκουν τὴν ἀγορὰν μέσην σκηνοποιησάμενοι. ὕστερον δὲ μετέβησαν εἰς ἄρειον πάγον. ἐκαλοῦντο δὲ, οὗτοι, καὶ σκύθαι καὶ πευσίνιοι· πευσίνος τινος τῶν πάλαι πολιτευομένων συντάξαντος τὰ περὶ αὐτούς. Ὦ τριπτόλεμε. τοὺς ἑαυτοῦ προγόνους, ἐπικούρους ὡσπερ καὶ συμμάχους ἐπικαλεῖται. Ἀπάγοντες δὲ, ἀπωθοῦντες ἀπελαύνοντες. Καὶ κρεμάσαι. ἐν γὰρ τῇ εἰρήνῃ κρέμανται αἱ ἀσπίδες.

Σπονδὰς ποιεῖσθαι πρὸς λακεδαιμονίους μόνῳ.
ἀλλ' ἀθάνατος ὢν ὤνδρες ἐφόδι' οὐκ ἔχω.
οὐ γὰρ διδόασιν οἱ πρυτάνεις. κη. οἱ τοξόται.
ἀμ. ὦ τριπτόλεμε καὶ κελεέ περιόψεσθέ με;
δι. ὤνδρες πρυτάνεις, ἀδικεῖτε τὴν ἐκκλησίαν.
τὸν ἄνδρ' ἀπάγοντες ὅστις ἡμῖν ἤθελε
σπονδὰς ποιῆσαι καὶ κρεμάσαι τὰς ἀσπίδας.
κη. κάθησο σίγα. δι. μὰ τὸν ἀπόλλω 'γὼ μὲν οὔ.
ἢν μὴ περὶ εἰρήνης γε πρυτανεύσητέ μοι.
κη. οἱ παρὰ βασιλέως πρέσβεις.
δυ. ποίου βασιλέως. ἄχθομαι 'γὼ πρέσβεσι.
καὶ τοῖς ταῶσι, τοῖς τ' ἀλαζονεύμασι.
κη. σίγα. δι. βαβαιάξ. ὦκβάτανα τοῦ σχήματος.
πρ. ἐπέμψαθ' ἡμᾶς ὡς βασιλέα τὸν μέγαν.
μισθὸν φέροντας δύο δραχμὰς τῆς ἡμέρας
ἐπ' εὐθυμένους ἄρχοντος. δι. οἴμοι τῶν δραχμῶν.

Ἢν μὴ περὶ εἰρήνης πρυτανεύσητε. αὐτὶ τοῦ χρηματίσητε πράξητε. πάντα γὰρ ἀπὸ τῶν πρυτανέων διεπράττετο. ἐχρήσατο δὲ τῇ λέξει καὶ δημοσθένης.

Οἱ πρέσβεις. οὕτως ὁ περσῶν βασιλεὺς κατ' ἐξοχήν. οὕτω δὲ καὶ ἄλλους ἔλεγον, προστιθέντες τῶν ἀρχομένων τὰ ὀνόματα. οἷον βασιλεὺς λακεδαιμονίων βασιλεὺς μακεδόνων. διαφορὰ δέ ἐστι βασιλέως καὶ τυράννου. βασιλεὺς μὲν γὰρ ἐκ προγόνων κατὰ διαδοχὴν ἔχει τὴν ἀρχὴν ἐπὶ ῥητοῖς λαβὼν γέρασι. τύραννος δὲ, τὸ ἄρχειν βιαίως σφετερίζεται. χρῶνται δὲ ἀδιαφόρως ἔνιοι τοῖς ὀνόμασι. ἱέρωνα μὲν βασιλέα πίνδαρος καλεῖ, τὸν συρακουσίων τύραννον. εὔπολις δὲ ἐν δήμοις εἰσάγει τὸν πεισίστρατον, βασιλέα. ἀλλὰ καὶ τοὺς βασιλεῖς πολλάκις τυράννους λέγουσι. πρέσβεις δὲ οὗτοι εἰσὶν οἱ περὶ τὸν μόρυχον ἐμπαθεῖς ὄντες τρυφῆς. Καὶ τοῖς ταῶσι τοῖς κόλποις τοῖς πεποικιλμένοις. ἐπειδὴ ταὼς ποικίλος. ἢ ὅτι πορφύρας ἔχουσι καὶ τιάρας ὡς αὐτός φησι. τιάραι δέ εἰσι, περικεφαλαῖαι περσικαί, ταῶνος πτερὰ ἔχουσαι. ἢ ὅτι ἥκοντες ἀπὸ περσίδος, ταῶν ἔχοντες ἐληλύθασιν. Ὦ κβάτανα. ἐξίασι γὰρ οἱ πρέσβεις κεκαλλωπισμένοι ὡς ἀπὸ ἐκβατάνων. ἥτις ἐστὶ περσικὴ πόλις. Μισθὸν φέροντας. διὰ τούτων περιίστησι τὴν τῶν ἀθηναίων μαλακίαν ἄλλως ἀναλισκόντων τοὺς χρόνους ἕνεκα κέρδους. πρὸ β' ἐτῶν ἦρχεν ὁ εὐθυμένης.

χαίροντες τοῦ προσδοκουμένου λογισμοῦ. ὅτε γὰρ αὐτοὶ ἐφ' ἑαυτῶν τίθενται ἀλύοντες, καὶ ἐπὶ γῆς διαγράφουσιν. Ἀποβλέπων εἰς τὸν ἀγρόν. οἱ γὰρ πολιορκούμενοι καὶ πολεμούμενοι, ἀεὶ ἐπὶ τὸν ἀγρὸν ἀποβλέπουσιν, ἐπιθυμοῦντες ἐν αὐτῷ εἶναι. Στυγῶν μὲν ἄστυ. ὁ στίχος ἐκ τραγῳδίας. Ἄνθρακας πρίω. τοῦτο ἀχαρνέων ἴδιον τὸ λέγειν πρίασο πρίω. ἵστασο ἵστω. ἦν γὰρ ὁ δικαιόπολις, ἀχαρνεύς. οὗτοι δὲ πολυάνθρακες. καὶ οὐ δεόμενοι παρ' ἄλλων πρίασθαι. Οὐδ' ᾔδει πρίω. οὐδὲ ἐγίνωσκε τὸ πρίω ῥῆμα. οὐ γὰρ ἐδέετο ἀγοράσαι ἔχων οἴκοι. Ὑποκρούειν. ἀντιφθέγγεσθαι. ἀντιλέγειν ἁπλῶς καὶ ὡς ἔτυχε. τὸ δὲ ὑποκρούειν, ἐπὶ τῶν θορυβούντων λέγεται ὅπερ ἡμεῖς φαμὲν, ἐκκρούειν καὶ κωλύειν. τὸ δὲ λοιδορεῖν ἄμφω σημαίνει καὶ λοιδορεῖν καὶ λοιδορεῖσθαι. Οὑτοιὶ δεικτικῶς. μεσημβρινοὶ ἢ οὐκ ὀρθρίσαντες. Ὡς ἂν ἐντὸς ἦτε. εἰώθασιν οἱ ἀθηναῖοι, σφάζειν δέλφακα καὶ ῥαίνειν τὰς καθέδρας τῷ αἵματι αὐτοῦ εἰς τιμὴν τῆς δήμητρος. ἐπειδὴ τοὺς καρποὺς αὐτῆς βλάπτει. Ἄλλως.

ὃς οὐδεπώποτ' εἶπεν ἄνθρακας πρίω.
οὐκ ὄξος. οὐκ ἔλαιον. οὐδ' ᾔδει πρίω.
ἀλλ' αὐτὸς ἔφερε πάντα χὠ πρίων ἀπῆν.
νῦν οὖν ἀτεχνῶς ἥκω παρεσκευασμένος.
βοᾶν. ὑποκρούειν, λοιδορεῖν τοὺς ῥήτορας
ἐάν τις ἄλλο πλὴν περὶ εἰρήνης λέγῃ.
ἀλλ' οἱ πρυτάνεις γὰρ οὑτοιί, μεσημβρινοί.
οὐκ ἠγόρευον τοῦτ' ἐκεῖν' οὐγὼ 'λεγον.
εἰς τὴν προεδρίαν πᾶς ἀνὴρ ὠστίζεται;
ΚΗ. πάριτ' εἰς τὸ πρόσθεν.
πάριθ' ὡς ἂν, ἐντὸς ἦτε τοῦ καθάρματος.
ΑΜ. ἤδη τις εἶπε. ΚΗ. τίς ἀγορεύειν βούλεται.
ΑΜ. ἐγώ. ΚΗ. τίς ὤν. ΑΜ. ἀμφίθεος. ΚΗ. οὐκ ἄνθρωπος. ΑΜ. οὔ.
ἀλλ' ἀθάνατος ὁ γὰρ ἀμφίθεος δήμητρος ἦν.
καὶ τριπτολέμου. τούτου δὲ κελεὸς γίνεται.
γαμεῖ δὲ κελεὸς, φαιναρέτην τήθην ἐμήν.
ἐξ ἧς λυκῖνος ἐγένετ' ἐκ τούτου δ' ἐγώ;
ἀθάνατός εἰμ' ἐμοὶ δ' ἐπέτρεψαν οἱ θεοί.

ὅτι καθαίρονται οἱ ἐν τῇ ἐκκλησίᾳ χοίρου σφαζομένου. καὶ ὁ ῥήτωρ φησὶν, ἐπειδὰν τὸ καθάρσιον περιενεχθῇ. καὶ ὁ κῆρυξ τὰς πατρίους εὔξηται, τότε δὴ κελεύει δημηγορεῖν. τὸ δὲ θυόμενον χοιρίδιον ἐπὶ καθάρσει τῶν τόπων, κάθαρμα ἐκαλεῖτο. ὁ δὲ περικαθαίρων, καθαρτής. αἰσχίνης δὲ ἐν τῷ κατὰ τιμάρχου, καθάρσιον καλεῖ.

Ὁ γὰρ ἀμφίθεος δήμητρος ἦν υἱὸς δήμητρος καὶ τριπτολέμου ὁ ἀμφίθεος. πέπαικται κωμικῶς ταῦτα. κελεοῦ γὰρ καὶ τριπτολέμου. ταῦτα δὲ λέγει ἐν παιδιᾷ σκώπτων τὸν εὐριπίδην, ἀεὶ ἡδέως ἐπαγγέλλοντα τὰ γένη. ἐν ἄλλοις τε καὶ κατ' ἀρχὰς τῆς ἐν ταύροις ἰφιγενείας. πέλοψ ὁ ταντάλειος εἰς πῖσαν μολὼν θοαῖσιν ἵπποις οἰνομάου γαμεῖ κόρην. ἐξ ἧς ἀτρεὺς ἔβλαστεν. ἀτρέως δὲ παῖς μενέλαος ἀγαμέμνων τε. τοῦ δ' ἔφυν ἐγώ. τοῦ δὲ κελεοῦ μέμνηται βακχυλίδης διὰ τῶν ὕμνων. Ἄλλως. τὸν πρόπαππον αὐτοῦ λέγει. ὃς ἀμφίθεος ὁμωνύμως ἐκαλεῖτο.
Τήθην ἐμήν. τήθας ἐκάλουν τὰς μάμμας. καὶ τηθελὰς τὰς μαμμοθρέπτους.

Τὸ σχοινίον φεύγουσιν, ὑπὲρ τοῦ ἐξ ἀνάγκης αὐτοὺς εἰς τὰς ἐκκλησίας συνιέναι, τοῦτο ἐμηχανῶντο, καὶ πολλὰ ἄλλα. ἀνεπετάννυσαν γὰρ τὰ γέρρα. καὶ ἀπέκλειον τὰς ὁδοὺς, τὰς μὴ φερούσας εἰς τὴν ἐκκλησίαν. καὶ τὰ ὤνια ἀνῄρουν ἐν ταῖς ἀγοραῖς ὅπως μὴ περὶ ταῦτα διατρίβοιεν. ἔτι μὴν καὶ μεμιλτωμένῳ σχοινίῳ περιβάλλοντες αὐτοὺς, συνήλαυνον εἰς τὰς ἐκκλησίας. τοῦτο δὲ ἐποίουν, ὑπὲρ τοῦ μὴ βραδύνειν. ὅσοι γὰρ ἐχρίοντο, ζημίαν ἐξέτινον. Ἄλλως. ἐπεὶ ὀκνηρῶς εἶχον οἱ ἀθηναῖοι πρὸς τὰς συνόδους, εἰώθασιν ὑπηρέται δύο μεμιλτωμένον τουτέστι μίλτῳ ἤτοι βάμματι κοκκίνῳ σχοινίον ἐκτείνοντες διὰ τῆς ἀγορᾶς, διώκειν τὸν ὄχλον εἰς τὴν ἐκκλησίαν, ὥς φησι πλάτων ὁ κωμικός. ὅσοι δὲ ἐχρίοντο, ἐξέτινον ζημίαν. Ἀλλ' ἀωρίαν ἥκοντες. ἀντὶ ἀωρίᾳ καὶ μεθ' ἡμέραν. καὶ ἐπὶ τοιούτῳ. ὁ δὲ νοῦς, ἀκαίρως καὶ παρὰ τὸν δέοντα καιρόν. ἄωρα γὰρ τὰ παρὰ καιρὸν τρυγώμενα.

Τὸ σχοινίον φεύγουσι τὸ μεμιλτωμένον.
οὐδ' οἱ πρυτάνεις ἥκουσιν. ἀλλ' ἀωρίαν
ἥκοντες εἶτα δ' ὠστιοῦνται πῶς δοκεῖς,
ἐλθόντες ἀλλήλοισι, περὶ πρώτου ξύλου.
ἀθρόοι καταῤῥέοντες. εἰρήνη δ' ὅπως;
ἔσται προτιμῶσ' οὐδέν. ὦ πόλις πόλις.
ἐγὼ δ' ἀεὶ πρώτιστος εἰς ἐκκλησίαν
νοστῶν κάθημαι. κᾆτ' ἐπειδὰν ὦ μόνος,
στένω. κέχηνα. σκορδινῶμαι. πέρδομαι.
ἀπορῶ. γράφω. παρατίλλομαι. λογίζομαι.
ἀποβλέπων εἰς τὸν ἀγρὸν εἰρήνης ἐρῶν.
στυγῶν μὲν ἄστυ, τὸν δ' ἐμὸν δῆμον ποθῶν.

Ὠστιοῦνται. διωθήσονται. ἀπὸ ἐνεστῶτος τοῦ ὠστίζω. ὁ δὲ λόγος ὡς πρός τινα ἐστὶ λεγόμενος. ὡς καὶ ὅμηρος. φαίης κ' ἀκμῆτας καὶ ἀτειρέας. καὶ ἔνθ' οὐκ ἂν ὑβρίζοντα ἴδοις. Ἐλθόντες ἀλλήλοισι περὶ πρώτου. περὶ τῆς προεδρίας. ὡς ξυλίνων οὐσῶν τῶν καθεδρῶν. ὅτι δὲ ἐκ

162.b. λίθων, πανταχόθεν δῆλον. ὅταν λέγῃ, ἐπὶ τῆς πέτρας κάθηνται. Ἀθρόοι καταῤῥέοντες. ἀντὶ τοῦ ὁμοῦ. προπαροξύνειν δὲ δεῖ τὸ ὄνομα. καὶ δασύνειν τὴν πρώτην συλλαβὴν ἀττικῶς. καταῤῥέοντες δὲ, ἀντὶ τοῦ ἀθρόως ἐπερχόμενοι. ἡ μεταφορὰ, ἀπὸ τῶν ποταμίων ῥευμάτων. καὶ ὅμηρος. τὰ δ' ἐπέῤῥεεν ἔθνεα πεζῶν. Νοστῶν κάθημαι. ἀντὶ τοῦ ἐρχόμενος καὶ ἐπανερχόμενος. Στένω. κέχηνα. πάλιν τὸ κέχηνα, ἐν ἴσῳ τῷ προσδέχομαι. ἢ δέομαι τῆς εἰρήνης. ὥσπερ οἱ νεοσ-

121.b. σοὶ κεχήνασι δεόμενοι τῆς τροφῆς. τὸ δὲ σκορδινῶμαι, ἀντὶ τοῦ κλῶμαι καὶ σπασμῷ συνέχομαι. οἱ γὰρ ἀπὸ πληθωρίας σκοροδίω ἐμοῦντες, διὰ τὴν δριμύτητα μᾶλλον σπῶνται. τὸ δὲ ἐμεῖν καὶ τὸ ὁπωσοῦν κενοῦσθαι, σκορδινᾶσθαί φασιν ἐπὶ τῶν κυνῶν τῶν ἐξ ὕπνου ἀνισταμένων. ὅταν τὰ μέλη καὶ ὅλους αὐτοὺς διατείνωσι. σκορδινᾶσθαι οὖν ἐστι. τὸ ἀνακλᾶσθαι μετὰ χάσμης. γίνεται οὖν ἀπὸ ἀλογίας τὸ τοιοῦτον. Γράφω, παρατίλλομαι. γράφω μὲν, καταγράφω. ἢ ζωγραφῶ. ἀπὸ τῆς γῆς ξύων τῷ δακτύλῳ. ἤ τινι τοιούτῳ παιδιᾶς τινος. παρατίλλομαι δὲ, τὰς ἐκ τῶν μυκτήρων τίλλω τρίχας. ἢ τῶν μασχαλῶν. ταῦτα δὲ πάντα ποιοῦσιν. οἱ προσδεχόμενοι μέν, τινὸς δὲ χρόνον δαπανῶντες, εἰς ἀπορίαν καὶ ἀμηχανίαν μὴ τυγ

τριάκοντα. ὃς καὶ Χίων ἐλέγετο. Πῶς τοῦτ' ἔσεισέ μου. ἀσειστὸν οὖσαν φύσει, μᾶλλον ἐπέσεισε. κέχρηται δὲ τῇ ὑπερβολῇ τῇ ἐπὶ τῆς καρδίας, καὶ θουκυδίδης τὸ ὄνομα φράζων. Ἡνίκ' ἐπὶ μόσχῳ ποτέ. ἀντὶ τοῦ μετὰ τὸν μόσχον. ἦν δὲ οὗτος φαῦλος κιθαρῳδός. πολλὰ ἀπηνδῦτι ᾄδων. Εἰς τὸ αὐτό. ὁ μόσχος κιθαρῳδὸς ἀκραγαντῖνος. τινὲς οὕτως. ὅτι ὁ νικήσας, ἆθλον, ἐλάμβανε μόσχον. τὸ δὲ βοιώτιον μέλος. οὕτω καλούμενον, ὅπερ εὗρε τέρπανδρος, ὥσπερ καὶ τὸ φρύγιον, ὁ δὲ δεξίθεος, ἄριστος κιθαρῳδὸς καὶ πυθιονίκης. οἱ δὲ, ψυχρὸν αὐτὸν εἶναί φασιν.

πῶς τοῦτ' ἔσεισέ μου δοκεῖς τὴν καρδίαν.
ἀλλ' ἕτερον ἥσθην ἡνίκ' ἐπὶ μόσχῳ ποτὶ
δεξίθεος εἰσῆλθ' ᾀσόμενος βοιώτιον.
τῆτες δ' ἀπέθανον καὶ διεστράφην ἰδὼν
ὅτε δὴ παρέκυψε χαῖρις ἐπὶ τὸν ὄρθιον.
ἀλλ' οὐδεπώποτ' ἐξ ὅτου 'γὼ ῥύπτομαι
οὕτως ἐδήχθην ὑπὸ κονίας τὰς ὀφρῦς,
ὡς νῦν ὁπότ' οὔσης κυρίας ἐκκλησίας
ἑωθινῆς, ἔρημος ἡ πνὺξ αὑτηί.
οἱ δ' ἐν ἀγορᾷ λαλοῦσι. κἄγω καὶ κάτω

Τῆτες δ' ἀπέθανον. ἐπὶ ἔτος. ὅπερ οἱ δωριεῖς τῆδες λέγουσιν. Εἰς τὸ αὐτό. ἀντὶ τοῦ ἐπ' ἔτος. οἱ δωριεῖς δὲ διὰ τοῦ δ λέγουσι. τῆδες. Ὅτε δὴ παρέκυψε χαῖρις, καλῶς τὸ παρέκυψεν. ὅσον δὲ τὸ κυψαίδ κιθαρῳδὸς καὶ αὐλητὴς φαῦλος. ὁ δὲ ὄρθιος αὐλητικὸς νόμος. οὕτω καλούμενος, διὰ τὸ εἶναι εὔτονος καὶ ἀνάτασιν ἔχειν. ὡς δηλοῖ καὶ ὅμηρος. ἔνθα στᾶσ' ἤυσε θεὰ μέγα τε δεινόν τε ὄρθι'. ἀχαιοῖσι δὲ μέγα σθένος ἔμβαλ' ἑκάστῳ. Ἐξ ὅτου 'γὼ ῥύπτομαι. ἀντὶ τοῦ σμήχομαι. τουτέστι ζῶ, μεταφορικῶς. τῷ γὰρ ζῶντι ἕπεται, τὸ ῥύπτεσθαι. ῥύμματα γὰρ τὰ σμήγματα. καὶ ὅμηρος. ῥύμματα πάντα κάθηρεν. ῥύπτεσθαι οὖν τὸ σμᾶσθαι. παρεμπλώσει τούτου, τὸ ῥύπον ἀφαιρεῖσθαι. ὁ δὲ ῥύπος, κατὰ ἀφαίρεσιν τοῦ χ. χρύπος γὰρ, ὁ τῷ χρωτὶ ὑπὼν σπίλος. Ὑπὸ κονίας. παρ' ὑπόνοιαν. δέον γὰρ εἰπεῖν, ὑπὸ λύπης τὴν καρδίαν. ὡς καὶ ἐν ἀρχῇ ἔφη, ὑπὸ κονίας τὰς ὀφρῦς εἶπεν. ὅτι καὶ οἱ κονίαν ἤτοι ἄσβεστον ὀσμώμενοι, δάκνονται τὴν ὀφρῦν. Ἄλλως. ὑπερβατόν. ἀλλ' οὐδεπώποτ' ἐξ ὅτου 'γὼ ῥύπτομαι, οὕτως ἐδήχθην ὑπὸ κονίας τὰς ὀφρῦς.

Κυρίας ἐκκλησίας. ἐν ᾗ ἐκύρουν τὰ ψηφίσματα. εἰσὶ δὲ νόμιμοι ἐκκλησίαι αἱ λεγόμεναι τρεῖς, τοῦ μηνὸς ἀθήνησιν. ἡ πρώτη καὶ ἡ δεκάτη καὶ ἡ τριακάς. εἰσὶ δὲ καὶ πρόσκλητοι ἐναγόμεναι κατά τινα ἐπείγοντα πράγματα. αἱ μὲν οὖν νόμιμοι καὶ ὡρισμέναι ἐκκλησίαι κύριαι λέγονται ὡς ἔφαμεν. αἱ δὲ πρὸς τὰ κατεπείγοντα συναγόμεναι, σύγκλητοι. Ἡ πνὺξ αὑτηί. ἡ ἐκκλησία παρὰ τὴν τῶν λίθων πυκνότητα. ἢ ἀπὸ τοῦ πυκνοῦσθαι τοὺς ἄνδρας ἐν τῇ ἐκκλησίᾳ. ὡς αὐτὸς ἐν σφηξὶν ἔδοξέ μοι, παραποιῶν τὴν ὥραν ἐν τῇ πνυκί. Οἱ δ' ἐν ἀγορᾷ λαλοῦσι. διάφορα δηλοῖ ἡ λέξις. νῦν μὲν τὴν ἐκκλησίαν. ὅθεν ὁ νέστωρ ἀγορητής. καὶ τὸν τόπον ἔνθα πιπράσκεται τὰ ὤνια, καὶ αὐτὰ τὰ ὤνια σημαίνει.

θεα τὸ ψαμμακοσίους. δύναται γὰρ ἐγκεῖσθαι τῇ λέξει τὰ κόσια· ἥτις ἐστὶ κατάληξις τοῦ μετὰ τὸν ἑκατὸν ἀριθμοῦ μέχρι τῶν χιλίων. ὃς πλήθους ἐστὶ πολλοῦ σημαντικός. οἷον διακόσια τριακόσια καὶ ἑξῆς. τὸ δὲ γάργαρα καὶ αὐτὸ ἐπὶ πλήθους λαμβάνεται διὰ τὴν συγγένειαν τὴν πρὸς τὸ κ̄. εἴρηται δὲ, ἀντὶ τοῦ ἄφατα καὶ ἀναρίθμητα. τὸ δὲ κάρκαιρε παρὰ τῷ ποιητῇ ἐστὶ, κάρκαιρε δὲ γαῖα πόδεσσι. μέμνηται δὲ καὶ κρατῖνος. ἀρίστων ἀνδρῶν πᾶσα γάργαιρει πόλις. οἷον πληθύει. Ἄξιον χαιρηδόνος. ἀντὶ τοῦ χαρᾶς, τῷ τόνῳ δὲ ὡς ἀλγηδόνος. ὡς γὰρ ἀπὸ τοῦ ἀλγήσω μέλλοντος ἀλγηδὼν ἀλγηδόνος, οὕτω καὶ ἀπὸ τοῦ χαιρήσω χαιρηδὼν χαιρηδόνος.

τοῖς πέντε ταλάντοις οἷς κλέων ἐξήμεσε.
ταῦθ' ὡς ἐγανώθην, καὶ φιλῶ τοὺς ἱππέας
διὰ τοῦτο τοὔργον. ἄξιον γὰρ ἑλλάδι.
ἀλλ' ὠδυνήθην ἕτερον αὖ τραγῳδικόν.
ὅτε δὴ 'κεχήνη προσδοκῶν τὸν αἰσχύλον.
ὁ δ' ἀνεῖπεν, εἴσαγ' ὦ θέογνι τὸν χορόν

Τὸ κέαρ ηὐφράνθην. σαφῶς ἀριστοφάνης τὴν καρδίαν εἶπε κέαρ. ἄνω γὰρ εἰπών. ὅσα δὴ δέδηγμαι τὴν ἐμαυτοῦ καρδίαν, νῦν φησὶν ἐφ' ᾧ τὸ κέαρ εὐφράνθην. Τοῖς πέντε ταλάντοις. ἀπλήστως ἀλλότρια καταφαγὼν, ἐξήμεσεν αὐτά. ἀντὶ τοῦ κλέψας καὶ καταπιὼν ἀπέδωκεν. ἐζημιώθη γὰρ ὁ κλέων πέντε τάλαντα, διὰ τὸ ὑβρίζειν τοὺς ἱππέας. παρὰ τῶν νησιωτῶν γὰρ ἔλαβε πέντε τάλαντα ὁ κλέων. ἵνα κουφίσαι πείσῃ τοὺς ἀθηναίους αὐτοὺς τῆς εἰσφορᾶς. αἰσθόμενοι δὲ οἱ ἱππεῖς, ἀντέλεγον καὶ ἀπῄτησαν αὐτόν. μέμνηται θεόπομπος. Ταῦθ' ὡς ἐγανώθην. ἀντὶ τοῦ ἐχάρην. ἐφαιδρύνθην. ἀπὸ τοῦ γάνυμαι. ὅμηρος· γάνυται δέ τε φρένα ποιμήν, ἀπὸ μεταφορᾶς τῶν λαμπρυνομένων χαλκωμάτων. Ἄξιον γὰρ ἑλλάδι. τοῦτο παρῳδία καλεῖται. ὅταν ἐκ τραγῳδίας μετενεχθῇ. ἔστι δὲ τὸ ἡμιστίχιον ἐκ τηλέφου εὐριπίδου ἔχον οὕτω. κακῶς ὄλοιτ' ἄν· ἄξιον γὰρ ἑλλάδι. εἰς τὸ δρᾶμα οὖν τῶν ἱππέων ἀποτείνεται διὰ τούτου γὰρ φαίνεται καταδικασθεὶς ὁ κλέων, τάλαντα ε̄. ἄξιον οὖν φησὶν ἑλλάδος, τὸ καταδικασθῆναι τὸν κλέωνα. Τραγῳδικόν. ἀντὶ τοῦ ἐμπαθές. ἐπειδὴ καὶ ἡ τραγῳδία ἐμπαθῶν πραγμάτων ἀπαγγελτική. ἢ ἐπεὶ περὶ τραγῳδιῶν, μέλλει λέγειν.

Ὅτε δὴ 'κεχήνη, ἡ συναίρεσις τοῦ κεχήνη, ἀττική. τὸ γὰρ ε̄ καὶ ᾱ, εἰς η̄ συναιροῦσιν. Εἰς τὸ αὐτό. συναλοιφὴ, ἀντὶ τοῦ κεχήνεα. ἔστι δὲ τὸ κεχήνη ἰακόν. οἱ γὰρ ἴωνες ἀπὸ τοῦ αὐτοῦ συμφώνου ἄρχονται. οἱ δὲ σφόδρα προσέχοντές τινι, κεχήνασι. δύναται δὲ εἶναι κατὰ μεταφορὰν τῶν ὀρνίθων τῶν ἔτι νεοττῶν, προσδεχομένων τὴν τροφὴν καὶ ἔτι κεχηνότων. οἷον τροφή μοι ἦν τῶν αἰσχύλου τραγῳδιῶν ἀκοῦσαι. Προσδοκῶν τὸν αἰσχύλον. ἀντὶ τοῦ αἰσχύλου τραγῳδίας. ὥσπερ καὶ ἡμεῖς ἔχοντες τὰ αἰσχύλου, αἰσχύλον λέγομεν ἔχειν. οὐ γὰρ ἔζη κατ' ἐκεῖνον τὸν χρόνον. ἐτελεύτησε γὰρ ἐπὶ ἄρχοντος καλλίου τοῦ, μετὰ μνησίθεον. τούτοις πρότερον ἐνιαυτόν. τιμῆς δὲ μεγίστης ἔτυχε παρὰ ἀθηναίοις ὁ αἰσχύλος. καὶ μόνου αὐτοῦ τὰ δράματα ψηφίσματι κοινῷ καὶ μετὰ θάνατον ἐδιδάσκετο. Ὁ δ' ἀνεῖπ' εἴσαγε. ἀνηγόρευσεν. ὁ κῆρυξ δὲ δηλονότι. θέογνις δὲ οὗτος, τραγῳδίας ποιητής. πάνυ ψυχρὸς ἐκ τῶν

ἈΡΙΣΤΟΦΆΝΟΥΣ ἈΧΑΡΝΗ͂Σ.

Δικαιόπολις.

Ὅσα δὴ δέδηγμαι. θαυμαστικὸν τὸ ὅσα, ἀντὶ τοῦ πολλά. ὁ δὲ δὴ σύμπαρα πληρωματικός, αὔξησιν δηλοῖ. ἐχρήσατο δὲ αὐτῷ καὶ Θουκυδίδης ἐν τῷ προοιμίῳ. κίνησις γὰρ αὕτη δὴ μεγίστη. δύναται δὲ λείπειν ἡ κατὰ πρόθεσις. ἵν' ᾖ κατὰ τὴν ἐμαυτοῦ καρδίαν. ὃ καὶ βέλτιον, ὅτι μεταφέρει ἀπὸ τοῦ βίου ἐπὶ τὴν καρδίαν. ἀντὶ γὰρ τοῦ εἰπεῖν κατὰ τὸν ἐμαυτοῦ θυμόν. κατὰ τὴν ἐμαυτοῦ καρδίαν φησί. δέδηγμαι δὲ, ἀντὶ τοῦ ἠνίαμαι, λελύπημαι, καὶ Ὅμηρος. δάκε δὲ φρένας Ἕκτορι μῦθος. καὶ θυμοδακὴς μῦθος. Ἄλλως. καλῶς ἔφη δέδηγμαι τὴν καρδίαν. παρόσον περὶ τὴν καρδίαν συνίσταται, τὰ τοῦ θυμοῦ καὶ τὰ τῆς ἡδονῆς. ὡς καὶ παρ' Ὁμήρῳ Ὀδυσσεὺς θυμούμενος κατὰ τῶν μνηστήρων. στῆθος δὲ πλήξας, κραδίην ἠνίπαπε μύθῳ. τέτλαθι δὴ κραδίη φάσκων.

Ὅσα δὴ δέδηγμαι τὴν ἐμαυτοῦ
καρδίαν.
Ἥσθην δὲ βαιά. πάνυ δὲ βαιά.
τέτταρα.
Ἃ δ' ὠδυνήθην, ψαμμοκοσιογάργαρα.
Φέρ' ἴδω τί δ' ἥσθην ἄξιον χαιρηδόνος.
ἐγᾦδ' ἐφ' ᾧ γε τὸ κέαρ εὐφράνθην ἰδών

Ψαμμοκοσιογάργαρα. οἷον πολλὰ καὶ ἀναρίθμητα. τὸ γὰρ ψαμμοκόσια καθ' ἑαυτὸ, ἐπὶ πλήθους ἐτίθετο. παρὰ μὲν Διπόλισιν ἐν χρυσῷ γένει οὕτως. ἀριθμεῖν θεατὰς ψαμμοκοσίους. παρὰ τὸ ἑξακοσίους ἢ ἑπτακοσίους ἀπὸ τῆς ψάμμου ἀριθμητικῶς γεγενημένον. καὶ τὰ γάργαρα δὲ, ἐπὶ πλήθους ἐτίθετο. ὡς ἐν Λίμναις. ἀνδρῶν ἐπακτῶν. πᾶσα γὰρ γαργ' ἱστία καὶ παρὰ Ἀριστομένει ἐν Βοηθοῖς. ἔνδον γὰρ ἡμῖν γάργαρα. καὶ παρὰ Σώφρονι. ἁ δ' οἰκία τῶν ἀργυρωμάτων γάργαιρε. καὶ ἐν τῇ τραγῳδίᾳ χρημάτων τι γάργαρα. θέλουσι δέ τινες καὶ τὸ παρὰ τῷ ποιητῇ. κάρχαιρε δὲ γαῖα πόδ' ἐσσί, τὴν πολλὴν κίνησιν τῶν ποδῶν σημαίνειν. οἷον γάργαιρε. καὶ τὸν καρκίνον δὲ οὕτως ὀνομάζεσθαι διὰ τὸ πλῆθος τῶν ποδῶν. Ἄλλως. ἀπὸ δύο λέξεων τὸ σύνθετον ἐγένετο δηλουσῶν πολλά. σύγκειται γὰρ ἀπό τε τῆς ψάμμου τὸν ἀριθμὸν εἰδέναι. ὁ γὰρ Πύθιος νεανιεύεται τῆς ψάμμου τὸν ἀριθμὸν εἰδέναι, τῶ χῶν ἐν οἷς λέγει. οἶδα δ' ἐγὼ ψάμμου τ' ἀριθμὸν καὶ μέτρα θαλάσσης. καὶ Εὔπολις ἐπεσημήνατο τὴν λέξιν εἰπών. ἀριθμεῖν

Σκληρῶς ὁ πρύτανις. αὐτὸ τὸ ψήφισμά τι,
Μεγαρικὸν ὡς ἱκανῶς φησι. καὶ τὸν Περικλέα.
Οὐκ ἴσον Λακώνων. τῶν δὲ παίδων αἴτιον.
Σπονδὰς λῦσαί τε τῶν ἐφεστώτων κακῶν.

Ἐδιδάχθη ἐπὶ Εὐθυμένους ἄρχοντος ἐν Ληναίοις διὰ Καλλιστράτου. καὶ πρῶτος ἦν. δεύτερος Κρατῖνος Χειμαζομένοις. οὐ σώζεται. τρίτος Εὔπολις Νουμηνίαις.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

Δικαιόπολις.	Κῆρυξ.	Ἀμφίθεος.
Πρέσβεις.	Βασιλέως ὀφθαλμός.	Θέωρος.
Χορὸς ἀχαρνέων.	Μήτηρ.	Θυγάτηρ.
Κηφισοφῶν.	Εὐριπίδης.	Λάμαχος.
Μεγαρεύς.	Κόραι.	Συκοφάντης.
Βοιωτός.	Νίκαρχος συκοφάντης.	Ἄγγελος λαμάχου.
Γεωργὸς δερκέτης φυλάσιος.	Θεράπων, ἢ παράνυμφος.	

Ἡ εἴσθεσις τοῦ δράματος ἄρχεται ἐκ σημαντικῆς περιόδου καὶ ἑξῆς ἐκ προσώπων ἀμοιβαίων. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, σα. ὧν τελευταῖος ἐγὼ δὲ φεύξομαί γε τοὺς ἀχαρνέας. ὁ μέντοι μγ κομμάτιον ἀπ᾽ ἐλάσσονος καὶ ρκα πενθημιμερής. ὁ δὲ ξ ἐφθημιμερής. ἐξωρείαθωσαν καὶ αἱ παρεπιγραφαί. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει τῶν στίχων κορωνίς.

ἈΧΑΡΝΈΩΝ ὙΠΌΘΕΣΙΣ.

Ἐκκλησία ὑφέστηκεν ἀθήνησιν ἐν τῷ φανερῷ· καθ' ἣν προπολεμοῦντας τοὺς ῥήτορας, καὶ προφανῶς τὸν δῆμον ἐξαπατῶντας, δικαιόπολίς τις τῶν αὐτουργῶν, ἐξελέγχων παρεισάγεται. τούτου δὲ διά τινος ἀμφιθέου σπεισαμένου κατ' ἰδίαν τοῖς λάκωσιν, ἀχαρνικοὶ γέροντες πεπυσμένοι τὸ πρᾶγμα, διώκοντες ἐν χοροῦ σχήματι προσέρχονται. καὶ μετὰ ταῦτα θύοντα τὸν δικαιόπολιν ὁρῶντες, ὡς ἐσπεισμένον τοῖς πολεμίοις, καταλεύσειν ὁρμῶσιν. ὁ δὲ, ὑποσχόμενος ὑπὲρ ἐπιξήνου τὴν κεφαλὴν ἔχων ἀπολογήσασθαι, ἐφ' ὧ τε ἐὰν μὴ πείσῃ τὸν τράχηλον ἀποκοπήσεσθαι, ἐλθὼν ὡς εὐριπίδην, πτωχικὴν στολὴν αἰτεῖ· καὶ στολισθεὶς τοῖς τηλέφου ῥακώμασι, παρῳδεῖ τὸν ἐκείνου λόγον οὐκ ἀχαρίτως, καθαπτόμενος περικλέους περὶ τοῦ μεγαρικοῦ ψηφίσματος. παροξυνθέντων δέ τινων ἐπὶ τῷ δοκεῖν συνηγορεῖν τοῖς πολεμίοις, εἶτα ἀποφερομένων, ἐνισταμένων δὲ ἑτέρων ὡς τὰ δίκαια εἰρηκότος αὐτοῦ, ἐπιφανεὶς λάμαχος, θορυβεῖν πειρᾶται. εἶτα γενομένου διελκυσμοῦ, κατηνεχθεὶς ὁ χορὸς, ἀπολύει τὸν δικαιόπολιν· καὶ πρὸς τοὺς δικαστὰς περὶ τῆς τοῦ ποιητοῦ ἀρετῆς καὶ ἄλλων τινῶν διαλέγεται. τοῦ δὲ δικαιοπόλιδος ἄγοντος καθ' αὑτὸν εἰρήνην, τὸ μὲν πρῶτον μεγαρικός τις εἰς χοιρίδια διεσκευασμένα παιδία ἑαυτοῦ φέρων ἐν σάκκῳ πράσιμα παραγίνεται. μετὰ δὲ τοῦτον, ἐκ βοιωτῶν ἕτερος· ἐγχέλεις τε καὶ παντοδαπῶν ὀρνίθων γένος ἀποθέμενος εἰς τὴν ἀγοράν. εἶτ' ἐπιφανέντων τινῶν συκοφαντῶν, συλλαβόμενός τινα ἐξ αὐτῶν, ὁ δικαιόπολις καὶ βαλὼν εἰς σάκκον. τοῦτον τι τῷ βοιωτῷ αὐτὴν φορτίον ἐξάγειν ἐκ τῶν ἀθηναίων παραδίδωσι· καὶ προσαγγέλλοντος αὐτῷ πλειόνων, καὶ δεομένων μεταδοῦναι τῶν σπονδῶν, καθυπερηφανεῖ. παροικοῦντος δὲ αὐτῷ λαμάχου, καὶ ἐνεστηκυίας τῆς τῶν χοῶν ἑορτῆς, τούτῳ ἄγγελος παρὰ τῶν στρατηγῶν ἥκων, κελεύει ἐξελθόντα μετὰ τῶν ὅπλων, τὰς εἰσβολὰς τηρεῖν. τὸν δὲ δικαιόπολιν παρὰ τοῦ ἱερέως τις τοῦ διονύσου καλῶν, ἐπὶ δεῖπνον ἔρχεται· καὶ μετ' ὀλίγον ὁ μὲν τραυματίας καὶ κακῶς ἀπαλλάττων, ἐπανήκει. ὁ δὲ δικαιόπολις δεδειπνηκὼς καὶ μεθ' ἑταίρας ἀναλύων, τὸ δὲ δρᾶμα τῶν σφόδρα πεποιημένων, καὶ ἐκ παντὸς τρόπου τὴν εἰρήνην προκαλούμενον.

Ἄλλως ἀριστοφάνους γραμματικοῦ δι' ἰαμβείων.

Ἐκκλησίας οὔσης, παραγίνονταί τινες
παρὰ περσῶν· καὶ παρὰ σιτάλκους πάλιν.
οἱ μὲν στρατιὰν ἄγοντες· οἱ δὲ, χρυσίον.
παρὰ τῶν λακεδαιμονίων τε μετὰ τούτους τινές.
σπονδὰς φέροντες. οὓς ἀχαρνεῖς οὐδαμῶς,
εἴασαν ἀλλ' ἐξέβαλον· ὧν καθάπτεται.

ἄπλον ἄλλον γάρ τις τινὶ λέγει. Ὀκλαδίαν. ὀκλαδίας συγκεκλασμένος δίφρος καὶ ποτὲ μὲν ἐντεινόμενος. ποτὲ δὲ συστελλόμενος. Καὶ παῖδ' ἐνόρχην. ἐπειδὴ παρὰ τοῖς βαρβάροις σπάδωνες, οὗτος ἐνόρχην δίδωσι. Τοῦτον. τὸν παῖδα. παίζει δὲ περαίνειν καὶ κύφειν ποιεῖ κακεμφάτως. Τριακοντούτιδας. πόρνας εἰσφέρει διὸ καὶ φησίν· ἔξεστιν αὐτῶν κατατριακοντουτίσαι τουτέστιν εἰς συνουσίαν λαβεῖν. Σπονδάς. σπονδὰς ἐσπείσαντο μετὰ δὲ βοίας ἅλωσιν οἱ ἕλληνες πρὸς ἑαυτοὺς περὶ τοῦ πελοποννησιακοῦ πολέμου. Ὡς καλαί. εἰσῆλθον αἱ ἑταῖραι ὡραῖαι τὰς σπονδὰς, ὑποκρινόμεναι τὰ πρόσωπα τῶν σπονδῶν πρὸς ἃς λέγει ὁ δῆμος. Οὐ γὰρ ὁ Παφλαγών. μετὰ τὴν Κλέωνος καὶ Βρασίδου τελευτὴν, σπονδαὶ τοῖς πελοποννησίοις καὶ ἀθηναίοις ἐγένοντο τριακοντούτιδες. οὗτοι γὰρ ἠναντιοῦντο τῇ εἰρήνῃ. ἀποθανόντων δὲ αὐτῶν ἐγένοντο αἱ σπονδαί. Τὰ κύνεια μιγνύς. συμφύρων τὰ τῆς πόλεως πράγματα. ὅτι καὶ οἱ μάγειροι τὰ κρέα μιγνύουσιν. ἔθος γὰρ αὐτοῖς μιγνύειν κρέα προβάτων τε καὶ αἰγῶν. καὶ προτιθέναι ὡς μόνων προβάτων. καὶ ἐξαπατᾶν τοὺς ἀφελεστέρους. Τὸ λοῦτρον. τὸ ἀπόλουμα καὶ ῥυπαρόν. ὅ ἐστι, τὸ ἀπόλουτρον. ἐς τὴν ἕδραν δὲ εἰς τὴν προεδρίαν. Τὴν βατραχίδα. εἶδος ἐσθῆτος αἰτινῆς, ὅμοιον τῷ ὀνόματι χρύσης τὸ χρῶμα. Ἐκφερέτω. αἰρόμενος ἐκφορεῖται ὁ Κλέων· τὸ δὲ ἑξῆς ἵνα ἴδωσιν αὐτὸν οἱ ξένοι οὓς ἐλωβᾶτο.

ἀλ. ἔχε νυν ἐπὶ τούτοις τουτονὶ τὸν ὀκλαδίαν·
καὶ παῖδ' ἐνόρχην ὅσπερ οἴσει τόνδε σοι.
κἄν που δοκῇ σοι, τοῦτον ὀκλαδίαν ποίει.
δη. μακάριος. ἐς τἀρχαῖα δὴ καθίσταμαι.
ἀλ. φήσεις γ' ἐπειδὰν τὰς τριακοντούτιδας
σπονδὰς παραδῶ σοι. δεῦρ' ἴθ' αἱ σπονδαὶ ταχύ.
δη. ὦ Ζεῦ πολυτίμηθ' ὡς καλαί. πρὸς τῶν θεῶν
ἔξεστιν αὐτῶν κατατριακοντουτίσαι;
πῶς ἔλαβες αὐτὰς ἐπτόν. ἀλ. οὐ γὰρ ὁ Παφλαγὼν
ἀπέκρυπτε ταύτας ἔνδον ἵνα μὴ σὺ λάβῃς.
νῦν οὖν ἐγώ σοι παραδίδωμ' εἰς τοὺς ἀγροὺς
αὐτὰς ἰέναι λαβόντα. δη. τὸν δὲ Παφλαγόνα·
ὃς ταῦτ' ἔδρασεν εἴφ' ὅτι ποιήσεις κακόν.
ἀλ. οὐδὲν μέγ' ἀλλ' ἢ τὴν ἐμὴν ἕξει τέχνην.
ἐπὶ ταῖς πύλαις ἀλλαντοπωλήσει μόνος,
τὰ κύνεια μιγνὺς τοῖς ὀνείοις πράγμασιν.
μεθύων τε ταῖς πόρναισι λοιδορήσεται·
κἀκ τῶν βαλανείων αὐτὸ λοῦτρον πίεται.
δη. εὖ γ' ἐπενόησας οὗπερ ἐστὶν ἄξιος
πόρναισι καὶ βαλανεῦσι διακεκραγέναι·
καί σ' ἀντὶ τούτων, εἰς τὸ πρυτανεῖον καλῶ.
ἐς τὴν ἕδραν θ' ἵν' ἐκεῖνος ἦν ὁ φαρμακός·
ἕπου δὲ ταυτηνὶ λαβὼν τὴν βατραχίδα·
κἀκεῖνον ἐκφερέτω τις ὡς ἐπὶ τὴν τέχνην.
ἵν' ἴδωσιν αὐτὸν οὓς ἐλωβᾶθ', οἱ ξένοι.

Ἀριστοφάνους ἱππέων τέλος.

τοῦτον τί δράσεις εἰπὲ τὸν ξυνήγορον.
Δη. ἄρας μετέωρον, εἰς τὸ βάραθρον ἐμβαλῶ.
ἐκ τοῦ λάρυγγος ἐκκρεμάσας ὑπέρβολον,
Αλ. τουτὶ μὲν ὀρθῶς καὶ φρονίμως ἤδη λέγεις.
τὰ δ' ἄλλα φέρ' ἴδω πῶς πολιτεύσει φράσον.
Δη. πρῶτον μὲν, ὁπόσοι ναῦς ἐλαύνουσι μακράς,
καταγομένοις τὸν μισθὸν ἀποδώσω 'ντελῆ.
Αλ. πολλοῖς γ' ὑπολίσποις πυγιδίοισιν ἐχαρίσω.
Δη. ἔπειθ' ὁπλίτης ἐντεθεὶς ἐν καταλόγῳ,
οὐδεὶς κατὰ σπουδὰς μεταγραφήσεται.
ἀλλ' ὥσπερ ἦν τὸ πρῶτον ἐγγεγράψεται.
Αλ. τοῦτ' ἔδακε τὸν πόρπακα τὸν κλεωνύμου.
Δη. οὐδ' ἀγοράσει γ' ἀγένειος οὐδεὶς ἐν ἀγορᾷ.
Αλ. ποῦ δῆτα κλεισθένης ἀγοράσει καὶ στράτων.
τὰ μειράκια ταυτὶ λέγω τἀν τῷ μύρῳ.
ἃ στωμυλεῖται τιαδὶ, καθήμενα.
σοφός γ' ὁ φαίαξ, δεξιῶς τ' οὐκ ἀπέθανε.
συνερκτικὸς γάρ ἐστι καὶ περαντικὸς
καὶ γνωμοτυπικὸς. καὶ σαφὴς. καὶ κρουστικός.
καταληπτικός τ' ἄριστα τοῦ θορυβητικοῦ.
Χο. οὐκοῦν καταδακτυλικὸς σὺ τοῦ λαλητικοῦ.
Δη. μὰ δί' ἀλλ' ἀναγκάσω κυνηγετεῖν ἐγὼ
τούτους ἅπαντας παυσαμένους ψηφισμάτων.

Εἰς τὸ βάραθρον. τόπος ἀθήνησι βαθύς. ὅπου καὶ τοὺς δαρείου πρέσβεις ἔβαλον. πάντα δὲ τὰ ἐκεῖ βαλλόμενα, ἀφανῆ ἐποίει. Ἐκ τοῦ λάρυγγος. ὅταν γὰρ κατεπόντουν τινὰς, βάρος ἀπὸ τῶν τραχήλων ἐκρέμων. ἀντὶ δὲ τοῦ εἰπεῖν λίθον ὑπέρβολον εἶπεν. φαίνεται δὲ ὁ ὑπέρβολος, ἤδη εἰσβὰς εἰς τὴν πολιτείαν. λέγεται δὲ καὶ λάρυγξ. καὶ φάρυγξ. Ναῦς ἐλαύνουσι μακράς. πολεμίας. τὰς τριήρεις δέ φησι. τὰ δὲ στρογγύλα πλοῖα, φορτηγά ἐστιν. Ὑπολίσποις. οἱ γὰρ ἀθηναῖοι πάντες, λεπτοὶ ἐτύγχανον τὰ ὀπίσθια ἀπὸ θησέως. ὑπόλισπα δὲ τὰ τετριμμένα. κοινῶς γοῦν τοὺς ἀθηναίους λισπόπυγάς φασι. καὶ πλάττουσι τὸν περὶ θησέως μῦθον. ὅτι ἑλκόμενος ὑπὸ ἡρακλέους κατέλιπεν ἐπὶ τὴν πέτραν τὴν πυγήν. νῦν δὲ οἰκείως εἶπεν ἐπὶ τῶν ἐρεσσόντων διὰ τὴν καθέδραν λεπτοπύγων ὄντων. Ἄλλως. ἐστειομένοις. τοιαῦται δὲ αἱ πυγαὶ τῶν ναυτῶν διὰ τὴν συνεχῆ ἕδραν καὶ εἰρεσίαν. Ἐν καταλόγῳ. ἐν τῷ καταλόγῳ. ἐν τοῖς πίναξιν, ἐφ' ὧν ἐνέγραφον τῶν στρατευομένων τὰ ὀνόματα. ἐκαλοῦντο γὰρ κατάλογοι. κατὰ σπουδὰς δὲ κατὰ ἄλλου σπουδήν. Τὸν πόρπακα. δειλὸς γὰρ καὶ ῥίψασπις ὁ κλεώνυμος οὗ καὶ ἐν νεφέλαις μέμνηται. Οὐδ' ἀγοράσει. οὐ νῦν ἐν ἀγορᾷ διατρίψει. Κλεισθένης καὶ στράτων. γύννιδες οὗτοι. καὶ ἐπιτιλλούμενοι τὰ γένεια λεῖοι δὲ καὶ μαλακοί. Τἀν τῷ μύρῳ. οὕτως ἀττικοὶ ἀντὶ τοῦ ἐν μυροπωλείῳ ἀπὸ τῶν πωλουμένων, τοὺς τόπους καλοῦντες. Φαίαξ δεινὸς ῥήτωρ ὁ φαίαξ οὗτος. ὡς καὶ ἀποφυγεῖν ἐπὶ θανάτῳ ἐπ' αὐτοφώρῳ κρινόμενος. κωμῳδεῖται δὲ ὡς παρακρούων τὰ μειράκια. καὶ ἐξαπατῶν. Συνερκτικός. συνείργειν τοὺς λόγους καὶ συντιθέναι δυνάμενος εὐκόλως. περαντικὸς δὲ, πέρας ἐπιτιθεὶς τοῖς λόγοις. Κρουστικός. τὰ ὦτα τῶν ἀκροωμένων κρούων τῇ σφοδρότητι τῶν λόγων. Καταληπτικός. προκαταλαμβανόμενος τοὺς ἀκούοντας ὥστε θόρυβον μὴ κινῆσαι. Καταδακτυλικός. ἀντὶ τοῦ συνουσιαστικός. κατὰ τοῦ δακτυλίου τοῦ πρωκτοῦ. τοῦ λαλητικοῦ δὲ, τοῦ λαλοῦντος ταῦτα. τοὺς περὶ κλεισθένην καὶ στράτωνα. ἄδηλος δὲ ὁ στίχος καὶ πάντες αὐτὸν ἐσημειώσαντο, διὰ τὸ ἀκατάλ

Ἀλλ᾽ ὦ μέλε. τὸ ὦ μέλε, οὐκ ἔστι βλασφημίας ἔμπλεον. Ἐν τῇ ἐκκλησίᾳ. εἴ τις πρὸς χάριν λέγων κολακεύσειε, ἐραστής σου προσποιούμενος. τοιοῦτοι γὰρ οἱ στρατηγοὶ ἐκολάκευον τὸν δῆμον ῥήμασιν. Ἀνωρτάλιζες. μετεωρίζου καὶ μέγα ἐφρόνεις. ἢ ἀντὶ τοῦ ἀνεκουφίζου. ὠρχοῦ. ἐπήρου καὶ ταχέως ἐπίστευες, πρὶν δοκιμάσῃς. ὀρταλίζειν δὲ λέγεται, ἐπὶ τῶν ἀρχομένων ἀναπτερύσσεσθαι ὀρνίθων. Ἄλλως. ὄρω ἐστὶ ῥῆμα βαρύτονον. ἔνθεν ὅτι τ᾽ ὤρετο μητιέτα Ζεύς. ἀφ᾽ οὗ ὄνομα ῥηματικὸν ὄρτος. καὶ ὀρτῶ ῥῆμα, τὸ δὲ ὀρτῶ ῥῆμα ποιεῖ τὸ ὀρτίζω. καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς, ὀρταλίζω. δηλοῖ δὲ τὸ ὀρταλίζειν, τὸ ἀναρριπτεῖν τὰ γυῖα τῶν παιδίων. οἷον ὀρούειν ποιεῖν εἰς ὕψος. κατεχρῶντο δὲ τῇ λέξει, καὶ ἐπὶ ἄλλης κινήσεως ἥντινα ἔδει κινεῖσθαι. Κἀκερούτιας. τὴν κεφαλὴν ἀνέτεινας δίκην τῶν κερατοφόρων ζώων. ὅτι δυειδῆ. τινὲς δὲ μετεωρίζοντα τὴν κορυφήν. ἄλλοι δὲ τὸ γαυριᾷν. ὡς ἔλαφος φησὶν ἢ ἄλλου τοῖς κέρασιν. ἀπὸ δὲ τῶν κερατοφυούντων ἡ λέξις. ἐξῆς ἐστὶ τοῦ πτερόφυτον, εἶπε τὸ κερατοφυεῖν. Ἐξεπετάννυτο. ἐξηνοίγετο. τουτέστι ῥᾳδίως ἐπείθου τοῖς λέγουσι. Σκιάδιον σκέπασμά τι. ὅπερ αἱ γυναῖκες παρὰ τοῖς Ἀθηναίοις ἔχουσι θέουσαι ὑπὲρ τοῦ μὴ καίεσθαι τὰς ὄψεις ὑπὸ τοῦ ἡλίου. ἐκτείνεται δὲ καὶ συστέλλεται πρὸς τὸν κατεπείγοντα καιρόν. Καταμισθοφορῆσαι. εἰς μισθὸν ἀναλῶσαι. μισθὸν διδόναι ἐν τῇ ἐκκλησίᾳ καὶ τοῖς δικαστηρίοις, τὸ δικαστικὸν καὶ τὸ ἐκκλησιαστικόν. παραδραμὼν δὲ παραδοκιμάσας. Τί κύπτεις. ὡς αἰσχυνθέντος αὐτοῦ. δεῖ δὲ νοεῖν ὅτι ὁ δῆμος ἀκηκοὼς ταῦτα, ὑπὸ αἰδοῦς κατέκυψε. καὶ εἰς τὴν γῆν ἀτενῶς ἀπέβλεπεν. οὐ δ᾽ οὖν αἴτιος ἐφ᾽ οἷς ἐδόκει μὴ καλῶς πράττειν. Οὐχὶ κατὰ χώραν μενεῖς. οὐκ ἐπὶ σαυτοῦ μενεῖς καὶ ἡσυχίαν ἕξεις. Εἰ μὴ καταγνώσεσθε. εἰ μὴ κατακρινεῖτε καὶ καταδικάσετε.

ἀλλ᾽ ὦ μέλ᾽. οὐκ οἶσθ᾽ οἷος ἦσθ᾽ αὐτὸς πάρος
οὐδ᾽ οἷ᾽ ἔδρας· ἐμὲ γὰρ νομίζοις ἂν θεόν.
δη. τί δ᾽ ἔδρων; κάτειπέ μοι πρὸ τοῦ. ποῖός τις ἦ;
ἀλ. πρῶτον μὲν ὁπότ᾽ εἴποι τις ἐν τῇ ᾽κκλησίᾳ,
ὦ δῆμ᾽. ἐραστής εἰμι σός; φιλῶ τέ σε.
καὶ κήδομαί σου καὶ προβουλεύω μόνος,
τούτοις ὁπότε χρήσαιτό τις προοιμίοις.
ἀνωρτάλιζες. κἀκερούτιας. δη. ἐγώ,
ἀλ. εἶτ᾽ ἐξαπατήσας σ᾽ ἀντὶ τούτων ᾤχετο.
δη. τί φής. τοιαῦτα μ᾽ ἔδρων, ἐγὼ δ᾽ οὐκ ᾐσθόμην.
ἀλ. τὰ δ᾽ ὦτα γάρ σου νὴ Δί᾽ ἐξεπετάννυτο.
ὥσπερ σκιάδιον. καὶ πάλιν ξυνήγετο.
δη. οὕτως ἀνόητος ἐγεγενήμην καὶ γέρων;
ἀλ. καὶ νὴ Δία γ᾽ εἰ δύο λεγοίτην ῥήτορε
ὁ μέν, ποιεῖσθαι ναῦς λέγων. ὁ δ᾽ ἕτερος αὖ,
καταμισθοφορῆσαι, τοῦτον ὁ τὸν μισθὸν λέγων,
τὸν τὰς τριήρεις παραδραμὼν ἂν ᾤχετο.
οὗτος τί κύπτεις. οὐχὶ κατὰ χώραν μενεῖς;
δη. αἰσχύνομαί τοι ταῖς πρότερον ἁμαρτίαις.
ἀλ. ἀλλ᾽ οὐ σὺ τούτων αἴτιος, μὴ φροντίσῃς.
ἀλλ᾽ οἵ σε ταῦτ᾽ ἐξηπάτων. νῦν δὲ φράσον.
ἐάν τις εἴπῃ βωμολόχος ξυνήγορος,
οὐκ ἔστιν ὑμῖν τοῖς δικασταῖς ἄλφιτα,
εἰ μὴ καταγνώσεσθε ταύτην τὴν δίκην,

ἐφ' ὅτῳ κνισῶμεν ἀγυιάς. ἔθυον γὰρ πρὸ τῶν εὐαγγελίων πρὸ τῶν πυλῶν ἕκαστος. ἀγυιὰς δέ, τοὺς ἀγυιεῖς θεούς. αὐτὶ τῶν θυσίας ἐπιτελοῦμεν τοῖς θεοῖς. Ἄλλως. ἔθος ἦν τισὶν ἐν ἀγυιαῖς ἱσταμένοις θεοῖς ἐπὶ ταῖς ἐρχομέναις ἀγγελίαις θύειν· ὡς αἱ εἰ ἀγαθαὶ εἶεν ἐπινεύσαιεν ταύτας· εἰ δὲ τοὐναντίον, ἀποτρέψαιεν. Ἀφεψήσας. καλῶς, ὡς μάγειρος· ὡς περὶ Μήδειαν λέγεται· ὡς μὲν Αἰσχύλος ἱστορεῖ, τὰς τροφοὺς τοῦ Διονύσου ἀφεψήσασα ἀνανεάσαι ποιῆσαι μετὰ τῶν ἀνδρῶν αὐτῶν· ὡς δ' ὁ τοὺς νόστους ποιήσας καὶ τὸν Αἴσονα λέγων οὕτως· Αὐτίκα δ' Αἴσονα θῆκε φίλον κόρον ἡβώοντα. Γῆρας ἀποξύσασ' ἰδυίῃσι πραπίδεσσι. φάρμακα πόλλ' ἕψουσ' ἐπὶ χρυσείοισι λέβησι. Φερεκύδης δὲ καὶ Σιμωνίδης τὸν Ἰάσονα. Ἰοστεφάνοις. ἰοστεφανουμέναις. ἴον δὲ καὶ λευκὸν ἄνθος καὶ μέλαν. Ἀριστείδῃ πρότερον. ἄριστοι ἐγένοντο ἀμφότεροι. Ἀριστείδης δὲ ὁ δίκαιος ἐπικαλούμενος, καὶ Μιλτιάδης ὁ στρατηγός.

τὸν ἔχοντα φήμην ἀγαθὴν ἥκειν· ἐφ' ὅτῳ κνισῶμεν ἀγυιάς.
Αλ. τὸν Δῆμον ἀφεψήσας ὑμῖν, καλὸν ἐξ αἰσχροῦ πεποίηκα.
Χο. καὶ ποῦ 'στι νυνί, ὦ θαυμαστὰς ἐξευρίσκων ἐπινοίας.
Αλ. ἐν ταῖσιν ἰοστεφάνοις οἰκεῖ ταῖς ἀρχαίαισιν Ἀθήναις.
Χο. πῶς ἂν ἴδοιμεν; ποίαν ἔχει σκευὴν καὶ ποῖος γεγένηται.
Αλ. οἷός περ Ἀριστείδῃ πρότερον, καὶ Μιλτιάδῃ ξυνεσίτει.
ὄψεσθε δέ, καὶ γὰρ ἀνοιγνυμένων ψόφος ἤδη τῶν προπυλαίων.
ἀλλ' ὀλολύξατε φαινομέναις ταῖς ἀρχαίαισιν Ἀθήναις.
καὶ θαυμασταῖς καὶ πολυύμνοις· ἵν' ὁ κλεινὸς Δῆμος ἐνοικεῖ.
Χο. ὦ ταὶ λιπαραὶ καὶ ἰοστέφανοι, καὶ ἀριζήλωτοι Ἀθῆναι.
δείξατε τὸν τῆς Ἑλλάδος ἡμῖν καὶ τῆς γῆς τῆσδε μόναρχον.
Αλ. ὅδ' ἐκεῖνος ὁρᾶν τεττιγοφόρος, ἀρχαίῳ σχήματι λαμπρός.
οὐ χοιρίνων ὄζων, ἀλλὰ σπονδῶν· σμύρνῃ κατάλειπτος.
Χο. χαῖρ' ὦ βασιλεῦ τῶν Ἑλλήνων· καὶ σοὶ ξυγχαίρομεν ἡμεῖς.
τῆς γὰρ πόλεως ἄξια πράττεις, καὶ τοῦ 'ν Μαραθῶνι τροπαίου.
Δη. ὦ φίλτατ' ἀνδρῶν, ἐλθὲ δεῦρ' Ἀγοράκριτε.
ὅσα με δέδρακας ἀγάθ' ἀφεψήσας. Αλ. ἐγώ;

οὗτος ἐν Μαραθῶνι ἐστρατήγησε. τοιοῦτος οὖν φησιν ὁ Δῆμος καὶ ἐν τοιαύτῃ καταστάσει· οἷος ἦν πολιτευομένων ἐκείνων. Ἀλλ' ὀλολύξατε. εὔξασθε, εὐφημήσατε. καὶ Ὅμηρος αἱ δ' ὀλολυγῇ πᾶσαι, ἀριζήλωτοι. περιφανεῖς. ἡγέμουσαι κατορθωμάτων. Ὦ ταὶ λιπαραί. ἀπὸ Πινδάρου παρῴδηται. Τεττιγοφόρος ἦν τοῖς Ἀθηναίοις τὸ πάλαι τέττιξι χρυσοῖς ἀναδεῖσθαι τὴν κόμην· ὡς Θουκυδίδης. οὕτω οἱ εὐγενεῖς ἐφόρουν παῖδες καὶ ἄνδρες πλέκοντες τὴν κεφαλήν. Οὐ χοιρίνων ὄζων ὅτι χοιρίναις ἐχρῶντο πρότερον πρὸ τῶν ψήφων. εἰσὶ δὲ πτύχες κόγχαι θαλάσσιαι. σπονδῶν δέ, τῆς εἰρήνης. Καὶ τοῦ 'ν Μαραθῶνι. εἰκότως τούτου ἐμνημόνευσεν. ἐπειδὴ Ἀθηναῖοι μόνοι ἐν Μαραθῶνι τοὺς βαρβάρους ἐνίκησαν, ἡ γὰρ ἐν Σαλαμῖνι νίκη καὶ ἡ ἐν Πλαταιαῖς, ἐδόκει κοινὸν ἔργον εἶναι πάντων τῶν Ἑλλήνων. Ἄλλως. μόνου τούτου μέμνηται. ὅτι τὰ μὲν ἄλλα κατορθώματα, κοινῇ πᾶσα ἡ Ἑλλὰς ἐποίησε κατὰ τῶν βαρβάρων. τὰ δ' ἐν Μαραθῶνι, μόνοι Ἀθηναῖοι. Τροπαίου. τῆς κατὰ τῶν βαρβάρων νίκης καὶ τοῦ τροπαίου οὗ ἔστησαν ἐν Μαραθῶνι καταναυμαχήσαντες αὐτοὺς καὶ νικήσαντες. Ὦ φίλτατ' ἀνδρῶν. ἐν ἐκθέσει ἴαμβοι τρίμετροι καταληκτικοὶ. οδ'. καὶ μέχρι τοῦ τελευταίου, κορωνὶς ἡ τοῦ δράματος.

Οὐδὲ πυνθάνεσθε. οὐδὲ αἰσθάνεσθε. τὸ γὰρ πυνθάνομαι παρὰ τοῖς ῥήτορσι καὶ παρ᾽ Ὁμήρῳ ἐπὶ τοῦ ἀκούειν καὶ μανθάνειν. ὡς, τὸ αἰσχρὸν γάρ τόδε γ᾽ ἐστὶ καὶ ἐσσομένοισι πυθέσθαι. καὶ πεύθετο γὰρ Κύπρονδε μέγα κλέος. καὶ πευθόμενος ἠχὶ ἕκαστος ἀπώλετο. καὶ κείνου γὰρ καὶ ὄλεθρον ἀπευθέα θῆκε Κρονίων. ἐν γὰρ τούτοις ἅπασιν ἐπὶ τοῦ ἀκούειν κεῖται τὸ πυνθάνεσθαι. καὶ Αἰσχίνης ἐν τῷ περὶ τῆς παραπρεσβείας, τούτῳ συμβαλεῖν πυνθανόμενος. καὶ Δείναρχος ἐν τῷ κατὰ Φιλοκλέους. ἐντυχεῖ πού ποῦ κἂν μείζονι καὶ ρῷ ἐπύθεσθε τὴν αὐτοῦ αἰσχροκέρδειαν. ὁ στίχος δὲ παρὰ τὰ ἐξ Ἀλκμαίωνος Εὐριπίδου. τὰς μηδέπω δὲ πλευσάσας, παρθένους, εἴρηκεν. τὰς δὲ πλευσάσας, γραίας. Καρχηδὼν δὲ πόλις Θρᾴκης περὶ τὸ Βυζάντιον. Ὀξίνην. ὀξίδες ἃ καλοῦμεν ὀξυβάφια. λυχνοποιὸς δὲ ὁ Ὑπέρβολος. τινὲς δὲ τὰ κεράμεα ἅ ἐστιν ὄξους δεκτικά. κεραμεὺς δὲ ὁ Ὑπέρβολος. μέμφεται δὲ τὴν ἀποβολὴν τοῦ Κλέωνος, εὐθέως ὑπερέβαλεν ὑπὲρ τοῦ Ὑπερβόλου. μετ᾽ αὐτὸν γὰρ ἐπολιτεύσατο.

ἔξελθε καὶ σύγγνωθι τῇ τραπέζῃ.
φασὶν ἀλλήλαις ξυνελθεῖν τὰς τριήρεις εἰς λόγον.
καὶ μίαν λέξαι τιν᾽ αὐτῶν ἥτις ἦν γεραιτέρα.
οὐδὲ πυνθάνεσθε ταῦτ᾽ ὦ παρθένοι τἀν τῇ πόλει;
φασὶν αἰτεῖσθαί τιν᾽ ἡμῶν ἑκατὸν ἐς Καρχηδόνα.
ἄνδρα μοχθηρὸν πολίτην, ὀξίνην Ὑπέρβολον.
ταῖς δὲ δόξαι δεινὸν εἶναι τοῦτο, κοὐκ ἀνασχετόν.
καί τιν᾽ εἰπεῖν, ἥτις ἀνδρῶν ἆσσον οὐκ ἐληλύθει
ἀποτρόπαι᾽. οὐ δῆτ᾽ ἐμοῦ γ᾽ ἄρξει ποτ᾽. ἀλλ᾽ ἐάν με χρῇ
ὑπὸ τερηδόνων σαπεῖσ᾽ ἐνταῦθα καταγηράσομαι.
οὐδὲ Ναυφάντης γε τῆς Ναύωνος, οὐ δῆτ᾽ ὦ θεοί,
εἴπερ ἐκ πεύκης γε κἀγὼ καὶ ξύλων ἐπηγνύμην.
εἰ δ᾽ ἀρέσκοι ταῦτ᾽ Ἀθηναίοισι, καθῆσθαί μοι δοκῶ.
εἰς τὸ Θησεῖον πλεούσας. ἢ ᾽πὶ τῶν σεμνῶν θεῶν.
οὐ γὰρ ἡμῶν γε στρατηγῶν ἐγχανεῖται τῇ πόλει.
ἀλλὰ πλείτω χωρὶς αὐτὸς ἐς κόρακας εἰ βούλεται.
τὰς σκάφας ἐν αἷς ἐπώλει τοὺς λύχνους καθελκύσας.
ΑΛ. εὐφημεῖν χρὴ καὶ στόμα κλείειν. καὶ μαρτυριῶν ἀπέχειν
καὶ τὰ δικαστήρια συγκλείειν, οἷς ἡ πόλις ἥδε γέγηθεν
ἐπὶ καιναῖσι δ᾽ εὐτυχίαισι παιωνίζειν τὸ θέατρον.
ΧΟ. ὦ ταῖς ἱεραῖς νήσοις ἐπίκουρε καὶ φέγγος ἐν Ἀθήναις.

Ἥτις ἀνδρῶν. ἥτις ἦν οὔπω δεδομένη τριηράρχῳ. μὴ δὲ πλεύσασα. ἀλλὰ νεωστὶ κατασκευασθεῖσα. ἣν αὐτὸ εἶπε παρθένον. Ὑπὸ τερηδόνων. σητῶν ἢ σκωλήκων. Οὐδὲ Ναυφάντης. πέπλασται ταῦτα τὰ ὀνόματα παρὰ τὴν ναῦν. ἀπὸ κοινοῦ δὲ τὸ ἄρξει. Εἴπερ ἐκ πεύκης γε κἀγώ. ὡσανεὶ ἔλεγεν. εἴπερ ἐξ αὐτῶν εἰμὶ κἀγώ. οὐχ ἁπλῶς δέ, ἀλλ᾽ οἷον εἰ χωλὴν ἔχω. ἀπὸ τούτου τὸ πευκεδανόν. Εἰς τὸ Θησεῖον. ἐνταῦθα οἱ καταφεύγοντες τῶν οἰκετῶν, ἀσυλίαν εἶχον. Ἢ ᾽πὶ τῶν σεμνῶν, εἰς τὸ τῶν ἐριννύων ἱερόν. καὶ ἐνταῦθα δὲ οἱ οἰκέται κατέφευγον. Ἐγχανεῖται. καταπτύσειεν ἐνυβρίσειεν. σκάφας δὲ τὰ ξύλινα ἀγγεῖα. πάλιν δὲ ὡς λυχνοπώλην αὐτὸν διαβάλλει. Εὐφημεῖν χρή. στίχοι ἐν ἐκθέσει ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ ιε. ἐπὶ τῷ τέλει παράγραφος. Οἷς ἡ πόλις. ὅτι φιλόδικοι ἦσαν Ἀθηναῖοι. παιωνίζειν δὲ ὕμνον παιᾶνα ᾄδειν.

δην. Οὗτος ἦν ἔνδηλος, ὃν θέλω λέγειν ὑμῖν οὐκ ἔστιν ἐπίσημος. τούτου χάριν δ' ἑτέρου τοῦ πρότερον δηλώσειν θέλω. τοῦτο δὲ λέγει, ὡς τοῦ ἀριγνώτου γινωσκομένου, ἀριφράδους δὲ ἀσήμου ὄντος. ἀπὸ δὲ τούτου γινωσκομένου. Ἄλλως. τὸν ἀριφράδην λέγει. ἀριφράδους δὲ δύο παῖδες ἀρίγνωτος καὶ ἀριφράδης ὁμώνυμος τῷ πατρί. Ἀρίγνωτον γὰρ, ἀντὶ τοῦ ἔστι γὰρ δῆλος. καὶ οὐκ ἔστιν ὅστις οὐκ οἶδεν αὐτόν. οὗτος οὖν ὁ ἀρίγνωτος, διεβάλλετο καὶ ὡς ἀρρητοποιός. ἀρίγνωτος δὲ οὗτος κιθαρῳδὸς ἦν. διό φησι

οὗτος ἦν ἔνδηλος, οὐκ ἂν ἀνδρὸς ἐμνήσθην φίλου.
νῦν δ' Ἀρίγνωτον γὰρ οὐδεὶς ὅστις οὐκ ἐπίσταται.
ὅστις ἢ τὸ λευκὸν οἶδεν, ἢ τὸν ὄρθιον νόμον,
ἔστιν οὖν ἀδελφὸς αὐτῷ τοὺς τρόπους οὐ συγγενής.
ἀριφράδης πονηρός. ἀλλὰ τοῦτο μὲν καὶ βούλεται.
ἔστι δ' οὐ μόνον πονηρὸς, οὐ γὰρ οὐδ' ἂν ᾐσθόμην.
οὐδὲ παμπόνηρος ἀλλὰ καὶ προσεξηύρηκέ τι.
τὴν γὰρ αὑτοῦ γλῶτταν αἰσχραῖς ἡδοναῖς λυμαίνεται.
ἐγκασαυρείοισι λείχων τὴν ἀπόπτυστον δρόσον
καὶ μολύνων τὴν ὑπήνην. καὶ κυκῶν τὰς ἐσχάρας
καὶ πολυμνήστεια ποιῶν καὶ ξυνὼν οἰωνίχῳ
ὅστις οὖν τοιοῦτον ἄνδρα μὴ σφόδρα βδελύττεται,
οὔποτ' ἐκ ταὐτοῦ μεθ' ἡμῶν πίεται ποτηρίου
Χο. ἦ πολλάκις ἐννυχίαισι, φροντίσι συγγεγένημαι,
καὶ διεζήτηχ' ὁπόθεν ποτὲ φαύλως ἐσθίει κλεώνυμος.
φασὶ γὰρ αὐτὸν ἐρεπτόμενον τὰ τῶν ἐχόντων ἀνέρων,
οὐκ ἂν ἐξελθεῖν ἀπὸ σιπύης. τοὺς δ' ἀντιβολεῖν ἂν ὁμοίως
ἴθ' ὦ ἄνα πρὸς γονάτων

καὶ τὸν ὄρθιον νόμον ἔφη αὐτὸν εἰδέναι. δοκεῖ δὲ παροιμιῶδες εἶναι ὁ λόγος. ὅστις οἶδε τὸ λευκὸν καὶ τὸ μέλαν. παρὰ τὸ τοῦ οὖν ἐποίησεν. εἰρωνεύεται δὲ πρὸς αὐτὸν, ὅτι οὐκ ἂν αὐτοῦ ἐμνήσθην χρηστοῦ ὄντος. εἰ μὴ εἶχε πονηρὸν ἀδελφόν. ὁ γὰρ ἀρίγνωτος ὑστάτης ἦν. Ὅστις ἢ τὸ λευκόν. ἀρίσταρχος παρὰ τὸ λεγόμενον εἴ τις οἶδε τὸ λευκὸν ἢ τὸ μέλαν. οἱ δὲ λέγουσιν, ἀρίγνωτον κιθαρῳδόν. ὃς ᾔδει τὸν ὄρθιον καλούμενον νόμον καὶ τὸν λευκόν. οἵτινες ἐθαύμαζον (ὡς. τοῦ τότε χρόνου. Ἄλλως παροιμία ἐστὶν ἐπὶ τῶν πάνυ φανερῶν. ὃ οὖν θέλει εἰπεῖν τοιοῦτόν ἐστιν. οὐδείς ἐστιν ὅστις οἶδε τὸ λευκὸν ἢ τὸ μέλαν, ὁ μὴ ἐπιστάμενος. Τοῦτο μὲν καὶ βούλεται. τὸ εἶναι δηλονότι πονηρός.

Ἐγκασαυρείοισι. διχῶς ἐν κασαλβίοις ἀντὶ τοῦ ἐν πορνείοις. Τὴν ἀπόπτυστον δρόσον. τὴν τῶν αἰδοίων φησὶ τουτέστι τὸ σπέρμα. Ἐσχάρας. τὰ χείλη τῶν γυναικείων αἰδοίων.

Πολυμνήστεια. μέλη πολυμνήστου κολοφωνίου. κιθαρῳδὸς ἦν οὗτος. κωμῳδεῖται δὲ καὶ οὗτος ἐν τοῖς αὐτοῖς. πολύμνηστος δὲ καὶ οἰώνιχος ὁμοίως ἀρρητοποιοί. κρατῖνος. καὶ πολυμνήστει' ἀείδει, μουσικήν τε μαιεύεται. Ἐκ ταὐτοῦ. ὅτι αἰσχρὸν τὸ τούτου ποτήριον. διὰ τὸ λείχειν αὐτούς. Φροντίσι συγγεγένημαι. ἐκ τοῦ ὅστις οὖν τοιοῦτον ἄνδρα, φασί τινες εὐπόλιδος εἶναι τὴν παράβασιν. εἶτε φησὶν εὔπολις ξυνεποίησα τῷ φαλακρῷ.

Ἐσθίει κλεώνυμος. τοῦτον ὡς δαπανηρὸν καὶ πολλάκις ἐσθίοντα διασύρει. ἅμα δὲ καὶ δειλόν. ἐρεπτόμενον δὲ εἶπεν ἐκφαντικῶς ὡς ἐπὶ κτήνους. σιπύης δὲ τῆς ἀρτοθήκης. οἱονεὶ σιτούνης τινὸς οὔσης. παρὰ τὸ ἐν αὐτῇ τὰ σιτία ἐμβάλλεσθαι. Ἴθ' ὦ ἄνα. πρόσθεν τι. ὡς καὶ τὸ γειτνιᾶν αὐτῷ φοβουμένων τῶν ἐξωθούντων αὐτόν.

Φασὶν ἀλλήλαις. σωματοποιεῖ τὰς τριήρεις.

μηνύων. ἢ ἀπὸ τοῦ φαίνειν. ὅ ἐστι συκοφαντεῖν. φανὸς γὰρ, κακοπράγμων ἐγένετο φιλόνεικος γραμματεύς. ἐπὶ δήμου δὲ, ὑπογραφεὺς ἐλέγετο. ὁ δὲ τοῦ βουλευτηρίου. ἀντιγραφεὺς. δημοσίου δὲ γενομένου, ἔγραφον ἀμφότεροι τὰ λεγόμενα.

Τ ἢ κεχηναίων πόλει. ἀθηναίων. ὡς ληρούντων αὐτῶν. ἔπαιξε παρὰ τὸ ἀθηναίων. ἀπὸ δὲ τοῦ κεχηνέναι ἔλαβε τὸ ὄνομα ὡς μετέωρα τῶν ἀθηναίων φρονούντων.

Τ ί κάλλιον ἀρχομένοισι. τοῦτο ἀρχὴ προσῳδίου πινδάρου. ἔχει δὲ οὕτω. τί κάλλιον ἀρχομένοισιν, ἢ καταπαυομένοισιν. ἢ βαθύζωνόν τε λατὼ καὶ θοᾶν ἵππων ἐλάτειραν ἀεῖσαι, ἰδεῖν ἀμείνω τῇ κεχηναίων πόλει.

ΩΔΗ ΚΑΙ ΣΤΡΟΦΗ.

τί κάλλιον ἀρχομένοισιν, ἢ καταπαυομένοισιν,
ἢ θοᾶν ἵππων ἐλατῆρας ἀείδειν.
μηδὲν ἐς λυσίστρατον
μηδὲ θούμαντιν ἀνέστιον αὖ,
λυπεῖν ἑκούσῃ καρδίᾳ.
καὶ γὰρ οὗτος φίλ' ἄπολλον
πεινῇ, θαλεροῖσι δακρύοις
σᾶς ἁπτόμενος φαρέτρας
πυθῶνι ἐν δίᾳ, τὸ κακῶς πένεσθαι.
λοιδορῆσαι τοὺς πονηροὺς, οὐδέν ἐστ' ἐπίφθονον.
ἀλλὰ τιμὴ τοῖσι χρηστοῖς, ὅστις εὖ λογίζεται.
εἰ μὲν οὖν ἄνθρωπος ὃν δεῖ πόλλ' ἀκοῦσαι καὶ κακά,

κορωνὶς δέ. ἐξίασι γὰρ οἱ ὑποκριταί. καὶ ἔστι συζυγία ἐπιρρηματική. ὡς αἱ μὲν μελικαὶ περίοδοι δεκάκωλοί εἰσι. καὶ αὐτῶν τὸ μὲν πρῶτον ἰαμβικὸν ἑφθημιμερὲς, ἢ ἐξ αὐτοπαθοῦς καὶ χοριάμβου δίμετρον ὑπερκατάληκτον. τὸ δὲ β', δακτυλικὸν τρίμετρον εἰς δισυλλαβίαν. τὸ τρίτον ἐξ ἐπιτρίτου δευτέρου χοριάμβου καὶ ἰωνικοῦ ἀπ' ἐλάσσονος τρίμετρον ἀκατάληκτον. τὸ δ', τροχαϊκὸν τρίμετρον ἑφθημιμερές. τὸ ε'. ἰαμβικὸν ἑφθημιμερές. τὸ ϛ', ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ζ'. τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον. τὸ η', προσῳδιακὸν δωδεκάσημον διάφορον προσέλαβε. τὸ θ', ἀναπαιστικὸν τρίμετρον ἀκατάληκτον, τὸ ι', ἰαμβικὸν τρίμετρον ἀκατάληκτον. ἐπὶ δὲ τῷ τέλει διπλῆ ἔσω νενευκυῖα. ἔχει δὲ καὶ ἀντιστροφὴν ὁμοίαν καθ' ἕκαστον ἑαυτῇ. ἧς τὸ τέλος δηλοῦν δυεῖν διπλῶν κατ' ἄμφω τ' ἄκρα σημειοῦται. Μηδὲ θούμαντιν, οὗτοι πένητες δὲ βάλλονται. καὶ ὁ μὲν λυσίστρατος ὡς κόλαξ ὁ δὲ θούμαντις ὡς πένης καὶ μάντις. δεῖ οὖν φησι τοὺς μὲν ἱππέας ἐπαινεῖν, ἐκείνους δὲ τοὺς πένητας, μὴ διαβάλλειν.

Θ αλεροῖς δακρύοις. ἀντὶ τοῦ μετὰ δακρύων ἱκετεύει σε τῆς πενίας ἕνεκεν, ἀπαλλαγῆναι ταύτης ἀξιῶν. ἱκετεύει δὲ ἁπτόμενος τῆς σῆς φαρέτρας διὰ τὸ κακῶς πένεσθαι. Λοιδορῆσαι τῆς παραβάσεως ἐστὶ μέρος τὸ ἐπίρρημα ἐκ στίχων τροχαϊκῶν τετραμέτρων καταληκτικῶν ιϛ'. ἔσω νενευκυῖα διπλῆ περαπὺ μένον. ἔχει δὲ καὶ ἀντεπίρρημα καθ' ἕκαστον ὅμοιον ἑαυτῷ. οὗ ἐπὶ τῷ τέλει κορωνίς. κωμῳδεῖ δὲ καὶ καθ' ἄπαξ τὸν ἀριφράδους, ὡς ἀσελγαίνοντος καὶ ἀσχημονοῦντος αἰσχρῶς. καὶ παρὰ φύσιν προσιόντος ταῖς γυναιξί. τὸ δὲ τοὺς πονηροὺς λοιδορεῖσθαι τιμὴ γίνεται τοῖς ἀγαθοῖς. Ὃν δεῖ πόλλ' ἀκοῦσαι. ὃν οὐ δεῖ λοιδορηθῆναι. λέγει δὲ τὸν ἀριφράδη.

ε ἢ τῇ ξυνοίσει· εἰ συμφωνήσεις. εἰ μεθέξῃ. Εὔστραις· αἱ τοῦ φλογιστραις· ὅπου τὰ ἱερὰ θύεται. λέγει δέ, ὡς μάγειρος. Ἄλλως· ἐν τοῖς μαγειρείοις. εὔστρα γὰρ τὸ μαστήριον. ἀπὸ τοῦ εὕειν καὶ φλογίζειν τοὺς χοίρους, τὸ δὲ ἡρμοττόμην. ὡς πρὸς μουσικήν. ἀντὶ τοῦ ἐπαιδευόμην. Ἄλλως· εὔστρα, ἡ ὀρεινὴ κριθή. εἴρηται δὲ καὶ ἀμφίκαυστις παρὰ κωμικοῖς καὶ τραγικοῖς ἀπὸ τοῦ ἀφικνεῖσθαι. οἱ δέ, τὴν πρώτην ἔκφυσιν τῶν πυρῶν, ἣν ἡλίῳ προσαυαίνουσιν. ὥραιον. διὰ τὸ τοὺς πρωΐμους καὶ ἐν τῶν ἀχύρων, ἐπιτηδείους εἶναι εἰς τροφήν.

εἰ τῇ ξυνοίσεις τοῦ θεοῦ τοῖς θεσφάτοις.
καί σου τοσοῦτο πρῶτον ἐκπειράσομαι.
παῖς ὤν, ἐφοίτας ἐς τίνος διδασκάλου.
ΑΛ. ἐνταῦθ' ἐν εὕστραις κονδύλοις ἡρμοττόμην.
ΚΛ. πῶς εἶπας; ὥς μου χρησμὸς ἅπτεται φρενῶν.
εἶεν. ἐν παιδοτρίβου δὲ τίνα πάλην ἐμάνθανες.
ΑΛ. κλέπτειν, ἐπιορκεῖν καὶ βλέπειν ἐναντίον.
ΚΛ. ὦ Φοῖβ' Ἄπολλον Λύκιε, τί ποτέ μ' ἐργάσει.
τέχνην δὲ τίνα ποτ' εἶχες ἐξανδρούμενος.
ΑΛ. ἠλλαντοπώλουν. ΚΛ. καὶ τί. ΑΛ. καὶ βινεσκόμην.
ΚΛ. οἴμοι κακοδαίμων. οὐκέτ' οὐδέν εἰμ' ἐγώ.
λεπτή τις ἐλπίς ἐστ' ἐφ' ἧς ὀχούμεθα.
καί μοι τοσοῦτον εἰπέ. πότερον, ἐν ἀγορᾷ
ἠλλαντοπώλεις ἐτεόν, ἢ 'πὶ ταῖς πύλαις.
ΑΛ. ἐπὶ ταῖς πύλαισιν οὗ τὸ τάριχος ὤνιον.
ΚΛ. οἴμοι. πέπρακται τοῦ θεοῦ τὸ θέσφατον.
κυλίνδετ' εἴσω τόνδε τὸν δυσδαίμονα.
ὦ στέφανε, χαίρων ἄπιθι. καί σ' ἄκων ἐγὼ
λείπω. σὲ δ' ἄλλος τις λαβών, κεκτήσεται
κλέπτης μὲν οὐκ ἂν μᾶλλον. εὐτυχὴς δ' ἴσως.
ΑΛ. Ἑλλάνιε Ζεῦ, σὸν τὸ νικητήριον.
ΧΟ. ὦ χαῖρε καλλίνικε. καὶ μέμνησ' ὅτι
ἀνὴρ γεγένησαι δι' ἐμέ. καί σ' αἰτῶ βραχύ,
ὅπως γένωμαί σοι Φανὸς ὑπογραφεὺς δικῶν.
ΔΗ. ἐμοὶ δέ γ' ὅ τι σοι τοὔνομ' εἰπέ. ΑΛ. Ἀγοράκριτος.
ἐν τῇ ἀγορᾷ γὰρ κρινόμενος ἐβοσκόμην.
ΔΗ. Ἀγορακρίτῳ τοίνυν γ' ἐμαυτὸν ἐπιτρέπω.
καὶ τὸν Παφλαγόνα παραδίδωμι τουτονί.
ΑΛ. καὶ μὴν ἐγώ σ' ὦ Δῆμε θεραπεύσω καλῶς,
ὥσθ' ὁμολογεῖν σε, μηδέν' ἀνθρώπων ἐμοῦ.

Ὦ Φοῖβ' Ἄπολλον. ὁ στίχος ἐκ Τηλέφου Εὐριπίδου. Ὤνιον. εὔωνον. ὅπου τὸ ταριχοπωλεῖον, ἀντὶ ὅπου τὰ εὐτελῆ πωλεῖται. Κυλίνδετ' εἴσω. ἑαυτὸν λέγει ὁ Κλέων. ταῦτα δέ, ἐκ Βελλεροφόντου Εὐριπίδου. τὸ δὲ κυλίνδετ' ἀντὶ τοῦ κομίζετε. Σὲ δ' ἄλλος τις. λείπει ἀνήρ. παρῴδησε δὲ τὰ ἐξ Ἀλκήστιδος Εὐριπίδου. ἔχει δὲ οὕτω. σὲ δ' ἄλλη τις γυνὴ κεκτήσεται σώφρων μὲν οὐκ ἂν μᾶλλον. εὐτυχὴς δ' ἴσως. Ἑλλάνιε Ζεῦ. Ἑλλάνιος Ζεὺς ἀπὸ τοῦ ἐν Αἰγίνῃ αὐχμοῦ ποτὲ γενομένου. ὅτε Αἰακὸς συναγαγὼν τοὺς Ἕλληνας ἐξιλεώσατο τὸν Δία. τοῦτο δὲ λέγει ὁ ἀλλαντοπώλης, εἰληφὼς τὸν στέφανον. Ἑλλάνιος δὲ Ζεὺς τιμᾶται ἐν Αἰγίνῃ. Καλλίνικε. τοῦτο λέγει ὁ χορὸς πρὸς τὸν ἀλλαντοπώλην. Φανός. σύμμαχος φαίνεταί τις γραμματεὺς οὗτος τῶν πανυσταιων, ὄνομα κύριον. κωμῳδεῖται δὲ αὐτὸς ὡς φιλόδημος. φανὸς δέ, ὁ καταγγέλλων καὶ φανερὰ ποιῶν τὰ πράγματα καὶ

οἱ δὲ, τοῦ κλέωνος, ἵν' ᾖ ἐρωτηματικῶς. Ποῦ. ποῦ. ὁ ἀγοράκριτος μεθόδῳ χρῆται πρὸς κλέωνα. καὶ ἁρπάζων τὰ τοῦ κλέωνος λαγῷα, δίδωσι τῷ δήμῳ. Οὐκ φάσεις. λείπει ἀποφοιτῆσαι. Καὶ σὺ γὰρ τοὺς ἐκ πύλου. ἥρπασας δηλονότι ἀπὸ δημοσθένους τοῦ στρατηγοῦ. Τὸ μὲν νόημα τῆς θεοῦ. τοῦτο πρὸς τὴν ἀλαζονείαν τῶν δημαγωγῶν. εἰώθασι γὰρ λέγειν, ὅτι ἡ μὲν θεὸς ὑποβάλλει μοι. ἥρπασα δὲ ἐγώ. οὕτω γὰρ οἱ δημαγωγοὶ ἀστεϊζόμενοι, ἔλεγον τὰς ἑαυτῶν ἐπινοίας τῆς θεοῦ.

Ὑπεραναιδευθήσομαι. τῇ ἀναιδείᾳ νικηθήσομαι. ὅτι ὁ ἀναιδέστερός μου φανήσεται. Τὴν ἐμὴν κίστην. τὴν κιβωτόν. ταύτῃ δὲ διενήνοχεν. ὅτι ἡ μὲν, εἰς ὑποδοχήν ἐστιν ἐδεσμάτων. ἡ δὲ, ἱματίων καὶ χρυσοῦ ἡ κιβωτός.

Τὰ τοῦ δήμου φρονεῖ. ἀντὶ τοῦ δωροδοκεῖται. τὴν τοῦ ἀλλαντοπώλου δέ φησιν. ὅτι πάντα τῷ δήμῳ παρέθηκεν.

Τυννουτονί. συλλαβὼν τοὺς δακτύλους φησὶ φαεινὸς ἀντὶ τοῦ μικρόν.

Ἐγὼ δέ τυ. τὸ τυ δωρικῶς. ἀντὶ τοῦ σέ. ἔπαιξε δὲ παρὰ τὸ δωροδοκεῖν. δωριστὶ εἰρηκώς. τὸ δὲ ἐστεφάνιζα, ἀντὶ τοῦ στεφάνοις ἐτίμησα. δημοσίᾳ γὰρ ἐτιμήθη ὁ κλέων στεφάνῳ. μέμνηται δὲ τῆς ἁλῴας, ὅταν στεφανῶσι τὸν ποσειδῶνα.

ἀλ. νὴ τὸν ποσειδῶ. καὶ σὺ γὰρ τοὺς ἐκ πύλου.
δη. εἴπ' αὖ τί βουλῶ. πῶς ἐπενόησας ἁρπάσαι.
ἀλ. τὸ μὲν νόημα τῆς θεοῦ. τὸ δὲ κλέμμ' ἐμόν.
κλ. ἐγὼ δ' ἐκινδύνευσ'. ἀλ. ἐγὼ δ' ὤπτησά γε.
δη. ἄπιθ'. οὐ γὰρ ἀλλὰ τοῦ παραθέντος ἡ χάρις.
κλ. οἴμοι κακοδαίμων ὑπεραναιδευθήσομαι.
ἀλ. τί οὐ διακρίνεις δῆμ' ὁπότερός ἐστιν ὧν,
ἀνὴρ ἀμείνων περὶ σὲ καὶ τὴν γαστέρα.
δη. τῷ δῆτ' ἂν ὑμᾶς χρησάμενος τεκμηρίῳ,
δόξαιμι κρίνειν τοῖς θεαταῖσι σοφῶς.
ἀλ. ἐγὼ φράσω σοι. τὴν ἐμὴν κίστην ἰὼν.
ξύλλαβε σιωπῇ. καὶ βασάνισον ἅττ' ἔνι.
καὶ τὴν παφλαγόνος. κἀμέλει, κρινεῖς καλῶς.
δη. φέρ' ἴδω. τί οὖν ἔνεστ'. ἀλ. ἀλλ' οὐχ ὁρᾷς κενήν,
ὦ παππίδιον, ἅπαντα γάρ σοι παρεφόρουν.
δη. αὕτη μὲν ἡ κίστη τὰ τοῦ δήμου φρονεῖ.
ἀλ. βάδιζε γοῦν καὶ δεῦρο πρὸς τὴν παφλαγόνος.
ὁρᾷς νυν; δη. οἴμοι τῶν ἀγαθῶν ὅσον πλέα.
ὅσον τὸ χρῆμα τοῦ πλακοῦντος ἀπέθετο.
ἐμοὶ δ' ἔδωκεν ἀποτεμὼν, τυννουτονί.
ἀλ. τοιαῦτα μέντοι καὶ πρότερον εἰργάζετο.
σοὶ μὲν προσεδίδου μικρὸν ὧν ἐλάμβανεν,
αὐτὸς δ' ἑαυτῷ, παρετίθει τὰ μείζονα.
δη. ὦ μιαρὲ κλέπτων δή με ταῦτ' ἐξηπάτας,
ἐγὼ δέ τυ ἐστεφάνιζα κἀδωρησάμην.
κλ. ἐγὼ δ' ἔκλεπτον ἐπ' ἀγαθῷ γε τῇ πόλει.
δη. κατάθου ταχέως τὸν στέφανον. ἵν' ἐγὼ τουτῳὶ
αὐτὸν περιθῶ. ἀλ. κατάθου ταχέως μαστιγία.
κλ. οὐ δῆτ' ἐπεί μοι χρησμός ἐστι πυθικὸς,
φράζων ὑφ' οὗ δεῖ σ' ἡμ' ἡττᾶσθαι μόνου.
ἀλ. τοὐμόν γε φράζων ὄνομα καὶ λίαν σαφῶς.
κλ. καὶ μήν σ' ἐλέγξαι βούλομαι τεκμηρίῳ,

Τὴν χύτραν· ἀντὶ τοῦ εἰπεῖν χεῖρα. Ἡ φοβεσιστράτη· ἡ φοβοῦσα τὸν στρατόν· ἑξῆς δὲ τὰ ἐπίθετα τῆς θεοῦ. Καὶ χόλικος. χόλικες τὰ παχέα ἔντερα. χόλικος δὲ καὶ ἠνύστρου, ἐκ παραλλήλου τὸ αὐτό. ταῦτα δὲ ἐγκατώδη κρέα. τόμον δὲ οἷον τέμαχος. ἤνυστρον δὲ ἡ κάτω κοιλία. Ἡ γοργολόφα· ἡ ἐκ τῆς κεφαλῆς τῆς γοργοῦς τὴν περικεφαλαίαν ἔχουσα. ἐλατὴρ δέ, πέμματος εἶδος. τινὲς μέν, ἄζυμα. δύρι παίδης δὲ πέταλα. ἔπαιξε δὲ τοῖς ὀνόμασι διὰ τὴν περὶ ναυτικὰ τῶν Ἀθηναίων ἐμπειρίαν.

εἰ μὴ φανερῶς ἡμῶν ὑπερεῖχε τὴν χύτραν.
ΚΛ. τουτὶ τέμαχός σοι δῶκεν ἡ φοβεσιστράτη.
ΑΛ. ἡ δ' ὀμβριμοπάτρα γ' ἑφθὸν ἐκ ζωμοῦ κρέας
καὶ χόλικος ἠνύστρου τε καὶ γαστρὸς τόμον.
ΔΗ. καλῶς γ' ἐποίησε τοῦ πέπλου μεμνημένη.
ΚΛ. ἡ γοργολόφα σ' ἐκέλευε τουτουὶ φαγεῖν
ἐλατῆρος, ἵνα τὰς ναῦς ἐλαύνωμεν καλῶς.
ΑΛ. λαβὲ καὶ ταδὶ νῦν. ΔΗ. καὶ τί τούτοις χρήσομαι
τοῖς ἐντέροις. ΑΛ. ἐπίτηδες αὔτ' ἔπεμψέ σοι
εἰς τὰς τριήρεις ἐντερόνειαν ἡ θεός.
ἐπισκοπεῖ γὰρ περιφανῶς τὸ ναυτικόν.
ἔχε καὶ πιεῖν κεκραμένον τρία καὶ δύο.
ΔΗ. ὡς ἡδύς ὦ Ζεῦ, καὶ τὰ τρία φόρων καλῶς.
ΑΛ. ἡ τριτογενὴς γὰρ αὐτὸν ἐνετριτώνισε.
ΚΛ. λαβὲ νῦν πλακοῦντος πίονος παρ' ἐμοῦ τόμον.
ΑΛ. παρ' ἐμοῦ δ' ὅλον γε τὸν πλακοῦντα τουτονί.
ΚΛ. ἀλλ' οὐ λαγῷ' ἕξεις ὁπόθεν δῷς. ΑΛ. ἀλλ' ἐγώ.
ΑΛ. οἴμοι· πόθεν λαγῷά μοι γενήσεται.
ὦ θυμὲ νυνὶ βωμολόχον ἐξευρέ τι.
ΚΛ. ὁρᾷς τάδ' ὦ κακόδαιμον; ΑΛ. ὀλίγον μοι μέλει.
ἀλλὰ γὰρ ἐκεῖνοι γ' ὡς ἔμ' ἔρχονται. ΚΛ. τίνες.
ΑΛ. πρέσβεις ἔχοντες ἀργυρίου βαλάντια.
ΚΛ. ποῦ, ποῦ. ΑΛ. τί δέ σοι τοῦτ'. οὐκ ἐάσεις τοὺς ξένους.
ὦ Δημίδιον, ὁρᾷς τὰ λαγῷ' ἅ σοι φέρω;
ΚΛ. οἴμοι τάλας. ἀδίκως γε τἀμ' ὑφήρπασας.

Ἐντερόνειαν· τὰ ἐγκοίλια τὰ ἀπὸ τῆς τρόπιδος ἀνερχόμενα ξύλα, ἐντερόνεια καλεῖται. Ἄλλως. οἱ μέν, τὸ τῶν νεῶν ἔδαφος. οἱ δέ, τὰ ἐγκοίλια. βέλτιον δέ, τὴν τῶν ἐγκοίλων ξυλὴν λέγειν. ταῦτα δὲ Ἡρωδιανὸς ἐν τῇ καθόλου προπαροξύνει. καὶ ἡ ἐντερόνεια δὲ τούτῳ τῷ λόγῳ ὤφειλε συστέλλειν τὸ α, καὶ παροξύνεσθαι. οὕτω γὰρ τὴν ἐντερόνην, Ἀριστοφάνης ἐν τοῖς ἱππεῦσιν ἔφη. ὅπερ ἐστὶ τὸ μεσαίτατον τῆς νεώς. ὅ ἐστι συνεκτικώτατον ἥτις ἐστὶ τρόπις. ὑπὸ δὲ ἄλλων μήτρα καλεῖται. φησὶ δὲ ὁ κωμικὸς εἰς τὰς τριήρεις ἐντερόνειαν ἡ θεός. εἰ μὴ ἄρα ποιητική ἐστιν ἡ ἔκτασις. Τρία καὶ δύο. τρία μέρη ὕδατος ἀποδεχόμενον. οἴνου δὲ δύο. ἀρίστη δὲ κρᾶσις, οἴνου δύο μέρη καὶ ὕδατος τρία. Ἐνετριτώνισεν. εὐκαίρως τῷ ἐπιθέτῳ ἐχρήσατο. ἵνα παίξῃ παρὰ τὰ τρία καὶ δύο. βούλεται δὲ δηλοῦν ὅτι καὶ ἡ Ἀθηνᾶ τοιοῦτον αὐτὸν ἐποίησεν, ὡς δύνασθαι τρία μέτρα φέρειν ὕδατος. ἢ ὡς ἀπὸ τῶν τριῶν κραμάτων. ἢ ὡς ἀπὸ Τρίτωνος ποταμοῦ Λιβύης. παρ' ᾧ ἐτέχθη ἡ Ἀθηνᾶ. βωμολόχον δέ, πανοῦργον ληστρικόν. Ὁρᾷς τάδε. τὰ λαγῷα δείκνυσιν αὐτῷ. καὶ χλευάζει ὡς οὐκ ἔχοντα. Τίνες. οἱ μὲν τὸ αὐτὸ πρόσωπον. ἵν' ᾖ τινές·

329.a

ἀθήνας εὐρυσθέως στρατείαν τῶν ἀθηναίων μὴ ἐκδιδόντων αὐτῷ τοὺς ἡρακλείδας πρὸς τὸν τοῦ ἐλαίου βωμὸν καταφυγόντας, χρησμοῦ δοθέντος τοὺς ἀθηναίους νικήσειν, εἴ τις τῶν ἡρακλειδῶν πρὸς θάνατον ἑκούσιον ἐκδῷ ἑαυτὸν, κατέσφαξεν ἑαυτὴν ὡς ἐν ἡρακλείδαις εὐριπίδης. ἧς τὸν τάφον ἄνθεσι καὶ στεφάνοις τιμῶντες οἱ ἀθηναῖοι ὡς τῶν ἀργείων ἡττηθέντων, ἐπέλεγον βάλλ' ἐς μακαρίαν. τὸ μὲν οὖν πρῶτον ἐπὶ τῶν κατ' ἀρετὴν διδόντων ἑαυτοὺς εἰς θάνατον ἡ παροιμία ἐλέγετο. ὕστερον δὲ ἐπὶ πάσης ἀφοσιώσεως, φθόρει δὲ, ὄλεθρε φθοροποιέ. Οἶσθ' οὖν ὃ δρᾶσον. ἀττικὸν ἀντὶ τοῦ δράσεις. Ἀπὸ βαλβίδων. μετήνεγκεν, ἀπὸ τῶν περὶ δρόμους ἁμιλλωμένων ἐν τοῖς ἀγῶσι. βαλβὶς δὲ καλεῖται τὸ ἐν τῇ ἀρχῇ τοῦ δρόμου κείμενον ἐγκαρσίως ξύλον. ὃ καὶ ἀφετηρίαν καλοῦσιν. ὅπερ μέλλει τὸ ἐπιμαθῆναι τοὺς δρομεῖς εἰς τὸ δραμεῖν, ἀφαιρούμενοι ἀφίεσαν τρέχειν. Ἄλλως. ἡ ὑπὸ τὴν ὕσπληγα γινομένη γραμμὴ διὰ τὸ ἐπ' αὐτῆς βεβηκέναι τοὺς δρομέας, βαλβὶς καλεῖται. ἀπὸ τοῦ εἰσβάλλεσθαι βάδην. πρῶτον γὰρ εἰσέρχονται βάδην, εἶτα τοῦ δρόμου ἄρχονται. ἢ ἀπὸ τοῦ ἄλλομαι. ἁλμὶς ἀλβίς. ὑπερβιβασμῷ βαλβίς. ἢ ἀπὸ τοῦ βαίνω. Ὑπεκθεῖν οὐκ ἐῶ. ὑποτρέχει ὑποσκελίζειν. καὶ ἐμποδὼν ἵστασθαι. Ἐγὼ θρύπτομαι, συντριβήσομαι ἢ τρυφήσω. καὶ σεμνυνοῦμαι. μαζίσκην δὲ ἄρτον πεφυραμένον. Ἐκ τῶν ὀλῶν. ὀλαὶ αἱ μεθ' ἁλῶν μεμιγμέναι κριθαί. καὶ τοῖς θύμασιν ἐπιβαλλόμεναι. πάλιν δὲ εὐφυῶς ὑπομιμνήσκει τῶν ἐν πύλῳ.

ἀλ.	οἶσθ' οὖν ὃ δρᾶσον; δη. εἴ γε μὴ φράσεις γε σύ.
ἀλ.	ἄφες ἀπὸ βαλβίδων ἐμέ τε καὶ τουτονί.
	ἵνα σ' εὖ ποιῶμεν ἐξ ἴσου. δη. δρᾶν ταῦτα χρή.
	ἄπιτον. ἀλ. ἰδοὺ. δη. θέοιτ' ἄν. κλ. ὑπεκθεῖν οὐκ ἐῶ.
δη.	ἀλλ' ἦ μεγάλως εὐδαιμονήσω τήμερον,
	ὑπὸ τῶν ἐραστῶν νὴ δί' ἢ 'γὼ θρύψομαι.
κλ.	ὁρᾷς, ἐγώ σοι πρότερος ἐκφέρω δίφρον,
	ἀλλ' οὐ τράπεζαν. ἀλ. ἀλλ' ἐγὼ προτεραίτερος.
κλ.	ἰδοὺ φέρω σοι τήνδε μαζίσκην ἐγώ.
	ἐκ τῶν ὀλῶν τῶν ἐκ πύλου μεμαγμένην.
ἀλ.	ἐγὼ δὲ μυστίλας, μεμυστιλημένας
	ὑπὸ τῆς θεοῦ τῇ χειρὶ τῇ 'λεφαντίνῃ.
δη.	ὡς μέγαν ἄρ' εἶχες ὦ πότνια τὸν δάκτυλον.
κλ.	ἐγὼ δ' ἔτνος γε, πίσινον, εὔχρων καὶ καλόν.
	ἐτόρυνε δ' αὔθ' ἡ παλλὰς ἡ πυλαιμάχος.
ἀλ.	ὦ δῆμ' ἐναργῶς ἡ θεός σ' ἐπισκοπεῖ.
	καὶ νῦν ὑπερέχει σου χύτραν ζωμοῦ πλέαν.
δη.	οἴει γὰρ οἰκεῖσθ' ἂν, ἔτι τήνδε τὴν πόλιν,

Μεμυστιλημένας. κατειργασμένας. ἤδη ἑτοίμους τουτέστι μεμασημένας. Ὡς μέγαν. λεληθότως σεμνολογεῖ τὸ μέγεθος τοῦ ἀγάλματος διὰ τοῦ εἰπεῖν τὸν δάκτυλον αὐτοῦ μέγαν. ὥσπερ καὶ διὰ τοῦ εἰπεῖν ἐν χειρὶ ἐλεφαντίνῃ τὴν λευκότητα καὶ λαμπρότητα καὶ τὸ κάλλος αὐτοῦ. ἕκαστος δὲ φιλονεικεῖ δεῖξαι τὴν τῆς ἀθηνᾶς εὔνοιαν ἐν τῇ πόλει. ὡς εἰ τοῦτο δείξειε καὶ τὴν ἑαυτοῦ οἴεται δήλην ποιῆσαι πρὸς τὴν πόλιν εὔνοιαν. Ἐγὼ δ' ἔτνος γε. ὅτι τὰ ὄσπρια ἐν τῇ ἑψήσει διαθρύπτονται. πάλιν δὲ τὸ ἐν πύλῳ κατόρθωμα διὰ τοῦ πυλαιμάχος. Ὑπερέχει σου. ἀντὶ τοῦ ὑπερμαχεῖ καὶ ὑπερασπίζει σου. ἀντὶ δὲ τοῦ εἰπεῖν περὶ κεφαλῆς, εἶπε χύτραν ὡς μάγειρος.

χοίνιον ἠθμὸν καλεῖ. τοιοῦτος γὰρ ἐγίνετο καὶ ἦν παρόμοιος χώνῃ. ὡς καὶ σοφοκλῆς ἐν ἰνάχῳ. ὕστερον δὲ ἀμφότεροι δύο ἵσταντο ἐν τοῖς δικαστηρίοις, ὁ μὲν χαλκοῦς, ὁ δὲ ξύλινος. καὶ ὁ μὲν κύριος ἦν, ὁ δὲ ἄκυρος. ἔχει δὲ καὶ ὁ χαλκοῦς ὥς φησιν ἀριστοτέλης διερρινημένον ἐπίθεμα, εἰς τὸ αὐτὴν μόνην τὴν ψῆφον καθίεσθαι. πρὸς τοῦτο τοίνυν ὁ κημός. ἀντὶ δὲ ψήφων ταῖς χοιρίναις οἱ δικασταὶ ἐχρῶντο. αὗται δὲ κόγχαι τινές εἰσιν ὥς φησιν ἐπαφρόδιτος ἐν ταῖς λέξεσιν. καὶ ὁ τοῖς ἵπποις δὲ περιτιθέμενος οὕτως ἐκαλεῖτο κημός, ὁ καλούμενος φιμός, ὡς ξενοφῶν ἐν τοῖς περὶ ἱππικῆς. πλέγμα τι ἐκ σχοινίων γενόμενον ὅμοιον ἠθμῷ, ᾧ τὰς πορφύρας λαμβάνουσιν, εἰς ὃ αἱ πορφύραι καὶ τὰ κογχύλια εἰστρέχουσιν. ἐν αὐτοῖς δὲ

ΚΛ. ἄπαγ' ἐς μακαρίαν ἐκποδών. ΑΛ. σύ γ' ὦ φθόρε.
ΚΛ. ὦ δῆμ' ἐγὼ μέντοι παρεσκευασμένος
τρίπαλαι κάθημαι βουλόμενός σ' εὐεργετεῖν.
ΑΛ. ἐγὼ δὲ δεκάπαλαί γε καὶ δωδεκάπαλαι.
καὶ χιλιόπαλαι καὶ πρόπαλαι πάλαι πάλαι.
ΔΗ. ἐγὼ δὲ προσδοκῶν γε τρισμυριόπαλαι,
βδελύττομαί σφω καὶ πρόπαλαι, πάλαι πάλαι

τούτοις ἐστὶ καὶ τὸ δέλεαρ ὥς φησιν ἡρωδιανὸς παρατιθέμενος τὰ ἐκ ποιμένων σοφοκλέους· κημοῖσι πλεκταῖς πορφύρας φθείρει γένος. αἰσχύλος ἐν λυκούργῳ ἀλληγορικῶς τοὺς δεσμοὺς κημοὺς εἴρηκε διὰ τούτων. καὶ τοὺς δὲ κημοὺς στόματος. Ἄλλως. φαεινός, κημὸς ὁ χάβος. ὁ περιτιθέμενος τοῖς ἵπποις. καὶ κημὸς τὸ συγκλεῖσαι. καὶ οἱ ἰατροὶ κημῶσαι λέγουσι τὸ τὸν ὀφθαλμὸν μύσαι. Ἄλλως. Κημὸς ἐκαλεῖτο τὸ πλέγμα τὸ ἐπιτιθέμενον τῷ κάδῳ δι' οὗ οἱ δικασταὶ καθίεσαν τὰς ψήφους. Ἄλλως. Κημὸς πλέγμα κωνοειδές, δι' οὗ καθιᾶσιν οἱ δικασταὶ τὴν ψῆφον εἰς τὸν κάδον. καὶ ἀλλαχοῦ. κἀπιστάμην ἐπὶ τοῖς κημοῖς. καὶ τὸ τοῖς ἵπποις ἐπιτιθέμενον. καὶ γυναικεῖον προκόσμημα. καὶ αἱ αὐλητικαὶ φορβειαί. καὶ κρίκου τι γένος. καὶ πόα τις, καὶ ὄστρειόν τι παρὰ θραξί. καὶ μηχανικόν τι πυρφόρον μηχάνημα. Καταμηλῶν. καταμηλοῦν ἐστι, τὸ τὴν μήλην καθίεσθαι ὑπὸ τοῦ ἰατροῦ εἰς τὸν λαιμόν, ὡς ποιοῦσι καὶ οἱ ἐμοῦντες. τὸ ὅλον οὖν βούλεται, ὅτι καταψηφιζόμενος σοῦ ἔτι καὶ δικάζων, ἀναγκάζω ἐμεῖν τὰς κλοπάς. καταδικάζων καὶ ἐξοστρακίζων. ἀπὸ μεταφορᾶς τῶν ἰατρῶν τῶν δοκιμαζόντων ἀπὸ τῆς μήλης. Ἄπαγ' ἐς μακαρίαν. κορωνὶς αὖθις ἑτέρα εἰσιόντων τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. ριδ'. πλὴν τοῦ τελ. ἰαμβικοῦ μονομέτρου βραχυκαταληκτου. ὧν ὁ τελευταῖος ἰδεῖν ἀμείνω τῇ κεχηνυιῶν πόλει. ἐπὶ τῷ τέλει κορωνίς. γράφεται δὲ ἔρρ' εἰς μακαρίαν κατ' εὐφημισμὸν ἀντὶ τοῦ εἰς ὄλεθρον. ἐπεὶ καὶ οἱ τεθνεῶτες μακαρῖται λέγονται. Ἄλλως. Μακαρία ἡρακλέους θυγάτηρ. ἣν ἀθηναῖοι ὑπὲρ αὐτῶν ἀποθανοῦσαν πολυτελῶς ἔθαψαν. Ἄλλως. παροιμιῶδες. βάλλ' εἰς μακαρίαν. οἱ μὲν κατ' εὐφημισμὸν ἐδέξαντο λέγεσθαι. ἀντὶ τοῦ βάλλ' εἰς δειλαιότητα. μακαρίαν γὰρ ἐν ᾅδου χωρίον διατυποῦσιν. οἱ δὲ τὴν μακαρίαν θυγατέρα φασὶ τοῦ ἡρακλέους. ἥ γε κατὰ τὴν ἐπὶ τὰς

Ν οὖς οὐκ ἔνι ταῖς κόμαις. οἷον ἐν τῷ ἐγκεφάλῳ ὑμῶν. ὅτι ἐκόμων οἱ ἱππεῖς. ἐγκέφαλος οὐκ ἔστιν ὑμῖν. οὐδὲ ἐστὲ φρενήρεις. Ταῦτ' ἠλιθιάζω. ἀναισθητῶ. προσποιοῦμαι ἠλίθιος εἶναι, ἀναίσθητοι γὰρ οἱ λίθοι, ἀντὶ τοῦ ἀναισθητῶ. Βρύλλων. ἐξαπατώμενος ὑπό τινων καὶ μεθύων. σύμμαχος δὲ ὑπάρχει πίνων ἐκ μιμήσεως τῆς τῶν παίδων φωνῆς. Π ροστάτην. τὸν προϊστάμενον τοῦ δήμου. τουτέστι δημαγωγόν. Ὅταν ᾖ πλέως, σταεινός, ἀντὶ τοῦ πλήρης. τουτέστιν, ὅταν ηὐξῆσθαι δοκῇ καὶ μέγας εἶναι. Ἄρας ἐπάταξα. κατέβαλον. ἐκ μεγάλου καὶ λαμπροῦ πένητα ἐποίησα. τουτέστιν ἐάσας πλουτῆσαι ὕστερον πένητα ἐποίησα. Εἴ σοι πυκνότης ἔνεστι. σύνεσις καὶ φρόνησις. εἰ συνεχῶς καὶ πολὺ πάνυ τις οὕτω φρονοίης. Ὥσπερ δημοσίους. λείπει βοῦς ἢ ταύρους. ἢ ἀλλ' ὅτι τοιοῦτον θῦμα. δημοσίους δὲ τοὺς λεγομένους φαρμακούς· οἵπερ καθαίρουσι τὰς πόλεις, τῷ ἑαυτῶν φόνῳ, ἢ τοὺς δημοσίᾳ· καὶ ὑπὸ τῆς πόλεως τρεφομένους· ἔτρεφον γάρ τινας Ἀθηναῖοι λίαν ἀγεννεῖς καὶ ἀχρήστους. καὶ ἐν καιρῷ συμφορᾶς τινος ἐπελθούσης τῇ πόλει, λοιμοῦ λέγω ἢ τοιούτου τινός, ἔθυον τούτους ἕνεκα τοῦ καθαρθῆναι τοῦ μιάσματος· οὓς καὶ ἐπωνόμαζον καθάρματα. καὶ ἐν βατράχοις· οὐδὲ φαρμακοῖσιν εἰκῇ ῥᾳδίως ἐχρήσατ' ἄν. Ὅταν μή σοι τύχῃ. τροπικῶς ὅταν μή σοι τυχὸν πόρος χρημάτων ᾖ. Ὃς ἂν ᾖ παχύς. πλούσιος. ἀπὸ μεταφορᾶς τῶν χοίρων. ἐπιδειπνεῖς δὲ δημεύσεις αὐτῶν τὰς οὐσίας. παρέλκει δὲ ἡ ἐπί. ἢ παρὰ τὸ εἰκός. κάλλιον δὲ ἐπὶ τῷ θῦσαι δειπνεῖς. Περιέρχομαι. ἐνεδρεύω. ἐξαπατῶ. ἢ σοφίζομαι. καὶ ὑπέρχομαι. Οὐδὲ δοκῶν ὁρᾶν, οὐδὲ προσποιούμενος εἰδέναι ἃ παρηδίκουν. Ἅτ' ἂν κεκλόφωσί μου. ὅσα ἂν κεκλοφῶτες ὦσι. Κημόν. κημὸς ὁ κάδος τῶν δικαστικῶν ἔνθα ἔβαλλον τὰς ψήφους. Ἄλλως. κημὸς ὁ ἐπὶ τοῦ καδίσκου εἰς ὃν τὰς ψήφους καθίεσαν τοῖς δικαστηρίοις. Κρατῖνος δὲ αὐτὸν ἐν νόμοις,

θρωπε δεδίασί σ' ὥς / περ ἄνδρα τύραννον.
ἀλλ' εὐπαράγωγος εἶ / θωπευόμενός τε χαί-
ρεις κἀξαπατώμενος. / πρός τε τὸν λέγοντ' ἀεὶ
κέχηνας. ὁ νοῦς δέ σου / παρὼν ἀποδημεῖ.

ΣΥΣΤΗΜΑ ΚΑΤΑ ΠΕΡΙΚΟΠΗΝ.

δη. Νοῦς οὐκ ἔνι ταῖς κόμαις / ὑμῶν, ὅτε μ' οὐ φρονεῖν
νομίζετ' ἐγὼ δ' ἑκὼν / ταῦτ' ἠλιθιάζω.
αὐτός τε γὰρ ἥδομαι / βρύλλων, τὸ καθ' ἡμέραν.
κλέπτοντά τε βούλομαι / τρέφειν ἕνα προστάτην.
τοῦτον δ' ὅταν ᾖ πλέως, / ἄρας ἐπάταξα.

ΑΝΤΙΣΤΡΟΦΗ.

χο. οὕτω μὲν ἂν εὖ ποιοῖς / εἴ σοι πυκνότης ἔνε-
στ' ἐν τῷ τρόπῳ ὡς λέγεις / τούτῳ πάνυ πολλή.
εἰ τούσδ' ἐπίτηδες ὥς / περ δημοσίους τρέφεις,
ἐν τῇ πυκνί. κᾆθ' ὅταν / μή σοι τύχῃ ὄψον ὄν,
τούτων ὃς ἂν ᾖ παχύς, / θύσας ἐπιδειπνεῖς.

ΣΥΣΤΗΜΑ ΕΤΕΡΟΝ.

δη. σκέψασθε δέ μ' εἰ σοφῶς / αὐτοὺς περιέρχομαι,
τοὺς οἰομένους φρονεῖν / καί μ' ἐξαπατύλλειν.
τηρῶ γὰρ ἑκάστοτ' αὐ- / τούς. οὐδὲ δοκῶν ὁρᾶν,
κλέπτοντας. ἔπειτ' ἀναγ- / κάζω πάλιν ἐξεμεῖν.
ὅσ' ἂν κεκλόφωσί μου. / κημὸν καταμηλῶν.

τῆς ἡ ἐπίθεσις εἰς νίκης σύμβολον ἐλογίζετο. ὅθεν καὶ παροιμίαι γλαῦκας ἐς ἀθήνας. γλαῦκες λαυριωτικαί, καὶ γλαὺξ ἵπταται. ἐν τετύπωτο δὲ τῷ ἀττικῷ χρυσῷ νομίσματι. Ἀρυβάλλῳ. πλεκτόν τι βαλλάντιον. ὃ γὰρ ἑλκόμενον κλείεται καὶ ἀνοίγεται, παρὰ τὸ ἀρύειν καὶ βάλλειν. χεῖσθαι δὲ λέγεται οὐ μόνον τὰ ὑγρά. ἀλλὰ καὶ τὰ στερεά. οὗ καὶ νῦν ἐπὶ ἀμβροσίας ἔταξεν. Ἰοὺ ἰού. ἔκθεσις τῆς κορωνίδος ἐκ στίχων ἰαμβικῶν ι. ὧν προτίθεται τὸ παρὸν κῶλον ἰαμβικὸν μονόμετρον ἀκατάληκτον οἱ δέ εἰσι τρίμετροι ιδ΄. ἐπὶ δὲ τῷ τέλει κορωνὶς ἐξιόντων τῶν ὑποκριτῶν. Γεροντάγωγεῖν. ἔπαιξε παρὰ τὸ παιδαγωγεῖν. τοῦτο δὲ λέγει ὁ δῆμος, ὡς τοῦ κλέωνος καταγνωσμένου. ὅλον δὲ τὸ ἰαμβικὸν παρῴδησεν ἀπὸ τοῦ πηλέως σοφοκλέους. ὃ δὴ καὶ ἐν νεφέλαις παρέθηκεν. ἐγὼ δ' ὅτι δὶς παῖδες οἱ γέροντες. Καὶ θουφαίους. ὡς κόλακα κωμῳδεῖ τοῦτον καὶ ἀπατεῶνα. καὶ τῷ κλέωνι συνόντα διὰ κολακείαν. ἦν δὲ ὑπογραμματεύς. διαμεμαγμένας δὲ πεφυραμένας. Καὶ τοὔψον ὀπτόν. καὶ τὸ ὄψον. ἐκάλουν δὲ τὸ ἰχθύδιον. τὸ δὲ ἑξῆς μόνον τοῦ ἐσθίειν σχόλαζε. ταύτην γὰρ ἐγώ σοι ἀφθονίαν παρέξω.

ἀλ. νὴ δία καὶ γὰρ ἐγώ. καί μοι δοκεῖ ἡ θεὸς αὐτὴ
ἐκ πόλεως ἐλθεῖν καὶ γλαὺξ αὐτῇ 'πικαθῆσθαι.
εἶτα καταπένδειν κατὰ τῆς κεφαλῆς ἀρυβάλλῳ,
ἀμβροσίαν κατὰ σοῦ. κατὰ τούτου δὲ σκοροδάλμην
δη. ἰοὺ ἰού. οὐκ ἦν ἄρ' οὐδεὶς τοῦ γλάνιδος σοφώτερος·
καὶ μὴν ἐμαυτὸν ἐπιτρέπω σοι τουτονί,
γεροντάγωγεῖν, κἀναπαιδεύειν πάλιν.
κλ. μήπω γ' ἱκετεύω σ' ἀλλ' ἀνάμεινον. ὡς ἐγὼ
κριθάς ποριῶ σοι καὶ βίον καθ' ἡμέραν.
δη. οὐκ ἀνέχομαι κριθῶν ἀκούων. πολλάκις
ἐξηπατήθην ὑπό τε σοῦ καὶ θουφαίους.
κλ. ἀλλ' ἄλφιτ' ἤδη σοι ποριῶ 'σκευασμένα.
ἀλ. ἐγὼ δὲ μαζίσκας γε διαμεμαγμένας
καὶ τοὔψον ὀπτόν. μηδὲν ἄλλ' εἰ μὴ 'σθιε.
δη. ἀνύσατέ νυν ὅ τι περ ποιήσετ'. ὡς ἐγὼ
ὁπότερος ἂν σφῷν εὖ με μᾶλλον ἂν ποιῇ,
τούτῳ παραδώσω τῆς πυκνὸς τὰς ἡνίας.
ἀλ. τρέχοιμ' ἂν ἤδη πρότερος. κλ. οὐ δῆτ' ἀλλ' ἐγώ.

ΣΤΡΟΦΗ.

χο. ὦ δῆμε καλήν γ' ἔχεις ἀρχήν, ὅτε πάντες ἀν-

Ἀνύσατέ νυν. ἔργῳ ταχύνατε καὶ μὴ λόγοις μόνοις ἐπαγγέλλεσθε. Τὰς ἡνίας. τροπικῶς ἀπὸ τῶν ἁρμάτων. ταῖς γὰρ ἡνίαις ἐνισχύονται οἱ ἵπποι. καὶ οἱ δῆμοι διὰ τῶν πολιτευομένων. Τρέχοιμ' ἂν ἤδη. ἐγγύθεν ἀπὸ τοῦ τὰς ἡνίας τὸ τρέχοιμ' ἐπήγαγεν. διαβάλλει δὲ πάλιν τοὺς ἀθηναίους ὡς ἥττονας κέρδους. Ὦ δῆμε. διπλῆ καὶ εἴσθεσις καὶ μέλος μονοστροφικὸν ἀμοιβαῖον περιόδων τεσσάρων, ἐναλλὰξ τοῦ χοροῦ ἐν ἐκθέσει. δεκάκωλοι δέ εἰσιν αἱ περίοδοι. ἰωνικοῦ δὲ ἀπὸ μείζονος τὸ μέτρον. ὧν τὰ μὲν ἐστιν ἑφθημιμερῆ. δύο δὲ ἡμιόλια τὸ τέταρτον καὶ τὸ δέκατον. εὕρηται δὲ κατὰ τὴν πρώτην χώραν καὶ παίων ἀντὶ ἰωνικοῦ. ἔνδεται καὶ διτρόχαιος ἐφ' ἑκάστῃ περιόδῳ παράγραφος. ἐπὶ τῷ τέλει τῆς τετάρτης παράγραφος καὶ κορωνίς.

Τ ἣν τούτου χεῖρ᾽, ἐκ μητρὸς φορέσθαι τῶν παιδίων, τῶν αἰτούντων καὶ κοιλαινόντων τὰς χεῖρας, ἠνίξατο. Ἔμβαλε κυλλῇ. οἱ μάγειροι ἐπειδὰν παρατιθῶσί τι, λέγουσιν. ἔμβαλε τῇ λαιᾷ. Τὴν διοπείθους. στενῶντο τὰς χεῖρας. καὶ ἦν κυλλὸς ὁ διοπείθης. τουτέστι πεπηρωμένος κυλλοὺς γὰρ ἀττικοὶ καλοῦσιν ἐπὶ ποδῶν καὶ χειρῶν ὁμοίως. καὶ χωλοὺς τοὺς χεῖρα πεπηρωμένους. εὔπολις. ὅτι χωλὸς εἶ σὺ τὴν χεῖρα σφόδρα. κατὰ καιρὸν δὲ διαβάλλει αὐτὸν ὡς κλέπτην. ἦν δὲ καὶ νικίου ἑταῖρος.

ΔΗ. ποίαν κυλλήνην. ΑΛ. τὴν τούτου χεῖρ᾽ ἐποίησε
κυλλήνην. ὀρθῶς ὅτι ἡ φησ᾽ ἔμβαλε κυλλῇ.
ΚΛ. οὐκ ὀρθῶς φράζεις. τὴν κυλλήνην γὰρ ὁ φοῖβος
ἐς τὴν χεῖρ᾽ ὀρθῶς, ἠνίξατο τὴν διοπείθους.
ἀλλὰ γάρ ἐστιν μοι χρησμὸς περὶ σοῦ πτερυγωτὸς
αἰετὸς ὡς γίνει. καὶ πάσης γῆς βασιλεύσεις.
ΑΛ. καὶ γὰρ ἐμοὶ καὶ γῆς, καὶ τῆς ἐρυθρᾶς γε θαλάσσης
χὤτι γ᾽ ἐν ἐκβατάνοις δικάσεις, λείχων ἐπίπαστα.
ΚΛ. ἀλλ᾽ ἐγὼ εἶδον ὄναρ καί μοι δοκεῖν ἡ θεὸς αὐτὴ,
τοῦ δήμου καταχεῖν ἀρυταίνῃ πλουθυγίειαν.

Ρ πτερυγωτός. πρὸς τὸν αἰετὸν ἐχρήσατο τῷ πτερυγωτῷ. χρησμὸς γὰρ ἐξέπεσε τοῖς ἀθηναίοις, ὡς ἄρα δέοι αὐτοὺς τοσοῦτον διενεγκεῖν τῶν ἄλλων ἀνθρώπων, ὅσον αἰετὸς τῶν πτηνῶν. Ἐν ἐκβατάνοις. ἐν τῇ βαρβάρων χώρᾳ. σοῦσα γὰρ καὶ ἐκβάτανα, τῆς περσίδος χώρας πόλεις. ὧν ἐν μὲν τῇ ἑτέρᾳ ἐχείμαζε βασιλεὺς ὁ μέγας. ἐν δὲ τῇ ἑτέρᾳ ἐθέριζεν. ἄρξεις οὖν φησιν οὐχ ἑλλήνων μόνον, ἀλλὰ καὶ βαρβάρων. Λείχων ἐπίπαστα. ἐνταῦθα διείρεστος. ἐν δὲ τοῖς προφθάσασι λείξας εἶπε δι᾽ ἀορίστου. ἐν οἷς καὶ περὶ τοῦ, ἐπίπαστα διείλεκται. παρακούουσι γὰρ ἐπέπασσον ἁλμυρὰ καὶ ἐκ τούτου ἠναγκάζοντο πίνειν πολλά.

Τ οὐ δήμου καταχεῖν. ὅτι τὸ καταχεῖν, οὐ πάντως ἐπὶ ὑγροῦ. ἀλλὰ καὶ τὴν ἀμβροσίαν ἐπιφέρει ὅ ἐστι ξηρόν. ἀρύταινα δὲ χαλκοῦν σκεῦος. ᾧ τὸ ἔλαιον ἐγχέουσιν εἰς λύχνους. Πλουθυγίειαν. ἴσως αἰνίττεται τοὺς δοθέντας μυσκέλῳ καὶ ἀρχίᾳ τῷ μὲν κρότωνα, τῷ δὲ συρακούσας κτίζειν μέλλουσι καὶ φήμην ἀγαθὴν λαβεῖν αἰτουμένοις, οὕτως ἔχοντας χρησμούς. χώρας καὶ πόλεως οἰκήτορα λαὸν ἔχοντες ἤλθετ᾽ ἐρησόμενοι φοῖβον τίνα γαῖαν ἵκησθε. ἀλλ᾽ ἄγε δὴ φράζεσθ᾽ ἀγαθῶν πότερόν κεν ἕλοισθε. πλοῦτον ἔχειν κτεάνων ἢ τερπνοτάτην ὑγίειαν. ὁ μὲν οὖν μύσκελλος ὑγίειαν εἵλετο ἀρχίου πλοῦτον ἑλομένου. ὅθεν φασὶ κροτωνιᾶται μὲν ὑγιεινότεροι καὶ ἡ πόλις αὐτῶν, ἄθλη τῶν πολλῶν καὶ ἀγαθῶν μήτηρ ἐγένετο. καὶ τὸ κρότωνος δὲ ὑγιέστερος ὁ γεωγράφος φησὶν ἐντεῦθεν εἰλῆφθαι ὡς τῶν κροτωνιατῶν ἐρρωμένων ὄντων ἡ δὲ συρακουσίων πόλις παμπλούσιος ἐγένετο, ὧν καὶ ἡ δεκάτη ὡς πάνυ πολλὴ παροιμιάζεται. ὧν οὖν ἑκάτερον τοῖς συγχρηστηριασθεῖσι τῶν οἰκιστῶν εἰς εὐδαιμονίαν ὧν ἔμελλον οἰκίζειν πόλεων ἀπαρχὴν ἔδοξεν, ἄμφω δὴ ταῦτα τὴν θεὸν ὁ ἀλλαντοπώλης ὄναρ ἐθεάσατο τῷ δήμῳ τῶν ἀθηναίων, χαριζομένην, τὸν ἀρχίου πλοῦτον καὶ τὴν μυσκέλλου ὑγίειαν εἰς ἓν συναγαγοῦσαν καὶ πλουθυγίειαν συνθεμένην. Ἐκ πόλεως ἐλθεῖν. ἐκ τῆς ἀκροπόλεως. γλαὺξ δὲ, ἱερὸν ὄρνεον ἀθηνᾶς. ἐπιχωριάζον ἐν λαυρείῳ τῆς ἀττικῆς ὅπου γίνονται χρυσᾶ μέταλλα. Ἴαυ

ἀποπλουτοῦσι. ἀντὶ τοῦ ἐν πύλῳ πρᾶξιν διηγησαμένους. Ὁ μισθὸς ἀποδοθήσεται. ὡς τοῦ Κλέωνος ἀποστεροῦντος. ἐν ἐκθέσει δ᾽ ἴαμβοι ιζ. ἐπὶ τῷ τέλει παράγραφος. ἔπαιξε δὲ τῷ ὀνόματι. διὰ τὸ συνεχῶς τῆς πόλεως μεμνῆσθαι τὸν Κλέωνα. Αἰγεῖδη φρᾶσαι. ἐν ἐκθέσει. ἐπικοὶ τρεῖς ἐπὶ τῷ τέλει παράγραφος. ἀπὸ δὲ τῶν ζώων διαβάλλει τὸν Κλέωνα. ὡς αἰσχρὸν καὶ πανοῦργον. Μή σε δολώσῃ. μή σε δολῶν ὑπέλθῃ. Λαίθαργον. λαίθαργοι κύνες λέγονται, αἳ λάθρα προσιοῦσαι καὶ δάκνουσαι. πολύιδριν δέ, ὅτι πολύπειροι αἱ ἀλώπεκες. καὶ παροιμία. πόλλ᾽ οἶδ᾽ ἀλώπηξ. ἀλλ᾽ ἐχῖνος ἓν μέγα. παρὰ δὲ τὴν παροιμίαν ἔπαιξε. σαίνουσα δάκνουσα καὶ κύων λαίθαργος εἶ. κερδὼ δὲ ἡ ἀλώπηξ παρὰ τὴν κερδοσύνην τουτέστι τὴν πανουργίαν. ὡς εἰδοθέα, εἰδώ. καὶ ὑψιπύλη, ὑψώ. Φιλόστρατος. κυναλώπηξ. οὕτως ἐκαλεῖτο ὁ Φιλόστρατος. λέγει δὲ αὐτὸν καὶ πορνοβοσκὸν καὶ καπηλώτην ἦν.

ὅπως ὁ μισθὸς, πρῶτον ἀποδοθήσεται.
ἀλ. Αἰγεῖδη φρᾶσαι κυναλώπεκα μή σε δολώσῃ
λαίθαργον. ταχύπουν. δολίαν κερδὼ πολύϊδριν.
οἶσθ᾽ ὅτι τοῦτο τί ἐστι. δη. Φιλόστρατος ἡ κυναλώπηξ
ἀλ. οὐ τοῦτό φησιν. ἀλλὰ ναῦς ἑκάστοτε.
αἰτεῖ ταχείας ἀργυρολόγους οὑτοσί.
ταύτας ἀπαυδᾷ μὴ διδόναι σ᾽ ὁ Λοξίας.
δη. πῶς δὴ τριήρης ἐστὶ κυναλώπηξ ἀλ. ὅπως,
ὁτιὴ τριήρης ἐστὶ χὠ κύων, ταχύ
δη. πῶς οὖν ἀλώπηξ προσετέθη πρὸς τῷ κυνί.
ἀλ. ἀλωπεκίοισι, τοὺς στρατιώτας ᾔκασεν.
ὁτιὴ βότρυς τρώγουσιν ἐν τοῖς χωρίοις.
δη. εἶεν. τούτοις ὁ μισθὸς τοῖς ἀλωπεκίοισι ποῦ.
ἀλ. ἐγὼ ποριῶ καὶ τοῦτον ἡμερῶν τριῶν
ἀλλ᾽ ἔτι τόνδ᾽ ἐπάκουσον ὃν εἶπέ σοι ἐξαλέασθαι.
χρησμὸν Λητοΐδης. Κυλλήνην μή σε δολώσῃ

Οὐ τοῦτό φησιν. οἱ ἑξῆς οὐ στίχοι ἰαμβικοί εἰσι τρίμετροι ἀκατάληκτοι ὀκτώ. ἑξῆς δὲ κῶλον ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον. λείπεται γὰρ ὅλου ποδὸς πρὸς τὴν συζυγίαν. καὶ ἑξῆς αὖ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι δύο, ἐπὶ τῷ τέλει παράγραφος. Ἀλλὰ ναῦς ἑκάστοτε. τὰς ἐκπεμπομένας, ἀπὸ τῶν νήσων ἀναπράττεσθαι τοὺς φόρους. οἱ δὲ ἐκπεμπόμενοι πολλὰ ἐκέρδαινον. Ταχείας ἀργυρολόγους. πολεμίας. τὰς συλλεγούσας ἀργύριον. καὶ λήμματα αὐτῷ ποιούσας. ἐλέγοντο δέ, πάραλοι καὶ σαλαμίνιαι. Ἀλωπεκίοισιν. ὡμοίωσέ φησιν ἀλώπηξιν αὐτούς. τοῦτο δέ φησι, παρ᾽ ὅσον παραπλέοντες οἱ ναῦται ἐξορμῶσιν. ἔπειτα ἐπειδὰν παρίωσιν ἀμπέλους τρυγῶσι τοὺς βότρυας διαρπάζοντες. Τούτοις ὁ μισθός. αἰνίττεται διὰ τούτου περὶ τῶν θεωρικῶν χρημάτων, ὅτι χρὴ μᾶλλον τοῖς στρατευομένοις αὐτὰ δίδοσθαι. Καὶ τοῦτον ἡμερῶν τριῶν. εἰώθασιν εἰς τὸν πόλεμον ἐξιόντες οἱ στρατιῶται λαμβάνειν τροφὴν ἡμερῶν τριῶν. Ἀλλ᾽ ἔτι. ἐν ἐκθέσει ἔπικα ἑκκαίδεκα ἐπὶ τῷ τέλει παράγραφος καὶ κορωνὶς ὡς εἴρηται. Κυλλήνην μή σε. Κυλλήνη πόλις ἐστὶ τῆς Ἀρκαδίας. διότι καὶ ἐχρήσατο τῷ ὀνόματι δῆλον ἀπὸ τῶν ἑξῆς ἵνα παρονομάσῃ τὴν κυλλὴν, χεῖρα. ὡς δωροδοκίαν καὶ διασεισμὸν διαβάλλων τὸν Κλέωνα. οἱ γὰρ διασείοντές τινας καὶ δωροδοκοῦντες, κοιλαίνουσι τὴν χεῖρα. καὶ ὑποβάλλοντες ὑπὸ τὸ ἱμάτιον αἰτοῦσι.

Π ἐν πεντεσυρίγγῳ. πέντε ὀπὰς ἔχοντι. δι' ὧν οἵ, τε πόδες καὶ αἱ χεῖρες καὶ ὁ τράχηλος ἀνεβάλλετο. Μὴ πείθου. οἱ ἑξῆς οὗτοι στίχοι δακτυλικοί εἰσι δέκα ὧν ἐπὶ τῷ τέλει παράγραφος. κορώνας δέ φησι τοὺς ἐχθρούς. ἑαυτὸν ἱέρακα. κορακῖνος δὲ εἶδος ἰχθύος. ἔπαιξε δὲ ἀντὶ τοῦ κούρους. Συνδήσας λακεδαιμονίων. πάλιν τὴν ἀναφορὰν ποιεῖται ἐπὶ τὴν πύλον καὶ τὴν σφακτηρίαν καὶ τοὺς αἰχμαλώτους τοὺς. οὓς ἔλαβε δημοσθένης ἀπὸ σικελίας ἀπιών. ἤγαγε δὲ κλέων. Παρεκινδύνευσε. πόρρας γὰρ ὑπέθετο τοῖς ἀθηναίοις ὁ κλέων κατορθῶσαι τὸν ἐν τῇ πύλῳ πόλεμον ἕως ἡμερῶν κ΄. καὶ θαυμάσαντες πάντες, ἔλεγον αὐτὸν μεθύειν. καὶ θουκυδίδης δέ φησιν, ὅτι τῇ ἀπονοίᾳ τῆς ὑποσχέσεως, ἐθαύμαζον οἱ ἀθηναῖοι καὶ ἐγέλων. Κεκροπίδη. ἀπὸ κέκροπος τοῦ διφυοῦς τὸ γένος κατάγων. Καί κε γυνὴ φέροι. ἡ ἱστορία τοῦτον τὸν τρόπον ἔχει. ὅτι διεφέροιτο περὶ τῶν ἀριστείων, ὅ, τε αἴας καὶ ὁ ὀδυσσεύς. ὥς φησιν ὁ τὴν μικρὰν ἰλιάδα πεποιηκώς. τὸν νέστορα δὲ συμβουλεῦσαι τοῖς ἕλλησι, πέμψαι τινὰς ἐξ αὐτῶν ὑπὸ τὰ τείχη τῶν τρώων, ὠτακουστήσοντας περὶ τῆς ἀνδρείας τῶν προειρημένων ἡρώων. τοὺς δὲ πεμφθέντας ἀκοῦσαι παρθένων διαφερομένων πρὸς ἀλλήλας. ὧν τὴν μὲν λέγειν, ὁ αἴας πολὺ κρείττων ἐστὶ τοῦ ὀδυσσέως διερχομένη οὕτως. Αἴας μὲν γὰρ ἄειρε καὶ ἔκφερε δηιοτῆτος Ἥρω πηλείδην, οὐδ' ἤθελε δῖος ὀδυσσεύς. τὴν δ' ἑτέραν ἀντειπεῖν ἀθηνᾶς προνοίᾳ. Πῶς ἐπεφωνήσω. πῶς οὐ κατὰ κόσμον ἔειπες, ψεῦδος, τοῦτο δὲ ἵνα δείξῃ ὡς δημοσθένους τοῦ κλέωνος τὸ κατόρθωμα. Ἄλλως. Τοῦτο ἐκ τοῦ κύκλου ἀφείλκυσται. λέγεται δὲ ἀπὸ τῶν τρῳάδων κρινουσῶν τόν τε αἴαντα καὶ τὸν ὀδυσσέα. λέγεται δέ, ὅτι οὐ τὸ τοῦ αἴαντος ἔργον ἀλλὰ τὸ τοῦ ὀδυσσέως. ταῦτα δὲ λέγει, διὰ τὰ ἐν πύλῳ. ἃ δημοσθένης μὲν προηνυσεν. οὗτος δὲ ἰδιοποιεῖται.

	δῆσαί σ' ἐκέλευε πεντεσυρίγγῳ ξύλῳ.
δη.	ταυτὶ πείθεσθαι τὰ λόγι' ἤδη μοι δοκεῖ.
κλ.	μὴ πείθου. φθονεραὶ γὰρ ἐπικρώζουσι κορῶναι.
	ἀλλ' ἱέρακα φίλει. μεμνημένος ἐν φρεσὶν ὅς σοι
	ἤγαγε συνδήσας λακεδαιμονίων κορακίνους,
αλ.	τοῦτό γέ τοι παφλαγὼν παρεκινδύνευσε μεθυσθείς.
	κεκροπίδη κακόβουλε. τί τοῦθ' ἡγεῖ μέγα τοὔργον.
	καί κε γυνὴ φέροι ἄχθος, ἐπεί κεν ἀνὴρ ἀναθείη
	ἀλλ' οὐκ ἂν μαχέσαιτο χέσαιτο γὰρ εἰ μαχέσαιτο.
κλ.	ἀλλὰ τόδε φράζου. πρὸ πύλου πύλον ἥν σοι ἔφραζεν.
	ἔστι πύλος πρὸ πύλοιο. δη. τί τοῦτο λέγει πρὸ πύλοιο
αλ.	τὰς πυέλους φησὶ καταλήψεσθ' ἐν βαλανείῳ.
δη.	ἐγὼ δ' ἄλουτος τήμερον γενήσομαι.
αλ.	αὐτὸς γὰρ ἡμῶν τὰς πυέλους ἀφήρπασεν.
	ἀλλ' οὗτος γάρ ἐστι περὶ τοῦ ναυτικοῦ,
	ὁ χρησμός. ᾧ σε δεῖ προσέχειν τὸν νοῦν πάνυ.
δη.	προσέχω. σὺ δ' ἀναγίνωσκε τοῖς ναύταισί μου.

Π ρὸ πύλου πύλον. πρὸς τὴν κατάληξιν ἔπαιξεν ὅτι ἀεὶ προσκορής ἐστι περὶ πύλου λέγων. Ἔστι πύλος. τοῦτο χρησμός. ἔστι πύλος πρὸ πύλοιο. πύλος γε μὲν ἔστι καὶ ἄλλη. Τὰς πυέλους. τὰς ἐμβάσεις. πύελος γὰρ ὄρυγμα. ἐμβατή. ἔγκα

καὶ κύων λαιθάργος εἶ. ἐπὶ τῶν ὑποκρινομένων δῆθεν εὐνοεῖν. ἐπιβουλευόντων δὲ λάθρᾳ. ἐξέδεται δὲ, ἐκτρώγει. τοὔψον δὲ, τὸ βρῶμα ἄλλο σε δὲ χάσκης, ἀντὶ τοῦ περὶ ἄλλα τὴν διάνοιαν ἔχῃς. Ἐς τοὐψώνιον. ἀντὶ τοῦ ἐπὶ τὸ πρυτανεῖον εἰπεῖν, εἶπεν εἰς τοὐψώνιον τουτέστι τὸ μαγειρεῖον. Νύκτωρ τὰς λοπάδας. ὅτι τοὺς φόρους τῶν νήσων καὶ τῶν πόλεων ἀφήρπαζεν. ὡς οἱ κύνες οἱ εἰς τὰ μαγειρεῖα εἰσιόντες, περιλείχουσι τὰς λοπάδας καὶ τὰς χύτρας, οὕτω καὶ ὁ Κλέων ἐάν τι τοῖς νησιώταις περιλειφθῇ καὶ τοῦτο λαμβάνει. Ἄλλως. ἔπαιξε πρὸς τὸ γινόμενον ὑπὸ τῶν κυνῶν· οἱ γὰρ ἁρπάσαντές τι, ὠθοῦσιν εἰς τοὺς ἡσυχίαν ἔχοντας τόπους ἀναχωρήσαντες, ἐμφορεῖσθαι. Καὶ τὰς νήσους διαλείχων. ὅτι ἀντὶ τοῦ εἰπεῖν τὰς χύτρας, παρ' ὑπόνοιαν εἶπε τὰς νήσους τουτέστι τοὺς τῆς πόλεως πόρους διαρπάζων καὶ τοὺς νησιώτας διασείων. Νὴ τὸν Ποσειδῶ. πρὸς τὸν Ἀλλαντοπώλην ὁ λόγος.

ἐς φοιτῶν δ' ἐς τοὐψώνιον λήσει σε κυνηδόν,
νύκτωρ τὰς λοπάδας καὶ τὰς νήσους διαλείχων.
Δη. νὴ τὸν Ποσειδῶ, πολύ γ' ἄμεινον ὦ Γλάνι.
Κλ. ὦ τᾶν ἄκουσον, εἶτα διάκρινον τότε.
ἔστι γυνή, τέξει δὲ λέονθ' ἱεραῖς ἐν Ἀθήναις,
ὃς περὶ τοῦ δήμου πολλοῖς κώνωψι μαχεῖται,
ὥς τε περὶ σκύμνοισι βεβηκώς· ὃν σὺ φυλάξαι,
τεῖχος ποιήσας ξύλινον, πύργους τε σιδηροῦς.
Δη. ταῦτ' οἶσθ', ὅτι λέγει; Αλ. μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ.
Κλ. ἔφρασεν ὁ θεός σοι σαφῶς σῴζειν ἐμέ.
ἐγὼ γὰρ ἀντὶ τοῦ λέοντός εἰμί σοι.
Δη. καὶ πῶς μ' ἐλελήθεις ἀντιλέων γεγενημένος.
Αλ. ἓν οὐκ ἀναδιδάσκει σε τῶν λογίων ἑκών,
ὃ μόνον σιδηροῦν τεῖχός ἐστι καὶ ξύλον,
ἐν ᾧ σε σῴζειν τόνδ' ἐκέλευσ' ὁ Λοξίας.
Δη. πῶς δῆτα τοῦτ' ἔφραζεν ὁ θεός. Αλ. τουτονὶ

τῶν δ' ἑξῆς τούτων ἓξ στίχων. ὁ μὲν α΄ β΄ ἰαμβικοί. οἱ δὲ λοιποὶ τέσσαρες δακτυλικοί. ἐπὶ τῷ τέλει παράγραφος. Κώνωψι. τοῖς ῥήτορσιν. ἤγουν τοῖς μικροῖς λέγει. Ὥς περὶ σκύμνοις ὡς λέων ὑπερμαχῶν σκύμνων. Τεῖχος ποιήσας ξύλινον. τὰς ναῦς φησι. μετέστησαν γάρ ποτε εἰς Σαλαμῖνα. οὗτος δὲ ὁ χρησμὸς ἐπιόντος τοῦ βαρβάρου ἐδόθη. ἀγνοούντων δὲ αὐτῶν, καὶ βουλομένων ξυλίνῳ τείχει τὴν πόλιν τειχίσαι, Θεμιστοκλῆς ὁ στρατηγὸς νοήσας τὸν χρησμὸν εἶπε τεῖχος τὰς ναῦς λέγειν. ἔστι δὲ ὁ χρησμός. 174.6.

Τεῖχος τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα Ζεύς. Μοῦνον ἀπόρθητον τελέθειν Παλλάδα κούρην. Μηδὲ σύ γ' ἱπποσύνην μένειν καὶ πεζὸν ἰόντα, Νῶτον ἐπιστρέψας· ἔτι γάρ ποτε κἀντίος ἔσσαι. Ὦ θείη Σαλαμὶς ἀπολεῖς δὲ σὺ τέκνα γυναικῶν Ἤ που σκιδναμένης Δημήτερος ἢ συνιούσης. Πύργους σιδηροῦς. τὰ ὅπλα λέγει. Ταῦτ' οἶσθ' ὅτι. ἐν ἐκθέσει ἴαμβοι τρίμετροι ἀκατάληκτοι δέκα. ἐφ' ὧν τῷ τέλει παράγραφος. Ἀντιλέων. οὗτος πονηρὸς κωμῳδεῖται καὶ πολυπράγμων. προειρήκει δὲ ὁ Κλέων ἀντὶ τοῦ λέοντος αὐτῷ εἶναι φύλαξ. Σιδηροῦν τεῖχός ἐστι καὶ ξύλινον. ἀντὶ τοῦ ξύλων σιδηρῶν. οὕτω τὸ ἑξῆς. σῴζειν δὲ, φυλάττειν. τελεῖσθαι δέ φησι τὰ λόγια ὡς αὐτὸν δεσμεῦσαι βουλόμενος.

Ε'ριτίμων ἀπὸ τριπόδων. ἐφ' ὧν ἐκαθέζετο ἡ πρόμαντις. ἐριτίμων δὲ, πάνυ τιμίων.
τὸ γὰρ ἐρι, ἐπίρρημά ἐστιν ἐπιτάσεως. ὡς τὸ ἐριβώλακα καὶ ἐρικυδέα, τὴν μεγά
λως ἔνδοξον. περὶ δὲ τοῦ ἐν δελφοῖς τρίποδος εἰς ἀναπλήρωσιν τῶν ἐν τοῖς εἰς τὸν
πλοῦτον λεχθέντων, οὐ χεῖρον καὶ τὰ παρὰ πλουτάρχῳ ἱστορηθέντα παραλλήλων
σόλωνι. κἀνταῦθα παραθέσθαι. τοὺς μὲν γὰρ ἀλιεῖς κώους τὸ δὲ τὸν βόλον πρια
μένους, ἐκ μιλήτου ξένους ὑπάρξαι φησίν. τὸν δ' ἀναφανέντα χρυσοῦν τρίποδα, ἑλέ
νην πλέουσαν ἐκ τροίας
αὐτόθι καταθεῖναι χρησ
μοῦ τινος ἀναμνησθεῖ
σαν παλαιοῦ. γενομένης
δὲ τοῖς ξένοις ἄχρι πολέ
μου διαφορᾶς, τὴν πυθί
αν ἀνελεῖν τῷ σοφωτά
τῳ τὸν τρίποδα ἀποδοῦ
ναι. ὅθεν πρῶτον μὲν πρὸς
θάλητα ἀποστάλθαι, εἶ
τα πρὸς βίαντα τοῦ θά
λεω σοφώτερον αὐτὸν
ἀποφήναντος. ἀπ' ἐκεί
νου δ' αὖθις εἰς ἕτερον ἀ
γαπεμπόμενον, τέλος
εἰς θήβας ἐκ μιλήτου κο
μισθέντα τῷ ἰσμηνίῳ ἀ
πόλλωνι. κατὰ δὲ θεό
φραστον τῷ ἐν δελφοῖς

ἴαχεν ἐξ ἀδύτοιο διὰ τριπόδων ἐριτίμων.
σώζεσθαί σ' ἐκέλευσ' ἱερὸν κύνα καρχαρόδοντα.
ὃς πρόσθεν δάκνων καὶ ὑπὲρ σοῦ δεινὰ κεκραγὼς,
σοὶ μισθὸν ποριεῖ. κἂν μὴ δρᾷ ταῦτ' ἀπολεῖται.
πολλοὶ γὰρ μίσει σφε κατακράζουσι κολοιοί.
ΔΗ. ταυτὶ μὰ τὴν δήμητρ' οὐκ οἶδ' ὅτι λέγει.
τί γάρ ἐστ' ἐρεχθεῖ καὶ κολοιοῖς καὶ κυνί.
ΚΛ. ἐγὼ μέν εἰμ' ὁ κύων. πρὸ σοῦ γὰρ ἀπύω.
σοὶ δ' εἶπε σώζεσθαί μ' ὁ φοῖβος τὸν κύνα.
ΑΛ. οὐ τοῦτό φησ' ὁ χρησμός. ἀλλ' ὁ κύων ὁδὶ,
ὥσπερ θύρας σου τῶν λογίων παρεσθίει.
ἐμοὶ γάρ ἐστ' ὀρθῶς περὶ τούτου τοῦ κυνός.
ΔΗ. λέγε δή. ἐγὼ δὲ πρῶτα λήψομαι λίθον,
ἵνα μή μ' ὁ χρησμὸς ὁ περὶ τοῦ κυνὸς δάκῃ.
ΑΛ. φράζευ ἐρεχθεΐδη κύνα κέρβερον ἀνδραποδιστήν.
ὃς κέρκῳ σαίνων ὁπόταν δειπνῇς ἐπιτηρῶν,
ἐξέδεταί σου τοὔψον, ὅταν σύ ποι ἄλλοσε χάσκῃς,

καθιερῶσθαι. εἰς ὃν δ' ὕστατον ἐπέμφθη, τινὲς μὲν θαλῆν τινὲς δὲ βίαντα. εἰσὶ δ' οἳ
καὶ σόλωνα ἱστορήκασι. σώζεσθαι δὲ, σώζειν καὶ περὶ πολλοῦ ποιεῖσθαι. Καρχαρό
δοντα. τραχεῖς ὀδόντας. ἔχοντα καρχαρόδοντα δὲ ὅσα στοιχύλους καὶ ἐναλλάσ
σοντας τοὺς ὀδόντας ἔχουσι. λέων. κύων. πάρδαλις. ἀετίδες. καὶ ἰχθύων γένος ἀσαρ
κοφάγα εἰσί. Κἂν μὴ δρᾷ ταῦτα. καὶ μὴ ποιήσῃ ταῦτα ὁ κύων ἀπολεῖται.
Κ'ατακράζουσι. καταθορυβοῦσιν. ἰδίως γὰρ νῦν ἐπὶ ὀρνέων τὸ κράζειν ἀντὶ τοῦ κρώ
ζειν. Ἄλλως. οἱ ἄλλοι ῥήτορες κράζουσι καὶ θορυβοῦσι. Ταυτὶ μὰ τὴν δήμητρα
οἱ ἑξῆς τῶν εἰρημένων οὗ στίχοι ἰαμβικοί εἰσι τρίμετροι ἀκατάληκτοι ἐννέα.
ὧν ἐπὶ τῷ τέλει παράγραφος πρὸ σοῦ δὲ ἀπύω ἀντὶ τοῦ ὑπὲρ σοῦ ὑλακτῶ. Ὥσπερ
θύρας σου. οἱ γὰρ ἀποκλειόμενοι κύνες, τὰς θύρας περιεσθίουσι, βουλόμενοι ἑαυτοῖς
ποιῆσαι ἔξοδον ὁ χρησμὸς δ' ὁ περὶ τοῦ κυνὸς ἀντὶ τοῦ ὁ ἐν τῷ χρησμῷ κύων. ἐν ἐκθέσει
δὲ στίχοι ε' δακτυλικοὶ ἐφ' ὧν ἐπὶ τῷ τέλει παράγραφος, Ἀνδραποδιστήν. σωμα
τέμπορον τοὺς ἐλευθέρους καταδουλούμενον. Ὃς κέρκῳ σαίνων. τῇ οὐρᾷ σαίνων.
δίον ὑποτρέχων καὶ κολακεύων. ἔπαιξε δὲ παρὰ τὴν παροιμίαν. σαίνεις δάκνου

ς΄ δου. θέασαι. Κορωνὶς ἐπ᾽ ἐξόντων αὖθις τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ καὶ δακτυλικοὶ ἐννενήκοντα ἕξ. ὧν προτίθενται στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ιζ΄. τὸ γὰρ ιε΄ δίμετρόν ἐστιν ἀκατάληκτον. ἐπὶ τῷ τέλει παράγραφος. περὶ δὲ τῶν ἑξῆς ἐν ἑκάστῃ περιόδῳ εἰρήσεται. ὁ δὲ Κλέων, ἐξιὼν ἐπὶ τῶν μεταφρένων ἀγγεῖον φορῶν πεπληρωμένον χρησμῶν. καὶ λέγει ὅτι τοσοῦτον ἄχθος βαστάζων, ὅμως ἅπαντας ἐξάγειν οὐκ ἠδυνήθην τοὺς χρησμούς. καὶ ὁ ἕτερος, ὁμοίως τὸ αὐτὸ ποιεῖ.

ΚΛ. ἰδού. θέασαι. κοὐχ ἅπαντας ἐκφέρω.
ΑΛ. οἴμ᾽ ὡς χεσείω. κοὐχ ἅπαντας ἐκφέρω.
ΔΗ. ταυτὶ τί ἐστι. ΚΛ. λόγια. ΔΗ. πάντ᾽. ΚΛ. ἐθαύμασας.
καὶ νὴ Δί᾽ ἔτι γ᾽ ἐμοῦ 'στι κιβωτὸς πλέα.
ΑΛ. ἐμοὶ δ᾽ ὑπερῷον. καὶ ξυνοικία δύω.
ΔΗ. φέρ᾽ ἴδω. τίνος γάρ εἰσιν οἱ χρησμοί ποτε.
ΚΛ. οὑμοὶ μέν εἰσι Βάκιδος. ΔΗ. οἱ δὲ σοὶ τίνος.
ΑΛ. Γλάνιδος ἀδελφοῦ τοῦ Βάκιδος γεραιτέρου
ΔΗ. εἰσὶ δὲ, περὶ τοῦ. ΚΛ. περὶ Ἀθηνῶν. περὶ Πύλου.
περὶ σοῦ. περὶ ἐμοῦ. περὶ ἁπάντων πραγμάτων.
ΔΗ. οἱ σοὶ δὲ περὶ τοῦ. ΑΛ. περὶ Ἀθηνῶν. περὶ φακῆς.
περὶ Λακεδαιμονίων. περὶ σκόμβρων νέων.
περὶ τῶν μετρούντων τἄλφιτ᾽ ἐν ἀγορᾷ κακῶς.
περὶ σοῦ. περὶ ἐμοῦ. περὶ ἁπάντων πραγμάτων.
τὸ πέος αἰοῦ πσιδάκοι.
ΔΗ. ἄγε νῦν ὅπως αὐτοὺς ἀναγνώσεσθέ μοι.
καὶ τὸν περὶ ἐμοῦ κεῖνον, ᾧπερ ἥδομαι.
ὡς ἐν νεφέλῃσιν αἰετὸς γενήσομαι.
ΚΛ. ἄκουε δὴ νῦν. καὶ πρόσεχε τὸν νοῦν ἐμοί.
φράζευ Ἐρεχθεΐδη λογίων ὁδὸν, ἥν σοι Ἀπόλλων

τοῦτο γὰρ ἐπηγγελμένοι εἰσῆλθον ἐξοίσειν τοὺς χρησμοὺς οὓς ἔχουσι περὶ τοῦ δήμου. Ξυνοικία δύο. δυϊκῶς ἐπήγαγε τὰ ξυνοικία. λέγονται δὲ ξυνοικίαι. καὶ αἱ μικραὶ οἰκίαι. καὶ ἀποστάσεις. ἃς νῦν φανοτείας φαμέν. Γλάνιδος. ἔπαιξε πρὸς τὴν κατάληξιν τὸν Βάκιν καὶ τὸν γλάνιν εἰπών. ἔστι δὲ εἶδος ἰχθύος ὁ γλάνις. γεραιτέρου δὲ συνετωτέρου. Περὶ σκόμβρων. εἶδος ἰχθύων οἱ σκόμβροι. παρόμοιοι τοῖς μακροῖς θύννοις. νέων δὲ, νεωστὶ ταριχευμένων. ἔπαιξε δὲ, ὡς μάγειρος. Πέος δάκοι. ἐνταῦθα οὐ τὸ ὠαλαιον, ἀλλὰ τὸ αἰδοῖον.

ὡς καὶ ἀλλαχοῦ. ὅπως ἂν οἰκουρῇ τὸ πέος τοῦ νυμφίου καὶ αὖθις. τίς τὸ πέος ἀποτετρίακεν. καὶ ἐν νεφέλαις τὸ πέος ἐν τῇ δεξιᾷ. Ὡς ἐν νεφέλῃσιν αἰετός. ἐγένετο χρησμὸς τοῖς Ἀθηναίοις ἐπὶ τοῦ δήμου αὐτῶν λεγόμενος. Εὔδαιμον πτολίεθρον Ἀθηναίης ἀγελείης. Πολλὰ ἰδὸν καὶ πολλὰ παθὸν καὶ πολλὰ μογῆσαν. Αἰετὸς ἐν νεφέλῃσι γενήσεαι ἤματα πάντα. οἷον βασιλεὺς μέγας ὑπερέξεις ἁπάντων ὥσπερ ἀετὸς τῶν ὀρνέων. τούτου δὲ τοῦ χρησμοῦ, οὐ μόνον ἐνταῦθα, ἀλλὰ καὶ ἐν ὄρνισι καὶ δαιταλεῦσι μέμνηται. Ἄκουε δὴ νῦν. ὁ πρῶτος στίχος ἐνταῦθα ἰαμβικὸς τρίμετρος ἀκατάληκτος. οἱ δὲ ἑξῆς ς΄. δακτυλικοὶ ἑξάμετροι καταληκτικοί. ἐπὶ τῷ τέλει παράγραφος.

συκοφαντεῖ. Ἐν τῷ δείγματι τῶν δικῶν. σύμμαχος. σκέψασθε τί δή ποτέ ἐστι τὸ δεῖγμα τῶν δικῶν. παρεῖται γάρ φησιν, εἰ μὴ τὸ δεῖγμα. τόπος ἐστὶν ἐν πειραιεῖ. ἔνθα πολλοὶ συνήγοντο ξένοι καὶ πολῖται. καὶ ἐλογοποίουν. τὸ δὲ τῶν δικῶν προσέθηκεν, ἵνα διαβάλλῃ τὸ φιλόδικον τῶν ἀθηναίων. Ἄλλως. ἐν τῷ πειραιεῖ ὅπου δικάζουσιν. ἐπεὶ ἐκεῖ οἱ ἔμποροι τὰ δείγματα τῶν πωλουμένων ἐτίθεσαν. ἅμα δὲ ἔσκωψε τὸ φιλόδικον τῶν ἀθηναίων. Δοῖδυξ. παροιμία δοῖδυξ αὔξει ἀπὸ τῶν λίαν μικρῶν. ἢ ἐπὶ τῶν αὐξανομένων φησὶν ὁ χρύσιππος. ἀλλὰ καὶ ἐπὶ τῶν μικρῶν μενόντων εἴρηται ἡ παροιμία. ὁ γὰρ δοῖδυξ, μικρός ἐστι καὶ στρογγύλος. ταῦτα δὲ ὡς πρὸς κλέωνα παίζει. τορύνη δὲ τὸ κινητήριον τῆς χύτρας. πανταχοῦ δὲ εἰσάγεται εἰ καὶ παρ' εὐπόλιδι. τορύνην τέως δὴ ξίφος ὑπεζωσμένος καὶ αὖθις καὶ ταὶ ἀποδόνοι τορύναι. τῆς ὑομουσίας δὲ τῆς χοιρωδίας, τῆς ἀπαιδευσίας, καὶ ὑηνίας ἢ μωρίας. ὡς ἀλλαχοῦ ἀριστοφάνης. ἵνα μὴ γένηται θεαγένους ὑηνεία. τινὲς δὲ ὑηνείαν τὴν ἐκ τῶν χοίρων δυσωδίαν φασίν οἱ γὰρ διαφόροις ἐδέσμασι χρώμενοι δυσώδη ἀποπατοῦσι καὶ εἰς βόρβορον διαλύονται. Οἳ ξυνεφοίτων. οἱ συμμαθόντες. Τὴν δωριστί. τὸ ὄνομα παίζει διὰ τὸ δωροδοκεῖσθαι. διαβάλλει οὖν αὐτὸν ὡς κλέπτην καὶ δωροδοκούμενον. δώριος δὲ οὕτω καλεῖται μία τῶν ἁρμονιῶν, ὡς καὶ λύδιος καὶ φρύγιος καὶ βοιώτιος. Ἄλλως. Οὐδεμίαν ἁρμονίαν ἄλλην θέλει μαθεῖν, μόνην δὲ τὴν τοῦ δωροδοκεῖν ἐπώνυμον. Ὡς ἁρμονίαν. ἁρμονίας οἱ μουσικοὶ καλοῦσι, τὸ δὲ καὶ ἀστατικῶς εἶναι τὰς νευρὰς ἐν τοῖς κρούμασι τῶν ᾀσμάτων. ἐν ἤθει οὖν ταῦτά φησιν, ὅτι κλέων, ἑτέραν μουσικὴν οὐ μετεχειρίζετο. οὐδὲ μανθάνειν ἐβούλετο. ταύτης δὲ μόνης μετεποιεῖτο τῆς δωρίου διὰ τὴν αὐτοῦ δωροδοκίαν καὶ ἔμπειρος ἦν.

τοῖσιν ἀφικνουμένοισιν,
ἢν κλέων ἀπόληται
καίτοι πρεσβυτέρων τινῶν
οἵων ἀργαλεωτάτων,
ἐν τῷ δείγματι τῶν δικῶν
ἤκουσ' ἀντιλεγόντων.
ὡς εἰ μὴ γένοιθ' οὗτος ἐν
τῇ πόλει μέγας οὐκ ἂν ἤ-
στην σκεύη δύω χρησίμω.
δοῖδυξ, οὐδὲ τορύνη
ἀλλὰ καὶ τόδ' ἔγωγε θαυ-
μάζω τῆς ὑομουσίας
αὐτοῦ. φασὶ γὰρ αὐτὸν οἱ
παῖδες οἳ ξυνεφοίτων,
τὴν δωριστὶ μόνην ἂν ἁρ-
μόττεσθαι θαμὰ τὴν λύραν
ἄλλην δ' οὐκ ἐθέλειν μαθεῖν
κᾆτα τὸν κιθαριστὴν
ὀργισθέντ' ἀπάγειν κελεύ-
ειν ὡς ἁρμονίαν ὁ παῖς
οὗτος οὐ δύναται μαθεῖν.
ἢν μὴ δωροδοκιστί

τ' ἀμολγαίη. οἱ δὲ ἀντὶ τοῦ ἀκμαῖον. παρὰ δὲ τοῖς κωμικοῖς, μόλγης ὁ μοχθηρὸς ὡς περγόης. οὕτω σωκράτης. Ἄλλως. μολγὸν τινὲς μὲν, γλαυκόν. οἱ δὲ, τὸν βραδύγ. διον ἀμολγὸν καὶ κλέπτην τῶν δημοσίων. μολγοὺς γὰρ ἔλεγον, τοὺς ἐξαμέλγοντας καὶ κλέπτοντας τὰ κοινά. Ψωλὸν γενέσθαι. ψωλὸς ὁ λειπόδερμος ὀξυτόνως καὶ ἀκρόψωλος. ὁ ἀπὸ βραχὺ ποιοῦντος. ἢ ὁ ἀσχήμων κατὰ παρέκτασιν τοῦ μορίου. ἐνταῦθα δ' ἰδίως ἐστὶ, τὸ μέχρι πολλοῦ διεσκυλμένον. παρὰ δὲ διφίλῳ ἐν τοῖς ἐναγίσμασι παρατετίλη ἄχρι τοῦ λάρυγγος.

Ψωλὸν γενέσθαι δεῖ σε μέχρι τοῦ μυρρίνου
κλ. ἀλλ' οἵ γ' ἐμοὶ λέγουσιν ὡς ἄρξαι σε δεῖ
χώρας ἁπάσης, ἐστεφανωμένον ῥόδοις.
αλ. οἱ μοὶ δέ γ' αὖ λέγουσιν, ὡς ἁλουργίδα,
ἔχων κατάπαστον καὶ στεφάνην, ἐφ' ἅρματος
χρυσοῦ διώξεις σμικύθην, καὶ κύριον.
κλ. καὶ μὴν ἔνεγκ' αὐτοὺς ἰὼν, ἵν' οὑτοσὶ
αὐτῶν ἀκούσῃ. αλ. πάνυ γε. δη. καὶ σὺ δὴ φέρε
κλ. ἰδού. αλ. ἰδού. δη. νὴ τὸν δί' οὐδὲν κωλύει

ΣΤΡΟΦΗ.

χο. Ἥδιστον φάος ἡμέρας
ἔσται τοῖσι παροῦσι καὶ

Μέχρι τοῦ μυρρίνου. μέχρι τῆς κεφαλῆς. ἐπειδὴ οἱ ἄρχοντες μυρρίνῃ ἐστεφανοῦντο. ἢ ἀπὸ τοῦ σκολύφθαι τὸ αἰδοῖον εἰς τέλος καὶ ὁλόκληρον. μύρτον δὲ περιτετιλμένον ἐκάλουν οἱ παλαιοὶ τὸ γυναικεῖον αἰδοῖον. Ἀλουργίδα. πορφυρᾶν χλανίδα. ἐπειδὴ τὸ ῥόδον πορφυροῦν, τῷ στεφάνῳ τῶν ῥόδων τὴν ἁλουργίδα ἐπήνεγκεν. Χρυσοῦ διώξεις. τῷ διώξεις ἔχοντι λόγον πρὸς τὰ προκείμενα, ἐπήνεγκε παρὰ τὴν φωνὴν, τὸ διώξεις σμικύθην καὶ κύριον. ὡς περὶ ἐν ταῖς εἰσαγωγαῖς τῶν ἐγκλημάτων κηρύττειν εἰώθασιν. ἐπειδὰν γυναικὶ ἀποφέρεται ἔγκλημα. οὕτω γὰρ προκαλεῖσθαι εἰώθασιν ἐν τῷ δικαστηρίῳ. ἡ δεῖνα καὶ ὁ κύριος, τουτέστιν ὁ ἀνὴρ ἅμα οἴω. ὡς γυναικώδη τὸν σμικύθην κωμῳδεῖ, καὶ ἔχοντα κύριον ὡς ἂν θήλειαν. ὁ δὲ σμικύθης, θρακῶν βασιλεύς. κύριον δὲ, ἀντὶ τοῦ κύρου τοῦ ἀρταξέρξου τοῦ περσῶν βασιλέως ὃς κατ' ἐκείνους τοὺς χρόνους τῆς λυδίας πεμφθεὶς σατραπεύειν, λακεδαιμονίοις προσθέμενος εἰς πόλεμον, τὰ πρὸς ἀθηναίους ἐχορήγησε χρήματα. Ἄλλως. τὸν σμικύθην κωμῳδεῖ ὡς κίναιδον. κύριον δὲ λέγει τὸν ἄνδρα. οὕτω γὰρ ἐπεγράφοντο ἐν τοῖς δικαστηρίοις. ἀσπασία καὶ κύριος. τουτέστιν ὁ περικλῆς. Ἥδιστον φάος. κορωνίς. εἰσιᾶσι γὰρ ὑποκριταί. καὶ ἐν εἰσθέσει τοῦ χοροῦ, ἑξὰς μονοστροφικὴ τετράκωλος οὖσα τὰς περιόδους ἐκ τριῶν γλυκωνείων ποτὲ μὲν ἐξ ἀπὸ τρίτου τετάρτου, ποτὲ δὲ διτροχαίου. ἐν δὲ τῷ γ' καὶ χοριάμβου. καὶ διιάμβου καὶ τοῦ φερεκρατείου. συνῆπται δὲ τῇ λέξει καὶ μόνον διακέκριται τὸ φερεκράτειον. ἐφθημιμερὲς δέ ἐστιν ἐξ ἀπὸ τρίτου τετάρτου, ἢ διτροχαίου καὶ βακχείου συγκείμενον. παράγραφοι δὲ, αἱ μὲν ε. ἡ δὲ ς' καὶ μία κορωνίδας. ταῦτα δὲ παρὰ τὰ εὐριπίδου. Τοῖσιν ἀφικνουμένοις. ἢ τοῖς μετὰ ταῦτα ἐσομένοις. ἢ καὶ τοῖς ἀποδημοῦσι τῶν ξένων. ἵν' ἀποδεικνύῃ τὸν κλέωνα. κἂν τούτῳ πονηρόν. ὅτι μὴ δὲ τούτων φείδεται. ἀλλ' ἐπισείσας ἅπαντας

Δ ημοῦ βοείου. παρὰ τὸν δῆμον ἔπαισε δημὸν ὀξυτόνως. ἐπειδὴ τῷ θρίῳ περιβάλλοντες τὸ λίπος, ὤπτων. θρῖον δὲ, τὸ τῆς συκῆς φύλλον. ὀλίγον οὖν δεῖ τῷ τόνῳ παρεγκλίνειν οὐ τὸ ὄνομα. λέγει δὲ καὶ ταῦτα. ἐπειδὴ ὡς ἀναίσθητον διαβάλλει τὸν δῆμον. Ἄλλως. λίπους βοείου. ταῦτα δὲ εἰς ἀναισθησίαν τοῦ δήμου. καὶ ἐν σφηξὶν, ἔστι βόειον δημόν. θρῖον δὲ σκεύασμά τι μετὰ ἐγκεφάλου γινόμενον.

ΔΗ. δημοῦ βοείου θρῖον ἐξωπτημένον.
ΑΛ. οὐ τοῦτό γ' ἐστίν. ΔΗ. οὐ τὸ θρῖον ἀλλὰ τί.
ΑΛ. λάρος κεχηνὼς ἐπὶ πέτρας δημηγορῶν.
ΔΗ. αἰβοῖ τάλας. ΑΛ. τί ἐστιν. ΔΗ. ἀπόφερ' ἐκποδών·
οὐ τὸν ἐμὸν εἶχεν, ἀλλὰ τὸν Κλεωνύμου.
παρ' ἐμοῦ δὲ τουτονὶ λαβὼν, ταμίευέ μοι.
ΚΛ. μὴ δῆτα πω δέσποτ' ἀντιβολῶ σ' ἐγώ,
πρὶν ἄν γε τῶν χρησμῶν ἀκούσῃς τῶν ἐμῶν.
ΑΛ. καὶ τῶν ἐμῶν νυν. ΚΛ. ἀλλ' ἐὰν τούτῳ πίθῃ,
Μολγὸν γενέσθαι δεῖ σε. ΑΛ. κἄν γε τουτῳί

Θ ρίον. χόνδρος ἢ ὄρυζα ἕψεται. ἢ σεμίδαλις ἀρκούντως. εἶτα ἀποχεῖται τὸ ὕδωρ. καὶ φυρᾶται τὸ ἑψημένον μετὰ ἁπαλοῦ τυροῦ καὶ ὠῶν ὀλίγων. εἶτα περιλαμβάνεται φύλλοις συκίνοις ὅλον. καὶ περιειλεῖται καννάβῳ ἢ παπύρῳ. ἢ λίνῳ. καὶ καθίεται εἰς ζωμὸν κρεῶν ἑψημένων. ἄχρι τοῦ λαβεῖν ἱκανὴν ἕψησιν. εἶτα ἐπαίρεται ἐκ τῶν ἄλλων περιαιρεθέντων καὶ ἐς λοπάδα νέαν ζέοντος μέλιτος ἐμβάλλεται καὶ ἕψεται. στρεφόμενον δὲ, ὅτε ἱκανῶς ἔχον καὶ ξανθὸν γένηται, ἐξαιρεθὲν παρατίθεται μέλιτος περιχυθέντος, ἢ ἀπὸ τοῦ ἑφθοῦ, ἢ ἀπὸ τοῦ ἄλλου. θρῖον δὲ καλεῖται, ἀπὸ τῶν φύλλων τῆς συκῆς ἃ οὕτω καλοῦνται. Ἄλλως. θρῖα τὰ φύλλα τῆς συκῆς. καὶ θρῖον ἐστὶ σκεύασμά τι παρ' Ἀθηναίοις, ὃ περιλαμβάνει ὕειον στέαρ καὶ ἐρίφειον. καὶ σεμίδαλιν καὶ γάλα. καὶ λεκυθώδους ὠὸν πρὸς τὸ πήγνυσθαι καὶ οὕτως εἰς φύλλα συκῆς ἐμβαλλόμενον, ἢ δίφωνα ἀποτελεῖ βρῶμα. οὕτω δίδυμος. ἐκαλεῖτο δὲ καὶ ἄλλη τις σκευασία θρῖον. ἐγκέφαλος μετὰ γάρου καὶ τυροῦ σκευαζόμενος καὶ ἑλιττόμενος ἐν φύλλοις συκῆς καὶ ὀπτώμενος. ἐπεὶ ἐπὶ φύλλων τά τε μάχῃ βαλλόμενα βαστάζονται. περὶ δὲ θρίου καὶ ἐν βατράχοις εἴρηται ἐν τῷ, ἀλλ' ἀπολέσαι μ' ἂν ἐγκεφάλου θρίω δύο. Λάρος κεχηνώς. τὸν Κλέωνα λέγει παρὰ τὸ ἁρπακτικόν. ἀπὸ τούτου δὲ ὡς κλέπτην τὸν Κλέωνα διαβάλλει. καὶ ὁ λάρος γὰρ ζῶόν ἐστιν ἀδηφάγον. τὴν δὲ πέτραν, διὰ τὸ βῆμα τὸ ἐν τῇ πνυκί. Κλεωνύμου. ὡς δαπανηρὸν καὶ ἐν τρυφῇ ζῶντα κωμῳδεῖ καὶ διαβάλλει τὸν Κλεώνυμον καὶ ἅρπαγα. εἰπὼν γὰρ λάρος, ἐπήνεγκε τὸν Κλεωνύμου. Παρ' ἐμοῦ δὲ τουτονὶ λαβών. δακτύλιον ἄλλον δίδωσι. καὶ ἔστι παρεπιγραφή. Μολγὸν γενέσθαι. φαεινὸς, μολγὸν ἀντὶ τοῦ τυφλόν. Ἡρόδοτος δὲ ἱστορεῖ τούτους ἐπάνω τῆς Σκυθίας εἶναι. Ἄλλως. πένητα. παρὰ τὸ ἀμέλγεσθαι καὶ ζημιοῦσθαι. Ἄλλως. σύμμαχος. ἔοικε χρησμός τις εἶναι. ἐν γὰρ τοῖς γεωργοῖς, οὕτως ἔχει. ὅτῳ δοκεῖ σοι δεῖν μάλιστα τῇ πόλει. ἐμοὶ μὲν ἐπὶ τὸν μολγὸν εἶναι οὐκ ἀκήκοας. Ἐρατοσθένης. μολγὸν καὶ ἀμολγὸν τὸ αὐτόν. ἀμολγοὺς δὲ παρὰ τούτοις φησὶ λέγεσθαι τοὺς ἀμέλγοντας τὰ κτήνη. Ἡσίοδος δὲ, μᾶζά

ζημίας, ἄπροοι γενήσωνται. εὔχομαι δὲ καὶ ἀπαρῶμαι. τάγηνον δὲ τήγανον. τευθὶς δὲ εἶδος ἰχθύος εὐτελοῦς. σῖζον δὲ πτισὸν ἢ χόνδρον ἀποτιλοῦν. Μιλησίων. ὡς ἐκεῖθεν δωροδοκοῦντος. μέτοικοι δὲ ἀθηναίων οἱ μιλήσιοι. Ἢν κατεργάσῃ. ἐὰν διαπράξῃς ἅπερ αὐτοῖς ἐπαγγείλω. μεθήκοι δὲ μὲ πλεῖοι καλῶν σε δηλονότι. Εὖγε νὴ τὸν δία. διπλῆ καὶ τοῦ χοροῦ ἐν ἐπεισοδίῳ ἐστί· ὧν τὸ πρῶτον ἐκ τροχαϊκῆς βάσεως καὶ ἀναπαιστικῆς. καὶ ἐφθημιμερὲς ἰωνικόν. ἀπὸ μὲν τριμέτρου καταληκτικόν. ἀπα-

ἀλ. ἐγὼ δ' ἀπειλήσω μὲν οὐ-
δέν. εὔχομαι δέ σοι ταδί.
τὸ μὲν τάγηνον τευθίδων
ἐφεστάναι σῖζον. σὲ δὲ
γνώμην ὀρέγειν μέλλοντα περὶ
μιλησίων καὶ κερδανεῖν,
τάλαντον ἢν κατεργάσῃ,
σπεύδειν ὅπως τῶν τευθίδων
ἐμπλήμενος, φθαίης ἔτ' εἰς
ἐκκλησίαν ἐλθεῖν. ἔπει-
τα πρὶν φαγεῖν, ἀνὴρ μεθή-
κοι καὶ σὺ τὸ τάλαντον λαβεῖν.
βουλόμενος ἐν-
θίων ἀποπνιγείης.
χο. εὖ νή γε τὸν δία καὶ τὸν ἀπόλλω.
καὶ τὴν δήμητρα.
δη. καί μοι δοκεῖ καὶ τἄλλα γ' εἶναι καταφανῶς.
ἀγαθὸς πολίτης, οἷος οὐδείς πω χρόνου.
ἀνὴρ γεγένηται τοῖσι πολλοῖς τοῦ ὀβολοῦ.
σὺ δ' ὦ παφλαγών, φάσκων φιλεῖν μ' ἐσκορόδισας.
καὶ νῦν ἀπόδος τὸν δακτύλιον, ὡς οὐκέτι
ἐμοὶ ταμιεύσεις. κλ. ἔχε. τοσοῦτον δ' ἴσθ' ὅτι,
εἰ μή μ' ἐάσεις ἐπιτροπεύειν, ἕτερος αὖ
ἐμοῦ πανουργότερός τις ἀναφανήσεται.
δη. οὐκ ἔσθ' ὅπως ὁ δακτύλιος ἔσθ' οὑτοσὶ
οὑμός. τὸ γοῦν σημεῖον ἕτερον φαίνεται.
ἀλλ' ἢ οὐ καθορῶ. ἀλ. φέρ' ἴδω, τί σοι σημεῖον ἦν.

κτότερον δὲ ἔχει τὴν τροχαϊκὴν βάσιν ἑπτάσημον. τὸ δὲ δεύτερον πενθημιμερὲς κοινὸν δακτυλικὸν καὶ ἀναπαιστικόν. ἐπίτηδες διαλελυμένως τὸν πεζὸν λόγον. ἔστι δὲ πολλὰ καὶ παρ' εὐπόλιδι σεσημειωμένα. Καί μοι δοκεῖ. κορωνὶς ἑτέρως εἰσιόντων τῶν ὑποκριτῶν· οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λ'. ὧν τελευταῖος· ἰδοὺ ἰδού· νὴ τὸν δί' οὐδὲν κωλύει. ἐπὶ τῷ τέλει κορωνίς. Ἀγαθὸς πολίτης. ὁ ἀλλαντοπώλης δηλονότι δοκεῖ μοι φησὶν καλὸς εἶναι πολίτης οἷος οὐδεὶς ἄλλος γένοιτ' ἂν ἐν παντὶ χρόνῳ. Πολλοῖς τοῦ ὀβολοῦ. τοῖς εὐώνοις τοῖς ἀθηναίοις. οὕτω γὰρ λέγεται ἐπὶ τῶν πολλῶν τοῦ ὀβολοῦ πωλουμένων. Ἐσκορόδισας. ἀνδίσας. καὶ ἐπίκρανας. ἢ ἐδρίμυξας. ἢ κλαῦσαι πεποίηκας. ἢ ἀπὸ τῶν τὰ σκόροδα τριβόντων. Ἐμοὶ ταμιεύσεις ὡς οὐκέτι ἐπιμελήσῃ τῶν ἐμῶν χρημάτων, οὐδὲ ταμίας μοι ἔσῃ. τουτέστι διοικήσεις τὰ πρυτανεῖα. Ἐμοῦ πανουργότερος. ἑαυτὸν διαβάλλει ὁ κλέων. ἐκεῖνο γὰρ ἐπιφέρειν βουλόμενος ὁ δακτύλιος ἐστὶν ἐφόρει τῆς ἀρχῆς ὄντα σημεῖον.

Ἐμοῦ μὲν οὖν. διπλῆ καὶ εἴσθεσις εἰς ἀμοιβαῖον μέλος τῶν ὑποκριτῶν κώλων τριάκοντα διμέτρων ἀκαταλήκτων πλὴν τοῦ παρατελεύτου μονομέτρου συνήθως· καὶ τοῦ τελευταίου ἐφθημιμεροῦς. ἐπὶ τῷ τέλει δύο διπλαῖ· ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου· ἡ δὲ κατὰ τὸ τέλος. Τριηραρχεῖν. ἀπειλεῖ λειτουργίαν αὐτῷ. λειτουργία γὰρ παρὰ ἀθηναίοις. δαπανηρὸν ἐστὶ τὸ τριηραρχεῖν. ἔδει γὰρ τὴν τριήρη, πάντα ἔχειν πρὸς τὸν πόλεμον εὐπρεπῆ· ἅπερ παρεσκεύαζεν, ὁ τὴν λειτουργίαν ταύτην προβληθείς.

ΑΛ. ἐμοῦ μὲν οὖν. ἐμοῦ μὲν οὖν·

ΚΛ. ἐγώ σε ποιήσω τριηραρχεῖν, ἀναλίσκοντα τῶν σαυτοῦ παλαιὰν ναῦν ἔχοντ' εἰς ἣν ἀναλῶν οὐκ ἐφέξεις, οὐδὲ ναυπηγούμενος· διαμηχανήσομαί θ' ὅπως ἂν ἱστίον σαπρὸν λάβῃς.

ΧΟ. ἁνὴρ παφλάζει. παῦε παῦ' ὑπερζέων, ὑφελκυστέον δὲ τῶν ξύλων. ἀπαρυστέον τε τῶν ἀπειλῶν ταυτηί.

ΚΛ. δώσεις ἐμοὶ καλὴν δίκην, ἰπούμενος ταῖς εἰσφοραῖς· ἐγὼ γὰρ ἐς τοὺς πλουσίους σπεύσω σ' ὅπως ἂν ἐγγραφῇς.

Ἄλλως. ἐπειδὴ οἱ στρατηγοὶ εἴ τινα εἶχον ἐχθρὸν, εἰς τριηραρχίαν ἐνέβαλλον, ὅπως ἂν ὁ βίος αὐτοῦ ἀναλίσκοιτο· εἰ δέ τις ὑπερβαλλόντως ἀπεχθάνοιτο, παλαιὰς ναῦς αὐτῷ ἐδίδοσαν, ὅπως ἂν οἴκοθεν καινὰς ἀντ' αὐτῶν κατασκευάσῃ. καὶ πάντη ἄποροι ἐγίνοντο. οὐκ ἐφέξεις. ἀντὶ τοῦ οὐ παύσῃ. διαμηχανήσομαι δὲ διαπράξομαι. Ἀνὴρ παφλάζει. ἐπειδὴ ἑώρα τὸν Κλέωνα κεκραγότα καὶ παφλάζοντα τῷ λόγῳ, τῇ μεταφορᾷ ἐχρήσατο τοῦ χαλκείου ἐν τῷ πυρὶ κειμένου. ἐπειδὰν γὰρ ἴδωμεν τοῦτο ὑπερζέον, τῶν ὑποκειμένων ξύλων ὑφαιροῦμεν καὶ τοῦ ὕδατος. ἵνα μὴ ὑπερχυθέντος τοῦ ὕδατος τὸ πῦρ σβεσθῇ. χαριέντως δὲ ὡς μαγείρῳ. Ἄλλως. ἐντεῦθεν ἕως τὸ θ' κῶλον, διακέκριται τοῖς προσώποις. εἰσὶ δὲ ἴσα ὅλα. καὶ ὅμοιον ποιεῖ τὸ ὅλον περιοδικόν. τὸ δὲ τελευταῖον ἑτέραν ἔχει διαίρεσιν, τὴν εἰς τρίμετρον καταληκτικόν. Ἄλλως. βράσσει καὶ τετάρακται. πέπρηται παρὰ τὸ πάφλα. τὸ δὲ ἑξῆς ἁνὴρ παφλάζει ὑπερζέων. Τῶν ξύλων. ἐν τοῖς πλείοσι. τῶν δαλῶν, ἔδει δὲ εἰπεῖν τῶν κρεῶν. ἔστι γὰρ ἀπὸ μεταφορᾶς τῶν ἑψόντων. οἵτινες ὅταν παφλάζῃ, τῶν ὑποκειμένων ξύλων ἀφαιροῦνται καὶ τῶν κρεῶν. Ἀπαρυστέον. ἀφαιρετέον. τῶν ἀπειλῶν δὲ εἶπεν, ἀντὶ τοῦ εἰπεῖν τοῦ ζέματος. ἐπειδὴ τῶν ὑπερζεόντων ἀπαρύονται, ἵνα μή τι ὑπερχέηται. μαγειρικῶς δὲ ταῦτα. Ταυτηί. ἴσως κρεάγραν ἔδειξεν ὡς μαγείρῳ. Ἰπούμενος. θλιβόμενος ταῖς συντελείαις ταῖς ἀπαιτήσεσι. πολλὰ εἰσφέρειν ἀναγκαζόμενος πιεζόμενος. Σπεύσω σε. σπεύσω εἰς σὲ καὶ σπουδάσω ἐπειδὴ οἱ στρατηγοὶ, ἐχθρούς τινας ἔχοντες πένητας, ἐνέγραφον τῷ πρώτῳ τῶν πλουσίων τάγματι. ὅπως μὴ ἀρκοῦντες πρὸς τὰς μεγάλας

Β ύρσης κάκιστον. ἀηδίαν θεὶς ὁ δῆμος καὶ μυσαττόμενος τὴν ὀσμὴν τοῦ βυρσοδέψου, ταῦτά φησι. Τὸν καυλὸν οἶσθ' ἐκεῖνον. τὴν ῥίζαν τοῦ σιλφίου. σίλφιον δὲ ῥίζα κατά τινας ἡδύοσμος ἐν λιβύῃ γινομένη ἀρτυτικὴ καὶ θεραπευτική. καλλίστη δὲ ἡ κυρηναική. ὅτι τῷ ὀπῷ καὶ τῇ ῥίζῃ καὶ τῷ καυλῷ τοῦ σιλφίου ἐχρῶντο. Ἄλλως. φυτάριόν ἐστι κάκοσμον. ἀρισταῖος δὲ ὁ ἀπόλλωνος καὶ κυρήνης πρῶτον τὴν ἐργασίαν τοῦ σιλφίου ἐξεῦρεν ὥσπερ καὶ τοῦ μέλιτος. Τὸν ἄξιον γενόμενον. ὅτι καὶ νῦν εὔωνον, καὶ ὀλίγης τιμῆς πιπρασκόμενον.

οὐκ ἐς κόρακας ἀποφθερεῖ, βύρσης κάκιστον ὄζων;
ἀλ. καὶ τοῦτ' ἐπίτηδές σε περιήμπισχ' ἵνα σ' ἀποπνίξῃ.
καὶ πρότερον ἐπεβούλευσέ σοι. τὸν καυλὸν οἶσθ' ἐκεῖνον.
τοῦ σιλφίου τὸν ἄξιον γενόμενον; δη. οἶδα μέν τοι
ἀλ. ἐπίτηδες οὗτος αὐτὸν ἔσπευδ' ἄξιον γενέσθαι,
ἵν' ἐσθίοιτ' ὠνούμενοι. κἄπειτ' ἐν ἡλιαίᾳ
βδέοντες ἀλλήλους ἀποκτείνειαν οἱ δικασταί
δη. νὴ τὸν ποσειδῶ, καὶ πρὸς ἐμὲ τουτί γ' εἶπ' ἀνὴρ κόπρειος
ἀλ. οὐ γὰρ τόθ' ὑμεῖς βδεόμενοι δὴ πρὸ 'γένεσθε πυρροί;
καὶ νὴ δί' ἦν καὶ τοῦτο πυῤῥάνδρου τὸ μηχάνημα.
κλ. οἵοισί μ' ὦ πόνηρε βωμολοχεύμασι ταράττεις.
ἀλ. ἡ γὰρ θεός μ' ἐκέλευσε νικῆσαί σ' ἀλαζονείᾳ.
κλ. ἀλλ' οὔ με νικήσεις. ἐγὼ γάρ φημί σοι παρέξειν
ὦ δῆμε μηδὲν δρῶντι, μισθοῦ τρύβλιον ῥοφῆσαι.
ἀλ. ἐγὼ δὲ κυλίχνιόν τί σοι καὶ φάρμακον δίδωμι.
τὰ 'ν τοῖσιν ἀντικνημίοισιν ἑλκύδρια περιαλείφειν.
κλ. ἐγὼ δὲ τὰς πολιάς γέ σου 'κλέγων, νέον ποιήσω.
ἀλ. ἰδοὺ δέχου κέρκον λαγῶ, τὠφθαλμιδίω περιψῆν.
κλ. ἀπομυξάμενος ὦ δῆμ' ἐμοῦ πρὸς τὴν κεφαλὴν ἀποψῶ.

Οἶδα μέν τοι. ὅτι καὶ τῷ ὀπῷ καὶ τῇ ῥίζῃ καὶ τῷ καυλῷ τοῦ σιλφίου ἐχρῶντο. Οἱ δικασταί. οἱ ἡλιασταί. τὸ μέγα δὲ δικαστήριον ἐν τῇ ἀττικῇ, ἡλιαία. καὶ οἱ δικασταὶ ἡλιασταί. Κόπρειος. κηπουρὸς παρὰ τὴν κόπρον. Ἄλλως. νῆσος τῆς ἀττικῆς. ἢ τὸν κοπρολόγον λέγει. Πυῤῥάνδρου. ἀπὸ τοῦ πυῤῥίου ἔπαιξε τὸ ὄνομα. ἦν δὲ οὗτος ὁ πύῤῥανδρος, πονηρὸς καὶ συκοφάντης. Βωμολοχεύμασι δὲ κολακεύμασιν ἢ ἀπάταις. βωμολόχοι δέ εἰσιν οἱ περὶ τοὺς βωμοὺς λοχῶντες καὶ κρυφίως ὑποκαθήμενοι. ἐπὶ τῷ ἁρπάζειν τὰ ἐπιτιθέμενα θύματα. τοῦτο δ' ἡμῖν πλεονάκις ἴσως τοῦ δέοντος εἴρηται. θεὸν δὲ τὴν ἀθηνᾶν ἀκουστέον. Μισθοῦ τρύβλιον. ὀξύβαφον. ἀντὶ τοῦ εἰπεῖν ὀσπρίου. ἢ ἄλλου τινὸς προσφαγίου, μισθοῦ εἶπε διὰ τὸν δικαστικὸν μισθόν. Κυλίχνιον. ἔκπωμα, ὃ νῦν λέγουσι πυξίδιον. ἔχουσι δὲ οἱ ἰατροὶ τὰ πυξίδια. ἐν οἷς προσβάλλουσι τὰ πάσματα. Κέρκον. τὴν οὐράν. ἁπαλὸν δὲ καὶ τρυφερὸν τὸ τοῦ λαγοῦ ἔριον. ὥστε ἀντὶ σπόγγου χρήσασθαι διὰ τὸ ἁπαλὸν εἶναι. ὥστε τὰς λήμας περιψῆν. Περιψῆν. ἀντὶ τοῦ καταμάσσειν. ἀποσπογγίζειν. φιλονεικεῖ δὲ ἕκαστος ὑπερβαλεῖν ταῖς δωρεαῖς.

εὔνοιαν ἔδειξεν. ὅτι καὶ περιάμματα ἔδωκεν. ὁ δέ, ἔχων προῖκα, οὐ δέδωκεν. οὐδ' ἐπὶ χρήσιμον ἔχει, τῇ πόλει χαρίζεται. Τοῖσι δακτυλίοισι. πρὸς τὸ μὴ πταίειν διὰ τὰς ἐμβάδας. ἅμα δὲ καὶ τοῖς δακτύλοις τῶν χειρῶν, διὰ τὸ μὴ κλέπτειν.

Τὸν γρύπον ἐξαλείψας. οἱ μὲν ἀντὶ τοῦ τὸ τυχὸν τῆς πονηρίας ἐξαλείψας. παρὰ τὸν ἐν τοῖς ὄνυξι ῥύπον ὃν λέγουσι γρῦ. οἱ δέ, γρύπον τινὰ ἐπὶ κιναιδίᾳ διαβάλλουσι. τῶν ἐπὶ μαλακίᾳ γὰρ διαβαλλομένων ὁ γρύπος. Ἄλλως. ὑγρόν τινα καὶ κατάξηρον. ὃς διὰ τὴν πολλὴν ὑγρότητα, ἐν ἑταιρείοις διέτριβεν. ὁ Κλέων δημαγωγῶν, θάνατον αὐτῷ ἐπέθηκε τὴν ζημίαν. Πρωκτοτηρεῖν. πρωκτὸν ἐπιτηρεῖν τῶν πορνευομένων. Ἵνα μὴ ῥήτορες. ἀπείρητο γὰρ τοῖς τοιούτοις ἀγορεύειν. διαβάλλει δὲ τοὺς ῥήτορας ὡς τοιούτους. Ἀμφιμασχάλου. χειριδωτοῦ ἱματίου. οἱ δέ, δουλικοῦ. Ἄλλως. μακροῦ χιτωνίσκου. ἦν δὲ καὶ ἑτερομάσχαλος ὁ τῶν ἐργατῶν, οὗ τὴν μίαν μασχάλην ἔρραπτον. Ἄλλως. ἑκατέρωθεν ἔχοντος χειρίδας οὐ μακράς. ἀλλ' ἕως τῶν μασχαλῶν. Ἀλλ' ἐγώ σοι. παρεπιγραφή. δίδωσι γὰρ αὐτῷ χιτῶνα.

εὐνούστατόν τι τῇ πόλει, καὶ τοῖσι δακτυλίοισιν,
κλ. οὐ δεινὸν οὖν δῆτ' ἐμβάδας τοσουτονὶ δύνασθαι,
ἐμοῦ δὲ μὴ μνείαν ἔχειν ὅσων πεπείρακας, ὅστις
ἔπαυσα τοὺς κινουμένους. τὸν γρύπον ἐξαλείψας;
ἀλ. οὔκουν σε δῆτα ταῦτα δεινόν ἐστι πρωκτοτηρεῖν,
παῦσαί τε τοὺς κινουμένους, κοὐκ ἔσθ' ὅπως ἐκείνους
οὐχὶ φθονῶν ἔπαυσας, ἵνα μὴ ῥήτορες γένωνται.
τουτονὶ δ' ὁρῶν ἄνευ χιτῶνος ὄντα τηλικουτονί,
οὐπώποτ' ἀμφιμασχάλου τὸν δῆμον ἠξίωσας,
χειμῶνος ὄντος. ἀλλ' ἐγώ σοι τουτονὶ δίδωμι.
δη. τοιουτονὶ Θεμιστοκλῆς οὐπώποτ' ἐπενόησεν.
καίτοι σοφὸν κἀκεῖν' ὁ Πειραιεύς. ἔμοιγε μέντοι
οὐ μεῖζον εἶναι φαίνετ' ἐξεύρημα τοῦ χιτῶνος.
κλ. οἴμοι τάλας, οἵοις πιθηκισμοῖς με περιελαύνεις.
ἀλ. οὔκ, ἀλλ' ὅπερ πίνων ἀνὴρ πέπονθ' ὅταν χεσείῃ,
τοῖσι τρόποις τοῖς σοῖσιν ὥσπερ βλαυτίοισι χρῶμαι.
κλ. ἀλλ' οὐχ ὑπερβαλεῖς με θωπείαις. ἐγὼ γὰρ αὐτὸν
προσαμφιῶ τοδί. σὺ δ' οἴμωζ' ὦ πόνηρε. δη. ἰαιβοῖ.

Οὐ μεῖζον εἶναι φαίνεται. ὅτι σοφίας δόξαν ἀπηνέγκατο ὁ Θεμιστοκλῆς, σαφηνίσας Ἀθηναίοις τὸν δοθέντα χρησμόν· τεῖχος τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα Ζεύς. ἄλλων δὲ ἄλλα λεγόντων Θεμιστοκλῆς ἔφη, τὰς τριήρεις λέγειν ξύλινον τεῖχος. καὶ τὸν Πειραιᾶ δὲ τειχίσας ὡς εἴρηται καὶ τὰ μακρὰ τείχη ποιήσας τὰ διήκοντα ἀπὸ τῆς πόλεως μέχρι τοῦ Πειραιῶς, ἔτι πλέον ἔδοξε σοφός. Πιθηκισμοῖς. ἀπάταις καὶ κολακεύμασιν. Ἄλλως μιμήμασιν. ὡς καὶ αὐτοῦ ταῦτα πεποιηκότος.

Περιελαύνεις. γράφεται παρελαύνεις. Ὅταν χεσείῃ. οἱ ἀνιστάμενοι ἐκ τῶν συμποσίων. πρὸς τὸ ἀποπατῆσαι πολλάκις τοῖς ἀλλοτρίοις ὑποδήμασιν. ἤτοι σπεύδοντες. ἢ καὶ ἀγνοοῦντες ὑπὸ μέθης ἐξέρχονται. Προσαμφιῶ τοδί. πρὸς ὃ εἶχεν ἐνδύσω. παρεπιγραφὴ δέ. δίδωσι γὰρ ὁ Κλέων αὐτῷ χιτῶνα.

μου. προεχειροτόνει ὁ δῆμος ὄστρακον εἰσφέρων. καὶ ὅταν δόξῃ, ἐφράττετο σανίσιν ἡ ἀγορά, καὶ κατελείποντο εἴσοδοι δέκα. δι᾽ ὧν εἰσιόντες κατὰ φυλὰς ἐτίθεσαν ὄστρακον, ἐπιτιθέντες τὴν ἐπιγραφήν. ἐπεστάτουν δέ, οἵ τε θ᾽ ἄρχοντες καὶ ἡ βουλή. ἀριθμηθέντων δέ, ὧν πλεῖστα γένοιτο καὶ μὴ ἐλάττω ἑξακισχιλίων, τοῦτον ἔδει ἐν δέκα ἡμέραις μεθεστάναι τῆς πόλεως. εἰ δὲ μὴ γένοιτο ἑξακισχίλια, οὐ μεθίστατο. οὐ μόνον δὲ Ἀθηναῖοι ὠστρακοφόρουν, ἀλλὰ καὶ Ἀργεῖοι καὶ Μιλήσιοι. καὶ μεγαρεῖς. σχεδὸν δὲ, οἱ χαριέστατοι πάντες, ὠστρακίσθησαν. Ἀριστείδης. Κίμων. τῇ ἀδελφῇ Ἐλπινίκῃ συγκοιμηθεὶς καὶ διαβληθεὶς πρὸς τοὺς πολίτας. Θεμιστοκλῆς. Θουκυδίδης. Ἀλκιβιάδης. μέχρι δὲ Ὑπερβόλου, ὀστρακισμὸς προελθών, ἐπ᾽ αὐτοῦ κατελύθη. μὴ ὑπακούσαντος τῷ νόμῳ διὰ τὴν ἀσθένειαν τὴν γεγενημένην τῆς Ἀθηναίων πραγμάτων ὕστερον. παροξύναι δὲ δεῖ τὸ ὀστρακίνδα καὶ παίζειν τὰ τοιαῦτα ἐπὶ παιδιᾶς τοσόμημα. διαφορὰ δὲ φυγῆς ὀστρακισμοῦ· ὅτι τῶν μὲν φυγῆς ἁλόντων αἱ οὐσίαι δημεύονται. τῶν δὲ ὀστρακισμῷ μεθισταμένων οὐκ ἀφαιρεῖται τὰ χρήματα ὁ δῆμος. καὶ τοῖς μὲν χρόνος ἐνδείκνυται καὶ τόπος. οἱ δὲ φεύγοντες οὐδέτερον τούτων ἔχουσιν. οἱ κακόνοι εἶναι δὲ τῷ δήμῳ δοκοῦντες ἐξωστρακίζοντο καὶ κατεδικάζοντο. ὀστράκοις γὰρ ἐγράφετο τὸ ὄνομα τοῦ φευγομένου.

τὰς εἰσβολὰς τῶν ἀλφίτων ἂν καταλάβοιεν ἡμῶν.
ΔΗ. οἴμοι τάλας. ἔχουσι γὰρ πόρπακας; ὦ πόνηρε
ὅσον με παρεκόπτου χρόνον, τοιαῦτα κρουσιδημῶν.
ΚΛ. ὦ δαιμόνιε μὴ τοῦ λέγοντος ἴσθι. μηδ᾽ οἰηθῇς
ἐμοῦ ποθ᾽ εὑρήσειν φίλον βελτίον᾽, ὅστις εἷς ὢν,
ἔπαυσα τοὺς συνωμότας. καί μ᾽ οὐ λέληθεν οὐδὲν
ἐν τῇ πόλει συνιστάμενον. ἀλλ᾽ εὐθέως κέκραγα.
ΑΛ. ὅπερ γὰρ οἱ τὰς ἐγχέλεις θηρώμενοι πέπονθας.
ὅταν μὲν ἡ λίμνη καταστῇ, λαμβάνουσιν οὐδέν.
ἐὰν δ᾽ ἄνω τε καὶ κάτω τὸν βόρβορον κυκῶσιν,
αἱροῦσι, καὶ σὺ λαμβάνεις, ἢν τὴν πόλιν ταράττῃς.
ἓν δ᾽ εἰπέ μοι τοσουτονί. σκύτη τοσαῦτα πωλῶν
ἔδωκας ἤδη τουτῳῒ γε κάττυμα παρὰ σεαυτοῦ
τὰς ἐμβάδας φάσκων φιλεῖν. ΔΗ. οὐ δῆτα μὰ τὸν Ἀπόλλω.
ΑΛ. ἔγνωκας οὖν δῆτ᾽ αὐτὸν οἷός ἐστιν; ἀλλ᾽ ἐγώ σοι,
ζεῦγος πριάμενος ἐμβάδων, τουτὶ φορεῖν δίδωμι.
ΔΗ. κρίνω σ᾽ ὅσον γ᾽ ἐγᾦδα περὶ τὸν δῆμον ὄντ᾽ ἄριστον.

Εἰσβολάς. τὰ σιτοφυλάκια. τὰς ἀποθήκας παραλάβοιεν φάσκοντες. ἢ εἰσβολὰς ὥστε ἑλεῖν τῆς χώρας. εἰσβολὰς δὲ ἔλεγον τοὺς τόπους δι᾽ ὧν εἰσέβαλλον οἱ πολέμιοι.

Ἔχουσι γὰρ πόρπακας. ὡς δέον τὰς ἀνατιθεμένας ἀσπίδας, μὴ ἔχειν πόρπακας. ὑπὲρ τοῦ μὴ ἐξεῖναι τοῖς ἐπιχειροῦσι κατὰ τοῦ δήμου ἐξ ἑτοίμου χρήσασθαι ταῖς ἀσπίσι.

Κρουσιδημῶν. ἀντὶ τοῦ τοῦ κρούων τῇ βουλῇ. λυμαινόμενος τὸν δῆμον ἀπατῶν καὶ παρακρουόμενος τῇ βοῇ. ἔστι γὰρ παρακρουστόμενον, μέτρον. ὃ λέγεται ἐπὶ τῶν τοῖς μέτροις παραλογιζομένων. καὶ παρακρούσασθαι ἀντὶ τοῦ τρέψαι. καὶ παρακρούειν ἐξαπατᾶν ἐμπαιγμόν.

Ἐν τῇ πόλει συνιστάμενον οὐδὲν τῶν κατὰ τῆς πόλεως λογιζομένων καὶ ὁμοῦ ἱσταμένων.

Καταστῇ. κατάστασιν λάβῃ. ἐν ἡσυχίᾳ ᾖ. ἐπειδὴ αἱ ἐγχέλεις μὴ δυνάμεναι ἀνέχεσθαι, ἐν τῇ ἰλύϊ εἰσίν. οἱ οὖν θηρεύοντες τὸ ὕδωρ ταράττοντες, ἀγρεύουσι τὰς ἐγχέλεις.

(Ζεῦγος πριάμενος. πλείονα

ὧν συμμάχων τ' ἄρξεις. ἔπαιξε παρὰ τὸ θαλαττοκρατεῖν τοὺς ἀθηναίους καὶ τὸ νησιώτας ἔχειν ὑποτελεῖς φόρων. Ἐργάσῃ. συνάξεις. τὸ δὲ σείων. οἷον διασείων καὶ ἀπαιτῶν. Λαβήν. ἀφορμήν. λῆμμα ὡς παλαιστής. Κατεργάσει γάρ, νικήσεις περιέσῃ αὐτοῦ. Πλευρὰς ἔχων. σῶμα ἔχων ἰσχυρὸν καὶ στερρότητα. τοῦ τέστιν ἑταιρίαν ἔχων τοιαύτην. Οὐκ ὦγαθοί. οὐ ταῦτα τοῦτο γ' ἕξει τὸν τρόπον, ὡς ὑμεῖς φατέ καὶ προσδοκᾶτε. Μὰ τὸν ποσειδῶ. ὅτι περὶ τριαίνης ἀκούσας εἶπον τὸ τὸν ἱππέων καὶ σείοντα καὶ ταράττοντα, τὸν ποσειδῶνα ὄμνυσιν. Ἐπιστομίζειν. καταπαύειν. ἐπὶ στόμα ἔχειν τὸ κατ' ἐμοῦ. λέγων καὶ διαβάλλων μὴ ἢ φωνὴν ἐᾶν παριέναι. Τῶν ἀσπίδων τῶν ἐκ πύλου. πάλιν ὁ κλέων τὰ περὶ πύλον θρυλλεῖ καὶ σφακτηρίαν. καὶ τὰ τῶν αἰχμαλώτων. ἔθος δὲ ἦν, τὰ ἀπὸ τῶν πολέμων ὅπλα ἐν τοῖς ἱεροῖς ἀνατιθέναι. ἕως οὗ φησιν ἀνάκειται ἀπὸ πύλου καὶ σφακτηρίας ὅπλα, ἅπερ ἀνέθηκα τοῖς θεοῖς νικήσας. οὐδεὶς τῶν ἐχθρῶν τολμήσει κατ' ἐμοῦ λέγειν.

ταύτῃ τῇ πόλει. τῶν ξυμμάχων τ' ἄρξεις ἔχων τρίαιναν
ᾗ πολλὰ χρήματ' ἐργάσει σείων τε καὶ ταράττων.
καὶ μὴ μεθῇς τὸν ἄνδρ'. ἐπειδή σοι λαβὴν δέδωκεν.
κατεργάσει γὰρ ῥᾳδίως, πλευρὰς ἔχων τοιαύτας.
ΚΛ. οὐκ ὦγαθοὶ ταῦτ' ἐστί πω ταύτῃ. μὰ τὸν ποσειδῶ.
ἐμοὶ γάρ ἐστ' εἰργασμένον τοιοῦτον ἔργον, ὥστε,
ἅπαξ ἅπαντας τοὺς ἐμοὺς ἐχθροὺς ἐπιστομίζειν,
ἕως ἂν ᾖ τῶν ἀσπίδων τῶν ἐκ πύλου τι λοιπόν.
ΑΛ. ἐπίσχες ἐν ταῖς ἀσπίσι. λαβὴν γὰρ ἐνδέδωκας
οὐ γάρ σ' ἐχρῆν εἴπερ φιλεῖς τὸν δῆμον ἐκ προνοίας,
ταύτας ἐᾶν αὐτοῖσι τοῖς πόρπαξιν ἀνατεθῆναι.
ἀλλ' ἔστι τοῦτ' ὦ δῆμε μηχάνημ' ἵν' ἢν σὺ βούλῃ.
τὸν ἄνδρα κολάσαι τουτονί, σοὶ τοῦτο μὴ γένηται.
ὁρᾷς γὰρ αὐτῷ στῖφος. οἷόν ἐστι βυρσοπωλῶν.
νεανιῶν. τούτους δὲ περιοικοῦσι μελιτοπῶλαι
καὶ τυροπῶλαι. τοῦτο δ' εἰς ἕν ἐστι συγκεκυφός.
ὥστ' εἰ σὺ βριμήσαιο, καὶ βλέψειας ὀστρακίνδα,
νύκτωρ καθαρπάσαντες ἂν τὰς ἀσπίδας, θέοντες

Λαβὴν γὰρ ἐνδέδωκας. κατὰ σεαυτοῦ. οἷον ἀφορμὴν κατὰ σοῦ κατηγορίας. ἀπὸ δὲ τῶν ἀσπίδων τὴν λαβὴν εἶπεν. Αὐτοῖσι τοῖς πόρπαξι. σὺν αὐτοῖς τοῖς ὀχάνοις. πόρπαξ ἐν ᾧ τὴν ἀσπίδα κατέχουσιν ὁ καλεῖται ὄχανος. περιφερὴς δὲ οὖσα ἡ ἀσπὶς ἐκινεῖτο κυκλικῶς διὰ τοῦ πόρπακος. ἀνετίθεσαν δὲ τὰ ἐκ τῶν πολέμων ὅπλα, ἄνευ τῶν ὀχάνων. ἵνα μὴ ἑτοίμως ἔχωσιν αὐταῖς χρῆσθαι. μηχάνημα δὲ στρατήγημα πανούργημα. Στῖφος. σύστημα. τάξις πολεμική. ἡ φάλαγξ. συστροφή. πλῆθος συστάσεων. τοῦτο δὲ ἔτρεφεν ὁ κλέων. ἵνα ἔχῃ φησὶ συνεργὸν μὲν αὐτῷ πρὸς τὴν πολιτείαν. Συγκεκυφός. συνελθόν. ἀντὶ τοῦ ὁμονοοῦσιν ἑαυτοῖς καὶ συμπνέουσιν. Ἄλλως. ὁμονοοῦν ἀντὶ τοῦ συνελθόντες αὐτῷ συμπνέουσι. Βριμήσαιο ἤ, ὀργισθείης. βριμᾶσθαι γὰρ τὸ ὀργίζεσθαι καὶ ἀπειλεῖν. παρὰ δὲ τοῖσι καὶ τὸ ἦχον ἀποτελεῖν. ὡς τὸ ὑπὸ γὰρ ταῖς πολλαῖς μύλαις βριμωμέναις ὁ τῆς μιᾶς ψόφος ῥᾳδίως ἐλαυνεῖτο. Ὀστρακίνδα. ἐστὶ μὲν ὄνομα παιδιᾶς. θέλει δὲ εἰπεῖν. θελήσεις αὐτὸν ἐξοστρακισθῆναι. ὁ δὲ τρόπος τοιοῦτος τοῦ ἐξοστρακισ-

ὑπὸ σφοδρῶν ἀνέμων ταραχθῇ τὰ κύματα, ἀλλήλοις συγκρούουσιν. Πλατυγίζεις. ἄμφω μεγαλορρημοσύνης δείγματα καὶ πλατύνη καὶ ἀλαζονεία. ἀπὸ δὲ τοῦ πλατυτέρου μέρους τῆς κώπης, ὃ τῇ θαλάττῃ μᾶλλον προσερείδεται, καὶ τὸ ὕδωρ τῇ εἰρεσίᾳ ἀπεργάζεται κτύπον, ἡ μεταφορά. ἀκολούθως δὲ τῷ θαλαττοκοπεῖς, ἐπήγαγε τὸ πλατυγίζεις. Δωροδοκήσαντα. ὄντως ἐδωροδόκησεν ὁ Κλέων ἐκ Μιτυλήνης. οὐ μόνον δὲ τὸ δῶρα διδόναι καὶ ἀναπείθειν, ἀλλὰ καὶ τὸ λαμβάνειν. πόλις δὲ Λέσβου τῆς νήσου Μιτυλήνη. φίλη μὲν Ἀθηναίων καὶ σύμμαχος. ὕστερον δὲ νεωτερίσασαι καὶ ἀποστᾶσαι, καταστρεψάμεν πάλιν οἱ Ἀθηναῖοι Χάρητος στρατηγοῦντος. συμβουλεύσαντος δὲ Κλέωνος, ἐψηφίσαντο, παῖδας μὲν καὶ γυναῖκας ἡβηδὸν ἀποκτεῖναι Μιτυληναίων. ἐξανδραποδίσασθαι δὲ πᾶσαν πόλιν. καὶ ναῦς ἐξέπεμψαν δύο ἀπαγγελλούσας τὰ βεβουλευμένα τῷ Χάρητι. τῇ δ' ὑστεραίᾳ δὲ μετανοοῦντας ἀγαθὸ μένος ἐπὶ τοῖς γνωσθεῖσι, Διόδοτος εἷς καὶ αὐτὸς ὢν τῶν πολιτευομένων τότε, γενομένης δὶς τῆς ἐκκλησίας, καὶ οὐδὲν ἀντιλέγοντος τοῦ Κλέωνος, καὶ παρακελευομένου ἅπαξ τοῖς δόξασιν ἐμμένειν, παρελθὼν μεταγνῶναι τοὺς Ἀθηναίους ἔπεισεν. ἦσαν γὰρ καὶ ἄλλοι τινὲς τὰ Μιτυληναίων φρονοῦντες. οὐ μὴν ἀλλὰ καὶ αὐτῶν ἄνδρες Μιτυληναίων κατά τινα πρεσβείαν ἀφιγμένοι. πείθουσι διατάχους ἑτέραν πέμψαι τριήρη, ἀπαγορεύουσαν τῷ Χάρητι μηδὲν διαπράξασθαι τῶν πρότερον ἐπεσταλμένων. τοὺς δὲ ναύτας τῆς δευτέρας τριήρους, τῇ τε ἄλλῃ παρακλήσει καὶ δώρων ὑποσχέσει, προὐτρέψαντο πάσῃ σπουδῇ, περὶ τὸν πλοῦν χρήσασθαι προθύμως ὡς ἂν τὴν προτέραν τριήρη φθάσαιεν. οἱ δὲ, ἅτε καὶ ἐπὶ χρηστὸν πλέοντες πρᾶγμα, καὶ ταῖς παρακλήσεσιν εἴξαντες, τοσαύτῃ περὶ τὴν εἰρεσίαν ἐχρήσαντο σπουδῇ, ὥστε οὐκ ἔφθη καταπλεύσασα ἡ προτέρα ναῦς, καὶ ὁ Χάρης λαβὼν τὰ γράμματα, καὶ ἐκείνην ἐπεισπλεῦσαι. παρὰ τοσοῦτον κινδύνου ἡ Μιτυλήνη ἦλθεν ἀπὸ ταύτης. οἴονται φασὶν αὐτὸν ὑποδείξειν τὸ ἀργύριον εἰληφότα. λεληθότως δὲ πάλιν αὐτὸν εἰς ὠμότητα διαβάλλων τῷ τρόπῳ. οὐ γὰρ φέρεται λαβὼν πλὴν ὡς μνᾶς μ΄ παρὰ τῶν Μιτυληναίων ὁ Κλέων μισθόν. πιθανῶς δὲ ἐπλάσατο αὐτὸν εἰληφέναι. ἐπειδὴ ἐκεῖνος φησὶν αὐτὸν ἀμείβεσθαι τοῖς ἴσοις. Πᾶσιν ἀνθρώποις. διπλῆ, καὶ ἔκθεσις οὐ κατ' ἴσον τοῖς ἀναπαίστοις εἰς ἰαμβικὰ τετράμετρα καταληκτικὰ ἑπτακαίδεκα. οἷς ἐπὶ τῆς ἀποθέσεως παράγραφος. ἐπὶ δὲ τῷ ἄκρῳ τοῦ τελευταίου διπλῆ ἔξω νενευκυῖα. τινὲς δὲ τὰ ἑπτὰ πρῶτα κῶλα ὡς ἀντιστροφὴν εἰλήφασιν. Εἰ γὰρ ὧδ' ἐποίσεις. εἰ γὰρ εἰς τέλος ἐναντιούμενος αὐτῷ παραμείνῃς πρὸς τὴν γραφὴν καὶ κατηγορίας. εἰ γὰρ οὕτω κατηγορίᾳ χρήσῃ.

Δωροδοκήσαντ' ἐκ Μιτυλήνης πλεῖν ἢ μνᾶς τετταράκοντα.

ἈΝΤΙΣΤΡΟΦΗ'.

Χο. ὦ πᾶσιν ἀνθρώποις φανεὶς μέγιστον ὠφέλημα.
ζηλῶ σε τῆς εὐγλωττίας. εἰ γὰρ ὧδ' ἐποίσεις,
μέγιστος Ἑλλήνων ἔσει. καὶ μόνος καθέξεις,

K κἀκεῖνος μὲν φεύγει. ἐξωστράκισε γὰρ τὸν θεμιστοκλέα ὁ δῆμος. Σὺ δ' ἀχιλλείων. σὺ δὲ τῆς ἐν πρυτανείῳ σιτήσεως μετέχεις. ἐκάλουν τοὺς ἀχιλλείους τινὲς κρι/θὰς ὡς εὐγενεῖς αὐτάς. Μὴ σκέρβολλε. μὴ λοιδόρει. δηλοῖ δὲ καὶ κερτομεῖν. κεῖται δὲ νῦν ἡ λέξις, ἀντὶ τοῦ μὴ ποίκιλλε. καὶ καλλίμαχος. σκέρβολα μυθή/σαντο. Ἐγκρυφιάζων. ἐμφωλεύων καὶ ἀποκρύπτων. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. ἐλάνθανές με ῥᾳδιουργῶν περὶ πόλιν. ἀπὸ δὲ τοῦ ἐγκρυφίου ἄρτου μετήνεγκεν. οἷον λανθάνων, καὶ

ἐγκρύπτων σεαυτόν. Ὁπόταν χασμᾷ. ὁπότε μετεωροφρονεῖς. οἷον περὶ ἄλλα τὴν διάνοιαν ἔχῃς. διηγῇ δὲ καὶ εἴωθε δὶς εἰς περίοδον ἀναπαιστικὴν. δω/δεκάκωλον. ὧν δ' πρῶτον καὶ τε/λευταῖον τετρά/μετρα καταλη/κτικά. τὰ δὲ λοι/πὰ δίμετρα. ἐπὶ τέλει διπλῆ ἔξω

κἀκεῖνος μὲν φεύγει τὴν γῆν. σὺ δ' ἀχιλλείων ἀπομάττει.
ΚΛ. οὔκουν ταυτὶ δεινὸν ἀκούειν ὦ δῆμ' ἐστί μ' ὑπὸ τουτουί
ὅτιή σε φιλῶ. ΔΗ. παῦ' οὗτος. καὶ μὴ σκέρβολλε πονηρά.
πολλοῦ γὰρ πολλὴν με χρόνον καὶ νῦν ἐλελήθεις ἐγκρυφιάζων
ΑΛ. μιαρώτατος ὦ δημακίδιον καὶ πλεῖστα πανουργία δεδρακώς.
ὁπόταν χασμᾷ. καὶ τοὺς καυλοὺς
τῶν εὐθυνῶν ἐκκαυλίζων,
καταβροχθίζει. κἀμφοῖν χεροῖν
μυστιλᾶται τῶν δημοσίων.
ΚΛ. οὐ χαιρήσεις. ἀλλά σε κλέπτοντ'
αἱρήσω 'γὼ τρεῖς μυριάδας.
ΑΛ. τί θαλαττοκοπεῖς καὶ πλατυγίζεις,
μιαρώτατος ὢν περὶ τὸν δῆμον.
τὸν ἀθηναίων. καί σ' ἀποδείξω
νὴ τὴν δήμητρ'. ἢ μὴ ζῴην,

γενόμενα. Τῶν εὐθυνῶν. τῶν δικαίων παραλογισμῶν. οἱ γὰρ χειρίσαντές τι τῶν κοινῶν, καὶ διοικήσαντες τῶν αἰχμαλωτισθέντων χρημάτων εὐθύνας καὶ λογισμοὺς ἐδί/δοσαν. Ἐκκαυλίζων. ἀπὸ τῶν τὰ λάχανα ἀποκλώντων τῇ μεταφορᾷ ἐχρήσα/το. οἷον ἀνασπῶν καὶ ἀναιρῶν. ὃ δὲ λέγει τοιοῦτόν ἐστι μισθὸν λαμβάνων παρὰ τῶν διοικούντων τὰ κοινά, ἐκκόπτει αὐτῶν τὰς δίκας. ἵνα μὴ ὁ δῆμος εὐθύνας λαμ/βάνειν παρ' αὐτῶν δύνηται. Καταβροχθίζει. καταπίνει ἀμφοτέραις ταῖς χερ/σί. τουτέστιν ἀπλήστως καὶ λάβρως καὶ ἀφειδῶς. Μυστιλᾶται. κατατρώγει. ἰδίως δὲ παρὰ τοῖς ἀττικοῖς μύστιλλον ἐκάλουν τὸ ἄρτου τὸ τοῖς κυσὶ παραβαλλό/μενον καὶ ἀπαγχοῦ. μεμυστιλημένας ἀντὶ τοῦ κατειργασμένας ἤδη καὶ ἑτοίμους. του/τέστι μεμασημένας. Ἄλλως. μυστίλη ὁ κοῖλος ἄρτος. ᾧ δύναταί τις καὶ ζωμὸν ἀρύσασθαι. Αἱρήσω. φωράσω. διελέγξω. ἔλαβε δὲ τὸ αἱρήσω, ἀπὸ τοῦ χαιρήσω. Ἄλλως. κλοπῆς συγκατηγορήσεως κατὰ δίκης αἴτιός σοι γενήσομαι νικήσας σε.

T Τί θαλαττοκοπεῖς. ἰθαλαττοκόπουν γὰρ οἱ ἀθηναῖοι. ὡς τοῦ κλέωνος συνεχῶς προ/φερομένου τὴν κατὰ θάλατταν δυναστείαν. πλατυγίζειν δὲ κυρίως, τὸ ἐπιτιθέναι τινα παγώνιον τῇ ἀριστερᾷ χειρὶ καὶ παίειν τῇ δεξιᾷ καὶ ἦχον ἀποτελεῖν. Ἄλλως. τί ταράττῃ. ἔλαβε δὲ τὴν χρῆσιν τοῦ ὀνόματος, ἀπὸ τῆς θαλάσσης. ἐπειδὴ γὰρ

αὐτὸν εἰς τὸ κοινὸν παρεῖναι. καὶ λέγειν ὧν χρήζων ἀφῖκται, τὸ μὲν πρῶτον εἰς τὴν
παρουσίαν ὑπερετίθετο τῶν πρέσβεων. μὴ γὰρ ἀσφαλὲς ὑπάρχειν αὐτῷ κοινὰς
ἐντολὰς λαβόντι, μόνον ἀποπληρῶσαι τὴν πρεσβείαν καὶ ἤσχαλλεν ὅτι μήπω πα
ρεγένοντο. ὡς δὲ χρόνος ἱκανὸς διεγένετο, καὶ οἱ πρέσβεις παρῆσαν. ἤδη δὲ τοῦ τεί
χους ἱκανῶς προκεχωρηκότος τοῖς λακεδαιμονίοις ἤγγελτο ὅτι τετειχισμέναι
λοιπὸν εἶεν ἀθῆναι, παρελθὼν ἔπειθεν αὐτοὺς μὴ ταχέως πιστεύειν τοῖς βουλομέ
νοις εἰς ἔχθραν
καταστῆσαι
τὴν πόλιν. ἀλλ'
ἐπιλεξαμέ-
νους αὐτῶν ἄν
δρας τοὺς εὐ-
νοίᾳ καὶ πί-
στει διαφέρον

καὶ πρὸς τούτοις ἀριστώσῃ τὸν πειραιᾶ προσέμαξεν.
ἀφελών τ' οὐδὲν τῶν ἀρχαίων ἰχθῦς καινοὺς παρέθηκε;
σὺ δ' ἀθηναίους ἐζήτησας μικροπολίτας ἀποφῆναι.
διατειχίζων καὶ χρησμῳδῶν ὁ θεμιστοκλεῖ ἀντιφερίζων.

τας, ἐπὶ θέας ἐκπέμψαι. μέχρι δὲ τῆς ἐκείνων παρουσίας, ὅμηρον αὐτὸν κατε-
παγγέλλετο, κἂν τούτῳ, τριβήν τινα χρόνου ἐμποιῶν. πεισθέντων οὖν λακεδαι
μονίων καὶ τοὺς μάλιστα διαφέροντας εὐνοίᾳ καὶ πίστει τῶν πολιτῶν πεμψάν-
των, λάθρα τοῖς ἀθηναίοις προσέταξε μὴ πρότερον τοὺς λακεδαιμονίων ἄνδρας
ὀπίσω πάλιν ἐλθεῖν ἐᾶσαι, πρὶν αὐτόν τε καὶ τοὺς συμπρέσβεις ἀπολύσωσι πε-
λοποννήσιοι. ἔστιν οὖν τὸ νόημα ὑπερβατόν. ὃ γὰρ λέγει, τοιοῦτόν ἐστιν. ὅστις
ἐποίησε μεστὴν καὶ ὁλόκληρον ἡμῶν τὴν πόλιν ἀτείχιστον οὖσαν. Ἄλλως.
Ἐπιχειλῆ. ἐνδεᾶ. ἐπιχειλὲς γὰρ μέτρον λέγεται, τὸ καὶ μὴ πλῆρες. ἀλλ' ἀπο
μεσούμενον. αἰνίττεται δέ, ὅτι αὐτὸς τὴν πόλιν ἐτείχισε. Καὶ πρὸς τούτοις
ἀριστώσῃ. καὶ πρὸς τούτοις ἄριστα τῇ πόλει ἐχούσῃ. ἔπαιξε δὲ τὸ ἀριστώσῃ πρὸς
τὰ ἐπιφερόμενα. Τὸν πειραιᾶ. καὶ τὸν πειραιᾶ γὰρ ἐτείχισεν. ὃς ἀπεῖ-
χε τῆς πόλεως σταδίους λε΄, παραθαλάττιος ὤν. ἔπαιξε τὸ ἀριστώσῃ πρὸς τὰ
ἐπιφερόμενα. πρὸς ὃ ἐπιφέρει καὶ τὸ ἰχθῦς προσέθηκεν. Προσέμαξε. προσέθη-
κε. προσεκόλλησεν. μάττειν γὰρ λέγεται τὸ ἀναμιγνύναι καὶ φυρᾶν καὶ εἰς ἓν συ
νάγειν. ἑξῆς οὖν τὸ μάττειν προσήνεγκε. διὰ τὸ προειρηκέναι ἀριστώσῃ. αἰνίττε
ται δὲ διὰ τούτων, τὰ μακρὰ τείχη παρὰ τοῖς ἀθηναίοις καλούμενα. μακρὰ δὲ
ἐλέγοντο, διὰ τὸ ἀπὸ τῆς πόλεως διήκειν μέχρι τοῦ πειραιῶς. Ἄλλως.
Ἐμπόριον ὁ πειραιεὺς τῶν ἀθηναίων παρὰ τῇ θαλάττῃ κείμενος, ἀπὸ πέντε τῆς
πόλεως σημείων. Ἰχθῦς καινούς. δι' ὃν ἐκ τοῦ πειραιῶς ἐποίησεν αὐτὸν ἰχθύ
ας ἔχειν. τὸν γὰρ πειραιᾶ θεμιστοκλῆς προσέβαλλε τῇ πόλει. τὸ δὲ παρέθηκε,
προσέθηκε. προσεκόλλησε τὰ μακρὰ τείχη. Μικροπολίτας. διὰ τὴν ἐκ
τοῦ πολέμου στενοχωρίαν τῶν ἀναλωμάτων καὶ τὴν τῶν ἀνδρῶν σπάνιν.
Διαχίζων συστέλλων τὰ τείχη. διὰ γὰρ τὸν πόλεμον καὶ τὰ ἐπὶ τοῖς φρουροῖς ἀνα
λώματα. καὶ τὴν τῶν ἀνδρῶν σπάνιν συνέστειλαν τὰ τείχη.

[Handwritten marginal note:] Κικέρωνος περὶ τοῦ πειραιῶς [illegible] ἐν ἐπιστολαῖς πρὸς τὸν ἀττικὸν fo: 103.

γ' ὑπὸ τοῦ πολέμου καὶ τῆς ὀμίχλης ὑπὸ τῶν περιεστώτων κακῶν. καὶ ἴσον, τοῦ πολέμου δυσχερῶν συνεχόμενος, μὴ ἐλέγχῃ τὰ σὰ κακουργήματα. ὁμίχλη δέ, ἐπὶ τοῦ τεθολωμένου ἀέρος. καὶ μὴ διαυγοῦς μηδὲ λαμπροῦ, τάσσεται. ὁ δὲ νοῦς οὗτος, ὅπου τῷ δήμῳ, φίλα φρονῶν. πείθεις αὐτὸν ἀρκάσι πολεμεῖν. ἀλλ' ἵνα περὶ τὸν πόλεμον ἀσχολούμενος, περιεργάζηται τὰ σὰ πανουργήματα. εἰς σὲ κεχήνῃ εἰς σὲ ἀποβλέπῃ καὶ πειθαρχῇ. χίδρα. τινὲς ἄγρια λάχανα. οἱ δὲ τὰ ὄσπρια ἢ τὰ ἐξ ὀσπρίων ἄλευρα ἢ κρίμνα ἢ στάχυες νεοστενεῖς. κυρίως δέ, τὸ ἀπὸ χλωρᾶς κριθῆς κρινόμενα ὡς σεμίδαλις ὀρεικτά. χύδρα δὲ εἴρηται παρὰ τὸ χεῖσθαι. ἀναθαρρήσῃ δὲ θαρσαλεώτερος γένηται.

ὑπὸ τοῦ πολέμου καὶ τῆς ὀμίχλης, ἃ πανουργεῖς μὴ καθορᾷ σου.
ἀλλ' ὑπ' ἀνάγκης ἅμα καὶ χρείας καὶ μισθοῦ πρός σε κεχήνῃ.
εἰ δέ ποτ' εἰς ἀγρὸν οὗτος ἀπελθὼν εἰρηναῖος διατρίψῃ,
καὶ χίδρα φαγὼν ἀναθαρρήσῃ, καὶ στεμφύλων εἰς λόγον ἔλθῃ.
γνώσεται οἵων ἀγαθῶν αὐτὸν τῇ μισθοφορᾷ παρεκόπτου.
εἶθ' ἥξει σοι δριμὺς ἄγροικος. κατὰ σοῦ τὴν ψῆφον ἰχνεύων.
ἃ σὺ γιγνώσκων, τόνδ' ἐξαπατᾷς καὶ ὀνειροπολεῖς περὶ σεαυτοῦ.
κλ. οὔκουν δεινόν, ταυτί σε λέγειν δῆτ' ἔς ἐμέ, καὶ διαβάλλειν,
πρὸς Ἀθηναίους καὶ τὸν δῆμον, πεποιηκότα πλείονα χρηστά.
νὴ τὴν Δήμητρα Θεμιστοκλέους πολλῷ περὶ τὴν πόλιν ἤδη,
ἀλ. ὦ πόλις Ἄργους. κλύεθ' οἷα λέγει; σὺ Θεμιστοκλεῖ ἀντιφερίζεις,
ὃς ἐποίησε τὴν πόλιν ἡμῶν μεστήν, εὑρὼν ἐπιχειλῆ,

Σ τεμφύλων εἰς λόγον ἔλθῃ. καὶ προσομιλήσει τοῖς στεμφύλοις, ἢ ἀσπάσει. στέμφυλα δὲ ἐκάλουν οἱ παλαιοί, τὰ τῶν ἐλαιῶν ἀποπιέσματα. περιπύσματα δὲ τὰ τῶν ἀμπελῶν. Παρεκόπτου. παρῄρου. ἐλυμαίνου. ἀπὸ μεταφορᾶς τῶν παρακοπτομένων τὰ ἱερὰ ὀργέων. ἰδίως δὲ τὸν μισθὸν τῶν στρατευομένων οἱ παλαιοὶ μισθοφορὰν ἐκάλουν. φησὶν οὖν, ὅτι τοῦ πολέμου ἀπαλλαγέντες, ἐπιγνώσονται τὴν βλάβην, ἣν διὰ τῆς μισθοφορᾶς αὐτοὺς ἔβλαπτες, πλείονα αὐτοὺς ἀγαθὰ παραιρούμενος, ὧν ἀπολαύειν ἠδύναντο εἰρήνην ἄγοντες. ἄγροικος δὲ ὀργῆς γέμων. τραχὺς δέ, ψῆφον ἰχνεύων καταδικάσαι προῃρημένος. Ὀνειροπολεῖς. παρακρούῃ. καὶ παραλογίζῃ καὶ παραπταίεις. καὶ ὀνειροπολεῖς, ὀνείρους ὁρῶν. τὸ δὲ ὦ πόλις Ἄργους ἀπὸ Τηλέφου Εὐριπίδου. τὸ δὲ κλύεθ' οἷα λέγει ἀπὸ Μηδείας. τὸ δὲ σὺ δεικτικῶς. Ἐπιχειλῆ. τουτέστι χείλη μὴ ἔχουσαν. αἰνίττεται δὲ διὰ τούτου τὴν ἱστορίαν Θεμιστοκλέους ὅτι τὴν πόλιν ἐτείχισεν. καὶ ταύτην, παρὰ γνώμην τῶν Πελοποννησίων ἀπατήσας αὐτούς. φασὶ γὰρ τῶν Λακεδαιμονίων μαθόντων ἐκτειχίζεσθαι τὰς Ἀθήνας καὶ μὴ ἐπιτρεπόντων, καταστρατηγῆσαι τὸν Θεμιστοκλέα ἐπὶ τῷ δεῖξαι τοῖς Λακεδαιμονίοις ὅτι ἐπὶ τῷ κοινῷ τῆς Ἑλλάδος συμφέροντι τειχίζοιεν τὴν πόλιν. χειροτονηθεὶς δὲ πρεσβευτής. τοῖς μὲν Ἀθηναίοις ἔδωκεν ἐντολὰς τειχίζειν πάσῃ σπουδῇ τὴν πόλιν, μὴ φειδομένους, μήτε ἰδίου μήτε δημοσίου τινὸς οἰκοδομήματος. τοῖς δὲ πρεσβευταῖς προσέταξε, βράδιον ἐλθεῖν εἰς τὴν Λακεδαίμονα. αὐτὸς δὲ ἀφικόμενος ἐκεῖσε καὶ τῶν Λακεδαιμονίων ἀξιούντων

τέθνηκε Κλέων τε καὶ Βρασίδας. οἳ περ ἀμφότεροι ἠναντιοῦντο τῇ εἰρήνῃ. ὁ μὲν, διὰ τὸ εὐτυχεῖν τε καὶ τιμᾶσθαι ἐκ τοῦ πολεμεῖν. ὁ δὲ γενομένης εὐτυχίας. καταφανέστερος τε νομίζων εἶναι κακουργῶν καὶ ἀξιοπιστότερος διαβάλλων.

Βλίττεις. ἀμέλγεις. βλίττειν ἐστὶ τὸ ἀφαιρεῖν τὸ μέλι ἀπὸ τῶν κηρίων. καὶ πειράζειν καὶ τὸ ψηλαφᾶν. καὶ τὸ ἐκπιέζειν. τὰ κηρία τῶν μελισσῶν ἐκθλίβειν. Ἀρχεπτολέμου δὲ φέροντος· παρ' ἱστορίαν τοῦ Ἀρχεπτολέμου ἐμνημόνευσεν. ὄγδοον γὰρ ἔτος

ἀλλὰ καθείρξας αὐτὸν βλίττεις. Ἀρχεπτολέμου δὲ φέροντος

τὴν εἰρήνην ἐξεσκέδασας. τὰς πρεσβείας τ' ἀπελαύνεις.

ἐκ τῆς πόλεως ῥαθαπυγίζων, αἳ τὰς σπονδὰς προκαλοῦνται

κλ. ἵνα γ' Ἑλλήνων ἄρξῃ πάντων. ἔστι γὰρ ἐν τοῖς λογίοισιν.

ὡς τοῦτον δεῖ ποτ' ἐν Ἀρκαδίᾳ πεντώβολον ἡλιάσασθαι.

ἢν ἀναμείνῃ. πάντως δ' αὐτὸν θρέψω 'γὼ καὶ θεραπεύσω.

ἐξευρίσκων εὖ καὶ μιαρῶς, ὁπόθεν τὸ τριώβολον ἕξει.

ἀλ. οὐχ ἵνα γ' ἄρξῃ μὰ Δί' Ἀρκαδίας προνοούμενος ἀλλ' ἵνα μᾶλλον

σὺ μὲν ἁρπάζῃς καὶ δωροδοκῇς παρὰ τῶν πόλεων, ὁ δὲ δῆμος

ἔχοντος τοῦ πολέμου τούτου, ἔτι ζῶντος τοῦ Κλέωνος, ἐναύσιον ἐπειήσαντο πρὸς ἀλλήλους ἐκεχειρίαν οἱ Ἀθηναῖοι καὶ Πελοποννήσιοι, πρεσβεῖαι πέμψαντες πρὸς ἀλλήλους. οὐ μὴν Ἀρχεπτολέμου πρεσβεύοντός τινος. ἀλλὰ τῶν Λακεδαιμονίων ἦν πρεσβευτὴς, Ταῦρος. Ἐχετιμίδης. Ἀθήναιος. Περικλείδας Ἀγνείας. Σισυφαμίδας Ἀριστοδίμου. Σικυωνίων δὲ, Διμότιμος Ναυκράτου Μενεκράτης Ἀμφιδώρου. Ἐπιδαυρίων δὲ, Ἀμφίας. Ἀθηναίων δὲ στρατηγοὶ, Νικίας ὁ Νικηράτου. Αὐτοκλῆς Τολμαίου. ἐγένετο δὲ πόλεμος ἐπὶ ὀκτωκαίδεκα ἔτη καὶ οὕτως ἡ πρεσβεία τοῦ Κλέωνος ζῶντος. ἡ εἰρήνη μετ' ἐνιαυτὸν ἐγίνετο. εἰκὸς οὖν Ἀρχεπτολέμου μνημονεῦσαι, ἵνα μᾶλλον ἐξ ἀρχῆς ἐπιδείξῃ τοῦ πολέμου τὸν Κλέωνα καὶ Ἀρχεπτολέμου εἰρήνην διδόντος. ἐξεσκέδασας δὲ ἀντὶ τοῦ διετάραξας. δείκνυσιν οὖν ὅτι οὗτος ἦν αἴτιος τούτου. Ῥαθαπυγίζων. τῇ πυγῇ ῥόθον ποιῶν. τουτέστι πυγὴν τῇ χειρὶ παίων ἢ τῷ ποδὶ τύπτων. Ἄλλως. λάθρα τύπτων κατὰ τῆς πυγῆς τῇ πλατείᾳ χειρὶ καὶ πλατεῖ τῷ ποδί. τῇ πυγῇ ῥόθον ποιῶν. γελοίου δὲ χάριν τούτῳ ἐχρήσατο. Προκαλοῦνται. παρέχουσιν. εὐτρεπίζουσιν. εὐχαρῶς δὲ τῷ προκαλοῦνται ἐχρήσατο, ἵνα μᾶλλον τοὺς Λακεδαιμονίους ἐπιδικαζομένους τῆς εἰρήνης δείξῃ καὶ ἐπιθυμοῦντας. Ὡς τοῦτον δεῖ ποτ' ἐν Ἀρκαδίᾳ. νικήσαντα τοὺς Πελοποννησίους, δικάσαι μέχρις Ἀρκαδίας, λαμβάνοντα μισθὸν, πεντώβολον ἀλλ' οὐ τριώβολον. Ἢν ἀναμείνῃ. ἐὰν ὑπομείνῃ καὶ πολεμῶν μὴ ὀκνήσῃ. Εὖ καὶ μιαρῶς. ἀλλήλοις ἐναντία. εἰ γὰρ εὖ, πῶς μιαρῶς, εἰ δὲ μιαρῶς, πῶς εὖ, πλὴν εἰ μὴ τοῦτο λέγει. ὅτι ἀνευδεῶς τὸ τριώβολον αὐτῷ φροντίσω καὶ ποιήσω λαμβάνειν. οὐ περιεργαζόμενος, οὔτε εἰ ἀπὸ δικαίου, οὔτε εἰ ἀπὸ ἀδίκου πορισθήσεται τὰ πράγματα. πιθανῶς δὲ τὰς ὑποσχέσεις τοῦ Κλέωνος, περὶ τῶν ἐνεστηκότων καὶ μελλόντων.

θεμιστοκλέους στρατηγοῦντος. ἔνθα καὶ πέτρα εἰρεσία οὕτω καλουμένη, ὥσπερ διὰ τοῦ ὀνόματος τρόπαιον οὖσα τῆς ἀττικῆς. ἔστι δὲ καὶ ἀγέλαστος πέτρα καλουμένη παρὰ τοῖς ἀθηναίοις. ὅπου καθίσαι φασὶ θησέα μέλλοντα καταβαίνειν εἰς ἅδου. ὅθεν καὶ τοὔνομα τῇ πέτρᾳ. ἢ ὅτι ἐκεῖ ἐκάθισεν ἡ δημήτηρ κλαίουσα, ὅτ᾽ ἀνεζήτει τὴν κόρην. ἐρασθεὶς γὰρ περσεφόνης ὁ πλούτων ἥρπασεν αὐτὴν κρύφα. δημήτηρ δὲ μετὰ λαμπάδων νυκτός τε καὶ ἡμέρας κατὰ πᾶσαν τὴν γῆν ζητοῦσα περιήρχετο. μαθοῦσα ἤδη παρὰ ἑρμιονέων ὅτι πλούτων αὐτὴν ἥρπασεν, ὀργιζομένη θεοῖς κατέλιπεν οὐρανόν. καὶ ἀκαθεῖσα γυναικὶ ἥκεν εἰς ἐλευσῖνα ἔνθα ἐπὶ πέτραν ἐκάθισεν τὴν ἀπ᾽ ἐκείνης κληθεῖσαν ἀγέλαστον.

δη. ἄνθρωπε τίς εἶ. μῶν ἔκγονος εἶ τῶν ἁρμοδίου τις ἐκείνων;
τοῦτό γέ σου τοὔργον ἀληθῶς γεννάδαν καὶ φιλόδημον.
κλ. ὡς ἀπὸ μικρῶν εὔνους αὐτῷ θωπευματίων γεγένησαι.
αλ. καὶ σύ γ᾽ αὐτὸν πολὺ μικροτέροις τούτων δελεάσμασιν εἷλες.
κλ. καὶ μὴν εἴ πού τις ἀνὴρ ἐφάνη τῷ δήμῳ μᾶλλον ἀμύνων
ἢ μᾶλλον ἐμοῦ σε φιλῶν, ἐθέλω περὶ τῆς κεφαλῆς περιδόσθαι.
αλ. καὶ πῶς σὺ φιλεῖς, ὃς τοῦτον ὁρῶν οἰκοῦντ᾽ ἐν ταῖς πιθάκναι
καὶ γυπαρίοις καὶ πυργιδίοις ἔτος ὄγδοον, οὐκ ἐλεαίρεις (σιν.

Μῶν ἔγγονος. μὴ τὸ γένος φησὶ κατάγεις ἀπὸ ἁρμοδίου καὶ ἀριστογείτονος. ὁ δὲ δῆμος ἐστὶν ὁ θαυμάζων τὸν ἀλλαντοπώλην ἐπὶ τῇ φιλοτιμίᾳ τῶν καθισμάτων. εἰς ἁρμόδιον δὲ καὶ ἀριστογείτονα τὸ γένος ἀνήνεγκεν αὐτοῦ, ἐπεὶ καὶ οὗτοι εὐνοίας πολλάκις ἀπηνέγκαντο δόξαν, ἀποθέμενοι τοῖς τυράννοις. καὶ τὸν ἱππίαν διαχειρισάμενοι, ὡς φθάσαντες προείρηται. τοῦτό γέ τοι πρῶτον ἀπεδείκνυσι τὴν εἰς τὴν πόλιν εὔνοιαν. Ὡς ἀπὸ σμικρῶν. ἀπὸ βραχέων καὶ τῶν τυχόντων παντάπασι δελεάσμασιν ἀπάταις. ἰδίως δὲ δέλεαρ καλοῦμεν, τὴν τοῖς ἰχθύσιν ὑποβαλλομένην τροφὴν εἰς ἀπάτην τοῦ ἀγρευθῆναι. ἀπὸ μεταφορᾶς δ᾽ ἐκείνων φησίν. εἷλες δὲ ἤγρευσας ὑποχείριον ἐποιήσας. Περιδόσθαι. συνθήκην θεῖναι. καὶ ἀλλαχοῦ. περίδου καὶ ταχέως αὖ ἢ γένου καὶ αὖθις εἰ βούλει περίδου μοι περὶ θυμιτίδος ἁλῶν. τουτέστι συνθήκας ποιησώμεθα. καὶ ὅμηρος δεῦρό γε νῦν τρίποδος περιδώμεθα. Ἐν ταῖς πιθάκναις. ὑποκοριστικῶς μακροῖς πίθοις. πιθοκοίταις. ἑτοίμοις τόπος. ὅτι διὰ τὸν πόλεμον οἱ ἀθηναῖοι ἐκ τῶν ἀγρῶν εἰσερχόμενοι, ἐν ταῖς πιθάκναις ἢ ἐν τοῖς σπηλαίοις ᾤκουν τῇ σπάνει τῶν οἰκημάτων. οἱ δὲ παλαιοὶ φιδάκνην λέγουσι. Γυπαρίοις. εἶδος ὀρνέου γύπες. ἔπαιξε δὲ τὸ ὄνομα διὰ τὸ ἀποφερόμενον. δοκεῖ γάρ πως παρόμοια τὰ ὀνόματα ταῦτα εἶναι γυπαρίοις καὶ πυργιδίοις. ἢ διὰ τὸ τοὺς ὄρνις τούτους μάλιστα τοῖς πύργοις ἐπικαθῆσθαι. καὶ τοῖς τείχεσιν εἰς οὓς οἱ ἀθηναῖοι ἐκάθευδον διὰ τὸν πόλεμον φρουροῦντες τὴν πόλιν. Ἄλλως. ἀντὶ τοῦ ἐν φωλεοῖς καὶ καλιαῖς καὶ στενοῖς χωρίοις. κρατῖνος δέ φησιν, ὅτι πᾶσαν στενὴν κατάδυσιν οὕτως ὠνόμαζον. Ἔτος ὄγδοον. τοσαῦτα γὰρ ἔτη εἶχον πολεμοῦντες. Οὐκ ἐλεαίρεις. οὐ κατοικτείρεις. δείκνυσι δὲ διὰ τούτων, ὅτι ὁ κωλύων παύσασθαι τὸν πόλεμον ἐστὶν ὁ κλέων. ὥσπερ οὖν καὶ θουκυδίδης ἱστορεῖ διὰ τούτων. ἐπειδὴ καὶ ἡ ἐν ἀμφιπόλει ἧττα τοῖς ἀθηναίοις ἐγένετο. καὶ

δημόσια. καὶ τοὺς αὐτοὺς ταφίους ἔλεγον. εἰσὶ δὲ ἔνθεν καὶ ἔνθεν στῆλαι ἐπὶ τοῖς δημοσίοις τεθαμμένοις ἔχουσαι ἐπιγραφὰς ποῦ ἕκαστος τέθαπται. ἐν δὲ τῷ ἑτέρῳ ἦσαν τε καὶ προεστήκεσαν αἱ πόρναι. Τοὺς δ' ἄγχων. δηλοῖ διὰ τούτων τῶν ὀνομάτων, τὸ βίαιον τῆς ἀπαιτήσεως. εἴπως δύναιτο πεῖσαι τοὺς ἀθηναίους μὴ εἶναι περὶ τὰς ἀπαιτήσεις τῶν πολιτικῶν χρημάτων βαρεῖς. Μεταιτῶν. τοὺς μὴ ὀφείλοντας δηλονότι. λῆρον δὲ ἐποίησε διὰ τῆς αὐτῆς προδόσεως τὸ νόημα. εἰπών. ὅτι τοὺς μὲν μετὰ βίας εἰσέπραττον τῶν χρεωστουμένων. τοὺς δὲ μὴ ὀφείλοντας μετῄτουν. Οὐ φροντίζων. τὸ λεγόμενον τοιοῦτόν ἐστιν. ἐνδοτέρω τὴν πρὸς τοὺς ἰδιώτας ἀπέχθειαν ἐποιούμην, ἕνεκα τοῦ ἀποθεραπεῦσαι τὴν πόλιν. Ἄρτους ἀλλοτρίους. τοὺς βιαίως ἀφαιρουμένους. σκώπτει δὲ τὸν Κλέωνα, ἀπὸ τῶν ἀλλοτρίων φιλοτιμούμενον. ἀπὸ δὲ τῆς αὐτοῦ τέχνης ὁρμώμενος, πάλιν τοῦ ἀλλαντοπώλου μέμνηται.

ἐν τῷ κοινῷ. τοὺς μὲν στρεβλῶν τοὺς δ' ἄγχων. τοὺς δὲ μεταιτῶν
οὐ φροντίζων τῶν ἰδιωτῶν οὐδενός, εἰ σοὶ χαριζοίμην.
ἀλ. τουτὶ μὲν ὦ δῆμ' οὐδὲν σεμνόν. κἀγὼ γὰρ τοῦτό σε δράσω.
ἁρπάζων γὰρ τοὺς ἄρτους σοι τοὺς ἀλλοτρίους παραθήσω.
ὡς δ' οὐχὶ φιλεῖ σ' οὐδ' ἔστ' εὔνους, τοῦτ' αὐτό σε πρῶτα διδάξω.
ἀλλ' ἢ διὰ τοῦτ' αὔθ' ὅτι σου τῆς ἀνθρακιᾶς ἀπολαύει.
σὲ γὰρ ὃς μήδοισι διεξιφίσω περὶ τῆς χώρας ἐν μαραθῶνι.
καὶ νικήσας, ἡμῖν μεγάλως ἐγγλωττοτυπεῖν παρέδωκας
ἐπὶ ταῖσι πέτραις οὐ φροντίζει σκληρῶς σε καθήμενον οὕτως.
οὐχ ὥσπερ ἐγὼ ῥαψάμενός σοι τουτὶ φέρω. ἀλλ' ἐπαναίρου.
κᾆτα καθίζου μαλακῶς, ἵνα μὴ τρίβῃς τὴν ἐν σαλαμῖνι.

Τῆς ἀνθρακιᾶς. ὅτι τῶν σῶν ἀγαθῶν ἀπολαύει. χρησιμεύει γὰρ ἡ ἀνθρακιὰ τῷ χειμῶνι. καὶ τοὺς ἔχοντας, οἱ ἄλλοι περικάθηνται βουλόμενοι εἰ δύναι. Διεξιφίσω. ἐπολέμησας πρὸς τοὺς μήδους. τοῖς ξίφεσι κατ' αὐτῶν ἐχρήσω. Ἐν μαραθῶνι. τόπος τῆς ἀττικῆς εἰς ὃν ὥρμησαν δάτις καὶ ἀρτάβαζος, μηδικοὶ σατράπαι πεμφθέντες ὑπὸ δαρείου βασιλέως καταδουλώσασθαι τὴν ἑλλάδα. ἔνθα συμβαλόντες αὐτοῖς οἱ ἀθηναῖοι μιλτιάδου στρατηγοῦντος, μόνων πλαταιέων συμμαχησάντων αὐτοῖς χιλίοις ἀνδράσιν ὡς ἐξισωθῆναι τὴν τῶν ἀθηναίων δύναμιν τῇ περσικῇ, τοῖς ἕλλησι τῆς ἐλευθερίας αἴτιοι κατέστησαν μόνοι ἐξ ἁπάντων τῶν ἑλλήνων, τὸν πρῶτον τῶν περσῶν διαφθείραντες. Ἐγγλωττοτυπεῖν. τὴν γλῶσσαν φορεῖν τὰ κατορθώματα σεμνολογεῖν τὰ ἐκείνων καὶ ἀεὶ ἐπὶ γλώττης ἔχειν. Ῥαψάμενός σοι τουτὶ φέρω. παρεπιγραφή. δείκνυσι γὰρ αὐτῷ προσκεφάλαιον, ὅ φησι τῷ δήμῳ παρασκευάσαι ἵνα μὴ ἐπὶ ψιλοῖς τοῖς βάθροις ἐπικαθέζηται. ἀπαρχῆς τὴν περὶ τὸν δῆμον εὔνοιαν δεικνύς. Ἀλλ' ἐπαναίρου. ἐπανάστασο καὶ ἐπεγείρου. ἵνα ὑποθῶ τῷ καθίσματι τὸ προσκεφάλαιον.

ἴστ. λ. 174. 6.

Ἵνα μὴ τρίβῃς. ἵνα μὴ ἐντρίψῃς μηδὲ διαφθείρῃς τὴν ἐν σαλαμῖνι καμοῦσαν πυγὴν ἐν ναυμαχίᾳ. ἀντὶ δὲ μαραθῶνος, σαλαμῖνος μέμνηται. ὅπου ναυμαχία, πεζῶν περιεγένετο. ἐν μαραθῶνι δὲ πεζομαχία. κεῖται δὲ ἡ σαλαμίς, ὀλίγον πρὸ τῆς σαλαμῖνος πόλεως, ἱερὰ δήμητρος καὶ κόρης. πλήρης οὖσα κατορθωμάτων ἑλληνικῶν. καὶ γὰρ ἐν ταύτῃ, πολλὰς τῶν περσῶν ἀθηναῖοι κατεναυμάχησαν τριήρεις ὀλίγῳ ἀριθμῷ,

Μετὰ λυσικλέα. λυσικλῆς ὡς προβατοκάπηλος διεβάλλετο. κύννα δὲ καὶ σαλαβάκχα, τῶν θαυμαζομένων ἑταιρίδων. Μηδὲν δράσας. μηδὲν σπουδαῖον διαπραξάμενος. Ἄλλως. μηδὲν διαπραξάμενος ἔργον σπουδαῖον καὶ μέγα. φησὶ γὰρ, ὅτι ἐπὶ μεγάλοις κατορθώμασι, τὴν τιμὴν ἀθηναῖοι παρεῖχον τοῖς ἀγαθόν τι εὐεργετήσασιν αὐτούς. νῦν οὖν σκώπτει τὸν κλέωνα, δι' ὧν αὐτὸν ὁμολογοῦντα ποιεῖ, ὅτι μηδὲν διαπραξάμενος τοιοῦτον ἔργον, τῆς ἐν πρυτανείῳ σιτήσεως μετεῖχεν.

βέλτιστος ἀνὴρ μετὰ λυσικλέα καὶ κύνναν, καὶ σαλαβάκχαν.
ὡς οὐ νυνὶ μηδὲν δράσας, δειπνεῖν ἐν τῷ πρυτανείῳ.
εἰ δέ σε μισῶ καὶ μὴ περὶ σοῦ μάχομαι μόνος ἀντιβεβληκώς
ἀπολοίμην, καὶ διαπρισθείην διατμηθείην τε λέπαδνα.
ἀλ. κἄγωγ' ὦ δῆμ' εἰ μή σε φιλῶ καὶ μὴ στέργω κατατμηθεὶς
ἑψοίμην ἐν περικομματίοις. κεἰ μὴ τούτοισι πέποιθας.
ἐπὶ ταυτησὶ κατακνησθείην ἐν μυττωτῷ μετὰ τυροῦ.
καὶ τῇ κρεάγρᾳ τῶν ὀρχιπέδων ἑλκοίμην ἐς κεραμεικόν.
κλ. καὶ πῶς ἂν ἐμοῦ μᾶλλόν σε φιλῶν ὦ δῆμε γένοιτο πολίτης.
ὃς πρῶτα μὲν ἡνίκ' ἐβούλευόν σοι, χρήματα πλεῖστ' ἀπέδειξα

Ἀντιβεβληκώς. ἀντὶ τοῦ πρὸς βίαν ἀγωνιζόμενος. εἴρηται δὲ, ἀπὸ τῶν ἵππους ἐλαυνόντων. ἢ τῶν τοὺς σαγήνας ἑλκόντων. Ἄλλως. ἀνθιστάμενος τοῖς ἀδικεῖν σε προαιρουμένοις. Διαπρισθείην. εἰς μέρη λωροτομηθείην. Λέπαδνα. οἱ στηθιαῖοι λῶροι ἢ οἱ μασχαλιστῆρες τῶν ἵππων. τοῦτο δὲ, ὡς βυρσοπώλης εἶπεν. Ἄλλως. λεπτότατα καὶ εἰς πολλὰ μέρη διῃρημένα. ἀπὸ δὲ τοῦ τεμνομένου χείλους τῇ μεταφορᾷ τῶν ὀνομάτων ἐχρήσατο. παίζων ὁμοῦ καὶ εἰς τὴν τέχνην τοῦ κλέωνος διὰ τὰς κατατεμνομένας βύρσας. λείπει δὲ ἡ εἰς. εἰς ἵν' ἢ λέπαδνα. Εἰ μή σε φιλῶ. ἔπαιξε κἀνταῦθα τοιούτοις ὀνόμασι διὰ τὸ μάγειρον αὐτὸν εἶναι. πειρᾶται δὲ εἷς ἕκαστος αὐτῶν, μᾶλλον φαίνεσθαι τὸν δῆμον φιλῶν. ἵν' εὔνουν ἑαυτῷ κατασκευάσῃ. Ἑψοίμην ἐν περικομματίοις. τοῖς περικαρυκεύμασι τῶν κρεῶν. ἑψηθείην οὖν σὺν αὐτοῖς περικόμμασι. Κεἰ μὴ τούτοισιν. εἰ μὴ τούτοις ἀρκῇ τοῖς ῥήμασιν. καὶ εἰ μὴ πιστεύεις, φησὶ τούτῳ μου τῷ ὅρκῳ, ὀμοῦμαί σοι καὶ ἕτερον ὅρκον μείζονα. ἐπὶ ταυτησὶ δὲ εἶπε τὴν τράπεζαν δεικνὺς τὴν μαγειρικήν. Κατακνησθείην. κατὰ ξεσθείην εἰς ἰσχνὰ μέρη. καὶ ἀναλωθείην. καὶ τοῦτο δὲ ἀπὸ τῆς τέχνης παρείληφεν αὐτοῦ. ἐν μυττωτῷ δὲ εἶπε, παίζων ἴσως πρὸς τὸ ὁμηρικόν. ἔστι δὲ ὑπότριμμα διὰ σκορόδου κατασκευάζεται ἢ ἀπὸ τυροῦ καὶ σκορόδου καὶ ὠοῦ. καὶ ἐλαίου καὶ πράσου. Κρέαγρα. εἶδος ἐργαλείου μαγειρικοῦ χειρὶ παρεοικός. μόνον ἐγκεκαμμένον τοὺς δακτύλους. ἀνιμῶσι τὰ ἑψητὰ διὰ τὸ τὰς χεῖρας καίεσθαι. κρεάγρα δὲ εἴρηται, ἀπὸ τοῦ τὰ κρέα ἐπὶ τοῖς λέβησιν ἀγρεύειν καὶ ἀνασπᾶν. Ὀρχιπέδων. τοῦτο οὐχ ἁπλῶς, ἀλλ' ἀφ' ἱστορίας. ὡς καὶ αὐτὴν τὴν κόλασιν προσαγόντων τῶν ἀθηναίων. Εἰς κεραμεικόν. τόπος ἀθηναίων οἱ κεραμεικοί. θεῶν τὰ ἀγάλματα ἐκεῖσε ἱδρυμένα. Ἄλλως. δῆμος ἀττικῆς. δύο δὲ οἱ κεραμεικοὶ ἀθήνησιν. ὁ μὲν ἔνδον τῆς πόλεως. ὁ δὲ ἔξω. ἔνθα καὶ τοὺς ἐν πολέμῳ τελευτήσαντας ἐτάφον

δὴ κάλων κινεῖν. εἴληπται δὲ ἐπὶ τῶν πάσῃ προθυμίᾳ χρωμένων. παρῆκται δὲ ἀπὸ τῶν πλεόντων καὶ χειμαζομένων. καὶ τὰ σχοινία ῥιπτούντων οὖν τὰς ἀγκύρας ἐπὶ θάλασσαν. ὥστε τοῦ κλύδωνος ῥύσασθαι τὸ πλοῖον. ὁμοία δὲ τῇ πάντα λίθον κίνει. τοῦ γὰρ Μαρδονίου ἡττηθέντος ἐν Πλαταιαῖς. φήμη κατεῖχεν ὡς ἐν τῷ περιβόλῳ τῆς σκηνῆς θησαυρὸν κατορύξας ἀπολέλοιπε. πριάμενος οὖν Πολυκράτης ὁ Ἀθηναῖος τὸν τόπον πολὺν χρόνον ἐζήτει. ὡς δὲ οὐδὲν ἐπέραινε πέμψας εἰς Δελφοὺς

κἀκ τῶν ἀμηχάνων πόρους εὐμηχάνους πορίζων.
πρὸς ταῦθ' ὅπως ἔσει πολὺς καὶ λαμπρὸς ἐς τὸν ἄνδρα.
ἀλλὰ φυλάττου. καὶ πρὶν ἐκεῖνον προσκεῖσθαί σοι, πρότερος
τοὺς δελφῖνας μετεωρίζου. καὶ τὴν ἄκατον παραβάλλου. (συ
ΚΛ. τῇ μὲν δεσποίνῃ Ἀθηναίῃ τῇ τῆς πόλεως μεδεούσῃ,
εὔχομαι. εἰ μὲν περὶ τὸν δῆμον τὸν Ἀθηναίων γεγένημαι,

ἐπηρώτα πῶς ἂν εὕροι. τὸν δὲ Ἀπόλλωνα ἀποκρίνασθαί φασι πάντα λίθον κίνει. καὶ ἐν ἐπιγράμματι Καλλιμάχου πρὸς αὐτὸν ἔπος τόδε. δὴ γὰρ ἐπ' αὐτῷ ὡνὴρ τῶν Μουσέων πάντας ἔσεισε κάλως. φησὶν οὖν πάντα κίνει πράγματα. καὶ πάντα μηχανῶ κατὰ τοῦ Κλέωνος. ἵνα αὐτοῦ περιγένῃ. κάλων δὲ τὸ σχοινίον. τροπικῶς δέ, ὡς ἐπὶ τοῦ πλοίου λέγει. ἁπλοῦν σε δεῖ τὰ ἄρμενα, οἷον πάντα κινεῖν ὑπὲρ τοῦ περιγενέσθαι αὐτόν. θούριον τὸ λῆμα. ὁρμητικόν. ταχύ. πηδητικόν. πολεμικώτατον. καὶ θούριος Αἴας. καὶ θούριος Ἄρης ποικίλως δὲ ὁ ἐπὶ πολλὰ τὴν γνώμην ἄγων. Κἀκ τῶν ἀμηχάνων ἐκ τῶν ἀπόρων εὐπόρους ἀφορμάς. καὶ εὐαφόρμους. καὶ εὐσυνέτους. λόγων εὐπορίας. Ταῦτα δὲ παρὰ τὰ ἐν Προμηθεῖ Αἰσχύλου. δεινὸς γὰρ εὑρεῖν κἀξ ἀμηχάνων πόρους. Πρὸς ταῦθ' ὅπως ἔσει. διὰ ταῦτα φρόντιζε ὅπως ἐπεξέλθῃς καὶ λαμπρὸς δόξῃς εἶναι πλήρης λόγων καὶ φρονήματος. ἀλλὰ φυλάττου καὶ παρατήρει. Τοὺς δελφῖνας μετεωρίζου. δελφὶς ὄργανον ναυτικόν. μετεωρίζου δέ, τουτέστιν εἰς ὕψος αἶρε. ἐπεὶ καὶ τῶν θαλασσίων δελφίνων πηδήματα μετέωρα. μέμνηται δὲ καὶ Θουκυδίδης. Ἄλλως. δελφὶς ἐξάρτημα τῶν νεῶν. ἀγκυρώματα. Ἄλλως. σιδηροῦν κατασκεύασμα ἢ μολίβδινον εἰς δελφῖνα ἐσχηματισμένον. τοῦτο δὲ ἐκ τῆς κεραίας τοῦ ἱστοῦ αἱ ναυμαχοῦσαι ἠφίεσαν εἰς τὰς τῶν πολεμίων. καὶ κατεδύοντο. δηλοῦται δὲ ὑπὸ Φερεκράτους ἐν τοῖς Ἀγρίοις, ὅταν λέγῃ. ὁ δ' εἶδ' ἡ δελφίς, ἐστὶ μολιβδοῦς. δελφινοφόρος τε κόρδος διακόψει τοὔδαφος αὐτῶν ἐμπίπτων καὶ καταδύων. καὶ Θουκυδίδης. δελφινοφόρον εἴρηκε τὴν ναῦν ἐξηρτῆσθαι τὴν ἐξηρτημένον ἔχουσαν δελφῖνα τοιοῦτον. ἐν γὰρ τῇ ἑβδόμῃ ἔπειτά φησιν αὐτοὺς αἱ κεραῖαι ὑπὲρ τῶν εἴσπλων αἱ ἀπὸ τῶν ὁλκάδων δελφινοφόροι ἠρμέναι ἐκώλυον. Δελφίνιον δὲ ἱερὸν Ἀπόλλωνος Ἀθήνησιν οὕτω καλούμενον. ἔνθα ἦν τὸ ἐν Δελφινίῳ δικαστήριον. καὶ χωρίον ἐν Χίῳ. Τὴν ἄκατον παραβάλλου. ἑτοίμην ποίει ὡς εἴ τις κίνδυνος ἐκ τοῦ ἀνέμου αὐτὴν ἐμβησόμενος. Βέλτιστος ἀνήρ. εὔνους ἄριστος. ἐντεῦθεν δοκεῖ μοι καὶ Δημοσθένης ὠφεληθείς, τὸ προοίμιον εἰληφέναι ἐν τῷ περὶ τοῦ στεφάνου λόγῳ. φησὶ γὰρ οὕτω πρῶτον μὲν ὦ Ἀθηναῖοι τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις. ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει.

Διάκρινον· σύγκρινον· ἢ ἀντεξέτασον τὸ πρός σοι μᾶλλον εὔνους. Μὴ 'ν τῇ πυκνί· ὡς ἂν ἐν τῇ συνόδῳ ἀκούοντα δρῶντος τοῦ δήμου. ἡ δὲ πνὺξ τόπος ἐστίν, ἔνθα τὸ παλαιὸν ἐκκλησίαζον. Ἀλλ' εἰς τὸ πρόσθε χρὴ παρεῖναι. εἰς τὴν αὔριον χρὴ παρεῖναι ἅπαντας καὶ συνελθεῖν. γέροντα δὲ πάλιν εἶπεν ὅτι ἀρχαῖος ὁ τῶν ἀθηναίων δῆμος. δεξιώτατος δὲ φιλανθρωπότατος προσηνέστατος· ἀγαθός. Τῆς πέτρας δὲ τῆς πυκνός. ὀρεινὴ γὰρ ἦν ὡς ἔοικεν.

ἀλ. ναὶ ναὶ διάκρινον δῆτα. πλὴν μὴ 'ν τῇ πυκνί.
δη. οὐκ ἂν καθιζοίμην ἐν ἄλλῳ χωρίῳ
ἀλλ' εἰς τὸ πρόσθε χρὴ παρεῖν' εἰς τὴν πνύκα
ἀλ. οἴμοι κακοδαίμων· ὡς ἀπόλωλ'. ὁ γὰρ γέρων
οἴκοι μὲν, ἀνδρῶν ἐστὶ δεξιώτατος.
ὅταν δ' ἐπὶ ταυτησὶ κάθηται τῆς πέτρας,
κέχηνεν, ὥσπερ ἐμποδίζων ἰσχάδας.

ΣΤΡΟΦΗ.

Νῦν δεῖ σε πάντα δὴ κάλων ἐξιέναι σεαυτοῦ·
καὶ λῆμα θούριον φορεῖν· καὶ λόγους ἀφύκτους
ὅτοισι τόνδ' ὑπερβαλεῖ. ποικίλος γὰρ ἁνὴρ

Ἐμποδίζων ἰσχάδας· σῦκα. ὥσπερ φησίν, οἱ τὰς ἰσχάδας ἐσθίοντες ἀνεμποδίστως καὶ λάβρως αὐτὰς ἐσθίουσι, τὸν αὐτὸν τρόπον καὶ ὁ δῆμος, ἐπειδὰν ἐν τῇ πνυκὶ καθέζηται, κατακρίνει καὶ λιμώδει. καὶ ὥσπερ οἱ τὰς ἰσχάδας ἐσθίοντες οὐκ ἂν μεταδοῖεν ἑτέρῳ τινί, οὕτως οὐδὲ ὁ δῆμος ἐκεῖσε δικάζων, οὐκ ἂν φιλανθρωπεύσαιτο ῥᾳδίως. Ἄλλως. ἐπειδὴ εἴωθε τὰ παιδία παίζοντα, ἀναβάλλειν τὰς ἰσχάδας. καὶ ἐν τῷ στόματι αὐτῶν δέχεσθαι. Ἀρίσταρχος τὸ ἐμποδίζον, ἀντὶ τοῦ μασώμενος· ἢ ἐμφορούμενος. ἔνιοι δέ, ἀπὸ τοῦ σῦκα λαμβάνοντα χάσκειν. οἱ δέ, παιδιάν τινα. Ἄλλως. Σύμμαχος οὕτως· ἀπὸ τῶν μελισσῶν ἡ μεταφορά. εἰώθασι γὰρ οἱ μελισσουργοὶ ἰσχάδας συγκεκομμένας ῥίπτειν ταῖς μελίσσαις, ἐπὰν διὰ κρύος ἢ χειμῶνα, ἐξιέναι κατοκνῶσιν ἐκ τῶν σμβλων. ἵνα ἔνδοθεν ἐσθίωσι. κεχήνασι δὲ οἱ μασώμενοι. Ἀρίσταρχος δέ, ὅτι μασώμενοι τὰς ἰσχάδας ταῖς μελίτταις τρίβουσιν ἃ τοῖς παισὶ τρίβουσιν.

Ἄλλως. ἐπειδὴ οἱ παῖδες παρατιθέντες ταῖς συκαῖς βρόχον, εἰώθασιν ἐσθίειν ἐπιθυμοῦντες τῶν σύκων. εἶτα ὑπὸ τοῦ πάνυ γλίχεσθαι κεχήνασιν. ἢ οὕτως ὅτι εἴωθε τὰ παιδία παίζοντα ἄνω ῥίπτειν τὰς ἰσχάδας ἢ τὰς τῶν βοτρύων ῥᾶγας. καὶ τῷ στόματι αὐτὰς καταπιούσας δέχεσθαι χαίνοντα. ἢ ὅτι τὰ ἐπὶ ταῖς συκαῖς σῦκα διὰ καλάμων ἀποσπῶντα, κεχηνότα ταῦτα ὑποδέχεται τῷ στόματι. Νῦν δεῖ σε. κορωνὶς καὶ εἴσθεσις χοροῦ ἐπῳδικὴ μὲν διὰ τὸ μετὰ τὴν κορωνίδα κεῖσθαι. μεσῳδικὴ δὲ διὰ τὸ ἑξῆς εἰσάγεσθαι ἑτέραν διπλῆν ἐκ στίχων πέντε. ὧν οἱ μὲν τρεῖς ἀσυνάρτητοι, ἐξ ἰαμβικοῦ διμέτρου ἀκαταλήκτου τοῦ καλουμένου ἀνακρεοντείου καὶ τροχαϊκοῦ ἰθυφαλικοῦ τοῦ καλουμένου ἀρχιλοχίου. καλεῖται δὲ ταῦτα ἀσυνάρτητα εὐριπίδεια. ἔστι γὰρ ὅμοια τῷ εὐριπίδου ἕως, ἡνίχ' ὑπὸ τῆς ἐξέλαμψεν ἀστήρ. οἱ δὲ ἑξῆς δύο ἰαμβικοὶ τετράμετροι καταληκτικοί. εἶτα ἐν ἐκθέσει ἐστὶ τὸ ἔθιμον· διπλῆ ἀνάπαιστος τετράμετρος καταληκτική· ὑφ' ὃ παράγραφος διπλῆ. καὶ ἑξῆς στίχοι ὁμοίως ξγ'. ἐφ' ὧν τῷ τέλει κορωνίς. Κάλων. παροιμία. πάντα

δὴ κάλων

ΚΛ. ἔξελθ' ἵν' εἰδῇς οἷα περ γ' ὑβρίζομαι.
ΔΗ. τίς ὦ Παφλαγὼν ἀδικεῖ σε. ΚΛ. διὰ σὲ τύπτομαι
ὑπὸ τουτουὶ καὶ τῶν νεανίσκων. ΔΗ. τιή
ΚΛ. ὁτιὴ φιλῶ σ' ὦ Δῆμ' ἐραστής τ' εἰμὶ σός.
ΔΗ. σὺ δ' εἶ τίς ἐτεόν. ΑΛ. ἀντεραστὴς τουτουΐ
ἐρῶν πάλαι σου βουλόμενός τέ σ' εὖ ποιεῖν.
ἄλλοι τε πολλοὶ καὶ καλοί τε κἀγαθοὶ
ἀλλ' οὐχ οἷοί τ' ἐσμὲν διὰ τουτονί. σὺ γὰρ
ὅμοιος εἶ τοῖς παισὶ τοῖς ἐρωμένοις.
τοὺς μὲν καλούς τε κἀγαθοὺς οὐ προσδέχει
σαυτὸν δὲ λυχνοπώλῃσι καὶ νευρορράφοις
καὶ σκυτοτόμοις καὶ βυρσοπώλῃσιν δίδως.
ΚΛ. εὖ γὰρ ποιῶ τὸν δῆμον. ΑΛ. εἰπέ νυν τί δρῶν.
ΚΛ. ὅτι τοὺς στρατηγοὺς ὑποδραμὼν τοὺς ἐκ Πύλου,
πλεύσας ἐκεῖσε τοὺς Λάκωνας ἤγαγον.
ΑΛ. ἐγὼ δὲ περιπατῶν γ' ἀπ' ἐργαστηρίου
ἕψοντος ἑτέρου τὴν χύτραν ὑφειλόμην.
ΚΛ. καὶ μὴν ποιήσας αὐτίκα μάλ' ἐκκλησίαν,
ὦ Δῆμ' ἵν' εἰδῇς ὁπότερος νῷν ἐστί σοι
εὐνούστερος, διάκρινον, ἵν' ἐκεῖνον φιλῇς.

τοὺς ἐκάλουν. ἦγον δὲ ἑορτὴν ὅτι ἐπὶ τῇ ἀποτροπῇ λοιμῶν. ᾖδον δὲ παῖδες. ὅθεν εἰσέτι καὶ νῦν ἐπειδὰν αἰτῶσι τὸν κλάδον, λέγουσι ταῦτα. εἰρεσιώνη σῦκα φέρει καὶ πίονας ἄρτους· καὶ μέλι ἐν κοτύλῃ καὶ ἔλαιον αἰεψήσασθαι. καὶ κύλικ' εὔζωρον, ὡς ἂν μεθύουσα καθεύδῃ. μετὰ δὲ τὴν ἑορτὴν ἔξω τῶν ἀγρῶν τιθέασι παρ' αὐτὰς τὰς θύρας. Κράτης δὲ ὁ Ἀθηναῖος ἐν τῷ περὶ τῶν Ἀθήνησι θυσιῶν ἀφορίας ποτὲ καταχούσης τὴν πόλιν, θαλλόν φησι καταστέψαντας ἐρίοις ἱκετηρίαν ἀναθεῖναι τῷ Ἀπόλλωνι. Ἄλλως. Πυανεψίοις καὶ Θαργηλίοις Ἡλίῳ καὶ Ὥραις ἑορτάζουσιν Ἀθηναῖοι. φέρουσι δὲ οἱ παῖδες τούς τε θαλλούς. ἐρίοις περιειλημμένον ὅθεν εἰρεσιῶναι λέγονται. καὶ τούτους πρὸ τῶν θυρῶν κρεμῶσιν. ἐξήρτηντο δὲ τῶν θαλλῶν αἱ ὧραι. τὸ δὲ κατεπαράξατε εἶπεν ἐπειδὴ ἀλλήλους ὤθουν. Σὺ δ', εἶ τίς. τὸν ἀλλαντοπώλη λέγει. Ἀλλ' οὐχ οἷοί τ' ἐσμέν. ἀλλ' οὐ δυνάμεθα προσιέναι οὐδ' εὖ ποιεῖν. κωλυόμενοί φησιν ὑπὸ τοῦ Κλέωνος. Λυχνοπώλησιν. διὰ Ὑπέρβολον. καὶ αὐτὸς γὰρ δημαγωγὸς ἦν λυχνοποιὸς ὤν. νευρορράφοις δέ φησι, διὰ τὸν προβατοπώλην Λυσικλέα. Καὶ σκυτοτόμοις. Κλέωνι καὶ Λυσικλεῖ. ὀνειδίζει δὲ πάλιν Κλέωνι, ἀφ' οἵας τέχνης ἄγει καὶ φέρει τὴν πόλιν. Δίδως. παρέχεις ἢ ἐπιδίδως σεαυτόν. Ὑποδραμὼν τῶν ἐκ Πύλου. καταδραμὼν τοὺς ἐν Πύλῳ στρατηγούς. ὅτι συνεχῶς μέμνηται τοῦ ἐν Πύλῳ κατορθώματος. Ἄλλως. ὑφαρπάσας διὰ τὴν νίκην τὴν ἐν Πύλῳ. ἐν σχήματι δὲ εἶπεν, ἀντὶ τοὺς στρατηγούς. Ἀπ' ἐργαστηρίου. ἵνα μὴ δὲ ἐν τούτοις ἀπολείπεσθαι δοκῇ τοῦ Κλέωνος ὁ ἀλλαντοπώλης, ἔδοξέ πως ὅμοιον ἐξευρηκέναι πρᾶγμα τοῖς ἐκείνῳ πεπραγμένοις. οὐ γὰρ Κλέων φησὶ μόνος, ἀλλοτρίαν νίκην ὑφήρπασεν, ἀλλὰ καὶ οὗτος ἐκ τῆς πόλεως μέσης ἔκ τινος ἐργαστηρίου φησὶ χύτραν ὑφειλόμην, ἄλλου κατασκευάσαντος ἑαυτῷ τροφὴν ὡς κἀκεῖνος τὸ ἀλλότριον κατόρθωμα ἴδιον ἐποιήσατο.

παιδία ἐσθίειν, λαμβάνουσαι καὶ διαμασώμεναι, οὕτω μέν τοι κατεργάσασθαι τὰ ἐδέσματα ἐξαίρουσαι τοῦ ἰδίου στόματος. ἐντιθέασι τοῖς τῶν παιδίων. εἶτα συμβαίνει τὰς ἀγνώμονας, ὀλίγα μὲν διδόναι τοῖς παιδίοις· αὐτὰς δὲ κατεσθίειν τὰ πλείονα. κατὰ τὰς τίτθας οὖν φησὶν ὁ κλέων ὀλίγα τῷ δήμῳ χαριζόμενος, αὐτὸς πλείω κερδαίνει καὶ λαμβάνει. Κατέσπακας. ἰδίως ἐπὶ τῶν θηλαζόντων βρεφῶν κατασπᾶν λέγουσι καὶ ἐφέλκειν τὸ γάλα. τῷ ὀνόματι οὖν ἀπὸ τῶν προειρημένων ἐχρήσατο. λέγει δὲ

ὅτι τὸ πλεῖον κερδαίνεις		αὐτὸς δ' ἐκείνου τριτημόριον κατέσπακας.
αὐτοὺς καὶ κατεσθίεις.	κλ.	καὶ νὴ δί' ὑπό γε δεξιότητος τῆς ἐμῆς,
εὐρὺν δὲ καὶ στενὸν, πλού-		δύναμαι ποιεῖν τὸν δῆμον εὐρὺν καὶ στενόν.
σιον καὶ πένητα. Σο-	ἀλ.	χὠ πρωκτὸς οὑμὸς, τουτὶ σοφίζεται.
φίζετ. τεχνάζεται ποιεῖ	κλ.	οὐκ ὦ γαθ' ἐν βουλῇ με δόξεις καθυβρίσαι.
τουτέστι ποτὲ μὲν πλατύ-		ἴωμεν εἰς τὸν δῆμον. ἀλ. οὐδὲν κωλύει.
νεται. ποτὲ δὲ συστέλλε-		ἰδοὺ βάδιζε. μηδὲν ἡμᾶς ἰσχέτω.
ται. ἰστέον δὲ ὅτι γελοίου	κλ.	ὦ δῆμε. δεῦρ' ἔξελθε. νὴ δί' ὦ πάτερ
χάριν παρέλαβε τοῦτο	ἀλ.	ἔξελθε δῆτ' ὦ δημίδιον φίλτατον.
ἐπὶ δὲ τῷ καθυβρίσαι,	δη.	τίνες οἱ βοῶντες. οὐκ ἄπιτ' ἀπὸ τῆς θύρας;
τινὲς τιθέασι δύο διπλᾶς		τὴν εἰρεσιώνην μου κατεσπαράξατε.
ἴωμεν εἰς τὸν δῆμον. εἰς τὸ		

βουλευτήριον· ἔδοξε γὰρ αὐτὸν περιδεδοικέναι ἐν τῇ βουλῇ. οὐ καταφρονήσεις δέ μου φησὶν ἐπὶ τοῦ δήμου ὥσπερ ἐν τῷ βουλευτηρίῳ. Μηδὲν ἡμᾶς ἰσχέτω. μηδὲν ἡμᾶς ὑπεχέτω. μηδὲν ἐμπόδιον ἔστω. Ὦ δῆμε δεῦρ' ἔξελθε. ὁ κλέων ἐστὶν ὁ λέγων. διὰ δὲ τῆς οἰκειότητος τοῦ ὀνόματος. τὸν δῆμον κολακεύει. καὶ προσεταιρίζεται. τὸ πάτερ προσφωνῶν αὐτόν. ἵνα κἀκεῖνος ὡς περὶ παιδὸς φρονῇ. εἶτα ὁ ἀλλαντοπώλης ἔξελθε δῆτα ὦ δημίδιον φίλτατον, καὶ αὐτὸς ἀντικολακεύων φησί. Τὴν εἰρεσιώνην μου κατεσπαράξατε. κλάδος ἐλαίας ἐρίοις περιπεπλεγμένοι, ἀναδεδεμένος. ἐξήρτητο δὲ αὐτοῦ, ὡραῖα πάντα ἀκρόδρυα. πρὸ δὲ τῶν θυρῶν ἱστᾶσιν αὐτὴν ἔτι καὶ νῦν. ποιοῦσι δὲ τοῦτο κατὰ παλαιόν τι χρηστήριον. οἱ μὲν γάρ φασιν. ὅτι λιμοῦ. οἱ δὲ, ὅτι καὶ λοιμοῦ τὴν πᾶσαν κατασχόντος οἰκουμένην, χρωμένων τίνα τρόπον παύσαιτο τὸ δεινὸν, τὴν λύσιν ταύτην ὁ πύθιος ἐμαντεύσατο. εἰ προηρόσιον ὑπὲρ ἁπάντων ἀθηναίων θύσειαν. θυσάντων οὖν τῶν ἀθηναίων τὸ δεινὸν ἐπαύσατο. καὶ οὕτως ὥσπερ χαριστήριον οἱ πανταχόθεν τοῖς ἀθηναίοις ἐξέπεμπον τῶν καρπῶν ἁπάντων τὰς ἀπαρχάς. ὅτι δὴ καὶ βάριν φασὶ τὸν ὑπερβόρειον ἐλθόντα θεωρὸν εἰς τὴν ἑλλάδα, ἀπόλλωνι ἐνθεῦσαι. καὶ οὕτω συγγράψαι τοὺς χρησμοὺς τοὺς νῦν προσαγορευομένους βάκιδας. τινὲς δὲ τὸν θησέα φασὶ καθ' ὃν καιρὸν εἰς κρήτην ἔπλει προσχόντα δήλῳ διὰ χειμῶνα, εὔξασθαι τῷ ἀπόλλωνι καταστέψεσθαι κλάδοις ἐλαίας ὅταν σωθῇ τὸν μινώταυρον ἀποκτείνας καὶ θυσιάσειν. καὶ τὴν ἱκετηρίαν ταύτην καταστέψαντα ἐψῆσαι χύτρας ἀθάρης καὶ ἔτνους. καὶ βωμὸν ἱδρύσασθαι διὸ καὶ πυανέψια δοκεῖ λέγεσθαι οἷον κυαμέψια. τοὺς γὰρ πρότερον τοὺς κυάμους, πυά-

Οἷον ὄψομαί σ' ἐγώ. ἀντὶ τοῦ οἵως. Ὅμηρος, οἷον ἀΐξας, ἄφαρ οἴχεται. ἀντὶ τοῦ οἵως. ὁ δὲ νοῦς. οἷον ὄψομαί σε ἀπὸ τῆς τιμῆς ἄτιμον γενόμενον. ἀπειλεῖ δὲ αὐτῷ, ὡς ἀφαιρησόμενος αὐτὸν τὴν προεδρίαν. τοῦτο δὲ, ὡς ἀεὶ τοῦ Κλέωνος θρυλλοῦντος τὰ περὶ Πύλον καὶ σφακτηρίαν, καὶ τοὺς αἰχμαλώτους. Ἐπὶ τῷ, φάγοις ἂν ἥδιστα. ἀντὶ τοῦ εἰπεῖν ἐπ' ἰχθύσι φάγοις ἂν, οἷον μετὰ ἰχθύων. ἢ ἀντὶ τοῦ εἰπεῖν ἐπὶ πραπιδίῳ, πικρῶς εἶπεν ἐπὶ βαλλαντίῳ. ἵνα διαβάλῃ ὡς κλέπτην καὶ τῶν δημοσίων ἅρπαγα. ἐν τῷ ξύλῳ δὲ ἐν τῇ ποδοκάκῃ ὡς ἔρηται.

ἀλ. ἰδοὺ προεδρίαν. οἷον ὄψομαί σ' ἐγώ.
ἐκ τῆς προεδρίας ἔσχατον θεώμενον.
κλ. ἐν τῷ ξύλῳ δήσω σε νὴ τὸν οὐρανόν.
ἀλ. ὡς ὀξύθυμος. φέρε τί σοι δῶ καταφαγεῖν;
ἐπὶ τῷ, φάγοις ἥδιστ' ἄν, ἐπὶ βαλλαντίῳ;
κλ. ἐξαρπάσομαί σου τοῖς ὄνυξι τἄντερα.
ἀλ. ἀπονυχιῶ σου τἀν πρυτανείῳ σιτία.
κλ. ἕλξω σε πρὸς τὸν δῆμον ἵνα δῷς μοι δίκην.
ἀλ. κἀγὼ δέ σ' ἕλξω καὶ διαβαλῶ πλείονα.
κλ. ἀλλ' ὦ πόνηρε σοὶ μὲν οὐδὲν πείθεται.
ἐγὼ δ' ἐκείνου καταγελῶ γ' ὅσον θέλω.
ἀλ. ὡς σφόδρα σὺ τὸν δῆμον σεαυτοῦ νενόμικας.
κλ. ἐπίσταμαι γὰρ αὐτὸν οἷς ψωμίζεται.
ἀλ. καθ' ὥσπερ αἱ τίτθαι γε σιτίζεις κακῶς.
μασώμενος γὰρ, τῷ μὲν, ὀλίγον ἐντιθεὶς

Ἐξαρπάσομαί σου. ἐξοίσω. διασπαράξω τοῖς ὄνυξιν. ἀπὸ τοῦ χρησμοῦ δὲ ἔπαιξε. βυρσαίετον γὰρ ἐκεῖ προσεῖπε τὸν Κλέωνα ὁ δὲ ἀετὸς, τοῖς ὄνυξίν ἐστιν ἄλκιμος. Ἀπονυχιῶ σου. πάλιν ὡς πρὸς τὸ μαγειρεῖον ἀπέσκωψε. διασπαράξας γὰρ φησὶν, ἐξελεῖς σου τὰ ἔντερα. Τἀν πρυτανείῳ σιτία, ἀφαιρήσομαί σου φησὶ τὴν σίτησιν ἀποφράξω. ἀποκλείσω. ἀπὸ μεταφορᾶς τῶν ὀνυχιζομένων. Ἕλξω σε πρὸς τὸν δῆμον. ἡττήθη γὰρ ἐν τῇ βουλῇ. παρεπιγραφὴ δὲ ποιεῖ γὰρ ὅπερ εἴρηκεν καὶ ἅμα τῷ λόγῳ εἷλκεν αὐτόν. Καὶ διαβαλῶ γε. ἔφαμεν πολλάκις ὅτι τῷ διαβάλλειν μάλιστα ἴσχυεν ὁ Κλέων. εἰπὼν δὲ ὅτι σου πλείονα διαβαλῶ, τὸ κἀκεῖνον. εἰ καὶ ἧττον, ὅμως γοῦν διαβάλλειν ἐνεδείξατο. Καταγελῶ γ' ὅσον θέλω. πᾶσαν ἔχω τοῦ πείθειν ἐξουσίαν. καὶ ὥσπερ ἐν τρυφῶ τῷ δήμῳ. Σεαυτοῦ νενόμικας οἰκείως ἔχειν πρὸς σὲ ὑπολαμβάνεις. Οἷς ψωμίζεται. οἷς ἀπατᾶται. οἷς χαίρει. τὸ δὲ ψωμίζεσθαι, ἐπὶ τῶν μικρῶν παιδίων λέγεται. ἃ ὑπόκειται τῇ τῶν διδόντων ἐξουσίᾳ. Ὥσπερ αἱ τίτθαι. τίτθας καλοῦμεν τὰς τιτθίοις καὶ τῷ γάλακτι τρεφούσας τὰ παιδία. ἐπείθεν οὖν ἀπὸ τοῦ ψωμίζειν ἀπεκρίνατο λέγων. ὅτι κατὰ τὰς τίτθας καὶ σὺ τὸν δῆμον κακῶς τρέφεις τίτθας οὖν τὰς τροφούς. τὰς μάμμας. ὥς τι, ὅσα δὲ ἀργίᾳ μεμάρανται καὶ ῥαθυμίᾳ διέφθαρται μειράκια, τὰς τίτθας ἀπομύττειν καὶ ταῖς γυναιξὶ λούειν ἀποπέμψατε. καὶ θρυπτόμενα παρὰ ταύταις, στωμύλλεσθαι καὶ λαλεῖν περὶ κρόκης καὶ στημόνων ἐάσωμεν. Μασώμενος γὰρ, ἐσθίων. ἢ διαμασώμενος. ἐπέμεινε δὲ τῇ ὁμοιώσει τὴν ῥᾳδιουργίαν ἐπεξηγούμενος τῶν τροφῶν ἀπὸ τοῦ συμβεβηκότος. αὗται γὰρ διὰ τὸ μὴ δύνασθαι πάσας τὰς τροφὰς δι' ὁλοκλήρου τὰ

Εἰ μή σ' ἀπολέσαιμι. οἷον διαμαρτήσαιμί φησι τῆς ἐλπίδος, εἴ σε μὴ ἀπολέσαιμι, εἴ τι τῶν ἐμῶν ὑποκρίνομαι ψευσμάτων. ἐπειδὴ ψευδόμενος καὶ ἀνθυπισχνούμενος, ἔδοξεν αὐτὸν ὁ ἀλλαντοπώλης παρευδοκιμεῖν. Ἄλλως. εἴ τι τῶν ἐνόντων μοι ψευδῶν σώζεται. εἰ μὴ ἀπολώλεκα τὸ ψεύδεσθαι διαμάρτοιμι καὶ διαπέσοιμι, πανταχοῦ, εἰ μή σε ἐξ ἀνθρώπων ποιήσαιμι. διαπέσοιμι. οἷον μηκέτι εἴην συκοφάντης.

Ἧσθην ἀπειλαῖς. εὐφράνθην σου ταῖς ἀπειλαῖς. τουτέστι καταφρονῶ σου τῶν ἀπειλῶν καὶ παρ' οὐδὲν αὐτὰς τίθεμαι. Ψολοκομπίαις. αἰθαλοκομπίαις. μεγαλοδοξίαις. ψευδολογίαις. μεγαληγορίαις. καπνοῖς. ἀπὸ δὲ τῶν προειρημένων ἔπαιξεν ἀπὸ τοῦ βροντᾶν καὶ ταράττειν τὴν γῆν καὶ τὴν θάλασσαν. καὶ κρημνοὺς ἐρείδειν ἃ μόνου τοῦ Διός εἰσιν ἔργα. ἐκ τῶν τοιούτων οὖν ἡ προσηγορία διὰ τὸ κεραυνῷ χρῆσθαι δοκεῖν. τῶν γὰρ κεραυνῶν. οἱ μέν, καταιβάται. οἱ δέ, ψολόεντες. οἱ δὲ ἀργῆτες καλοῦνται ὡς Ὅμηρος ὠνόμασεν.

ΚΛ. Εἰ μή σ' ἀπολέσαιμ', εἴ τι τῶν αὐτῶν ἐμοὶ
ψευδῶν ἐνείη, διαπέσοιμι πανταχῇ.
ΑΛ. ἥσθην ἀπειλαῖς. ἐγέλασα ψολοκομπίαις.
ἀπεπυδάρισα μόθωνα, περιεκόκκυσα.
ΚΛ. οὔτοι μὰ τὴν Δήμητρ' ἐὰν μή σ' ἐκφάγω
ἐκ τῆσδε τῆς γῆς, οὐδέποτε βιώσομαι.
ΑΛ. ἢν μὴ 'κφάγῃς, ἐγὼ δέ σ' ἢν μὴ 'κπίω,
κἀπεκροφήσας, αὐτὸς ἐπιδιαρραγῶ.
ΚΛ. ἀπολῶ σε νὴ τὴν προεδρίαν τὴν ἐκ Πύλου.

Ἀπεπυδάρισα. πυδαρίζειν ἐπὶ τοῦ ἅλλεσθαι. ἤτοι ποδαρίζειν καὶ πιδαρίζειν. ὡς ὄνομα καὶ ὄνυμα αἰολικῶς. ἢ πυγαρίζειν παρὰ τὴν πυγήν. καὶ τροπῇ πυδαρίζειν. ὡς γνόφος καὶ δνόφος. δηλοῖ δὲ τὸ λακτίζειν. ὡς τι ἀπεπυδάρισα μόθωνα. περιεκόκκυσα παρὰ τοὺς πόδας. Μόθωνα. τὸν εἰρωνικὸν καὶ δόλιον. καὶ πανουργίᾳ προσφερόμενόν τινι. Ἄλλως. μόθων φορτικὸν ὀρχήσεως εἶδος. ἔλεγον δὲ τοὺς φορτικοὺς μόθωνας. Περιεκόκκυσα. περιεκορδάκισα. ἔστι δὲ εἶδος ὀρχήσεως. τινὲς δὲ τὸ μὲν ἀπεπυδάρισα, ἀπέπαρδον. ἄλλοι δέ, ἀπεσκίρτησα καὶ ὠρχησάμην. τὸ δὲ περιεκόκκυσα, περιερόγχασα, καὶ ὑπερεῖδον καὶ κατεφρόνησα.

Οὔτοι μὰ τὴν Δήμητρα. πάτριος τῶν Ἀθηναίων ἡ Δημήτηρ. διὰ τὸ ξενισθῆναι παρὰ Κελεῷ καὶ στῆναι τῆς πλάνης εὑροῦσαν τὴν κόρην ἐκ τῶν ὑποθηκῶν τῶν ἐκείνου. καὶ τῆς φιλοφροσύνης, καὶ τῆς ξενίας ἀμοιβὴν ἀποδοῦναι τὰς ἡμέρους αὐτῷ τροφάς. καὶ ἅρμα δρακόντων. ἐφ' ᾧ τε ἐπὶ πᾶσαν διασπεῖραι τὴν οἰκουμένην.

Ἐκφάγω. ἐὰν μή σε καταναλώσω καὶ ἐκβάλω ἐκ ταύτης τῆς γῆς καὶ διώξω. τὸ δὲ ἐκφάγω εἶπε διὰ τὸν τῆς Δήμητρος ὅρκον. Ἐκπίω. ἑξῆς πρὸς τὸ ὑπ' ἐκείνου ῥηθὲν ἀποκρίνεται. τῷ ἐκφαγεῖν ἀντιθεὶς τὸ ἐκπιεῖν. ὡς γὰρ ἡ Δημήτηρ τὰς τροφάς, οὕτως, καὶ Διόνυσος Ἰκαρίῳ φιλοξενίας ἔδωκε δῶρον. ὅτι φιλοφρόνως αὐτὸν ὑπεδέξατο, τὴν ὕβριν φεύγοντα τοῦ Πενθέως. Κἀπεκροφήσας. πλέον τι προσέθηκεν ὑπερβολῇ τῆς ἀπειλῆς. τῷ ἐκπίω ἐπενεγκὼν τὸ ἐκροφήσας.

τὸ καὶ ὑπερεπήδων. τουτέστι δρομαῖοι ὑπήντων. διὰ δὲ τῆς σπουδῆς τὴν λιχνείαν ἐνδείκνυσιν αὐτῶν. Τοὺς δρυφάκτους. τὰ νῦν ταυλώματα καλούμενα. τὰ τῶν οἰκοδομημάτων ἐξέχοντα ξύλα. ἢ τὰ κάγκελα. δρυόφακτός τις ἄν. οἱ γὰρ ἀρχαῖοι πᾶν δένδρον δρῦν ἐκάλουν. ὥσπερ καὶ ἀκρόδρυα τὰ ἄκρα τῶν δένδρων. τουτέστιν ὁ ἐκ δρυῶν φραγμός. Γήτεια εἶδος λαχάνου ἀγρίου. παρεοικὸς τοῖς λευκοῖς πράσοις. καὶ τοῦτο ἥδυσμα ὡς τὸ ἀμπελόπρασον. Ἐδίδουν ἡδύσματα. ἀρτύματά φησιν αὐτοῖς ἐχαριζόμην. οἰκείως δὲ ὡς μάγειρος ἐδίδουν τὰ ἀρτύματα. Ὑπερεπήνουν. γράφεται καὶ ὑπερεπήνουν με καὶ τὴν φιλοτιμίαν ἐθαύμαζον τὴν ἐμήν. διασύρει δὲ αὐτοὺς ὡς μικροθαυμάστους καὶ ταχέως ἀπατωμένους ὀλίγῳ λήμματι. Ὑπερεπύππαζον. πύππαξ ἐπεφώνουν. ὃ ἡμεῖς ποππύζειν λέγομεν. Ἀναλαβών. συναρπάσας. κουφίσας. μετεωρίσας. τουτέστιν εἰς ἐμαυτὸν τῇ εὐνοίᾳ πείσας ἕρπειν. ἱκανῶς δὲ ἐκωμῴδησε τοὺς ἀθηναίους. κορίαννα δὲ εἶδος βοτάνης τὸ νῦν κολίανδρον.

εἶθ' ὑπερεπήδων τοὺς δρυφάκτους πανταχοῦ.
ἐγὼ δὲ τὰ κορίανν' ἐπριάμην ὑποδραμών.
ἅπαντα, τά, τε γήτει' ὅσ' ἦν ἐν τῇ ἀγορᾷ.
ἔπειτα ταῖς ἀφύαις ἐδίδουν ἡδύσματα.
ἀπροφάσιστ' αὐτοῖς προῖκα κἀχαριζόμην.
οἱ δ' ὑπερεπήνουν ὑπερεπύππαζόν τέ με.
ἅπαντες οὕτως· ὥστε τὴν βουλὴν ὅλην
ὀβολοῦ κοριάννοις ἀναλαβὼν ἐλήλυθα.

ΑΝΤΙΣΤΡΟΦΗ.

πάντα δὴ πέπραχας οἷα χρὴ τὸν εὐτυχοῦντα.
ηὗρε δ' ὁ πανοῦργος ἕτερον, πολὺ πανουργίαις
μείζοσι κεκασμένον
καὶ δόλοισι ποικίλοις.
ῥήμασί θ' αἱμύλοις.
ἀλλ' ὅπως ἀγωνιεῖ φρόντιζε τἀπί-
λοιπ' ἄριστα. ξυμμάχους δ' ἡμᾶς ἔχων εὔ-
νους, ἐπίστασαι πάλαι.
ἀλ. καὶ μὴν ὁ παφλαγὼν οὑτοσὶ προσέρχεται.
ὠθῶν κολόκυμα. καὶ ταράττων καὶ κυκῶν
ὡς δὴ καταπιόμενός με. μορμὼ τοῦ θράσους.

Ὁ πανοῦργος. ὁ κλέων τὸν ἀλλαντοπώλην. κεκασμένον ἢ κεκοσμημένον. ποικίλοις δὲ πολλοῖς καὶ διαφόροις. αἱμυλίοις δὲ τοῖς προσηνέσι καὶ ἐπαγωγοῖς ἢ ἀπατητικοῖς. Καὶ μὴν ὁ παφλαγών. διπλῆ καὶ εἴσθεσις εἰς ἰάμβους τριμέτρους ἀκαταλήκτους ξε΄. ἐπὶ τῷ τέλει κορωνίς. Κολόκυμα. τὸ κολοβὸν κῦμα, ὅπερ τυφλὸν διὰ τὸ μὴ καχλάζειν λέγουσιν. ἢ τὸ κυλίον καὶ ἐπιφέρον. ὑψηλὸν κῦμα καὶ μέγα ἀπὸ τῆς κορυφοῦσθαι κυλιόμενον. τοῦτο δὲ ὡς πρὸς ἄνεμον. Ἄλλως. ὅπερ τινὲς κωφὸν καλοῦσι τὸ μὴ ἐπηχοῦν μηδὲ καχλάζον. πρὸς τὴν προειρημένην δὲ ἀπειλὴν ὑπὸ τοῦ κλέωνος ὅτι τὴν γῆν ταράξει καὶ τὴν θάλατταν, ἀποτείνεται διασύρων αὐτόν. ὅτι μηδὲν ἔπραξεν ὧν προαπείλησεν. ἀλλ' ἧττον ἔχων ἀπῆλθε τοῦ ἀγορακρίτου. Ὡς δὴ καταπιόμενός με. ὡς ἐπικαλύψων με τῷ κύματι ἀθρόως μέλλων καταπιεῖν. Μορμὼ τοῦ θράσους. τὸ μορμολύκειον ἣν λέγουσι λάμιαν. μορμολύκεια δὲ ἔλεγον τὰ φοβερά. λείπει δὲ τὸ ὡς. ὡς μορμώ. ἢ ἐπιρρηματικῶς ἐξενήνεκται. ὡς εἰ ἔλεγε φεῦ τοῦ θράσους.

ταῖς δέ, ὑποπτεύσας ἢ κατανοήσας τό τι καὶ προϊδών. Ἐπὶ συμφοραῖς ἀγαθαῖς. ἐπὶ ἀγαθοῖς πράγμασι. μέσον δὲ ὄνομα, ἡ συμφορά. δηλοῖ γὰρ καὶ τὸ καλὸν καὶ τὸ κακόν, ἐκ τῆς προσθήκης τοῦ ἐπιφερομένου. ὡς παρ' οὖν καὶ νῦν προσθεὶς ἐπ' ἀγαθαῖσιν, οὐκ ἀφῆκεν ἐπὶ τοῦ χείρονος νοεῖσθαι. Τοῖς βολίτοις ἡττημένος. ταῖς τῶν βοῶν ἐπαγγελίαις. ὅτι ἔγνων ἡττηθείς. βολίτοις ἢ τοῖς ἀπελέθοις. βόλιτοι γὰρ οἱ ἀπέλεθοι τῶν βοῶν. Ἄλλως. τοῖς βοϊδίοις. ἡ τοῦ βοὸς κοιλία, βόλιτον ἔχει. λέγει δὲ φαύλοις εἴδεσιν. ἐν αὐτοῖς ἡττώμενος. ἀττικοὶ δὲ οὕτω λέγουσι χωρὶς τοῦ β, ὃ παρ' ἡμεῖς βόλβιτον λέγομεν. βολίτοις δὲ ὅτι περὶ βοῶν ὁ λόγος. καὶ παροιμία βολίτου δίκην, πρὸς τοὺς ἐπὶ μικροῖς δίκας ὑπέχοντας. ὁ γὰρ σόλωνος νόμος καὶ τοὺς βόλιτον ὑφελομένους κολάζει. ὑπερηκόντισα ἢ ἐνίκησα ἐκ μεταφορᾶς τῶν τοῖς ἀκοντίοις νικώντων. Τῇ δ' ἀγροτέρᾳ. τῇ ἀρτέμιδι. ἰδίως γὰρ οἱ ἀθηναῖοι σέβουσι καὶ τιμῶσι τὴν ἀγροτέραν ἄρτεμιν.

κἀγὼ γνοὺς ὅτι δὴ 'ἡττημένος τοῖς βολίτοις,
διακοσίῃσι βουσὶν ὑπερηκόντισα.
τῇ δ' ἀγροτέρᾳ κατὰ χιλίων παρῄνεσα,
εὐχὴν ποιήσασθαι χιμάρων εἰσαύριον,
αἱ τριχίδες εἰ γενοίαθ' ἑκατὸν τοὐβολοῦ.
ἐκαραδόκησεν εἰς ἔμ' ἡ βουλὴ πάλιν.
ὁ δὲ ταῦτ' ἀκούσας, ἐκπλαγεὶς ἐφληνάφα.
κᾆθ' εἷλκον αὐτὸν οἱ πρυτάνεις. χοἰ τοξόται.
οἳ δ' ἐθορύβουν περὶ τῶν ἀφύων, ἑστηκότες.
ὁ δ' ἠντιβόλει γ' αὐτοὺς ὀλίγον μεῖναι χρόνον.
ἵν' ἅτθ' ὁ κῆρυξ οὑκ λακεδαίμονος λέγει.
πύθησθ'. ἀφῖκται γὰρ περὶ σπονδῶν λέγων
οἳ δ' ἐξ ἑνὸς στόματος ἅπαντες ἀνέκραγον
νυνὶ περὶ σπονδῶν. ἐπειδή γ' ὦ μέλε
ᾔσθοντο τὰς ἀφύας παρ' ἡμῖν ἀξίας,
οὐ δεόμεθα σπονδῶν. ὁ πόλεμος ἑρπέτω
ἐκεκράγεσάν τε τοὺς πρυτάνεις ἀφιέναι

Ἄλλως. ἐξ ἱστορίας καλλίμαχος ὁ πολεμάρχιος, λέγεται εὔξασθαι τῇ ἀρτέμιδι, τοσαύτας βοῦς θῦσαι, ὅσους ἂν φονεύσῃ βαρβάρους ἐν μαραθῶνι. ἐπειδὴ δὲ πολλοὶ ἐφονεύθησαν, μὴ δυνάμενος τοσαύτας βοῦς θῦσαι, ἔθυσε χιμαίρας. παρῄνεσα δέ, συνεβούλευσα, εἰσηγησάμην ἀθηναίοις. Αἱ τριχίδες. εἶδος ἰχθύων. ἃς θρίσσας καλοῦμεν. καὶ ἀπὸ χοῦ. ἔβλεπε τὴν νύχθ' ὅλην τριχίδων πεπλησμένος. Ἐκαραδόκησεν. ἀπὸ τοῦ ἀπέβλεψεν. ἡ ἐμοὶ προσέθεντο τὴν κεφαλὴν μετεωρίσαντες. παρὰ τὸ ὁμηρικὸν καί τ' ὠρίωνα δοκεύει. ἐφληνάφα δέ, ἐφλυάρει. ἐξηυτέλιζε.

Κᾆθ' εἷλκον αὐτόν. εἶτα εἷλκον αὐτόν. καὶ ἐξώθουν τῆς βουλῆς. Οἱ πρυτάνεις. οἱ προεστῶτες τῆς σιτήσεως. καὶ τοῦ δήμου ἄρχοντες ὑπηρέται. Ἵν' ἅτθ' ὁ κῆρυξ. ταῦτα εἰς τὴν ἀπάτην τοῦ κλέωνος τὴν εἰς τὸν δῆμον. ἐξ ἱστορίας δὲ τοῦτο. λακεδαιμονίους γὰρ περὶ εἰρήνης πρεσβευομένους, οὐκ ἐδέξαντο κλέωνος κωλύσαντος.

Ἐξ ἑνὸς στόματος. ὁμοθυμαδὸν καὶ μιᾷ φωνῇ. Ὦ μέλε. πρόσφθεγμα ἀττικόν, ἀντὶ τοῦ ὦ κάκιστε. ἢ κακοδαιμονέστατε. ἢ οἰκτρότατε. παρέλκει δὲ τό, ὦ μέλε. Ἀξίας δέ, εὐώνους. Ὁ πόλεμος ἑρπέτω. γράφεται. ἐρρέτω. τουτέστι χαιρέτω. ὅ ἐστιν οὐδεμίαν φροντίδα τοῦ πολέμου ποιούμεθα. Ὑπερεπήδων. καὶ εὐθὺς ὑπερήλλον

σιακὸς δηλονότι. καταρράγη δὲ αὐτὶ τοῦ σύνεπεσεν. Ἀφύας. εἶδος λεπτῶν ἰχθύων ἀγαν. ὧν ὁ πηλὸς γένεσίς ἐστι παιύ ἰλυώδης ὅταν συστῇ καὶ γένηται μέλας, φύσει τινὶ ἀπορρήτῳ εἰς ζῶα μεταβάλλεται παμπολλα. οὐδὲν δὲ δέονται τροφῆς. ἀπόχρη γε μὴν ἀλλήλας περιλιχμήσασθαι. ἄγρα δὲ αὐτῶν εἴματα λεπτά. εἰς δὲ ἄλλων ἰχθύων θήραν ἥκιστον. συμβαίνει δὲ τὴν ἀφύαν τάχιστα ἕψεσθαι. ὅθεν καὶ παροιμία ἀφύα ἐς πῦρ ἐπὶ τῶν τέλος ὀξὺ λαμβανόντων. ἑνικῶς δὲ οὕτως ἐνταγηνισταῖς εἶπεν ἀφύη. ἐν ἄλλοις δ' ἀεὶ πληθυντικῶς τὰς ἀφύας. λέγεται δὲ καὶ ἀφρὸς διὰ τὴν λευκότητα. ἔστι δὲ ἡ παρὰ πολλῶν λεγομένη ἐπέραυλις. καὶ ἀφύων τιμὴ τὸ ἔλαιον. ἐπεὶ ἐν αὐτῷ ἕψονται. καὶ ἀφύας φαληρικὰς τὰς μεγάλας. φαληρεὺς δὲ λιμὴν τῆς ἀττικῆς. ἔστι δὲ γένη πλείονα. ἡ μὲν ἀφρῖτις λεγομένη. ἥτις οὐ γίνεται ἀπὸ γόνου. ἀλλ' ἐκ τοῦ ἐπιπολάζοντος τῇ θαλάσσῃ ἀφροῦ καὶ πηλοῦ ἰλυώδους ὡς ἀνωτέρω ἐρρέθη. ἑτέρα δέ ἐστιν ἡ λεγομένη κωβῖτις. ἡ γίνεται ἐκ τῶν μακρῶν καὶ φαύλων τῶν ἐν τῇ ἄμμῳ φερομένων κωβιῶν. ἐξ αὐτῆς δὲ ἕτεραι αἱ ἐγκρασίχολοι καλοῦνται. καὶ ἄλλη ἥτις ἐστὶ γένος μαινίδων καὶ ἄλλη ἐκ τῆς μεμβράδος. καὶ ἄλλη ἐκ τῶν μακρῶν κεστρέων. ἔτι δὲ προηγουμένη ἡ ἀφρῖτις. σφόδρα δὲ καὶ μέχρι νῦν παρὰ τοῖς ἀθηναίοις σπουδάζεται. Ἀξιωτέρας. εὐωνοτέρας τῆς ἀξίας τιμῆς. ἄξιον παρ' ἀττικοῖς τὸ εὔωνον. Διεγαλήνισεν. προσηνῆ καὶ πρᾶα, καὶ ἥμερα ἐγένοντο. τουτέστιν ἐκ τῆς ὀργῆς μετέβαλε καὶ μετηλλάγη. ἀπὸ δὲ τῶν ἀφύων κυρίως τῷ διεγαλήνισεν ἐχρήσατο. ὅτι ἐμπείρως οἱ ἀθηναῖοι εἶχον τῆς ναυτικῆς. σκώπτει δὲ αὐτούς, ὡς μικροῖς δελεαζομένους λήμμασιν. Ἐστεφάνουν μ' εὐαγγέλια. τοὺς γὰρ εὐαγγελιζομένους τι ἀγαθὸν, στεφάνοις ἐτίμων. Ἀπόρρητον. τὸ ἐν μυστηρίῳ λεγόμενον. οἷον τὸ κεκρυμμένον. καὶ ἄγνωστον αὐτοῖς ὑποθέμενος. ἵν' ἔχοιεν καὶ τοῦ ἀγοράσειεν.

οὐπώποτ' ἀφύας εἶδον ἀξιωτέρας.
τῶν δ' εὐθέως τὰ πρόσωπα διεγαλήνισεν.
εἶτ' ἐστεφάνουν μ' εὐαγγέλια κἀγὼ 'φρασα
αὐτοῖς, ἀπόρρητον ποιησάμενος, ταχύ,
ἵνα τὰς ἀφύας ὠνοῖντο πολλὰς τοὐβολοῦ,
τῶν δημιουργῶν ξυλλαβεῖν τὰ τρύβλια.
οἱ δ' ἀνεκρότησαν καὶ πρὸς ἔμ' ἐκεχήνεσαν.
ὁ δ' ὑπονοήσας ὁ παφλαγών, εἰδὼς ἄρα,
οἷς ἥδεθ' ἡ βουλὴ μάλιστα ῥήμασι,
γνώμην ἔλεξεν. ἄνδρες ἤδη μοι δοκεῖ,
ἐπὶ συμφοραῖς ἀγαθαῖσιν εἰσηγγελμέναις,
εὐαγγέλια θύειν ἑκατὸν βοῦς τῇ θεῷ.
ἐπένευσεν εἰς ἐκεῖνον ἡ βουλὴ πάλιν.

Τῶν δημιουργῶν. τῶν σκευοποιῶν. τῶν κεραμέων. δημιουργοὺς δὲ ἐκάλουν καὶ τὰς νῦν καλουμένας ὑπονυμφίδας. τουτέστι τὰς παρεστώσας τῇ νύμφῃ γυναῖκας ὅθεν ἔστι καὶ μένανδρος δημιουργός. κοινῶς δὲ ἔλεγον δημιουργοὺς τους τὰ δημόσια ἐργαζομένους. ποτὲ δὲ καὶ τοὺς ἀρχιτέκτονας. ὡς ἐν εἰρήνῃ. καὶ δημιουργικῶς ἀντὶ τοῦ τεκτονικῶς. τρύβλια δὲ, τὰ ὀξύβαφα. Ἀνεκρότησαν. ἥσθησαί τι καὶ ἐκρότησαν. δείγματα δὲ χαρᾶς. ἐκεχήνεσαν δὲ, ἀντὶ τοῦ ἔβλεπον ἢ ἐμοὶ προσεῖχον, ὑπονοή-

Κἄβλεψε νάπυ· καὶ ἀνέβλεψε δριμὺ καὶ ὀργίλον. ἀπὸ τῆς ψευδατραφάξυος, ἐξ ἧς εἶπε τὸ νάπυ. λαχαίου γὰρ καὶ τοῦτο εἶδος· ἔστι δὲ δριμὺ τὴν φύσιν. ἀφ' οὗ σπέρματος τὸ νῦν λεγόμενον σίνηπι γίνεται. νάπυ γὰρ τὸ σίνηπι λέγεται. Καὶ μέτωπ' ἀνέσπασε. συνέστειλε τὰς ὀφρῦς καὶ τοῦτο δὲ δεῖγμα ὀργῆς. Φενακισμοῖσιν. ἀπατήμασι. φενάκη γάρ ἐστιν ἡ πρόσθετος κόμη. Ἄγε δὴ σκίταλοι. ὠνοματοποίησε δαίμονας τινὰς ἀναπλάσας ἀναιδεῖς. οὐκ ὄντας γὰρ θεοὺς ἐπὶ χλεύῃ ἀσυνέτως προφέρεται τὰ ὀνόματα λέγων ὡς θεῶν.

Κἄβλεψε νάπυ· καὶ τὰ μέτωπ' ἀνέσπασε.
κἄγωγ' ὅτι δὴ 'γίνων ἐνδεχομένην τοὺς λόγους
καὶ τοῖσι φενακισμοῖσιν ἐξαπατωμένην.
ἄγε δὴ σκίταλοι καὶ φένακες ἦν δ' ἐγώ,
βερέσχεθοί τε καὶ κόβαλοι καὶ μόθωνες
ἀγορά τ' ἐν ᾗ παῖς ὢν, ἐπαιδεύθην ἐγώ,
νῦν μοι θράσος καὶ γλῶτταν εὔπορον δότε
φωνήν τ' ἀναιδῆ. ταῦτα φροντίζοντί μοι,
ἐκ δεξιᾶς ἀπέπαρδε καταπύγων ἀνήρ.
κἀγὼ προσέκυσα· κᾆτα τῷ πρωκτῷ θενών.
τὴν κιγκλίδ' ἐξάραξα· κἀναχανὼν μέγα,
ἀνέκραγον· ὦ βουλή· λόγους ἀγαθοὺς φέρων.
εὐαγγελίσασθαι πρῶτον ὑμῖν βούλομαι.
ἐξ οὗ γὰρ ἡμῖν ὁ πόλεμος κατερράγη,

Ἄλλως. οἷον προτρεπόμενος καὶ ἀναθαρσύνων αὐτὸν εἰς ἀναίδειαν καὶ εὐτολμίαν ἀνέπλασε θεοὺς ἐπὶ χλεύῃ· οἷς ηὔξατο ἀρξάμενος τοῦ λέγειν. σκίταλοι μὲν οὖν, οἱ εὐτελεῖς καὶ πονηροί. ἦν γὰρ σκίτων κναφεύς τις καὶ εὐτελὴς ἐπὶ πονηρίᾳ κωμῳδούμενος. Βερέσχεθοι δὲ, οἱ ἀνόητοι. πέπλασται δὲ ἡ λέξις. κοάλεμοι δὲ, οἱ ἀνόητα κοοῦντες καὶ νοοῦντες. μόθων δὲ, ὁ εὐτελής. μόθωνας γὰρ ἐκάλουν οἱ Λάκωνες, τοὺς παρατρεφομένους τοῖς ἐλευθέροις. ἔστι δὲ καὶ γένος ὀρχήσεως. Ἄλλως. πρὸς τὴν ὁμωνυμίαν οὐκ ὄντας θεοὺς ἐπὶ χλεύῃ προφέρεται. ὥσπερ δὲ παραστάτας ἀνθρώπων πονηρῶν καὶ παρέδρους, τούτους ἐπεκαλεῖτο θεούς. οὐδεὶς δὲ αὐτῶν ἡρμήνευσε τὰ ὀνόματα. Ἦν δ' ἐγώ. ἔφην δ' ἐγώ. Ἀττικὴ δὲ ἡ λέξις καὶ ἡ σύνταξις. μάλιστα δὲ αὐτῇ συνεχῶς κέχρηται καὶ κατακόρως ὁ Πλάτων. καὶ ἦ δ' ὃς ἀντὶ τοῦ ἔφη ἐκεῖνος. Ἀγορά τ' ἐν ᾗ παῖς ὤν. τά τε ἄλλα φησὶ παρεκελευόμην. καὶ τῆς ἀνατροφῆς ἀνεμιμνησκόμην. ὅτι ἐν τῇ ἀγορᾷ τραφείην. καὶ τὰ ἐκ παιδὸς ἐπεκαλούμην ἐπιτηδεύματα συλλαβέσθαι μοι εἰς τὸν ἀγῶνα τὸν πρὸς Κλέωνα. Φροντίζοντί μοι. εὐχομένῳ καὶ μεριμνῶντι. Ἀπέπαρδεν. οὕτως Ἀττικοὶ τὸ πέρδην ἀφεῖναι. παρεῖλε δὲ τοῦτο γέλωτος χάριν. καταπύγων δὲ εὐρύπρωκτος. Προσέκυσα. προσεκύνησα ὡς ἐπὶ σημείου τινὸς δοθέντος. ἰστέον μέντοι ὅτι γέλωτος χάριν προσείληφε ταῦτα.

Τὴν κιγκλίδ' ἐξάραξα. τὴν θύραν· τὴν κάγκελον τοῦ δικαστηρίου. ἰδίως δὲ τὰς δικτυωτὰς θύρας, οὕτω κλητέον. ἅς τινες δικλίδας. ἡ κιγκλὶς ἰδίως ἡ τρύπη, δι' ἧς ἡ κιγκλὶς πέμπεται. Ἐξάραξα δὲ ἀνέῳξα. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. θαρσήσας φησὶ τῷ δοθέντι σημείῳ, διάρας τὸ στόμα καὶ τὴν ἀγωνίαν ἀποβαλών. ὥσπερ τὸ στόμ' ἀνοίξας ἀνέκραγον. εὐαγγελίσασθαι δὲ εὐαγγέλια λέγειν Ἀττικῶς. πόλεμος δὲ ὁ Πελοποννη/

τὰ ἐκ τῆς ἀρχῆς τοῦ Πινδάρου. αἱ ἄρρηγνυς δὲ ἀπειλῶν, μετὰ σφοδρότητος λέγων. τουτέστι πλάττων καὶ κατασκευάζων καὶ συντιθείς. ἔχεται δὲ καὶ τοῦτο τὸ ῥῆμα ἐμφάσεως μείζονος. Ἄλλως. ὥσπερ ὑπὸ βροντῆς ἐλαυνόμενα. τουτέστι μεγαληγορῶν καὶ ὑπερόγκοις χρώμενος ῥήμασι, γέμουσι ψόφων. ἤτοι δὲ τὴν φωνὴν σκώπτει τοῦ Κλέωνος ὅτι ταχέως ἐφθέγγετο, ἢ ὡς ταχεῖαν. πρὸς τὴν ἀπειλήν. ἣν ἠπείλησεν ὁ Κλέων εἰπὼν συνταράξειν τήν τε γῆν καὶ τὴν θάλασσαν ἐπ' αὐτῷ. τὸ, τε γὰρ τὴν γῆν κινεῖν καὶ σαλεύειν καὶ τοὺς τῆς θαλάττης βυθοὺς, ἔργον τοῦ Διὸς ὡς καὶ τὸ βροντᾶν. προπαροξυτόνως δ' ἀναγνωστέον ἐλασίβροντα.

Τερατευόμενος ἤρειδε κατὰ τῶν ἱππέων·
κρημνοὺς ἐρείδων, καὶ ξυνωμότας λέγων·
πιθανώτατα δ' ἡ βουλὴ γ' ἅπασ' ἀκροωμένη,
ἐγένεθ' ὑπ' αὐτοῦ ψευδατραφάξιος πλέα.

Τερατευόμενος. ψευδόμενος καὶ μηδὲν ἀληθὲς μηδὲ ὑγιὲς λέγων. Ἤρειδε κατὰ τῶν ἱππέων. ἠφίει καὶ ἔπεμπε κατὰ τῶν ἱππέων. ἔφαμεν δὲ, ὅτι συνέστηκεν ὁ χορὸς ἐκ τῶν ἱππέων. εἰς τρία γὰρ μέρη τὸ παλαιὸν τῶν Ἀθηναίων διῄρητο ὁ δῆμος. εἰς τοὺς πεντακοσιομεδίμνους καλουμένους· οὓς διὰ τὸ γεωργεῖν τοσαῦτα μέτρα, οὕτως ὠνόμαζον. καὶ τοὺς ἱππέας καὶ τοὺς θῆτας. οἱ μὲν οὖν πεντακοσιομέδιμνοι, ἦσαν εὔποροι. οἱ δὲ ἱππεῖς, ἧττον μὲν πεντακοσιομεδίμνων. μέχρι δὲ τῶν τ' ἐγεώργουν μέτρων. ἱππεῖς δὲ αὐτοὺς ὠνόμαζον, διὰ τὸ δύνασθαι εἴ ποτε αὐτοῖς χρεία γένηται ἵππων, ἕκαστος αὐτῶν τρέφειν. ἦσαν δὲ τὸ μὲν πρότερον, χ' τὸν ἀριθμόν. οὗτοι δὲ μετὰ ταῦτα τῆς πόλεως πληθυνθείσης, ἐγένοντο διακόσιοι πρὸς τοῖς χιλίοις. ὅθεν καὶ τὰς θυσίας ἃς αὐτοὶ ἔπεμπον ἐν ταῖς πομπαῖς, ἐκάλουν ἱππάδας. ἔξεστι δὲ αὐτοῖς καὶ κομᾶν. ἡ δὲ τρίτη τάξις, ἦσαν οἱ θῆτες παρ' αὐτοῖς. οἷς οὐδὲ ἄρχειν ἐφεῖτο. ἢ δικάζειν καὶ ἐκκλησιάζειν μόνον· ἵν' ἔκ τε τοῦ δικαστικοῦ καὶ ἐκκλησιαστικοῦ τρέφοιντο. Κρημνοὺς ἐρείδων. ἀντὶ τοῦ ἐπέμπεν καὶ ἀκοντίζων. τουτέστιν ἐγκλήματα ὑπέρογκα καὶ διαβολὰς χαλεπωτάτας ῥίπτων καὶ λογοποιῶν κατὰ τῶν ἱππέων. ἀπὸ δὲ τοῦ ἐλασίβροντα καὶ τοῦτο, εἴληφε τὸ ῥῆμα ἐχόμενον τοῦ ὄγκου τοῦ προειρημένου. κρημνοὶ δέ εἰσι τὰ μόρια τὰ ἀπὸ τῶν ὀρῶν ἀποσπώμενα. καὶ τὴν ὄχθην δὲ κρημνὸν λέγουσιν. ἐπειδὴ πάντα τὰ ὑψηλὰ κρημνοί. Πιθανώτατα. ἐγγὺς πίστεως καὶ ἀληθείας ἐχόμενα πλάττει, ἐπιφέρων αὐτοῖς ἐγκλήματα. Ψευδατραφάξυος. πλήρης ψευσμάτων. ἀτράφαξις δὲ, εἶδος λαχάνου. ὃ ταχέως εἰς μέγεθος αὔξεται. ἐπεὶ οὖν ὁ Κλέων ψευδῆ κατὰ τῶν ἱππέων κατηγόρησε, καὶ ἡ βουλὴ πείθεσθαι ἐδόκει, ψευδατραφάξυος εἶπε πλέαν τὴν βουλὴν γεγονέναι. διαβάλλων μὲν ὡς ψεύστην τὸν Κλέωνα. τῆς δὲ βουλῆς καθαπτόμενος, ὡς τοῖς ψευδομένοις καὶ διαβάλλουσι πειθομένοις εὐχερῶς καὶ ῥᾳδίως. ὥσπερ καὶ τὸ λάχανον αὔξεται.

μένου. Ἄλλως. Ὦ φίλτατε. ὁ χορὸς πρὸς τὸν ἀλλαντοπώλην ἥκοντα ἀπὸ τῆς βουλῆς καὶ καταγωνισάμενον Κλέωνα. Φροντίδα. ἀγωνίαν καὶ μέριμναν καὶ φόβον ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν εἰς δέος κατέστησας ἡμᾶς. μὴ παραδιδοίημεν ἧς πρὸς τοῦ Κλέωνος. Νικόβουλος. ἐγώ φησι τὴν νίκην ἀπηνεγκάμην. ἀστείως δὲ κέχρηται τῷ συνθέτῳ. καὶ τὰ ὀνόματα συνέπλεξεν ἄμφω. ἐν τῇ βουλῇ γὰρ τὴν φιλονεικίαν ἐποιήσατο προσκαλεσαμένου τοῦ Κλέωνος. καὶ οἱ βουλευταὶ τὴν νίκην προέκριναν αὐτῷ.

χο. ὦ φίλτατ' ἀνδρῶν καὶ νεανικώτατε
ὅσην ἀπὼν παρέσχες ἡμῖν φροντίδα.
καὶ νῦν ἐπειδὴ σῶς ἐλήλυθας πάλιν,
ἄγγειλον ἡμῖν πῶς τὸ πρᾶγμ' ἠγωνίσω.
ἀλ. τί δ' ἄλλο γ' εἰ μὴ Νικόβουλος ἐγενόμην.
χο. νῦν ἄρ' ἄξιόν γε πᾶσίν ἐστιν ἐπολολύξαι.
ὦ καλὰ λέγων πολὺ δ' ἀμείνον' ἔτι τῶν λόγων
ἐργασάμεν'. εἴθ' ἐπέλ-
θοις ἅπαντά μοι σαφῶς·
ὡς ἐγώ μοι δοκῶ,
κἂν μακρὰν ὁδὸν διελθεῖν ὥστ' ἀκοῦσαι.
πρὸς τάδ' ὦ βέλτιστε θαρσήσας λέγ' ὡς ἅ-
παντες ἡδόμεσθά σοι
ἀλ. καὶ μὴν ἀκοῦσαί γ' ἄξιον τῶν πραγμάτων.
εὐθὺς γὰρ αὐτοῦ κατόπιν ἐνθένδ' ἱέμην.
ὁ δ' ἄρ' ἔνδον ἐλασίβροντ' ἀναρρηγνὺς ἔπη,

Ὦ καλὰ λέγων. διπλῆ καὶ ἔκθεσις εἰς περίοδον τοῦ χοροῦ προῳδικὴ στροφῆς λόγον ἔχουσα. ἔχει γὰρ καὶ ἀντιστροφὴν τὸ πάντα δὴ πέπραγας ὁμοίαν καθ' ἕκαστον ἑαυτῇ. ἔστι δὲ ὀκτάκωλος. ἧς τὸ α. τροχαϊκὸν τρίμετρον ἀκατάληκτον. μᾶλλον δὲ τετράμετρον βραχυκατάληκτον τοῦ στ' ποδὸς τριβράχεος. τὸ δεύτερον, ἐν εἰσθέσει παιωνικὸν τετράρρυθμον ἢ τετράμετρον καθαρὸν καταληκτικόν. τὰ δὲ λοιπὰ ἐν εἰσθέσει. τὸ γ', παιωνικὸν δίρρυθμον. ἤτοι δίμετρον καταληκτικὸν ἀντὶ παίωνος ἰωνικὸν ἀπὸ μείζονος ἔχον. τὸ δ', τροχαϊκὸν ἑφθημιμερές. τὸ πέμπτον, παιωνικὸν δίρρυθμον ἀκατάληκτον ἐκ κρητικῶν. τὸ στ', τροχαϊκὸν τρίμετρον ἀκατάληκτον. τὸ ζ', ὅμοιον καὶ τὸ η', τροχαϊκὸν ἑφθημιμερές. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος καὶ διπλῆ ἔσω νενευκυῖα. τῆς δὲ ἀντιστροφῆς δύο διπλαῖ ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου. ἡ δὲ κατὰ τὸ τέλος ἀμφότεραι ἔξω νενευκυῖαι. ἐπολολύξαι δὲ εὔξασθαι καὶ εὐφημῆσαι. Εἴθ' ἐπέλθοις. εἴθε ἐθελήσαις μοι διελθεῖν καὶ διηγήσασθαι πάντα τὰ πραχθέντα σοι καὶ γεγενημένα. Κἂν μακρὰν ὁδόν. καὶ ἀποδημίαν στείλασθαί μοι δοκῶ, ὥστε μαθεῖν τὰ πεπραγμένα. θέλω φησὶ κἂν μακρὰν ὁδὸν διελθεῖν, ἵνα μάθω, πῶς ἐνίκησας τὸν Κλέωνα. Ὡς ἅπαντες ἡδόμεσθά σοι. ὡς ἐπὶ τῇ σῇ εὐφραινόμεθα νίκῃ καὶ χαίρομεν. λείπει δὲ ἡ ἐπὶ ἵν' ᾖ ἐπὶ σοί. ἢ σύν. ἵνα ᾖ συνηδόμεθά σοι. Καὶ μήν. ἡ περιοδικὴ αὕτη, καὶ μονοστροφικὴ ἔκθεσις τοῦ ὑποκριτοῦ διηγηματική ἐστιν, ἐκ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων νθ'. ὧν τελευταῖος ὀβολοῦ κοριάννοις ἀναλαβὼν ἐλήλυθα. ἐπὶ τῷ τέλει παράγραφος. κατόπιν δὲ ὄπισθεν ἢ μετ' αὐτόν. ἐπορευόμην. τὸ δὲ ἐλασίβροντα παρὰ

Τίς ἐμβαλεῖ. ἰδίως τὸ κροῦσαι ναυστὶν, ἐμβαλεῖν λέγουσι. φησὶν οὖν, τίς ὁ τολμήσας τοῖς ἵπποις ταῖς ἐξ ἐναντίας στῆναι. κυρίως οὖν τὸ ἐμβαλεῖν τὸ ταῖς κώπαις κροῦσαι, νῦν δὲ ἀντὶ τοῦ τοῖς ἵπποις συμβαλεῖν. τὸ δὲ ἱππαπαὶ, ἔπαιξε παρὰ τὸ ῥυππαπαὶ, εἰρηκὼς ὡς ἐπὶ ἵππων. ἔστι δὲ τὸ ῥυππαπαὶ ἐπιφώνημα ναυτικὸν ἢ ψόφου ἐστὶ μίμημα ἀπὸ τῶν κωπῶν ἀποπλουμένων. ἀνεβρύαξαν δὲ, ἀνεθορύβησαν ἀνέκραγον. οὐκ ἐλᾷς δὲ οὐκ ἐρέττεις οὐ κωπηλατεῖς. Ὦ σαμφόρα. ἰδίως καλοῦνται σαμ-

ἐμβαλόντες ἀνεβρύαξαν ἱππαπαὶ, τίς ἐμβαλεῖ·
ληπτέον μᾶλλον. τί δρῶμεν οὐκ ἐλᾷς ὦ σαμφόρα.
ἐξεπήδων τ' εἰς Κόρινθον. εἶτα γ' οἱ νεώτεροι
ταῖς ὁπλαῖς ὤρυττον εὐνάς. καὶ μετῄεσαν στρώματα.
ἤσθιον δὲ τοὺς παγούρους ἀντὶ πόας μηδικῆς
εἴ τις ἐξέρποι θύραζε, κἀκ βυθοῦ θηρώμενοι.
ὥστ' ἔφη Θέωρος εἰπεῖν καρκίνον Κορίνθιον·
δεινά γ' ὦ πόσειδον, εἰ μήτ' ἐν βυθῷ δυνήσομαι
μήτ' ἐν γῇ μήτ' ἐν θαλάττῃ διαφυγεῖν τοὺς ἱππέας

φόραι, ἵπποι ἐγκεχαραγμένοι γὰρ τὸ σ σημεῖον. οἱ δωριεῖς τὸ σ σὰμ λέγουσιν. Ἐξεπήδων. κυρίως τὸ ἐξεπήδων, ἐπὶ ἵππων. φησὶ δὲ ἐξώρμων. ἐν ἀργεῖ δὲ λέξει κέχρηται δεικνὺς αὐτῶν τὴν προθυμίαν. παγούρους δὲ τοὺς παρ' ἡμῖν καράβους.

Ἀντὶ πόας μηδικῆς. τοῦ παρ' ἡμῖν χόρτου. λέγεται δὲ πόα μηδική, ἀρίστη καὶ καλλίστη καὶ ἐπιτηδειοτάτη ἵπποις. ἡ αὐτὴ δὲ, τρίφυλλος λέγεται. ὅτι μῆδοι ἐχθροὶ ἀθηναίων καὶ ἡ τῶν μήδων χώρα ἔφυδρος οὖσα χόρτον πολὺν ἐκφέρει. ἑκάστη δὲ βοτάνη πόα λέγεται. ἡ δὲ σμήχουσα, πόα λέγεται παρὰ δημοσθένει καὶ λυσίᾳ. Ἄλλως· ἀντὶ λόχου μηδικοῦ. ἐδόκει γὰρ ἡ μηδικὴ χώρα μηδείας τε οὖσα καὶ κάθυγρος εὔφορος εἶναι εἰς τὰς τῶν κτηνῶν τροφάς. ἐπεὶ τοῖς ἀθηναίοις ἔθος ἦν μήδων κρατεῖν. Εἴ τις ἐξέρποι. εἴ τις προκύψειε μόνον. ἐπέμεινε δὲ τῇ τροπῇ πλέον τι περὶ τῶν ἀθηναίων φιλοτιμούμενος. οὐ γὰρ τοὺς προϊόντας φησὶ διέφθειρον συλλαμβάνοντες. ἀλλὰ καὶ τοὺς ἐν αὐτοῖς ὄντας τοῖς βυθοῖς. ταῦτα δὲ πάντα, πρὸς τὴν ἐμπειρίαν αὐτῶν ἀποτεινόμενος τὴν περὶ τὰ ναυτικά. Θέωρος. ὁ ποιητὴς θέωρος ἔφη εἰπεῖν τινα καρκίνον κορίνθιον ταῦτα. ἀποδέχεται δὲ αὐτοὺς πίνοντας ἕνεκα τοῦ νικῆσαι μόνον. ὁ θέωρος ἔγραψε καρκίνον λέγοντα πρὸς τὸν ποσειδῶ καὶ ἀποδυσπετοῦντα. προσκρούει εἴς τινα καρκίνον. διὰ τοῦτο γὰρ καὶ τοὺς ἱππέας καὶ οὐχ ἱππεῖς. ὡς μοιχὸς δὲ κωμῳδεῖται ὁ θέωρος καὶ ἰχθυοφάγος καὶ πονηρός. περὶ κόρινθον οὖν διέτριβεν. ἴσως διὰ τὰς ἐκεῖ πόρνας. ἦν δὲ καὶ κόλαξ. ταῦτα οὖν λέγει, ἴσως κολακεύων τοὺς ἱππέας. Δεινά γ' ὦ πόσειδον. δοκοῦσι καὶ οἱ κορίνθιοι μάλιστα σέβεσθαι ποσειδῶνα διὰ τὸν ἰσθμόν. ὅθεν καὶ γυμνικὸν ἀγῶνα τὰ ἴσθμια ἐπιτελοῦσι τῷ τε παλαίμονι καὶ τῷ ποσειδῶνι. Ἄλλως· Ὅτι οἱ ἀθηναῖοι ἐστράτευσαν ἐπὶ κόρινθον. καὶ περὶ κεγχρέας ἐνίκησαν νικίου στρατηγοῦντος τοῦ νικηράτου. σὺν ἱππεῦσι, σ καὶ ὁπλίταις καὶ ναυσί. Μήτ' ἐν γῇ μήτ' ἐν θαλάττῃ. ὡς τῶν ἀθηναίων οὐ κατὰ θάλατταν μόνον, ἀλλὰ καὶ κατὰ γῆν ἐν τοῖς πολέμοις κρατούντων. Ὦ φίλτατ' ἀνδρῶν. ἔτι τοῦ χοροῦ ἴαμβοι τρίμετροι ἀκατάληκτοι ε τοῦ ὑποκριτοῦ προερχο-

Η χορικῶν ἐστιν ἑταίρα. ἡ τοῖς χοροῖς ἐστι προσφιλὴς καὶ συνήθης. οἱ γὰρ τῆς ἀρχαίας κωμῳδίας ποιηταὶ καὶ τραγικοί, χοροὺς ἵστασαν. οἳ τὰ χορικὰ ὑπεκρίνοντο καὶ ᾖδον μέλη. συνειστήκει δὲ ὁ χορὸς ὁ μὲν κωμικὸς ἐξ ἀνδρῶν ἤδη καὶ γυναικῶν. ὁμοῦ δὲ καὶ ἐκ παίδων κδ΄ ὡς καὶ οὗτος ἀπηρίθμησεν ἐν ὄρνισιν. ἄρρενας μὲν ὄρνις ιβ΄. θηλείας δὲ τοσαύτας. ὁ δὲ τραγικὸς ιε΄. ὡς αἰσχύλος Ἀγαμέμνονι. ἔστι δὲ ὅτε καὶ ἡμιχόρια ἵσταντο ἤτοι ἐξ ἀνδρῶν καὶ γυναικῶν. ἐν δὲ τοῖς τοιούτοις χοροῖς, εἰ μὲν ἐξ ἀνδρῶν εἴη καὶ γυναικῶν ὁ χορός, ἐπλεονέκτει δὲ τὸ τῶν ἀνδρῶν μέρος καὶ ἦσαν ιγ΄. αἱ δὲ γυναῖκες ἕνδεκα. εἰ δὲ παίδων εἴη καὶ γυναικῶν, αἱ μὲν γυναῖκες ιγ΄ ἦσαν. οἱ δὲ παῖδες, ια΄. εἰ δὲ πρεσβυτῶν καὶ νέων, τοὺς πρεσβύτας πλεονεκτεῖν δεῖν φασίν. Ἄλλως. χορικῶν τῶν κωμικῶν καὶ τραγικῶν, ἡ γὰρ ἐνίκων ἢ ἡττῶντο οἱ ἀγωνιζόμενοι.

νίκην ἣ χορικῶν ἐστιν ἑταίρα
Τοῖς τ' ἐχθροῖσι μεθ' ἡμῶν στασιάζει.
νῦν οὖν δεῦρο φάνηθι. δεῖ
γὰρ τοῖς ἀνδράσι τοῖσδε, πά-
σῃ τέχνῃ πορίσαι σε νί-
κην εἴπερ ποτὲ καὶ νῦν.

ἈΝΤΕΠΙῤῬΗΜΑ.

ἃ ξύνισμεν τοῖσιν ἵπποις, βουλόμεσθ' ἐπαινέσαι.
ἄξιοι δ' εἴσ' εὐλογεῖσθαι πολλὰ δὴ πράγματα
ξυνδιήνεγκαν μεθ' ἡμῶν. εἰσβολάς τε καὶ μάχας.
ἀλλὰ τἀν τῇ γῇ μὲν αὐτῶν, οὐκ ἄγαν θαυμάζομεν.
ὡς, ὅτ' εἰς τὰς ἱππαγωγοὺς εἰσεπήδων ἀνδρικῶς.
πριάμενοι κώθωνας οἱ δὲ καὶ σκόροδα καὶ κρόμμυα
εἶτα τὰς κώπας λαβόντες ὥσπερ ἡμεῖς οἱ βροτοί,

Τ οῖς τ' ἐχθροῖσι. τοῖς ἀντιπάλοις. τοῖς ἀνταγωνισταῖς. στασιάζει δὲ ἀντὶ τοῦ πρὸς φιλονεικίαν διαφέρεται. Ἃ ξύνισμεν. ὅτι καὶ αὐτοὶ παρακολουθήσαντες γινώσκομεν. ἐπεὶ δὲ ἀλλότρια τῆς ἱππέων φύσεως μέλλει περὶ αὐτῶν λέγειν, ἵνα θεραπεύσῃ τῆς ἐπαγγελίας τὸ ἀπίθανον, ἅπερ αὐτοῖς συνέγνω, ταῦτά φησι περὶ αὐτῶν ἐρεῖν. Τοῖσιν ἵπποις. ἵνα μὴ εἴπῃ τοῖς ἱππεῦσι καὶ δόξῃ χαρίζεσθαι τῷ χορῷ, ἀλλ' ἵνα διὰ τῶν ἵππων ἐπαινέσῃ, αὐτούς.

Ε σβολάς. τὰς ἐπὶ τὴν τῶν πολεμίων χώραν ἐκάλουν εἰσβολάς. ἱππαγωγοὺς δὲ τὰς ἵππους καὶ ἄνδρας ἀγούσας ναῦς. Κώθωνας. εἴδη ποτηρίων ἃ ἐλάμβανον οἱ στρατιῶται. τοὺς ἱππεῖς δὲ ἐπαινεῖν βουλόμενος ταῦτά φησιν. ἄλογον γὰρ καὶ ἀλόγοις ζώοις λογισμὸν περιτιθέναι. τοὺς δὲ ἀθηναίους ἐπαινεῖ, ἐπεὶ ἠπειρῶται ὄντες, ἀντεποιήσαντο τῆς θαλάττης. καὶ οὐκ ἀπέτυχον τῆς προσδοκίας. διὰ δὲ τοῦ σκορόδου καὶ κρομμύου, τὴν εὐτέλειαν δείκνυσι, τῶν τε ναυτικῶν καὶ στρατιωτικῶν σιτίων. ὅτι εὐτελῆ οἱ στρατιῶται ἔφερον. Ἄλλως. κώθων εἶδος ἐκπώματος ὀστρακίνου. ἢ εἶδος ποτηρίου λακωνικοῦ καὶ στρατηγικοῦ. ἐπειδὴ μεριστὸν ὕδωρ ἐλάμβανον οἱ ναῦται, κώθωνας εἶχον. Ἀππιανός. ἔφερε δὲ δᾶδα συγκεκομμένην καὶ θεῖον ἐν κώθωνι. καὶ κωθωνίσαι τὸ μεθύσαι. ὡς τὸ ὀρθῶν δὲ καὶ κωθωνιζόμενος ἀφ' ἡμέρας.

τῶν ἀθηναίων καὶ τῶν στρατηγῶν τῶν μὲν ἀθηναίων, ὡς ἀναξίοις διαδιδόντων τὰς τιμὰς καὶ τὰς δωρεάς, εἰ περί τι δρᾶσαι τὴν πόλιν ἀγαθόν, ταῦτα διδόασιν αὐτοῖς. τῶν δὲ στρατηγῶν, ὡς τιμωρουμένων περὶ τῶν κατορθωμάτων, καὶ τῶν ἤδη τιμῆς τινος τετυχηκότων τὴν δόξαν ἀφαιρουμένων εἰ φαίνοιντο δωρεὰν λαβόντες οὐκ ἐπ' ἀνδραγαθήμασι. Καὶ τὰ σιτία. οἱ ἐπὶ στρατείαν ἐξιόντες χρόνου τινός, ἐπεὶ γίνοιτο σιτία. οὗτοι δέ φησιν οἱ νῦν, ἐὰν μὴ προεδρίας τινὸς τιμῆς ἀξιωθῶσιν, οὐκ ἐξίασιν ἐπὶ πόλεμον. σιτία γοῦν εἶπε· τὴν ἐν πρυτανείῳ σίτησιν. Κομῶσι. τρυφῶσι· πλουτοῦσι. τὸ γὰρ κομᾶν ἐπί τινι τρυφᾶν λέγεται καὶ γαυροῦσθαι. καὶ μέγα φρονεῖν. ἄλλως τε καὶ ταῖς θριξὶ κομᾶν εἰς τιμὴν συγκεχώρηται αὐτοῖς. Ἀπεστλεγγισμένοις. κεκαρμένοις. κινέας γὰρ καὶ φρῦνος εἰσηγήσαντε μεταστῆναι τοὺς νέους, νόμον γράψαντες μηκέτι ἁβροδιαίτους εἶναι, ὃν τρόπον τὸ πάλαι. μηδὲ κομᾶν. ἢ ἀπεξεσμένοις καὶ ἐπαγνίζουσιν ἀπὸ ἀλείμματος.

νῦν δ' ἐὰν μὴ προεδρίαν φέρωσι, καὶ τὰ σιτία,
οὐ μαχεῖσθαί φασιν. ὑμεῖς δ' ἀξιοῦμεν τῇ πόλει
προῖκα γενναίως ἀμύνειν, καὶ θεοῖς ἐγχωρίοις.
καὶ πρός, οὐκ αἰτοῦμεν οὐδέν. πλὴν τοσουτονὶ μόνως
ἤν ποτ' εἰρήνη γένηται. καὶ πόνων παυσώμεθα,
μὴ φθονεῖθ' ἡμῖν κομῶσι, μηδ' ἀπεστλεγγισμένοις.

ἈΝΤῼΔΗ ΚΑΙ ἈΝΤΙΣΤΡΟΦΗ.

ὦ πολιοῦχε παλλάς, ὦ
τῆς ἱερωτάτης ἁπα-
σῶν πολέμῳ τε καὶ ποι-
ηταῖς δυνάμει θ' ὑπερφερού-
σης μεδέουσα, χώρας.
δεῦρ' ἀφικοῦ λαβοῦσα τὴν
ἐν στρατιαῖς τε καὶ μάχαις
ἡμετέραν ξυνεργόν.

τος. ἀπ' αἰρίων δὲ ἀκούει στλεγγίδας τὰς σταγόνας τοῦ ἐλαίου. ἀπεστλεγγισμένοις, ἀντὶ τοῦ ἐγκεκαθαρμένοις ματτομένοις. στλεγγὶς γὰρ ἡ ξύστρα καὶ στλεγγιζόμενος ἀποξυόμενος. καὶ ἄλλα χρυσῆ γύρα δὲ παιδαρίοις ἀκολουθεῖν δεῖ σφαῖραν καὶ στλεγγίδ' ἔχοντα. δ' αἰπαλειπτῶν. οὐ δὲ γὰρ αὐτὴ στλεγγὶς οὐδὲ λήκυθος. καλεῖται στλεγγὶς καὶ χρυσοῦν ἔλασμα τὸ περὶ τῇ κεφαλῇ τῶν γυναικῶν. ἡ δὲ στλεγγὶς τῶν πρὸς ἄλλο τι. οὐ γὰρ πρὸς τὸ περιξύεσθαι, αὖ τις αὐτῇ χρήσαιτο μόνον, ἀλλὰ καὶ πρὸς τὸ ὕδωρ ἀρύσασθαι. ἀπεστλεγγισμένοις οὖν ἀπεξεσμένοις. ἢ ἐλαίῳ ἀληλιμμένοις. Ὦ πολιοῦχε παλλάς. ἡ τὴν πόλιν κατειληφυῖα καὶ περιέχουσα. ἐπεὶ καὶ ἦρχε τῆς πόλεως. ἔφορος γὰρ αὐτῆς ἡ θεός. καὶ τὴν ἐπὶ τοῖς πολέμοις ἀρετὴν διὰ τούτων ἐδήλωσεν αὐτῆς. ὁ δὲ νοῦς, ὦ τῆς ἁπασῶν ὑπερφερούσης καὶ ὑπερβαλλούσης χώρας μεδέουσα καὶ βασιλεύουσα ἐν δυνάμει καὶ ποιηταῖς. ἐπικαλεῖται δὲ τὴν θεὸν μετὰ τὴν νίκην εὐμενῶς παραστῆναι τοῖς ποιήμασιν αὐτοῦ. ὁμοῦ δὲ καὶ τὴν ἐπὶ σοφίᾳ δόξαν τῆς πόλεως καὶ τὴν ἐπὶ τοῖς πολέμοις ἀρετὴν διὰ τούτων ἐδήλωσε. ξυνεργὸν δὲ συμπράκτορα. σύμμαχον.

πὴν, ἀπὸ τοῦ κεραμεικοῦ ποιοῦσι μέχρι τοῦ ἐλευσινίου. πέπλον δὲ καλοῦσι τὸ ἄρμενον διὰ τὸ ἀραιὸν αὐτὸ εἶναι. Ἄλλως. καὶ τοῦ πέπλου. οὗ ἐγέγραπτο ἐγκέλαδος ὃν ἀνεῖλεν ἡ ἀθηνᾶ. ἦν δὲ εἷς τῶν γιγάντων. ἐπεσκευάζετο οὖν ὁ πέπλος καθ' ἕκαστον ἐνιαυτόν. καὶ ἐπομπεύετο ἐν τοῖς παναθηναίοις. Ἄλλως. νικήσαντές τε πέπλον ἐποίησαν τῇ ἀθηνᾷ καὶ ἐνέθεντο τὰς ἀριστείας ἐν αὐτῷ. εὐριπίδης, ἑκάβῃ. ἢ παλλάδος ἐν πόλει τὰς καλλιδίφρου ἀθαναίας ἐν κροκέῳ πέπλῳ ζεύξομαι ἅρματι πώλους. Ναυφράκτῳ στρατῷ. τῷ συμπεφραγμένῳ καὶ συντεταγμένῳ ναυτικῷ. Ἠρίθμησεν. ἀπεδειλίασεν. μεθ' ἡσυχίας ἦγεν. Ἀμυνίας. ἕτοιμος πρὸς τὸ ἀμῦναι. ὡς ἐπὶ τῶν ἐν παλαίστρᾳ ἀγωνιζομένων. Εἰ δέ που πέσοιεν, ἡττηθεῖεν. ἧττον ἔχοντες ἀπέλθοιεν. Ἄλλως. εἶδος παλαίσματος. ὅ τινες ψευδόπτωμα καλοῦσιν. ἐπέμεινε δὲ τῇ τροπῇ. καὶ γὰρ τῶν παλαιόντων οἱ εἰς τὸν ὦμον πεσόντες, ἐξαναστάντες εἰώθασιν ἀποψῆν τὴν κόνιν. ἵνα μὴ ἴχνος ἔχοιεν μηδὲ ἔλεγχον τοῦ πτώματος. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν ὅτι οἱ πρόγονοι εἰ καὶ ἡττηθεῖεν ἐν μάχῃ, πάλιν αὐτοὶ τὴν ἧτταν ἀνεκαλοῦντο ταχέως καὶ τοῖς νενικηκόσιν ἡττηθεῖσιν ἐκ δευτέρου, πλέον τῆς προτέρας νίκης οἱ δὲ ἦν. Ἀπεψήσαντ' ἄν. ἀπεμάξαντο ὡς οἱ παλαίοντες. ἵνα μηδὲν ἔχοιεν πτώματος. διεπάλαιον δέ, ἀνεπάλαιον. ἀνεμάχοντο. Τῶν πρὸ τοῦ, σίτησιν. σίτησιν λέγει, τὴν ἐν πρυτανείῳ τράπεζαν. τουτέστι δημοσίᾳ τρέφεσθαι, οὐδεὶς ἂν τῶν παλαιῶν ἠξίωσεν. ὡς τῶν κατ' αὐτὸν στρατηγῶν τοῦτο ποιούντων. καὶ ὡς ἐπὶ μισθῷ ὑφισταμένων κατορθῶσαί τι τῇ πόλει. Ἄλλως. στρατηγῶν ἀθηναίων τῶν πρότερον οὐδεὶς πρὸ τοῦ πολέμου σίτησιν ᾔτησεν, ἂν μὴ ὁ δῆμος χαρίζηται. νῦν δὲ ἐὰν μὴ τιμῶνται προεδρίᾳ, καὶ σιτίοις, ἀγανακτοῦσιν. ἔσκωψε δὲ οὐ γὰρ εἶπε σίτησιν. ἐὰν μὴ γένωνται πρόεδροι καὶ τιμῆς ἀξιωθῶσιν, οὐ μαχέσεσθαί φασι. Κλεαίνετον. οὗτος ὁ κλεαίνετος φαίνεται κατεδηδοκὼς τὴν οὐσίαν καὶ ἡδυπαθήσας. οἱ δέ, ὅτι οὗτος ἔγραψε ψήφισμα μὴ δεῖν δοθῆναι τοῖς στρατηγοῖς σίτησιν. σπανίως δὲ μέμνηται τοῦ κλεαινέτου καὶ σχεδὸν ἐνταῦθα μόνον. στοχάζονται δέ τινες ὅτι οὗτος ἂν εἴη ὁ τὴν σίτησιν πρῶτος ποιήσας τῷ κλέωνι. Ἐὰν μὴ προεδρίαν φέρωσι. τιμῆς καὶ οὗτος τρόπος. ἐξῆν δὲ τοῖς τῆς τιμῆς ταύτης τυχοῦσι, καὶ ἐν βουλευτηρίῳ καὶ ἐν ἐκκλησίᾳ καὶ ἐν θεάτροις καὶ ἐν ἄλλῳ παντὶ συλλόγῳ, τοὺς προλαμβάνοντας οἵτινες ἦσαν, ἐξεγείροντας αὐτοὺς εἰς τὸν ἐκείνων τόπον καθίσαι. πεποίηται δὲ τὸ ὄνομα, ἀπὸ τοῦ τὴν πρώτην αὐτοὺς ἕδραν ἔχειν. Ἄλλως. Ἐὰν μὴ πρότερον φησὶ ποιοῦ τοῦ τειχῶσί τινος, ἀπειλοῦσι μὴ μάχεσθαι. διὰ τούτων καθαπτόμενος ὁμοῦ τε καὶ

ἄνδρες ἦσαν τῆσδε τῆς γῆς ἄξιοι καὶ τοῦ πέπλου
οἵτινες πεζαῖς μάχαισιν, ἔν τε ναυφράκτῳ στρατῷ.
πανταχοῦ νικῶντες ἀεὶ, τήνδ' ἐκόσμησαν πόλιν.
κοὐδεὶς οὐδεπώποτ' αὐτῶν τοὺς ἐναντίους ἰδὼν,
ἠρίθμησεν. ἀλλ' ὁ θυμὸς εὐθὺς ἦν ἀμυνίας.
εἰ δέ που πέσοιεν ἐς τὸν ὦμον ἐν μάχῃ τινὶ
τοῦτ' ἀπεψήσαντ' ἄν. εἶτ' ἠρνοῦντο μὴ πεπτωκέναι
ἀλλὰ διεπάλαιον αὖθις. καὶ στρατηγὸς οὐδ' ἂν εἷς
τῶν πρὸ τοῦ, σίτησιν ᾔτησ' ἐρόμενος κλεαίνετον.

καὶ ι´ τρίμετρα καταληκτικά. τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα γλυκώνεια ἐκ δὲ τροχαίου καὶ ἰάμβου πλὴν τοῦ τελευταίου ἐφθημιμεροῦς ὃ καλεῖται φερεκράτειον ὑφ᾽ ὃ παράγραφος καὶ διπλῆ ἔσω νενευκυῖα. δηλοῦσα ἔχειν ἀνταπόδοσιν. τοῖς αὐτοῖς δὲ καὶ ἡ ἀντιστροφὴ σύγκειται ἐφ᾽ ἧς τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι. ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου· ἡ δὲ κατὰ τὸ τέλος. Χαλκοκρότων. χαλκοπόδων τουτέστι τὰς ὁπλὰς ἰσχυρὰς ἐχόντων. συμβαίνει γὰρ ἠχεῖν τὴν γῆν καὶ κτυπεῖν ἀποκρουο-

χαλκοκρότων ἵππων κτύπος
καὶ χρεμετισμὸς ἀνδάνει
καὶ κυανέμβολοι θοαὶ
μισθοφόροι τριήρεις.
μειρακίων θ᾽ ἅμιλλα λαμ-
πρυνομένων ἐν ἅρμασιν.
καὶ βαρυδαιμονούντων
δεῦρ᾽ ἐλθὲς χορὸν ὦ χρυσοτρίαιν᾽ ὦ
δελφίνων μεδέων σουνιάρατε
ὦ γεραίστιε παῖ κρόνου
φορμίωνί τε φίλτατ᾽. ἐκ
τῶν ἄλλων τε θεῶν ἀθη-
ναίοις πρὸς τὸ παρεστώς

ΕΠΙΡΡΗΜΑ.

Εὐλογῆσαι βουλόμεθα τοὺς πατέρας ἡμῶν, ὅτι

μένην τοῖς ποσὶ τῶν ἵππων. Κυανέμβολοι. ἤτοι αἱ τοὺς ἐμβόλους ἔχουσαι κυανῷ βεβαμμένους, ὡς μιλτοπάρῃοι αἱ μεμιλτωμέναι. ἢ αἱ τέμνουσαι τὴν θάλασσαν· κυανὸν γὰρ τὸ ταύτης ὕδωρ. Μισθοφόροι τριήρεις. αἱ τοὺς ἐπὶ μισθῷ στρατευομένους ἄγουσαι. Λαμπρυνομένων. ἀντὶ τοῦ καυχωμένων. καὶ νικώντων ἐν τοῖς ἅρμασι. Βαρυδαιμονούντων. ὅτι ἄθλιοι ἦσαν οἱ ἱπποτροφοῦντες καταναλίσκοντες αὐτῶν τὴν οὐσίαν. Ὦ χρυσοτρίαινα. περιφραστικῶς τῆς θαλάττης βασιλεῦ. σουνιάρατε δὲ ᾧ ἐν τῷ σουνίῳ ἀρῶνται καὶ εὔχονται. σούνιον δὲ ἀκρωτήριον τῆς ἀττικῆς. Γεραίστιε. γεραιστὸς ἀκρωτήριον τῆς εὐβοίας, τῇ μὲν, κρημνίτην ἔχων, τῇ δὲ λέχαιον· ἱερὰ δέ εἰσι τοῦ ποσειδῶνος. ἔνθα ὁ εὔριπος. Φορμίωνί τε φίλτατε. προσφιλέστατε τῷ φορμίωνι, τὸν μῦθον δὲ αἰνίττεται. ὅτι καὶ ὁ ποσειδῶν τῶν ἀθηναίων ἀντεποιήσατο. καὶ τῇ ἀθηνᾷ ἤρισε. στρατηγὸς δὲ ἀθηναίων ναυτικώτατος ὁ φορμίων. καὶ πολλάκις εὐτυχήσας ἐν ναυμαχίαις καὶ ἐν τῇ πρὸς λακεδαιμονίους μάχῃ κατορθώσας. νζ´. ναῦς διέφθειρεν. ἐκ τῶν ἄλλων τε θεῶν ἐκ τῶν ἄλλων θεῶν σὺ μόνος. δεῦρο ἐλθὲ ἀθηναίοις πρὸς τὸ παρεστὼς τουτέστι πρὸς τὰ παρόντα καὶ ἐνεστῶτα πράγματα. ἐπεὶ νεωστὶ ἀθηναῖοι φορμίωνος στρατηγοῦντος περὶ ναυμαχίαν ἠνδραγάθησαν. Εὐλογῆσαι βουλόμεθα. τὸ ἐπίρρημα, στίχων ἐστὶ ιϛ´, τετραμέτρων τροχαϊκῶν ἀκαταλήκτων, ὃ φιλεῖ ἀρίσταρχος ὁμοίως δὲ καὶ τὸ ἀντεπίρρημα. διπλῇ δ᾽ ἄμφω παραγροῦνται. ἀλλὰ τὸ μὲν τῇ ἔσω διὰ τὴν ἀνταπόδοσιν. τὸ δὲ τῇ ἔξω. εὐλογῆσαι δὲ ἀντὶ τοῦ ἐπαινέσαι. ὑμνῆσαι. ἐγκωμιάσαι. Ἄξιοι καὶ τοῦ πέπλου. ἰδίᾳ παρὰ τοῖς ἀθηναίοις πέπλος τὸ ἄρμενον τῆς παναθηναϊκῆς νεὼς ἣν οἱ ἀθηναῖοι κατασκευάζουσι διὰ τετραετηρίδος. ἧς καὶ τὴν πομ-

Π ότε μὲν πλείων ποτὲ δ' οὐχί. οἷον ἀνὰ μέρος, εὐδοκιμῶν. ἔσθ' ὅτε δ' ἡττώμενος. τοῦτο δὲ εἶπεν, ὡς οὐκ ἀεὶ εὐδοκιμοῦντος. Ἐρέτην χρῆναι. κωπηλάτην μὴ ἐπιχειρεῖν. φησὶ κυβερνᾶν, εἰ μὴ ἐν πείρᾳ γένηται τοιαύτῃ. Ἄλλως. Μὴ πρὶν ἐθέλειν κυ/βερνᾶν, οὐ γὰρ οἷόν τε κυβερνᾶν, μὴ πρότερον ἐν πολλῇ πείρᾳ γενόμενον ἀποδημί/ας καὶ τῶν ναυτικῶν, καὶ τοὺς ἀνέμους προϊδεῖν τίνες μέλλουσι πνεῖν καὶ προγνῶναι. εἶθ' οὕτω κυβερνᾶν. ἐντεῦθεν δέ τινι τῶν τῆς παρ' ἡμῖν θρησκείας ἱεροφαντῶν δαιμο/νίως μετηνέχθη μι/

σται τὸ, ἐπαινῶ τ	χοῦ τοῖς μέντοι μόνος αὐτάρκει. ποτὲ μὲν πλείων, ποτὲ δ' οὐχί.
γηίτην νόμον ὅς τὴν	ταῦτ' ὀρρωδῶν διέτριβεν ἀεί. καὶ πρὸς τούτοισιν ἔφασκεν,
κώπην πρότερον	ἐρέτην χρῆναι πρῶτα γενέσθαι, πρὶν πηδαλίοις ἐπιχειρεῖν.
ἐγχειρήσας τῷ νῦν	κᾆτ' ἐντεῦθεν πρωρατεῦσαι. καὶ τοὺς ἀνέμους διαθρῆσαι.
κυβερνήτῃ καὶ πα	κᾆτα κυβερνᾶν αὐτὸν ἑαυτῷ. τούτων οὕνεκα πάντων,
ραδώσας τὰ ἔμπρο	ὅτι σωφρονικῶς κοὐκ ἀνοήτως ἐσπηδήσας ἐφλυάρει,
σθεν, αὖθις ἐπὶ τῶν	αἴρεσθ' αὐτῷ πολὺ τὸ ῥόθιον, παραπέμψατ' ἐφ' ἕνδεκα κώπαις.
οἰάκων καθίζει	θόρυβον χρηστὸν ληναΐτην
μετὰ τὴν πολλὴν	ἵν' ὁ ποιητὴς ἀπίῃ χαίρων.
τυφθεῖσαν θάλασ	κατὰ νοῦν πράξας.
σαν. καὶ τὴν τῶν	φαιδρὸς λάμποντι μετώπῳ.
ἀνέμων διάσκε/	ΣΤΡΟΦΗ.
ψιν. Ὅτι σωφρο	ἵππι' ἄναξ. πόσειδον ᾧ
νικῶς. μετὰ λογισ	

μοῦ καὶ σκέψεως. καὶ οὐκ ἀνοήτως. οὐδὲ ἐκ τοῦ προχείρου. Αἴρεσθ' αὐτῷ πο/λὺ τὸ ῥόθιον. ῥόθιον τὸ κῦμα ἀπὸ τοῦ ταχέως ῥεῖν, ἀπὸ τῶν ἐρεσσόντων μετήνεγ/κεν. ὅταν συνεχῶς ὑπὸ πολλῶν ὀρέττηται, ἐπὶ πλέον προσδέχεται ἡ ναῦς εἰς τὸ πρό/σθεν. ἀξιοῖ οὖν τὸν νῦν ἔπαινον, μέχρι πολλοῦ παραπέμψαι. Ἕνδεκα κώπαις. κέλευσμα ναυτικὸν λέγεται ἐφ' ἕνδεκα κωπηλασίαις ἐκτεινομένη. ἐπέμεινε δὲ τῇ τροπῇ. Ἄλλως. Ἐπαράτην παραδέχεσθαι ἐφ' ἕνδεκα κώπαις ἑξῆς ἀπὸ τῶν ναυτικῶν τουτέστιν ἀπὸ τοῦ κυβερνᾶν καὶ τοῦ ῥόθου τὸ ἐφ' ἕνδεκα κώπαις ἐπήγα/γεν. ἢ ἐπειδὴ οἱ ἀθηναῖοι τῶν ναυτικῶν ἐπιστήμονες ἦσαν. Ληναΐτην. ἑορτὴ παρὰ τοῖς ἀθηναίοις τὰ λήναια. ἔστι δὲ εἰς διόνυσον. ἐν ᾗ μέχρι νῦν ἀγωνίζονται ποιηταὶ συγ/γράφοντές τινα ᾄσματα τοῦ γελασθῆναι χάριν. ὅπερ ὁ δημοσθένης εἶπεν ἐξ ἁμά/ξης. ἐπὶ ἁμαξῶν γὰρ οἱ ᾄδοντες καθήμενοι λέγουσι καὶ ᾄδουσι τὰ ποιήματα.

Φ αιδρὸς λάμποντι μετώπῳ. ἱλαρός. φαιδρὸς τὸ μέτωπον. ἢ διὰ τὸ φαλακρὸν εἶ/ναι τὸν ἀριστοφάνην. Ἵππι' ἄναξ πόσειδον. οὐκ ἀργῶς τῷ ποσειδῶνι νῦν ἐπίθετον, ἔθη/κε τοῦτο. ἐπεὶ καὶ αὐτὸς ὁ χορὸς συνέστηκεν ἐξ ἱππέων. ἀποσεμνύνειν οὖν βουλό/μενος ἐπιτήδευμα τὸ αὐτοῦ, οὕτω τὸν ποσειδῶ προσεῖπε. τουτέστιν ἱππικέ.

Ε ἰς τὸ αὐτό. διπλῆ εἶτα ἐπάγεται ἐπιρρηματικὴ συζυγία. ἧς, μέλη καὶ περίοδοι δ'. ιδ'. κώλων. ὧν τὰ μὲν ὀκτὼ χοριαμβικὰ ἰαμβικὴν ἔχοντα ἐπιμεμιγμένην ἀκα/τάληκτον καὶ καταληκτικὴν ὡς ἐν τῷ ε. καὶ ἡ τῶν δ' ἑξῆς ἀντισπαστικῶν τὰ μὲν θ

καὶ

ἤλεκτροι τῶν ἠλέκτρων. Καὶ τοῦ τόνου οὐκ ἔτ' ἐνόντος. ἀκολούθως μετὰ τὴν κλίνην ἐμνημόνευσε τοῦ τόνου. τόνος γὰρ, τὰ τοῦ κραββάτου σχοινία. τροπικῶς δὲ δηλοῖ τὴν τῆς φωνῆς τάσιν. Τῶν θ' ἁρμονιῶν. ἁρμονίας λέγει, τὰ συμπηκτόμενα τῶν κρουμάτων μέρη. ἐπέμεινε δὲ τῇ τροπῇ. καὶ γὰρ ἁρμονίαν λέγομεν, τὴν τῶν ποιημάτων σύνθεσιν. Διαχασκουσῶν κεχηνυιῶν. διεσκορπισμένων καὶ μὴ ἐχουσῶν εὐέπειαν. Ὥσπερ Κοννᾶς. ὁ Κοννᾶς αὐλητὴς ἦν καὶ μέθυσος. ὃς εἰς συμπόσια παρῄει συνεχῶς ἐστεμμένος, οὗτος ὀλυμπιονίκης γενόμενος καὶ πολλάκις στεφανωθεὶς, πενιχρὸς ἦν μηδὲν ἔχων ἀλλ' ἢ τὸν κότινον ἐφ' οὗ Κρατῖνος εἶπεν. ἔσθιε καὶ σὴν γαστέρ' ἴδου χαίρειν. ὄφρα σε λιμὸς ἐχθαίρῃ.

τῶν θ' ἁρμονιῶν διαχασκουσῶν. ἀλλὰ γέρων ὢν, περιέρρει.
ὥσπερ Κοννᾶς, στέφανον μὲν ἔχων αὖον, δίψῃ δ' ἀπολωλώς
ὃν χρῆν διὰ τὰς προτέρας νίκας πίνειν ἐν τῷ πρυτανείῳ,
καὶ μὴ ληρεῖν ἀλλὰ θεᾶσθαι λιπαρὸν παρὰ τῷ Διονύσῳ.
οἵας δὲ Κράτης ὀργὰς ὑμῶν ἠνέσχετο καὶ στυφελισμούς.
ὃς ἀπὸ σμικρᾶς δαπάνης ὑμᾶς ἀριστίζων ἀπέπεμπεν,
ἀπὸ κραμβοτάτου στόματος μάττων ἀστειοτάτας ἐπινοίας.

Κοννᾶς δὲ, πολυστέφανος νικήσει. λέγει δὲ αὐτὸν τοσαῦτα νικήσαντα μηδέπω τετιμῆσθαι. ἡ δὲ παροιμία. στέφανον μὲν ἔχων, δίψει δ' ἀπολωλώς. καὶ πάλιν Δελφοὶ, αἰὲν στέφανον μὲν ἔχων δίψει δ' ἀπολωλώς. πρὸς τὸν Κρατῖνον δὲ καὶ τοῦτο ὅτι μέθυσός ἐστιν. Ἐν τῷ πρυτανείῳ ἔχεται καὶ τοῦτο τῆς ἐννοίας τῆς προκειμένης. σιτεῖσθαι γὰρ ἔλεγον ἐν τῷ πρυτανείῳ. οὐχὶ πίνειν. παρὰ τῷ Διονύσῳ δὲ ἀντὶ τοῦ ἐν τῷ θεάτρῳ. Οἵας δὲ Κράτης ὀργάς. οὗτος κωμῳδίας ἦν ποιητής. ὃς πρῶτος ὑπεκρίνατο Κρατίνου. καὶ αὐτὸς ποιητὴς ὕστερον ἐγένετο. καὶ ἐξωνεῖτο τοὺς θεατὰς καὶ τὴν τούτων εὔνοιαν. Ἄλλως. Τραγικὸς ποιητὴς, ὀλιγόστιχα ποιήματα γράψας. στυφελισμοὺς δὲ ὀργὰς λοιδορίας. ὕβρεις. μέμψεις. καὶ ἐν μυθικοῖς ὅτε στυφελῶν ἀπὸ πετρῶν ὀστρακόεντα νῶτα καὶ ἀγκύλα γυῖα κεάσθη. Ἀπὸ σμικρᾶς δαπάνης. σμικρὰ ἐποίει καὶ ἔπεμπε τοὺς ἀκροατὰς, γράφων ἡδέα. ἀριστίζων δὲ τρέφων ἄριστον κατασκευάζων. Ἀπὸ κραμβοτάτου. ἡδυτάτου ξηροτάτου ἔπαιξε ἢ ἀπὸ τῆς τοῦ λαχαίου εὐνοίας αὐτοσχέδιος γὰρ ἦν περὶ τὰ δράματα ἢ διὰ τὸ κάπυρον. Ἄλλως. ἀπὸ τοῦ χρηστοτάτου. ἔπαιξε δὲ τῷ κραμβοτάτῳ, ἀπὸ τοῦ λαχαίου κράμβης οὕτω καλουμένης. παρὰ δὲ τοῖς Ἀττικοῖς κοράμβλη διὰ τὸ τὰς κόρας βλάπτειν. φασὶ γὰρ αὐτὴν, ἐκ τῶν ὀφθαλμῶν τοῦ Λυκούργου. ἡνίκα γὰρ ὁ Διόνυσος τοῦτον ἐλαθεὶς εἰς τὴν θάλασσαν ἔδυ, ὑπὸ τῆς ἀμπέλου δεσμευθέντα δάκρυον ἐπαφηκέναι. κἀκ τοῦ δακρύου τὴν κράμβην. καὶ διὰ τοῦτο ἀντιπαθῶς ἔχειν ἀλλήλων τὴν κράμβην καὶ τὴν ἄμπελον. πιστοῦνται δὲ τὸν μῦθον τοῦτον γεωργῶν παῖδες εἰ γάρ τις φασὶ τὴν ῥίζαν αὐτῆς ἐξάψαι ἐν ἀμπέλῳ, οὐκ ἂν αὕτη καρπὸν ἐνέγκοι. ὅθεν καὶ πρώτη ἐν συμποσίῳ δίδοται καὶ οἱ Αἰγύπτιοι πρὸ τῶν ἄλλων ἐδεσμάτων ἑφθὰς κράμβας ἤσθιον διὰ τὸ μὴ μεθύσκεσθαι οἴνῳ. βέλτιον δὲ κράμβη λέγοιτ' ἂν ἡ τῷ κάρῳ ἀντιβαίνουσα. χαριέντως δὲ ὁ ποιητὴς ἀντὶ τοῦ χρηστοτάτου, κραμβοτάτου ἔφησεν. ἵνα τὸ ἀπὸ μικρᾶς δαπάνης καὶ τὸ ἀριστίζω, ἀκόλουθον τῷ ἑξῆς λέγειν δοκῇ. μάττων δὲ, σκεπτόμενος. κατασκευάζων. ἐφευρίσκων. ἀντήρκει δὲ ἀντεῖχε.

ἀνεῖπε Κρατῖνος περὶ αὐτοῦ μεγαληγορῶν, ἀπὸ τούτων καὶ οὗτος τὴν τροπὴν εἰληφέναι. ὁ γὰρ Κρατῖνος οὕτω πως ἑαυτὸν ἐπῄνεσεν ἐν τῇ πυτίνῃ. Ἄναξ ἄπολλον τῶν ἐπῶν τοῦ ῥεύματος. Καναχῶσι πηγαί. δωδεκάκρουνον στόμα. Ἰλισὸς ἐν φάρυγι. τί ἂν εἴποιμί σοι. Εἰ μὴ γὰρ ἐπιβύσει τις αὐτοῦ τὸ στόμα, ἅπαντα ταῦτα κατακλύσει ποιήμασιν. ἤτοι ἢ τοιούτου χάριν τούτου καὶ Ἀριστοφάνης περὶ τοῦ Κρατίνου ταῦτα λέγει, ἢ τὸ ῥεύσας εἶπε σκώπτων πρὸς τὸ ἐνουρεῖν τὸν Κρατῖνον. Διὰ τῶν ἀφελῶν πεδίων. ἀντὶ τοῦ διὰ τῆς φράσεως. ἔνιοι δὲ διὰ τῶν ἀφύων γράφουσι. πρὸς ταῦτα δὲ αὐτὸς ἐσπούδασεν ἀντιθεῖναι τὰ ὑπὸ Κρατίνου εἰρημένα.

διὰ τῶν ἀφελῶν πεδίων ἔρρει. καὶ τῆς στάσεως παρασύρων,
ἐφόρει τὰς δρῦς, καὶ τὰς πλατάνους. καὶ τοὺς ἐχθροὺς προθελύμνους.
ᾆσαι δ' οὐκ ἦν ἐν ξυμποσίῳ, πλὴν δωροῖ συκοπέδιλε.
καὶ τέκτονες εὐπαλάμων ὕμνων. οὕτως ἤνθησεν ἐκεῖνος.
νυνὶ δ' ὑμεῖς αὐτὸν ὁρῶντες παραληροῦντ' οὐκ ἐλεεῖτε.
ἐκπιπτουσῶν τῶν ἠλέκτρων. καὶ τοῦ τόνου οὐκ ἔτ' ἐνόντος.

ἐπεὶ κἀκεῖνος ποταμῷ παρέβαλεν ἑαυτὸν ἀθρόως ῥέοντι. ἰχεῖν πεφύσας τὰς πηγάς. ὅπερ λάβρως ῥέοντος ὕδατός ἐστιν ἔργον, ἢ χοῦν ἀποπλεῖν καὶ ψόφον καὶ τὰ λοιπὰ ὡς εἴπομεν. διὰ τοῦτο καὶ Ἀριστοφάνης ὡς ἐπὶ ποταμοῦ ἐχρήσατο τῇ τροπῇ. Ἄλλως. Τὸ ἐπὶ τῆς φράσεως ἄκομψον καὶ ἁπλοῦν τοῦ Κρατίνου ἀλληγορεῖσθαί φασι τὸ ἀφελές. κεῖται δὲ νῦν ἀντὶ τοῦ ὑγιὲς καὶ ὁλόκληρον. ἢ τὸ μέγα καὶ ἀνεπικώλυτον. ἢ ἀφελῶς ἁπλῶς. οἷον τὰ ἐπιστόλια ἀφελῶς γράφειν. καὶ ἀφελὴς γυνὴ ἡ ἀπόνηρος καὶ δόσιπυγος. ὡς τό, μισῶ τὴν ἀφελῆ, μισῶ τὴν σώφρονα λίαν. δύναται δὲ καὶ ἐνταῦθα ἀντὶ τοῦ ἁπλοῦν ὄγκον ἁπλῆς φράσεως. στάσεις δὲ, τὰ ἀναχώσματα τῶν ποταμῶν. Καὶ τῆς στάσεως παρασύρων ὡς διὰ τὸ γῆρας καὶ τὴν πολυποσίαν, σκάζοντος καὶ τρέμοντος, τοῦ Κρατίνου τὴν βάσιν. ἐφόρει δὲ κατέβαλλε τοὺς ἀνταγωνιζομένους πρὸς αὐτὸν ὑψηλούς, ὄντας τοὺς ἐχθροὺς δὲ, τοὺς περὶ τὸν Καλλίαν αἰνίττεται. Προθελύμνους. προρρίζους. εἰώθασι γὰρ οἱ ποταμοὶ τὰ ἐπὶ τὰς ὄχθας ὄντα δένδρα ἐπειδὰν καταγκαλώσωσι, παρασύροντες καὶ παρατέμνοντες τὴν γῆν, τὰς ῥίζας τέμνειν, ὡς τοῦ Κρατίνου παμψηφεὶ νικῶντος τοὺς ἀνταγωνιστάς. ᾆσαι δ' οὐκ ἦν. πάλιν ὡς μέθυσον αὐτὸν διαβάλλει τὸν Κρατῖνον. οὐκ ἦν γὰρ ἑτέραν φησὶν ἐν τοῖς συμποσίοις ᾠδὴν ποιήσασθαί τινα, προκαταλαμβανόντος αὐτὰ τοῦ Κρατίνου. Δωροῖ συκοπέδιλε. Κρατίνου μέλους ἀρχή. σκώπτων δέ τινα ἐκεῖνος δωροδόκον καὶ συκοφάντην τοῦτο εἶπεν. Τέκτονες, εὐπαλάμων. τέκτονες πάντες οἱ τεχνῖται. καὶ τοῦτο δὲ, ἐκ τῶν εὐμενίδων Κρατίνου. εὐπαλάμων δὲ, εὐδιακεχειρισμένων ἢ συντεταγμένων. Παραληροῦντα. διαφθαροῦντα καὶ ἀσχημονοῦντα. Ταῦτα ἀκούσας ὁ Κρατῖνος, ἔγραψε τὴν πυτίνην. δεικνὺς ὅτι οὐκ ἐλήρησεν ἐν οἷς κακῶς λέγει τὸν Ἀριστοφάνην ὡς τὰ Εὐπόλιδος λέγοντα. Ἐκπιπτουσῶν τῶν ἠλέκτρων. ἰδίως τὰ ταῖς κλίναις ἐπιβαλλόμενα, οὕτως ἐκάλουν ἤλεκτρα. μεταφορᾷ οὖν κέχρηται ἀπὸ τῶν κλινῶν. αἱ γὰρ ἀρχαῖαι κλῖναι τοὺς πόδας εἶχον ἠσφαλισμένους ἄνθραξι καὶ ἠλέκτροις, ὥσπερ νῦν ἀργύρῳ ἢ κασσιτέρῳ. διόπερ βαρυτόνως ἀναγνωστέον ἀπὸ τοῦ ἄν-

153

ἀρθ. ... ... ένους. ξυ... ἤλεκτρα

Τὴν ἐριώλην. τυφῶς, ἀνέμου συστροφὴ ἢ πυρός. τὸν Κλέωνα δὲ λέγει. ἐριώλη δὲ ἀναθυμιάσεως συστροφὴ, πρὶν ἐμπυρωθῆναι τὸν ἀέρα. καὶ ἡ μεγάλη δὲ πνοὴ οὕτως. ἔμπαλιν δὲ εἰπὼν, ηὔξησεν ἂν μᾶλλον καὶ δεξιώτερον εἶπεν. ἡ γὰρ ἐριώλη, πνοὴ σφοδρά. ἀλλ' ὅ γε τυφῶς, μεῖζόν τι πνεῦμα καὶ κακοποιόν. ἔδει οὖν εἰπεῖν πρῶτον ἐριώλην, εἶτα τυφῶ. καὶ εἶχεν ἂν μείζω τὴν ἔμφασιν. Διατρίβειν. τὸ ὑπερτίθεσθαι καὶ μέλλειν αὐτούς. Πολλῶν γὰρ δὴ πειρασάντων. μετελθόντων καὶ ἐπιτηδευσάντων.

καὶ γενναίως πρὸς τὸν τυφῶ χωρεῖ καὶ τὴν ἐριώλην.
ἃ δὲ θαυμάζειν ὑμῶν φησι πολλοὺς αὐτῷ προσιόντας,
καὶ βασανίζειν ὡς οὐχὶ πάλαι χορὸν αἰτοίη καθ' ἑαυτὸν,
ἡμᾶς ὑμῖν ἐκέλευσε φράσαι περὶ τούτου. φησὶ γὰρ ἁνὴρ
οὐχ ὑπ' ἀνοίας τοῦτο πεπονθὼς διατρίβειν. ἀλλὰ νομίζων
κωμῳδοδιδασκαλίαν εἶναι χαλεπώτατον ἔργον ἁπάντων
πολλῶν γὰρ δὴ πειρασάντων αὐτὴν, ὀλίγοις χαρίσασθαι,
ὑμᾶς τε πάλαι διαγινώσκων ἐπετείους τὴν φύσιν ὄντας.
καὶ τοὺς προτέρους τῶν ποιητῶν ἅμα τῷ γήρᾳ προδιδόντας.
τοῦτο μὲν εἰδὼς ἅπαθε μάγνης ἅμα ταῖς πολιαῖς κατιούσαις.
ὃς πλεῖστα χορῶν τῶν ἀντιπάλων νίκης ἔστησε τρόπαια.
πάσας δ' ὑμῖν φωνὰς ἱεὶς καὶ ψάλλων καὶ πτερυγίζων
καὶ λυδίζων καὶ ψηνίζων καὶ βαπτόμενος βατραχείοις,
οὐκ ἐξήρκεσεν. ἀλλὰ τελευτῶν, ἐπὶ γήρως, οὐ γὰρ ἐφ' ἥβης,
ἐξεβλήθη πρεσβύτης ὢν, ὅτι τοῦ σκώπτειν ἀπελείφθη.
εἶτα κρατίνου μεμνημένος, ὃς πολλῷ ῥεύσας ποτ' ἐπαίνῳ

ἀπὸ τοῦ πειρᾶν ἐσχημάτισε. πειρᾶν δὲ, τὸ προσβάλλειν τῇ γυναικὶ περὶ ἀφροδίτης. τροπικῶς οὖν κέχρηται ὡς ἐπὶ γυναικός. διὸ καὶ τὸ, χαρίσασθαι ἐπήνεγκε. σημειῶσαι οὖν παλαιῶς ἀντὶ τοῦ τυχεῖν τινὰς καὶ ὀλίγους κατορθῶσαι παντάπασιν. Ἐπετείους αἰτιατική. ἐκ πολλοῦ καταγινώσκων τῶν ὑμετέρων τρόπων. ἀπὸ τῶν ἰωνῶν δὲ μετήνεγκε τῶν μὴ μονίμων ὄντων. ἀλλὰ φερομένων τῇ ὥρᾳ. τουτέστιν εὐμεταβλήτους ὀλιγώρους. μὴ διαμένοντας ἐν τοῖς αὐτοῖς. ἀλλ' ἀψικόρους.

Καὶ τοὺς προτέρους τῶν ποιητῶν. οἷον τοῖς νέοις χαίροντας ἀεὶ τῶν ποιητῶν, καὶ μὴ τοῖς ἀρχαίοις, καὶ εἰς τὴν θυμέλην παριοῦσι πρῶτον. Προδιδόντας. ἐπὶ γήρως οὐδὲν καταλείποντας. μάγνης δὲ ἀρχαίας κωμῳδίας ποιητής. Τῶν ἀντιπάλων. κατὰ τῶν ἀνταγωνιστῶν. φησὶ δὲ ὅτι εὐδοκιμῶν ὁ μάγνης, πολλὰς νίκας ἀπηνέγκατο κατὰ τῶν ἐξεναντίας. ἱεὶς δὲ, ἀφιεὶς παρεχόμενος. Ψάλλων. τοὺς βαρβιτιστὰς οὗτοι λέγουσι. τοὺς βαρβιτιστὰς αἱ λέγουσι. δρᾶμα δέ ἐστι τοῦ μάγνητος. ἡ δὲ βάρβιτος εἶδος ὀργάνου μουσικοῦ. πτερυγίζων δὲ ὅτι καὶ ὄρνιθας ἐποίησε δρᾶμα. ἔγραψε δὲ καὶ λυδοὺς καὶ ψῆνας καὶ βατράχους. ἔστι δὲ χρώματος εἶδος τὸ βατράχειον. ἀπὸ τούτου καὶ βατραχὶς ἱμάτιον. ἔχριον τε δὲ τῷ βατραχίῳ τὰ πρόσωπα, πρὶν εὑρεθῆναι τὰ προσωπεῖα. τὸ πτερυγίζειν δὲ εἶπε, ὡς πρὸς τοὺς ψῆνας διαφόρων. Ὃς πολλῷ ῥεύσας. οἱ γὰρ λάβρως ποταμοὶ ῥέοντες καὶ αὐτῆς τῆς γῆς παρασύρουσι μέρος δι' ἧς ῥέουσι. τουτέστιν εὐδοκιμήσας πολλάκις. καὶ δημοσθένης ἐν φιλιππικοῖς. τότε τοίνυν τυφῶνος πολλοῦ ῥέοντος καθ' ὑμῶν. δοκεῖ δ' ἐμοὶ ἀριστοφάνης ἀφ'

χοροῦ ὀνομάζεσθαι ὡς εἴρηται. ἔθος γάρ ἐστι προτίθεσθαι τῆς παραβάσεως. κομ-
μάτιόν ἐστιν ἐκ κώλων ἀναπαιστικῶν θ᾽ πλὴν τοῦ παρατελεύτου. ὅπερ μονόμετρον
καὶ τοῦ ε᾽ καὶ τελευταίου, ἅπερ ἑφθημιμερῆ, διμέτρων. ἐπὶ δὲ τέλει παράγραφος.
ταῦτα δὲ παρὰ τὰ σοφοκλέους ἐξ ἰολάου. Ζεὺς ἀγοραῖος. ὡς ζεὺς ξένιος. ἢ μει-
λίχιος ἢ φίλος, οὕτως ἀγοραῖος. οἰκείως δὲ νῦν διὰ τὸν ἀλλαντοπώλην ἀγοραῖον ὄν-
τα. Κατάπαστος ἢ κατάμεστος. πλήρης πεποικιλμένος.

Ὑμεῖς δ᾽ ἡμῖν. ἐντεῦθεν παράβασις γίνεται. καὶ ἔστι τοῦτο, τὸ καλούμενον κομμάτιον. μεθ᾽ ὃ οἱ ἀνάπαιστοι. ἔπειτα τὸ μακρόν. μετὰ ταῦτα, στροφή. ἔπειτα τὸ ἐπίρρημα. ἑξῆς δὲ ἡ ἀντιστροφὴ καὶ ἐπὶ πᾶσι τὸ ἀντεπίρρημα. παντοίας δὲ παντοδαπῆς ποικίλης, μεμουσωμένοι ἀκροαταὶ καὶ πάσης παιδεύσεως καὶ μέτρου ἀκροασάμενοι.

Ζεὺς ἀγοραῖος. καὶ νικήσας,
αὖθις ἐκεῖθεν πάλιν ὡς ἡμᾶς
ἔλθοις στεφάνοις κατάπαστος.
ὑμεῖς δ᾽ ἡμῖν προσέχετε τὸν νοῦν.
τοῖς ἀναπαίστοις, ὦ παντοίας
ἤδη μούσης πειραθέντες καθ᾽ ἑαυτούς

ΠΑΡΑΒΑΣΙΣ.

Εἰ μέν τις ἀνὴρ τῶν ἀρχαίων, κωμῳδοδιδάσκαλος ἡμᾶς
ἠνάγκαζεν ἔπη λέξοντάς γ᾽ ἐς τὸ θέατρον παραβῆναι
οὐκ ἂν φαύλως ἔτυχε τούτου. νῦν δ᾽ ἄξιος ἐσθ᾽ ὁ ποιητής
ὅτι τοὺς αὐτοὺς ἡμῖν μισεῖ, τολμᾷ τε λέγειν τὰ δίκαια

Εἰ μέν τις ἀνήρ. ἀναπαιστικὴ διπλῆ καὶ ἔκθεσις εἰς αὐτὴν τὴν παράβασιν ἀνα-
παιστικοὶ στίχοι καταληκτικοὶ τετράμετροι, μα᾽. ὧν τελευταῖος αἴρεσθ᾽ αὐτῷ
πολὺ τὸ ῥόθιον. παραπέμψατ᾽ ἐφ᾽ ἕνδεκα κώπαις, ἐγκθέσει δὲ κῶλα ἀνα-
παιστικὰ τέτταρα ὧν τὰ μὲν δύο δίμετρα ἀκατάληκτα. τὸ τρίτον μονόμε-
τρον ὃ καὶ παρατέλευτον ὀνομάζεται. τὸ δὲ τέταρτον δίμετρον καταληκτι-
κόν. ὑφ᾽ ὃ παράγραφος. ὁ δὲ λόγος ἐκ τοῦ χοροῦ παρὰ τοῦ ἀριστοφάνους τὸν λόγον
ποιούμενος. Ἔπη λέξοντας. ὅτι καὶ τὰ ἄλλα μέτρα ἔπη λέγονται. Παρα-
βῆναι. τῇ παραβάσει χρήσασθαι. λέγεται δὲ παράβασις, ἤτοι ἐπειδὴ ἀπήρτηται
τῆς ἄλλης ὑποθέσεως ἢ ἐπειδὴ παραβαίνει ὁ χορὸς τὸν τόπον. ἐ   μὲν γὰρ
κατὰ στίχον οἱ πρὸς τὴν ὀρχήστραν ἀποβλέποντες, ὅταν δὲ παραβῶσιν, ἐφεξῆς
ἑστῶτες καὶ πρὸς τοὺς θεατὰς, βλέποντες τὸν λόγον ποιοῦνται. Οὐκ ἂν φαύ-
λως, οὐκ ἂν δυσχερῶς, οὐδ᾽ ἄνευ καμάτου καὶ πόνου. Ἄξιος ἐσθ᾽ ὁ ποιητής. λέ-
γει ὅτι ἄξιος ἐσθ᾽ ὁ ποιητὴς καὶ τῆς παρὰ τῶν θεωμένων εὐνοίας. ὅτι τὴν πρὸς κλέωνα
ἔχθραν ἐπανείλετο. καὶ τοὺς αὐτοὺς ἐχθροὺς ἡγεῖται. οὓς ὑμεῖς οἱ ἀθηναῖοι.

Καὶ γενναίως πρὸς τὸν τυφῶ. ὁ τυφὼς γῆς μέν ἐστιν υἱός. ἴσχυσε δὲ τοσοῦτον ὡς μὴ
ἀνθρώποις μόνοις δοκεῖν φοβερὸς εἶναι. ἀλλὰ καὶ τοῖς θεοῖς. καὶ εἰς ἀλόγων ζώ-
ων ἰδέας μετέβαλλον τὰς μορφὰς διὰ τὸν ἐκείνου φόβον.

ται πρὸς αὐτόν. νῦν γὰρ φησὶν αἰτιαστὰς πρὸς τὸν κλέωνα, ἔργῳ δείξεις, ἐάν σοι γεν/ναῖον ἢ πανοῦργον ἐν τῷ πρώτῳ πέπρακται βίῳ. Θεύσει γὰρ ᾄξας. δραμὼν ὁρμήσας ἐπεισελθών. καὶ ὅμηρος ἔμελλε θεύσεσθαι. ᾄξας δὲ ἀντὶ τοῦ αἴξας εἰσελ/θών. Κραγὸν κεκράξεται. ἀρίσταρχος ὀξυτόνως ἀντὶ τοῦ κραυγαστικῶς. καὶ ἡρω/διανὸς ἐν ἀττικῇ προσῳδίᾳ. Ἔχε νυν ἄλειψον. στέαρ δίδωσιν αὐτῷ ἀλείφεσθαι. ἵνα δυσχερῶς ὀλισθαίνειν δύνηται καὶ δυσληπτος ᾖ τῷ ἀνταγωνιστῇ. οὐκ ἀργῶς δὲ

θεύσει γὰρ ᾄξας ἐς τὸ βουλευτήριον.
ὡς οὗτος ἐμπεσὼν, ἐκεῖσε διαβαλεῖ,
ἡμᾶς ἅπαντας καὶ κραγὸν κεκράξεται.
ἀλ. Ἀλλ' εἶμι. πρῶτον δ' ὡς ἔχω τὰς κοιλίας,
καὶ τὰς μαχαίρας ἐνθαδὶ καταθήσομαι.
χο. ἔχε νυν. ἄλειψον τὸν τράχηλον τουτονὶ
ἵν' ἐξολισθάνειν δύνῃ τὰς διαβολάς.
ἀλ. ἀλλ' εὖ λέγεις. καὶ παιδοτριβικῶς ταῦτά γε.
χο. ἔχε νυν, ἐπέγκαψον λαβὼν ταδί. ἀλ. τί δαί;
χο. ἵν' ἄμεινον ὦ τᾶν ἐσκοροδισμένος μάχῃ
καὶ σπεῦδε ταχέως. ἀλ. ταῦτα δρῶ. χο. μέμνησο νυν
δάκνειν. διαβάλλειν. τοὺς λόφους κατεσθίειν.
χὤπως τὰ κάλλαι' ἀποφαγὼν, ἥξεις πάλιν
χο. ἀλλ' ἴθι χαίρων καὶ πράξειας
κατὰ νοῦν τὸν ἐμὸν, καί σε φυλάττοι

ΚΟΜΜΆΤΙΟΝ

τὸ λίπος παραλαμβά/νουσι διὰ τὸ ἀλλαντοπώ/λην αὐτὸν εἶναι. εἰώθασι γὰρ αὐτοὶ τὰ λίπη κατατέ/μνοντες, βάλλειν εἰς τὸ φύραμα. καὶ οὕτω τη/ροῦν τοὺς βούλους.

Τὰς διαβολάς. δέον εἰ/πεῖν τὰς λαβὰς ὡς ἐπὶ πάλης, τὰς διαβολὰς εἶπεν ἃς ἔμελλε διαβάλ/λειν ὁ κλέων. Παιδοτρι/βικῶς. ἐπειδὴ ἀπέτρι/ψεν αὐτὸν τῷ λίπει, παι/δοτρίβην καλεῖ. ἄλλως. ἀντὶ τοῦ ἀλειπτικῶς. παι/δοτρίβαι γὰρ καλοῦνται, οἱ ἀλεῖπται καὶ κηρωματισταί. Ἐπέγκαψον. χάψον ἐπίφαγε ταδί. καὶ τοῦτο παρεπιγραφή. σκόροδον γὰρ αὐτῷ προσφέρει. ὅ φασι δεῖν αὐτὸν ἀποφαγεῖν.

Ἐσκοροδισμένος μάχῃ. μετήνεγκεν ἀπὸ τῶν ἀλεκτρυόνων ὅταν γὰρ εἰς μάχην συμ/βάλλωσιν αὐτοὺς, σκόροδα διδόασιν αὐτοῖς. ἵνα δριμύτεροι ὦσιν ἐν τῇ μάχῃ. Ἄλ/λως. κατάφαγε τὰ σκόροδα. ἵνα ὀξύτερος γενόμενος καὶ σκορόδοις τραφεὶς, γέ/νῃ ὡς οἱ ἀλεκτρυόνες. κάλλαια δὲ τοὺς πώγωνας τῶν ἀλεκτρυόνων. Ἥξεις πά/λιν. λεληθότως σκώπτει τὸν κλέωνα δι' ὧν ἐκείνῳ παρακελεύεσθαι δοκεῖ. μάλιστα γὰρ παρὰ τοῖς ἀθηναίοις εὐδοκίμησεν ἐκεῖνος τὸ ἄλλους διαβάλλειν τῶν δημαγω/γῶν. ὡς καὶ ἐν ἀρχῇ τοῦ ποιήματος λέγων περὶ αὐτοῦ ἔφησε κάκιστα δ' ἤδ' οὗτός γε πρῶ/τος παφλαγόνων αὐταῖσι διαβολαῖς. Ἀλλ' ἴθι χαίρων. κορωνίς. εἰσελθόντος γὰρ τοῦ ὑποκριτοῦ, εἶτα καταληφθεὶς ὁ χορὸς, λέγει περίοδον ἀναπαιστικῆ. τὴν μὲν προ/πεμπτικὴν τοῦ ἑτέρου τοῦ ὑποκριτοῦ οὖσαν δεκάμετρον πεντάκωλον, ὑφ' ὃ διπλῆ κατὰ τὴν δευτερεύουσαν, κομμάτιον. ἄρχεται γὰρ τῆς καλουμένης τελείας παραβάσεως. ἑπτάμετρα δέ εἰσι. τὸ δὲ κομμάτιον, τετράμετρον. Ἄλλως. τοῦτο διὰ τὸ μετὰ τὴν διπλῆν τίθεσθαι ἔοικεν εἶναι ἐκθέσεως τῆς διπλῆς. διὸ καὶ τὸ παρατέλευτον ἔχει κῶλον. ὅπερ ἔθος ἐν τῇ ἐκθέσει τίθεσθαι. διὰ δὲ τὸ προτίθεσθαι τῆς παραβάσεως, κομμάτιον

λακεδαιμόνιοι, φησὶν αὐτὸς οὐκ ἀγνοεῖν. ἐπεὶ δὲ ὁ κλέων πικτινικοῖς ποιν ὀνόμασιν ἐχρήσατο, πάλιν οὗτος χρῆται χαλκευτικοῖς. φυσώμενα ἢ εἶπε διὰ τὰς φύσας τὰς χαλκευτικάς. τὸ δὲ χαλκεύεται ὡς πρὸς τὰς φύσας εἶπεν. ἔτι δὲ ὅμοιοι ὧ τικταίνεται. πάντα δέ φησι πράττει τῷ κλέωνι, ὅπως οἱ ἄνδρες τῶν δεσμῶν ἐκφύγοιεν. Τοῖς δεδεμένοις. τουτέστι τοῖς τριακοσίοις τῶν λακεδαιμονίων οὓς ἀπὸ πύλου καὶ σφακτηρίας ἤγαγεν. οὓς εἶπεν ἀποδεδόσθαι βούλεσθαι τὸν κλέωνα.

Εὖγ᾽ εὖγε. ὑπερεπαινεῖ πάλιν ὁ χορὸς ἐνταῦθα τὸν ἀλλαντοπώλην. ὅτι αὐτὶ τῶν πικτονικῶν ῥημάτων αὐτὸς χαλκευτικὰ φθέγγεται. Καὶ ξυγκροτοῦσι. συνέχουσι καὶ συμπράττουσι. καὶ οὐδένα καιρὸν παραλείπουσι τοῦ πείθειν τὸν κλέωνα τοῖς δεδεμένοις δοῦναι σωτηρίας ἀφορμήν. Ἄλλως. ἐπέμεινε τῇ μεταφορᾷ τῇ ἀπὸ τῶν χαλκέων. αὐτὶ τοῦ συμπράττουσιν. Οὐκ ἀθηναίοις φράσω. ἡ σύνταξις ἀττική. λέγει δέ, ὅτι διδοὺς καὶ παραχρῆμα.

ἐγῷδ᾽ ἐπὶ γὰρ τοῖς δεδεμένοις χαλκεύεται.
χο. εὖγ᾽ εὖγε. χάλκευ᾽ αὐτὶ τῶν κολλωμένων.
αλ. καὶ ξυγκροτοῦσιν ἄνδρες αὔτ᾽ ἐκεῖθεν αὖ.
καὶ ταῦτά μ᾽ οὔτ᾽ ἀργύριον οὔτε χρυσίον
διδοὺς ἀναπείσεις, οὔτε προσπέμπων φίλους,
ὅπως ἐγὼ ταῦτ᾽ οὐκ ἀθηναίοις φράσω.
κλ. ἐγὼ μὲν οὖν αὐτίκα μάλ᾽ ἐς βουλὴν ἰὼν,
ὑμῶν ἁπάντων τὰς ξυνωμοσίας ἐρῶ.
καὶ τὰς ξυνόδους τὰς νυκτερινὰς ἐπὶ τῇ πόλει
καὶ πάνθ᾽ ἃ μήδοις καὶ βασιλεῖ ξυνόμνυτε.
καὶ τὰ ᾽κ βοιωτῶν ταῦτα συντυρούμενα.
αλ. πῶς οὖν ὁ τυρὸς ἐν βοιωτοῖς ὤνιος.
κλ. ἐγώ σε νὴ τὸν ἡρακλέα παραστορῶ.
χο. ἄγε δὴ σὺ τίνα νοῦν ἢ τίνα ψυχὴν ἔχεις,
νυνὶ διδάξεις. εἴπερ ἀπεκρύψω ποτὲ,
ἐς τὰς κοχώνας τὸ κρέας, ὡς αὐτὸς λέγεις.

Τὰς ξυνωμοσίας. τὰς ἐπὶ καθαιρέσει τοῦ δήμου ἐν ὅρκοις συνόδους.
Τὰς ξυνόδους τὰς νυκτερινάς. ὅτι νυκτὸς οὔσης, κατὰ τῆς πόλεως ἐβουλεύεσθε.
Καὶ βασιλεῖ ξυνόμνυτε. φθάσας ὁ ἀλλαντοπώλης, διέβαλεν αὐτὸν ἐπὶ βλάβῃ τῆς πόλεως ἀργείοις καὶ λακεδαιμονίοις ξυνιέναι. διὰ τοῦτο καὶ ὁ κλέων ὡς τῷ τῶν περσῶν βασιλεῖ προδιδόντας αὐτὸν τὰ τῆς πόλεως αἰτιᾶται πράγματα. Ξυνόμνυτε. συμπράττετε. καὶ κοινολογεῖσθε. καλῶς δὲ τῆς διαβολῆς οὐκ ἀπατᾶται τῆς δι᾽ αὐτοῦ, ξυνωμότας αὐτὸν τῷ περσῶν βασιλεῖ λέγων γεγονέναι. ἵνα ὡς περὶ ἔθος δείξῃ τοῦτο καὶ βεβαιώσῃ, ὅτι καὶ κατὰ τούτου ξυνωμοσίαν πεποίηνται. Συντυρούμενα. συμπηγνύμενα. καὶ ὅτι παρὰ βοιωτοῖς, πολὺς τυρός. Ὁ τυρὸς ἐν βοιωτοῖς. ἔπαιξε τοῦτο πρὸς τὸ συντυρούμενα πρὸς τὴν μεταφοράν. τὸ δ᾽ ὅλον πρὸς τὸ ἐκ τοῦ ... ρας ὡς τὸ πλῆθος καταπληκτομένους τοῖς αὐτοῦ ἀκυρολογίαις. Παραστορῶ. ἐκ τοῦ ... γῶ ἅμα δὲ καὶ ἀπὸ τῶν βυρσῶν. ἀκολούθως δὲ τοῦ ἡρακλέους ἐμνήσθη. ἐπειδὴ θηβαίων ἴδιος ὁ θεὸς οὗτος εἶναι λέγεται. τῆς δὲ βοιωτίας αἱ θῆβαι πόλις. Ἄγε δὴ σύ. τὸ μὲν κλέωνος τῆς θυμέλης ἐπεξῆλθε πρόσωπον, τὴν βουλὴν δὴ ἔνθεν κινήσαι κατ᾽ αὐτοῦ. οἱ δὲ περὶ τὸν νικίαν, τῷ ἀλλαντοπώλῃ παρακελεύονται γενναίως αὐτὸν ...

Κόβαλος εἶ. προείρηκα μὲν ὅτι τοὺς μετὰ ξύλου λῃστὰς, οὕτως ἐκάλουν οἱ παλαιοί. Ἰού. τοῦτο παρεπιγραφή. τυπτόμενον γὰρ ὑποκρίνεται. Ξυνωμόται. οἱ ἀποστάται. οἱ προδόται. οἱ τὰ αὐτὰ κατ' ἐμοῦ συνθέμενοι φρονεῖν. Παῖ αὐτόν. Ἰστέον ὅτι ὁ χορὸς ταῦτα τῷ ἀλλαντοπώλῃ παρακελεύεται. ἀστείως δὲ διὰ τὴν ἐκείνου τέχνην εἴς τε τὰ ἔντερα καὶ τὸν κόλον αὐτὸν τύπτειν κελεύει. μάλιστα γὰρ ἡ τῶν ἀλλαντοπώλων ἐκ τούτων συνέστηκε τέχνη. Κόλα τὸν ἄνδρα. κολούσεις καὶ παιδώσεις καὶ ταπεινώσεις.

ΚΛ. κόβαλος εἶ. ΑΛ. πανοῦργος εἶ.

ΧΟ. παῖ' ἀνδρικῶς. ΚΛ. ἰοὺ ἰού.

τύπτουσί μ' οἱ ξυνωμόται.

ΧΟ. παῖ' αὐτὸν ἀνδρικώτατα.

γάστριζε καὶ τοῖς ἐντέροις.

καὶ τοῖς κόλοις.

χὤπως κολᾷ τὸν ἄνδρα.

ΧΟ. ὦ γεννικώτατον κρέας, ψυχήν τ' ἄριστε πάντων.

καὶ τῇ πόλει σωτὴρ φανεὶς, ἡμῖν τε τοῖς πολίταις.

ὡς εὖ τὸν ἄνδρα ποικίλως θ' ὑπῆλθες ἐν λόγοισιν.

πῶς ἄν σ' ἐπαινέσαιμεν οὕτως ὡς περ ἡδόμεθα.

ΚΛ. ταυτὶ μὰ τὴν Δήμητρά μ' οὐκ ἐλάνθανε

τεκταινόμενα τὰ πράγματ' ἀλλ' ἠπιστάμην,

γομφούμενά γε τὰ πάντα καὶ κολλώμενα.

ΧΟ. οἴμοι. σὺ δ' οὐδὲν ἐξ ἁμαξουργοῦ λέγεις

ΑΛ. οὔκουν μ' ἐν Ἄργει οἷα πράττεις λανθάνει.

πρόφασιν μὲν Ἀργείους φίλους ἡμῖν ποιεῖ

ἰδίᾳ δ' ἐκεῖ Λακεδαιμονίοις ξυγγίνεται

καὶ ταῦτ' ἐφ' οἷσίν ἐστι συμφυσώμενα,

ἀπὸ δὲ τοῦ κόλου καὶ ἐντέρων, τὴν λέξιν ἐποίησεν. ἴσως δὲ καὶ αὐτῶν τύπτουσιν. Ὦ γεννικώτατον. ἰσχυρώτατον. παίζων κρέας αὐτὸν λέγει. ἐκ μεταφορᾶς τῶν ἰσχυρῶν κρεῶν ἃ οὐ κατεργάζεται πυρί. Ὡς εὖ. ἀντὶ τοῦ ἐπιτηδείως αὐτὸν καὶ ὑπερβαλλόντως διὰ τῶν λόγων ἐνίκησας τῶν σῶν. Ἀλλ' ἠπιστάμην. ὑψηλὸς ὢν καὶ μεγαλόφωνος ὁ Κλέων, πολυτρόποις λόγοις κέχρηται. Γομφούμενα. σφηνούμενα. γόμφοι γὰρ, οἱ σφῆνες οἱ συνείροντες τὰς σανίδας καὶ συναρμονιοῦντες καὶ συνέχοντες. Ἐξ ἁμαξουργοῦ. ἁμαξουργοὺς Ἀττικοὶ τοὺς ἀγριοπηγούς. εἶδος δὲ ἀγριοπηγοὶ, τεκτόνων. οἱ τὰς ἁμάξας τεκταίνουσι καὶ πάντων τῶν ἀγρίων ξύλων εἰσὶν ἐργάται. ἐπειδὴ δὲ ὁ Κλέων τεκτονικοῖς ὀνόμασι πᾶσιν ἐχρήσατο, τεκταινόμενα εἰπὼν καὶ γομφούμενα, ὁ δὲ ἀλλαντοπώλης οὐκ ἀπὸ τεκτονικῆς ἀπαντᾷ, ὁ χορὸς ὥσπερ δέδοικε μὴ ἧττον ἀπενέγκηται τοῦ Κλέωνος, καὶ ἀσχάλλει καὶ δυσφορεῖ ὅτι οὐδὲν ἀντέθηκε τοιοῦτον ῥῆμα. Οὔκουν μ' ἐν Ἄργει. παρὰ τὸν πόλεμον τὸν Πελοποννησιακόν. καί τοι πρότερον ἐχθροὶ ὄντες τοῖς Ἀργείοις οἱ Ἀθηναῖοι διὰ τὴν πρὸς Λακεδαιμονίους ἀπέχθειαν, ἔδοξαν αὐτοῖς γενέσθαι φίλοι. φησὶν οὖν ὅτι Κλέων ἐπὶ βλάβῃ τῆς πόλεως τὴν Ἀργείων φιλίαν προξενῶν, οὐ λανθάνει με σπείσασθαι πρὸς τοὺς Ἀργείους πείθων τὴν πόλιν, παρρησίᾳ εἰς τὸ συγγενέσθαι τοῖς Λακεδαιμονίοις ἑαυτῷ περιποιούμενος. Καὶ ταῦτ' ἐφ' οἷσίν ἐστι συμφυσώμενα. κατασκευαζόμενα. ἐπὶ τίσι συμπνέουσι καὶ ὁμοφωνοῦσιν ὅ, τε Κλέων καὶ οἱ

ε κ τῶν ἀλιτηρίων. τῶν μετεχόντων τοῦ κυλωνείου ἄγους. ὅπερ εἰς τὴν ἀθηνᾶν δοκεῖ γενέσθαι ἀσέβημα. ἐπειδὴ γὰρ οἱ συγκατακλεισθέντες τῷ κύλωνι ἐν τῇ ἀκροπόλει, εἰς τὴν κρίσιν κατέβησαν ἐν ἀρείῳ πάγῳ, ἐκ τοῦ ἕδους τῆς θεοῦ ἐξάψαντες τὴν ἱκετηρίαν· ἧς διαρρυείσης, λίθοις αὐτοὺς ἔβαλλον οἱ ἀθηναῖοι. ἀλιτηρίων δὲ, ἀντὶ τοῦ ἐναγῶν.

κλ. ἐκ τῶν ἀλιτηρίων σέ φημι γεγονέναι τῶν τῆς θεοῦ.
ἀλ. τὸν πάππον εἶναί φημί σου τῶν δορυφόρων. κλ. ποίων φράσον.
ἀλ. τῶν βυρσίνης τῆς ἱππίου.

Ἀλιτηρίων. τῶν ἁμαρτησάντων εἰς ἀθηνᾶν. κύλων γὰρ ἀθηναῖος ἀνὴρ, μεγαρίδα γυναῖκα γήμας θεαγένους γυναῖκα, θέλων τυραννεῖν, ἔλαβε χρησμὸν τῇ μεγάλῃ ἑορτῇ τοῦ διὸς ἐπιθέσθαι τῇ πόλει. ἐν ὀλυμπίᾳ δὲ ἐπιθέμενος, νομίζων ταύτην εἶναι μεγάλην ἑορτὴν, δύναμιν λαβὼν παρὰ θεαγένους, μὴ γνοὺς ὅτι τὰ διάσια ἦν ἡ μεγάλη ἑορτὴ, ἐπελθὼν τῇ ἀκροπόλει ἁλίσκεται. ἐλήφθη δὲ συλῶν τὸ ἱερὸν τῆς ἀθηνᾶς. καὶ αὐτὸς μὲν ὁ κύλων φεύγει. τοὺς δ' ἄλλους φονεύουσι. τινὰς δὲ καὶ ἱκέτας ἐκ τῶν βωμῶν ἀπατήσαντες ἀπέκτειναν. τοὺς οὖν ἁμαρτάνοντας εἰς τοὺς ἱκέτας, ἀλιτηρίους ἔφασκον· οὓς καὶ ἐξέβαλον τῆς πόλεως ὅτι ἐκ τῶν ἀρχαίων νόμων παρέβησαν τοὺς ἱκέτας φονεύσαντες. Ἄλλως. κύλων τὴν ἀκρόπολιν κατέλαβεν ἐπὶ τυραννίδι. καὶ ἐλήφθη ποτὲ συλῶν τὸ ἱερὸν τῆς ἀθηνᾶς. καὶ ὑπὸ ἀθηναίων ἐκλείσθη. καὶ οὕτως ἐκεῖνος εὑρὼν καιρὸν, φυγῇ ἐχρήσατο. καὶ οἱ φίλοι, ἔφυγον εἰς τοὺς βωμοὺς τῶν θεῶν· οὓς οὗτοι, ἀποσπάσαντες ἀπέκτειναν. ὅθεν ἀλιτήριοι ἐκλήθησαν. ἐκλήθησαν δ' ἐντεῦθεν οἱ ἀλιτήριοι. λιμὸς κατέλαβέ ποτε τοὺς ἀθηναίους· καὶ οἱ πένητες τὰ τῶν ἀλούντων ἄλευρα διήρπαζον. ἀπὸ γοῦν ἐκείνων καταχρηστικῶς τοὺς πονηροὺς ἀλιτηρίους ἐκάλουν. παρέτεινε δὲ τὸ ὄνομα καὶ ἐπὶ τῶν μετὰ βίας τι ποιούντων. ἀπὸ τῆς σιτοδείας τῆς κατὰ τὸν αἰτωλικὸν πόλεμον γενομένης. ἔστι δὲ καὶ παραγώγως ἀπὸ τοῦ ἀλιταίνειν ὅ ἐστιν ἁμαρτάνειν. λαμβάνεται δὲ τὸ ἀλιτηρίων καὶ ἀντὶ τοῦ ἀσχησάντων καὶ ἀποτυχόντων. Τῶν βυρσίνης. ἔπαιξε παρὰ βυρσοδέψην εἶναι τὸν κλέωνα. καὶ παρὰ τὸ τυράννου ὄνομα τοῦ ἱππίου. εἰ γὰρ τῷ ὀνόματι τοῦ ἱππίου πονηρότερον ἐχρήσατο. δῆλον μὲν γὰρ καὶ ἐκ τῶν προειρημένων οὐχ ἥκιστα δὲ καὶ ἀπὸ τούτων. ὅτι μὴ αὐτὸς ὁ ἱππίας κατέστησε τὴν τυραννίδα, ἀλλὰ παρὰ τοῦ πατρὸς ἅμα τοῖς ἀδελφοῖς παρέλαβε τοῦ πεισιστράτου. οὐ πάντως ἂν ἐμνημόνευσεν, εἰ μὴ χρησιμώτερον τὸ ὄνομα τοῦ ἱππίου πρὸς τὸ συνάψαι τῇ βυρσίνῃ κατεφαίνετο, οὐκ ἄδηλόν ἐστι διαβάλλοντος τοῦ κλέωνος αὐτὸν ὡς τῶν ἀλιτηρίων γεγονέναι, τῶν ἐπιβουλευσάντων τῇ πόλει καὶ τοῖς τυράννοις συναραμένων. Ἄλλως. πεισιστράτου γυνὴ γέγονεν ἡ μυρρίνη, ἱππίου καὶ ἱππάρχου μήτηρ, βυρσίνην οὖν εἶπεν, ἀντὶ τοῦ μυρρίνην. ὡς βυρσοπώλην πάλιν κωμῳδεῖ τὸν κλέωνα. ταύτην ὁ πεισίστρατος ὁπότε κατήγαγεν εἰς ἀθήνας, ἔφασκεν ἀθηναίαν εἶναι βουλόμενος τυραννεῖν.

ζεσθαι τὸν ἀπαλλαττόμενον. ἑξῆς δὲ, ἀπὸ τῶν ἀνέμων τῷ πνεῖν καὶ συκοφαντίας κέχρηται. Ἄλλως. ὄνομα ἀνέμου ὁ καικίας· τὸν δὲ αὐτὸν καὶ νότον καλοῦσί τινες. ἀκολούθως δὲ εἶπε διὰ τὸ προειρηκέναι τοῦ ποδός. ἅμα δὲ πρὸς τὴν συκοφαντίαν καὶ κακίαν αὐτοῦ, τὰ ὀνόματα πλάττει. οὗτος δὲ, ὅτε πνεῖ, τὰ νέφη εἰς ἑαυτὸν ἕλκει. ὡς τὰ κακὰ ἐφ᾽ ἑαυτὸν ἕλκων ὡς ὁ καικίας νέφος. Ποτιδαίας. ἔπαιξε τῷ ὀνόματι. ἵνα ἀκολούθως ἀπὸ τῆς θαλάττης καὶ τῶν ἀνέμων, ἀποκρίνεσθαι καὶ αὐτὸς δοκῇ. ἡ δὲ Ποτίδαια, πόλις ἐστὶ πρὸς τῷ ἰσθμῷ τῆς Παλλήνης κατῳκισμένη. Κορινθίων μὲν ἄποικος. Ἀθηναίων δὲ σύμμαχος, καὶ φόρους ἐτέλει, ἣν ἀποστᾶσαν πολιορκήσαντες οἱ Ἀθηναῖοι πολιορκίᾳ μακρᾷ ὡς καὶ

κλ. σὲ δ᾽ ἐκ Ποτιδαίας ἔχοντ᾽ οἶδα δέκα τάλαντα.
ἀλ. τί δῆτα; βούλει τῶν ταλάντων ἓν λαβὼν σιωπᾶν;
χο. ἁνὴρ ἂν ἡδέως λάβοι, τοὺς τερθρίους παρίει.
ἀλ. τὸ πνεῦμ᾽ ἔλαττον γίγνεται.
κλ. φεύξει γραφὰς ἑκατονταλάντους τέτταρας.
ἀλ. σὺ δ᾽ ἀστρατείας γ᾽ εἴκοσι
κλοπῆς δὲ πλεῖν ἢ χιλίας.

ἐφ᾽ ὧν αὐτῶν γενέσθαι καταναγκάσαι, παρέλαβον. καὶ ἐξανδραποδίσαντες τὴν πόλιν, ἀπὸ ταύτης. φησὶ τῆς πόλεως κεκλοφέναι τάλαντα τὸν Κλέωνα. καὶ τοῦτο φιλονεικοῦν αὐτὸν ἀμείβεσθαι τοῖς ἴσοις. ἐπεὶ πρότερος ἐκεῖνος ἔφησεν αὐτὸν ὑφηρῆσθαι τῆς πόλεως τάλαντα πολλά. Δέκα τάλαντα. χρησίμως μετὰ τὸν τόπον καὶ τὸν ἀριθμὸν εἶπεν. ἵνα ὁ λόγος αὐτῷ πίστεως ἔχεσθαι δοκῇ. καὶ μὴ μάτην. ἀλλ᾽ ὡς πρὸς τὴν τοῦ Κλέωνος διαβολῆς λελέχθαι χάριν, πίστεως γὰρ παράδειγμα, τὸν κατηγοροῦντα, μὴ ψιλοῖς χρῆσθαι ῥήμασιν. ἀλλὰ καὶ ἀριθμὸν προβάλλεσθαι καὶ τόπον. Βούλει τῶν ταλάντων. δεῖ νοῆσαι τὸν Κλέωνα ἐπὶ τῇ ἐλπίδι καὶ τῇ ἐπαγγελίᾳ τοῦ ταλάντου πεισθέντα ἐνδοῦναι. πρὸς ὃ φησὶν ὁ ἕτερος, τὸ πνεῦμα ἔλαττον γίγνεται. Θρίους. οἱ ἔσχατοι κάλοι οὓς ἐκφόρους καλοῦσιν οἱ ναῦται, οὓς ὅταν ἐνδιδῷ τὸ πνεῦμα, πρώτους ἐκ πρώρας χαλῶσι. καὶ οὗτος οὖν ἀκολούθως τοῦτο εἶπε. διὰ τὸ πρᾶον τοῦ προσώπου παρίει. φησὶν οὖν ὁ Κλέων πάντων αὐτὸν ὑφίησιν ἕνεκεν λήμματος. Τὸ πνεῦμ᾽ ἔλαττον γίγνεται. ἔκθεσις τῆς διπλῆς ἐκ κώλων ἰαμβικῶν διμέτρων ἀκαταλήκτων, πλὴν τοῦ δευτέρου τριμέτρου καὶ τοῦ παρατελεύτου μονομέτρου, καὶ τοῦ τελευταίου ἑφθημιμεροῦς ὄντος. ἑξῆς δὲ τούτων τετράμετροι τέσσαρες καταληκτικοί, ἐν ἐπῳδοῦ τάξει κείμενοι μεθ᾽ οὓς τρίμετροι ἀκατάληκτοι. ἐπὶ τῷ τέλει τῆς μὲν ἐκθέσεως δύο διπλαῖ ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου. ἡ δὲ κατὰ τὸ τέλος. τοῦ δὲ συστήματος κορωνίς. Ἄλλως. Τὸ πνεῦμ᾽ ἔλαττον γίνεται. ἐπέμεινε τῇ τροπῇ τῶν ὀνομάτων. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. ὅτι ἐπιεικέστερος ἔσται καὶ πρᾳότερος. λοιπὸν γὰρ ἐπειδὴ φθάσας εἶπεν κακίας καὶ συκοφαντίας αὐτὸν πνεῖν, διὰ τοῦτο πάλιν οἰκείως ἔλαττον ἔφησεν αὐτοῦ γίγνεσθαι τὸ πνεῦμα. Φεύξει γραφάς. διώκειν καὶ φεύγειν ἔλεγον, ἐπὶ τῶν κατηγόρων καὶ τῶν ἀπολογουμένων. ἐδίωκον μὲν γὰρ οἱ κατήγοροι. ἔφευγον δὲ οἱ κατηγορούμενοι. φησὶν οὖν. ὅτι κατηγορηθήσῃ δίκας δέκα.

λιν αἰσχρόμυθος τῆς θυμέλης ἐξάγει. Κατὰ κῦμ' ἐμαυτόν. ἀπὸ τοῦ ἀφιεὶς ἐμαυτὸν κατὰ κῦμα φέρεσθαι. Κλάειν σε μακρὰ κελεύων. τὸ μὲν εἶδος ἀρχαῖον ἀττικὸν τῆς συνθέσεως. ὡς μακρὰ χαίρειν σοι λέγω καὶ οἰμώζειν μακρά. τὸ δὲ λεγόμενον, πρόδηλον. φησὶ γὰρ, ἧττόν σου φροντίσας τῶν ἀπειλῶν ἀπελεύσομαι ἢ καταλείψω σε ἐν τῷ αὐτῷ κλαίειν. ἵνα δόξῃ καὶ φιλονεικεῖν καὶ διαλοιδορεῖσθαι πρὸς αὐτόν. εἰώθασι γὰρ οἱ βελτίονες, καὶ τῶν λοιδοριῶν ὑπερφρονεῖν τῶν ἡττόνων. Κἄγωγ' ἄν τι παραχαλᾷ. ἐξῆς

> Κατὰ κῦμ' ἐμαυτὸν οὔριον, κλάειν σε μακρὰ κελεύων.
> ἀλ. κἄγωγ' ἐάν τι παραχαλᾷ, τὴν ἀντλίαν φυλάξω.
> κλ. οὔτοι μὰ τὴν δήμητρα καταπροίξει τάλαντα πολλὰ
> κλέψας ἀθηναίων. χο. ἄθρει καὶ τοῦ ποδὸς παρίει
> ὡς οὗτος, ἤδη κακίας καὶ συκοφαντίας πνεῖ.

καὶ οὗτος τῆς ἀντλίας ἐμνημόνευσεν. ἵνα καὶ αὐτὸς, ἴδιον ἀπὸ τῆς θαλάσσης δοκῇ ἀστεΐζεσθαι. ὥσπερ καὶ ὁ ἀλλαντοπώλης. ἀντλία δὲ λέγεται, ὁ τόπος τῆς πρύμνης εἰς ὃν τὸ ὕδωρ συρρέει τὸ εἰς τὴν ναῦν καὶ ἀναχεῖται. οὐ γὰρ ἔθ' οἷός τ' εἰμὶ ὑπερέχειν τῆς ἀντλίας. ἀντὶ τοῦ ἀντέχειν καὶ ὑπεργίνεσθαι τοῦ πράγματος. λέγει δὲ ὅτι φυλάξω. ἐάν τις. τῆς ἀντλίας εἰσδέχεσθαι. ἰστέον δὲ ὅτι ἱστάμενον καὶ χρονίζον τὸ ὕδωρ, κάκιστον ὀδωδέν. τί ποτε οὖν βούλεται τῷ ποιητῇ ζητητέον τὸ ἀπειλεῖν τούτῳ παραφυλάξειν τὴν ἀντλίαν. πλὴν εἰ μὴ τοὺς προειπόντας ὡς καὶ αὐτοὺς ψυχρολογήσαντας, σκώπτειν θέλει. διὰ τοῦτο ἀδύνατα εἴρηκεν. οὔτε γὰρ ἦν τῷ κλέωνι δυνατὸν ἀνθρώπῳ γε ὄντι, κινῆσαι τὴν γῆν καὶ τὴν θάλατταν. οὔτε τῷ ἀλλαντοπώλῃ ῥῖψαι καὶ διασκευάσαι κατὰ κυμάτων ἑαυτὸν, καὶ τοῦτο ἀνόητον καὶ περιττὸν, ὁ ἐπὶ τῇ ἀντλίᾳ τῆς φρουρᾶς πόνος. Ἄλλως. περὶ τοῦ ῥηθέντος παρὰ τοῦ κλέωνος λόγου, ὅτι συνταράξει τὴν θάλασσαν, καὶ οὗτος ἀπήντησεν εἰπών. Καταπροίξῃ. οὐ προῖκά μου καταφρονήσεις. τουτέστι δωρεάν μου ἐγχανῇ. καταγελάσεις μου χωρὶς ζημίας. προῖκα γὰρ ἔλεγον τὴν ζημίαν. καὶ ἀλλαχοῦ. οὔτοι μὰ τὼ θεὼ σὺ καταπροίξει λέγουσα ταυτί. ἡ πρὸ δὲ ἀντὶ τῆς παρά. προικνεῖσθαι. τινὲς δὲ ἀπὸ τοῦ ἵξεσθαι ὅ ἐστι δωρεάν τινα λαβεῖν. ἡρόδοτος. οὐ γὰρ δὴ ἐμέ γε ὧδε λωβησάμενος καταπροίξεται. ἀρχίλοχος οὐδ' ἐκεῖνος οὐ καταπροίξεται. ἡρωδιανὸς δὲ ἐν συμμερισμοῖς παρὰ τὸ ἴσω φησί. καὶ ἀρχίλοχος. προτείνω χεῖρα καὶ προΐσσομαι. Καὶ τοῦ ποδὸς παρίει. μεταφορικῶς ἀπὸ τῶν πλεόντων ἐχρήσατο. ἐπειδὰν γὰρ πλείων ἄνεμος ἐμπέσῃ τοῖς ἱστίοις, συστέλλουσι, καὶ παραιροῦσι τῶν ἱστίων τὰ πολλά. ἢ τὸ μὲν ἓν μόριον τοῦ ἱστίου. τὸ δὲ ἕτερον, ἀναστέλλεται, οἷον. ἂν μὴ χρεία, ἢ καὶ ὁ καιρὸς ἐπαιτῇ. πόδας δὲ καλοῦσιν οἱ ναῦται, τοὺς παρ' ἑκάτερα τὰ μέρη κάλως ἐκδεδεμένους τῆς ὀθόνης, φησὶν οὖν ἀσφαλέστερον λοιπὸν διαλέγου καὶ πράττε. τουτέστι μὴ πολλῇ χρῶ ἀθυρογλωττίᾳ. ἀλλὰ πεφεισμένως διαλέγου τῷ κλέωνι. παρωξύνετο γὰρ σφόδρα. Κακίας καὶ συκοφαντίας. ἐπειδὴ ψευδῆ κατηγορεῖν ἐτόλμησεν ὁ κλέων αὐτοῦ φήσας αὐτὸν σφετερίσασθαι τῆς πόλεως τάλαντα πολλά. καὶ οὐκ ἄν ποτε συγχωρήσειν προῖκα τῷ αὐτῷ, διὰ τοῦτο τοίνυν φησὶν αὐτὸν καὶ συκοφαντίας. ὁ χρὴ στοχά

ἀπόλλυνται. Ἄλλως· λάχανόν ἐστιν ἄγριον. καλεῖται δὲ καὶ θαλασσία ἀκαλήφη, ἣ προσελθοῦσα τῷ χρωτὶ κνησμὸν ποιεῖ. ἐοίκασι δὲ τῇ ὥρᾳ τῇ πρὸ τοῦ ἔαρος χρῆσθαι. Ἄλλως· ἀκαλήφη· κνίδη. καὶ ἡ χερσαία καὶ ἡ θαλαττία. ἥτις ἐστὶ κογχύλιόν τι. φερεκράτης αὐτομόλοις· νὴ τὴν δήμητρ' ἀηδὸν ἦν τὸ κακῶς ᾄδοντος ἀκούειν. βουλοίμην γὰρ καὶ ἀκαλήφαις τὸν ἴσον χρόνον ἐστεφανῶσθαι. τὰς δὲ θαλαττίας καὶ ἀριστοτέλης ἀκαλήφας ἐν τῷ πρώτῳ τῶν ζώων. καὶ θεόφραστος ἐν ἑβδόμῳ φυτικῶν.

ἀποκρυπτόμενος εἰς τὰ κοχώνα τοὺς θεοὺς ἀπώμνυον,
ὥστ' εἶπ' ἀνὴρ τῶν ῥητόρων ἰδών με τοῦτο δρῶντα.
οὐκ ἔσθ' ὅπως ὁ παῖς ὅδ' οὐ τὸν δῆμον ἐπιτροπεύσει.
Χο. εὖ γε ξυνέβαλεν αὔτ'. ἀτὰρ δῆλον γ' ἀφ' οὗ ξυνέγνω.
ὁτιὴ 'πιώρκεις θ' ἡρπακὼς, καὶ κρέας ὁ πρωκτὸς εἶχεν.
Κλ. ἐγώ σε παύσω τοῦ θράσους. οἶμαι δὲ μᾶλλον ἄμφω.
ἔξειμι γάρ σοι λαμπρὸς ἤδη καὶ μέγας καθιείς.
ὁμοῦ ταράττων τήν τε γῆν καὶ τὴν θάλατταν εἰκῇ.
Αλ. ἐγὼ δὲ συστείλας γε τοὺς ἀλλᾶντας, εἶτ' ἀφήσω.

Εἰς τὰ κοχώνα. κοχώνη τόπος ὑπὸ τὸ αἰδοῖον καὶ τῶν μηρῶν καὶ τῆς κοτύλης καὶ τῶν ἰσχίων. μέμνηται δὲ τῆς κοχώνης καὶ ἐν σκηναῖς καταλαμβανούσαις· ἀλλὰ συστᾶσθαι δεῖ τὰς κοχώνας· αἱ αὐταὶ δὲ καὶ πύγαια καὶ προχῶναι παρ' ἀρχίππῳ καλοῦνται. οὐδετέρως δὲ ἔφη τὰ κοχώνα. Ἐπιτροπεύσει. προηγήσει. προστατήσει. οὐκ ἀγαθῶς δὲ ἐπὶ ἔνδοξον πρόσωπον τὴν τοιαύτην ἀνήγαγε κρίσιν. οὐ γὰρ ἰδίως φησί τινὰ εἰρηκέναι. ἀλλὰ ῥήτορα. καὶ προειδεῖν καὶ συνιέναι πλέον τῶν ἄλλων δυνάμενον. διὰ δὲ τούτων λεληθότως φησὶν ὅτι καὶ οἱ στρατηγοὶ ἐπίορκοι. Εὖ γε ξυνέβαλεν. ἀπ' αὐτῶν τῶν πραττομένων, φανερὸν ἦν τὸ ἀποβησόμενον. Ὁτιὴ 'πιώρκεις. πάλιν κἀνταῦθα τῶν πολιτευομένων καθάπτεται. ὡς ἐξ ἐπιορκίας καὶ κλοπῆς συνεστηκότων καὶ τοιούτων γε ἐθῶν. διὰ τοῦτο καὶ τὸν ἀλλαντοπώλην διαπρέπειν ἐν τῇ πολιτείᾳ ὁ ῥήτωρ ἔφησεν. Ὁ πρωκτὸς εἶχεν. ἤτοι τὴν μοχθηρίαν αὐτοῦ καὶ εὐρυπρωκτίαν, καὶ τούτῳ δείκνυσι τῷ τρόπῳ. καὶ ὅτι κατακρύπτει κλέπτων ἐν τῷ πρωκτῷ κρέα. καὶ ταῦτα πάλιν αὐτὸς ἤσθιεν, ἢ διαβάλλειν εἰς ἀσέλγειαν αὐτὸν θέλει. ὡς δὴ παρ' ἡλικίαν τὰ τῶν γυναικῶν παθόντα. Καθιείς. παρεσκευασμένος, καθιέναι δὲ κυρίως τὸ χαλᾶν τὰ τῶν νεῶν ἱστία. ταῦτα δὲ προσφόρως εἴρηκεν ὁ κλέων. ἦν γὰρ σφοδρὸς ἐν τοῖς λόγοις. καθιεὶς οὖν, ἀντὶ τοῦ καθιέμενος πνέων. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἀνέμων. Καὶ τὴν θάλατταν εἰκῇ. πάλιν ἐπὶ σοὶ μηχανησάμενος καὶ πάντα κινήσας ἐπιβουλῆς τρόπον. δι' ὧν δὲ ἀπειλεῖ ἀδύνατα καὶ μείζονα, δι' αὐτῶν δηλοῖ τὴν σπουδὴν τῆς ἐπιβουλῆς τῆς κατ' αὐτοῦ. εἰκῇ δὲ ἀντὶ τοῦ ἀπλῶς καὶ ὡς ἔτυχε μάτην. τουτέστιν ἐπ' οὐδενὶ ἀναγκαίῳ καὶ σπουδαίῳ πράγματι φανερὰν καὶ ἐν τούτῳ ποιῶν τὴν ἑαυτοῦ ἐξουσίαν. ἣν κατὰ τῆς πόλεως εὐτυχεῖ. εἰ ἐπ' αὐτοῦ καθέστηκε τὸν δῆμον κινεῖν καὶ παροξύνειν καθ' ὧν βούλεται. καὶ ταῦτα ἐπ' οὐδεμιᾷ προφάσει ἢ λόγῳ. Ἐγὼ συστείλας. καὶ τοῦτο παρ' [illegible] φί. ὁ γὰρ ἐστι καὶ ποιεῖ. τουτέστιν ὁ κατίθετο τῶν ἀλλάντων φθάσας ἐπιὼν, τοῦτο πα

καὶ πολλοὺς κινδύνους ὑποστὰς καὶ κατορθώσεις τῶν πολεμίων πλείονας. ἀντιποιούμενος τὰ περὶ ἀκαρνανίαν καὶ αἰτωλίαν καθ' ὧν εὐδοκίμησε, στρατηγῆσαι φθάσας. Ἄλλως. Ἀποτείνεται πρὸς τὸν κλέωνα ὁ ἀλλαντοπώλης. ὅτι ἐκεῖνος μὲν εὐκόλως ἐστρατήγησεν. αὐτὸς δὲ πολλὰ κακοπαθήσας καὶ τυπτηθεὶς ἐν τῷ μαγειρείῳ.

Α Ἀπὸ μαγδαλιᾶς· ἀπὸ εὐτελοῦς τροφῆς ὁρμώμενος. μαγδαλιὰ γάρ, τὰ τῶν ἀλφίτων ἀποβλήματα. Ἄλλως. ἡ τῶν κυνῶν τροφή. ἥτις ἦν σταὶς καὶ λίπος. οὕτω καὶ ὁ ποιητὴς εἶπεν. αἰεὶ γάρ τι φορέει μειλίγματα θυμοῦ. μετὰ γὰρ τὸ δεῖπνον, τὸ σταῖς ἀπεψῶντο καὶ τὸ λίπος. καὶ τοῖς κυσὶν ἐπερρίπτουν. Ἄλλως. Τὸ σταῖς. ὃ ἀπομάττουσιν οἱ μάγειροι, ὅπερ ἐκάλουν χειρόμακτρον. ὃ μετὰ τὴν ἐργασίαν, ἐπερρίπτουν τοῖς κυσίν.

κλ. ἀπὸ μαγδαλιᾶς ὥσπερ κύων ὦ παμπόνηρε; πῶς οὖν
κυνὸς βορὰν σιτούμενος, μαχεῖ σὺ κυνοκεφάλῳ;
ἀλ. καὶ νὴ δί' ἄλλα γ' ἐστί μου κόβαλα παιδὸς ὄντος.
ἐξηπάτων γὰρ τοὺς μαγείρους ἐπιλέγων τοιαυτί.
σκέψασθε παῖδες. οὐχ ὁρᾶθ' ὥρα νέα. χελιδών.
οἱ δ' ἔβλεπον, κἀγὼ 'ν τοσούτῳ τῶν κρεῶν ἔκλεπτον.
χο. ὦ δεξιώτατον κρέας, σοφῶς γε προὐνοήσω·
ὥσπερ ἀκαλήφας ἐσθίων. πρὸ χελιδόνων ἔκλεπτες.
ἀλ. καὶ ταῦτα δρῶν ἐλάνθανόν γ'. εἰ δ' οὖν ἴδοι τις αὐτῶν,

Κ Κυνοκεφάλῳ· ἑαυτὸν ὁ κλέων λέγει κυνοκέφαλον. δεινὸν καὶ αἰσχυντον. ὁποῖος ἦν ὁ παρ' ἡσιόδῳ γηρυονεύς. χρυσάωρ δ' ἔτικε τρικέφαλον γηρυονῆα. Ἄλλως. τῷ κυνὸς κεφαλὴν ἔχοντι. τουτέστιν. ἐμοὶ τῷ κλέωνι. ἀφ' ἧς δὲ προείρηκε τροφῆς, κυνοκέφαλον αὐτὸν εἶπεν. οἷον ἰταμὸν καὶ ἀναιδῆ καὶ ἁρπακτικόν. ἐπεὶ καὶ τὸ ζῶον, τοιοῦτον. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι, πῶς οὖν τίς φησιν εἰ κυνὸς τροφὴν ἐσθίων, τῷ ὁμογενεῖ καὶ ὁμοτρόπῳ μάχεσθαι διανοῇ. λέγει δὲ κυνί. οἷον πονηρῷ καὶ βιαίῳ.

Κ Κόβαλα δέ, σοφίσματα πανουργεύματα. κλέμματα. καὶ κοβαλεία ἡ προσποίητος μετὰ ἀπάτης παιδιά. καὶ κόβαλος ὁ ταύτῃ χρώμενος. ἔοικε δὲ συνώνυμον τῷ βωμολόχῳ. φιλόχορος δευτέρῳ ἀτθίδος. οὐ γὰρ ὡς ἔνιοι λέγουσι βωμολόχον τινὰ καὶ κόβαλον νομιστέον τὸν διόνυσον. ἀριστοτέλης δὲ ἐν δευτέρῳ ζώων ἱστορίας τὸν ὦτόν φησι κόβαλον καὶ μιμητὴν ὄντα, αὐτορχούμενον ἁλίσκεσθαι. Νέα χελιδών. παροιμιῶδες. ὁλόκληρος δέ ἐστι παροιμία τὸ λεγόμενον. ἔστιν ἔαρος ἀρχή. δοκεῖ γάρ πως, ἅμα τῷ ἔαρι φαίνεσθαι χελιδών. Οἱ δ' ἔβλεπον. ἑώρων. ὑπὸ τῆς περιεργίας ἐξαγόμενα τὰ παιδία, τῇ θέᾳ τὸν νοῦν προσεῖχον, πότε χελιδὼν παραπτήσεται. κἀκείνων περὶ τοῦτο ἐπτοημένων, ῥᾷστον αὐτοῖς εἶχε τὸ κλέπτειν. Ὦ δεξιώτατον κρέας. ὦ κάλλιστον καὶ σοφώτατον κρέας διὰ τὸ κἀκεῖνον κεκλοφέναι. καὶ ὥσπερ δεξιᾷ χειρὶ ὑφῃρῆσθαι. ἀντὶ ὦ σοφώτατε ἄνθρωπε. Ὥσπερ ἀκαλήφας. βοτάνη, εἶδος. αἳ παρὰ τοῖς πολλοῖς κνίδαι καλοῦνται. ἐμνημόνευσε δὲ τῶν ἀκαληφῶν, διὰ τὴν δριμύτητα τοῦ ἀλλαντοπώλου καὶ τὴν ἀγχίνοιαν. ὅτι κλοπῆς ἐξεῦρε τρόπον. δριμεῖα γὰρ ἡ βοτάνη. καὶ τοὺς ἐγγίζοντας κνᾶσθαι ποιεῖ. εἶπε δὲ πρὸ χελιδόνων. ἐπεὶ μετὰ τὴν χελιδόνα ἄβρωτοι αἱ κνίδαι. Ἄλλως. ἀκαλήφη εἶδος μυίας. ὡς ἀριστοτέλης. ἐν τῷ χειμῶνι δὲ ἐδώδιμοι εἰσίν. ἐν δὲ τῷ θέρει

θάλει. ὥστε μὴ οὐκ ἀποδόσθαι αὐτὸ καὶ προδοῦναι. Εἴθε φαύλως. εἴθε ἐκ τοῦ ῥᾴστου. καὶ οὕτως εὐχερῶς· ἐπεὶ μὴ ἐλπίσας εἰς τοῦτο δόξης προελθεῖν ὁ Κλέων, ἔδοξεν εὐδοκιμεῖν ἐκ τῶν περὶ Πύλον κατορθωμάτων. Ὥσπερ εὗρες. ὥσπερ ἐπέτυχες. ἐναργεῖ δὲ τῇ λέξει τῇ εὗρες κέχρηται. τὸ μὲν γὰρ καμάτῳ καὶ πόνῳ περιγενέσθαι τινος, τῆς τοῦ κάμνοντος γνώμης καὶ προαιρέσεως ἔλεγχον ἔχει. τὸ δὲ εὑρεῖν ἁπλῶς, τῆς παρασχούσης τύχης. οὐ τῆς αὐτοῦ τοῦ εὑρόντος γνώμης τὸ ἔργον. ὡς οὐκ ἐκ προνοίας τοῦ Κλέωνος κατορθώσαντος ἃ διεπράξατο ἀλλ' ἁπλῶς εὑρόντος εὕρημα. Τὴν ἔνθεσιν. τὴν τροφήν. τὴν ἐν πρυτανείῳ δοθεῖσαν αὐτῷ. ἔνθεσις γὰρ ὁ ἄκολος ὁ ψωμός. Ἄισαιμι. τότε γάρ φησιν ἐπᾴσαιμί σοι τὸ Σιμωνίδου μέλος· πῖνε πῖνε ἐν ταῖς συμφοραῖς

εἴθε φαύλως ὥσπερ εὗρες, ἐκβάλοις τὴν ἔνθεσιν.
ᾆσαιμι γὰρ τότ' ἂν μόνον, πῖνε πῖν' ἐπὶ συμφοραῖς,
τὸν Ἰουλίου τ' ἂν οἴομαι γέροντα πυρροπίπην.
ἡσθέντα καὶ παιῶνα δὴ καὶ βακχέβακχον ᾆσαι.
ΚΛ. οὔτοι μ' ὑπερβαλεῖσθ' ἀναιδείᾳ μὰ τὸν Ποσειδῶ.
ἢ μή ποτ' ἀγοραίου Διὸς σπλάγχνοισι παραγενοίμην.
ΑΛ. ἔγωγε νὴ τοὺς κονδύλους οὓς πολλὰ δὴ 'πὶ πολλοῖς
ἠνεσχόμην ἐκ παιδίου μαχαιρίδων τε πληγάς,
ὑπερβαλεῖσθαί σ' οἴομαι τούτοισιν ἢ μάτην γ' ἂν
ἀπομαγδαλιὰς σιτούμενος τοσοῦτος ἐκτραφείην.

ἐκ τῶν Σιμωνίδου δὲ τοῦτο τεθρίππων. τὸ δὲ συμφοραῖς, ἐπ' ἐσθλοῖς. μέσον γὰρ ἡ συμφορά. Τὸν Ἰουλίου γέροντα. ὡς παιδεραστὴς οὗτος ὁ πρεσβύτης διαβάλλεται. οὐκ ἀργῶς δὲ τὴν ἡλικίαν ἐνταῦθα προσέθηκεν· διαβολὴ μὲν γὰρ ἐπὶ τοῖς νεωτέροις ἔχοντος τοῦ πράγματος, μείζονα τὴν αἰσχύνην ἐποίησεν ἐπ' αὐτῷ. ὥσπερ γέροντι ὄντι, ἀσελγαίνειν καὶ τὰ τοιαῦτα ὑβρίζειν πρόσεστι. παιδοπίπην δὲ τὸν παράγοντα καὶ παρακρουόμενον καὶ ἀναπείθοντα τὰ μειράκια. τοῦτον δὲ ὁ Κρατῖνος πυρροπίπην λέγει, τουτέστι, τὸν φύλακα τοῦ σίτου, ὡς εἰς τὸ πρυτανεῖον παρέχοντα ἄρτους. Βακχέβακχον ᾆσαι. εὐφημῆσαι τὸν Διόνυσον καὶ ὑμνῆσαι. βάκχον δὲ οὐ τὸν Διόνυσον ἐκάλουν μόνον, ἀλλὰ καὶ πάντας τοὺς τελοῦντας τὰ ὄργια βάκχους ἐκάλουν. οὐ μὴν ἀλλὰ καὶ τοὺς κλάδους οὓς οἱ μύσται φέρουσι. μέμνηται δὲ Ξενοφάνης ἐν σίλλοις, οὕτως· ἑστᾶσι δ' ἐλάται πυκινὸν περὶ δῶμα. ἔστι δὲ καὶ στεφάνης εἶδος, ὡς Νίκανδρος ἐν τῷ περὶ τῶν γλωσσῶν ἱστορεῖ. φησὶ γὰρ οὕτως· βάκχοισι κεφαλὰς περιανθέσιν ἐστέψαντο. τὸ δὲ παιῶνα δὴ γράφεται παιωνίσαι. ἢ ἡσθέντ' ἢ παιῶν' ᾆσαι τοῦτο μέντοι ὁ στίχος οὐκ ἀπαιτεῖ. Οὔτοι μ' ὑπερβαλεῖσθ' ἀναιδείᾳ. διπλῆ καὶ στίχοι ὅμοιοι τοῖς αἰῶ λβ. ὧν τελευταῖος ἀνὴρ ἀναιδέως λάβοι τοὺς τεθρίους παρίει. ἐφ' ᾧ διπλῆ ἔξω νενευκυῖα. ὑπερβαλεῖσθε δὲ νικήσετε. ἐκ μεταφορᾶς τῶν τρεχόντων. Ἢ μή ποτ' ἀγοραίου. ἀγοραῖος Ζεὺς ἵδρυται ἐν τῇ ἀγορᾷ καὶ ἐν τῇ ἐκκλησίᾳ. Ἔγωγε νὴ τοὺς κονδύλους. ὁ ἀλλαντοπώλης ἐστὶν ὁ λέγων, ἀποτείνεται δὲ πρὸς τὸν Κλέωνα καὶ φησὶν ὅτι οὐχ ὥσπερ ἐκεῖνος τὴν δόξαν ῥᾳδίως εὗρε, τὸν αὐτὸν καὶ αὐτὸς εὐδοκίμησε τρόπον· ἀλλὰ πολλὰ πεινήσας

ἐπιορκοῦντας τοὺς ἐν σφακτηρίᾳ, μηδὲν ὁ κλέων πονήσας. ἀλλ' ὕστερον ἐφ' ἕτοιμα ἐλθών, τὴν νίκην τὴν ἐκείνου παρελόμενος, αὐτὸς ἐπιγράφη τῷ κατορθώματι. ὡς εἴ τις ἀγνώμων ἀνὴρ ἐπ' αὐτῷ ἀμητῷ καὶ τοὺς ἄλλως ἐκβαλὼν, τὸν σπείραντα γεωργὸν καὶ προπεπονηκότα, τοὺς καρποὺς ἀξιοῖ τρυγᾶν. Νῦν δὲ τοὺς στάχυς. ἐξῆς ἀπὸ τοῦ ἀμητοῦ ὠνόμασε τοὺς στάχυς. αὐτὶ τῶν αἰχμαλώτων οὓς ζῶντας εἶχεν λακεδαιμονίων καταπαγγειλάμενος ὁ κλέων τοῖς ἀθηναίοις ἐμπροθέσμως ἤγαγεν. φησὶν οὖν τοὺς ἄνδρας ἐκείνους οὓς δήσας ἤγαγεν, ἀφεῖναι νῦν καὶ ἀπολῦσαι διανοεῖται.

Α' προδοῦναι. ἀπολῦσαι. τουτέστι λύτρα παρ' αὐτῶν λαβεῖν. Μακκοᾷ. ἀνοηταίνει. ἐν ἔθει ἐστίν. ἔφαμεν δὲ ὅτι ἡμμακῶ, ἐνεὰ ἦν. Κρατίνου κώδιον. κώδιόν ἐστι τὸ ἅμα τοῖς ἐρίοις δέρμα σκευαζόμενον. ὡς ἐνουρεῖ

Νῦν δὲ τοὺς στάχυς. ἐκείνους οὓς ἐκεῖθεν ἤγαγεν.
ἐν ξύλῳ δήσας ἀφαυεῖ. κἀποδόσθαι βούλεται.
κλ. οὐ δέδοιχ' ὑμᾶς, ἕως ἂν ζῇ τὸ βουλευτήριον.
καὶ τὸ τοῦ δήμου πρόσωπον μακκοᾷ καθήμενον.
χο. ὡς δὲ πρὸς πᾶν ἀναιδεύεται
κοὐ μεθίστησι τοῦ χρώματος τοῦ παρεστηκότος.
Θε. εἴ σε μὴ μισῶ, γενοίμην ἐν κρατίνου κώδιον
καὶ διδασκοίμην προσᾴδειν μορσίμου τραγῳδίαν.
χο. ὦ περὶ πάντ' ἐπὶ πᾶσί τε πράγμασι
δωροδόκοισιν ἐπ' ἄνθεσιν ἵζων.

ρει τὴν δὲ καὶ μέθυσον διαβάλλει τὸν κρατῖνον. ὁ δὲ κρατῖνος καὶ αὐτὸς ἀρχαίας κωμῳδίας ποιητὴς, πρεσβύτερος ἀριστοφάνους τῶν ἄγαν εὐδοκίμων. γενοίμην οὖν φησιν εἰς τὴν οἰκίαν κρατίνου κώδιον. ὥστε μου καταουρεῖν ἐκεῖνον εἰ μή σε μισῶ. ὅπερ μοι δοκεῖ παραξυνθεὶς ἐκεῖνος, καίτοι τοῦ ἀγωνίζεσθαι ἀποστὰς καὶ συγγράφειν, πάλιν γράφει δρᾶμα τὴν πυτίνην. εἰς αὐτόν τε καὶ μέθην οἰκονομίᾳ τε κεχρημένον τοιαύτῃ. τὴν κωμῳδίαν ὁ κρατῖνος ἐπλάσατο αὐτοῦ εἶναι γυναῖκα. καὶ ἀφίστασθαι τοῦ συνοικεσίου τοῦ σὺν αὐτῷ θέλειν. καὶ κακώσεως αὐτοῦ δίκην λαγχάνειν. φίλους δὲ παρατυχόντας τοῦ κρατίνου δεῖσθαι μηδὲν προπετὲς ποιῆσαι καὶ τῆς ἔχθρας ἀνερωτᾶν τὴν αἰτίαν. τὴν δὲ, μέμφεσθαι αὐτῷ ὅτι μὴ κωμῳδοῖ. ἢ μηκέτι σχολάζοι τῇ μέθῃ. μηδὲν δὲ χεῖρον πολυμαθίας ἕνεκεν. αὐτὰ τὰ ἀπηνῆ τινὰ τῶν ἰάμβων ἐκλέξαντα, θεῖναι ταῦτα. ἀλλ' ἐπαναστρέψαι βούλομαι εἰς τὸν λόγον πρότερον ἐκεῖνος πρὸς ἑτέραν γυναῖκα ἔχων τὸν νοῦν, κακῶς εἶχε πρὸς ἑτέραν ἀλλ' ἅμα μὲν τὸ γῆρας. ἅμα δέ μοι δοκεῖ οὐδέ πρὶν αὐτοῦ πρότερον καὶ τὰ ἑξῆς. Ἄλλως. Κωμῳδίας ποιητὴς πολὺ οἶνον πίνων ὡς καὶ ἐνουρεῖν. γενοίμην φησὶν ἐν τοῦ κρατίνου κώδιον. ἵνα κατασήπωμαι ἐνουροῦντος αὐτοῦ. Μορσίμου. μόρσιμος, φιλοκλέους τοῦ ποιητοῦ υἱὸς, τραγῳδίας ποιητὴς ψυχρός. ἔστι δὲ καὶ ἰατρὸς ὡς δὲ μοχθηρῶν ὄντων αὐτοῦ τῶν ποιημάτων ἐν ἀρᾷ εἴληφε μέρει.

Ω περὶ πάντ' ἐπὶ πᾶσιν. ὦ ἐπὶ πάσῃ προδοσίᾳ ἐξεταζόμενε καὶ κακίᾳ. μεταφορικῶς δὲ εἴληφε τὸ νόημα ἀπὸ τῶν μελισσῶν. ὃ γὰρ λέγει, τοιοῦτόν ἐστιν. ὡς περ αἱ μέλισσαι φησὶ πᾶν ἄνθος δρέπονται, οὕτω καὶ σὺ, τῶν τῆς πόλεως πραγμάτων οὐδὲν λαν

ρον δίμετρον ἀκατάληκτον ἐκ κρητικῶν ἤτοι ἀμφιμάκρων. τὸ τρίτον ὅμοιον τῷ πρώτῳ ἐκ κρητικῶν. τὸ τέταρτον ὅμοιον τὸ πέμπτον ὅμοιον τῷ δευτέρῳ ἐκ παίωνος καὶ κρητικοῦ ὡς καὶ τὰ ἑξῆς δύο. ἐν ἐκθέσει δὲ στίχοι δύο τροχαϊκοὶ τετράμετροι καταληκτικοί. ἐπὶ τῷ τέλει κορωνίς. ἑξῆς δὲ σύστημα κατὰ περικοπὴν στίχων ὁμοίων ἕξ. τὰ ἑξῆς τρία κῶλα τοῦ χοροῦ τροχαϊκά. ὧν τὰ μὲν δύο δίμετρα ἀκατάληκτα. τὸ μὲν κατὰ τὴν τετάρτην. τὸ δὲ κατὰ τὴν τρίτην ἴαμβον ἔχοντα. τὸ δὲ τρίτον καταληκτικὸν ἑφθημιμερές. οἱ ἑξῆς τούτων δύο στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοί. τῶν δὲ ἑξῆς τοῦ χοροῦ ε κώλων τὰ μὲν α β. δακτυλικὰ τετράμετρα τὰ δὲ γ ε. τροχαϊκὰ τετράμετρα καταληκτικά. τὸ δὲ τέταρτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ε ὅμοιον ἐκ δὲ τροχαίου διιάμβου ἑξῆς δὲ τούτων ἐν ἐκθέσει στίχοι δύο ἰαμβικοὶ τετράμετροι καταληκτικοί. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος ἐπὶ δὲ τῷ τέλει κορωνίς.

χο. ἦν ἄρα πυρός γ᾽ ἕτερα θερμότερα
καὶ λόγων ἐν πόλει
τῶν ἀναιδῶν ἀναιδέστεροι.
καὶ τὸ πρᾶγμ᾽ οὐκ ἦν φλαῦρον ὧδ᾽.
ἀλλ᾽ ἔπιθι καὶ στρόβει,
μηδὲν ὀλίγον ποίει.
νῦν γὰρ ἔχεται μέσος.
ὡς ἐὰν νυνὶ μαλάξῃς αὐτὸν ἐν τῇ προσβολῇ,
δειλὸν εὑρήσεις. ἐγὼ γὰρ τοὺς τρόπους ἐπίσταμαι.
ἀλ. ἀλλ᾽ ὅμως οὗτος τοιοῦτος ὢν ἅπαντα τὸν βίον.
κᾆτ᾽ ἀνὴρ ἔδοξεν εἶναι, τἀλλότριον ἀμῶν θέρος.

Ἄλλως. ἀπὸ ἐνδόξου σύγκρισιν ὑπειλήφαμεν σφόδρα. τί γὰρ γένοιτο πυρὸς ἐκπυρώτερον. καὶ σφοδρότερον ὅπου γε τὴν κλέωνος ἀναίδειαν ἄν τις ἀνυπέρβλητον εἶναι ἐκ ναυτικῶν. μὴ διὰ τὴν τοῦ ἡττηθέντος ἐπιείκειαν, ἀλλὰ διὰ ὑπερβάλλουσαν ἑαυτοῦ πονηρίαν τὴν νίκην ἀποφέρεσθαι δοκεῖ, ὅσον δὲ τὴν νίκην θαυμάζει τοῦ νενικηκότος, τοσοῦτον τοῦ ἡττηθέντος θαυμάζει τὴν ἀνδρείαν. οὐ γὰρ τὸν ἀλλαντοπώλην τοσοῦτον ὅσον τὸν κλέωνα πονηρὸν ὄντα βούλεται δεῖξαι. Οὐκ ἄρ᾽ ἦν φλαῦρον. ἴσον οὐ φαῦλον οὐκ ἄχρηστον οὐδὲ πονηρόν ἐστι τὸ πρᾶγμα. οὐδὲ ἀνόητον. εὐφραίνεται γὰρ ἐπεὶ παρὰ δόξαν ἡττώμενον ὁρᾷ τὸν κλέωνα ὁ χορός. Ἀλλ᾽ ἔπιθι. ἐπίμενε δὲ καὶ ἐπίκεισο, καὶ μὴ ἀνῇς. ταῦτα δὲ τῷ ἀλλαντοπώλῃ φησὶν ὁ χορός. ἡδόμενος ὅτι πρόσκειται τῷ κλέωνι ἡττημένῳ. Καὶ στρόβει. στρόβιλος ἐργαλεῖον κναφικόν. φησὶν οὖν, περίαγε αὐτὸν καὶ στρέφε. τοῦτο γὰρ καὶ τοῦ ἐργαλείου τὸ ἔργον. Μηδὲν ὀλίγον ποίει. γράφεται μηδὲν ἔλαττον ποίει. φησὶν οὖν, πάντα μεγάλα κατ᾽ αὐτοῦ ποίει καὶ μηδὲν ἀτελές. Νῦν γὰρ ἔχεται μέσος. νῦν γὰρ τὸ κατ᾽ αὐτοῦ μῖσος αὔξεται. κατὰ τοὺς παλαιστάς φησιν. ἡ μεταφορὰ, ἀπὸ τῶν παλαιόντων τῶν μέσον λαμβανόντων. καὶ ἐκ τοῦ κρείττονος γενομένου. Ὡς ἂν νυνὶ μαλάξῃς. ἐὰν ἐν τῇ ἀρχῇ καταγωνίσῃ καὶ ἀσθενῆ ποιήσῃς. Ἀλλότριον ἀμῶν θέρος. τουτέστι τοὺς ἀλλοτρίους καμάτους καὶ πόνους, οὗτος γεωργῶν καὶ καρπούμενος. αἰνίττεται δὲ πρὸς τὴν πύλον. καὶ ὅτι μετὰ τοὺς κινδύνους καὶ τὰς πολλὰς ταλαιπωρίας ἃς ὑπέμεινε δημοσθένης τρο

Δερῶ σε θύλακον. ἐκδερῶ σε. τὸ γὰρ ἐκδέρειν μᾶλλον τῶν μαγείρων τέχνη. ἐκδερῶ σε, φησὶν, ὥστε ἀπὸ τοῦ σώματός σου, θύλακον ποιῆσαι εἰς ὑποδοχὴν κλέμματος. Διαπατταλευθήσει. ἐκταθήσῃ χαμαί, τὰς γὰρ βύρσας ἐκτείνοντες ἐπὶ τῆς γῆς ἵνα μὴ συνάγοιντο, καὶ συστέλλοιντο ἐκ τῆς τοῦ ἡλίου καύσεως, κατὰ ἄκρα παττάλοις κατακρούοντες, ἐκτείνουσιν. Ἄλλως. χαμαὶ ἐπὶ τῶν παττάλων ἐξέδερον τὰ δέρματα. Περικόμματ' ἐκ σοῦ. περικόμματα τὰ ἐκ τῶν μαγείρων περικορούμενα τῶν κρεῶν. ὁ δὲ βούλεται λέγειν τοιοῦτόν ἐστι. τουτέστι κατὰ μέρος συγκόψω τὸ σῶμα. ὡς μάγειρος δὲ λέγει. Τὰς βλεφαρίδας. παρεπιγραφὴ δὲ σχῆμα. ἐπὶ γὰρ τὰς ὄψεις τοῦ ἀλλαντοπώλου ἐπιβαλὼν τὰς χεῖρας ἐκτίλλει. τῶν γὰρ βυρσέων ἐστὶν ἔργον τῶν δερμάτων ἀπομαδίζειν τὰς τρίχας ἢ ὅτι πρὸς τὸ ῥάπτειν τριχῶν δέονται.

ἀλ. δερῶ σε θύλακον κλοπῆς.
κλ. διαπατταλευθήσει χαμαί,
ἀλ. περικόμματ' ἐκ σοῦ σκευάσω.
κλ. τὰς βλεφαρίδας σου παρατιλῶ.
ἀλ. τὸν πρηγορεῶνά σου 'κτεμῶ.
δη. καὶ νὴ Δί' ἐμβαλόντες αὐτῷ πάτταλον μαγειρικῶς
εἰς τὸ στόμ' εἶτα γ' ἔνδοθεν
τὴν γλῶτταν ἐξείραντες αὐτοῦ, σκεψόμεσθ' εὖ κἀνδρικῶς
κεχηνότος,
τὸν πρωκτὸν εἰ χαλαζᾷ.

Τὸν πρηγορεῶνα. τὸν λεγόμενον γαργαρεῶνα. παρατηρητέον δὲ ἐν πᾶσι τοῖς ἀντιθετικοῖς. ὅτι ἀπὸ τῆς αὐτοῦ τέχνης ἑκάτερος αὐτῶν τοῖς ὀνόμασι χρῆται καὶ ταῖς λέξεσιν. ὥσπερ γὰρ τῶν βυρσέων τὸ καθαίρειν καὶ μαδίζειν τῶν δερμάτων τὰς τρίχας, οὕτω καὶ τῶν μαγείρων, τὸ τέμνειν καὶ σφάζειν εἰς τὸν λαιμὸν τὰ θρέμματα. κυρίως δὲ ἡ τῶν ὀρνέων φάρυγξ, ἐν ᾗ ἀγείρεται ἡ τροφή. Μαγειρικῶς. εἰώθασι γὰρ οἱ μάγειροι παττάλοις τὰ τῶν χοίρων ἀνοίγοντες στόματα κατανοεῖν εἰ χαλαζῶσι. χάλαζα δὲ πάθος τῶν χοίρων. Ἄλλως. Οἱ μάγειροι μετὰ τὸ ἀποσφάξαι τὰ θρέμματα. εἰώθασι κρεμᾶν αὐτὰ ἐκ τοῦ παττάλου, καὶ οὕτως ἐκδέρειν. συνάγειν δὲ εἴωθε τὰ θρέμματα τὸ στόμα. κατὰ ταῦτα οὖν φησι, χρὴ πάτταλον ἐμβαλεῖν εἰς τὸ στόμα καὶ διανοῖξαι πρὸς τὸ ἐξεῖραι τὴν γλῶτταν. ἐξείραντες δὲ αὐτήν. ἑλκύσαντες ἀνασπάσαντες. Σκεψόμεθα. ἐπιγνωσόμεθα. ἀνδρικῶς δὲ ἀντὶ τοῦ ἀκωλύτως. ἅτε τῆς γλώττης προεξῃρημένης καὶ μὴ ἐμποδιζούσης τὴν θέαν. Χαλαζᾷ. ἤτοι εἰ χαλαρός ἐστι. καὶ εἰ χαλαζᾷ ἐκεῖ. νόσημα δὲ τοῦτο τῶν θρεμμάτων. ὅπερ ζώντων μὲν λανθάνει. ἀποθανόντων δὲ καὶ τετμημένων φανερὸν γίνεται. ταῖς σαρξὶ δὲ αὐτῶν ἀναμέμικται καὶ ἐμπέφυκεν ἡ χάλαζα. Ἦ ὑγρὰ πυρός. διπλῆ καὶ ἐν ἐπεισθέσει, περίοδος τοῦ χοροῦ παιωνικὴ ἑπτάκωλος ἔχουσα τρίρρυθμα, πρῶτον δεύτερον. τὰ δὲ λοιπὰ δίρρυθμα.
Ἄλλως. κορωνὶς καὶ εἴσθεσις χοροῦ προῳδικὴ ἐκ κώλων παιωνικῶν ἐπιμεμιγμένων κρητικοῖς ἑπτά. ὧν τὸ πρῶτον τρίμετρον ἀκατάληκτον καθαρόν. τὸ δεύτερον δίμετρον

ὁ γὰρ στρατηγός. ἐμνημόνευσε δὲ τοῦ νικίου δημοσθένης, ἦν δὲ νικηράτου παῖς.

Ἀλλ' οὐ λάβρακας. λάβραξ εἶδος ἰχθύος. ἀφ' οὗ ποιεῖται τὴν προσηγορίαν. κέχηνε γὰρ αὐτοῦ τὸ στόμα καὶ ἀθρόως καὶ λάβρως τὸ δέλεαρ καταπίνει. ὅθεν καὶ δυσχερῶς ἁλίσκεται. ἐπεὶ οὖν ὁ μὲν κλέων ἔφησε θύννους θερμοὺς καταπιεῖν. ὁ δὲ ἀλλαντοπώλης ἀπὸ τῆς αὐτῆς τέχνης ὁρμώμενος, τὸ ἤνυστρον καὶ τὴν κοιλίαν καὶ τὸν ζωμὸν ἀντέθηκεν, ὁ χορὸς μέμφεται ὡς οὐκ εἰκὸς ἀμειψαμένου τοῦ ἀλλαντοπώλου τὸν κλέωνα. λέγων ὡς ἐχρῆν αὐτὸν ἀντιθεῖναι ἐγὼ τῷ θύννῳ λάβρακα. ἰδιωτέρα γὰρ αὕτη πρὸς τὸν θύννον τοῦ ἠνύστρου καὶ ὧν αὐτὸς εἶπεν, ἀπαίτησις αὕτη. Ἄλλως. βέλτιόν φησιν εἶναι λάβρακας καταφαγόντα, τοὺς μιλησίους κλονεῖν. ἀλλὰ μὴ νικίαν ταράσσειν. ὅπερ ἠπείλησεν ὁ ἀλλαντοπώλης. ἐν μιλήτῳ δὲ τῆς ἀσίας, μέγιστοι οἱ λάβρακες, διὰ τὴν ἐπεισρέουσαν λίμνην εἰς τὴν θάλασσαν. χαίροντες γὰρ οἱ ἰχθύες τῷ γλυκεῖ ὕδατι εἰς τὴν λίμνην ἐκ τῆς θαλάσσης ἀνατρέχουσι. καὶ οὕτω πληθύνουσι παρὰ τοῖς μιλησίοις. μιλησίους δὲ εἶπεν, ὡς τοῦ κλέωνος τοὺς μιλησίους ταράσσοντος καὶ ἐπηρεάζοντος. Σχελίδας. βοὸς πλευρά. ἢ ἁπλῶς τὰ πλευρικὰ ὠ. αἰσχύλος. Ὠνήσομαι μέταλλα. ὠνήσομαι μέταλλα ἀργυρίου καὶ χρυσίου, ὥστε προσόδους ἔχειν τὴν πόλιν. ἦν δὲ μέταλλα ἀθήνησιν ἐν λαυρίῳ. Κυκήσω. συνταράξω ἐπεισπεσών. τὸ βίαιον δὲ αὐτοῦ διὰ τῆς λέξεως ἐδήλωσεν. Φύσκης. φύσκη ἔντερόν ἐστι παχύ. εἰς ὃ ἐμβάλλεται ἄλευρα. καὶ κρέα καὶ μάσσουσιν. ἐξ οὗ γίνεται ὁ ἀλλᾶς. ὡς ἀλλαντοπώλης δὲ τῆς φύσκης ἐμνημόνευσε. Κύβδα. κύπτοντα. διὰ δὲ τοῦ σχήματος τὴν αἰσχύνην δείκνυσιν ἑαυτοῦ. Νὴ τὸν ποσειδῶ. κἀμὲ τὸν θεράποντα ἕλκε. ἐπὶ τὸν ἀλλαντοπώλην ἕλκης. Ἄλλως. ὁ χορός ἐστιν ὁ λέγων. χρησίμως δὲ κέχρηται τῇ συνδρομῇ. μὴ τοῦτον μόνον. ἀλλὰ καὶ ἡμᾶς τὸν αὐτὸν ἕλκε τρόπον. Οἷόν σε δήσω. μόνον ἵνα ᾖ λέγων. τῶν μὲν ἄλλων σου συνωμοτῶν καίπερ ἀδικούμενος ὑπ' αὐτῶν φείσομαι σὲ δὲ μόνον δήσω τῷ ξύλῳ. εἶδος δὲ δεσμωτηρίου τὸ ξύλον. ἣν ποδοκάκην λέγουσι καὶ ποδοστράβην. Διώξομαι δὴ κατηγορήσω σου δειλίας. ἀγῶνα ἐνστήσομαι κατὰ σοῦ, Θρανεύσεται. ἐνταθήσεται. θρᾶνος γὰρ ὑποπόδιον. ὅπου τὰ δέρματα ἐκτείνεται. πάλιν δὲ ὡς βυρσοπώλης τοῦτο λέγει. Ἄλλως. ξαίνειν. ἔλεγον τὸ τύπτειν. καὶ ξαίνεσθαι τὸ πάσχειν. φησὶν οὖν ἡ βύρσα σου τυπτομένη διαφθαρήσεται. ἰδίως δὲ ὡς βυρσοδέψῃ τῇ ἀπειλῇ ταύτῃ κέχρηται. καὶ γὰρ τὰς βύρσας ξύλοις τύπτειν εἰώθασιν ἵνα ἁπαλαὶ ὦσιν. ἔνιοι δέ, ἵνα διαλάβοιεν δυσχερῶς τοῦ φαρμάκου.

ἀλλ' οὐ λάβρακας καταφαγὼν, μιλησίους κλονήσεις
ΑΛ. ἀλλὰ σχελίδας ἐδηδοκὼς, ὠνήσομαι μέταλλα
ΚΛ. ἐγὼ δ' ἐπεισπηδῶν γε τὴν βουλὴν βίᾳ κυκήσω.
ΑΛ. ἐγὼ δὲ κινήσω γέ σου τὸν πρωκτὸν ἀντὶ φύσκης.
ΚΛ. ἐγὼ δ' ἐξελῶ σε τῆς πυγῆς θύραζε κύβδα.
ΧΟ. νὴ τὸν ποσειδῶ κἀμὲ γὰρ ἤνπερ τοῦτον ἕλκῃς.
ΚΛ. οἷόν σε δήσω τῷ ξύλῳ. ΑΛ. διώξομαί σε δειλίας,
ΚΛ. ἡ βύρσα σου θρανεύσεται

υ

145.6

21.6

ἐστὶ βλάπτειν καὶ κακοποιεῖν. πρὸς δὲ τοὺς ἀλλοτρίους καὶ ξένους ἐξασθενεῖ. Τῆς ἀνοίας. τῆς μωρίας. τῆς ἠλιθιότητος. καὶ ἐξηπάτησας ἀνοῦ διότι κατὰ μετοίκου ποτὲ ξενίας ἀπηνέγκου γραφὴν καὶ ἐλπίζεις διὰ τοῦτο δύνασθαι καὶ δημηγορεῖν. μετοίκους δὲ ἐκάλουν, τοὺς ἀφ' ἑτέρας πόλεως μεταβαίνοντας εἰς ἑτέραν καὶ οἰκοῦντας. Καταγλωττισμένην. ἡττημένην γενομένην τῶν σῶν λόγων. ἀπατωμένην. παραπειθομένην καταλελαλημένην τὸ σοὶ μόνῳ προσέχειν τὸν νοῦν. σύνηθες δὲ τοῦτο λέγουσι, μὴ

ᾤου δυνατὸς εἶναι λέγειν. ὦ μῶρε τῆς ἀνοίας.
ἀλ. τί δαὶ σὺ πίνων τὴν πόλιν πεποίηκας ὥστε νυνὶ
ὑπὸ σοῦ μονωτάτου καταγλωττισμένην σιωπᾶν;
κλ. ἐμοὶ γὰρ ἀντέθηκας ἀνθρώπων τίν', ὅς τις εὐθὺς,
θυννεῖα θερμὰ καταφαγὼν, κᾆτ' ἐπιπιὼν ἀκράτου
οἴνου χοᾶ, κασαλβάσω τοὺς ἐν Πύλῳ στρατηγούς;
ἀλ. ἐγὼ δέ γ' ἤνυστρον βοὸς καὶ κοιλίαν ὑείαν
καταβροχθίσας, κᾆτ' ἐκπιὼν τὸν ζωμὸν ἀναπόνιπτος
λαρυγγιῶ τοὺς ῥήτορας, καὶ νικίαν ταράξω.
χο. τὰ μὲν ἄλλα μ' ἤρεσας λέγων. ἓν δ' οὐ προσίεταί με
τῶν πραγμάτων, ὁτιὴ μόνος τὸν ζωμὸν ἐκροφήσεις.

ἔχον λόγον καὶ παρὰ ἀρχαίοις καὶ νεωτέροις. Ἀντέθηκας. ἔστησας ἐξεναντίας καὶ ἀντέταξας. Κασαλβάσω. λοιδορήσω. ἔστι δὲ ὄνομα ἑταίρας. νῦν δὲ εἴρηκεν ἐκ τοῦ διαφόρα, λοιδορηθείην. πρὸς δὲ τὸ ῥηθὲν ὑπὸ τοῦ ἑτέρου, κασαλβάσω ὁ στρατηγὸς ἀντέθηκεν, καὶ νικίαν ταράξω. νικίας δὲ στρατηγὸς ἀθηναίων. Ἄλλως. Κασαλβάδες ἑταῖραί εἰσιν. αἳ ἀεὶ ἐπὶ τῶν οἰκημάτων ἑστῶσαι, ἐπὶ μισθῷ παρέχουσι τοῖς βουλομένοις. κασαλβάδες δὲ εἴρηνται, ἀφ' οὗ ποιοῦσι. καλοῦσι μὲν γὰρ οὐκ ἔχουσαι τοὺς ἐραστάς. σοβοῦσι δὲ τοὺς ὄντας, ἵνα ἄλλους λάβωσιν. ἐπεὶ οὖν ἰταμῶς καὶ ἀναιδῶς καὶ ὁ κλέων ἀλλοτρίοις ἐπεπήδησεν εἰκῆ, καὶ τῆς ἐπὶ τοῖς κατορθώμασι δόξης αὐτοὺς ἀφείλετο, καὶ αἱ ἑταῖραι δὲ, αἰσχύνονται καὶ ἀναιδεῖς, ἐπεὶ ἀποπηδῶσι τοῖς ἐρασταῖς, εἰκότως ὁ ποιητὴς τῇ λέξει ταύτῃ κέχρηται. Ἐγὼ δέ γ' ἤνυστρον. τὰ μηρυκάζοντα τῶν ζώων, τρεῖς κοιλίας ἔχει. κεκρύφαλον. ἤνυστρον. ἐχῖνον. μηρυκάζει δὲ, ὅταν μὴ τροφῆς παρακειμένης, ἀναπεμπάζῃ τὴν ἐν τῇ κοιλίᾳ τροφὴν καὶ κινῆται τὸ στόμα, ὡς βοῦς, αἲξ καὶ πρόβατον. καὶ κάμηλος. εἰκότως δὲ ὡς μάγειρος τούτοις ἠμείψατο τὸν κλέωνα. Καταβροχθίσας. ἐκροφήσας καταπιών. λέγεται δὲ ἐπὶ τῶν ἀθρόως καὶ ἀπλήστως ἐκροφούντων. Ἀναπόνιπτος, μὴ νιψάμενος μηδὲ πλύνας τὰς χεῖρας. ἀλλ' ἀκάθαρτος. ἵνα τὸ ῥυπαρὸν αὐτοῦ μᾶλλον ἐνδείξῃ τῶν τρόπων. παρατηρητέον δὲ ὅτι τοῖς ἴσοις ἀμείβεσθαι φιλονεικεῖ τὸν κλέωνα. τῷ μὲν οὖν θυννείῳ ἤνυστρον καὶ κοιλίαν ἀντιθείς. τῷ δὲ θερμῷ, τὸ ἀναπόνιπτος. τῷ δὲ οἴνῳ τὸν ζωμόν. Λαρυγγιῶ. καταβοήσομαί φησι τῶν ἄλλων ῥητόρων. ἢ τὴν φάρυγγα ἐκτεμῶ. τουτέστι κατασιγάσω τοὺς ῥήτορας. τμηθείσης γὰρ τῆς φάρυγγος, οὐχ οἷόν τε τὴν φωνὴν προΐεσθαι. παρατηρητέον δὲ ὅπως, ὡς ὁ κλέων ἐπήνεγκε κασαλβάσω τοὺς ἐν Πύλῳ στρατηγούς, καὶ οὗτος ἐχρήσατο τῷ λαρυγγιῶ τοὺς ῥήτορας. Καὶ νικίαν ταράξω. φοβήσω. δυσώνητος δὲ ὁ νικίας. ἐμφαίνει δὲ, ὅτι καὶ αὐτὸς τῶν εὐδοκιμούντων ἦν στρατηγός. καὶ

Οὐ παρήσω. οὐ παραχωρήσω. πρὸς δὲ τὸ οὐκ ἐάσεις, οὐ παρήσω εἶπεν. πρῶτον δῆλον ὅτι. ἀμφιβόλως δὲ εἶπε. λέγων γὰρ οὐκ ἂν προῶτο λέγειν αὐτῷ ἐπιτρέψαιμί σοι, ἔδοξεν εὐφημότερον ἀποκρίνασθαι πρὸς τὸ ὑπ᾽ ἐκείνου ῥηθὲν διαρραγήσομαι, διόπερ ἑξῆς ὁ χορὸς ἀπεκρίνατο πάρες πρὸς τῶν θεῶν διαρραγῆναι. Πάρες. τοῦ Κλέωνος εἰπόντος διαρραγήσομαι, καὶ τοῦ ἀλλαντοπώλου εἰρηκότος οὐ παρήσω, ὁ χορὸς πρὸς τὸ εἰρημένον φησὶν ὅτι πάρες αὐτῷ διαρραγῆναι. Τῷ καὶ πεποιθὼς τίνι πεθαρρηκὼς ἀξιοῖς φιλονικεῖν ἐμοὶ καὶ διαλέγεσθαι. Ὅτι κἀγὼ λέγειν οἷός τ᾽ ἐγώ. κἀγὼ δυνατός εἰμι. καὶ ἱκανὸς εἰπεῖν.

ΚΛ. οἴμοι. διαρραγήσομαι. ΑΛ. καὶ μὴν ἐγώ σ᾽ οὐ παρήσω.
ΧΟ. πάρες πρὸς τῶν θεῶν αὐτῷ διαρραγῆναι.
ΚΛ. τῷ καὶ πεποιθὼς, ἀξιοῖς ἐμοῦ λέγειν ἐναντία.
ΑΛ. ὅτι λέγειν οἷός τε κἀγὼ καὶ καρυκκοποιεῖν.
ΚΛ. ἰδοὺ λέγειν. καλῶς γ᾽ ἂν οὖν τι πρᾶγμα προσπεσόν σοι.
ὠμοσπάρακτον παραλαβὼν, μεταχειρίσαιο χρηστῶς
ἀλλ᾽ οἶσθ᾽ ὅ μοι πεπονθέναι δοκεῖς ὅπερ τὸ πλῆθος.
εἴ που δικίδιον εἶπας εὖ, κατὰ ξένου μετοίκου.
τὴν νύκτα θρυλλῶν, καὶ λαλῶν ἐν ταῖς ὁδοῖς σεαυτῷ
ὕδωρ τε πίνων, κἀπιδεικνὺς, τοὺς φίλους τ᾽ ἀνιῶν,

Καρυκκοποιεῖν. κοσμεῖν ποικιλίᾳ τινὶ ῥημάτων τὸν λόγον. τραγίως δὲ τῇ λέξει ὡς μάγειρος ἐχρήσατο. καρυκεύματα γὰρ καὶ ἡδύσματά εἰσι τὰ ἀρτύματα. καὶ καρύκκη, κοιλία ἣν νῦν μονοκοιλίαν καλοῦσιν. Ἰδοὺ λέγειν. ἐν χλευάζει αὐτὸν ὅτι δύναμαι λέγειν λέγοντα. τῇ δὲ τοῦ σχήματος ἐμφάσει, τὸν διασυρμὸν ἐδήλωσεν. φησὶ γὰρ, ἀφόρητόν ἐστιν εἰ καὶ σὺ ῥήτωρ εἶ. Ὠμοσπάρακτον. ἀστείως καὶ οὕτως ὡς πρὸς μάγειρον. ὁ δὲ νοῦς αὐτοῦ τοῦτο βούλεται. εἰ πρᾶγμά φησι σκολιὸν προσπέσοι, οὐκ ἄν ποτε κατορθώσεις. οὐδὲ διαλύσεις. ὠμοσπάρακτον ἐστὶ, δυνάμενον σπαράξαι τὸν λέγοντα. Ἄλλως. ἀδιάθετον καταλαβὼν καὶ ὠμόν. ὡς πρὸς μάγειρον δὲ τὸ ὠμοσπάρακτον. ἢ τὸ νεοσπάρακτον. χρηστῶς ἐστὶ, ἀντὶ τοῦ καλῶς. ὠφελίμως. συμφερόντως. ἐπέμεινε δὲ τῇ τροπῇ καὶ τῷ ἀστεϊσμῷ. ὡς πρὸς μάγειρον. χρηστὸν γὰρ ἔδεσμα λέγομεν τὸ εὖ ἠρτυμένον. Ἀλλ᾽ οἶσθ᾽ ὅπερ πέπονθας ἀλλὰ γινώσκω ὃ πέπονθας ἢ οἶδα τὸ ἔπραξας. ἀλλά μοι δοκεῖς συνειδέναι τὴν αἰτίαν δι᾽ ἣν εἰς τοσοῦτον θράσος προελήλυθας. Εὖ κατὰ ξένου. οἱ γὰρ κατὰ ξένου λέγοντες, εὐκόλως λέγουσιν. ὡς κατὰ ξένων καὶ οὐ πολιτῶν δημηγοροῦντες. Τὴν νύκτα θρυλλῶν. οἱ γὰρ μὴ ἔμπειροι τοῦ συνηγορεῖν, ἐὰν διδαχθῶσιν ἀπὸ πράγματος, μὴ ἔχοντες ἀπὸ φύσεως τὸ λέγειν, ἀσκοῦνται καὶ ἰδίως διάγουσι καὶ γρηγοροῦσι διὰ τῆς νυκτὸς καὶ ὕδωρ πίνουσιν. Ὕδωρ τε πίνων. τουτέστι ταλαιπωρῶν. καὶ μετὰ πολλῶν καμάτων καὶ πόνων συντάσσων τὸν λόγον. δεικνύναι δὲ διὰ τούτων πάντων βούλεται, τὴν ἀσθένειαν αὐτοῦ τῶν λόγων καὶ τὴν ἀπορίαν. Ἄλλως. ἀγρυπνῶν καὶ φροντίζων. καὶ τῶν νυκτῶν μελετῶν καὶ σκεπτόμενος τὴν δίκην. τουτέστι ταλαιπωρῶν καὶ μετὰ πολλοῦ καμάτου συντάσσων τὴν δίκην. Κἀπιδεικνύς. τουτέστι καταδήλους τοὺς λανθάνοντας ξένους ποιῶν. Τοὺς φίλους τ᾽ ἀνιῶν. λυπῶν φίλους, πρὸς γὰρ φίλους καὶ γνωρίμους δημότας ὅτι τοὺς μὲν φίλους, ἱκανός

πόλει κατελείβεται τοῖς δάκρυσιν ἀναξίως ὁρῶν σε τὰ τῆς πόλεως καρπούμενον. λυπεῖται φησὶν ὁ Ἀρχεπτόλεμος. οὗτος γὰρ πολλὰ ὠφέλησε τὴν πόλιν. καὶ οἱ μὲν, αὐτόν φασι θούριον. οἱ δὲ, μιλήσιον. Κλέωνος δὲ ἐχθρὸς ἦν. λείπει δὲ ὁ ὀφθαλμός. Ἄλλως. Ἱππόδαμος μόνος λείβεται καὶ ἡττᾶται. διεβάλλετο γὰρ ἐπὶ πολυφαγίᾳ ὁ Ἱππόδαμος. ὡς οὖν τοῦ Κλέωνος ὄντος γαστριμάργου παρευδοκιμουμένου δὲ ὑπὸ Ἱπποδάμου, κέχρηται τῇ συγκρίσει χρησιμώτατα. ὁμοῦ γὰρ καὶ τὸν Ἱππόδαμον καὶ τὸν Κλέωνα διαβάλλει.

πρῶτος ὤν. ὁ δ' Ἱπποδάμου λείβεται θεώμενος
ἀλλ' ἐφάνη γὰρ ἀνὴρ ἕτερος πολὺ
σοῦ μιαρώτερος. ὥστε με χαίρειν
ὅς σε παύσει καὶ παρέσει. δῆλός ἐστιν αὐτόθεν.
ἐν πανουργίᾳ τε καὶ θράσει. καὶ κοβαλικεύμασιν.
ἀλλ' ὦ τραφεὶς ὅθεν περ εἰσὶν ἄνδρες οἵπερ εἰσὶ
νῦν δεῖξον, ὡς οὐδὲν λέγει τὸ σωφρόνως τραφῆναι.
αλ. καὶ μὴν ἀκούσαθ' οἷός ἐστιν οὑτοσὶ πολίτης
κλ. οὐκ αὖ μ' ἐάσεις; αλ. μὰ δί' ἐπεὶ κἀγὼ πονηρός εἰμι
ἀλλ' αὐτὸ τοῦτο πρότερος εἰπεῖν. πρῶτα διαμαχοῦμαι.
χο. ἐὰν δὲ μὴ ταύτῃ γ' ὑπείκῃ, λέγ' ὅτι κἀκ πονηρῶν
κλ. οὐκ αὖ μ' ἐάσεις. αλ. οὐ μὰ δία. κλ. ναὶ μὰ δία
αλ. μὰ τὸν ποσειδῶ.

Ἀνὴρ ἕτερος. ὁ ἀλλαντοπώλης. Ὅς σε παύσει. καταπαύσει. παρευδοκιμήσει. πάρεστιν ἐγγὺς οὗτος καὶ πλησίον καὶ οὐκ εἰς μακράν. Ἄλλως. ὑπερβαλεῖ σε παραδραμεῖται νικήσει σε. καὶ Ὅμηρος. ἐπεὶ οὐ παρελεύσεαι οὐδέ με πείσεις. Κοβαλικεύμασι. τὸ κολακεύειν καὶ πρὸς χάριν δημηγορεῖν. ἐπεὶ καὶ ὁ Κλέων ἐδόκει παρὰ τοῖς ἀθηναίοις εὐδοκιμεῖν, διὰ τὸ πρὸς ἡδονὴν καὶ χάριν δημηγορεῖν. καὶ ὅλως δι' ὧν φησὶ παρευδοκιμήσειν τοῦτον, τὸν παφλαγόνα, διὰ τούτων διαβάλλει τὸν Κλέωνα, δεικνὺς ὅτι τὰ τοιαῦτα πάντα πρόσεστιν αὐτῷ, δι' ὧν ἤρθη μέγας. Ἀλλ' ὦ τραφείς, τοιαύτης ἀνατροφῆς μετασχών. τουτέστι πονηρᾶς καὶ κακῆς. ὅθεν οἱ ἀνατραφέντες ἄνδρες οἱ ἔξαρχοι καὶ πρωτεύοντες. οἱ ἀνδρεῖοι ὁμηρικῶς. Τὸ σωφρόνως τραφῆναι. τὸ ἐπιεικῶς, καὶ εὐγενῶς ἀνατραφῆναι. τὸν ἀλλαντοπώλην ἢ βουλόμενος διαβάλλειν, δεικνύων αὐτὸν πονηρῶν ἠθῶν. ἀλλὰ λεληθότως δι' ὧν περὶ τούτου λέγει, ὀνειδίζει τοὺς ἄλλους πολίτας ὡς ἀπὸ τῶν τοιούτων ὁρμωμένους ἐπιτηδευμάτων καὶ εὐδοκιμοῦντας. Καὶ μὴν ἀκούσαθ' οἷος. εἶτ' αὖθις διπλῆς ἀμοιβαίας ἐκ στίχων ἰαμβικῶν τετραμέτρων καταληκτικῶν λβ'. ὧν τελευταῖος. νὴ τὸν ποσειδῶ. κἀμὲ γὰρ ἦν περ γε τοῦτον ἕλκῃς. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. ἑξῆς δὲ τούτων ἰαμβικὰ δίμετρα ἀκατάληκτα ιε'. πλὴν τοῦ παρατελεύτου μονομέτρου ὄντος. καὶ τοῦ τελευταίου διμέτρου καταληκτικοῦ. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. Οὐκ αὖ μ' ἐάσεις. οὐκ ἐπιτρέψεις. οὐ συγχωρήσεις μοι. ὁ δὲ Κλέων ἐστὶν ὁ λέγων πρὸς τὸν ἀλλαντοπώλην. ἐπιτρομίζειν γὰρ αὐτὸν ἐκεῖνος βουλόμενος λέγει.

152. a.

κέχρηται ὡς βυρσοδέψης ἀπὸ τῶν ὑποδημάτων. Χορδεύματα. ἑξῆς καὶ οὕτως ὡς μάγειρος ἀπεκρίνατο. χορδεύματα καὶ χορδαὶ καλοῦνται τὰ ἔντερα. Μοχθηροῦ βοός. θανασίμου ἢ ἀσθενοῦς. ἰσχνοῦ καὶ λεπτοβύρσου. καὶ τοῦτο δὲ, ὡς βυρσέα σκώπτει. Τοῖς ἀγροίκοισι πανούργως. εἰς ὑποδήματα τοῖς αὐτοῖς. καὶ ὡς τὰς βύρσας τέμνων. καττύματα δὲ τὰ ἄκρα δέρματα καὶ εἰς μακρὰ τμήματα. ἃ προσράπτεται τοῖς σανδαλίοις. τοῦτο δὲ εἶπεν. ὡς πρὸς σκυτία.

145. b.

199. b. 27. a.

ἀλ. εἰ δὲ μὴ σύ γ' οἶσθα κάττυμ'. οὐδ' ἐγὼ χορδεύματα.
ὅστις ὑποτέμνων ἐπώλεις δέρμα μοχθηροῦ βοός.
τοῖς ἀγροίκοισι πανούργως, ὥστε φαίνεσθαι παχὺ
καὶ πρὶν ἡμέραν φορῆσαι, μεῖζον ἦν δυοῖν δοχμαῖν.
δη. καὶ νὴ δία. κἀμὲ τοῦτ' ἔδρασε ταὐτόν. ὥστε καταγέλων
πάμπολυν τοῖς δημόταισι καὶ τοῖς φίλοισι παραχέειν
πρὶν γὰρ εἶναι περγασῆσιν, ἔνεον ἐν ταῖς ἐμβάσιν.
χο. ἆρα δῆτ' οὐκ ἀπ' ἀρ-
χῆς ἐδείλους ἀναι-
δείαν, ἥπερ μόνη
προστατεῖ τῶν ῥητόρων.
ἧ σὺ πιστεύων, ἀμέλγεις τῶν ξένων τοὺς καρπίμους.

Δυοῖν δοχμαῖν. παίζων καὶ αὐτὸς, παλαιστὰς ἐξετείνετο. δοχμὴ γὰρ ἡ παλαιστή. Ἄλλως. δύο παλαιστάς. ἐκτεινόμενα γὰρ τὰ ἴσχνα τῶν δερμάτων, εἰς πλάτος αὔξεται. Κἀμὲ τοῦτ' ἔδρασε. τὸν αὐτὸν τρόπον καὶ ἡμᾶς ἐξηπάτηκεν. ὥστε καταγελάστοις γενέσθαι. Τοῖς δημόταισι. διαβολὴ τῶν ἀθηναίων. εἰ καὶ δοῦλος παρ' αὐτοῖς ὁ δῆμος ἀπαγγέλλεται. Γεργασῆσιν. ὄνομα δήμου. Ἔνεον ἐν ταῖς ἐμβάσιν. ἐκολυμβῶν. ἐνηχόμην ἐν τοῖς ὑποδήμασιν. ἐμβάδες δὲ ἐρρέθησαν ἀπὸ τοῦ ἐμβαίνειν αὐτοῖς. ἐκτεινομένων γὰρ καὶ πλατυνομένων δυσχερῶς τῶν δερμάτων, ἐκολυμβῶν ἐν αὐτοῖς, ἐκ τοῦ μηκέτι ἡρμοσμένα τοῖς ποσὶ τῶν φορούντων αὐτὰ εἶναι. Ἆρα δῆτ' οὐκ ἀπ' ἀρχῆς. ὁ λόγος πρὸς τὸν ἀλλαντοπώλην. κορωνὶς δὲ καὶ εἴσθεσις χοροῦ προῳδικὴ διὰ τὸ ἀεὶ προτίθεσθαι τῆς διπλῆς. ἐκ κώλων καὶ στίχων πολυσχηματίστων δώδεκα. ὧν τὰ πρῶτα τρία παιωνικὰ δίμετρα ἀκατάληκτα. ἃ καλεῖται κρητικὰ διρρυθμα. τὸ δὲ δ΄ τροχαϊκὸν ἑφθημιμερὲς, ὃ καλεῖται εὐριπίδειον ἢ ληκύθιον. τὰ δὲ ε΄. ϛ΄. θ΄. ι΄. τετράμετρα καταληκτικά. τὰ δὲ ζ΄. η΄. δακτυλικὰ τετράμετρα. τὰ δὲ τελευταῖα δύο ἴαμβοι καὶ τετράμετρα καταληκτικὰ ὅμοια τοῖς ἑξῆς. ἐπὶ τῷ τέλει κορωνίς.

Προστατεῖ. προέστηκε. καθάπτεται τῶν ῥητόρων ὡς ἀναιδῶν. Ἧ σύ. τοῦτο πρὸς τὸν κλέωνα. ἀμέλγεις δὲ, λαμβάνεις τὰ αὐτῶν πράγματα. τοῦτο δὲ παρὰ τὴν κοινὴν συνήθειαν εἴρηται. Τοὺς καρπίμους. τοὺς εὐπόρους τῶν ξένων διασείεις. τοὺς πλουσίους, καὶ εὐποροῦντας. ἀμέλγεις δὲ ἀποδρέπῃ. ἀπαθλίζεις τρυγᾷς καὶ καρπίζῃ. ἰδίως δὲ ἀμέλγειν λέγεται, τὸ παρὰ τὸν προσήκοντα καιρὸν τοὺς καρποὺς ἀποσπᾶν. ὅπερ οἱ κλέπται ποιοῦσιν. Ὁ δ' ἱπποδάμου. οὗτος ἐν πειραιεῖ κατῴκει. καὶ οἰκίαν εἶχεν. ἣν ὕστερον ἀνῆκε δημοσίαν εἶναι. καὶ πρῶτος αὐτὸς τὸν πειραιᾶ κατὰ τὰ μιλησιακὰ συνήγαγεν. ἦν δὲ ἀθηναίοις τίμιος. πικρῶς οὖν λέγει. ὅτι σὺ μὲν ἀνάξιος ὢν, σφετερίζῃ, καὶ ἀπὸ πάντων κερδαίνεις. ὁ δὲ εὐνούστατος ὢν τῇ

συνεκλέπτε ἐκεῖνον καὶ μᾶλλον πονηρὸς εἶναι δοκεῖ, εἰ οὐ κλέπτει μόνον· ἀλλὰ καὶ φα/νερῶς ἐπιορκεῖ. Σοφίζει. τεχνάζῃ. σοφίας γὰρ ἔλεγον τὰς τέχνας. τὰ ἀλλ' ὅτι λέγεις φησίν. ἐμά ἐστι ταῦτα τὰ ἐπιχειρήματα. ὡς εἰ ἔλεγε. τὰ ἐμὰ τοίνυν κλέ/πτεις. φανῶ δὲ φανερῶς κατηγορήσω. Ἀδεκατεύτους τῶν θεῶν. μὴ διδωκότα ἀπ' αὐτῶν τὴν δεκάτην μοῖραν τοῖς θεοῖς. ἔθος δὲ εἶχον τὰς δεκάτας τῶν θυομένων τοῖς πρυτάνεσιν οἱ μάγειροι διδόναι. δέον δὲ εἰπεῖν ἀδεκάτευτον ἔχοντα οὐσίαν. ὁ δὲ, ἀντὶ οὐσίας, κοιλίας ἐπήνεγκεν ὡς ἀλλαντο/πώλης. Ὦ μιαρὲ καὶ βδελυρέ. κορωνὶς καὶ ἔκθεσις χοροῦ ἐπῳδι/κὴ διὰ τὸ τίθεσθαι μετὰ τὴν διπλῆν. ἐκ κώλων παιωνικῶν ὑπομεμιγμέ/νων κρητικοῖς καὶ βακ/χείοις ἐννέα. ὧν τὸ πρῶ/τον δίμετρον ἀκατά/ληκτον ὃ καλεῖται δίρ/ρυθμον. τὸ δεύτερον τρί/μετρον βραχυκατά/ληκτον. τοῦ πρώτου πο/δὸς κρητικοῦ. τοῦ δὲ δεύ/τερου βακχείου. τὰ ἑξῆς τέσσαρα ὅμοια τῷ πρώ/τῳ ἐκ κρητικῶν. τὰ δὲ τούτων ἑξῆς τρία ὅμοια τοῦ δευτέρου ποδὸς κρητικοῦ. ἐν ἐκ/θέσει δὲ στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοί. ἐπὶ τῷ τέλει κορωνίς. ἑξῆς δὲ ἐν εἰσθέσει σύστημα κατὰ περικοπὴν ἀμοιβαῖον ἐκ στίχων ὁμοίων. ἐπὶ τῷ τέλει παράγραφος. Καὶ τέλη καὶ γραφαί. τὰ τελώνια καὶ ἀρχαί. τελώνης γὰρ ἦν. καὶ ἐμίσθου τὰ τέλη, τουτέστι τὰ τάγματα. Ὦ βορβοροτάραξι. ταρα/χωδέστατε. ταράττων ἡμῶν τὴν πόλιν ὡς βόρβορον. θορύβου πληρώσας τὴν πό/λιν καὶ βορβόρου. Ἀνατετυρβακώς. ἀνατεταράξας. τυρβάσαι δὲ κυρίως λέγε/ται, τὸ πηλὸν ταράξαι. Ἐκκεκώφηκας. βοῆς ἐπλήρωσας τὰς ἀκοάς. Κἀπὸ τῶν πετρῶν ἄνωθεν. ἐπειδὴ οἱ θυννοσκόποι ἐπὶ ὕψους ἱστάμενοι, τὴν κατασκοπὴν τῶν εἰσπλεόντων θύννων εἰς τὰ δίκτυα ποιοῦνται, φησὶν ὅτι καθάπερ τοὺς θυννοσκόπους εἰσιδόντες εἰς τὸ δίκτυον οὐ λανθάνουσιν οἱ θύννοι, οὕτως οὐ λανθάνουσι τὸν κλέωνα, τῆς πόλεως ἀποβαίνοντες οἱ τοὺς φόρους φέροντες. προαρπάζει οὖν, δέον τὴν πόλιν τὰ ἑαυτῆς λαμβάνειν. ὀνειδίζει οὖν αὐτῷ, ὅτι τὰ δημόσια νοσφίζεται χρήματα ἅ/μα δὲ καὶ εἰς ὀψοφαγίαν διαβάλλει. ἀπὸ μεταφορᾶς δὲ τῶν ἁλιέων τοῦτο εἶπε τῶν ἀγρευ/όντων τοὺς θύννους. Καττύεται. συντίθεται καὶ ῥάπτει κατ' ἐμοῦ. ἀστείως δὲ τῇ λέξει

ΚΛ. ἀλλ' ὅτι τοίνυν σοφίζει·
καί σε φανῶ τοῖς πρυτάνεσιν,
ἀδεκατεύτους τῶν θεῶν ἱε/
ρὰς ἔχοντα κοιλίας.
ΧΟ. ὦ μιαρὲ καὶ βδελυρέ,
καὶ κεκράκτα τοῦ σοῦ θράσους
πᾶσα μὲν γῆ πλέα
πᾶσα δ' ἐκκλησία
καὶ τέλη καὶ γραφαί
καὶ δικαστήρια.
βορβοροτάραξι καὶ
τὴν πόλιν ἅπασαν ἡ/
μῶν ἀνατετυρβακώς·
ὅστις ἡμῶν τὰς Ἀθήνας ἐκκεκώφηκας βοῶν
κἀπὸ τῶν πετρῶν ἄνωθεν τοὺς φόρους θυννοσκοπῶν.
ΚΛ. οἶδ' ἐγὼ τὸ πρᾶγμα τοῦθ' ὅθεν πάλαι καττύεται.

κριτῶν δίμετρα· τὰ δὲ τέσσαρα ἐναλλὰξ ἀκατάληκτα. καὶ μετὰ τοῦτο εἰσὶ δίστιχα τετράμετρα καταληκτικά. αὐτίκα δὲ μάλα· εὐθὺς παραχρῆμα. ἀττικὴ δὲ ἡ σύνταξις. κεκράξομαι δὲ, τῷ κεκραγμῷ περιέσομαι αὐτοῦ· τουτέστι νικήσω. Κυνοκοπήσω σου. τυπτήσω σε, καθάπερ κύνα. τοῦτο δὲ ὡς μάγειρος λέγει. ἔστι γὰρ κύων ἰσχυρός. ἅμα δὲ καὶ κυνείῳ σε δέρματι παίσω. ἔστι γὰρ τραχύτατον. Περιελῶ σ' ἀλαζονείας. οἷον ἀποδύσω σε καὶ παύσω τῶν ἀλαζονευμάτων. ἡ μεταφορὰ ἀπὸ τῶν ἐρεσσόντων. παύσω καὶ περικόψω τῆς ἀλαζονείας. περιελάσω. νικήσω. Ὑποτεμοῦμαι τὰς ὁδούς σου. οὐκ ἐάσω σε προλαβεῖν. προλήψομαι, νικήσω. τοῦτο ὡς πρὸς βυρσοδέψην. ὑποτέμνεται γὰρ τὰ δέρματα, ἵνα παχέα φαίνηται. διαφέρει γὰρ τὸ τέμνειν τοῦ ὑποτέμνειν. ὅταν γὰρ ὑποτέμνῃ,

ἀλ. κυνοκοπήσω σου τὸ νῶτον.
κλ. περιελῶ σ' ἀλαζονείαις.
ἀλ. ὑποτεμοῦμαι τὰς ὁδούς σου.
κλ. βλέψον εἰς ἔμ' ἀσκαρδάμυκτος.
ἀλ. ἐν ἀγορᾷ κἀγὼ τέθραμμαι.
κλ. διαφορήσω σ' εἴ τι γρύξεις.
ἀλ. κοπροφορήσω σ' εἰ λαλήσεις.
κλ. ὁμολογῶ κλέπτειν· σὺ δ' οὐχί;
ἀλ. νὴ τὸν Ἑρμῆν τὸν ἀγοραῖον.
κἀπιορκῶ γε βλεπόντων.

παχύτερον φαίνεται, ἀσθενέστερον δέ ἐστι. τέμνειν δὲ, τὸ ὀρθὴν ποιεῖσθαι τὴν τομήν. τὸ γὰρ ἀνώμαλον τῆς τομῆς, παχύτητος δόξαν ἐργάζεται. Ἀσκαρδάμυκτος. μὴ μύσας τοὺς ὀφθαλμούς. σκαρδαμύττειν γὰρ, τὸ σκαίρειν καὶ μύειν τοὺς ὀφθαλμούς. τὸ πυκνῶς βλεφαρίζειν. ὃ καὶ ἰλλώπτειν λέγεται ἢ ἰλλωπίζειν. ἀσκαρδαμυκτεῖν δὲ προστιθέντες τινὲς, τὸ ἀτενὲς βλέπειν τὸν ἥλιον. φησὶ νοῦν, ὅτι ἀτενὲς εἰς ἐμὲ βλέψον ὡς ἐν τούτῳ καταπληξόμενος τὸν ἀλλαντοπώλην. Διαφορήσω σ' εἴ τι γρύξεις. ἔπαιξε παρὰ τὸ διαφορεῖν. καλῶς δὲ ὡς ἐπὶ μαγείρου καὶ ἀλλαντοπωλοῦ κέχρηται. Ἄλλως. διασπαράξω. διολέσω. σχίσω. ἐκφορήσω. ἄλλως τε, καὶ οὐκ ἀχρήστως τῇ λέξει ἐπὶ μαγείρου καὶ τοῦ ἀλλαντοπώλου. οὗτοι γὰρ τὰ ἔγκατα πλύνοντες, ἐξ ἀνάγκης τῆς ἀπ' αὐτῶν πληροῦνται κόπρου. παρατηρητέον δὲ, ὅτι ἐν πᾶσιν ἀμείβεσθαι τοῖς ἴσοις πειρᾶται τὸν Κλέωνα. Κοπροφορήσω, κόπρου σε πληρώσω. ἔπαιξε δὲ παρὰ τὸ διαφορήσω σε. οἱ μάγειροι γὰρ τὰ ἔγκατα πλύνοντες, ἀναγκαίως πληροῦνται κόπρου. Ἄλλως. τὴν κόπρον ἐκφορήσω τύπτων σε. ἢ ὡς βυρσοδέψην. ὅτι κόπρῳ τὰς βύρσας ἐθεράπευεν. Ὁμολογῶ κλέπτειν. τοῦτο ἐν ὑπονοίᾳ λέγει. ὡς ἂν εἰ ἔλεγε, σώφρων εἰμὶ καὶ πεπαιδευμένος. ὁ δὲ αὐχεῖ ἐπὶ τῷ κλέπτειν ἃ κλέπτω, ὀμνύω μὴ κεκλοφέναι. ὅ ἐστιν ὑπερβολὴ ἐπιορκίας.

N ἢ τὸν Ἑρμῆν τὸν ἀγοραῖον. προσωμένως ἐπὶ τοῦ θεοῦ. ἐν μέσῃ γὰρ τῇ ἀγορᾷ ἵδρυτο Ἑρμοῦ ἀγοραίου ἄγαλμα. πλεονεκτεῖν δὲ αὐτὸν πειρᾶται μὴ μόνον κλέπτων, ἀλλὰ καὶ διαρρήδην ἐπιορκῶν. οἷον, ἐμά ἐστι ταῦτα τὰ ἐπιχειρήματα. ἀμφότεροι γὰρ ἁμιλλῶνται τίς ἐστιν αὐτῶν χείρων. Κἀπιορκῶν γε βλεπόντων. οἷον, ὁρώντων ὅτι κλέπτων ὀμνύω ὅτι οὐκ ἔκλεψα. τοῦτο δὲ προστίθεικεν ὁ ἀγορακρίτης, ὅτι τῆς

154. a.

εἰς τὴν γαστέρα τύπτομαι. παρεπιγραφὴ δὲ, συγκέκυφε γὰρ καὶ ὑπὸ τῶν διωκόντων τύπτεται. καταστρέφεις δὲ δούλοις. τρέψομαι δὲ, εἰς φυγὴν τρέψω, περιέσομαί σου βοῶν. νικήσω. ὑπερβαλοῦμαι. Τήνελλος εἶ. τήνελλος ἁρμονία λύρας. ἐπεὶ τοίνυν ὑπερακοντίζεις αὐτὸν, μουσικώτατος εἶ. Ἄλλως. νικηφόρος. τήνελλος δὲ κρουμάτιόν ἐστιν ἐπινίκιον. Ἢν δ' ἀναιδείᾳ κἂν ἡττηθῇς φησιν ὑπ' αὐτοῦ, τῇ βοῇ. περιγένῃ δὲ ἐν ἀναιδείᾳ, οὐδὲν ἧττον ἡμετέρα ἡ νίκη. πυραμοῦς δὲ, εἶδος πλακοῦντος. ἐκ μέλιτος ἑφθοῦ καὶ πυρῶν πεφρυγμένων. ὡς καὶ ἡ σησαμοῦς διὰ σησάμων. ταῦτα δὲ ἐτίθεσαν ἆθλα τοῖς διαγρυπνηταῖς. εἰώθασι γὰρ ἐν τοῖς συμποσίοις, ἅμιλλαν θέσθαι περὶ ἀγρυπνίας. καὶ ὁ διαγρυπνήσας μέχρι τῆς ἕω, ἐλάμβανε τὸν πυραμοῦντα. Ἐγὼ δείκνυμι. ἐνδείκνυμι. καὶ φαίνω. ἐνδεικνύναι δὲ ἔλεγον τὸ καταγγέλλειν τινὰ κακουργοῦντα περὶ τὰ κοινά.

ΧΟ. ἀλλ' ἐὰν μέντοι γε νικᾷς τῇ βοῇ, τήνελλος εἶ.
ἣν δ' ἀναιδείᾳ παρέλθῃς, ἡμέτερος ὁ πυραμοῦς.
ΚΛ. τουτονὶ τὸν ἄνδρ' ἐγὼ δείκνυμι, καὶ φήμ' ἐξάγειν
ταῖσι πελοποννησίων τριήρεσι ζωμεύματα.
ΑΛ. ναὶ μὰ Δία. κἄγωγε τοῦτον ὅτι κενῇ τῇ κοιλίᾳ
ἐσδραμὼν ἐς τὸ πρυτανεῖον, εἶτα πάλιν ἐκθεῖ πλέᾳ.
ΔΗ. νὴ Δί' ἐξαγαγών γε τὰ πόρρηθ' ἅμ' ἄρτον καὶ κρέας,
καὶ τέμαχος. οὗ περικλέης οὐκ ἠξιώθη πώποτε.
ΚΛ. ἀποθανεῖσθον αὐτίκα μάλα.
ΑΛ. τριπλάσιον κεκράξομαί σου.
ΚΛ. καταβοήσομαι βοῶν σε.
ΑΛ. κατακεκράξομαί σου κράζων.
ΚΛ. διαβαλῶ σ' ἐὰν στρατηγῇς.

Ζωμεύματα. τὰ τῶν νεῶν χρειώδη. λέγεται δὲ ξύλα καὶ κηρὸς καὶ πίσσα. Ἄλλως. τὰ λεγόμενα ὑποζώματα. εἰσὶ δὲ ξύλα τῶν νεῶν. ἀντὶ τοῦ εἰπεῖν ὑποζώματα, εἶπεν ὡς πρὸς μάγειρον παίζων ζωμεύματα. ὡς ἀρτύσεως ἔμπειρον καὶ ζωμευμάτων. ἀπείρητο δὲ ἀπὸ ἀθηναίων ἐξάγειν ξύλα, καὶ πίσσαν, εἶχον γὰρ καὶ οἱ λακεδαιμόνιοι τριήρεις. Ἐκθεῖ πλέα. ἔξεισι. καὶ προδίδοται μεστὴ καὶ γεμούση. τουτέστιν ἔξεισιν ἐκ τῆς πολιτείας γενόμενος πλούσιος. εἰσδραμὼν δὲ ἀντὶ τοῦ εἰσελθὼν τῇ πολιτείᾳ. ἐμφαντικῇ γὰρ λέξει κέχρηται ἵνα δείξῃ αὐτὸν πεπηδηκότα βιαίως καὶ ἀναισχύντως τῇ πολιτείᾳ. πρυτανεῖον γὰρ τόπος ἀθήνησιν οὗ τὰς δημοσίας σιτήσεις ἐποιοῦντο. τιμὴ δὲ οὐκ ἐλαχίστη τοῖς δημοσίᾳ σιτουμένοις ἦν. ταῦτα δ' εἶπεν ὅτι πένης ὢν ἐκ τῶν κοινῶν πεπλούτηκε καὶ ὅτι ἀναξίως ἔχει τῆς ἐν πρυτανείῳ σιτήσεως. Νὴ Δία ἐξαγαγών γε τὰ ἀπόρρητα. ἐπειδὴ ὁ κλέων εἶπεν ἀπόρρητα, καὶ αὐτὸς εἶπε κρέας καὶ ἄρτον. λέγει οὖν, ὅτι ἀναξίως ἔτυχεν ὁ κλέων, οὗ περικλῆς οὐκ ἔτυχε τῶν ἀθηναίων μὴ παρασχόντων. καίτοι ὑπὲρ μεγαλοφροσύνης τοῦ ἀνδρὸς παραιτησαμένου, ἢ ὅτι ἐξοστρακισθεὶς, οὐκ ἔτυχε τῆς ἐν πρυτανείῳ σιτήσεως, ἢ ὅτι διὰ τοῦτο εἶπε κρέας καὶ ἄρτον ἐπειδὴ οὐκ ἐξῆν τὰ θυόμενα δήμητρι καὶ περσεφόνῃ, ἔξω ἀφιέναι. ὡς γοῦν αὐτὰ ἐκφέροντος, κατηγορεῖ.

144 b

Καὶ τέμαχος. ἰχθύν. ἰδίως γὰρ τεμαχίτας ἰχθῦς, τοὺς μεγάλους καὶ κατακοπτομένους.

Ἀποθανεῖσθον. σύστημα καὶ εἴσθεσις περιοδικὴ κώλων ιβ'. ὧν τὰ μὲν ιέ ἀμοιβαῖα τῶν ὑπο

τὸ δὲ ὅλον κατὰ παλαίσας αὐτὸν ἐμπεριελθὼν, καὶ διασείσας, ἀργυρίζεται. τὴν βίαν δὲ ἣ κέχρητο κατὰ τῶν ἀνθρώπων, διὰ τῆς πάλης ἐδήλωσε. Καὶ σκοπεῖς γε τῶν πολιτῶν. διακρίνεις καὶ ἀναζητεῖς. ὁ δὲ νοῦς αὐτῷ τοιοῦτο λέγειν βούλεται. ὅπου τῷ προειρημένῳ ἐπηρεάζει τρόπῳ. ἀλλ᾽ εἴ τις καὶ τοιοῦτό τι ποιεῖ. ἀναζητεῖ καὶ διακρίνει τίς ἐστι τῶν πολιτῶν ἀμνοκῶν. οἷον προβατώδης. τουτέστι μωρὸς καὶ εὐήθης. τὰ γὰρ πρόβατα ἐπὶ εὐηθείᾳ διαβάλλεται.

εἶτ᾽ ἀποστρέψας τὸν ὦμον, αὐτὸν ἐνεκολάβησας.
καὶ σκοπεῖς γε τῶν πολιτῶν ὅστις ἐστὶν ἀμνοκῶν,
πλούσιος. καὶ μὴ πονηρός. καὶ τρέμων τὰ πράγματα.
κλ. ξυνεπίκεισθ᾽ ὑμεῖς, ἐγὼ δ᾽ ὦνδρες δι᾽ ὑμᾶς τύπτομαι
ὅτι λέγειν γνώμην ἔμελλον. ὡς δίκαιον ἐν πόλει
ἑστάναι μνημεῖον ὑμῶν ἐστὶν ἀνδρείας χάριν.
χο. ὡς δ᾽ ἀλαζών. ὡς δὲ μάθλης. εἶδες οἷ᾽ ὑπέρχεται.
ὡσπερεὶ γέροντας ἡμᾶς ἐκκοβαλικεύεται.
ἀλλ᾽ ἐὰν ταύτῃ γε νικᾷ, ταυτῃὶ πεπλήξεται
ἢν δ᾽ ὑπεκκλίνῃ γε δευρὶ, πρὸς σκέλος κυρηβάσει.
κλ. ὦ πόλις καὶ δῆμ᾽ ὑφ᾽ οἵων θηρίων γαστρίζομαι.
χο. καὶ κέκραγας ὥσπερ αἰεὶ τὴν πόλιν καταστρέφεις,
αλ. ἀλλ᾽ ἐγώ σε τῇ βοῇ ταύτῃ γε πρῶτον τρέψομαι.

Καὶ τρέμων τὰ πράγματα. εὐλαβούμενος καταστῆναι εἰς πράγματα. πολλοὶ γὰρ οὐ διὰ δειλίαν ἀλλ᾽ ἦθος καὶ τρόπων ἐπιείκειαν, αἱροῦνται ζημιωθῆναι μᾶλλον. ἢ χωρῆσαι διὰ δίκης. καὶ τοὺς τοιούτους ἐπιλεγόμενος φησὶν ὁ κλέων, καταστῆσαι εἰς φόβον τοῦ παρέξειν πράγματα ἐπηρεάζει ῥᾳδίως. Ὡς δ᾽ ἀλαζών. ἀλαζὼν, ὁ μείζονα τῆς ἑαυτοῦ ἀξίας κομπάζων καὶ φρονῶν. μάθλης δὲ κυρίως, ἱμὰς μεμαλαγμένος. καὶ ἁπαλός. καὶ τρυφερός. καλῶς οὖν ἐπὶ τοῦ κλέωνος τῷ ὀνόματι κέχρηται. ὁμοῦ καὶ τὸ τοῦ τρόπου ὕπουλον καὶ τὸ λαμπρὸν αὐτοῦ δεικνὺς, καὶ σκώπτων ὡς βυρσέα. ἀφ᾽ ὧν οἱ ἱμάντες γίγνονται κατεργασθέντες τοιοῦτοι. μάθλης οὖν ὁ μεμαλαγμένος ἐν πονηρίᾳ.

Εἶδες οἷ᾽ ὑπέρχεται. ὡς ὑπάγεται τὸν δῆμον ὑποτρέχων. καὶ κολακεύει. καὶ καταπραΰνει ἀπάγων τὴν ὀργὴν ἅπασαν τὴν πρὸς αὐτούς. Ὡσπερεὶ γέροντας. ὥσπερ φησὶ τοὺς γέροντας δικαστὰς ἐκπανουργῆσαι, οὕτω καὶ ἡμᾶς ἐπιχειρεῖ ἀπατᾶν. κόβαλα γὰρ καλοῦσι τὰ πανουργήματα.

Ἐκκοβαλικεύεται. ἀπατᾷ. παραλογίζεται. ληστεύει. κόβαλοι γὰρ οἱ λησταί. τοὺς αὐτοὺς καὶ κορυνηφόρους καλοῦσιν. οἱ δὲ, κόβαλον τὴν μετὰ ἀπάτης παιδιάν.

Ἀλλ᾽ ἐὰν ταύτῃ γε νικᾷ τῇ πανουργίᾳ λέγει. ὅτι ἐν τῇ πανουργίᾳ νικήσει. αὐτῇ τῇ πανουργίᾳ πεισθήσεται. Ἄλλως. τὰς χεῖρας δείκνυσιν. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν παλαιόντων. διό φασι καὶ τὸ κυρηβάσει. Κυρηβάσει. κυρηβασία λέγεται, ἡ διὰ τῶν κεράτων μάχη. ἥπερ ἐν τοῖς ἀλόγοις ζώοις γίνεται. τοῦτο οὖν δηλοῖ ὅτι ἢ μάχεται. ἢ πλήξει. κυρηβάσεις γὰρ λέγονται αἱ πλήξεις τῶν τράγων. καὶ γὰρ ἐκεῖνοι ταῖς κεφαλαῖς διαμάχονται. Ἄλλως. πρὸς τὸ σκέλος μάχεται. ἢ διαπεσεῖται. γαστρίζομαι δὲ εἶπεν, ὡς πληγεὶς τὸ σκέλος.

Οὓς ἐγὼ βόσκω. πικρῶς ὡς θρέμμασιν αὐτοῖς κέχρηται ἀλόγοις. βόσκειν γὰρ ἐπὶ τῶν ἀλόγων ζώων τίθεται. τὸ δὲ δίκαια κἄδικα, οἷον ἐκ δικαίου. Ξυνωμοτῶν. ξυνωμοσίαν πεποιημένων. τουτέστι πίστεις δι' ὅρκων διδόντων αὐτοῖς. καὶ συνθήκας κατ' ἐμοῦ πεποιηκότων. Ἄλλως. προδοτῶν τοῦ δήμου. τῶν συνομνύντων ἐπὶ τῇ καθαιρέσει τοῦ δήμου. Πρὶν λαχεῖν. πρὶν χειροτονηθῆναι. πρὶν κληρωθῆναι. πρὸ διανομῆς φησιν, ἁρπάζεις. ἡ μεταφορὰ ἀπὸ τῶν ἐν τοῖς δείπνοις ἁρπαζόντων πρὸ διανομῆς. Κἀποσυκάζεις. συκοφαντεῖς. ἐχρήσατο δὲ τῷ ὀνόματι, ἀφ' οὗ καὶ συκοφάντης κέκληται. τὸ γὰρ παλαιὸν τίμια παρὰ τοῖς ἀθηναίοις τὰ σῦκα ἦν. καὶ εἴ τις διεβλήθη κλέπτων ἐκολάζετο. φαίνειν δὲ ἔλεγον τὸ κατηγορεῖν.

οὓς ἐγὼ βόσκω κεκραγώς, καὶ δίκαια κἄδικα
παραβοηθεῖθ' ὡς ὑπ' ἀνδρῶν τύπτομαι ξυνωμοτῶν.
Χο. ἐνδίκως γ' ἐπεὶ τὰ κοινὰ πρὶν λαχεῖν κατεσθίεις.
κἀποσυκάζεις πιέζων τοὺς ὑπευθύνους σκοπῶν,
ὅστις αὐτῶν ὠμός ἐστιν, ἢ πέπων, ἢ μὴ πέπων
κἄν τιν' αὐτῶν γνῷς ἀπράγμον' ὄντα καὶ κεχηνότα
καταγαγὼν ἐκ Χερρονήσου διαβαλὼν ἀγκυρίσας

Ἄλλως. συκάζειν γὰρ ἀποθλίβειν τὰ σῦκα. ἢ ὠμὰ ἢ πέπειρα. καλῶς οὖν ἐπήνεγκε γὰρ ἀποπιέζων. ἐπεὶ ἀποθλίβει τοὺς συκοφαντουμένους. καὶ πιέζει δωροδοκῶν.

Τοὺς ὑπευθύνους σκοπῶν. διαλογιζόμενος καὶ ὁρῶν καὶ πολυπραγμονῶν. ὠμὸς δὲ σκληρός. δυσκαταμάχητος. ἀντὶ δὲ τοῦ εἰπεῖν πένης, ἢ πλούσιος ἐπέμεινε τῇ μεταφορᾷ ὡς ἐπὶ σύκων. γὰρ δὲ πέπων ἢ μὴ πέπων, ἀντὶ τοῦ ἁπαλός. ῥᾳδίως διασεισθῆναι δυνάμενος. μεταφορικῶς δὲ ἀπὸ τοῦ συκάζειν τούτοις τοῖς ὀνόμασι κέχρηται. ὠμὰ δὲ τὰ μηδέπω ὡριμακότα. ὥσπερ οὖν ἐπὶ τῶν καρπῶν, ἐκ μὲν τῶν πεπανθέντων ἔστι δρέψασθαι καὶ φαγεῖν. ἐκ δὲ τῶν ἀώρων καὶ ὠμῶν οὐκέτι, οὕτω φησὶ καὶ ἐπὶ τῶν ἀνθρώπων, ὁ κλέων διελογίζετο, καὶ διέκρινε τίς ἐπιτήδειος διασεισθῆναι. καὶ τίς σκληρὸς καὶ δυσκαταμάχητος. ὑπευθύνους δὲ, τοὺς μηδέπω λογισμὸν παρεχομένους μὴ δὲ δόντας εὐθύνας τῆς ἀρχῆς ἧς ἐπιστεύθησαν. Ἀπράγμονα. ἐπιεικῆ καὶ μέτριον τοὺς τρόπους. οὐ φιλοπράγμονα. Ἐκ Χερρονήσου. Χερρόνησος τῆς θρᾴκης χωρίον καὶ πόλις, ὑποτελὴς τῶν ἀθηναίων εὔφορος εἰς πυρῶν γεωργίαν. ὅθεν καὶ ἐσιτάγωγουν οἱ ἀθηναῖοι. ὡς ἰδιοπραγμόνων δὲ, καὶ ἰδιωτῶν ὄντων τῶν Χερρονησιωτῶν δὲ καὶ διασείεσθαι δυναμένων ῥᾳδίως. μάλιστα δὲ τοῦ κλέωνος ἐπηρεαζόντες αὐτοὺς τούτου ἐμνήσθη. ὅθεν ὡς ἐπὶ ἀγροίκων καὶ τῷ καταγαγὼν ἐχρήσατο. σημαντικῶς ὥσπερ ἀπ' ἀγροῦ τινος μετακαλουμένων καὶ κατιόντων εἰς πόλιν. Ἄλλως. ὡς καταγαγόντος αὐτοὺς συμμάχους εἰς ἀθήνας. καὶ συκοφαντοῦντος καὶ ἀργυριζομένου. Ἀγκυρίσας. ὑποσκελίσας. καταξάς. μετακαλεσάμενος οἷον τῇ ἀγκύλῃ, καταλαβών. ὅπερ ἐστὶν ἀκοντίου εἶδος ἢ καταπαλαίσας. παλαιστρικὰ γὰρ εἰσὶ ταῦτα. καὶ τὸ διαβαλὼν καὶ τὸ ἀγκυρίσας. καὶ ἀγκύρισμα εἶδος παλαίσματος. καὶ σκεῦος ἀγρευτικὸν σύκων.

Ἐγκολάβησας. ἀκόλος. ψωμὸς, ὅθεν γὰρ ἐγκολάβησας. ἀντὶ τοῦ καταπέπωκας.

πλῆθος τὸ ἱππικόν. τοῦτο δὲ εἶπεν ἵνα δόξωσιν εἰκότως αὐτῷ χαλεπαίνειν καὶ αὐτοί. καὶ πολεμεῖν. ἢ ἵνα τὸν κλέωνα δείξῃ διὰ πάντων λυμαινόμενον τὴν πόλιν. διαφθείροντα μὲν τὸ ἱππικόν. σφετεριζόμενον δὲ τοὺς φόρους. εἴσθεσις δὲ τῆς διπλῆς ἀμοιβαίας ἑτέρων εἰσιόντων ὑποκριτῶν. οἱ δὲ στίχοι, τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ λζ. ὧν τελευταῖος καὶ τέμαχος οὗ περικλῆς οὐκ ἠξιώθη πώποτε. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος ἐπὶ δὲ τῷ τέλει τῶν στίχων διπλῆ ἔξω νενευκυῖα.

καὶ τελώνην καὶ φάραγγα. καὶ χάρυβδιν ἁρπαγῆς.
καὶ πανοῦργον καὶ πανοῦργον πολλάκις γὰρ αὔτ' ἐρῶ
καὶ γὰρ οὗτος ἦν πανοῦργος πολλάκις τῆς ἡμέρας
ἀλλὰ παῖε καὶ δίωκε. καὶ τάραττε καὶ κύκα.
καὶ βδελύττου. καὶ γὰρ ἡμεῖς. κἀπικείμενος βόα.
εὐλαβοῦ δὲ μὴ κφύγῃσε. καὶ γὰρ οἶδε τὰς ὁδοὺς.
ἅσπερ εὐκράτης ἔφυγεν εὐθὺ τῶν κυρηβίων.
κλ. ὦ γέροντες ἡλιασταὶ φράτορες τριωβόλου.

Καὶ τελώνης. διεβέβλητο τὸ τοῦ τελώνου ὄνομα. ὡς καὶ τοῦ κλέωνος ὄντος τελώνου. καὶ ὑπὲρ τὸ τέλος τελωνοῦντος. φάραγξ δὲ, τὸ ἀπόχισμα τῆς γῆς. ὃ τὸ παρεμπίπτον ὕδωρ πίνει, τοῦτο δὲ καὶ εἰς τὸ κακόφωνον αὐτοῦ. χάρυβδιν δὲ ἁρπαγῆς, ὡς πάντα ὁτιοῦν ἁρπάζοντα. Φάραγγα. τὸ τῆς γῆς βάραθρον. ὃ ἐὰν εἰς αὐτὸ ὕδωρ ἐμπέσῃ, ἀφανὲς ποιεῖ. εἰς ἄδηλον γὰρ τὸ ὕδωρ καταναλίσκεται. τοῦτο δὲ, διὰ τὸ κακόφωνον τοῦ κλέωνος. καὶ τὸ κράζειν ὡς ἐπὶ τῶν πετρῶν τὰ κύματα. Κἀπικείμενος. ἀντὶ τοῦ τύπτων αὐτόν. διὰ δὲ κλέωνα τοῦτο πάλιν λέγει. ἐπειδὴ κεκράκτης ἦν. Οἶδε τὰς ὁδούς. ἐπίσταταί φησι τὰς καταδύσεις εὐκράτους τὰς ἐπὶ τὰ κυρήβια. κυρήβια δέ εἰσι τὰ πίτυρα καὶ ἄχυρα τῶν πυρῶν ἢ κριθῶν. μυλῶνας δὲ ἔχων ὁ εὐκράτης, εἰκότως εἶχε καὶ κυρήβια. ἐκωμῳδεῖτο οὖν δὲ καίρως αὐτόν. ὡς μυλωνάρχην. καὶ ὡς πρὸ αὐτοῦ πολιτευσάμενον καὶ πεφευγότα. τινὲς δὲ, ὅτι ἦν μύλων ἀρχή. Κυρηβίων. ἔνθα αἱ κάγχρυς φρύγονται. κάγχρυς δέ εἰσιν αἱ λελεπισμέναι κριθαί. ἀφ' ὧν ἡ πτισάνη. σκώπτει δὲ καὶ τὸν εὐκράτην ὡς τοιαύτην τέχνην ἔχοντα. ἐν ἄλλοις γοῦν φανερωτέρως φησὶ καὶ σὺ κυρηβιοπῶλα εὔκρατες στύπαξ. Ὦ γέροντες ἡλιασταί. τοῦτο ὁ κλέων λέγει. καὶ αὐτὸς ἐπικαλούμενος τοὺς δικαστὰς εἰς βοήθειαν. ἡλιαία γὰρ μέγιστον δικαστήριον ἀθήνησιν. οἱ δὲ δικασταὶ ὑπὸ τῶν δημαγωγῶν ἐτρέφοντο, τριώβολον λαμβάνοντες μισθὸν δικαστικὸν μετὰ τὸ κρῖναι. ὡς δημαγωγὸς οὖν ἐπικαλεῖται οὓς ἔτρεφε συγγενεῖν δὲ εἶπε τριωβόλου, οἷον προσῳκειωμένοι καὶ πρὸς πεφυκότες τῷ τριωβόλῳ. καὶ γὰρ τοὺς συγγενεῖς φράτορας καλοῦσιν. εἰσὶ δὲ οἱ τῆς αὐτῆς φατρίας μετέχοντες, οἷον πατριᾶς τινός. ὁ γοῦν ὅμηρος αὐτὴν πάτραν λέγει. ἣ μὲν ἀμφοτέροισιν ὁμὸν γένος ἠδ' ἴα πάτρη. καὶ κατὰ διαφορὰν πάτρη καλεῖται. μετὰ πέπτωκε δὲ τὰ στοιχεῖα. καθάπερ ἐπὶ τοῦδε. ὁ φάτριος ζεὺς καὶ ὁ πάτριος. τὸ δὲ τριώβολον ἡμίδραχμόν ἐστιν. ἡλιαῖον δὲ καλεῖται, διὰ τὸ ὑπαίθριον αὐτὸ εἶναι. καὶ ὑπὸ τῷ ἡλίῳ καθέζεσθαι τοὺς συνελθόντας δικαστάς.

Μὰ τοὺς δώδεκα θεούς. τοῦτο Κλέων λέγει ἰδὼν ὁμιλοῦντας, καὶ μὴ εἰδὼς περὶ τίνων ὁμιλοῦσι, συνωμότας καλεῖ. πικρῶς οὖν κατὰ τοῦ Κλέωνος ἐκφέρονται. ὡς πάντα αὐτοῦ συκοφαντοῦντος ἀπὸ μικρῶν καὶ εὐτελῶν προφάσεων. χαιρήσετον δὲ, χαίροντες ἀπαλλαχθήσεσθον. Ξυνόμνυτον. ξυνωμοσίαν ἐποιήσατε. τουτέστιν ὅρκους καὶ πίστεις ἀλλήλοις δεδώκατε ἵνα ὁμοφωνήσητε κατὰ τοῦ δήμου. Τὸ Χαλκιδικὸν ποτήριον. ἔγνω μὲν ὅτι ὁ θεράπων, ἔπινε καὶ εἶχεν ἐπὶ χεῖρας τὸ ποτήριον. ἰδὼν οὖν ὁ Κλέων, προφάσει καὶ τούτῳ κέχρηται τῆς συκοφαντίας. καὶ τὸ ποτήριον εὐθύνει ὡς Χαλκιδικόν. κωμῳδεῖ δὲ αὐτὸν ὡς καὶ ἐπὶ τοῖς τυχοῦσι μεγάλα μεμφόμενον. οἱ δὲ Χαλκιδεῖς εἰσὶ μὲν ἐπὶ τῆς Εὐβοίας ἄποικοι Ἀθηναίων. εἰσὶ δὲ καὶ ἐπὶ Θράκης οἱ Χαλκιδεῖς, ἄποικοι ὄντες ἀπὸ τῆς Εὐβοίας. πολλὰ δὲ ἦν τότε χωρία τῆς Θράκης ὑπακούοντα τοῖς Ἀθηναίοις. περὶ ὧν νῦν λέγει. καὶ γὰρ ἐπὶ Θράκης Χαλκιδεῖς ἦσαν ὑπήκοοι τῶν Ἀθηναίων. φησὶν οὖν ὅτι τὸ ποτήριον τοῦτο Χαλκιδικόν ἐστι. καὶ πόθεν ὑμεῖς αὐτὸ ἔχετε, εἰ μὴ δῶρον ὑμῖν ἐδόθη ἵνα ἀποστῶσιν. ἔλαβε δὲ τὴν πρόφασιν εὔκαιρον τοῦ ὀνόματος τῶν Χαλκιδέων. διὰ τὸ κατ' ἐκεῖνον τὸν καιρὸν ἀποστῆναι αὐτοὺς τῶν Ἀθηναίων. ἀπέστησαν δὲ ἀπὸ Ἀθηναίων Χαλκιδεῖς ἐπὶ Εὐκλείδου ἄρχοντος.

ΚΛ. οὔτοι μὰ τοὺς δώδεκα θεοὺς χαιρήσετον,
ὅτι 'πὶ τῷ δήμῳ ξυνόμνυτον πάλαι.
τουτὶ τί δρᾷ τὸ Χαλκιδικὸν ποτήριον;
οὐκ ἔστιν ὅπως οὐ Χαλκιδέας ἀφίστατον.
ἀπολεῖσθον, ἀποθανεῖσθον ὦ μιαρωτάτω.
ΔΗ. οὗτος τί φεύγεις; οὐ μενεῖς; ὦ γεννάδα
ἀλλαντοπῶλα, μὴ προδῷς τὰ πράγματα.
ἄνδρες ἱππῆς παραγίγνεσθε. νῦν ὁ καιρός. ὦ Σίμων,
ὦ Παναίτι', οὐκ ἐλᾶτε πρὸς τὸ δεξιὸν κέρας;
ἄνδρες ἐγγύς. ἀλλ' ἀμύνου κἀπαναστρέφου πάλιν.
ὁ κονιορτὸς δῆλος αὐτῶν ὡς ὁμοῦ προκειμένων.
ἀλλ' ἀμύνου καὶ δίωκε. καὶ τροπὴν αὐτοῦ ποιοῦ.
ΧΟ. παῖε παῖε τὸν πανοῦργον καὶ ταραξιππόστρατον.

Χαλκιδέας ἀφίστατον. πόλις Εὐβοίας, ἄποικοι Ἀθηναίων. ἐχρῶντο δὲ τοῖς ὀστρακίνοις εἰς τὰ συμπόσια. ὡς ἀεὶ οὖν τοῦ Κλέωνος δι' ἐλάχιστόν τι κατηγοροῦντος. χωρίζετε οὖν φησὶ Χαλκιδέας ἀπὸ τῆς τῶν Ἀθηναίων συμμαχίας. Ὦ γεννάδα, τοῦτο ὁ θεράπων πρὸς τὸν ἀγοράκριτον. ἔν τισι δὲ οἱ δύο στίχοι οὐκ ἔγκεινται. Ἄνδρες ἱππεῖς. ὡς συκοφαντούμενοι, ἐπικαλοῦνται εἰς βοήθειαν τοὺς ἱππέας. ἵππαρχοι δὲ ὁ Σίμων καὶ ὁ Παναίτιος. Πρὸς τὸ δεξιὸν κέρας. ὡς ἐπὶ τάξεως φησίν. ὁ δὲ Παναίτιος ὡς μέγας τῶν ἱππέων κωμῳδεῖται. τινὲς δὲ τὸ μὲν ἄνδρες ἱππεῖς ἀλλαντοπώλην λέγειν. ἄλλοι δὲ τὸ ἄνδρες ἐγγύς, τὸν θεράποντα. Κἀπαναστρέφου. ὡς τοῦ ἀλλαντοπώλου φεύγοντος. ἐπαναστρέφου. Ὡς ὁμοῦ προκειμένων. τὸ ὁμοῦ λέγουσιν Ἀττικοὶ ἀντὶ τοῦ ἐγγύς. ὡς καὶ ἐν Εἰρήνῃ. καὶ μὴν ὁμοῦ 'στιν ἤδη.

Παῖε παῖε. ἐντεῦθεν ἡ πάροδος γίγνεται τοῦ χοροῦ ἀπὸ τῶν ἱππέων συμπληρουμένου. οἵτινες ἐπικαλουμένου ἀκούσαντες τοῦ θεράποντος, εὐθέως ἀφικνοῦνται βοηθήσοντες αὐτῷ. ταραξιππόστρατον δὲ καλοῦσι τὸν Κλέωνα. τουτέστι τὸν ταράξαντα τὸ

οἱ μάγειροι. διαβάλλει δὲ πάλιν τοὺς στρατηγοὺς ταράττοντας καὶ χορδεύοντας· τουτέστιν εἰς ταραχὰς ἐμβάλλοντας τὴν πόλιν. Ὑπογλυκαίνων. ἡδύσμασι χρώμενος; καὶ ἀρτύμασι. λόγοις κολακευτικοῖς καὶ γλυκέσι. Ἔχεις ἅπαντα σύμφωνά σοι· ἔχεις. καὶ ἁρμόζεις εἰς ἅπαντα. πάλιν δὲ ἐνταῦθα αὐτῶν καθάπτεται τῶν ἀθηναίων καὶ τῶν πολιτευομένων. ὡς τοῖς μὲν τοιούτοις ἐγχειριζόντων τὰ δημόσια. τῶν δὲ πολιτευομένων οὕτω πεφυκότων. Τῷ κοαλέμῳ. ἀντὶ τοῦ ἀνοίᾳ. αἰαπάττει ἢ αὐτὴν ὡς δαίμονα. τοῦτο δὲ παρῴδησεν ἐκ τῆς τραγῳδίας. ἀνέπλασε δέ τινα δαίμονα ἀπὸ τῶν προειρημένων κωμικῶς. τουτέστιν ἀπατητικῷ καὶ ἀνοήτῳ δαίμονι. ἢ τῷ κωλύοντι τὸν ἄνεμον καὶ παύοντι δαίμονι. ἢ τῷ ἀλλαντοπώλῃ. Βδύλλει. καταπέπηγε. βδελύττεται. τουτέστι μισεῖ. Ἀλλ' εἰσὶν ἱππῆς ἄνδρες ἀγαθοὶ χίλιοι. οἱ ἱππεῖς ἐπέθοντο αὐτῷ. ἐπειδὴ ὅτε ἦν εἰς αὐτῶν, κακῶς αὐτοὺς διέθηκεν. ἱππεῖς οὖν, τάγμα ἐστὶν ἐν τῇ ἀττικῇ. ἀφ' ὧν ὁ χορὸς σύγκειται τῷ δράματι. ὅθεν καὶ τὴν ἐπιγραφὴν πεποίηται.

ὑπογλυκαίνων ῥηματίοις μαγειρικοῖς.
τἄλλα σοι πρόσεστι δημαγωγικά.
φωνὴ μιαρά. γέγονας κακῶς. ἀγοραῖος εἶ.
ἔχεις ἅπαντα πρὸς πολιτείαν ἃ δεῖ.
χρησμοί τε συμβαίνουσι καὶ τὸ πυθικόν.
ἀλλὰ στεφανοῦ. καὶ σπένδε τῷ κοαλέμῳ.
χὤπως ἀμυνεῖ τὸν ἄνδρα. ἀλ. καὶ τίς ξύμμαχος
γενήσεταί μοι. καὶ γὰρ οἵ τε πλούσιοι
δεδίασιν αὐτόν. ὅ, τε πένης βδύλλει λεώς.
δη. ἀλλ' εἰσὶν ἱππῆς ἄνδρες ἀγαθοὶ χίλιοι.
μισοῦντες αὐτόν. οἳ βοηθήσουσί σοι.
καὶ τῶν πολιτῶν οἱ καλοί τε κἀγαθοί.
καὶ τῶν θεατῶν ὅστις ἐστὶ δεξιός.
κἀγὼ μετ' αὐτῶν χὠ θεὸς ξυλλήψεται.
καὶ μὴ δέδιθ'. οὐ γάρ ἐστιν ἐξεικασμένος.
ὑπὸ τοῦ δέους γὰρ αὐτὸν οὐδεὶς ἤθελε
τῶν σκευοποιῶν εἰκάσαι. πάντως γε μὴν
γνωσθήσεται. τὸ γὰρ θέατρον δεξιόν.
οι. οἴμοι κακοδαίμων ὁ παφλαγὼν ἐξέρχεται.

Μισοῦντες αὐτόν. θεόπομπος ἐν δεκάτῳ φιλιππικῶν φησίν, ὅτι οἱ ἱππεῖς, ἐμίσουν αὐτόν. προπηλακισθεὶς γὰρ ὑπ' αὐτῶν, καὶ παροξυνθεὶς ἐπετέθη τῇ πολιτείᾳ. καὶ διετέλεσεν εἰς αὐτοὺς κακὰ μηχανώμενος. κατηγόρησε γὰρ αὐτῶν ὡς λειποστρατούντων. διὰ τοῦτο οὖν, ἐμνήσθη ὁ ἀριστοφάνης. Ὅστις ἐστὶ δεξιός. ἀγαθός. εὔνους ἡμῖν. ἀπεχθόμενος πρὸς τὴν τοῦ κλέωνος πονηρίαν. Ἐξεικασμένος. πεπλασμένος πρὸς ὁμοιότητα. ἔθος γὰρ ἦν τοῖς κωμικοῖς, ὅμοια τὰ προσωπεῖα ποιεῖν τοῖς κωμῳδουμένοις ἵνα φανεροὶ ὦσιν ὑπ' αὐτῶν. καὶ περιτιθέναι τοῖς ὑποκριταῖς. Ἄλλως. οὐκ εἶχεν αὐτοῦ προσωπεῖον. διὰ τὸ δεδοικέναι τοὺς σκευοποιοὺς καὶ μὴ θέλειν μήτε πλάττειν μήτε σχηματίζειν τὴν ὄψιν τοῦ κλέωνος. λέγεται οὖν ὅτι μηδενὸς ὑποστάντος αὐτὸν ὑποκρίνεσθαι, αὐτὸς ὁ ἀριστοφάνης μιλτώσας ἑαυτόν, ὑπεκρίνατο ἢ τῇ τρυγίᾳ χρίσας ἑαυτόν.

B Βυρσαίετος. τὸν Κλέωνα λέγει. πολλάκις γὰρ προειρήκαμεν, ὅτι διαβάλλει τὸν Κλέωνα. συνέθηκε δὲ τὴν λέξιν, ἀπὸ τῆς βύρσης καὶ τοῦ ἀετοῦ. ἅμα δὲ ὡς βυρσοδέψην κωμῳδῶν τὸν Κλέωνα. καὶ ὡς κλέπτην καὶ ἅρπαγα τῶν κοινῶν. ἁρπακτικὸν γάρ ἐστι τὸ ζῶον ὁ ἀετός. τὸ δὲ ἀγκυλοχείλης, ἐπίθετον τοῦ ἀετοῦ. ὁ ἐπικαμπεῖς τὰς χηλὰς ἔχων. ἐπὶ δὲ Κλέωνος, τὰς χεῖρας ἀγκύλας ἔχων πρὸς τὸ κλέπτειν καὶ ἁρπάζειν. διὰ τοῦτο ἀετῷ αὐτὸν ἀπείκασε. Γαμφηλῇσι. σιαγόσι. δράκοντα τὸν ἀλλᾶντα.

δη. Βυρσαίετος μὲν ὁ Παφλαγὼν ἔσθ' οὑτοσί.
αλ. τί δ' ἀγκυλοχείλης ἐστίν; δη. αὐτό που λέγει,
ὅτι ἀγκύλαις ταῖς χερσὶν ἁρπάζων φέρει.
αλ. ὁ δράκων δὲ πρὸς τί; δη. τοῦτο περιφανέστατον.
ὁ δράκων γάρ ἐστι μακρόν· ἀλλᾶς τ' αὖ μακρόν.
εἶθ' αἱματοπώτης ἐστὶν ὅ τ' ἀλλᾶς χὠ δράκων.
τὸν οὖν δράκοντά φησι τὸν βυρσαίετον
ἤδη κρατήσειν, αἴκε μὴ θαλφθῇ λόγοις.
αλ. τὰ μὲν λόγι' αἰκάλλει με· θαυμάζω δ' ὅπως
τὸν δῆμον οἷός τ' εἴμ' ἐπιτροπεύειν ἐγώ.
δη. φαυλότατον ἔργον· ταῦθ' ἅπερ ποιεῖς ποίει·
τάραττε καὶ χόρδευ' ὁμοῦ τὰ πράγματα
ἅπαντα· καὶ τὸν δῆμον ἀεὶ προσποιοῦ,

Κοάλεμον τὸν κολοῦντα. καὶ παύοντα τὰ κακά. ὅτι καὶ αὐτὸς ἤμελλε παύσειν τὸν Κλέωνα. Κοάλεμον. τὸν ἀδιάκριτον οὕτως εἶπεν. ἔγκειται δὲ τῇ λέξει τό, τε ἠλεὸν καὶ τὸ κοεῖν. ὅ ἐστι νοεῖν. τὸν οὖν ἀνόητα καὶ μάτην κοοῦντα κοάλεμον εἶπεν.

A Αἱματοπώτην. καὶ τοῦτο οἰκείως ἐπὶ τοῦ δράκοντος· αἱματοπωτεῖ γὰρ τὸ ζῶον. καὶ ἐπὶ τοῦ ἀλλαντοπώλου. τὰ γὰρ ἔντερα καὶ τοὺς ἀλλᾶντας, μετὰ αἵματος καὶ πιμελῆς ἢ ἀλφίτων φυρῶσι. αἱματοπώτην οὖν τὸν αἷμα καταναλίσκοντα. καὶ ὥσπερ ἐκροφοῦντα.

Σ Κοροδάλμη. ἡ πικρία τοῦ σκορόδου καὶ τῆς ἅλμης τὸ μετὰ τῆς ἅλμης τρίμμα τῶν σκορόδων. οἱονεὶ ἡ δριμύτης. εἶπε δὲ Παφλαγόνων, διὰ τὸν Κλέωνα, ἐπειδὴ Παφλαγὼν ἦν. Βυρσαίετος. ἀμφιβόλως ἐξήνεκται κατὰ τὴν φράσιν. δύο δὲ αἴτια εἰς ταυτὸ παραλαμβανόμενα, ἀμφιβολίαν ἐργάζονται. εἴρηται δὲ παρὰ τὴν βύρσαν καὶ τὸ ἁρπάζειν. Εἶθ' αἱματοπώτης. παρόσον εἰώθασι τοὺς ἀλλᾶντας μετὰ αἵματος φυρᾶν. Αἴκε μὴ θαλφθῇ. καταθαλφθῇ. καταπραγῇ ταῖς λοιδορίαις· τουτέστιν ἐὰν μὴ εἴξῃ μηδὲ παραχωρήσῃ λοιδορούμενος. Ἄλλως. ἀπάτῃ ἀπατηθῇ καταπλήξας τὰς λοιδορίας Κλέωνος. Αἰκάλλει δὲ θωπεύει. γράφεται καλεῖ με. ἀντὶ τοῦ κινεῖ προτρέπεται. Ἐπιτροπεύειν δὲ ἄρχειν. διοικεῖν. Φαυλότατον δέ, εὐτελὲς βραχὺ ἁπλοῦν. Τάραττε. παρῳδίας τρόπῳ. παρῴδησε γὰρ τὸν ἴαμβον ἐξ Ἡρακλειδῶν Εὐριπίδου. μεταφορικῶς δὲ τοῖς ὀνόμασι χρῆται ἐπὶ τῆς πολιτείας. καὶ τῇ τοῦ ἀλλαντοπώλου τέχνῃ. τάραττε φησὶ καὶ σύμφυρε τὰ πράγματα. Χόρδευε. τὰ ἔντερα τῶν τετραπόδων, χορδὰς καλοῦσι. καὶ τοῦτο οὖν, ἀπὸ τῆς τέχνης τοῦ ἀλλαντοπώλου εἴρηκεν. ὥσπερ γάρ φησι τὲ μίξεις καὶ πληροῖς τὰ ἔντερα πάντα τοῦ φυράματος, οὕτω σὺ χόρδευε καὶ τὰ πολιτικά. Ἄλλως. παρὰ τὸ χορδεύειν, χορδὴ γάρ ἐστι τὸ λεπτὸν ἔντερον. ὃ εἰώθασι πλέκειν

Οὐκ ἀξιῶ. οὐχ ὑπολαμβάνω. οὐκ ἄξιον κρίνω. Οἷον πέπονθας ἀγαθόν. ὑπάρχει δὲ
οἷον πλεονέκτημα ἔχεις. γράφεται καὶ ὅσον. Οὐδὲ μουσικὴν ἐπίσταμαι ὅτι μου
σικὴν τὴν ἐγκύκλιον παιδείαν φησί. γράμματα δὲ τὰ πρῶτα στοιχεῖα. δεῖ γὰρ τοὺς
δημαγωγοὺς διὰ γραμμάτων παιδεύεσθαι. ἡ γὰρ παιδεία τοὺς ἀτόπους ἐκτρέ
πει λογισμούς. Πλὴν γραμμάτων. οἱ γὰρ ἀξιώματος ἀντιποιούμενοι τὴν ἐγκύ
κλιον μάλιστα ἐπαιδεύοντο παιδείαν. ἡ δὲ ἐγκύκλιος παιδεία, διὰ πάσης χωρεῖ
καὶ παιδεύσεως, καὶ ῥυ
θμοῦ παντὸς καὶ κινήμα
τος. ταύτην παιδευθῆ
ναι τὸν θηβαῖον ἐπαμι
νώνδαν καὶ ἄλλους δὲ
πολλοὺς καὶ ἀγαθοὺς ἄν
δρας. Καὶ ταῦτα μέν
τοι κακὰ κακῶς. παροι
μιῶδες ἐπεὶ καὶ κακὰ κα
κῶς. ὅτι τὸ σύνολόν φη
σιν ἐπίστασαι γράμμα
τα τοῦτό σοι πρὸς τὴν
πολιτείαν ἐστὶν ἀνωφε
λές. ἀποτείνεται δὲ πρὸς
τοὺς πολιτευομένους πά
λιν διὰ τούτων. κἂν ὡς ἀμα
θῶν ὄντων, καὶ τυχόντων
ἀνθρώπων πολιτευομέ
νων. καὶ διὰ τοῦτο ῥᾳδί
ως χωρούντων ἐπὶ τὴν
ἀδικίαν, ὡς τῆς παιδεί
ας ἱκανῶς καθιστώσης,
ἀποδιῶξαι καὶ ἀπελά
σαι τῆς ψυχῆς τοὺς πονηροὺς λογισμούς. διὰ τὴν συγγένειαν δὲ τὸ κακὰ κακῶς
οὐ καλῶς, ἀλλὰ κακῶς ἐπίστασθαι. Τουτί σε μόνον ἔβλαψεν. ἡ γὰρ ἀναμεί
νων ἦσθα. μὴ δὲ τὴν ἀρχὴν πειραθεὶς τῶν γραμμάτων. Ἡ δημαγωγία γάρ. ἡ
τῶν δημαγωγῶν ἀρχή φησιν, οὐκέτι τοῖς σοφοῖς οὐδὲ τοῖς ἀξιολόγοις ἐγχειρίζεται.
Ἀλλὰ μὴ παρῇς. μὴ ὑβρίσῃς. μὴ ἀπώσῃ. μὴ δὲ παραπέμψῃ τοιοῦτον καιρὸν πα
ραπεπτωκότα. Ἠνιγμένος. μετὰ αἰνίγματος λελεγμένος. οὐκ αὐτόθεν φανερὸν
ἔχων τὸν νοῦν τοῦτο δὲ παρόσον οἱ χρησμοὶ λοξῶς ἐκφέρονται ὑπὸ τοῦ ἀπόλλω
νος. Ἄλλως. μετὰ αἰνίγματος. ἄλλα μὲν λέγων ἄλλα δὲ δηλῶν. Ἀλλ' ὁπό
ταν μάρψῃ. αὕτη ἀρχή ἐστι τοῦ χρησμοῦ. ὁρᾷς ὅτι ἐμπέπληγμένος τοῖς λόγοις. ἀσά
φειαν γὰρ κατὰ ἑρμηνείαν ἐργάζεται.

ἀλ. οὐκ ἀξιῶ 'γὼ 'μαυτὸν ἰσχύειν μέγα.
δη. οἴμοι. τί ποτ' ἔσθ' ὅτι σαυτὸν οὐ φῂς ἄξιον.
ξυνειδέναι τί μοι δοκεῖς σαυτῷ καλόν.
μῶν ἐκ καλῶν εἶ κἀγαθῶν. ἀλ. μὰ τοὺς θεοὺς
εἰ μὴ ἐκ πονηρῶν γ'. δη. ὦ μακάριε τῆς τύχης.
οἷον πέπονθας ἀγαθὸν εἰς τὰ πράγματα.
ἀλ. ἀλλ' ὦ 'γάθ' οὐδὲ μουσικὴν ἐπίσταμαι.
πλὴν γραμμάτων, καὶ ταῦτα μέντοι κακὰ κακῶς.
δη. τουτί σε μόνον ἔβλαψεν ὅτι καὶ κακὰ κακῶς.
ἡ δημαγωγία γὰρ οὐ πρὸς μουσικοῦ
ἔτ' ἐστὶν ἀνδρὸς οὐδὲ χρηστοῦ τοὺς τρόπους.
ἀλλ' εἰς ἀμαθῆ καὶ βδελυρόν. ἀλλὰ μὴ παρῇς
ἅ σοι διδόασ' ἐν τοῖς λογίοισιν οἱ θεοί.
ἀλ. πῶς δῆτα φήσ' ὁ χρησμός. δη. εὖ νὴ τοὺς θεούς.
καὶ ποικίλως πως καὶ σαφῶς ᾐνιγμένος.
ἀλλ' ὁπόταν μάρψῃ βυρσαίετος ἀγκυλοχείλης
γαμφηλῇσι δράκοντα κοάλεμον αἱματοπώτην
δὴ τότε παφλαγόνων μὲν ἀπόλλυται ἡ σκοροδάλμη.
κοιλιοπώλῃσι δὲ θεὸς μέγα κῦδος ὀπάζει
αἴ κεν μὴ πωλεῖν ἀλλᾶντας μᾶλλον ἕλωνται.
ἀλ. πῶς οὖν πρὸς ἐμὲ ταῦτ' ἐστίν. ἀναδίδασκέ με.

Τὰς στίχας ὁρᾷς· τὸ πλῆθος. τὰς τάξεις. τὸ θέατρον δὲ αὐτῷ δεικνὺς ταῦτά φησι. Ἀρχέλας. ἄρχων τοῦ λαοῦ. ἡγεμών. ἔξαρχος δημαγωγός. ἔπαιξε δὲ τῷ ὀνόματι. φησὶ γὰρ ἄρξεις τοῦ λαοῦ. Πυκνός. τῆς ἐκκλησίας. μετάθεσίς ἐστι τῶν στοιχείων. εἰ γὰρ πνύξ ἐστιν, ἔδει πνυκός. νῦν δὲ πυκνός. Βουλὴν πατήσεις. διαπαλαίσεις. καταφρονήσεις. ἢ ἀντὶ τοῦ καταφρονήσεις τοῦ βουλευτηρίου. Κλαστάσεις. οἱ μὲν κλονήσεις καὶ διασείσεις, οἱ δὲ κραυγάσεις. βέλτιον δὲ κλάσεις, ἀπὸ μεταφορᾶς τῶν τεμνομένων κλημάτων. Ἄλλως. ἐκ ῥιζῶν ἀνατρέψεις. ἔνθεν κλαστήριον τὸ δρέπανον. ᾧ κλαδεύουσι καὶ ξύλα καὶ κλήματα ἐν ταῖς ἀμπέλοις. Ἐν πρυτανείῳ. πρυτανεῖον οἰκίσκος παρὰ τοῖς ἀθηναίοις. ἔνθα σιτοῦνται δημοσίᾳ οἱ τῆς τοιαύτης τιμῆς παρ' αὐτοῖς τυχόντες. περισπούδαστον δὲ ἦν τῆς τοιαύτης δωρεᾶς τυχεῖν. ἐπὶ γὰρ μεγάλοις κατορθώμασι, τὴν τοιαύτην ἀπεδίδουν χάριν. Λαικάσεις. δέον εἰπεῖν σιτήσεις. ἢ ἐν πρυτανείῳ ἀριστήσεις. παρ' ὑπόνοιαν οὖν εἶπεν ὡς ἐν κωμῳδίᾳ. ἀντὶ τοῦ πορνεύσεις ὅθεν καὶ λαικάστρια ἡ πόρνη. Ἐν κύκλῳ. ἀπὸ τοῦ συμβεβηκότος καὶ αὐτὸς ὠνόμασε. βουλόμενος δηλῶσαι τὰς κυκλάδας νήσους κύκλῳ κειμένας. φησὶν οὖν περίβλεψε. καὶ γὰρ τούτων ἄρξεις. ὁλκάδας δὲ τὰς ναῦς ἀπὸ τοῦ ἕλκειν.

τὰς στίχας ὁρᾷς γε τῶνδε τῶν λαῶν. ἀλ. ὁρῶ.
δη. τούτων ἁπάντων αὐτὸς ἀρχέλας ἔσει.
καὶ τῆς ἀγορᾶς καὶ τῶν λιμένων. καὶ τῆς πυκνός.
βουλὴν πατήσεις καὶ στρατηγοὺς κλαστάσεις.
δήσεις. φυλάξεις. ἐν πρυτανείῳ λαικάσεις.
ἀλ. ἐγώ; δη. σὺ μέντοι. κοὐδέπω γε πάντ' ὁρᾷς.
ἀλλ' ἐπανάβηθι, κἀπὶ τοὐλεὸν τοδί.
καὶ κάτιδε τὰς νήσους ἁπάσας ἐν κύκλῳ.
ἀλ. καθορῶ. δη. τί δαί τἀμπόρια, καὶ τὰς ὁλκάδας,
ἀλ. ἔγωγε. δη. πῶς οὖν οὐ μεγάλως εὐδαιμονεῖς.
ἔτι νῦν τὸν ὀφθαλμὸν παράβαλλ' εἰς καρίαν,
τὸν δεξιόν. τὸν δ' ἕτερον εἰς καρχηδόνα.
ἀλ. εὐδαιμονήσω γ' εἰ διαστραφήσομαι.
δη. οὔκ, ἀλλὰ διὰ σοῦ ταῦτα πάντα πέρναται,
γίγνει γὰρ ὡς ὁ χρησμὸς οὑτοσὶ λέγει,
ἀνὴρ μέγιστος. ἀλ. εἰπέ μοι καὶ πῶς ἐγὼ
ἀλλαντοπώλης ὢν, ἀνὴρ γενήσομαι.
δη. δι' αὐτὸ γάρ τοι τοῦτο καὶ γίγνει μέγας.
ὁτιὴ πονηρός. κἀξ ἀγορᾶς εἶ καὶ θρασύς.

Καρχηδόνα. παίζει πρὸς τὸ ἐνταῦθα κἀκεῖσε ὁρᾶν, ἡ μὲν γὰρ καρία, πρὸς ἕω. ἡ δὲ πρὸς δύσιν, ἡ καρχηδὼν ἡ λεγομένη καρτάγεινα. λέγει δὲ τὴν δύσιν. διαστραφήσομαι δὲ, στρεβλωθήσομαι τοὺς ὀφθαλμοὺς ἐπεὶ εἶπε στραφῆναι. Πέρναται. πιπράσκεται. δέον εἰπεῖν διοικεῖται. ὁ δὲ εἶπε πέρναται πικρῶς. τουτέστι πιπράσκεται. Κἀξ ἀγορᾶς εἶ. πάλιν διὰ τούτου δεικνύναι βούλεται, ὅτι ὑπὸ τῶν πονηροτάτων διοικεῖται τὰ τῶν ἀθηναίων πράγματα. καὶ ὅτι μάλιστα εὐδοκιμοῦσιν οἱ τοιοῦτοι παρ' αὐτοῖς ὥσπερ καὶ ὁ κλέων.

Οὐκ ἀξιῶ.

ὡς ἀγοραίους καὶ βαναύσους καθιστάντας τοὺς δημαγωγούς. Ὑπερφυᾶ. ὑπερβάλλουσαν. θαυμαστὴν καὶ λαμπράν. ἐξαίρει δὲ νῦν αὐτοῦ τὴν τέχνην. ἵνα μᾶλλον ὀνειδίσῃ φανείσης αὐτοῦ τῆς τέχνης λίαν εὐτελοῦς. ἐξολῶν δὲ ἐκβαλεῖν μέλλων τῆς πολιτείας τὸν κλέωνα. ἀλλαντοπώλην δὲ τὸν ἀγοράκριτον λέγει οὕτως αὐτῷ πεπλασμένον κατὰ κωμικὴν παιδιάν. Ὥσπερ κατὰ θεῖον εἰς ἀγοράν. ἐπὶ τῶν ἐξαίφνης γινομένων τουτέστιν εὐκαίρως ἐπιφαινομένων, κατὰ θεῖον ἔλεγον. ἐπεὶ

ὥσπερ κατὰ θεῖον εἰς ἀγοράν. δη. ὦ μακάριε.
ἀλλαντοπῶλα. δεῦρο δεῦρ᾽ ὦ φίλτατε.
ἀνάβαινε σωτὴρ τῇ πόλει καὶ νῷν φανείς.
αλ. τί ἐστι. τί με καλεῖτε. δη. δεῦρ᾽ ἔλθ᾽ ἵνα πύθῃ
ὡς εὐτυχὴς εἶ καὶ μεγάλως εὐδαιμονεῖς.
νι. ἴθι δὴ κάθελ᾽ αὐτοῦ τοὐλεὸν. καὶ τοῦ θεοῦ.
τὸν χρησμὸν ἀναδίδαξον αὐτὸν ὡς ἔχει.
ἐγὼ δ᾽ ἰὼν προσκέψομαι τὸν παφλαγόνα.
δη. ἄγε δὴ σὺ κατάθου πρῶτα τὰ σκεύη χαμαί
ἔπειτα τὴν γῆν πρόσκυσον. καὶ τοὺς θεούς.
αλ. ἰδοὺ τί ἐστι δη. ὦ μακάρι᾽. ὦ πλούσιε.
ὦ νῦν μὲν οὐδείς, αὔριον δ᾽ ὑπέρμεγας.
ὦ τῶν ἀθηναίων ταγὲ τῶν εὐδαιμόνων.
αλ. τί μ᾽ ὠγαθ᾽ οὐ πλύνειν ἐᾷς τὰς κοιλίας
πωλεῖν τε τοὺς ἀλλᾶντας, ἀλλὰ καταγελᾷς
δη. ὦ μῶρε. ποίας κοιλίας. δεῦρο βλέπε.

καὶ ὁ ἀλλαντοπώλης ἀφνίδιον βουλομένοις, μὴ προσδοκήσασι δὲ ἐπεφάνη αὐτοῖς. Ἄλλως. κατὰ θεοῦ πρόνοιαν. τοὺς δὲ ἐξαίφνης φαινομένους, οὕτως ἔλεγον κατὰ θεῖον φανῆναι. ὅ ἐστι κατὰ πρόνοιαν θεοῦ. Ἀνάβαινε σωτὴρ τῇ πόλει. ἵνα φησὶν ἐκ τῆς παρόδου. ἐπὶ τὸ λογεῖον ἀναβῇ. διὰ τί οὖν ἐκ τῆς παρόδου. τοῦτο γὰρ οὐκ ἀναγκαῖον. λεκτέον οὖν ὅτι ἀναβαίνειν ἐλέγετο τὸ ἐπὶ τὸ λογεῖον ἐξιέναι. ὃ καὶ πρόσκειται. λέγεται γὰρ καταβαίνειν, τὸ ἀπαλλάττεσθαι ἐντεῦθεν ἀπὸ τοῦ παλαιοῦ ἔθους. τοῦτον δὲ οἱ μὲν κλεώνυμον. οἱ δὲ ὑπέρβολον. οἱ δὲ φασὶν εὔβουλον εἶναι. ὡς ἐνθυμέλῃ ἢ τὸ ἀνέβαινε. Τί με καλεῖτε. ὁ ἀγοράκριτος τουτέστιν ὁ ἀλλαντοπώλης ταῦτα λέγει. εἰσάγεται δὲ εἰς τὸ θέατρον, γελοίου χάριν ἔντερα καὶ κοιλίας. καὶ μαγειρικὴν τράπεζαν φέρων. Τοὐλεόν. τὸ τραπέζιον. ἐν ᾧ ἵστανται οἱ ἀλλαντοπῶλαι. ἐλεοὶ γὰρ λέγονται αἱ μαγειρικαὶ τράπεζαι. καὶ ὅμηρος. ἐν ἐλεοῖσιν ἔθηκεν. Προσκέψομαι. περιεργάσομαι φησὶν εἰσελθών. καὶ κατανοήσω τί ποιεῖ ὁ παφλαγών. Τὰ σκεύη. τὸ ἀγγεῖον ἐν ᾧ ἔφερε τοὺς ἀλλᾶντας. Ἰδού. πεποίηκεν ὃ προσέταξε. παρεπιγραφὴ δὲ καλεῖται τὰ τοιαῦτα πάντα. ἀμοιβαῖα δέ ἐστι ταῦτα τοῦ ἀλλαντοπώλου καὶ ἑνὸς τῶν οἰκετῶν. Ταγέ. ἀρχιερεῦ ἡγεμών. καὶ ὅμηρος παρὰ δ᾽ οἱ ταγοὶ ἄμμι μένοντες. Τὰς κοιλίας. ὅμηρος διὰ παντὸς γαστέρας καλεῖ οὐ κοιλίας. Ἀλλὰ καταγελᾷς. ἀντὶ χλευάζεις με καὶ ἔξωτα τίθεσαι. ὅσον. ἃ ἀπεσοῦντα ποιεῖ, τοσοῦτον δείκνυσιν αὐτὸν τῆς πολιτείας ἀνάξιον. οὐ τὸν ἀλλαντοπώλην διαβάλλειν βουλόμενος, ἀλλ᾽ ὅμως καὶ τῶν ἀθηναίων καθαπτόμενος, οἳ τοιούτους ἄρχοντας πολιτῶν. καὶ διαβάλλων τὸν κλέωνα, ὅτι αὐτός τε ἐκεῖνος ἦν εὐτελής, καὶ ὑπὸ τοιούτου τῆς πολιτείας ἐκβληθήσεται.

τὸν περὶ σεαυτοῦ χρησμὸν ὀρρωδῶν. ΝΙ. τί;
ΔΗ. ἐνταῦθ' ἔνεστιν, αὐτὸς ὡς ἀπόλλυται.
ΝΙ. καὶ πῶς; ΔΗ. ὅπως; ὁ χρησμὸς ἄντικρυς λέγει
ὡς πρῶτα μὲν στυππειοπώλης γίνεται.
ὃς πρῶτος ἕξει τῆς πόλεως τὰ πράγματα.
ΝΙ. εἷς οὑτοσὶ πώλης. τί τοὐντεῦθεν; λέγε.
ΔΗ. μετὰ τοῦτον αὖθις προβατοπώλης δεύτερος.
ΝΙ. δύω τώδ' ἐπώλα. καὶ τί τοῦτον χρὴ παθεῖν;
ΔΗ. κρατεῖν, ἕως ἕτερος ἀνὴρ βδελυρώτερος
αὐτοῦ γένοιτο· μετὰ δὲ ταῦτ' ἀπόλλυται.
ἐπιγίνεται γὰρ βυρσοπώλης παφλαγών.
ἅρπαξ, κεκράκτης, κυκλοβόρου φωνὴν ἔχων.
ΝΙ. τὸν προβατοπώλην ἦν ἄρ' ἀπολέσθαι χρεὼν
ὑπὸ βυρσοπώλου. ΔΗ. νὴ Δί'; ΝΙ. οἴμοι δείλαιος.
πόθεν οὖν ἂν ἔτι γένοιτο πώλης εἷς μόνος.
ΔΗ. ἔτ' ἔστιν εἷς, ὑπέρφυα τέχνην ἔχων.
ΝΙ. εἴπ' ἀντιβολῶ τίς ἐστιν. ΔΗ. εἴπω; ΝΙ. νὴ Δία.
ΔΗ. ἀλλαντοπώλης ἔσθ' ὁ τοῦτον ἐξολῶν.
ΝΙ. ἀλλαντοπώλης, ὦ πόσειδον τῆς τέχνης.
φέρε ποῦ τὸν ἄνδρα τοῦτον ἐξευρήσομεν.
ΔΗ. ζητῶμεν αὐτόν. ΝΙ. ἀλλ' ὁδὶ προσέρχεται.

Ὀρρωδῶν. φοβούμενος. εὐλαβούμενος. ἀπὸ τοῦ τὸν ὄρρον τὸν δειλὸν ἰδίειν. τὸ ἑξῆς· ταῦτ' ὀρρωδῶν, ἐφυλάττου πάλαι τὸν περὶ σεαυτοῦ χρησμόν. ἄντικρυς ἢ φανερῶς διαρρήδην. Στυππειοπώλης ὁ τὰ στυππεῖα πωλῶν. τουτέστι καννάβινα λίνα. δηλοῖ δὲ τὸν εὐκράτη καὶ τὴν ἐπ' αὐτοῦ πολιτείαν. ὃς στύππαξ ἐκαλεῖτο. διὰ τὸ στυππειοπώλης εἶναι. ὡς καὶ ἐν ἑτέροις. ἕξει δὲ ἀντὶ τοῦ καθέξει. διοικήσει καὶ διαχειρίσει. Πώλης. παρὰ τὸ τέλος τοῦ ὀνόματος παίζει. Προβατοπώλης τὸν καλλίαν λέγει. καὶ τὴν πολιτείαν αὐτοῦ. τινὲς δὲ, τὸν λυσικλέα λέγει. ὃς προβατοπώλης ἐλέγετο. Δύω τώδε πώλα. ἔπαιξε τοῖς ὀνόμασι· παρὰ γὰρ τὸ ἀποδίδοσθαι καὶ πωλεῖν τοὺς πολιτευομένους τὰ τῆς πόλεως πράγματα. κρατεῖν δὲ ἄρχειν καὶ διέπειν τὰ πολιτικά. δέον δὲ εἰπεῖν στρατηγὸς, παφλαγὼν εἶπε. Κυκλοβόρου φωνὴν ἔχων. κυκλοβόρος ποταμὸς τῶν ἀθηναίων, οὐκ ἀεὶ, οὐδὲ διὰ παντὸς ῥέων· ἀλλὰ χειμάρρους. φ καὶ νῦν τραχεῖαν φωνὴν ἔχων καθάπερ ὁ ποταμὸς ἐπειδὰν ῥέῃ. ἢ ἀπὸ τοῦ τρεφομένου ἐκ τοῦ κύκλου. ὁ δὲ κύκλος ἀθήνησιν ἐστι. καθάπερ μάρκελλος, ἐκ τῆς κατασκευῆς, τὴν προσηγορίαν λαβών. ἔνθα δὴ πιπράσκεται χωρὶς κρεῶν, τὰ ἄλλα ὤνια. ἐξαιρέτως δὲ οἱ ἰχθύες. οὕτω τὸν κλέωνα δυνάμενον μέγα, καὶ φοβερὸν ὄντα, χρηματίζεσθαι παρὰ τῶν πιπρασκόντων, ἵνα μὴ περιεργάζοιτο αὐτούς. καὶ ἴσως ὁμηρικώτερον ὠνόμασεν. ὁ μὲν γὰρ ὅμηρος δημοβόρον φησὶ τὸν ἀγαμέμνονα. λέγων δημοβόρος βασιλεὺς ἐπεὶ οὐτιδανοῖσιν ἀνάσσεις. Ἄλλως. ποταμὸς τῆς ἀττικῆς χειμάρρους ὁ κυκλοβόρος. ὑπὸ ἀθηναίων χωσθείς. τὴν κακοφωνίαν οὖν τοῦ κλέωνος, εἴκασε τῷ ἤχῳ τοῦ ποταμοῦ καὶ ἀλλαχοῦ,, ᾤμην δ' ἐγὼ τοῦ κυκλοβόρου κατέχειν. ἔνιοι δὲ, τόπος κυκλοτερής, ἐν ᾧ τὰ ὤνια ἐπωλοῦντο ἃ ἐσφετερίζετο ὁ κλέων. Πόθεν οὖν ἔτι γένοιτο. ἔχων ἐν τῷ τέλει τὸ ὄνομα τὸ πώλης. διαβάλλει δὲ τοὺς ἀθηναίους

Ῥέγκει· διὰ τοῦ κ. συμβαίνει δὲ μάλιστα τοῦτο πάσχειν τοὺς μεθύοντας. ἢ τοὺς ὑπτίως ἀνακειμένους. ὥσπερ καὶ αὐτὸς ἐδήλωσεν ἐν ταῖς ἑξῆς λέξεσιν, εἰπών· ἐν ταῖς βύρσαις ὕπτιος. ἔρεγκει οἷον ἀντὶ τοῦ ψόφον ἦχον ἀποτελεῖ τῇ ῥινί. Ἐγκάναξον· ἔγχεε· ἐγκένωσον. λέγεται δέ, ἐπὶ τῶν ἀθρόως πινόντων. οἱ δὲ ἐπὶ θορύβου τάττουσι τοῦτο παρὰ τὴν καναχὴν ἤγουν μετὰ ψόφου ἔγχεον. Τὴν τοῦ δαίμονος τοῦ πραμνίου· τοῦ προσηνοῦς. ἤτοι ἀπὸ γῆς πραμνίας ἀμπέλου. ἢ ἀπὸ τοῦ παραύξειν τὸ μένος ἢ διὰ τὸ πολυχρόνιον παραμένειν. ἢ ἐν πραμνίᾳ πέτρᾳ γινομένου. ἢ πρὸς τὴν θράκην. δέον δὲ εἰπεῖν τὴν τοῦ δαίμονος τοῦ ἀγαθοῦ, εἶπε πραμνίου. ἐπειδὴ ὁ πράμνιος οἶνος πολυτίμητός ἐστιν. ἢ παρὰ τὸ ἐμμένειν καὶ μὴ ἐξίστασθαι τοὺς πίνοντας. Ὦ δαῖμον· ὡς ἐμπλησθεὶς καὶ πεπωκὼς τοῦτό φησι. Δέδοιχ' ὅπως· δέδοικά φησι μὴ διὰ τὸν δαίμονα τὸν ἀγαθόν, τύχω τοῦ κακοδαίμονος. Φέρε νῦν ἐγὼ 'μαυτῷ, μόνος γενόμενος καὶ μηκέτι κωλυόμενος ὑφ' ἑτέρου, ἀδεέστερον πίνει. ἕως ἐκεῖνος ἐκφέρει τοὺς χρησμούς. Ἄρδω· ποτίσω. τὴν δὲ τροπὴν ἔλαβεν ἀπὸ τῶν φυτῶν.

ῥέγκει μεθύων ἐν ταῖσι βύρσαις, ὕπτιος.
δη. ἴθι νυν ἄκρατον ἐγκάναξόν μοι πολύν
νι. σπονδὴν λαβὲ δή, καὶ σπεῖσον ἀγαθοῦ δαίμονος.
ἕλχ' ἕλκε τὴν τοῦ δαίμονος τοῦ πραμνίου.
δη. ὦ δαῖμον ἀγαθέ, σὸν τὸ βούλευμ' οὐκ ἐμόν.
νι. εἴπ' ἀντιβολῶ τί ἐστι. δη. τοὺς χρησμοὺς ταχὺ
κλέψας ἔνεγκε τοῦ παφλαγόνος, ἔνδοθεν.
ἕως καθεύδει. νι. ταῦτ' ἀτὰρ τοῦ δαίμονος;
δέδοιχ' ὅπως μὴ τεύξομαι κακοδαίμονος.
δη. φέρε νυν ἐγὼ 'μαυτῷ προσαγάγω τὸν χοᾶ
τὸν νοῦν ἵν' ἄρδω, καὶ λέγω τι δεξιόν.
νι. ὡς μεγάλ' ὁ παφλαγὼν πέρδεται καὶ ῥέγκεται
ὥστ' ἔλαθον αὐτόν, τὸν ἱερὸν χρησμὸν λαβών.
ὅνπερ μάλιστ' ἐφύλαττεν. δη. ὦ σοφώτατε
φέρ' αὐτὸν ἵν' ἀναγνῶ. σὺ δ' ἔγχεον πιεῖν.
ἀνύσας τι. φέρ' ἴδω τί ἄρ' ἔνεστιν αὐτόθι,
ὦ λόγια. δὸς σύ μοι τὸ ποτήριον ταχύ
νι. ἰδού. τί φησ' ὁ χρησμός. δη. ἑτέραν ἔγχεον.
νι. ἐν τοῖς λογίοις ἔνεστιν ἑτέραν ἔγχεον;
δη. ὦ βάκι. νι. τί ἐστι. δη. δὸς τὸ ποτήριον ταχύ
νι. πολλῷ γ' ὁ βάκις ἐχρῆτο τῷ ποτηρίῳ.
δη. ὦ μιαρὲ παφλαγών. ταῦτ' ἄρ' ἐφυλάττου πάλαι.

Τὸν ἱερὸν χρησμόν· δύο χρησμῶν δοθέντων τῷ κλέωνι. ὡς φυλάσσοντος δὲ τοῦτον μάλιστα ὑπὲρ τοῦ μὴ ἔκπυστον αὐτὸν γενέσθαι. τοῦτο οἷον λέγει. ὡς καὶ ἄλλους αὐτοῦ ἔχοντος. Πέρδεται. ὁμοιοκατάληκτον εἶπε τῷ ῥέγκεται. οὐ γάρ ἐστι δόκιμον οὕτω λέγειν. ἀνύσας δὲ διαπραξάμενος σπουδάσας. Φέρ' ἴδω· καταμάθω. κατανοήσω. καὶ ἀποσκέψωμαι, ὅ τι γέγραπται. ἢ τί ποτε ὁ χρησμὸς λέγει. αὐτόθι δέ, τουτέστιν ἐν τῷ βιβλίῳ. ἢ ἐν τῷ χρησμῷ. Ὦ λόγια· μαντεύματα. θαυμάζει δὲ τὸν χρησμὸν, ἀναγνούς. ἰδοὺ δέ, ἀντὶ τοῦ λάμβανε. κράτει. Ὦ βάκι. τρεῖς βάκιδες ἐγένοντο. οὗτος μὲν ἀττικὸς καὶ μάντις. ὁ δὲ λοκρὸς ὁ δὲ βοιωτός.
Πολλῷ γ' ὁ βάκις ἐχρῆτο. ἀντὶ τοῦ πολλὰ ἔπινεν.

Ἀληθες οὗτος. προπαροξυτόνως ἀναγνωστέον. αὕτη γὰρ χρῆσις τῶν ἀττικῶν. ὅτε σημαίνει τὸ ἀληθές. ὅτε δὲ ὀξύνεται τὸ ὄνομα. Κρουνοχυτρολήραιον. ἀντὶ τοῦ φλύαρος εἶ. κρουνὸς, τὸ χύδην καὶ ἀκρίτως καὶ ἀθρόως ῥέον. λῆρον δὲ τὸ μάταιον. συνέθηκεν οὖν ἐκ τοῦ κρουνοῦ καὶ ληρεῖν, καὶ τῆς χύτρας ἀναισθήτου οὔσης. ἵνα τὸ ὅλον δηλώσῃ τὸ ἀναίσθητον καὶ ἀνόητον καὶ πολύλογον. Οἴνου γὰρ εὕροις ἄν τι. ὁμηρικὸν τὸ νόημα. ἀνδρὶ δὲ κεκμηῶτι μένος μέγα οἶνος ἀέξει. ἡρόδοτος δὲ τοὺς πέρσας τοῦτον τὸν τρόπον βουλεύεσθαι φησίν. εἰ μὲν οὖν εἰσηγήσαιντό τινες νήφοντες, βουλεύεσθαι περὶ τούτων ἐν μέθῃ καὶ κυροῦν. νήφοντες δὲ, ἐπικυροῦν. φησὶν οὖν ἡρόδοτος μέλλοντας τοὺς πέρσας βουλεύεσθαι μεθύειν. Ὁρᾷς ὅταν πίνωσιν. ὅρα τὸν ἀριστοφάνην. ἀρχόμενον γὰρ σκώμματος, μεθύσκεσθαι. ἵνα μὴ νήφων δειλιάσῃ κωμῳδεῖν μεγάλους ἄνδρας. Οἴνου χοᾶ. χοῦς μέτρον ἀττικὸν χωροῦν κοτύλας ῑ. ἔστι δὲ καὶ ἑορτὴ ἀθήνησι. κέκληται δὲ, ἀπὸ ταύτης τῆς αἰτίας. ὀρέστης διὰ τὴν τῆς μητρὸς ἀναίρεσιν, ἧκεν εἰς ἀθήνας παρὰ τὸν πανδίονα συγγενῆ καθεστηκότα, ὃς ἔτυχε τότε βασιλεύων τῶν ἀθηναίων. καὶ αὐτὸν κατέλαβεν εὐωχίαν τινὰ δημοτελῆ ποιοῦντα. ὁ τοίνυν πανδίων παραπέμψασθαι τὸν ὀρέστην αἰδούμενος, κοινωνῆσαι δὲ ποτοῦ καὶ τραπέζης ἀσεβὲς ἡγησάμενος μὴ καθαρθέντος αὐτοῦ τοῦ φόνου, ὡς ἂν μὴ ἀπὸ τοῦ αὐτοῦ κρατῆρος πίνοιεν, ἑκάστῳ τῶν κεκλημένων παρέθηκε χοῦν. Καταπάσω. πληρώσω. Καὶ νοϊδίων λεπτῶν καὶ μεμερισμένων. οὐ γὰρ ὑποκορισμῷ εἴρηκεν. Ἄλλως. διανοηματίων. παρήγαγεν ἀπὸ τοῦ πληθυντικοῦ τοῦ οἱ νοῖ, τὸ νοΐδιον ὑποκοριστικόν. τινὲς δὲ ὀνειδισμῶν καὶ λοιδοριῶν ἀπὸ τοῦ οἴνου καὶ τῆς μέθης κακῶν. Ἐπίπαστα λείξας. τὰ ἐπιπασσόμενα τῷ ἔτνει ἄλευρα. ἔτνος δὲ, ἣν ἀθάραν ἔλεγον. καὶ τὸ ἐπίπαστον ἕψημα. τὰ δὲ ἄλφιτα, δημόσια πιπράσκεται. ἔθος δὲ εἶχον ποιεῖν πλακοῦντας ἢ ἄρτους καὶ ἐπιπάσσειν τινὰ καρυκεύματα ἁλμηρά. καὶ διὰ τοῦτο ἔφη τὰ ἐπίπαστα. Δημιόπραθ' ὁ βάσκανος. τὰ δημόσια πιπρασκόμενα. ἐκ δημεύσεως. καὶ τῶν δημευομένων διὰ κλέωνα θυσιῶν. ἢ δημιόπρατα ἔμαξεν ὡς ἐκ δημοσίου πράγματα αὐτοῦ κλέψαντος. Ἄλλως. τὰ τοῦ δήμου ἐξωνούμενα. τῷ γὰρ λέγειν τῷ δήμῳ κεχαρισμένα, ὠνεῖτο τοῖς τοιούτοις λόγοις τὴν παρ' αὐτοῦ εὔνοιαν.

δη. ἄληθες οὗτος; κρουνοχυτρολήραιον εἶ.
οἶνον σὺ τολμᾷς εἰς ἐπίνοιαν λοιδορεῖν;
οἴνου γὰρ εὕροις ἄν τι πρακτικώτερον;
ὁρᾷς; ὅταν πίνωσιν ἄνθρωποι, τότε
πλουτοῦσι, διαπράττουσι, νικῶσι δίκας,
εὐδαιμονοῦσιν, ὠφελοῦσι τοὺς φίλους.
ἀλλ' ἐξένεγκέ μοι ταχέως οἴνου χοᾶ,
τὸν νοῦν ἵν' ἄρδω καὶ λέγω τι δεξιόν.
νι. οἴμοι τί ποθ' ἡμᾶς ἐργάσει τῷ σῷ ποτῷ.
δη. ἀγάθ'. ἀλλ' ἔνεγκ'· ἐγὼ δὲ κατακλινήσομαι.
ἢν γὰρ μεθυσθῶ, πάντα ταυτὶ καταπάσω
βουλευματίων καὶ γνωμιδίων καὶ νοϊδίων.
νι. ὡς εὐτυχῶς, ὅτ' οὐκ ἐλήφθην ἔνδοθεν
κλέπτων τὸν οἶνον. δη. εἰπέ μοι παφλαγὼν τί δρᾷ.
νι. ἐπίπαστα λείξας δημιόπραθ' ὁ βάσκανος.

ὡς καὶ τρεῖς πόλεις εἰς ὄψον καὶ ἄρτον λαβεῖν. μαγνησίαν. μυοῦντα. λάμψακον. ἐπηγγείλατο αὐτῷ καταδουλώσασθαι τὴν ἑλλάδα, δύναμιν εἰ λάβοι. παραγενόμενος δὲ ἅμα τῷ στρατηγῷ εἰς μαγνησίαν, καὶ καταγνοὺς ἑαυτοῦ, εἰ οἱ δι' αὐτὸν σωθέντες ἕλληνες, εἶτα δουλεύσουσι βαρβάροις, προφάσει χρησάμενος ὡς θυσίαν ἐπιτελέσαι βούλοιτο, καὶ ἱερουργῆσαι τῇ λευκόφρυϊ ἀρτέμιδι καλουμένῃ, ταύρῳ ὑποθεὶς τὴν φιάλην, καὶ ὑποδεξάμενος τὸ αἷμα, καὶ χανδὸν πιὼν ἐτελεύτησεν εὐθέως

ΔΗ. μὰ δί' ἀλλ' ἄκρατον οἶνον ἀγαθοῦ δαίμονος.
ἴσως γὰρ ἂν χρηστόν τι βουλευσώμεθα.
ΝΙ. ἰδού γ' ἄκρατον. περὶ ποτοῦ γοῦν ἐστί σοι;
πῶς δ' ἂν μεθύων χρηστόν τι βουλεύσαιτ' ἀνήρ.

οἱ δέ φασιν, ὅτι συνειδὼς ὁ θεμιστοκλῆς ὅτι οὐχ οἷός τε ἦν διαπράξασθαι τῷ βασιλεῖ, ἅπερ ἐπηγγείλατο, οὕτως ἐπὶ τὴν τοῦ θανάτου αἵρεσιν παρεγένετο. τοῦτον γοῦν τὸν τρόπον, βέλτιον εἶναί φασι καὶ αὐτοὺς ἀποθανεῖν. κατὰ ζῆλον τοῦ θεμιστοκλέους. διαβάλλει δὲ τοὺς ἀθηναίους ὡς κακοὺς περὶ τοὺς εὐεργέτας. Ἄλλως. Μετὰ τὴν ξέρξου φυγὴν λακεδαιμόνιοι προδοσίας κρίνουσι. καὶ φονεύουσι Παυσανίαν τὸν ἴδιον βασιλέα κλεομβρότου καὶ ἀλκαθέας υἱόν. εἰκότως δὲ διακείμενοι πρὸς θεμιστοκλέα διὰ τὸν τειχισμὸν τῆς ἀττικῆς, μεταστέλλονται αὐτὸν εἰς κρίσιν, φάσκοντες παυσανίαν ὁμολογηκέναι, καὶ αὐτὸν κοινωνεῖν ἐν τῇ προδοσίᾳ. ἀθηναίων δὲ βουλομένων ἀποστέλλειν αὐτόν, φυγὼν ἧκε πρὸς ἀρταξέρξην καὶ μηδικὴν φωνὴν μαθών, ἐδίδαξεν αὐτὸν πῶς ἔσωσε τὸν πατέρα ξέρξην μὴ συγχωρήσας τοῖς ἕλλησι διαλῦσαι τὰ ἐπὶ σηστοῦ καὶ ἀβύδου διαζεύγματα. ἐφ' οἷς εὐχαριστήσας ὁ βασιλεύς, δωρεῖται αὐτῷ τρεῖς πόλεις. μαγνησίαν εἰς σῖτον. λάμψακον εἰς οἶνον. μυοῦντα εἰς ὄψα. ὡς δὲ κλεάνθης, καὶ περκώτην εἰς στρωμνήν, καὶ παλαίσκηψιν, εἰς στολήν. στρατὸν δὲ λαβὼν αὐτοῦ ἐπὶ πορθήσει τῆς ἑλλάδος, περὶ τὴν ἰωνίαν ἐν μαγνησίᾳ γενόμενος, θύων ὡς εἴρηται αὐτελευτᾷ. καὶ μετὰ θάνατον, τὸν μισοβάρβαρον ἐνδεικνύμενος τρόπον. λοιμωξάντων δὲ ἀθηναίων, ὁ θεὸς εἶπε μετάγειν τὰ ὀστέα θεμιστοκλέους. μαγνήτων δὲ μὴ συγχωρούντων, ἠτήσαντο ἐπὶ τριάκοντα ἡμέρας ἐναγίσαι τῷ τάφῳ. καὶ περισκηνώσαντες τὸ χωρίον, λάθρα κομίζουσιν ἀνορύξαντες τὰ ὀστᾶ. σύμμαχος δὲ φησὶ ψεύδεσθαι περὶ θεμιστοκλέους· οὔτε γὰρ ἡρόδοτος οὔτε θουκυδίδης ἱστορεῖ. ἔστι γοῦν ἀπὸ σοφοκλέους ἑλένης. ἐμοὶ δὲ λῷστον αἷμα ταύρου γ' ἐκπιεῖν. καὶ μή γε πλείω τῶνδ' ἔχειν δυσφημίας. τινὲς δέ φασιν ὅτι σοφοκλῆς περὶ θεμιστοκλέους τοῦτό φησι. ψεύδονται δέ· οὐ γάρ ἐστι πιθανόν. Ἀγαθοῦ δαίμονος. αἰρομένης τῆς τραπέζης μετὰ τὸ δεῖπνον, ἄκρατον περιεφέρετο καὶ ἐκαλεῖτο ἡ κρᾶσις ἀγαθοῦ δαίμονος. Ἄλλως. τὸ πρῶτον ποτήριον ἀγαθοῦ δαίμονος ἔπινον. εὐφημεῖ δὲ τὸν διόνυσον, ὡς πάτριον θεόν. ἐπειδὴ καὶ ἐν τῇ διονύσου ἑορτῇ, τουτέστι τοῖς διονυσίοις, ἠγωνίζοντο οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταί.

Μεμακκοακότα. τὰ μακοῦς φρονοῦντα. ἀνοηταίνοντα. μακκὼ γάρ τις καὶ λαμὼ ἐγένοντο ἐνεαί. τουτέστι βραδέως νοοῦσαι. ἢ παραφρονοῦντα. ληροῦντα. γέγονε παρὰ τὸ ματαιακοεῖν, ὅ ἐστι νοεῖν. ὅθεν θυοσκόος. παρὰ τὸ θύω καὶ τὸ κοῶ. ὃ σημαίνει τὸ νοῶ. Ἄντικρυς. προδήλως. ὁμολογουμένως. ηὔξησε δὲ τὴν ἀναίδειαν, διὰ τὸ φανερῶς καταψεύδεσθαι. Ἄλλως. φανερῶς, δεῖγμα γὰρ τῆς ἀναισχυντίας τὸ φανερῶς ψεύδεσθαι. Δωροδοκεῖ. δῶρα λαμβάνει καὶ διασείει. τίθεται δὲ ἡ λέξις καὶ ἐπὶ τοῦ διδόντος.

ὁ δ' αὐτὸν ὡς ὁρᾷ μεμακκοακότα,
τέχνην πεποίηται. τοὺς γὰρ ἔνδον ἀντικρυς
ψευδῆ διαβάλλει. κᾆτα μαστιγούμεθα
ἡμεῖς. παφλαγὼν δὲ περιθέων τοὺς οἰκέτας,
αἰτεῖ, ταράττει, δωροδοκεῖ, λέγων τάδε.
ὁρᾶτε τὸν ὕλαν δι' ἐμὲ μαστιγούμενον;
εἰ μή μ' ἀναπείσετ', ἀποθανεῖσθε σήμερον.
ἡμεῖς δὲ δίδομεν. εἰ δὲ μή, πατούμενοι
ὑπὸ τοῦ γέροντος, ὀκταπλάσιον χέζομεν.
νῦν οὖν ἀνύσαντε φροντίσωμεν ὦ γαθὲ,
ποίαν ὁδὸν νῷ τρεπτέον, καὶ πρὸς τίνα.
Νι. κράτιστ' ἐκείνην τὴν μόλωμεν ὦ γαθὲ
Δη. ἀλλ' οὐχ οἷόν τε τὸν παφλαγόν' οὐδὲν λαθεῖν.
ἐφορᾷ γὰρ αὐτὸς πάντ'. ἔχει γὰρ τὸ σκέλος,
τὸ μὲν, ἐν πύλῳ, τὸ δ' ἕτερον ἐν τῇ 'κκλησίᾳ.
τοσόνδ' ἐδ' αὐτοῦ βῆμα διαβεβηκότος,
ὁ πρωκτός ἐστιν αὐτόχρημ' ἐν χάοσιν.
τὼ χεῖρ' ἐν αἰτωλοῖς, ὁ νοῦς δ' ἐν κλωπιδῶν.
Νι. κράτιστον οὖν νῷν ἀποθανεῖν. ἀλλὰ σκόπει.
ὅπως ἂν ἀποθάνωμεν ἀνδρικώτατα.
Δη. πῶς, δῆτα, πῶς γένοιτ' ἂν ἀνδρικώτατα.
Νι. βέλτιστον ἡμῖν αἷμα ταύρειον πιεῖν.
ὁ θεμιστοκλέους γὰρ θάνατος αἱρετώτερος.

Εἰ μή μ' ἀναπείσετε. ἀντὶ τοῦ ἀναπείσετε χρήμασι. διαβάλλει δὲ αὐτὸν ὡς δωροδοκούμενον καὶ προδιδόντα τὴν πόλιν. Ἄλλως. εἰ μὴ πιστὸν ποιήσετε. τουτέστιν εἰ μὴ μάθοιντινά μοι δῶτε. Ὀκταπλάσιον χέζομεν. πολλῷ πλείονα. ἵνα ᾖ τὸ νοούμενον, ὅτι μακροῖς λήμμασιν ἀποδιδόντες τῆς πόλεως τὰ πράγματα. ἀφ' ὧν ὠφέλεια μείζων ἠδύνατο γίνεσθαι τῇ πόλει. Κράτιστ' ἐκείνην. ἄμεινον ἐστὶ τὸ αὐτὸ μολήσωμεν. τουτέστι χωρῆσαι πρὸς τοὺς ἐναντίους. Ἐν χάοσι. θράκης ἔθνος οἱ χάονες, παρέλαβε δὲ τὸ ὄνομα ἵνα τὸ κεχηνέναι δηλώσῃ. χάονες δὲ δῆμος τῶν θεσπρωτῶν. ἢ βάρβαρον ἔθνος. Ἄλλως. Οἱ μὲν τῆς ἠπείρου. οἱ δὲ τῆς θράκης τοὺς χάονας. ἅμα δὲ τοὺς εὐρυπρώκτους διασύρει. διὰ τὸ χαίνειν τὸν πρωκτόν.

Τὼ χεῖρ' ἐν αἰτωλοῖς. ἀπὸ τοῦ ὀνόματος τὸ πρᾶγμα λέγει. οὐκ ἐν αἰτωλίᾳ ἀλλ' ἐν τῷ αἰτεῖν. τὸ δ' ἐν κλωπιδῶν. ἐναλλαγὴ πάλιν στοιχείου. τοῦ ρ εἰς τὸ λ. κρωπίδαι γὰρ δῆμος τῆς λεοντίδος φυλῆς. ἔπαιξεν οὖν παρὰ τὸ κλέπτειν. Ὁ θεμιστοκλέους. θεμιστοκλῆς ὁ καταναυμαχήσας ἐν τῇ περὶ σαλαμῖνα ναυμαχίᾳ τοὺς βαρβάρους, εἶθ' ὕστερον φυγαδευθεὶς ὑπὸ ἀθηναίων ἐπὶ προδοσίας αἰτίᾳ ψευδεῖ, καταφυγὼν πρὸς ἀρταξέρξην τὸν ξέρξου παῖδα, καὶ τιμηθεὶς τὰ μέγιστα παρ' αὐτοῦ,

Μάζαν μεμαχότος. τὰ πεφυρμένα ἄλευρα μαλάξαντος, καὶ ἀρτοποιήσαντος. ὡς ἐπὶ τροφῆς δὲ τὸ κατόρθωμα τὸ ἐν πύλῳ εἶπεν. Ἄλλως. τοῦτο ἀφ' ἱστορίας τέθεικεν ἧς μέμνηται καὶ θουκυδίδης. ἔχει δὲ οὕτως. δημοσθένης στρατηγὸς ἀθηναίων, ἀποσταλεὶς εἰς σικελίαν διὰ τὸν αὐτόθι πόλεμον, παραπλέων τὴν πύλον καὶ τὴν σφακτηρίαν δυνάμει προλαβὼν, τριακοσίους εἴληφεν αἰχμαλώτους καὶ ἐδήλωσεν ἀθηναίοις, τί βούλονται περὶ τούτων γενέσθαι. ἄλλων δὲ ἄλλα λεγόντων, κλέων ἀναστὰς ἐπηγγείλατο ἡμερῶν ἀριθμὸν προσθεὶς, εἴσω ἐκείνων ἄξειν αὐτοὺς, ὡς γνῶναι πολὺν κατ' αὐτοῦ γενέσθαι. ἀγαγὼν δὲ αὐτοὺς, ὡς ἰδίαν πρᾶξιν κατορθώσας ἐπισεμνύνετο. Ἄλλως. ἐν τῇ πύλῳ. τόπος δὲ οὗτος τῆς λακωνικῆς στενὸς, διείργων

Μάζαν μεμαχότος ἐν πύλῳ λακωνικὴν,
πανουργότατά πως περιδραμὼν ὑφαρπάσας,
αὐτὸς παρέθηκε τὴν ὑπ' ἐμοῦ μεμαγμένην.
ἡμᾶς δ' ἀπελαύνει, κοὐκ ἐᾷ τὸν δεσπότην
ἄλλον θεραπεύειν. ἀλλὰ βυρσίνην ἔχων
δειπνοῦντος ἑστὼς, ἀποσοβεῖ τοὺς ῥήτορας.
ᾄδει δὲ χρησμούς. εἶθ' ὁ γέρων σιβυλλιᾷ.

καὶ ἀποχωρίζων τὰς ἀπὸ τῆς θεσσαλίας καὶ λακεδαιμονίας εἰσβολάς. ἔνθα καὶ λεωνίδας πρότερον τῶν μακεδόνων βασιλεὺς, ἅμα καὶ σπαρτιατῶν ἀντέστη ξέρξῃ, τῷ τῶν περσῶν βασιλεῖ. καὶ πολλοὺς τῶν περσῶν ἀποκτείνας, ἀριστεύων ἐτελεύτησε, κυκλωθεὶς, ἐκ προδοσίας ἐφιάλτου τινὸς δείξαντος τοῖς πέρσαις διὰ τῶν ὀρῶν ὁδόν. ἐνταῦθα οὖν ὁ δημοσθένης ἀπόβασιν ποιησάμενος σὺν ὀλίγοις, ἐξετείχισε τὸ χωρίον. καὶ κατέστησε φρούριον. βοηθησάντων δὲ τῶν λακεδαιμονίων, διὰ τάχους βρασίδου στρατηγοῦντος, αὐτός τε ὁ βρασίδας ἀπέβαλε τὴν ἀσπίδα, καὶ πολλοὶ τῶν λακεδαιμονίων ἀπέθανον ἐν τῇ μάχῃ. ἔνιοι δὲ κατέφυγον καταπονούμενοι, εἰς τὴν κατ' ἀντικρὺ νησίδα τὴν σφακτηρίαν. καὶ αὐτὸς ὁ δημοσθένης μετεπέμψατο ἀπὸ τῶν ἀθηναίων, ὡς ἂν πλείονι δυνάμει χρησάμενος, τοὺς ἄνδρας ἐκπολιορκοίη. ὁ γοῦν κλέων γνοὺς ὅτι ὑπὸ τῆς ἀνάγκης καὶ λιμοῦ, καὶ δίψους, οὐχ οἷοί τε ἔσονται πλείονας ἀντέχειν ἡμέρας, ἐπεὶ καὶ τοῦτο ἤγγελλον οἱ ἀπὸ τοῦ στρατοπέδου ἀφικνούμενοι, παρελθὼν εἰς τὸν δῆμον, εἰ λάβοι δύναμιν ὡς αἰτεῖ δημοσθένης, ἐπηγγείλατο ἐντὸς κ' ἡμερῶν παραστήσειν τοὺς πολιορκουμένους. καὶ οὕτω διαπλεύσας, καὶ τοὺς λακεδαιμονίους λαβὼν, ἔδοξεν αὐτοῖς κατορθοῦν τὸ τοῦ δημοσθένους ὁ κλέων. ἐπειρᾶτο γὰρ ὑφαρπάσαι τὸ τέλος τῶν ἐκείνου πόνων. Μεμαγμένην. παρεσκευασμένην. καὶ ἐν ἑτοίμῳ γενομένην. Ἀλλὰ βυρσίνην ἔχων. ῥυτῆρα. ἱμάντα. ἔπαιξε δὲ παρὰ τὸ βυρσοδέψην εἶναι τὸν κλέωνα. ἐναλλαγὴν στοιχείου ἐργασάμενος. ἔδει γὰρ εἰπεῖν μυρρίνην ἔχων ἀποσοβεῖ τὰς μυίας. ταύτῃ γὰρ ἐστεφανοῦντο οἱ στρατηγοί, βυρσίνην εἶπεν. ἔχων ἀποσοβεῖ τοὺς ῥήτορας, ὡς πρὸς βυρσοδέψην. Εἶθ' ὁ γέρων σιβυλλιᾷ. περὶ τὸν χρόνον τοῦτον ταραχώδη ὄντα. εἰκότως πολλὰ τοιαῦτα γίνεσθαι. γέρων δὲ ὁ δεσπότης ἤγουν ὁ δῆμος. σιβυλλιᾷ δὲ, χρησμῶν ἐρᾷ καὶ ἐνθυμεῖ. ἢ παραληρεῖ ἐπειδὴ ἡ σίβυλλα μακρόβιος. ἢ τοῖς χρησμοῖς ἥδεται ἢ ἀπατᾶται. μαντικῶς ἔχει. χρησμοὺς φαντάζεται. χρησμολόγος γὰρ ἐρυθραία γυνὴ σίβυλλα. ἢ μέγα φρονεῖ καὶ ἐπαίρεται.

τ ῃ προτέρᾳ νουμηνίᾳ. τῇ παρελθούσῃ. τουτέστι νεωστί. ἵνα δείξῃ τὸν Κλέωνα, οὐ πάλαι τῆς πολιτείας τετυχηκότα. ἐν δὲ ταῖς νουμηνίαις οἱ δοῦλοι ἐπωλοῦντο. καὶ οἱ στρατηγοὶ ἐχειροτονοῦντο. Βυρσοδέψην παφλαγόνα. ἐπειδὴ ὁ πατὴρ αὐτοῦ Κλεώνυμος ἐργαστήριον εἶχε δούλων βυρσοδεψῶν. βυρσέα. συμβαίνει δὲ τούτοις ἐκ τοῦ ἐμβρέχειν τὰ δέρματα, καὶ πλείοσιν ἐπὶ ἡμέραις αὐτὰ ἐς τὸ φάρμακον, ἵνα διαλάβοιεν ἀπὸ τῆς ὀσμῆς τοῦ τε ὕδατος καὶ τῶν δερμάτων μολυνομένους, ἀχάριον δοκεῖν εἶναι. ἄλλως

ὑπόκωφον. οὗτος τῇ προτέρᾳ νουμηνίᾳ,
ἐπρίατο δοῦλον, βυρσοδέψην παφλαγόνα.
πανουργότατον καὶ διαβολώτατόν τινα.
οὗτος καταγνοὺς τοῦ γέροντος τοὺς τρόπους.
ὁ βυρσοπαφλαγὼν, ὑποπεσὼν τὸν δεσπότην,
ᾔκαλλ᾽ ἐθώπευ᾽ ἐκολάκευ᾽ ἐξηπάτα.
κοσκυλματίοις ἄκροισι, τοιαυτὶ λέγων.
ὦ δῆμε. λοῦσαι πρῶτον ἐκδικάσας μίαν.
ἔνθου. ῥόφησον. ἔντραγ᾽. ἔχε τριώβολον.
βούλει παραθῶ σοι δόρπον; εἶτ᾽ ἀναρπάσας
ὅ,τι ἄν τις ἡμῶν σκευάσῃ τῷ δεσπότῃ,
παφλαγὼν κεχάρισται τοῦτο. καὶ πρώην γ᾽ ἐμοῦ

τε καὶ τὴν εὐτέλειαν δείκνυσι τοῦ Κλέωνος, ἀφ᾽ οἵας τύχης ὁρμώμενος ἐτυράννευσε τῶν Ἀθηναίων. ἐπειδὴ ὁ πατὴρ αὐτοῦ Κλεώνυμος ἐργαστήριον εἶχε δούλων βυρσοδεψῶν. Οὗτος καταγνούς. θεωρήσας τὸ ἦθος καὶ κατανοήσας. οἷον καταμαθὼν καὶ αἰσθόμενος. πρὸς ἔμφασιν δὲ πλείονα εἶπε τοῦ μαθών. διεγνωκέναι δέ φασι, τὸ καταγνῶναι καὶ ἐπιγνῶναι ταὐτόν. ὅτι τὸ μὲν καταγνῶναι, ἰδίως ἐπὶ διαβολῇ καὶ πονηρίᾳ λέγουσιν οἱ παλαιοί. τὸ δὲ ἐπιγνῶναι, ἀντὶ τοῦ γνωρίσαι. γνῶναι δὲ χωρὶς τῆς κατὰ προθέσεως, τὸ μαθεῖν. καταγνοὺς οὖν, οἷον καταμαθὼν καὶ αἰσθόμενος. Ὁ βυρσοπαφλαγών. συνέμιξε τὸ γένος καὶ τὴν τέχνην. ἵνα τὸ πλέον ὀνειδίσῃ, προσθήκης ἑκατέρου γενομένου θατέρου. Ἤκαλλον. ἀνκάλλειν ἐστὶ τὸ, τὸν κύνα τοῖς ὠσὶ καὶ τῇ οὐρᾷ σαίνειν τοὺς ἠθάδας. ἢ ἀπὸ μεταφορᾶς τῶν ἀλεκτρυόνων. κάλλαια γὰρ καλεῖται τούτων τὰ γένεια. πολλαὶ δὲ αἱ λέξεις ἀλλὰ τὸ σημαινόμενον ἕν. ἐκολάκευε γάρ. Κοσκυλματίοις. τοῖς περικεκομμένοις καὶ ἀπορριφεῖσι δέρμασι. βούλεται δὲ λέγειν, λογαρίοις ἢ μύλοις. τὸ δὲ πᾶν αὐτῷ νόημα, ὅτι λόγοις ἐξηπάτα τὸν δῆμον, δοκοῦσι μὲν ὠφέλειαν τινα ἔχειν. βλάπτουσι δὲ τὰ μέγιστα. Ἄλλως. κοσκύλματα καλοῦνται τὰ περιττά. τὰ περιτεμνόμενα ἀπὸ τῶν καττυματίων. καττυματίοις οὖν λέγει, εὐτελέσι ῥήμασιν ἢ πράγμασιν.

Ἐκδικάσας μίαν, δικάσας. ὡσεὶ ἔλεγε γυμνασθείς. τοιαῦτα δὲ εἰώθασι τοῖς τρυφῶσιν οἱ κόλακες λέγειν. τοῦτό φησι κολακεύων ἔλεγε τὸν δῆμον. λείπει δὲ ἡμέραν. ἵν᾽ ᾖ μίαν ἡμέραν ἐάσας ἀδίκαστον. Ἔνθου. ἐπὶ ψωμοῦ καὶ τοῦ ἀκόλου, οὕτω λεκτέον. καὶ ὅλως τοῦ φαγεῖν. Ἔντραγε. οὕτω τὸ ἀκρατίζειν. καὶ Μένανδρος. ἀλλ᾽ ἐῶν ἐντραγεῖν. ὁ γὰρ οἰκέτης ἐστὶ, βαρύτερον τὴν πρὸς τοὺς δοκοῦντας εἶναι ποιούμενος τρυφήν. παρονειδίζων ὅτι τοσαῦτα ἀπαγγέλλετε οὐκ ἐπὶ δείπνου ἀλλ᾽ ἀκρατισμόν. Ἔχε τριώβολον. τὸ δικαστικὸν μισθόν. ἐπεὶ τριώβολον ἐλάμβανον.

ἐοικέναι αὐτό. τὸ δὲ ἐτεὸν ἀληθῶς οὕτω πεπίστευκας. οὕτω καταδέχῃ. Βρετέτας ἐν παρακλῇ, παίζων. οὐ μόνον δὲ τῇ γλώττῃ, προσέπαιξε τῇ παρονομασίᾳ τοῦ βρέτας. ἀλλὰ καί φησιν ὅτι εἰ μὴ ἦσαν θεοί, οὐκ ἂν ἦ μην θεοῖς ἐχθρός. Ἐτεὸν ἡγεῖ γὰρ θεούς. ἀληθῶς οὕτω πεπίστευκας καὶ ὑπολαμβάνεις εἶναι θεούς. τεκμηρίῳ δὲ παραδείγματι. μαρτυρίῳ. προσβιβάζεις δὲ πείθεις. παραινεῖς ἢ στοχάζῃ.

Ἀλλ' ἑτέρα ποι ἀλλ' ἑτέρῳ τρόπῳ δεῖ σκέψασθαι. γράφεται δὲ καὶ πῆ. ἐστὶ δὲ περιττόν.

δη. ποῖον βρετέτας ἐτεὸν ἡγεῖ γὰρ θεούς.
νι. ἔγωγε. δη. ποίῳ χρώμενος τεκμηρίῳ.
νι. ὁτιὴ θεοῖσιν ἐχθρὸς εἰμ' οὐκ εἰκότως.
δη. εὖ προσβιβάζεις μ'. νι. ἀλλ' ἑτέρα ποι σκεπτέον.
δη. βούλει τὸ πρᾶγμα τοῖς θεαταῖσι φράσω.
νι. οὐ χεῖρον. ἓν δ' αὐτοὺς παραιτησώμεθα.
ἐπίδηλον ἡμῖν, τοῖς προσώποισι ποιεῖν,
ἢν τοῖς ἔπεσι χαίρωσι καὶ τοῖς πράγμασι.
δη. λέγοιμ' ἂν ἤδη. νῷν γάρ ἐστι δεσπότης
ἄγροικος ὀργήν. κυαμοτρώξ. ἀκράχολος.
δῆμος πυκνίτης. δύσκολον γερόντιον.

Παραιτησώμεθα. περιττὴ ἡ παρά. ἐστι γὰρ αἰτησώμεθα. παρακαλέσωμεν. πλεονάζουσι γὰρ καὶ ἐλλείπουσι τῇ προθέσει οἱ ἀττικοί. Ἐπίδηλον ἡμῖν δεικνύειν φησὶν ἡμῖν διὰ τῶν προσώπων εἰ χαίρουσι τοῖς λεγομένοις. ἐκ γὰρ τοῦ προσώπου δηλοῦται ἡ τῆς ψυχῆς διάθεσις. Ἢν τοῖς ἔπεσι χαίρωσιν, ἔπεσι τοῖς ποιήμασιν, ἢ τοῖς λεγομένοις. ἢ τοῖς ἰάμβοις. πᾶν γὰρ ἔπος μέτρον καλοῦσι. πράγμασι δὲ τοῖς ποιήμασι τοῖς λεγομένοις. Νῷν γάρ ἐστι δεσπότης. ὥσπερ τινὰ οἰκίαν κατασκευάζει τὴν πόλιν. δεσπότην δέ φησι τὸν δῆμον. οἰκέτας δὲ τοὺς προχειριζομένους ὑπ' αὐτοῦ ὑπηρετεῖν αὐτῷ ἐν τῇ τῶν κοινῶν ἐπιμελείᾳ. ὑπηρέται γάρ τινες εἶναι δοκοῦσι τοῦ δήμου οἱ ἄρχοντες οἱ τῶν κοινῶν προϊστάμενοι. Ἄγροικος ὀργήν. δύναται ἡ ὀργὴ νῦν ἑκάτερον δηλοῦν. καὶ κυρίως κεῖσθαι καὶ ἐπὶ τοῦ τρόπου. ἄγριος καὶ σκληρός, καὶ ἀνήμερος καὶ τραχύς. ἢ ἀφελής. ἀκράχολος δέ, ἤγουν εἰς ὀργὴν πρόχειρος. Κυαμοτρώξ. δικαστικός. κυάμους ἐσθίων. κυάμων δὲ ἐχρῶντο οἱ δικασταί, διὰ τὸ μὴ καθεύδειν. ἢ ἀντὶ ψήφων. ἄλλοι δὲ διὰ τοῦ σ, κυαμοτρώς, ὁ κυάμοις δικάζων. ὁ τιτρώσκων. τούτοις γὰρ ἐχρῶντο ἀντὶ ψήφων. Ἄλλως. τρεφόμενος ἀπὸ τῶν κυάμων. ἐπεὶ ἀντὶ ψήφων, κυάμοις ἐχρῶντο ἐν ταῖς χειροτονίαις τῶν ἀρχόντων καὶ ταῖς ἐκκλησίαις. ὡς οὖν τῶν ψηφιζομένων ἀργύριον λαμβανόντων καὶ χειροτονούντων τοὺς διδόντας πλέον, οὕτως ὠνόμασε τὸν δῆμον τὸν ἀπὸ τῶν κυάμων τρεφόμενον.

Πυκνίτης. τόπος ἀθήνησιν ἔνθα ἔστιν ὅτε ἐκκλησίαζον οἱ ἀθηναῖοι. πνὺξ γὰρ τόπος ἐν ἀθήναις. ἔνθα ἡ ἐκκλησία συνεκροτεῖτο. τὸν δῆμον δὲ ὥσπερ πολίτην τῆς πυκνὸς εἶπε. πνὺξ δὲ λέγεται παρὰ τὸ πυκνοῦσθαι ἐκεῖ τοὺς βουλευτάς, ἢ ἀπὸ τοῦ πεπυκνῶσθαι ταῖς καθέδραις. δύσκολον δὲ δυστράπελον. ὑπόκωφον δὲ εἶπε τὸν δῆμον, ὅτι οὐ πᾶσιν ἐπείθετο. ἀλλὰ προσεποιεῖτο μὴ ἀκούειν τῶν λεγομένων. Δύσκολον γερόντιον. δυστράπελον. πρεσβύτερον. αἰνίττεται δὲ διὰ τούτου ὁ ποιητὴς τὴν ἱστορίαν. ὅτι πρῶτοί τε καὶ αὐτόχθονες οἱ ἀθηναῖοι. ὑπόκωφον δὲ ὅτι οὐ πᾶσιν ἐπείθετο. ἀλλὰ προσεποιεῖτο μὴ ἀκούειν.

Μὴ διασκανδικίσῃς. διευριπιδίσῃς, ἤγουν μὰ τὴν εὐριπίδου, σκάνδικας ἐπίπρασκεν. ὅ ἐστιν ἄγρια λάχανα. Ἄλλως. μὴ ἀποδειλιάσῃς. μὴ μέλλησον μελήσῃς. σκώπτει δὲ τὸν εὐριπίδην, ὡς λαχανοπώλιδος υἱόν. σκάνδιξ γὰρ, εἶδος λαχάνου. Ἀπόκινον. φυγήν. ἀποχώρησιν. ἔστι δὲ καὶ εἶδος ὀρχήσεως φορτικῆς. οἱ δὲ μέλος. καὶ ὁ βαυκισμός. Λέγε δὴ μόλωμεν. τινὲς τὸ μόλωμεν προπερισπῶσι. προσποιεῖται δὲ, ὑποτίθεσθαι φεύγειν αὐτόν. καὶ λέγειν αὐτομολήσωμεν πρὸς τοὺς λακεδαιμονίους. αὐτὸς παραιτούμενος λέγειν. αὐτομολῆσαι δέ ἐστι τὸ προδοῦναι τοὺς ἰδίους καὶ ἐᾶσαι καὶ ἀπελθεῖν πρὸς τοὺς ἐναντίους ἐπὶ συμμαχίᾳ. Ἐξόπισθέ νυν. κατόπιν. τουτέστι πρόταττε τὸ μόλωμεν, τὸ αὐτὸ εἶπε πάλιν τοῦ μόλωμεν τὸ αὐτό. βούλεται δὲ λέγειν, αὐτομολήσωμεν πρὸς τοὺς λακεδαιμονίους. αἰνιγματωδῶς δὲ μετὰ διασταγμοῦ λέξει τι· ὧν ἐκεῖνον. συνάπτειν τὰς λοιπὰς αὐτῷ συλλαβάς. τὸ δὲ φάθι ἀπὸ τοῦ φημὶ φήσω. ἔφην φάς. φάντος φάθι. ὅπερ ὁ μὲν ἀπολλώνιος ὀξύνει. ὁ δὲ ἡρωδιανὸς βαρύνει. παραλόγως γὰρ ὀξύνεσθαι. Ὥσπερ δεφόμενος. αὐτὶ τοῦ ἀποδέρων τὸ αἰδοῖον. οἱ γὰρ ἁπτόμενοι τῶν αἰδοίων, οὐχ ὡς ἤρξαντο, ἀλλὰ σπουδαιότερον κινοῦσι ἐκπυρούμενοι τῇ συνεχείᾳ τῆς κινήσεως, πρὸς τῇ τῆς γονῆς ἐκκρίσει. τοῦτο οὖν λέγει, ὅτι πρῶτον κατὰ μικρὸν, εἶτα συνεχῶς λέγε. Αὐτό. μόλωμεν. αὐτομόλωμεν ἀσύλλαμβανόμενος αὐτοῦ τοῦτο λέγει. αὐτομολεῖν δὲ, τὸ πρὸς τοὺς πολεμίους ἀπελθεῖν. Ἦν οὐχ ἡδύ. ἰδοὺ δρωπιματικόν. λέγει δὲ οὐκ ἔστιν ἡδὺ τὸ αὐτομόλωμεν. ἔθος δὲ ἦν καὶ τὸ παρὰ τοὺς πολεμίους φεύγειν, εἰ πάσχοιέν τι κακὸν ὑπὸ τοῦ δεσπότου. τὸ δὲ φεύγειν, αὐτομολεῖν λέγουσιν ἀθηναῖοι. Ἄλλως. ὁ τὴν γνώμην λέγων ἐφίστησι τῷ λόγῳ ἀγαθαιόμενος τοῦ ῥήματος. ὡς ἐξηπατημένος καὶ παρακεκρουσμένος εἰπεῖν τὸ αὐτομολήσωμεν. Ἄλλως. μὴ οὐ καλόν. οὐ πρὸς ἡδονὴν ἀποδοκιμάσω σου τὴν συμβουλὴν, τὸν οἰωνὸν δὲ τὸ σημεῖον. Ὁτιὴ τὸ δέρμα. ὅτι ὥσπερ τῶν δεφομένων τὸ δέρμα ἀπέρχεται, οὕτω καὶ τῶν αὐτομολούντων. Τῶν δεφομένων. τῶν ἀποδερομένων τὸ αἰδοῖον, ὑποχωρεῖ ὄπισθεν. μή πως οὖν καὶ ἡμᾶς νοήσαντες οἱ ἀθηναῖοι φεύγοντες κρατήσωσι καὶ ἀποδέρωσι. Πρὸς βρέτας. ἄγαλμα θεῶν. προσπεσεῖν δὲ, ἱκέτας καθίσαι. ἤγουν φυγεῖν πρὸς βρέτας, πρὸς ἱερὸν, πρὸς τέμενος. ἢ πρὸς ἕδος. ἢ πρὸς ἄγαλμα θεῶν. βρέτας δὲ, εἴρηται ἀπὸ τοῦ βροτοῦ.

δη. μή μοί γε, μή μοι. μὴ διασκανδικίσῃς
ἀλλ' εὑρέ τιν' ἀπόκινον ἀπὸ τοῦ δεσπότου.
νι. λέγε δὴ μόλωμεν ξυνεχὲς ὡδὶ ξυλλαβών.
δη. καὶ δὴ λέγω μόλωμεν. νι. ἐξόπισθέ νυν
αὐτὸ φάθι τοῦ μόλωμεν. δη. αὐτό. νι. πάνυ καλῶς.
ὥσπερ δεφόμενος νῦν ἀτρέμα πρῶτον λέγε.
τὸ μόλωμεν. εἶτα δ' αὐτὸ κατεπάγων πυκνόν.
δη. μόλωμεν αὐτό. μόλωμεν αὐτομολῶμεν. νι. ἦν
οὐχ ἡδύ; δη. νὴ δία. πλήν γε περὶ τῷ δέρματι
δέδοικα τουτονὶ τὸν οἰωνόν. νι. τί δαί.
δη. ὁτιὴ τὸ δέρμα τῶν δεφομένων ἀπέρχεται.
νι. κράτιστα τοίνυν τῶν παρόντων ἐστὶ νῷν.
θεῶν ἰόντε προσπεσεῖν του πρὸς βρέτας.

κλέων τοὺς ἄλλους στρατηγοὺς καὶ προσκρούων τῷ δήμῳ, εἰς ἑαυτὸν βλέπειν τοὺς ἀθηναίους ἐποίησε. Ξυναυλίαν. ξυναυλία καλεῖται, ὅταν δύο αὐληταὶ τὸ αὐτὸ λέγωσιν. ὁ δὲ ὄλυμπος μουσικὸς ἦν μαρσύου μαθητής. ἔγραψε δὲ αὐλητικοὺς καὶ θρηνητικοὺς νόμους. Ἄλλως. ξυναυλία λέγεται ὅταν κιθάρα καὶ αὐλὸς συμφωνῇ. νόμοι δὲ καλοῦνται, οἱ εἰς θεοὺς ὕμνοι. ὄλυμπος δὲ μαθητὴς γέγονε μαρσύου παρὰ τὴν αὐλητικὴν, ἄριστος. καὶ αὐτὸς δυστυχήσας διὰ μουσικήν. καθάπερ οὖν ὄλυμπος εὗρε τὸ συναλγεῖν, καὶ ἡμεῖς ὁμοίως. καὶ ὥσπερ ἀπὸ μιᾶς φωνῆς, ὀδυρώμεθα. μιμησώμεθα οὖν τὴν συναυλίαν ὀλύμπου. Μὺ μῦ. τοῦτο ὁμοφωνοῦσιν ἀμφότεροι μύζοντες. τοῦτο δὲ ὡς θρηνητικόν. ἔστι δὲ ἴαμβος ἔχων τὸ μὲν πρῶτον βραχὺ. τὸ δὲ δεύτερον μακρόν.

ξυναυλίαν κλαύσωμεν, οὐλύμπου νόμον.
μυ μῦ. μυ μῦ. μυ μῦ. μυ μῦ. μυ μῦ. μυ μῦ.
τί κινυρόμεθ' ἄλλως. οὐκ ἐχρῆν ζητεῖν τινα
σωτηρίαν νῷν, ἀλλὰ μὴ κλάειν ἔτι;
γι. τίς οὖν γένοιτ' ἄν, λέγε σύ. δη. σὺ μὲν οὖν μοι λέγε.
ἵνα μὴ μάχωμαι. γι. μὰ τὸν ἀπόλλω 'γὼ μὲν οὔ.
ἀλλ' εἰπὲ θαρρῶν. εἶτα κἀγώ σοι φράσω.
δη. πῶς ἂν σύ μοι λέξειας ἃ με χρὴ λέγειν.
γι. ἀλλ' οὐκ ἔνι μοι τὸ θρέττε. πῶς ἂν οὖν ποτε
εἴποιμ' ἂν αὐτὸ δῆτα κομψευριπιδικῶς.

Τί κινυρόμεθα. τί δακρύομεν, καὶ ὀδυρόμεθα εἰς κενὸν καὶ ἀνωφελές. Οὐκ ἐχρῆν ζητεῖν τινα. ἡμεῖς δὲ ἀπαλλαγέντες τῶν δακρύων, βουλευσόμεθα τίνα τρόπον ἀπαλλαγησόμεθα τῶν τοῦ κλέωνος κακῶν. αὐτὸς γὰρ μέλλει τὴν τοῦ ἀποδρᾶναι γνώμην εἰσηγεῖσθαι. ζητεῖν δὲ πολυπραγμονεῖν καὶ σκοπεῖν. Τίς οὖν γένοιτ' ἂν λέγε σύ. τίς οὖν ἀφορμὴ γένοιτο λέγε σύ. πρὸς τὴν ἐπερώτησιν τοῦ ἑτέρου, ὁ ἕτερος πάλιν ἀπεκρίνατο. ἑκάτερος δὲ εὐλαβῶς ἔχει τοῦ εἰπεῖν, διὰ τὸ φοβεῖσθαι δῆθεν τὸν κλέωνα. καθ' οὗ συντάττουσι τὴν ἐπιβουλήν. φιλονεικοῦσιν οὖν τίς πρῶτος εἴπῃ. Σὺ μὲν οὖν λέγε. αὐτὶ τοῦ σὺ εἰπέ. ἵνα εἰπόντος σου, μὴ μαχήσωμαι σοι μὴ δὲ ἂν πλέξω ἢ οὕτως. σὺ λέγε. ἵνα μὴ εἴπω πρῶτος, καὶ φθονῶν αἰτείσῃς. κἀγώ σοι μάχωμαι. Ἃ με χρὴ λέγειν. ἅ τινά με χρή φησιν εἰπεῖν. εἴθε περὶ τούτων ἤκουσα παρὰ σοῦ λεχθέντων. τοῦτο δὲ εἶπε διὰ τὸ φοβεῖσθαι λέγειν. ἔστι δὲ παρὰ τὸ ἐν ἱππολύτῳ εὐριπίδου ὑπὸ τῆς φαίδρας πρὸς τὴν τροφὸν εἰρημένον οὕτως ἀποκρινομένην. οὐ μάντις εἰμὶ τἀφανῆ γνῶναι σαφῶς.

Ἀλλ' οὐκ ἔνι μοι τὸ θρέττε. αὐτὶ τοῦ τὸ θαρσαλέον. οὐδὲ τὸ τυχὸν ἔχων φησὶ περὶ τούτων εἰπεῖν. θρέττε δὲ βαρβαριστὶ, αὐτὶ τοῦ θαρρεῖν. παρὰ τὸ θρασὺ καὶ αἰδέσιον. οὐκ ἔστιν οὖν εἰπεῖν ὅσου δέομαι. ἠρνήσατο δὲ, ἵνα εἰς ἀνάγκην τὸν ἕτερον καταστήσῃ. πρὸς τὸ συνθέσθαι τι καὶ συμβουλεῦσαι. τὸ δὲ πῶς ἂν οὖν ποτε, αὐτὶ τοῦ οὐ θαρρῶ φησιν εἰπεῖν, οὐδὲ τυχόν. βαρβαρίζει δὲ ὡς δοῦλος. Κομψευριπιδικῶς. αὐτὶ τοῦ εὐριπιδικῶς. καὶ δεινῶς. οἷον πανούργως. κομψοὶ δὲ παρὰ τοῖς ἀρχαίοις ἐλέγοντο οἱ πανοῦργοι. φησὶν οὖν πῶς ἂν τις εἴποι περιεσταλμένως καὶ λεληθότως. οἱονεὶ μὴ φανερῶς.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΙΠΠΗΣ.

Δημοσθένης προλογίζει.

Ἀτταταιάξ, σχετλιασμὸν δηλοῖ αὐτό τε τοῦτο καὶ τὸ ἑξῆς. ἔοικε δὲ ὁ προλογίζων εἶναι Δημοσθένης ὁ προκαμὼν ἐν Πύλῳ, διὰ τοῦτο. Ἄλλως σχετλιαστικὸν τὸ ῥῆμα. Παρεπιγραφὴ δὲ λέγεται τὰ τοιαῦτα. ἀλλὰ καὶ γίνεται τοῖς σχήμασιν. ἔστι δὲ εἷς τῶν προειρημένων δῆθεν οἰκετῶν ἀποδυρόμενος τὸν ἕτερον. Παφλαγόνα. τὸν Κλέωνα ὡς δημότικον οἰκέτην. Παφλαγόνα δὲ, οὐ τῷ γένει, ἀλλ' ἐπειδὴ ἐπάφλαζεν ἐν τῇ ἐκκλησίᾳ. Νεώνητον δὲ τὸν νεωστὶ καταξιωθέντα τῆς ἀρχῆς. Παφλαγόνα δὲ τὸν Κλέωνα διὰ τὸ τῆς φωνῆς ἀπηχὲς ἀπὸ τοῦ παφλάζειν ὠνόμασεν. ἔφην γὰρ ὅτι ξένος ὢν ἐπολιτεύετο. ὀνειδίζει γὰρ αὐτὸν ὡς ξένον καὶ βάρβαρον.

Ἀτταταιὰξ τῶν κακῶν ἰατταταῖ.
Κακῶς Παφλαγόνα τὸν νεώνητον κακὸν
αὐταῖσι βουλαῖς ἀπολέσειαν οἱ θεοί.
ἐξ οὗ γὰρ εἰσήρρησεν εἰς τὴν οἰκίαν,
πληγὰς ἀεὶ προστρίβεται τοῖς οἰκέταις.
Νι. κάκιστα δῆθ', οὗτός γε πρῶτος
Παφλαγόνων,
αὐταῖς διαβολαῖς. Δη. ὦ κακόδαιμον. πῶς ἔχεις.
Νι. κακῶς καθάπερ σύ. Δη. δεῦρό νυν πρόσελθ' ἵνα.

Τὸν νεώνητον. τὸν νεωστὶ ἠγορασμένον. ἐπεὶ μὴ ἐκ γένους ἦν Ἀθηναῖος. ἀλλὰ νεωστὶ προσεληλυθὼς τῇ πολιτείᾳ. ἐμφαίνει δὲ διὰ τούτων, ὅτι καὶ τῶν Ἀθηναίων καθάπτεται. ὅτι δέον αὐτοὺς [illegible] τοῖς γνησίοις καὶ πολλὰ τὴν πόλιν εὐεργετηκόσιν. οἱ δὲ, μᾶλλον ἐτίμων τὸν Κλέωνα. πέφυκε μὲν γὰρ καὶ τῶν οἰκετῶν μᾶλλον [illegible], τοῖς οἴκοι γεννηθεῖσι καὶ τραφεῖσιν, ἢ οὓς ἂν ὠνησώμεθα πριάμενοι. Ἄλλως. ὅτι νεωστὶ τῇ δημαγωγίᾳ προσῆλθε. τὸ δὲ ἑξῆς, κακὸν κακῶς ἀπολέσειαν οἱ θεοὶ τὸν Παφλαγόνα τὸν νεώνητον. Αὐταῖσι βουλαῖς. ἀττικὸν τὸ σχῆμα. καὶ ἡ σύνταξις τοῦ λόγου. ὡς εἰ λέγοιμεν αὐτοῖς ἵπποις. αὐτοῖς ἵπποις. λείπει δὲ, ἡ σὺν πρόθεσις. Εἰσήρρησεν. ἀντὶ τοῦ εἰσῆλθεν. εἰσεπήδησεν. ὡς βίᾳ καὶ ἀναιδῶς τῇ πολιτείᾳ προσελθόντος. ἀττικὴ δὲ ἡ λέξις. ἐν ἐνίοις δὲ ἀντιγράφοις. εἰσέφρησε γράφεται. δηλούσης τῆς λέξεως τὸ ἐπεπήδησεν, ἔτι δὲ καὶ τὸ μετὰ φθορᾶς εἰσελθεῖν. Πρῶτος Παφλαγόνων. ὡς πάντων μὲν ὄντων πονηρῶν. ἐξαιρέτως δὲ τοῦ Κλέωνος. Αὐταῖσι διαβολαῖς. ὅμοιον καὶ τοῦτο τὸ σχῆμα, τῷ αὐταῖσι βουλαῖς. τοῦτο δὲ εἶπεν, ἐπεὶ διαβάλλων

ρῶν. ὃ καὶ κατώρθωσε διὰ τὸ πλεῖστα τῆς ἁλώσεως προστετεῦχθαι δημοσθένει. ἔοικε δὲ ὡς ἐπὶ οἰκίας δεσποτικῆς ποιεῖσθαι τὸν λόγον. εἴη δ᾽ ἂν δεσπότης ὁ δῆμος. οἰκία ἡ πόλις. οἰκέται δὲ δύο τοῦ δήμου προλογίζουσι, κακῶς πάσχοντες ὑπὸ κλέωνος. ὁ δὲ χορὸς ἐκ τῶν ἱππέων ἐστὶν, οἳ καὶ ἐζημίωσαν τὸν κλέωνα πέντε ταλάντοις, ἐπὶ δωροδοκίᾳ ἁλόντα. λέγουσι δὲ τῶν οἰκετῶν, τὸν μὲν εἶναι δημοσθένην. τὸν δὲ νικίαν. ἵνα ὦσι δημηγόροι οἱ δύο.

Ἄλλως ἀριστοφάνους γραμματικοῦ.

Αράγει τινὰ κλέωνα τὸν καλούμενον παφλαγόνα. καὶ ἔτι βυρσοπώλην πικρότατα κατεσθίοντά πως τὰ κοινὰ χρήματα ἐν παραλογισμοῖς διαφοροῦντ᾽ ἐρρωμένως ἀλλαντοπώλην, εὐθέως σκατοφάγον πεισθέντα ἀνθέξεσθαι σὺν ἱππεῦσι ποιεῖ ἐν χορῷ παροῦσι τῇ τῶν πραγμάτων ἀρχῇ κλέωνός τ᾽ ἐν μέσῳ κατηγορεῖ. ἐγένετο τοῦτο. ἐξέπεσεν ὁ κλέων παγκάκως. ὁ σκατοφάγος ἔτυχε προεδρίας καλῆς. Ἐδιδάχθη τὸ δρᾶμα ἐπὶ στρατοκλέους ἄρχοντος, δημοσίᾳ εἰς λήναια δι᾽ αὐτοῦ ἀριστοφάνους. πρῶτος ἐνίκα. δεύτερος, κρατῖνος σατύροις. τρίτος ἀριστομένης, ὁλοφύρσοις. Ἰστέον ὅτι εἰς δ΄ μέρη διῄρητο ὁ δῆμος τῶν ἀθηναίων εἰς πεντακοσιομεδίμνους. εἰς ἱππέας. εἰς ζευγίτας. καὶ εἰς θῆτας.

Τέλος τῆς ὑποθέσεως.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

Δημοσθένης.	Νικίας	Ἀγοράκριτος ὁ καὶ ἀλλαντοπώλης.
Χορὸς ἱππέων.	Κλέων	Δῆμος.

Ἡ εἴσθεσις τοῦ παρόντος δράματος, εὐθὺς ἐξ ἀμοιβαίων προσώπων ἄρχεται. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ἑκατὸν ἐννενήκοντα τρεῖς. ὧν τελευταῖος. καὶ ποικίλως πως καὶ σοφῶς ᾐνιγμένος. μεθ᾽ οὓς καθ᾽ ὑπερβολὴν ἐπικοὶ τουτέστι δακτυλικοὶ ἑξάμετροι πέντε. ἑξῆς δὲ πάλιν ἐν ἐκθέσει ἰαμβικοὶ ὅμοιοι μ΄. ἐν ἐκθέσει δὲ τούτων στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ πέντε. ὧν τελευταῖος ἢ ἀμύνου καὶ δίωκε καὶ τροπὴν αὐτοῦ ποιοῦ. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει τοῦ τελευταίου στίχου κορωνίς.

ὙΠΌΘΕΣΙΣ ἹΠΠΈΩΝ ἈΡΙΣΤΟΦΆΝΟΥΣ

Τὸ δρᾶμα τοῦτο πεποίηται εἰς Κλέωνα, τὸν Ἀθηναίων δημαγωγόν. ὑπόκειται δὲ ὡς Παφλαγὼν νεώνητος δουλεύων τῷ Δήμῳ. καὶ προαγόμενος παρ' αὐτῷ περιττότερον. ἐπιτιθεμένων δὲ αὐτῷ δυοῖν τοῖν ὁμοδούλοιν, καὶ κατά τινα λόγια τεχνικῶς διασυρμὸν ἀλλαντοπώλην Ἀγοράκριτον ἐπαγόντοιν ὡς ἐπιτροπεύσῃ τοῦ δήμου τῶν Ἀθηναίων, αὐτοὶ οἱ Ἀθηναίων ἱππεῖς συλλαβόντες, ἐν χοροῦ σχήματι παραφαίνονται. ὑφ' ὧν προπηλακιζόμενος ὁ Κλέων ἀγανακτεῖ. καὶ διεξελεγχθεὶς ἱκανῶς περὶ τοῦ ἀνώτερος εἶναι τῶν ἐναντιουμένων, σφᾶς ὡς συνομωμοκότας κατὰ τῆς πόλεως πρὸς τὴν βουλὴν ἵεται. διώξαντες δὲ καὶ τοῦ ἀλλαντοπώλου κατὰ πόδας οἱ ἱππεῖς, περί τε τοῦ πατρικοῦ τινὰ καὶ τῶν προγόνων, ἔτι δὲ καὶ τῶν κινδυνευόντων σφίσιν ἐπὶ ταῖς μάχαις, πρὸς τοὺς πολίτας ἁδροτέρως διαλέγονται. ὅ, τε ἀλλαντοπώλης παραγεγενημένος ἐν βουλῇ μάλα γελοίως τοῦ Κλέωνος, καὶ λοιδορούμενος αὖθις αὐτῷ προσέρχεται. ἐγκαλεσαμένου δὲ τοῦ Κλέωνος τὸν δῆμον, προσελθὼν οὗτος, διαφερομένων ἀκροᾶται. λόγων δὲ πολλῶν γενομένων κατὰ τοῦ Κλέωνος, τοῦ Ἀγορακρίτου μὲν ἐντέχνως τοῖς ἐπινοήμασι καὶ ταῖς θωπείαις, καὶ προσέτι ταῖς ἐκ τῶν λογίων ὑπερβολαῖς κρατοῦντος, κατὰ μικρὸν ὁ δῆμος τοῖς λόγοις συνεφέλκεται. δείσαντος δὲ τοῦ Κλέωνος καὶ ἐπὶ τὸ ψωμίζειν τὸν δῆμον ὁρμήσαντος, ἀντιψωμίζειν ἅτερος ἐγχειρεῖ. καὶ τέλος τοῦ δήμου τὴν ἑκατέρου κίστιν συνέντος. εἶτα τῆς μὲν κενῆς, τῆς δὲ τοῦ Κλέωνος μεστῆς εὑρεθείσης, ἐλεγχθεὶς αὐτός, ὡς περιφανῶς τὰ τοῦ δήμου κλέπτων ἐκβάλλεται τῆς ἐπιτροπείας. μετὰ ταῦτα δὲ τοῦ ἀλλαντοπώλου τὸν δῆμον ἀφεψήσαντος. εἶτα νεώτερον ἐξ αὐτῆς ἐν τῷ ἐμφανὲς γεγονότα προαγαγόντος, Κλέωνος περικείμενος τὴν Ἀγορακρίτου θατέραν σκευὴν ἐπὶ παραδειγματισμοῦ διὰ μέσης πόλεως ἀλλαντοπωλῶν ἀνὰ μέρος καὶ τῇ τέχνῃ χρησάμενος, πέμπεται, καὶ ἡ ἐπιτροπὴ τῷ ἀλλαντοπώλῃ, παραδίδοται. Τὸ δὲ δρᾶμα, τῶν ἄγαν καλῶς πεποιημένων. Ἄλλως. Ὁ σκοπὸς αὐτῷ πρὸς τὸ καθελεῖν Κλέωνα. οὗτος γὰρ βυρσοπώλης ὢν ἐκράτει τῶν Ἀθηναίων ἐκ προφάσεως τοιαύτης. Ἀθηναῖοι πόλιν Πύλον λεγομένην Σφακτηρίαν, ἐπολιόρκουν διὰ Δημοσθένους στρατηγοῦ καὶ Νικίου. τῶν στρατηγῶν χρονιζόντων, ἐδυσχέραινον οἱ Ἀθηναῖοι. καὶ εἰς ἐκκλησίαν συνελθόντων αὐτῶν καὶ ἀδημονούντων, Κλέων τις βυρσοπώλης ἀναστάς, ὑπέσχετο δεσμίους φέρειν τοὺς ἐναντίους, εἴσω εἴκοσιν ἡμερῶν, εἰ στρατηγὸς αἱρεθείη, ὅπερ καὶ γέγονε. κατὰ τὰς ὑποσχέσεις ἐπεστρατήγει, κυκῶν τὴν πόλιν. ἐφ' οἷς μὴ ἐνεγκὼν Ἀριστοφάνης, καθίησι τὸ τῶν ἱππέων δρᾶμα δι' αὐτοῦ. ἐπεὶ τῶν σκευοποιῶν οὐδεὶς ἐπλάσατο τὸ τοῦ Κλέωνος πρόσωπον διὰ φόβον. καὶ τὰ μὲν πρῶτα ἐκύκλει φοβούμενος. εἶτα προφανῶς αὐτό, ἀνεδίδαξε τὸ δρᾶμα. Ἔοικε νῦν ὁ προλογίζων εἶναι Δημοσθένης, ὃς ἐκεκμήκει περὶ τὴν Πύλου πολιορκίαν. ἀφῃρέθη δὲ τὴν στρατηγίαν ὑπὸ Κλέωνος ὑποσχομένου τότε τοῖς Ἀθηναίοις, παραστήσασθαι τὴν Πύλον εἴσω κ' ἡμε-

Πρῶτα μὲν εὐοδίαν· ἡ τελευταία ἔκθεσις τοῦ δράματος, ἐκ στίχων ἐστὶ δακτυλικῶν ϛʹ. ἐπὶ τῷ τέλει κορωνὶς ἢ καὶ τὸ δρᾶμα ἀπαρτίζουσα. εὐοδίαν δὲ εὐκολίαν περὶ τὴν ὁδόν. ταῦτα δὲ παρὰ τὰ ἐν γλαύκῳ ποτνιεῖ αἰσχύλου. εὐοδίαν μὲν πρῶτα, ἀπὸ στόματος χέομαι. Παυσαίμεθ' ἄν· τὸ παυσαίμεθα εἶπεν ὁ χορὸς διότι τῷ μὲν δοκεῖν, ἐν ᾅδου ἦν. τὸ δ' ἀληθὲς ἀθήνησιν ἔνθα ἐτελεῖτο τὸ δρᾶμα. ξυνόδων δὲ συμπλοκῶν ἃς ἡ πόλις νυνὶ πάσχει. Κλεοφῶν δὲ μαχέσθω παρόσον ὡς ἀριστοτέλης φησὶ μετὰ τὴν ἐν ἀργινούσαις ναυμαχίαν, λακεδαιμονίων βουλομένων ἐκ δεκελείας ἀπιέναι. ἐφ' οἷς ἔχουσιν ἑκάτεροι, καὶ εἰρήνην ἄγειν ἐπὶ τοῦ καλλίου, κλεοφῶν ἔπεισε τὸν δῆμον μὴ προσδέξασθαι ἐλθὼν εἰς τὴν ἐκκλησίαν, μεθύων καὶ θώρακα ἐνδεδυκὼς οὐ φάσκων ἐπιτρέψειν. ἐὰν μὴ πάσας ἀφῶσι τὰς πόλεις οἱ λακεδαιμόνιοι. οὗτος δὲ ὁ κλεοφῶν, ὡς ξένος κωμῳδεῖται. καὶ βάρβαρος. οὗ καὶ ἄνω ἐμνήσθη εἰπὼν φιλοτίμου περὶ κλεοφῶντος. ἐφ' οὗ χείλεσιν ἀμφιλάλοις δεινὸν ἐπιβρέμεται θρηκία χελιδών. μαχέσθω οὖν φησι κλεοφῶν καὶ οἱ ἄλλοι ὅσοι τούτῳ ὅμοιοί εἰσιν, ἐν ταῖς πατρίσιν αὐτῶν καὶ μὴ ἐν τῇ ἀττικῇ, κινείτωσαν πολέμους. οὐ γάρ ἐστιν αὕτη πατρὶς αὐτῶν. Πατρίοις ἐν ἀρούραις· ἐν ταῖς ἑαυτῶν ἀρούραις. κωμῳδεῖ δὲ αὐτοὺς ὡς ξένους.

Χο. Πρῶτα μὲν εὐοδίαν ἀγαθὴν ἀπιόντι ποιητῇ
ἐς φάος ὀρνυμένῳ δότε δαίμονες οἱ κατὰ γαίας.
τῇ τε πόλει μεγάλων ἀγαθῶν ἀγαθὰς ἐπινοίας.
πάγχυ γὰρ ἐκ μεγάλων ἀχέων παυσαίμεθ' ἂν οὕτως
ἀργαλέων τ' ἐν ὅπλοις ξυνόδων· κλεοφῶν δὲ μαχέσθω.
κἄλλος ὁ βουλόμενος τούτων πατρίοις ἐν ἀρούραις.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΒΑΤΡΑΧΩΝ.

ΤΕΛΟΣ.

S

Τὴν ἡμετέραν] πάντως γὰρ οἱ θεοὶ αὐτὴν φιλοῦμεν διὰ τὴν πρὸς ἡμᾶς εὐσέβειαν. Καὶ δὸς τουτὶ κλεοφῶντι. ἴσως τι σχοινίον δίδωσιν αὐτῷ ὁ πλούτων, πρὸς ἀγχόνην· ἤ τι τοιοῦτο σύμβολον θανάτου. ὡς ξένος δὲ ὁ κλεοφῶν κωμῳδεῖται· ἢ ὅτι γέρων ὢν ἔμελλε μετ' ὀλίγον τεθνήξεσθαι ἢ ὡς ἀγχόνης ἄξια ἔπραττε. Καὶ τούτοις τοῖσι πορισταῖς. τοῖς φορολόγοις. τούτους λέγει, τοὺς περὶ πόρου χρημάτων εἰσηγουμένους. εἴη δ' ἂν σχοινίον ὃ ἀποδίδωσιν αὐτοῖς. Μύρμηκί θ' ὁμοῦ. ὀνόματα κύρια.

καὶ σῶζε πόλιν τὴν ἡμετέραν
γνώμαις ἀγαθαῖς, καὶ παίδευσον
τοὺς ἀνοήτους, πολλοὶ δ' εἰσί·
καὶ δὸς τουτὶ κλεοφῶντι φέρων
καὶ τούτοις τοῖσι πορισταῖς
μύρμηκί θ' ὁμοῦ καὶ νικομάχῳ·
τόδε δ' ἀρχενόμῳ·
καὶ φράζ' αὐτοῖς ταχέως ἥκειν
ὡς ἐμὲ δευρὶ, καὶ μὴ μέλλειν·
κἂν μὴ ταχέως ἥκωσι,
νὴ τὸν ἀπόλλω στίξας αὐτοὺς
καὶ συμποδίσας
μετ' ἀδειμάντου τοῦ λευκολόφου
κατὰ γῆς ταχέως ἀποπέμψω,
ΑΙ. ταῦτα ποιήσω· σὺ δὲ τὸν θρόνον
τὸν ἐμὸν παράδος σοφοκλεῖ τηρεῖν·
καὶ σώζειν· ἢν ἄρ' ἐγώ ποτε
δεῦρ' ἀφίκωμαι· τοῦτον γὰρ ἐγὼ
σοφίᾳ κρίνω δεύτερον εἶναι.
μέμνησο δ' ὅπως ὁ πανοῦργος ἀνὴρ
καὶ ψευδολόγος καὶ βωμολόχος
μηδέποτ' εἰς τὸν θᾶκον τὸν ἐμὸν
μηδ' ἄκων ἐγκαθεδεῖται.
ΠΛ. φαίνετε τοίνυν ὑμεῖς τούτῳ
λαμπάδας ἱεράς, χἄμα προπέμπετε,
τοῖς τούτου τοῦτον μέλεσι·
καὶ μολπαῖς κελαδοῦντες.

ἐπὶ πονηρίᾳ δὲ οὗτοι ἐκωμῳδοῦντο. οὐ πάντως δὲ ὁ μύρμηξ τῶν ποριστῶν ἐστιν ἀλλ' ἢ οἴονται ἀπ' ἄλλης ἀρχῆς. οὐδὲ γὰρ ὁ νικόμαχος. ἀλλ' ἤτοι ὁ τραγικὸς ὑποκριτής, ἢ ὁ πολίτης περὶ ὧν προείρηται. τί δ' ἂν εἴη διδοὺς; τάχα βρόχους πρὸς ἀγχόνην ἤ τι τοιοῦτον. ξυμποδίσας δὲ συνδήσας τοὺς πόδας. Τοῦ λευκολόφου. εἴη ἂν οὗτος ὁ τοῦ λευκολοφίου. οὗ καὶ πλάτων μέμνηται ἐν τῷ πρωταγόρᾳ. ἦν γὰρ εἷς τῶν περὶ τοὺς καιροὺς τούτων στρατηγούντων. ἡγεῖτο δὲ τοῦ μέρους τοῦ ναυτικοῦ. τάχα δ' ἂν οὗτος εἴη, οὗ καὶ παραγεγραμμένον λέγουσιν, οἰκεῖον γὰρ αὐτοῦ, τὸ στίξας αὐτούς. ἀντὶ τοῦ στιγματίσας καὶ μαστιγώσας ἢ ἐγγεγραμμένος. Ἄλλως. Στρατηγὸς ἦν τοῦ ναυτικοῦ καὶ εὔπολις μέμνηται ἐν πόλεσιν οὕτω περὶ τοῦ ἀδειμάντου. οὐκ ἀργαλέον δ' ἦτ' ἐστὶ πάσχειν τοῦτ' ἐμὲ τὸν λευκολόφου παῖδα. Ἢν δ' ἄρ' ἐγώ ποτε. ἀπαγορεύει ὡς οὐκέτι πάλιν εἰς ᾅδου ἀφίξεται. Μηδ' ἄκων. οἷον μηδὲ εἴ τινες ἄκοντα τοῦτον λαβόντες καθίσαι ἐθελήσουσι. Φαίνετε. πρὸς τὸν χορόν. ἀντὶ τοῦ ἀνάπτετε ὦ μύσται.

εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν· τὸ κατθανεῖν δὲ ζῆν. ὕπνου δὲ τὸ κατθανεῖν. Ἀριστοφάνης δέ φησι τὸ πνεῖν δὲ δειπνεῖν καὶ τὸ καθεύδειν κώδιον. πεποίηκε δὲ τοῦτο, ἐπειδὴ ὁ Διόνυσος οὐδὲν ἕτερον ἠγάπα ἢ δειπνεῖν καὶ καθεύδειν ἐν μαλακοῖς στρώμασιν, οἷά ἐστιν τὰ ἐκ κωδίων. Μακάριον. κορωνὶς καὶ εἴσθεσις χοροῦ ἐπῳδική, διὰ τὸ μετὰ τὴν κορωνίδα κεῖσθαι ἐκ κώλων τροχαϊκῶν ὑπομεμιγμένων χορείοις καὶ ἰάμβοις καὶ ἀναπαίστοις διμέτρων ὀκτωκαίδεκα. ὧν τὰ μὲν α'. β'. γ'. η'. ι'. ια'. ιβ'. ιδ'. ιε'. καταληκτικὰ ἤτοι ἑφθημιμερῆ δύ' εἴδεα ἢ ληκύθια. τὰ δ' ἄλλα ἀκατάληκτα πλὴν τοῦ θ'. καὶ τελευταίου βραχυκαταλήκτων ἰθυφαλικῶν. ἐπὶ τῷ τέλει κορωνίς. λείπει δὲ τὸ πρᾶγμα, ἵν' ᾖ μακάριον πρᾶγμα. φίλους δὲ νῦν ὡς καὶ ἡμεῖς. πολλαχοῦ δὲ τοὺς συγγενεῖς καὶ ἀναγκαίους. Χαρίεν οὖν. ὅτι νῦν πρὸς Σωκράτην ἑταιρίαν

Πλ. Χωρεῖτε τοίνυν ὦ Διόνυσ' εἴσω. Δι. τί δαί;
Πλ. ἵνα ξενίσω σφὼ πρίν γ' ἀπελθεῖν. Δι. εὖ λέγεις,
νὴ τὸν Δί', οὐ γὰρ ἄχθομαι τῷ πράγματι.
Χο. μακάριον γ' ἀνὴρ ἔχων Ξύνεσιν ἠκριβωμένην.
πάρα δὲ πολλοῖσι μαθεῖν. Ὅδε γὰρ εὖ φρονεῖν δοκήσας,
πάλιν ἄπεισιν οἴκαδ' αὖθις,
ἐπ' ἀγαθῷ μὲν τοῖς πολίταις Ἐπ' ἀγαθῷ δὲ τοῖς ἑαυτοῦ.
ξυγγενέσι τε καὶ φίλοις, Διὰ τὸ ξυνετὸς εἶναι.
χαρίεν οὖν μὴ Σωκράτει Παρακαθήμενον λαλεῖν,
ἀποβαλόντα μουσικὴν Τά τε μέγιστα παραλιπόντα
τῆς τραγῳδικῆς τέχνης Τὸ δ' ἐπὶ σεμνοῖσι λόγοις,
καὶ σκαριφισμοῖσι λήρων
διατριβὴν ἀργὸν ποιεῖσθαι,
παραφρονοῦντος ἀνδρός.
Πλ. ἄγε δὴ χαίρων Αἰσχύλε χώρει.

δηλοῖ. Παναίτιος δέ, ὅλα ταῦτα περὶ ἑτέρου Σωκράτους φησὶ λέγεσθαι, τοῦ περὶ σκηνὰς φλυάρων, ὡς Εὐριπίδης. Ἄλλως. Τὸν Σωκράτην ἐνταῦθα κατηγορεῖ. ζῶν γὰρ οὗτος ὡς πολυλόγος κατηγορεῖτο, ὅτι πολλοὺς λόγους ἐν τοῖς ἐργαστηρίοις καὶ παλαίστραις διεξήρχετο περὶ φιλοσοφίας. λέγει οὖν ὅτι καλόν ἐστι, μὴ μετ' αὐτοῦ τινα διάγειν ἀφέντα τοὺς ποιητὰς τοιούτους ὄντας ὡς καὶ μετὰ θάνατον ἀναβιοῦν αὖθις δύνασθαι. οὗ νῦν Αἰσχύλος ἔτυχε. Καὶ σκαριφισμοῖς. συντετμημένοις. καὶ στενοῖς. παρόσον οὐκ ἀειδέσιν οἱ φιλόσοφοι διαλέγονται ἴδιον σκαρισμοῖς καὶ λεπτολογίαις. σκιαγραφίαις. σκαριφεύειν γὰρ τὸ τοὺς ζωγράφους ὑποτυπῶσαι πρῶτον τοὺς γραφομένους καὶ σκαριφήσασθαι ἐπὶ τὸ σεσυρμένως τι ποιεῖν καὶ μὴ κατὰ τὴν προσήκουσαν ἀκρίβειαν σκιαγραφεῖν. εἰσὶ δὲ καὶ οἱ φιλόσοφοι λόγοι ἀσαφεῖς σκιαὶ καὶ αἰνίγματα, διὰ τὸ ἀερῶδες αὐτῶν καὶ λεπτόν. ἴσως δὲ ἐντεῦθεν καὶ τὸ ἐν τῇ συνηθείᾳ σκάριφος. ἤγουν τὸ κάρφος καὶ φρύγανον μᾶλλον δὲ ἡ γραφίς. Παραφρονοῦντος ἀνδρός. λείπει τὸ, ἐστίν. ὡς καὶ τὸ Ὁμηρικόν, εἰ δ' ἤδη τέθνηκε, καὶ εἰν Ἀΐδαο δόμοισι. λείπει γὰρ κἀνταῦθα τὸ ἐστί. Ἄγε δὴ χαίρων. ἔκθεσις τοῦ δράματος ὃ καὶ ἐπίλογος καλεῖται, ἐκ κώλων διμέτρων ἀναπαιστικῶν κζ'. ὧν τὰ ϛ'. ια'. κε'. κδ'. κζ', ἑφθημιμερῆ· τὰ δὲ λοιπὰ ἀκατάληκτα. πλὴν τοῦ η' καὶ γ'. μονομέτρων. ἐφ' ἑκάστης περιόδου τέλει καὶ συστήματος παράγραφος.

Ἀλλ' ἐνθάδ' αἰεὶ τἀγαθά. ἀντὶ τοῦ αἰεὶ πέμπετε. παρὰ τὴν παροιμίαν ἐκεῖ βλέπουσα, δεῦρ' αἰεὶ τἀγαθά. Τὴν γῆν ὅταν νομίσωσι. τὴν περικλέους γνώμην λέγει. εἰ τὴν μὲν ἀττικὴν ὡς πολεμίοις ἐάσουσι τέμνεσθαι. ἢ καὶ οὐ τέμνουσι. τὴν δὲ λακωνικὴν περιπλεύσουσιν. Ἄλλως. Ἐπὶ τὴν περικλέους φέρεται γνώμην. ὃς συνεβούλευσε, περιπλεῖν τὴν πολεμίαν. μὴ μάχεσθαι δὲ, τεμνομένης τῆς ἀττικῆς. Ἄλλως. τοιαύτην γνώμην καὶ περικλῆς συνεβούλευσεν ἀθηναίοις λακεδαιμονίων εἰσβαλλόντων εἰς τὴν ἀττικήν, μέγα βοήσας ἀπὸ τοῦ βήματος. ὡς οὐκ ἂν ἄλλως ἔσται τοῖς πράγμασι σωτηρία, εἰ μὴ δ' κατὰ γῆν μάχεσθαι τοὺς ἀφέντες περιπλεύσουσι μετὰ λακεδαίμονα τριήρει νεῶν. Πόρον δὲ τὰς ναῦς. καὶ τοῦτο κατὰ τὴν περικλέους γνώμην. ὃς ἐκέλευσεν ἀθηναίοις. ἐμβαλόντων λακεδαιμονίων εἰς τὴν ἀττικήν, μὴ ἐπεξιέναι ἀλλ' ἔσω τειχοὺς μένειν. αὐτοὺς δὲ διὰ τῶν πλοίων ἀμύνεσθαι τῇ λακωνικῇ. τὴν οὖν κατὰ γῆν πόρον, ἀπορίαν ἡγεῖσθαι. τὴν δὲ διὰ θαλάσσης τοῦτον ἡγεῖσθαι πόρον. ἢ καὶ οὕτως. ἕνα μὲν πόρον ἡγεῖσθαι χρημάτων, τὸ ναῦς ὡς πλείστας ἔχειν. τὸν δὲ ἄλλον πόρον, ὃς ἂν ἔξω τῆς γῆς ᾖ, τοῦτον ἀπορίαν νομίζειν. οἷον τὰ θεωρικά. ἢ δικαστικὰ ἢ ἐκκλησιαστικά. συμβουλεύει οὖν πᾶσαν τὴν ἐν τούτοις γινομένην δαπάνην, ταῖς ναυσὶν ἀφορίσαι. πρὸς ταύτην δὲ τὴν ἔννοιαν, καὶ τὸ ἐπιφερόμενον ἀκόλουθον. φησὶ γὰρ ὁ διόνυσος. πλήν γ' ὁ δικαστής, αὐτὰ καταπίνει μόνος ὡς πολλῶν ὄντων τῶν δαπανωμένων εἰς τὸν δικαστικὸν μισθόν. τοῦτο δὲ παρ' ὑπόνοιαν ἐπι- νοεῖται μὲν γὰρ κατὰ τὸ φαινόμενον ὅτι ἐγὼ μόνος ὁ δικάζων ὑμῖν κατὰ νοῦν ταῦτα λαμβάνω καὶ ἀποδέχομαι. τῇ δὲ ἀληθείᾳ κατηγορίαν ἀθηναίων ἐμφαίνει, ὡς διαρπαζόντων καὶ μισθοὺς πολλοὺς περὶ τὰς δίκας διδόντων. τὸ δὲ κρίνοις ἄν, τινὲς τὸν πλουτῶνα λέγειν ἀξιοῦσιν. αἱροῦ δὲ τοὺς φίλους. ἀντὶ τοῦ ἐμὲ λάβε. Ἡ γλῶττ' ὀμώμοκε. παρὰ τὰ ἐξ ἱππολύτου. ἡ γλῶττ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος.

Τί δ' αἰσχρὸν ἢν μή. παρὰ τὰ ἐξ αἰόλου εὐριπίδου. τί δ' αἰσχρὸν ἢν μὴ τοῖσι χρωμένοις δοκῇ. Τὸ πνεῖν δὲ δειπνεῖν. παρὰ τὰ ἐκ φρίξου εὐριπίδου. τὸ δὲ κῴδιον προσέθηκεν ἐπειδὴ καθεύδειν ἔφη. Ἄλλως. τοῦτο ἐξ ἱππολύτου δράματος. τίς οἶδεν

αἰ. τὴν γῆν ὅταν νομίσωσι τὴν τῶν πολεμίων
εἶναι σφετέραν, τὴν δὲ σφετέραν, τῶν πολεμίων.
πόρον δὲ τὰς ναῦς, ἀπορίαν δὲ τὸν πόρον.
δι. εὖ πλήν γ' ὁ δικαστὴς αὐτὰ καταπίνει μόνος.
πλ. κρίνοις ἄν. δι. αὕτη σφῷν κρίσις γενήσεται.
αἱρήσομαι γὰρ ὅνπερ ἡ ψυχὴ θέλει.
εὐ. μεμνημένος νυν τῶν θεῶν οὓς ὤμοσας,
ἦ μὴν ἀπάξειν μ' οἴκαδ' αἱροῦ τοὺς φίλους.
δι. ἡ γλῶττ' ὀμώμοκ'. αἰσχύλον δ' αἱρήσομαι.
εὐ. τί δέδρακας ὦ μιαρώτατ' ἀνθρώπων; δι. ἐγώ;
ἔκρινα νικᾶν αἰσχύλον. τιὴ γὰρ οὔ;
εὐ. αἴσχιστον ἔργον μ' ἐργασάμενος προσβλέπεις;
δι. τί δ' αἰσχρὸν, ἢν μὴ τοῖς θεωμένοις δοκῇ;
εὐ. ὦ σχέτλιε. περιόψει με δὴ τεθνηκότα,
δι. τίς οἶδεν εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν
τὸ πνεῖν δὲ, δειπνεῖν, καὶ τὸ καθεύδειν κῴδιον;

τούτους ἀπίστους καὶ φθορέας τῆς πόλεως ἡγώμεθα σωθείη ἡ πόλις. τοῦτο δὲ λέγει διότι τοὺς καλοὺς καὶ λυσιτελοῦντας ἄνδρας τῇ πόλει ἀφέντες, ὡς καὶ ὄπισθεν ἐν τῇ παραβάσει ἔφη, μοχθηροῖς καὶ φαύλοις ἐχρῶντο πρὸς τὰ κοινά. Ἀμαθέστερόν πως εἰπέ. ἀγροικότερον καὶ παχύτερον. ἀπαιδευτότερον. ἢ κοινότερον. παρὰ τὴν παροιμίαν σαφέστερόν μοι καὶ ἀμαθέστερον φράσον. Εὖ γ' ὦ Παλάμηδες. πρὸς τὸν Εὐριπίδην. ὅτι εἰκὸς ἐκ Παλαμήδους πεπρᾶχθαι ταῦτα. ἢ ἐπειδὴ ὁ Παλαμήδης μηχανικὸς καὶ

ευ. εἰ ναυμαχοῖεν ἄν, κατ' ἔχοντες τ' ὀξίδας
ῥαίνοιεν ἐς τὰ βλέφαρα τῶν ἐναντίων.
ἐγὼ μὲν οἶδα καὶ θέλω φράζειν. δι. λέγε.
ευ. ὅταν τὰ νῦν ἄπιστα πίσθ' ἡγώμεθα,
τὰ δ' ὄντ' ἄπιστα πιστά. δι. πῶς; οὐ μανθάνω.
ἀμαθέστερόν πως εἰπὲ καὶ σαφέστερον.
ευ. εἰ τῶν πολιτῶν οἷσι νῦν πιστεύομεν,
τούτοις ἀπιστήσαιμεν, οἷς δ' οὐ χρώμεθα,
τούτοισι χρησαίμεσθ', ἴσως σωθῶμεν ἄν.
εἰ νῦν γε δυστυχοῦμεν ἐν τούτοισι, πῶς
τἀναντία πράττοντες, οὐ σωζοίμεθ' ἄν,
δι. εὖ γ' ὦ Παλάμηδες, ὦ σοφωτάτη φύσις.
ταυτὶ πότερ' αὐτὸς εὗρες ἢ Κηφισοφῶν.
ευ. ἐγὼ μόνος. τὰς δ' ὀξίδας Κηφισοφῶν.
δι. τί δαὶ λέγεις σύ. αι. τὴν πόλιν νῦν μοι φράσον,
πρῶτον, τίσι χρῆται, πότερα τοῖς χρηστοῖς. δι. πόθεν.
μισεῖ κάκιστα. αι. τοῖς πονηροῖς δ' ἥδεται;
δι. οὐ δῆτ' ἐκείνη γ' ἀλλὰ χρῆται πρὸς βίαν.
αι. πῶς οὖν τις ἂν σώσειε τοιαύτην πόλιν,
ᾗ, μήτε χλαῖνα. μήτε σισύρα ξυμφέρει.
δι. εὕρισκε νὴ Δί' εἴπερ ἀναδύσει πάλιν.
αι. ἐκεῖ φράσαιμ' ἄν. ἐνθαδὶ δ' οὐ βούλομαι.
δι. μὴ δῆτα σύ γ', ἀλλ' ἐνθένδ' ἀνίει τἀγαθά.

ἐφευρετὴς ἦν. εὗρε δὲ καὶ οὗτος μηχανὴν σωτηρίας τῇ πόλει, διὰ τοῦτο Παλαμήδην τοῦτον καλεῖ. Ταυτὶ πότερ' αὐτός. συναθετεῖται τοῖς ἄνω καὶ οὗτος. μείων γάρ, ἀκριβεῖ τὴν ἐκείνων ἀθέτησιν. ἐν ᾗ φαίνεται τὰ μὲν πρότερα, Αἰσχύλος λέγων. τὰ δὲ ἑξῆς Εὐριπίδης. Τὰς δ' ὀξίδας Κηφισοφῶν. τιμόθεος, πρόσωθεν ἐκ λαχανοπωλίδος φησὶ τὸν Εὐριπίδην διὰ τὰς ὀξίδας. Πόθεν. ἀρνητικῶς ἴσον τῷ οὐδαμῶς. πρὸς βίαν δὲ πρὸς ἀνάγκην ἐπειδὴ ἡ τύχη ὁ καιρὸς ἤγαγεν. Ἧ, μήτε σισύρα. χλαίνης εἶδος εὐτελοῦς. οἷον ἐξωμὶς ἢ ἁπλοῒς ἢ τι τοιοῦτον καὶ ἄλλα χοῦ. χειμῶνος ὄντος τρεῖς σισύρας ἀφείλετο, τινὲς δὲ ἱμάτιον τραχὺ καὶ παχὺ περιβόλαιον. ἀγροικικόν. δουλικόν. παλαιὸν ἢ χιτὼν δερμάτινος. Βορέην δὲ λέγουσιν ἡλίῳ τε ποιῆσαι τὴν ἔριν γενέσθαι, ὁπότερος ἀνδρὸς ἀγροίκου ὁδοιποροῦντος τὴν σισύραν ἐκδύσῃ. ὁ δὲ νοῦς, μήτε χρηστὸς μήτε φαῦλος ἢ ὀχληρὸς πολίτης συμφέρει. πρὸς δὲ τὴν διαφοράν. ἔν τισι καὶ σισύρα σισύρνα, ἐκ τρίτου τὸ αὐτὸ πλὴν ὅτι ἡ μὲν σισύρα, δοκεῖ βαστὴ εἶναι ἐκ δερμάτων αἰγείων. ἡ δὲ χλαῖνα ἀπὸ ἐρίων. Εἴπερ ἀναδύσει. ἐπανέλθῃ ἐκ τῆς δυστυχίας ὡς ἐκ βυθοῦ. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν βυθιζομένων νηῶν. Ἐκεῖ φράσαιμ' ἄν. ἐν τῷ βίῳ ἀπιόντων δὲ ἀναβιῶναι τοῦτο λέγει.

Ποθεῖ μὲν, ἐχθαίρει δὲ, παρὰ τὰ ἐκ τῶν Ἴωνος φρουρῶν· ὅπου ἡ Ἑλένη πρὸς τὸν Ὀδυσσέα φησί· σιγᾷ μὲν, ἐχθαίρει δὲ, βούλεται γε μήν. ὁ δὲ λόγος, ποθεῖ μὲν ὡς δραστήριον· διὰ τὰς νίκας· ἐχθαίρει δὲ ὡς τυραννικὸν ἢ ὡς εἰς Λακεδαιμονίους χωρήσαντα.

Μισῶ πολίτην. αὕτη Εὐριπίδου ἡ γνώμη, μὴ καταδέχεσθαι καθάπαξ Ἀλκιβιάδην· χαρακτηρίζει δὲ αὐτὸν ἅμα. ταῦτα δέ φησιν Εὐριπίδης περὶ Ἀλκιβιάδου ὡς ὄντος αὐτοῦ, τοιούτου. βραδέως μὲν ὠφελοῦντος τὴν πατρίδα· ταχέως δὲ, βλάπτοντος.

ποθεῖ μὲν, ἐχθαίρει δὲ, βούλεται δ' ἔχειν.
ἀλλ' ὅ,τι νοεῖτον, εἴπατον τούτου πέρι.
εὐ. μισῶ πολίτην, ὅστις ὠφελεῖν πάτραν
βραδὺς πέφυκε, μεγάλα δὲ βλάπτειν ταχύς·
καὶ πόριμον αὐτῷ, τῇ πόλει δ' ἀμήχανον.
δι. εὖ γ' ὦ Πόσειδον· σὺ δὲ τίνα γνώμην ἔχεις.
αἰ. οὐ χρὴ λέοντος σκύμνον ἐν πόλει τρέφειν,
μάλιστα μὲν λέοντα μὴν πόλει τρέφειν·
ἢν δ' ἐκτραφῇ τις, τοῖς τρόποις ὑπηρετεῖν.
δι. νὴ τὸν Δία τὸν σωτῆρα, δυσκρίτως γ' ἔχω·
ὁ μὲν, σοφῶς γὰρ εἶπεν· ὁ δ' ἕτερος σαφῶς.
ἀλλ' ἔτι μίαν γνώμην ἑκάτερος εἴπατον
περὶ τῆς πόλεως ἥντιν' ἔχετον σωτηρίαν,
εὐ. εἴ τις πτερώσας Κλεόκριτον Κινησίᾳ,
αἴροιεν αὖραι πελαγίαν ὑπὲρ πλάκα.
δι. γέλοιον ἂν φαίνοιτο· νοῦν δ' ἔχει τινά.

Μάλιστα μὲν λέοντα. μάλιστα μὲν μὴ ἀνατρέφειν φρόνημα ἔχοντα· ἐὰν δὲ ἀνατρέφῃ μὴ ἐρεθίζειν· ἀλλὰ θεραπεύειν. ὥστε ὁ μὲν Εὐριπίδης συμβεβούλευκε μὴ δέχεσθαι. ὁ δὲ Αἰσχύλος, τοιαύτην τινὰ διάνοιαν· ἢ μὴ καταδέξασθαι, ἢ καταδεξαμένους, τροποφορεῖν. ἔν τισι δὲ, μετὰ τὸ πρῶτον, παρήγαγε γράφεται· ὥστε εἶναι τὸ μὲν πρῶτον ὁμολογουμένως Αἰσχύλου. τὸ δὲ ἑξῆς, ἀδήλου τινός. ἢ γὰρ Εὐριπίδης δίς ἐστιν ἀποφηνάμενον ἢ ὁ Διόνυσος ἀντακούειν ἐκείνου αὐτὸς ἢ λέγων· καὶ ταῦτα ἐπεξεργαζόμενος τὸ παρ' Αἰσχύλου λεγόμενον· ἢ ὁ χορός. ἔν τισι δὲ ἑνός ἐστι τὰ τρία, τοῦ Αἰσχύλου. πρῶτον μὲν, ἀποφατικῶς, λέγοντος· τὰ δὲ ἑξῆς δύο, μαλακώτερον ὑποτιθεμένου.

Εἴ τις πτερώσας Κλεόκριτον Κινησίᾳ. ὁ Κινησίας λεπτὸς ἦν. ὁ δὲ Κλεόκριτος μοχθηρός. φησὶν οὖν ὅτι εἴ τις ἀντιπτερῶν Κλεοκρίτῳ Κινησίαν παραβάλοι, ὥστε φέρεσθαι μετεώρους, συμβήσεται αὐτοὺς ὀλέσθαι, αὐροφορήτους γενομένους. Ἄλλως. Εἴ τις πτερώσας. ὡς λεπτὸς σφόδρα ὢν κωμῳδεῖται. καὶ ὡς ξένος· καὶ ὡς κόλαξ. ἐμνήσθη δὲ καὶ τοῦ Κινησίου ὡς τούτου καὶ τοῦ Κλεοκρίτου ὁμοφρονούντων. ἀθετεῖ δὲ τοὺς πέντε ἐφεξῆς στίχους· ἕως τοῦ, ῥαίνοιεν εἰς τὰ βλέφαρα τῶν ἐναντίων, Ἀρίσταρχος· ὅτι φορτικώτεροι εἰσὶ καὶ εὐτελεῖς διὰ τοῦτο. ὑποπτεύονται. Ἀπολλώνιος δὲ οὐ διὰ τοῦτο ἀλλ' ὅτι οὐ πρὸς τὴν ὑπόθεσιν ἔχουσί τι. ἐρωμένων δὲ αὐτῶν ἑκάτερος μίαν γνώμην λέγει. Κατέχοντες ὀξίδας. ὀξυβάφους κατέχοντες, ῥαίνοιεν ὄξει τοὺς πολεμίους. ὀξίδες δὲ, κεράμια μακρά· ἢ εἶδος λοπάδος. ταῦτα δὲ ἤδη τεθειμένα μετρίως ἄν τις νομίσειεν ἐνδιεσκευάσθαι· καὶ γάρ ἐστι φορτικά. τὰ δὲ ἑξῆς κείμενα, πρέποντα καὶ τῷ ποιητῇ καὶ τῇ ὑποθέσει. ὅταν φησὶν οἷς νῦν ἔχομεν παρεωραμένους καὶ δοκοῦμεν ἐχθροὺς τῆς πόλεως εἶναι, τούτοις ἐπαναγάγωμεν εἰς τὸ ἀρχαῖον ἀξίωμα, καὶ πιστοὺς νομίσωμεν· οἷς δὲ νῦν χρώμεθα ὡς πι

(στοῖς,

β'. δ'. γ'. ε'. τοῦτο δὲ λέγει ὁ Διόνυσος δεικνὺς ὡς Αἰσχύλος νενίκηκε. τὸ δὲ σιδηροβριθὲς, ἐκ Μελεάγρου. τὸ δὲ ἐφ' ἅρματος γὰρ ἅρμα ἐκ Γλαύκου Ποτνιέως Αἰσχύλου. τὸ δὲ ἐξηπάτηκεν εἶπεν ἐκ μεταφορᾶς τῶν παλαιστῶν, ἐκεῖνοι γὰρ ἀπατῶντες τοὺς ἀντιπάλους νικῶσιν. Ἑκατὸν Αἰγύπτιοι. πανταχοῦ τῶν Αἰγυπτίων ὡς ἀχθοφόρων μέμνηται. Κηφισοφῶν. καὶ διὰ τούτου δηλοῖ πάλιν, σχεδὸν τὸ συναμφότερον, ὡς Κηφισοφῶν συνεποίει τὰ δράματα. καὶ τὴν γυναῖκα αὐτοῦ εἶχεν. Ἄλλως. οὐχ ὡς μόνον συμποιοῦντος αὐτῷ τοῦ Κηφισοφῶντος τὰ δράματα, ἀλλὰ ὡς συνόντος αὐτοῦ τῇ γυναικί. οἱ δὲ γράφοντες καὶ ὁ Κηφισοφῶν, εἶναι δ' ἀξιοῦντες ἀνάπαιστον τὸν τελευταῖον πόδα, σκεψάσθωσαν εἰ ἡ προπαραλήγουσα συστέλλεται. Τὸν μὲν γὰρ ἡγοῦμαι σοφόν. σοφὸν μὲν, Εὐριπίδην λέγει. ἥδεσθαι δὲ τῷ Αἰσχύλῳ. οὕτως Ἀρίσταρχος. ἄλλοι δὲ τὸ ἐναντίον καὶ ἑκατέρως συνηγορεῖν. καὶ μάλιστα, ὅτι ἥδεται Εὐριπίδῃ καὶ ὡς ἐν ἀρχῇ προείρηται. Οὐδὲν ἄρα πράξεις. Ἀπολλώνιος τοῦ Πλούτωνος εἶναί φησι τοῦτο καὶ γίνεται πρόσωπα ἐν τῇ σκηνῇ, δ'. τινὲς δὲ τοῦ χοροῦ. Τοῦ, χάριν. οὐκ ἔστιν ἄλλου προσώπου τὸ τοῦ, χάριν. ἀλλ' ὁ Διόνυσος ἑαυτῷ αὐτὸ προφέρει. Πρῶτον μὲν οὖν περὶ Ἀλκιβιάδου. περὶ τῆς δευτέρας λέγει αὐτοῦ ἀποχωρήσεως ἣν ἑκὼν ἔφυγε. κατελθὼν μὲν ἐπὶ Ἀντιγένους πρὸ ἐνιαυτοῦ τῶν Βατράχων. διὰ δὲ τὸ πιστεῦσαι Ἀντιόχῳ τῷ κυβερνήτῃ, τὸ ναυτικὸν καὶ ἡττηθῆναι ὑπὸ Λυσάνδρου διαχεραθεὶς ὑπὸ Ἀθηναίων. Ἀνδρῶν δὲ, διαφέρεται πρὸς Ξενοφῶντα περὶ τῆς καθόδου. Καλλίστρατος δέ φησιν, ὅτι οὔπω ἦν ὁ καιρὸς, καθ' ὃν ἑκὼν ἔφυγεν ὁ Ἀλκιβιάδης, ὁ δὲ Ἀρίσταρχος φησι, καθ' ὃν ἐκπεσὼν ἐν Λακεδαίμονι διατρίβων ἔπεισε Λακεδαιμονίους Ἀθηναίοις Δεκέλειαν ἐπιτειχίσαι. τελέως δὲ [illegible] λέγει ἔτι, περὶ τῆς δευτέρας ἀποχωρήσεως ἣν ἑκὼν ἔφυγε. γέγοναι δὲ Ἀλκιβιάδαι, τέσσαρες. δυστοκεῖ δὲ λέγει ἀντὶ τοῦ ἀγανακτεῖ καὶ κακῶς πάσχει ἐκ μεταφορᾶς τῶν δυστοκουσῶν γυναικῶν. ἢ δυστοκεῖ λέγει ἀντὶ τοῦ κακὰ γεννήματα προάγει. Ἀλκιβιάδης γὰρ φύσει Ἀθηναῖος ὢν ἔφυγε μὲν καὶ πρόσθεν διά τινα αἰτίαν ἐκ πόλεως. κατελθὼν δὲ ὕστερον καὶ ναύαρχος καταστὰς ἐνεπιστεύσατο τὸ ναυτικὸν Ἀντιόχῳ. οὗ καὶ ὑπὸ Λυσάνδρου ἡττηθέντος, φοβηθεὶς Ἀλκιβιάδης μεταχωρεῖ πρὸς Λακεδαιμονίους. οὓς καὶ πείθει Ἀθηναίοις ἐπιτειχίσαι Δεκέλειαν. ἡ δὲ Δεκέλεια χώρα ἐν τῇ Ἀττικῇ. ἧς τειχισθείσης μέγας ἦν κίνδυνος Ἀθηναίοις μὴ δυναμένοις ἐξελθεῖν.

οὓς οὐκ ἂν ἄραιεν οὐδ' ἑκατὸν Αἰγύπτιοι.
αἰ. καὶ μηκέτ' ἔμοιγε κατ' ἔπος, ἀλλ' ἐς τὸν σταθμὸν
αὐτὸς, τὰ παιδία, χἠ γυνὴ, Κηφισοφῶν,
ἐμβὰς καθήσθω ξυλλαβὼν τὰ βιβλία.
ἐγὼ δὲ δύ' ἔπη τῶν ἐμῶν ἐρῶ μόνα.
δι. ἄνδρες φίλοι, κἀγὼ μὲν αὐτοὺς οὐ κρινῶ.
οὐ γὰρ δι' ἔχθρας οὐδετέρῳ γενήσομαι.
τὸν μὲν γὰρ ἡγοῦμαι σοφόν, τῷ δ' ἥδομαι.
πλ. οὐδὲν ἄρα πράξεις ὧνπερ ἦλθες οὕνεκα.
δι. ἐὰν δὲ κρίνω. πλ. τὸν ἕτερον λαβὼν ἄπει.
ὁπότερον ἂν κρίνῃς, ἵν' ἔλθῃς μὴ μάτην.
δι. εὐδαιμονοίης, φέρε δὴ πύθεσθέ μου ταδί.
ἐγὼ κατῆλθον ἐπὶ ποιητήν. πλ. τοῦ, χάριν;
ἵν' ἡ πόλις σωθεῖσα τοὺς χοροὺς ἄγῃ,
ὁπότερος ἂν οὖν τῇ πόλει παραινέσειν
μέλλει τι χρηστὸν, τοῦτον ἄξειν μοι δοκῶ.
πρῶτον μὲν οὖν περὶ Ἀλκιβιάδου τίν' ἔχετον
γνώμην ἑκάτερος; ἡ πόλις γὰρ δυστοκεῖ.
αἰ. ἔχει δὲ περὶ αὐτοῦ τίνα γνώμην. δι. τίνα;

Γ ἴθι νῦν παρίστασθον. κορωνὶς ἑτέρα εἰσιόντων τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρις΄. ὧν τελευταῖος· νὴ τὸν δί' οὐ γὰρ ἄχθομαι τῷ πράγματι. ἔστι τῷ τέλει κορωνίς. Παρὰ τὼ πλάστιγγ'. παρὰ τοῖς λεγομένοις ζυγίοις. τὸ δὲ σχῆμα ἀττικόν. ὡς τὼ χεῖρε τὼ πόλεε καὶ νὴ τὼ σιώ. πλάστιγξ δὲ τὸ καταπέταλμον τοῦ ζυγοῦ μέρος. ᾧ ἐπιτίθεται τὰ ζυγά. Κοκκύσω, συρίσω. σύνθημα δ' ὦ. δίκην ἀλεκτρυόνος βοήσω. τὸ δὲ εἴθ' ὤφελεν ἀρχὴ τοῦ μηδείας δράματος εὐριπίδου. Βουνόμοι. ὑπὸ

δι. ἴθι νῦν παρίστασθον παρὰ τὼ πλάστιγγ'. αἰ. ἰδού.
δι. καὶ λαβομένω τὸ ῥῆμ' ἑκάτερος εἴπατον.
καὶ μὴ μεθεῖσθον, πρὶν ἂν ἐγὼ σφῷν κοκκύσω.
αἰ. ἐχόμεθα. δι. τοὔπος νῦν λέγετον εἰς τὸν σταθμόν.
εὐ. εἴθ' ὤφελ' ἀργοῦς μὴ διαπτάσθαι σκάφος.
αἰ. σπερχειὲ ποταμὲ βουνόμοι τ' ἐπιστροφαί.
δι. κόκκυ μεθεῖτε καὶ πολύ γε κατωτέρω
χωρεῖ τὸ τοῦδε. εὐ. καὶ τί ποτ' ἐστὶ ταἴτιον;
δι. ὅτι εἰσέθηκε ποταμὸν ἐριοπωλικῶς
ὑγρὸν ποιήσας τοὔπος ὥσπερ τἄρια.
σὺ δ' εἰσέθηκας τοὔπος ἐπτερωμένον.
εὐ. ἀλλ' ἕτερον εἰπάτω τι, κἀντιστησάτω.
δι. λάβεσθε τοίνυν αὖθις. εὐ. ἢν ἰδού. δι. λέγε.
εὐ. οὐκ ἔστι πειθοῦς ἱερὸν ἄλλο πλὴν λόγος.
αἰ. μόνος θεῶν γὰρ θάνατος οὐ δώρων ἐρᾷ.
δι. μεθεῖτε. μεθεῖτε. καὶ τὸ τοῦδέ γ' αὖ ῥέπει.
θάνατον γὰρ εἰσέθηκε βαρύτατον κακῶν.
εὐ. ἐγὼ δὲ πειθώ γ' ἔπος ἄριστ' εἰρημένον.
δι. πειθὼ δὲ κοῦφόν ἐστι καὶ νοῦν οὐκ ἔχον.
ἀλλ' ἕτερον αὖ ζήτει τι τῶν βαρυστάθμων
ὅ τι σοι καθέλξει καρτερόν τι καὶ μέγα.
εὐ. φέρε. ποῦ τοιοῦτο δῆτα μοὔστι; ποῦ; φράσω.
δι. βέβληκ' ἀχιλλεὺς δύο κύβω καὶ τέτταρα.
λέγοιτ' ἄν. ὡς αὕτη 'στὶ λοιπὴ σφῷν στάσις.
εὐ. σιδηροβριθές τ' ἔλαβε δεξιᾷ ξύλον.
αἰ. ἐφ' ἅρματος γὰρ ἅρμα, καὶ νεκρῷ νεκρός.
δι. ἐξηπάτηκεν αὖ σε καὶ νῦν. εὐ. τῷ τρόπῳ;
δι. δύ' ἅρματ' εἰσέθηκε καὶ νεκρὼ δύω.

βοῶν κατανεμόμεναι. ἔστι δὲ ἐκ φιλοκτήτου αἰσχύλου. Ἐριοπωλικῶς. ὡς οἱ τὰ ἔρια πωλοῦντες βρέχουσιν αὐτὰ ἵνα βαρύνωσιν ἐν τῷ σταθμῷ. Οὐκ ἔστι πειθοῦς ἐξ ἀντιγόνης εὐριπίδου τὴν πειθὼ σχῆμα νοῦν οὐκ ἔχουσαν. ὅτι τὸ πείθειν ποικιλία καὶ στροφὴ λόγων ἐστὶ παράγουσα τοὺς ἀκούοντας καὶ οὐκ ἀληθὴς διάνοια. τὸ δ' ἑξῆς ἐκ νιόβης αἰσχύλου. Β Βέβληκ' ἀχιλλεύς. ἀρίσταρχός φησιν ἀδεσπότως τοῦτο προφέρεσθαι. ὡς εὐριπίδου πεποιηκότος κυβεύοντας ἐν τῷ τηλέφῳ οὓς καὶ περιεῖλε. μὴ ποτ' οὖν ἐκεῖθεν ἦν. μᾶλλον δὲ, ἐσχεδιακὼς ἂν εἴη ἀριστοφάνης. οὐ δὲ γὰρ τὸν εὐριπίδην τοῦτο προφερόμενον. ἀλλὰ τὸν διόνυσον χλευάζοντα. τινὲς δὲ ὅτι ἐν τῷ φιλοκτήτῃ νοστοῦντος. οἱ δὲ ἐν τῇ ἰφιγενείᾳ τῇ ἐν αὐλίδι. ἐμφαίνει δὲ καὶ εὔπολις τοῦτο εἰδώς. ἀπὸ φιλαρεῖς δὲ δύο κύβω καὶ τέτταρα. τοῦτο δὲ διόνυσος ὑπερβάλλει αὐτῷ χλευάζων. Ἄλλως. ἐκ μυρμιδόνων. περιήνεκε γὰρ αὐτοὺς κυβεύοντας. ἔθος δὲ τοῖς κυβεύουσιν οὕτω λέγειν.

Ἀλλ' ὦ Κρῆτες Ἴδης. οὐ μόνον ἐν Τροίᾳ ἀλλὰ καὶ ἐν Κρήτῃ Ἴδη ἐστὶν ὡς καὶ ὁ Λυκόφρων φησίν. ἐπεὶ δὲ ἐν Κρήτῃ ἦν ἡ τοῦτο λέγουσα, διὰ τοῦτο λέγει Ἴδης τέκνα τὰ τόξα λαβόντες ἐπαμύνατε. δίκτυνναν δὲ λέγει τὴν Ἄρτεμιν διὰ ταῦτα. ἐπειδὴ τῶν κυνηγετῶν ἐστι τὸ δίκτυα φέρειν. ἔφορος δὲ κυνηγίας ἡ Ἄρτεμις. φασὶ δὲ ὅτι νύμφη τις Βριτόμαρτυς καλουμένη θηρεύουσα ποτὲ δικτύοις τισὶ κατὰ τύχην ἐνέπεσε. καὶ ὑπὸ Ἀρτέμιδος ῥυσθεῖσα, Δικτύννης Ἀρτέμιδος ἱερὸν ἱδρύσατο. Ἑκάτην δὲ καὶ Ἄρτεμιν οἱ μὲν τὴν αὐτήν φασιν. οἱ δὲ ἄλλην καὶ ἄλλην. ὡς κἀνταῦθα. ταῦτα δὲ παρὰ τὰ ἐκ Κρητῶν Εὐριπίδου.

ἀλλ' ὦ Κρῆτες Ἴδης τέκνα,
τὰ τόξα λαβόντες, ἐπαμύνατε
τὰ κῶλά τ' ἀμπάλλετε κυκλούμενοι
τὴν οἰκίαν. ἅμα δὲ
Δίκτυννα παῖς Ἄρτεμις
καλά, τὰς κυνίσκας
ἔχουσ' ἐλθέτω διὰ δόμων
πανταχῆ. σὺ δ' ὦ Διὸς
διπύρους ἀνέχουσα λαμπάδας,
ὀξυτάταιν χεροῖν Ἑκάτα
παράφηνον εἰς Γλύκης. ὅπως
εἰσελθοῦσα φωράσω
ΔΙ. παύσασθον ἤδη τῶν μελῶν.
ΑΙ. κἀμοί γ' ἅλις.
ἐπὶ τὸν σταθμὸν γὰρ ἀγαγεῖν βούλομαι.
ὅσπερ γ' ἐλέγξει τὴν ποίησιν νῷν μόνος.
τὸ γὰρ βάρος νῷν βασανιεῖ τῶν ῥημάτων.
ΔΙ. ἴτε δεῦρό νυν. εἴπερ γε δεῖ καὶ τοῦτό με
ἀνδρῶν ποιητῶν τυροπωλῆσαι τὴν τέχνην.
ΧΟ. ἐπίπονοί γ' οἱ δεξιοί. τόδε γὰρ ἕτερον αὖ τέρας
νεοχμόν. ἀτοπίας πλέων. ὃ τίς ἂν ἐπενόησεν ἄλλος;
μὰ τόν, ἐγὼ μὲν οὐδ' ἂν εἴ τις
ἔλεγέ μοι τῶν ἐπιτυχόντων
ἐπειθόμην ἀλλ' ᾠόμην ἂν
αὐτὸν αὐτὰ ληρεῖν.

Κυνίσκας τὰς κύνας. ὡς φιάλας καὶ φιαλίσκας. διπύρους δὲ ἀντὶ τοῦ διπλᾶς. Τὸ γὰρ βάρος τινές φασιν, ἕως τῶν ἐνθάδε τὸν Αἰσχύλον λέγειν. τὰ δὲ ἑξῆς τὸν Διόνυσον.

Τυροπωλῆσαι. πρὸς γὰρ τὸν σταθμὸν ἐπωλεῖτο ὁ τυρός. Μὰ τόν. ἐλλιπῶς ὀμνύει καὶ οὕτως ἔθος ἐστὶ τοῖς ἀρχαίοις, ἐνίοτε μὴ προστιθέναι τὸν θεὸν εὐλαβείας χάριν. εἰώθεισαν δὲ τοῖς τοιούτοις ὅρκοις χρῆσθαι, ἐπευφημιζόμενοι. ὡς τὸ εἰπεῖν μὲν μὰ τόν. ὄνομα δὲ μηκέτι προσθεῖναι. καὶ Πλάτωνα δὲ τῷ τοιούτῳ κεχρῆσθαι. λέγει δέ, οὐκ ἂν ἐπειθόμην. οὐδὲ εἴ τις μοι ἔλεγε τῶν ἐπὶ τοῦ πράγματος τυχόντων. τὸ δὲ ἐπιτυχόντων, ἀντὶ τοῦ συνελθόντων ἢ ἐπὶ ἀντὶ τῆς σύν.

Ἐπίπονοί γ' οἱ δεξιοί. κορωνὶς καὶ εἴσθεσις μέλους χοροῦ προῳδική διὰ τὸ προτίθεσθαι τῆς κορωνίδος ἐκ κώλων τροχαϊκῶν ἐπιμεμιγμένων χορείοις καὶ ἰάμβοις η'. ὧν τὰ γ' ἑφθημιμερῆ. τὰ δ' ἄλλα δίμετρα ἀκατάληκτα πλὴν τοῦ τελευταίου ἰθυφαλλικοῦ ὄντος. ἐπὶ τῷ τέλει κορωνίς.

Ὦ νυκτὸς κελαινοφαὴς. φασὶν ὡς πάντα ταῦτα τὰ ἔπη ἔκ τινος δράματός ἐστιν εὐριπίδου. ἀσκληπιάδης, παρὰ ἐξ ἑκάβης εὐριπίδου ἐν μιμήσει δηλονότι. οὕτω γὰρ παραγέγραπται· ὦ στεροπὰ διός. ὦ σκοτία νύξ. τί ποτ' αἴρομ' ἔννυχος, πρόσπολον δὲ ὑπηρέτην. ψυχὴν δὲ ὡς φαινόμενον ἄψυχον δὲ ὡς ἄυλον καὶ εὐθέως οἰχόμενον. νυκτὸς δὲ παῖδα ἐνταῦθα εἴρηκε καί τι ἐν ἑκάβῃ μελανοπτερύγων εἰπὼν τὴν γῆν μητέρα. μελανονεκυείμονα δὲ μέλανα καὶ νεκρικὰ ἱμάτια φοροῦντα ὡς θανάτου σημαντικόν. μεγάλους ὄνυχας ἔχοντα ὡς πάνυ τὰς ψυχὰς σπαράττοντα. Ἀλλά μοι ἀμφίπολοι. ἀπολλώνιος παρὰ τὰ ἐκ τῶν εὐμενίδων. Ὄνειρον ἀποκλύσω. ἀπονίψωμαι. ὅπερ εἰώθασι ποιεῖν ἐν τοῖς ὀνείροις. τοῦτο δὲ μιμεῖται ὁ αἰσχύλος, παρ' οὗ ἀποδιοπομπεῖσθαι εἰώθεσαν τὰ χαλεπώτατα τῶν ὀνείρων. ἀπρόσπλοκα δὲ ταῦτα καὶ ἀσυνάρτητα σὺν τοῖς ἑξῆς πᾶσι. τὸ δὲ ὄναρ ὃ εἶδε τοιοῦτον εἶναι δοκεῖ. ὡς γυνή τις ἐκ γειτόνων οὖσα αὐτῇ, γλύκη καλουμένη τὸν ἀλεκτρυόνα αὐτῆς ἁρπάσασα ᾤχετο. αὕτη καλεῖται δὲ ὂν προσειδῶνα ὡς πλησίον τῆς θαλάσσης ἰδοῦσα τὸν ὄνειρον. Νύμφαι ὀρεσσίγονοι. ἐκ τῶν ξαντρίων εὐριπίδου, φησὶν ἀσκληπιάδης. εὗρε δὲ ἀθήνησιν ἔν τινι τῶν διαθέντων νύμφαι ὀρεσσίγονοι θεαῖσιν ἀγείρω ἰνάχου ἀργείου. ὑπὸ ποταμοῦ παισὶ βιοδώροις. ἔοικε δὲ τὸ ὅλον, αὐτὸ διεῖν αὐτόπτα. ἄλλως οὐδὲ παρ' αἰσχύλου ταῦτα ἥρμοζε λαμβάνεσθαι. τὸ δὲ μανία ξύλλαβε νῦν λέγει διὰ τὸν ἄτοπον ὄνειρον εὐχομένη μανίας τυχεῖν, ἵνα μηδενὸς τούτων αἰσθάνοιτο. τὸ δέ, ἐγὼ δ' ἁ τλάμων, πρὸς τὸ φρούδη γλύκη, ἔχει τὴν ἀκολουθίαν. κνεφαῖος δὲ ἑωθινή. κνέφας γὰρ τὸ λυκόφως. Εἰς ἀγορὰν φέρουσα. πάλιν ἐπὶ πενίαν καὶ μικροπρέπειαν αὐτὸν κωμῳδεῖ. δηλοῖ δὲ καὶ ὅτι ἐν τοῖς μέλεσι δὶς τὰ τοιαῦτα λέγει εὐριπίδης. ἀνέπτατ' ἀνέπτατο. καὶ τὰ λοιπά.

ὦ νυκτὸς κελαινοφαὴς ὄρφνα, τίνα μοι δύστηνον
ὄνειρον πέμπεις ἐξ ἀφανοῦς, Ἀΐδα πρόπολον
ψυχὰν ἄψυχον ἔχοντα Μελαίνας νυκτὸς παῖδα
φρικώδη δεινὰν ὄψιν. Μελανονεκυείμονα.
φόνια φόνια δερκόμενον Μεγάλους ὄνυχας ἔχοντα
ἀλλά μοι ἀμφίπολοι λύχνον ἅψατε
κάλπισί τ' ἐκ ποταμῶν δρόσον ἄρατε. Θέρμετε δ' ὕδωρ
ὡς ἂν θεῖον ὄνειρον ἀποκλύσω. Ἰὼ πόντιε δαῖμον.
τοῦτ' ἐκεῖν'. ἰὼ ξύνοικοι Τάδε τέρατα θεάσασθε.
τὸν ἀλεκτρυόνα μου ξυναρπάσασα φρούδη γλύκη
νύμφαι ὀρεσσίγονοι Ὦ μανία ξύλλαβε.
ἐγὼ δ' ἁ τάλαινα προσέχουσ' ἔτυχον,
ἐμαυτῆς ἔργοισι
λίνου μεστὸν ἄτρακτον.
εἱειειειλίσσουσα χεροῖν.
κλωστῆρα ποιοῦσ' ὅπως κνεφαῖος
ἐς τὴν ἀγορὰν φέρουσ' ἀποδοίμαν.
ὁ δ' ἀνέπτατ' ἀνέπτατ' ἐς αἰθέρα
κουφοτάταις πτερύγων ἀκμαῖς
ἐμοὶ δ' ἄχε' ἄχεα κατέλιπεν
δάκρυα δάκρυά τ' ἀπ' ὀμμάτων,
ἔβαλον ἔβαλον ἁ τλάμων.

βίοις· καὶ ἐν τῷ εἰς Φερεκράτην ἀναφερομένῳ Χείρωνι. δώσει δέ τις γυναῖκας ἑπτὰ Λεσβίδας. καλόν γε τὸ δῶρον. ἔπι ἔχειν λαικαστρίας. Ἀλκυόνες· χαρακτηρίζουσι τὰ Εὐριπίδου μέλη. ὡς ἐκλελυμένα. ἀλκυόνες δὲ ἐπάνω τῆς θαλάσσης ὕδατος καθήμεναι, τὰ αὐτῶν ὠὰ ἐν τῷ βυθῷ κείμενα θερμαίνουσι. καθ' ὃν δὲ καιρὸν τοῦτο ποιοῦσιν ἀλκυονίδες αὗται αἱ ἡμέραι καλοῦνται. καὶ ἔστιν ἐν αὐταῖς μεγίστη ἡσυχία ἀνέμων τε καὶ κυμάτων. οἱ δέ φασιν ἐν τῷ ἄκρῳ τῆς θαλάσσης ἐπὶ τῆς ψάμμου τοῦτο ποιοῦσι.

Αἰ. ἀλκυόνες αἳ παρ' ἀενάοις θαλάσσης
κύμασι στωμύλλετε. Τέγγουσαι νοτεραῖς πτερῶν
ῥανίσι χρόα δροσιζόμεναι. Αἵ θ' ὑπωρόφιοι
εἰειειειειειλίσσετε δακτύλοις φάλαγγες.
ἱστόνα πηνίσματα καὶ
κερκίδος ἀοιδοῦ μελέτας. ἵν' ὁ φίλαυλος ἔπαλλε δελφὶς
πρῴραις κυανεμβόλοις Μαντεῖα καὶ σταδίους.
οἰνάνθας γάνος ἀμπέλου. Βότρυος ἕλικα παυσίπονον
περίβαλλ' ὦ τέκνον ὠλένας. Ὁρᾷς τὸν πόδα τοῦτον; Δι. ὁρῶ.
Αἰ. τί δαί· τοῦτον; ὁρᾷς. Δι. ὁρῶ.
Αἰ. τοιαυτὶ μέντοι σὺ ποιῶν, τολμᾷς τἀμὰ μέλη ψέγειν
ἀνὰ τὸ δωδεκαμήχανον Κυρήνης μελοποιῶν;
τὰ μὲν μέλη σου ταῦτα. βούλομαι δ' ἔτι
τὸν τῶν μονῳδιῶν διεξελθεῖν τρόπον.

Κύμασι στωμύλλετε. διὰ τοῦ στωμύλλετε πάλιν εἰς αὐτὸν παίζει. ἐξ ἄλλων δὲ καὶ ἄλλων Εὐριπίδου δραμάτων κόμματα τίθησι. καὶ οὐδὲν κατὰ τὸ ἑξῆς λέγει μέλος. ἔστι δὲ τὸ προκείμενον ἐξ Ἰφιγενείας τῆς ἐν Αὐλίδι. Τέγγουσαι νοτεραῖς. τὸ ἑξῆς· νοτίαις ῥανίσι πτερύγων χρόα δροσιζόμεναι. Εἰειειειει. ἡ ἐπέκτασις τοῦ εἱλίσσετε κατὰ μίμησιν εἴρηται τῆς μελοποιΐας. Φάλαγγες αἱ λεγόμεναι καμματηραί. ἀράχνιόν τι ἡ φάλαγξ. λέγουσι δὲ τὰ ἄκρα τῶν δακτύλων φάλαγγας. ἅπερ νῦν μᾶλλον λέγει. Ἱστόνα τὰ ἱστοὺς οὓς ἐν τῷ ἀέρι οἱ ἀράχναι ὑφαίνουσι. λάμβανε δὲ ἀπὸ κοινοῦ εἰς τὰς μελέτας τὸ εἱλίσσετε. οὕτω καὶ εἱλίσσετε μελέτας κερκίδος ἀοιδοῦ. τουτέστιν ὥσπερ αἱ ὑφάντριαι διὰ τῶν κερκίδων γυναῖκες ἐν τῷ ὑφαίνειν ᾄδουσιν, οὕτω καὶ ὑμεῖς ὦ ἀράχναι. πηνίσματα δὲ ὑφάσματα. τὸ δὲ κερκίδος ἐκ Μελεάγρου Εὐριπίδου. τὸ δὲ ἵν' ὁ φίλαυλος, ἐξ Ἠλέκτρας. φίλαυλος δὲ ὁ τοὺς αὐλοὺς καὶ τὰ μέλη ποθῶν. αἰνίττεται δ' ἴσως εἰς τὸν Ἀριόνιον μῦθον. κυανεμβόλοις δὲ ταῖς ἐν τῷ μέλανι βυθῷ χωρούσαις. Οἰνάνθας· παρὰ τὰ ἐξ Ὑψιπύλης Εὐριπίδου· οἰνάνθα φέρει τὸν ἱερὸν βότρυν. ἡ πρώτη δὲ ἔκφυσις τῆς ἀμπέλου οἰνάνθη λέγεται. καὶ τὸ περίβαλλ' ὦ τέκνον ἐξ Ὑψιπύλης. Ὁρᾷς τὸν πόδα τοῦτον. ὡς καὶ τοιαῦτα ἀμοιβαῖα ἐν τοῖς μέλεσιν ἐπιτιθέντος Εὐριπίδου. καὶ ταῦτα δὲ ἐκτὸς πρὸς τὴν θέσιν ἀναμωκώμενος Εὐριπίδην, ὡς τοιαῦτα ἐν τοῖς μέλεσιν αὐτοῦ ἐπιτιθέντα, πόδα δὲ τὸν ῥυθμὸν ἢ τὸ μέλος ἀπὸ μέρους. Κυρήνης μελοποιῶν. Κυρήνη ἑταίρα τις ἐπίσημος δωδεκαμήχανος ἐπικαλουμένη. διὰ τὸ τοσαῦτα σχήματα ἐν τῇ συνουσίᾳ ποιεῖν. ἔστι δὲ παρὰ τὸ ἐξ Ὑψιπύλης Εὐριπίδου. ἀνὰ τὸ δωδεκαμήχανον ἄστρον. ἐκ δὲ τοῦ λέγειν ἀνὰ τὸ δωδεκαμήχανον Κυρήνης, ἤγουν ἀνὰ τὰς δώδεκα ἐκείνης αἰσχρὰς μηχανάς, δείκνυσιν αὐτὸν πάνυ φαυλότατον.

τῷ προειρημένοις ἐμπέπλω· ἀπᾴδει δ' ἔχονται δὲ πάντες τοῖς μέλεσι τοῦ φρυνίχου ὄντα
τυγχάνοντα τοῖς κιθαρωδικοῖς. Ἤνεγκον. διχῶς ἔλεγον. ἤνεγκον μὲν, ἀπὸ τοῦ
ἐνέγκω. ἤνεγκα δὲ ἀπὸ τοῦ ἐνείκω. Ἵνα μὴ τὸν αὐτὸν φρυνίχῳ. ἵνα μὴ τὰ αὐτὰ τῷ
φρυνίχῳ μελοποιῶ. ἦν δὲ οὗτος ἡδὺς ἐν τοῖς μέλεσι φρύνιχος. ὁ δὲ λόγος ἐκ τοῦ κιθα
ρωδικοῦ εἴς τι τραγικὸν γένος μετήνεγκα. τοῦτο γὰρ καὶ εὐριπίδης προσεῖπε.
Σκολίων μελῶν τινων ἐν συμποσίοις γινομένων. σκολιὰ λέγουσι τὰ παροίνια ᾄσ
ματα. τιμοκρέων δὲ ὁ ῥόδιος ἐποποι/
ὸς τοιοῦτον ἔγραψε σκολιὸν κα
τὰ τοῦ πλούτου. οὗ ἡ ἀρχή. ὤφελες ὦ
τυφλὲ πλοῦτε μήτ' ἐν γῇ μήτ' ἐν
θαλάττῃ, μήτ' ἐν ἠπείρῳ φανήμε/
ναι. ἀλλὰ τάρταρόν τε ναίειν κἀ/
χέροντα. διὰ σὲ γὰρ πάντ' ἐν ἀνθρώ
ποις κακά. τούτοις ἔοικε τὰ ὑπὸ πε
ρικλέους εἰσηνεχθέντα. ἔγραψε γὰρ
ψήφισμα τοιοῦτον ὁ περικλῆς. με
γαρέας μήτ' ἀγορᾶς, μήτε θαλάτ
της, μήτ' ἠπείρου μετέχειν. ὁμοιω

ἤνεγκον αὔθ' ἵνα μὴ τὸν αὐτὸν φρυνίχῳ
λειμῶνα μουσῶν ἱερῶν ὀφθείην δρέπων.
οὗτος δ' ἀπὸ πάντων μὲν φέρει πορνιδίων
σκολιῶν μελίτου καὶ καρικῶν αὐλημάτων
θρήνων. χορειῶν. τάχα δὲ δηλωθήσεται.
ἐνεγκάτω τις τὸ λύριον. καίτοι τί δεῖ
λύρας ἐπὶ τοῦτον. ποῦ 'στιν ἡ τοῖς ὀστράκοις
αὕτη κροτοῦσα. δεῦρο μοῦσ' εὐριπίδου.
πρὸς ἥνπερ ἐπιτήδεια ταῦτ' ᾄδειν μέλη,
Δι. αὕτη ποθ' ἡ μοῦσ' οὐκ ἐλεσβίαζεν, οὔ.

θεὶς σκολιὰ τοῖς τιμοκρέοντος. καὶ αὖθις, νόμους ἐτίθει, ὡς περὶ σκολιὰ γεγραμ/
μένους. Ἄλλως. σκολιὸν ἡ παροίνιος ᾠδή. ὡς μὲν δικαίαρχος ἐν τῷ περὶ μουσικῶν
ἀγώνων, ὅτι τρία γένη ἦν ᾠδῶν, τὸ μὲν ὑπὸ πάντων ᾀδόμενον καθ' ἕνα ἑξῆς. τὸ δὲ ὑπὸ
τῶν συνετωτάτων ὡς ἔτυχε τῇ τάξει. ὃ δὴ καλεῖται σκολιόν. ὡς δ' ἀριστόξενος καὶ φύλ
λις ὁ μουσικὸς, ὅτι ἐν τοῖς γάμοις περὶ μίαν τράπεζαν πολλὰς κλίνας τιθέντες πα
ρὰ μέρος ἑξῆς μυρρίνας ἔχοντες ᾖδον γνώμας. καὶ ἐρωτικὰ σύντονα. ἡ δὲ περίοδος
σκολιὰ ἐγίνετο, διὰ τὴν θέσιν τῶν κλινῶν. σκολιὸν ὑπόμνημα ἔγραψε τυραννίων περὶ
τοῦ σκολιοῦ μέτρου, ὃ προσετέθη αὐτῷ ὑπὸ γαΐου καίσαρος. σκολιὸν τὸ ῥᾴδιον κα
τὰ αὐτὴν τὴν φράσιν, μέλος τι ὀλιγόστιχον. τὰ δὲ καρικὰ αὐλήματα, καὶ μέλη θρηνῳδη
ἐστίν. ἢ καρικῶν βαρβαρικῶν. δουλικῶν. Μελίτου. προείρηται ὅτι τραγικὸς ποιη
τὴς ὁ μέλιτος. οὗτος δέ ἐστιν ὁ σωκράτην γραψάμενος. κωμῳδεῖται δὲ καὶ ὡς ψυ
χρὸς ἐν τῇ ποιήσει. καὶ ὡς πονηρὸς τὸν τρόπον. χορειῶν δὲ μικροπρεπῶν καὶ οἷα ἐν τοῖς
χοροῖς ᾄδουσι. λύριον δὲ τὴν μικρὰν λύραν ὥστε ψάλλει τὰ εὐριπίδου. Ἡ τοῖς ὀ/
στράκοις. ἀντὶ τοῦ λύρας ὄστρακα τινὲς λαμβάνοντες, ἦχον μὲν ἀπετέλουν, πάνυ
δὲ ἄσημον. διαβάλλει δὲ ἐν τούτῳ εὐριπίδην ὡς κακὸν μελοποιόν. Ἄλλως. Ὅτι
στρέφονταί τινες ἀγροῖκοι κρούοντες τοῖς ὀστράκοις, καὶ προσᾴδοντες τῷ κρούματι
τῷ διὰ τούτων. λέγεται δὲ εἰς τὴν ὑψιπύλην ταῦτα. ἢ καθόλου τὴν μοῦσαν αὐτοῦ. ἀπὸ
λέγει γὰρ, δεῦρο μοῦσα εὐριπίδου. δίδυμος δὲ προστίθησιν ὅτι εἰώθασιν ἀντὶ λύρας,
κογχύλια καὶ ὀστράκια κρούοντες, εὐρύθμως τινὰ ἦχον ἀποτελεῖν τοῖς ὀρχουμέ
νοις. Αὕτη ποθ' ἡ μοῦσα. ἐν ἐρωτήσει λέγει. αὕτη οὐκ αἰσχροποιεῖ. καὶ ἐν σφηξὶν ἐπὶ
τῆς αὐλητρίδος, μέλλουσαν ἤδη λεσβιεῖν τοὺς ξυμπότας. λεσβιάζειν δὲ τὸ παρα/
νόμως σημαδάζειν καὶ μολύνειν τὸ στόμα. διεβάλλοντο γὰρ ἐπὶ αἰσχρότητι οἱ λέσ/

τετραγμένως. Ὅπως ἀχαιῶν. ᾠδὴ κώλων ιδʹ. ὧν τὸ πρῶτον ἰαμβικὸν ἐφθημιμερές. τὸ βʹ ἀναπαιστικὸν ἐφθημιμερές. τὸ δʹ δακτυλικὸν πενθημιμερές. τὸ εʹ φερεκράτειον. τὸ ζʹ τρίμετρον ἀκατάληκτον. τὸ ηʹ δίμετρον. τὸ ιʹ ὅμοιον τῷ αʹ. τὸ ιαʹ ὅμοιον τῷ βʹ. τὸ ιβʹ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον ἐπιμεμιγμένον διτροχαίῳ. ἐπὶ τῷ τέλει παράγραφος. τὸ δ' ἐφύμνιον δίμετρον ἰαμβικὸν ἀκατάληκτον, εὐριπίδης δὲ ὁμοίως τὰ αἰσχύλου χορικὰ μέλη, διεσπαρμένα λέγει ἐξ ἄλλων καὶ ἄλλων δραμάτων.

Αι. ὅπως ἀχαιῶν Δίθρονον κράτος ἑλλάδος ἥβας
τὸ φλαττοθραττοφλαττόθρατ
σφίγγα δυσαμεριᾶν
πρύτανιν κύνα πέμπει
τὸ φλαττοθραττοφλαττόθρατ.
ξὺν δορὶ καὶ χερὶ πράκτορι
θούριος ὄρνις.
τὸ φλαττοθραττοφλαττόθρατ.
κυρεῖν παρασχών.
ἰταμαῖς κυσὶν ἀεροφοίτοις.
τὸ φλαττοφλαττόθρατ.
τὸ συγκλινές τ' ἐπ' αἴαντι.
τὸ φλαττοφλαττόθρατ.

Δι. τί τὸ φλαττόθρατ τοῦτ' ἐστὶν ἐκ μαραθῶνος, ἢ πόθεν συνέλεξας ἱμονιοστρόφου μέλη

Αι. ἀλλ' οὖν ἐγὼ μὲν ἐς τὸ καλὸν ἐκ τοῦ καλοῦ

τοῦτο μέν τοι ἐξ ἀγαμέμνονος. δίθρονον δὲ κράτος αὐτόν τε καὶ τὸν μενέλαον. ἀκμὴν δὲ τὴν νεότητα. ἔστι δὲ ἀναπαιστικόν. Τὸ φλαττοθραττόφλατ. τοῦτο λέγει. χλευάζων ὡς ἀσυνετοποιοῦντα. τινὲς δὲ σημειοῦνται αὐτό. ὅτι τῶν διορθωτῶν τινές, περιεῖλον τὰς τοιαύτας ἐν τοῖς μέλεσι προσθέσεις. Σφίγγα δὲ δυσαμερίαν. τὴν ἐπὶ κακῷ χρόνῳ θηβαίοις φανεῖσαν. παρόχον θανάτου. ταῦτα δὲ ἐκ σφιγγὸς αἰσχύλου. θούριος δὲ ὄρνις ἡ πολεμοῦσα θηβαίους τύχη. τὸ δὲ ξὺν δορὶ καὶ χειρὶ πράκτορι ἐξ ἀγαμέμνονος ἐκ τῆς συνεπείας τοῦ κύριός εἰμι θροεῖν. ἐπειδὴ δὲ οἱ τῆς σφιγγὸς πόδες λεοντώδεις ἦσαν, ὁ δὲ τοῦ λέοντος ὄνυξ δίκην δόρατος ἐμπήγνυται, διὰ τοῦτο δόρατι εἴκασεν. Ἰταμαῖς κυσί. τοῖς ἁρπακτικοῖς ἀετοῖς. ταῦτα δὲ ὡς ἀσαφῆ παρέλθε. Τὸ συγκλινές τ' ἐπ' αἴαντι. τιμαχίδας φησὶ τοῦτο ἐν ἐνίοις μὴ γράφεσθαι. ἀπολλώνιος δέ φησιν ἐκ θρῃσσῶν αὐτὸ εἶναι. Τί τὸ φλαττόθρατ. σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ιγʹ. ἐπὶ τῷ τέλει παράγραφος. Ἐκ μαραθῶνος. ἐπεὶ ὁ φλέως, ἄνθος ἐν μαραθῶνι οὗ οἱ ἰσθμιονῖκαι φλόμον. διὰ τὸ ἔχειν ἐν ἀρχῇ παρόμοιον τῷ φλέῳ, τὸ φλαττό. ὡς ἐν μαραθῶνι οὖν τοῦ φλέω πολλοῦ ὄντος, ἑλώδης γὰρ ὁ τόπος. Ἱμονιοστρόφου. οἷον σχοινιοστρόφου μέλη. ἃ εἰκὸς ἄνδρα ὕδατα ἀρυόμενον ᾄδειν. ἱμωνιὰ γὰρ καλεῖται, τὸ τοῦ ἀντλήματος σχοινίον ἤτοι ὡς ἐπὶ τὸ πλεῖστον ἐν τοῖς φρέασιν ἀνιμώμενον. καὶ τὸ ᾆσμα ὃ ᾄδουσιν οἱ ἀθληταί, ἱμαῖον. Καλλίμαχος. ἀείδει καί πού τις ἀνὴρ ὑδατηγὸς ἱμαῖον. Ἀλλ' οὖν ἐγὼ μὲν ἐς τὸ καλὸν μετήνεγκα. ἐκ γὰρ τοῦ κιθαρῳδικοῦ καλοῦ ὄντος, εἰς τὸ τραγῳδικὸν μετήνεγκα. ἵνα μὴ εἰς ταὐτὰ τοῖς ὑπὸ φρυνίχου μέλε

καταληκτικὸν εἰς συλλαβὴν, ὃ καλεῖται αἰολικόν· διὰ τὸ ἴαμβον ἔχειν τὸν πρῶτον πόδα. τὸ δʹ δίμετρον καὶ τὸ εʹ δίμετρα ὑπερκατάληκτα. τὸ γʹ πενθημιμερές. τὸ δʹ ἑφθημιμερὲς ὃ καλεῖται ὡς εἴρηται παροιμιακόν. ἐπὶ τῷ τέλει παράγραφος. τοῦ δὲ συστήματος τὰ κῶλα ὅμοια πέντε. πλὴν τοῦ τετάρτου τῷ δʹ δευτέρῳ τῆς ᾠδῆς ὁμοίου. ἑφθημιμερῆ. ἐπὶ τῷ τέλει παράγραφος. τῆς δὲ ἑξῆς ᾠδῆς τὰ κῶλα ἕξ. τὸ πρῶτον δακτυλικὸν ἑφθημιμερές. τὸ δʹ ἀναπαιστικὸν ἑφθημιμερές. τὸ γʹ καὶ τὸ ϛʹ ὡς τὸ βʹ τῆς ἀντῳδῆς. τὸ δʹ δακτυλικὸν τετράμετρον. ἔστι δὲ τὸ κῶλον ἐκ χοροῦ ὡς αἰέγνων ἐν ἀγαμέμνονι δράματι αἰσχύλου. τὸ εʹ ὅμοιον δίμετρον. ἔστι δὲ ἡμιτελὲς ἐνταῦθα. τὸ γὰρ τέλειόν ἐστιν αἴσιον ἀνδρῶν. ἐκ τελέων. ὅπερ ἑφθημιμερές ἐστιν. ἐπὶ τῷ τέλει παράγραφος. ἑξῆς δὲ σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ἕξ. ἐπὶ τῷ τέλει παράγραφος. ὁ μέντοι ἕκτος στίχος ἔντυπον οὐ κεῖται. οἷον ἴθι δὴ πέραινε.

ἰὴ κόπον οὐ πελάθεις ἐπ' ἀρωγάν.
ἑρμᾶν μὲν πρόγονον
τιόμεν γένος οἱ περὶ λίμναν.
ἰὴ κόπον οὐ πελάθεις ἐπ' ἀρωγάν.
δι. δύο σοι κόπω αἰσχύλε τούτω.
ευ. κύδιστ' ἀχαιῶν ἀτρέως
πολυκοίρανε μάνθανέ μου παῖ.
ἰὴ κόπον οὐ πελάθεις ἐπ' ἀρωγάν.
δι. τρίτος αἰσχύλε σοι κόπος οὗτος.
ευ. εὐφαμεῖτε μελισσονόμοι
δόμον ἀρτέμιδος πέλας οἴγειν.
ἰὴ κόπον οὐ πελάθεις ἐπ' ἀρωγάν.
κύριός εἰμι θροεῖν ὅσιον κράτος
αἴσιον ἀνδρῶν.
ευ. ἰὴ κόπον οὐ πελάθεις ἐπ' ἀρωγάν,
δι. ὦ ζεῦ βασιλεῦ τὸ χρῆμα τῶν κόπων ὅσον.
ἐγὼ μὲν οὖν ἐς τὸ βαλανεῖον βούλομαι.
ὑπὸ τῶν κόπων γὰρ τὼ νεφρὼ βουβωνιῶ.
ευ. μὴ πρίν γ' ἀκούσῃς χἀτέραν στάσιν μελῶν
ἐκ τῶν κιθαρῳδικῶν νόμων εἰργασμένην.
αι. ἴθι δὴ πέραινε. καὶ κόπον μὴ προστίθει.

Ἑρμᾶν μὲν πρόγονον. ἐκ τῶν αἰσχύλου ψυχαγωγῶν. προφέρεται δὲ οὐκ ἐφεξῆς τὰ αὐτὰ μέλη αὐτοῦ. ἀλλ' ὡς ἔτυχεν ἄλλο ἄλλοθεν. καὶ ἐπιλέγει τὸ ἰὴ κόπον κυρίως ἐκείνων τῶν στίχων ὂν τοῦ φθιῶτ' ἀχιλλεῦ. Κύδιστ' ἀχαιῶν. ἀρίσταρχος καὶ ἀπολλώνιος, ἐπισκέψασθε πόθεν εἰσί. τιμαχίδας δὲ ἐκ τηλέφου αἰσχύλου. ἀσκληπιάδης δὲ ἐξ ἰφιγενείας. Εὐφημεῖτε μελισσονόμοι. οἱ διαιέμοντες τὰ τῆς πόλεως. ἢ οἰκοῦντες ἐν τῇ πόλει. Ἰὴ κόπον. τινὲς ἀξιοῦσι τὸ ἰὴ ψιλοῦν. ὅταν μὴ ᾖ ἐν ὕμνῳ. ἐκεῖ γὰρ δασύνεται. ὡς ἐφυμνίῳ δὲ κέχρηται ἰὴ κόπον οὐ πελάθεις. Ὅσιον κράτος. ἐν τοῖς πλείστοις αἴσιον ἀσκληπιάδης τὸ ὅσιον. ἔστι δὲ ἐξ ἀγαμέμνονος αἰσχύλου. βουβωνιῶ δὲ φλεγμαίνω τοὺς βουβῶνας. Στάσιν μελῶν. στάσιμον μέλος, ὃ ᾄδουσιν ἱστάμενοι οἱ χορευταί. Ἐκ τῶν κιθαρῳδικῶν νόμων. τιμαχίδας γράφει, ὡς τῷ ὀρθίῳ νόμῳ κεχρημένου τοῦ αἰσχύλου. καὶ αὐ/

Τί ποτε πρᾶγμα. κορωνὶς καὶ εἴσθεσις χοροῦ ἐπῳδική, διὰ τὸ κεῖσθαι μετὰ τὴν κορωνίδα. ἐνίοτε δὲ καὶ μετὰ τὴν διπλῆν ὡς πολλάκις εἴρηται. ἐκ κώλων ἀντιπαστικῶν μεμιγμένων ἐπιτρίτοις καὶ διιάμβοις καὶ διτροχαίοις δέκα. ὧν τὸ πρῶτον δίμετρον ἀκατάληκτον ἐκ πεντασυλλάβου ἀντιπαστοῦ ὃ καλεῖται γλυκώνειον. τὸ δεύτερον ἐκ παίωνος τετάρτου καὶ διιάμβου ὅμοιον. τὸ τρίτον τοῦ πρώτου προσόδος πεντασυλλάβου καταληκτικόν. τὸ τέταρτον ἐκ διτροχαίου καὶ ἐπιτρίτου τρίτου ἀκατάληκτον. τὸ ε΄ ὅμοιον τῷ β΄. τὸ ἕκτον ἐκ διτροχαίου καὶ ἐπιτρίτου πρώτου. τὸ ζ΄ ὅμοιον τῷ β΄. τὸ η΄ καταληκτικὸν ἐκ διτροχαίου καὶ βακχείου ἢ ἀμφιβράχεος. τὸ θ΄ ὅμοιον τῷ β΄. τὸ ι΄ ὅμοιον τῷ ὀγδόῳ. ἑξῆς δὲ ἐν εἰσθέσει στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, γ΄. ἑξῆς δὲ τίθεται κῶλον ἰαμβικὸν ἑφθημιμερὲς τὸ διαύλιον προσαυλεῖ. ὅπερ κατὰ παρεπιγραφὴν τίθεται, ὥσπερ καὶ τὸ αὐλεῖ τις ἔνδον καὶ ἄλλα πολλά. φασὶ δὲ διαύλιον λέγεσθαι ὅταν ἡσυχίας πάντων γενομένης ἔνδον ὁ αὐλητὴς ᾄσῃ ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς, κορωνίς. τοῦ δὲ συστήματος παράγραφος.

ΣΤΡΟΦΗ.

ΧΟ. τί ποτε πρᾶγμα γενήσεται
φροντίζειν γὰρ ἔγωγ' ἔχω,
τίν' ἄρα μέμψιν ἐποίσει
ἀνδρὶ τῷ πολὺ πλεῖστα δὴ
καὶ κάλλιστα μέλη ποιή-
σαντι τῶν ἔτι νῦν ὄντων.
θαυμάζω γὰρ ἔγωγ' ὅπῃ,
μέμψεταί ποτε τοῦτον
τὸν Βακχεῖον ἄνακτα
καὶ δέδοιχ' ὑπὲρ αὐτοῦ.
ΕΥ. πάνυ γε μέλη θαυμαστὰ δείξει δὴ τάχα.
εἰς ἓν γὰρ αὐτοῦ πάντα τὰ μέλη ξυντεμῶ.
ΔΙ. καὶ μὴν λογιοῦμαι ταῦτα τῶν ψήφων λαβών.

ΔΙΑΥΛΙΟΝ ΠΡΟΣΑΥΛΕΙ.

ΕΥ. Φθιῶτ' Ἀχιλεῦ, τί ποτ' ἀνδροδάικτον ἀκούων

Τὸν Βακχεῖον ἄνακτα. τὸν αἰσχύλον. οἷον τὸν ἄριστον μελοποιόν. τὸν ὥσπερ ἐκβακχεύοντα ἐν τῇ ποιήσει. ὁ γὰρ εὐριπίδης ἔρχεται ἐπὶ τὰ μέλη αὐτοῦ. Εἰς ἓν γὰρ αὐτοῦ πάντα. εἰς τὸ αὐτὸ τέλος περατοῦμαι πάντα. ἐπεὶ κἀκεῖνος εἶπεν, ἀπὸ ληκυθίου σου τοὺς προλόγους. οἷον ἀποφθερῶ. Καὶ μὴν λογιοῦμαι. ἀπαριθμήσω. ψηφίσω. ἐπεὶ προεῖπεν εὐριπίδης εἰς ἓν συγκεφαλαιώσομαι αὐτοῦ πάντα τὰ μέλη. ἐρατοσθένης δέ, τῶν ψυδαπικῶν τινὰς γράφειν, τῶν ψήφων λαβών, ἵνα καὶ τὰ πεπλασμένα δράματα. ἐν οἷς τὸ παράπαν τοῦτο ἠγνόηται, δοκῇ μὴ σεσολοικίσθαι. Φθιῶτ' ἀχιλεῦ. τοῦτο ἀπὸ τῶν πρέσβεων πρὸς ἀχιλλέα αἰσχύλος πεποίηκεν. ἔστι δὲ ἐκ μυρμιδόνων. προφέρει δὲ εὐριπίδης εἰς γέλωτα ἄλλα ἐξ ἄλλων δράματα συναγαγών. διὸ καὶ ἀταφῆ μίαν ἁρμονίαν οὐκ ἔχοντα. οὐκ ἄρα τὰ μὴ ξυνετὰ ζητητέον. ἀνδροδάικτον δὲ τὴν ἀνδρῶν φόνον ποιοῦσαν. τὰ δὲ τοιαῦτα εἴδη καλεῖται ἀλλοιόστροφα ὡς ἡφαιστίων φησίν. ὅσα πάντως διαιρεῖται ἢ κατὰ πρόσωπον ἀμοιβαῖον. ἢ χοροῦ πρὸς ὑποκριτὴν ἀπόκρισιν. ἔστι δὲ τῆς μὲν ᾠδῆς ταύτης τὰ κῶλα ἀναπαιστικά, ε΄. ὧν τὸ πρῶτον τρίμετρον

Ἀπόδος πάσῃ τέχνῃ. ληκύθιον αὐτῷ ἀπόδος. αὐτὶ τῆς ἀπολομένης. ὃ λέγει δὲ λήψει ὀβολοῦ πάνυ καλήν. διὰ τούτων δὲ ὁ διόνυσος ἐμφαίνει, ὡς ἐπειδὴ ἐν τοῖς προλόγοις τοῖς σοῖς ἀποδίδοται ἡ λήκυθος, ὥσπερ δοκεῖς αὐτὴν ὀφείλειν αἰσχύλῳ. οὐκοῦν ἀγοράσας ταύτην ἀπόδος αὐτῷ. Οἰνεύς ποτ' ἐκ γῆς. ἔστι μὲν ἐκ μελεάγρου μέσα καὶ αὐτὰ τῆς ἀρχῆς. ἡ δὲ ἀρχὴ τοῦ δράματος. καλυδὼν μὲν ἥδε γαῖα πελοπίας χθονός. τὸ δὲ λεῖπον τοῦ στίχου. οὐκ ἔθυσεν ἀρτέμιδι. οἰνεὺς δὲ τῆς αὐτοῦ γῆς εὐφορησάσας ἀπαρχὰς πᾶσι θεοῖς θύσας, ἀρτέμιδι οὐκ ἔθυσεν. ὅθεν ὀργισθεῖσα σῦν μέγαν κατὰ τῆς χώρας αὐτοῦ ἀφῆκεν ἵνα ταύτην λυμήνηται. ἐπὶ τοῦτον τὸν κάπρον τοὺς ἀρίστους ἐκ τῆς ἑλλάδος πάντας συνεκάλεσαν. καὶ τῷ κρατύναντι τὸν θῆρα τὴν δορὰν ὡσὰν ἀριστεῖον ὑπέσχετο. συνελθούσης δὲ μετὰ τῶν ἀριστέων καὶ ἀταλάντης τῆς σχοινέως, κοινῇ τὸν κάπρον περιέστησαν ἅπαντες. ἐπεὶ δὲ δ' ὁ δέρας τῇ ἀταλάντῃ πρώτῃ τὸν κάπρον τοξευσάσῃ ὁ μελέαγρος χαριζόμενος ἔδωκε, καὶ οἱ πρὸς μητρὸς αὐτοῦ θεῖοι, ἀγανακτοῦντες, εἰ τὰ ἀριστεῖα γυνὴ λήψεται, τὸ δέρας μὲν ἀταλάντης ἀφείλοντο, ὑπὸ δὲ μελεάγρου ἐφονεύθησαν, ὀλίγον ὕστερον καὶ αὐτοῦ τῆς μητρὸς ἐπὶ τῇ ἀναιρέσει τῶν ἀδελφῶν λυπηθείσης καὶ ἀναψάσης τὸν μοιρῶν δαλόν, ἀποθανόντος. Πρὸς τοδὶ γὰρ εἰπάτω. εἰς ὃ μέλλω λέγειν, εἰπάτω τὸ ληκύθιον. ἀκόλουθον τοῦ μὲν εἰπὲ προστακτικοῦ, τὸ τρίτον εἰπάτω, ὡς λεγέτω. τοῦ δὲ εἶπον, εἰπάτω. ὡς γράψον γραψάτω. Ζεὺς ὡς λέλεκται. μελανίππης τῆς σοφῆς ἡ ἀρχή. Ἐρεῖ γὰρ ληκύθιον ἀπώλεσεν, περιήκε τὸν διόνυσον, ὥσπερ ὑφαρπάζοντα τὸν λόγον. Ὥσπερ τὰ σῦκα. σῦκα λέγει, τὰ σαρκώματα, ἢ ἕλκος γινόμενον ἐπὶ τοῖς ὀφθαλμοῖς, σῦκον καλούμενον. Ἄλλως. τὰ ὑπὸ τῶν ἰατρῶν συκώματα λεγόμενα, σῦκα ἔφη. σῦκον εἶδος παθήματος ἀεὶ ἐν τοῖς ὀφθαλμοῖς καὶ οὐκ ἐν ἄλλῳ τινὶ μέρει τοῦ σώματος φυόμενον. ὃ φασιν ἰδιωτικῶς συκάμινον.

	ἀλλ' ὦγαθ' ἔτι καὶ νῦν ἀπόδος πάσῃ τέχνῃ.
	λήψει γὰρ ὀβολοῦ, πάνυ καλήν γε κἀγαθήν.
δι.	μὰ τὸν Δί' οὔπω γ'· ἔτι γὰρ εἰσί μοι συχνοί.
	οἰνεύς ποτ' ἐκ γῆς. αι. ληκύθιον ἀπώλεσεν.
δι.	ἔασον εἰπεῖν πρῶθ' ὅλον με τὸν στίχον
	οἰνεύς ποτ' ἐκ γῆς πολύμετρον λαβὼν στάχυν,
	θύων ἀπαρχάς. αι. ληκύθιον ἀπώλεσε.
δι.	μεταξὺ θύων, καὶ τίς αὔθ' ὑφείλετο.
δι.	ἔα αὐτὸν ὦ τᾶν. πρὸς τοδὶ γὰρ εἰπάτω.
	Ζεὺς ὡς λέλεκται τῆς ἀληθείας ὕπο,
δι.	ἀπολεῖ σ'· ἐρεῖ γὰρ ληκύθιον ἀπώλεσεν.
	τὸ ληκύθιον γὰρ τοῦτ' ἐπὶ τοῖς προλόγοισί σου,
	ὥσπερ τὰ σῦκ' ἐπὶ τοῖσιν ὀφθαλμοῖς ἔφυ.
	ἀλλ' ἐς τὰ μέλη πρὸς τῶν θεῶν αὐτοῦ τραποῦ.
	καὶ μὴν ἔχω γ' ὡς αὐτὸν ἀποδείξω κακὸν
	μελοποιὸν ὄντα καὶ ποιοῦντα ταὔτ' ἀεί.

Ταὔτ' ἀεί. τοῦτο ἢ πρὸς τὸν αἰσχύλον δι' εὐριπίδην ἢ πρὸς εὐριπίδην δι' αἰσχύλον, εἰ καὶ εὐριπίδης τὸν λόγον προήρπασε τὸ δὲ ταὔτ' ἀεί, αὐτὶ τοῦ ταὐτά. διὰ δὲ τὴν συναλοιφὴν ἀναβιβάζεται ὁ τόνος. οὐδ' εἰ δὲ προσιωπᾶν ὡς ἐν τῷ τοιούτῳ εἴρηται.

ἄροι τάχα ἐκ θ' ἐν Εὐβοίας δὲ ἡ ἀρχή. διαβάλλει δὲ τὴν ὁμοειδίαν τῶν εἰσβολῶν τῶν δραμάτων. Ὑφέσθαι δὲ, ὑποχωρῆσαι εἶξαι. ὑποχαλάσαι. ἐνδοῦναι.

Κ ἀπέχου. τουτέστι σκόπει μὴ τοιοῦτόν τι εἴπῃς, ὡς προσαφθῆναι τούτῳ δύνασθαι λήκυθον. Σιδώνιόν ποτ' ἄστυ. σιδὼν πόλις ἐστὶ φοινίκης. ἔστι δὲ τοῦ β φρίξου εὐριπίδου ἡ ἀρχή. τὸ λεῖπον δὲ τοῦ στίχου. ἵκετ' ἐς θήβης πέδον. οὐ χεῖρον δ' ἂν εἴη καὶ τὸν κάδμῳ δοθέντα χρησμὸν ὡς πρὸ τῇ ἐπεισόδιον εἰσενεγκεῖν οὕτως ἔχοντα.

ΔΙ. Εὐριπίδη. ΕΥ. τί ἐστιν. ΔΙ. ὑφέσθαι μοι δοκεῖς.
τὸ ληκύθιον γὰρ τοῦτό γε πνευσεῖται πολύ.
ΕΥ. οὐδ' ἂν μὰ τὴν Δήμητρα, φροντίσαιμί γε.
νυνὶ γὰρ αὐτοῦ τοῦτό γ' ἐκκεκόψεται.
ΔΙ. ἴθι δὴ λέγ' ἕτερον, κἀπέχου τῆς ληκύθου.
ΕΥ. σιδώνιόν ποτ' ἄστυ κάδμος ἐκλιπὼν
ἀγήνορος παῖς. ΑΙ. ληκύθιον ἀπώλεσεν.
ΔΙ. ὦ δαιμόνι' ἀνδρῶν. ἀποπρίω τὴν λήκυθον
ἵνα μὴ διακναίσῃ τοὺς προλόγους ἡμῶν. ΕΥ. τὸ τί.
ἐγὼ πρίωμαι τῷδ'. ΔΙ. ἐὰν πείθῃ γ' ἐμοί.
ΕΥ. οὐ δῆτ' ἐπεὶ πολλοὺς προλόγους ἕξω λέγειν,
ἵν' οὗτος οὐχ ἕξει προσάψαι λήκυθον.
πέλοψ ὁ ταντάλειος εἰς πῖσαν μολὼν
θοαῖσιν ἵπποις. ΑΙ. ληκύθιον ἀπώλεσεν.
ΔΙ. ὁρᾷς, προσῆψεν αὖθις αὖ τὴν λήκυθον.

Φ ράζεο δή μοι μῦθον ἀγήνορος ἐκγενὲ κάδμε.
Ἠ' οὖς ἐγρόμενος προλιπὼν ἴθι πυθῶνάδ' αὖ.
Ἠ' βάδ' ἔχων ἐσθῆτα καὶ ἀγρανίην μετὰ χερσί.
Τὴν διά τε φλεγύων καὶ φωκίδος εὖτ' ἂν ἵκηαι.
Βουκόλον ἠδὲ βόας κηριτρεφέος πελάγοντος.
Ἔνθα δὲ προσπελάσας ξυλλάμβανε βοῦν ἐρίμυκον.
Ἥ κεν δὴ νώτοισι μετ' ἀμφοτέροισιν ἔχησι.
Λευκὸν σῆμ' ἑκάτερθε περίτροχον ἠύτε μήνης.
Τὴν δὲ σὺ ἡγεμόνα σχεῖν ἀτρέπτοιο κελεύθου.

Σ ῆμα δέ τοι ἐρέω μάλ' ἀριφραδές. οὐδέ σε λήσει. Ἔνθα κέ τοι πρώτιστα βοὸς κέρας ἀγραύλοιο. Ἥξῃ τε κλίνῃ τε πέδῳ γόνυ ποιήεντι, Καὶ τότε τὴν μὲν ἔπειτα μελαμφύλλῳ χθονὶ ῥέξειν. Ἁγνῶς καὶ καθαρῶς. γαίῃ δ' ὅταν ἱερὰ ῥέξῃς, Ὄχθῳ ἐπ' ἀκροτάτῳ κτίζειν πόλιν εὐρυάγυιαν. Δεινὸν ἐνυαλίου πέμψας φύλακ' ἄϊδος εἴσω. Καὶ σύ γ' ἐπ' ἀνθρώπους ὄνομα κλυτὸς ἔσσεαι αὖθις.

Α' θανάτων λεχέων αἰτήσας ὄλβιε κάδμε. Ἀποπρίω τὴν λήκυθον. ἤτοι πρὸς εὐριπίδην ὁ λόγος. ὅτι ἀγόρασον παρ' αἰσχύλου τὴν λήκυθον. ἢ πρὸς αἰσχύλον, ὥστε πωλῆσαι. ὡσεὶ εἶπεν ὤνησαι αὐτὴν καὶ ἀπόδος αὐτῇ τῆς ἀπολωλυίας. τὸ δὲ πρίω ἐν ἴσῳ τῷ ὤνησαι. ἀλλ' ἐν τοῖς ἑξῆς φησιν εὐριπίδης, ἐγὼ πρίωμαι τῷδε. ὡς τι ματαία ἡ παρατήρησις τῷ συμμάχῳ. Ἐγὼ πρίωμαι τῷδε. ἀντὶ τοῦ ἀγοράσω τὴν λήκυθον καὶ ἀποδώσω τὴν ἀπολωλυῖαν. δῆλον γεγονὸς ὅτι τὸ ἀποπρίω, ἀντὶ τοῦ ἐξώνησαι. λέγει δὲ τοῦτο. ἐπειδὴ συνεχῶς ἐκεῖνος, ληκύθιον ἀπώλεσεν. τὸ δὲ πρίωμαι, ἴσον τῷ ὠνήσωμαι. Θοαῖσιν ἵπποις. τὸ λοιπὸν τοῦ ἰάμβου, οἰνομάου γαμεῖ κόρην. ἰφιγενείας δὲ τῆς ἐν ταύροις ἡ ἀρχὴ αὕτη.

χειμῶνος ὄντος· τοῦτο ἔχει διασκευὴν παρ' αὐτῷ. τὸ χειμῶνος ὄντος. τὸ δὲ ἐν ὀστράκῳ. ἐπεὶ ἐν χύτραις ἐξετίθεσαν τὰ παιδία, διὸ καὶ χυτρίζειν ἔλεγον. ἤρρησε δὲ ἀπὸ τοῦ ἔρρειν τοῦ σημαίνοντος τὸ μετὰ φθορᾶς ἐλθεῖν. Μετ' Ἐρασινίδου. εἷς τῶν περὶ Ἀργινούσας στρατηγησάντων δυστυχὴς ἀπέθανε δὲ δημοσίᾳ, οὗτός τε καὶ οἱ ὑπομείναντες. Θράσυλλος. Περικλῆς. Ἀριστοκράτης. Διομέδων, ὥς φησι Φιλόχορος. Δημήτριος δέ φησι, πρὶν ἢ πρότερόν τι γενέσθαι τῷ Ἐρασινίδῃ τὸ καὶ κλοπῆς κατηγορηθῆναι τῶν περὶ Ἑλλήσποντον χρημάτων.

Ποιεῖς γὰρ οὕτως. οὕτω γὰρ τοὺς λόγους ποιεῖς, ὡς πάντα προσδέχεσθαι. ὅτι μικρὸν περιττὸν τὸ κῳδάριον. οὐχ οὕτω δὲ θύλακον, ἀλλ' ἐάν τις ποιήσῃ θυλάκιον, ἐγχωρεῖ. Αἴγυπτος ὡς ὁ πλεῖστος ἔσπαρται λόγος. Ἀρχελάου αὕτη ἐστὶν ἡ ἀρχή, ὥς τινες ψευδῶς, οὐ γὰρ φέρεται νῦν Εὐριπίδου λόγος οὐδεὶς τοιοῦτος, οὐ γάρ ἐστι φησὶν Ἀρίσταρχος τοῦ Ἀρχελάου, εἰ μὴ αὐτὸς μετέθηκεν ὕστερον. ὁ δὲ Ἀριστοφάνης τὸ ἐξ ἀρχῆς κείμενον εἶπε. Διόνυσος ὃς ὑψιπύλης ἡ ἀρχή. καθαπτὸς δὲ αὐτὴ τοῦ πυρφόρος. φωτεινὸς διὰ τὰς δᾶδας. Ἄλλως. Καθαπτός. Τιμαχίδας, ὡς παρακλητός. καθειμένος. τὸ δέ, ἑτέρως λεγόμενον, δηλοῖ τὸ οἷον καθάπτεσθαι. πηδᾷ χορεύων, προσήρτησε τὸ ληκύθιον ἀπώλεσεν. τὸ δὲ λοιπὸν τοῦ ἰάμβου. παρθένοις σὺν Δελφίσιν.

χειμῶνος ὄντος ἐξέθεσαν ἐν ὀστράκῳ·
ἵνα μὴ 'κτραφεὶς, γένοιτο τοῦ πατρὸς φονεύς.
εἶθ' ὡς Πόλυβον ἤρρησεν οἰδῶν τὼ πόδε.
ἔπειτα γραῦν ἔγημεν αὐτὸς ὢν νέος.
καὶ πρός γε τούτοις, τὴν ἑαυτοῦ μητέρα.
εἶτ' ἐξετύφλωσεν αὑτόν. δι. εὐδαίμων ἄρ' ἦν.
εἰ κἀστρατήγησέν γε μετ' Ἐρασινίδου.
εὐ. ληρεῖς. ἐγὼ δὲ τοὺς προλόγους καλῶς ποιῶ.
αἰ. καὶ μὴν μὰ τὸν Δί'. οὐ κατ' ἔπος γέ σου κνίσω.
τὸ ῥῆμ' ἕκαστον. ἀλλὰ σὺν τοῖσι θεοῖς
ἀπὸ ληκυθίου σου τοὺς προλόγους διαφθερῶ.
εὐ. ἀπὸ ληκυθίου σὺ τοὺς ἐμούς; αἰ. ἑνὸς μόνου.
ποιεῖς γὰρ οὕτως, ὥστ' ἐναρμόττειν ἅπαν
καὶ κῳδάριον. καὶ ληκύθιον. καὶ θυλάκιον.
ἐν τοῖς ἰαμβείοισι. δείξω δ' αὐτίκα.
εὐ. ἰδοὺ σὺ δείξεις, αἰ. φημί. δι. καὶ δὴ χρὴ λέγειν.
εὐ. Αἴγυπτος ὡς ὁ πλεῖστος ἔσπαρται λόγος,
ξὺν παισὶ πεντήκοντα ναυτίλῳ πλάτῃ
Ἄργος κατασχών. αἰ. ληκύθιον ἀπώλεσεν.
δι. τουτὶ τί ἦν τὸ ληκύθιον. οὐ κλαύσεται;
λέγ' ἕτερον αὐτῷ πρόλογον, ἵνα καὶ γνῶ πάλιν.
εὐ. Διόνυσος, ὃς θύρσοισι καὶ νεβρῶν δοραῖς
καθαπτὸς ἐν πεύκαισι Παρνασὸν κάτα
πηδᾷ χορεύων. αἰ. ληκύθιον ἀπώλεσεν.
δι. οἴμοι πεπλήγμεθ' αὖθις ὑπὸ τῆς ληκύθου.
εὐ. ἀλλ' οὐδὲν ἔσται πρᾶγμα. πρὸς γὰρ τουτονὶ
τὸν πρόλογον, οὐχ ἕξει προσάψαι λήκυθον.
οὐκ ἔστιν ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ.
ἢ γὰρ πεφυκὼς ἐσθλὸς, οὐκ ἔχει βίον,
ἢ δυσγενὴς ὤν. αἰ. ληκύθιον ἀπώλεσεν.

Ἢ δυσγενὴς ὤν. τὸ λοιπὸν τοῦ ἰάμβου, πλουσίαν

ἀροῖ

σκ' ἴθι ἶρι ταχεῖα. Ἐλθεῖν μὲν εἰς γῆν. ἐλθεῖν μὲν εἰς τὴν πόλιν. ὅτῳ μετῇ τινὶ τῆς πατρίδος. ὅταν δὲ φυγὰς ἔλθῃ. τότε καὶ κατέρχεται. ἰδίως δὲ ἐπὶ τῶν φυγάδων, χρῶνται τῷ κατέρχεται. Οὐ πιθών. διὰ τοῦ ι γραπτέον καὶ ὀξυτονητέον τὸ πιθών. ἵνα ᾖ δευτέρου ἀορίστου καὶ μέλλοντος. τοῦτο δὲ ὅτι οἱ τὰς δίωξεις ποιοῦντες, οἱ αὐτοὶ τοὺς ὑπομείναντας ἐπανάγουσι. Σὺ δ' ἐς τὸ κακόν. ἀντὶ τοῦ παρατήρει τὸ κακῶς λεγόμενον τὸ δὲ τύμβου δ' ἐπ' ὄχθῳ. τὰ ἑξῆς τοῦ λόγου.

αἰ. ἐλθεῖν μὲν ἐς γῆν ἔσθ' ὅτῳ μετῇ πάτρας·
χωρὶς γὰρ ἄλλης συμφορᾶς ἐλήλυθε.
φεύγων δ' ἀνὴρ, ἥκει τε καὶ κατέρχεται.
δι. εὖ νὴ τὸν ἀπόλλω. τί σὺ λέγεις εὐριπίδη.
εὐ. οὔ φημι τὸν ὀρέστην κατελθεῖν οἴκαδε.
λάθρα γὰρ ἦλθεν οὐ πιθὼν τοὺς κυρίους.
δι. εὖ νὴ τὸν ἑρμῆν. ὅτι λέγεις δ' οὐ μανθάνω.
εὐ. πέραινε τοίνυν ἕτερον. δι. ἴθι πέραινε σὺ
αἰσχύλ' ἀνύσας. σὺ δ' ἐς τὸ κακὸν ἀπόβλεπε.
αἰ. τύμβου δ' ἐπ' ὄχθῳ τῷδε κηρύσσω πατρὶ
κλύειν ἀκοῦσαι. εὐ. τοῦθ' ἕτερον αὖθις λέγει.
κλύειν ἀκοῦσαι, ταυτὸν ὂν σαφέστατα.
δι. τεθνηκόσι γὰρ ἔλεγεν ὦ μοχθηρὲ σὺ
οἷς οὐδὲ τρὶς λέγοντες ἐξικνούμεθα.
αἰ. σὺ δὲ πῶς ἐποίεις τοὺς προλόγους. εὐ. ἐγὼ φράσω.
κἄν που δὶς εἴπω ταυτὸν, ἢ στοιβὴν ἴδῃς
ἐνοῦσαν ἔξω τοῦ λόγου, κατάπτυσον.
δι. ἴθι δὴ λέγ'. οὐ γάρ μοὐστὶν. ἀλλ' ἀκουστέα.
τῶν σῶν προλόγων τῆς ὀρθότητος τῶν ἐπῶν.
εὐ. ἦν οἰδίπους τὸ πρῶτον εὐτυχὴς ἀνήρ.
αἰ. μὰ τὸν δί'. οὐ δῆτ' ἀλλὰ κακοδαίμων φύσει
ὅν τινά γε πρὶν μὲν ἢ φῦναι ἀπόλλων ἔφη,
ἀποκτενεῖν τὸν πατέρα πρὶν καὶ γεγονέναι.
πῶς οὗτος ἦν τὸ πρῶτον εὐτυχὴς ἀνήρ.
εὐ. εἶτ' ἐγένετ' αὖθις ἀθλιώτατος βροτῶν.
αἰ. μὰ τὸν δί' οὐ δῆτ'. οὐ μὲν οὖν ἐπαύσατο.
πῶς γάρ. ὅτε δὴ πρῶτον μὲν αὐτὸν γενόμενον

Ἐξικνούμεθα. ἀκουσθῆναι δυνάμεθα. Κἄν που δὶς εἴπω ταυτόν. κἂν τὸ ἐλάχιστον ῥῆμα ἢ περιττὸν εὕρῃς καὶ παρέλκον ἐν τῷ λόγῳ ἀπὸ τῆς στοιβῆς τῶν φορτίων. Ἦν οἰδίπους. ἐξ ἀντιγόνης εὐριπίδου. ἔστι δὲ ἀρχὴ τοῦ δράματος. Ἀποκτενεῖν τὸν πατέρα. παρὰ τὰ εὐριπίδου ἐν φοινίσσαις ἃ χρησμῷ ἀπὸ οἰδίποδος καὶ λαΐου. μὴ σπεῖρε τέκνων ἄλοκα δαιμόνων βίᾳ. εἰ γὰρ τεκνώσεις παῖδ' ἀποκτενεῖ σ' ὁ φύς. καὶ ὁ χρησμὸς δὲ οὕτως ἔχει. Λαΐε λαβδακίδη παίδων γένος ὄλβιον αἰτεῖς. Δώσω τοι φίλον υἱὸν ἀτὰρ πεπρωμένον ἐστί. Σοῦ παιδὸς χείρεσσι λιπεῖν φάος. ὡς γὰρ ἔνευσε Ζεὺς κρονίδης πέλοπος στυγεραῖς ἀραῖσι πιθήσας. Οὗ φίλον ἥρπασας υἱὸν ὁ δ' ηὔξατό σοι τάδε πάντα.

Πρὶν καὶ γεγονέναι. ἢ τὸ φῦναι καὶ γεγονέναι ἐκ παραλλήλου ἐστὶν, ἢ σύναπτε τὸ φῦναι πρὸς τὸ ἔφυ. τὸ δὲ γεγονέναι πρὸς τὸ ἀποκτενεῖν. εἰ δέ τις εἴποι ὡς μετὰ τὸ γεννηθῆναι καὶ εἰς ἀνδρὸς ἡλικίαν ἐλθεῖν τοῦτον ἀπέκτεινεν, ἐροῦμεν ὅτι ἐξ οὗ ἐσπάρη μετὰ τῶν ἀνηρημένων ἦν ὁ λάϊος. τὸ δὲ ἐπαύσατο. οὐκ ἐπὶ τοῦ ἀεὶ δυστυχοῦντος ἀλλ' ἐπὶ τοῦ πρόσθεν μὲν εὐδαιμονοῦντος ὕστερον δὲ προσκεκρουκότος τῇ τύχῃ.

ἐπιφέρει Διόνυσος· ὀλίγον γέ μοι μέλει. Ἀλλ᾽ ὀλίγον γέ μοι οὐ μέλει μου ὑβριζομένου· ἀλλὰ καταφρονῶ σου. οὐ φροντίζω φησὶ κἂν λέγῃς ὅτι ἥμαρτεν. Οὐ δῆτ᾽ ἐκεῖνον. τὸν δόλιον δηλονότι. ἀλλὰ τὸν ἐριούνιον. πρὸς τὴν ἐκδοχὴν τοῦ ἐριουνίου. ὅτι οὐκ ὀρθῶς· Ἀρίσταρχος δέ φησι τῶν ἐξηγήσεων τοῦ στίχου τὴν προτέραν, κατὰ τὸ ποιητὴν εἶναι. ἣν ὁ Εὐριπίδης ἔφη. τὰ τοῦ ἐμοῦ πατρὸς κράτη ἐποπτεύων. ὃς κρατηθεὶς ὑπὸ τῶν περὶ Αἴγισθον ἀπώλετο. Τοῦτο κέκτηται. τὸ εἶναι χθόνιον ὡς νῦν ὁ πατήρ. ἢ τὸ ἐποπτεύειν τὰ καταχθόνια. Οὕτω γ᾽ ἂν εἴη πρὸς πατρὸς τυμβωρύχος. οἷον τυμβωρύχου πατρός. ἐπειδὴ ὁ χθόνιος λέγεται μὲν καὶ ὁ γηγενής· λέγεται δὲ καὶ ὁ ὑπὸ γῆν. τὰ δ᾽ ὑπὸ γῆν οἱ κλέπται ζητοῦσι. τοῦτο δὲ ὁ Διόνυσος λέγει. ὑποτεμνόμενος τὸν Εὐριπίδου λόγον, διὰ τὸ ὑπερσπουδάζειν. ὡς Ἀρίσταρχός φησιν. οὕτω γὰρ εἰκότως Αἰσχύλος ἐπήγαγε Διόνυσε πίνεις οἶνον οὐκ ἀνθοσμίαν. Διόνυσε πίνεις οἶνον. οἷον κραιπαλᾷς ἱκανῶς καὶ ληρεῖς. σκληρὸν οἶνον πιών, ἀλλ᾽ οὐχ ἡδύν· οὐδὲ ἁπαλόν. οἷον μεθύεις. ἵνα μὴ κατ᾽ ἐρώτησιν λέγῃ, ἀλλ᾽ ἐν ἀποφάσει. ἀνθοσμίας δὲ ὁ εὐώδης· ἐγκειμένου τοῦ ἄνθους καὶ τῆς ὀσμῆς καὶ γέγονε παράγωγον ἀνθόσμιος καὶ ἀνθοσμίαν. ἢ οὕτω· ἃ οὐκ ἀποδέχῃ ἀκούεις φληνάφους φημὶ καὶ λόγους ἀπρεπεῖς. Σὺ δ᾽ ἐπιτήρει τὸ βλάβος. ὡς βλάψας αὐτὸν ἐν τῇ κατηγορίᾳ ἢ τὸ ἁμάρτημα. Μάκτραν. εἰ δὲ βούλει κάρδοπον. εἴρηται ἐν τοῖς πρόσθεν, ὅτι τοῦτο ἀρχαιότερόν ἐστι, τὸ τὰς παραλήψεις τῶν λέξεων τῶν ἰσοδυναμουσῶν ἐπιτηδεύειν. Πλάτων ποιητὴς ὁρᾶτε τὸ δίπερες ὑπόγαιον. ὡς τὸ παρ᾽ Ὁμήρῳ. Ἕκτορα δ᾽ ἐκ βελέων ὕπαγε Ζεὺς ἔκ τε κονίης. ἔκ τ᾽ ἀνδροκτασίης ἔκ θ᾽ αἵματος ἔκ τε κυδοιμοῦ. καὶ τὸ Μηκέτι παῖδε φίλω πολεμίζετε μηδὲ μάχεσθον. πρὸς Ἕκτορα καὶ Αἴαντα μονομαχοῦντας ὑπὸ τοῦ Ἰδαίου κήρυκος εἰρημένον. καὶ τὸ Μνηστῆρες δ᾽ ἄρα Τηλεμάχῳ θάνατόν τε μόρον τε ἤρτυον. καὶ τὸ βάσκ᾽ ἴθι οὖλε ὄνειρε. καὶ βα´

αὐτοῦ βιαίως ἐκ γυναικείας χερὸς
δόλοις λαθραίοις, ταῦτ᾽ ἐποπτεύειν ἔφη;
Αἰ. οὐ δῆτ᾽ ἐκεῖνον, ἀλλὰ τὸν ἐριούνιον,
ἑρμῆν χθόνιον προσεῖπε. κἀδήλου λέγων,
ὅτι πατρῷον τοῦτο κέκτηται γέρας.
Ευ. ἔτι μεῖζον ἐξήμαρτες, ἢ γὼ βουλόμην.
εἰ γὰρ πατρῷον τὸ χθόνιον ἔχει γέρας,
Δι. οὕτω γ᾽ ἂν εἴη πρὸς πατρὸς τυμβωρύχος.
Αἰ. Διόνυσε πίνεις οἶνον οὐκ ἀνθοσμίαν.
Δι. λέγ᾽ ἕτερον αὐτῷ. σὺ δ᾽ ἐπιτήρει τὸ βλάβος.
Αἰ. σωτὴρ γενοῦ μοι σύμμαχός τ᾽ αἰτουμένῳ.
ἥκω γὰρ εἰς γῆν τήνδε καὶ κατέρχομαι.
Ευ. δὶς ταὐτὸν ἡμῖν εἶπεν ὁ σοφὸς Αἰσχύλος.
Δι. πῶς δίς; Ευ. σκόπει τὸ ῥῆμ᾽· ἐγὼ δέ σοι φράσω.
ἥκω γὰρ ἐς γῆν φησι, καὶ κατέρχομαι.
ἥκειν δὲ, ταὐτόν ἐστι τῷ κατέρχομαι.
Δι. νὴ τὸν Δί᾽. ὥσπερ γ᾽ εἴ τις εἴποι γείτονι
χρῆσον σὺ μάκτραν. εἰ δὲ βούλει κάρδοπον.
Αἰ. οὐ δῆτα τοῦτό γ᾽ ὦ κατεστωμυλμένε
ἄνθρωπε ταὔτ᾽ ἔστ᾽ ἀλλ᾽ ἑτέρως ἔχον.
Ευ. πῶς δή; δίδαξον γάρ με καθ᾽ ὅ τι δὴ λέγεις.

τὰ δεξιά. δεξιοὺς νομίζουσι τοὺς ἐστρατευμένους καὶ ἐπαίνου ἀξίους. τοὺς δὲ διαδιδράσκοντας τὰς στρατείας, φιληδόνους εἶναι καὶ συκοφάντας. ἢ τὸ ἐναντίον ἵνα ἢ πάντες οἱ ἀμαθεῖς, ἔξω ἐστρατευμένοι εἰσίν. Αἱ φύσεις δ' ἄλλως. ἐν εἰρωνείᾳ λέγει. Παρηκόνηνται. παρωξυμμένοι εἰσὶν οἱ θεαταὶ δηλονότι. ἐκ μεταφορᾶς τῶν ξιφῶν. ἃ περ ἀκονῶσιν εἰς μάχην ἐρχόμενοι οἱ ἄνθρωποι. οἰκειοῦται δὲ ἐνταῦθα ὁ ἀριστοφάνης τοὺς θεατάς. Καὶ μὴν ἐπ' αὐτούς. κορωνὶς ἑτέρα εἰσιόντων τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρλβ'. ὧν τελευταῖος μελοποιὸν ὄντα καὶ ποιοῦντα ταῦτ' ἀεὶ ἐπὶ τῇ πόλει κορωνίς. Τοῦ δεξιοῦ. ἀντὶ τοῦ δεξίου ἐν εἰρωνείᾳ δὲ τοῦτό φησι. Ἐξ ὀρεστίας. τετραλογίαν φέρουσι τὴν ὀρεστίαν αἱ διδασκαλίαι. ἀγαμέμνονα χοηφόρους. εὐμενίδας. πρωτέα σατυρικόν. ἀρίσταρχος καὶ ἀπολλώνιος τριλογίαν λέγουσι χωρὶς τῶν σατυρικῶν. Πατρῷ' ἐποπτεύων. τὸ πατρῷα κεκίνηκε τὴν ἀμφιβολίαν. ἤτοι γὰρ τὴν ἐμοῦ πατρὸς ὀρέστης φησίν, ἢ τὰ καθ' ἅδου λέγει πατρῷα κράτη τοῦ ἑρμοῦ καθὸ καὶ χθόνιος ὁ ἑρμῆς ὁ ἐκ πατρὸς ἔχων τὰς ἐν τῷ κόσμῳ βασιλείας ἐπιτηρεῖν. δέον δὲ εἰπεῖν πατρόθεν, πατρῷα εἶπε πρὸς τὸ κράτη. δῆλον δὲ ἐκ τοῦ πατρῷον τοῦτο κέκληται γέρας. Σωτὴρ γενοῦ μοι. ἐπὶ τοῦ παρόντος ἀγῶνος ὃν ἀγωνίζομαι θέλων τιμωρῆσαι τῷ πατρί. Ἀλλ' ἢ τρία. ἔξωθεν προσληπτέον τὸ ἔπη ἢ ἰαμβεῖα. Προσοφείλων. χρεώστης αὐτῷ καὶ ἑτέρων μέμψιν πρὸς τῇ προτέρᾳ ἢ τιμωρηθῆναι. Ὁρᾷς ὅτι ληρεῖς. ὁ αἰσχύλος πρὸς τὸν διόνυσον. ὡς ἀπατωμένου ὑπὸ εὐριπίδου. διό

βιβλίον τ' ἔχων ἕκαστος μανθάνει τὰ δεξιά.
αἱ φύσεις δ' ἄλλως κράτισται.
νῦν δὲ καὶ παρηκόνηνται.
μηδὲν οὖν δείσητον. ἀλλὰ
πάντ' ἐπέξιτον θεατῶν γ' οὕνεχ', ὡς ὄντων σοφῶν.

δι. καὶ μὴν ἐπ' αὐτοὺς τοὺς προλόγους σου τρέψομαι.
ὅπως τὸ πρῶτον τῆς τραγῳδίας μέρος,
πρώτιστον αὐτοῦ βασανιῶ τοῦ δεξιοῦ.
ἀσαφὴς γὰρ ἦν ἐν τῇ φράσει τῶν πραγμάτων.

δι. καὶ ποῖον αὐτοῦ βασανιεῖς. ευ. πολλοὺς πάνυ.
πρῶτον δέ μοι τὸν ἐξ ὀρεστίας λέγε.

δι. ἄγε δὴ σιώπα πᾶς ἀνήρ. λέγ' αἰσχύλε.

αι. ἑρμῆ χθόνιε. πατρῷ' ἐποπτεύων κράτη
σωτὴρ γενοῦ μοι σύμμαχός τ' αἰτουμένῳ.
ἥκω γὰρ εἰς γῆν τήνδε καὶ κατέρχομαι.

δι. τούτων ἔχεις ψέγειν τι; ευ. πλεῖν ἢ δώδεκα.

δι. ἀλλ' οὐδὲ πάντα ταῦτά γ' ἔστ' ἀλλ' ἢ τρία.

ευ. ἔχει δ' ἕκαστον εἴκοσί γ' ἁμαρτίας.

δι. αἰσχύλε παραινῶ σοι σιωπᾶν. εἰ δὲ μή,
πρὸς τρισὶν ἰαμβείοισι, προσοφείλων φανεῖ.

αι. ἐγὼ σιωπῶ τῷδέ γ'; δι. ἂν πείθῃ γ' ἐμοί.

ευ. εὐθὺς γὰρ ἡμάρτηκεν οὐράνιόν γ' ὅσον.

αι. ὁρᾷς ὅτι ληρεῖς. δι. ἀλλ' ὀλίγον γέ μοι μέλει.

αι. πῶς φῄς μ' ἁμαρτεῖν. ευ. αὖθις ἐξ ἀρχῆς λέγε.

αι. ἑρμῆ χθόνιε πατρῷ' ἐποπτεύων κράτη.

ευ. οὔκουν ὀρέστης τοῦτ' ἐπὶ τῷ τύμβῳ λέγει
τῷ τοῦ πατρὸς τεθνεῶτος. αι. οὐκ ἄλλως λέγω.

ευ. πότερ' οὖν τὸν ἑρμῆν ὡς ὁ πατὴρ ἀπώλετο.

Λαμπάδα δ' οὐδείς. ἔδει γὰρ λαμπαδουχεῖν ἐν Ἡφαιστείοις καὶ Παναθηναίοις. ἐν Ἀθήναις δέ ἐστι γυμνάσιον, ἐν ᾧ ἐλαμπαδηφόρουν οἱ γυμνάζοντες. ὁ τῆς λαμπάδος δὲ ἀγών, τρίτον Ἀθήνησιν ἐγίνετο, Προμήθεια, Ἡφαίστεια, Παναθήναια. Ἀπεφαυάνθην. ἐξηράνθην. Κᾆθ' οἱ Κεραμῆς. οἱ τὸν Κεραμεικὸν οἰκοῦντες. δῆμος δὲ Ἀθηναίων. ἐκεῖ γὰρ ὁ ἀγὼν ἤγετο. καὶ ἐν τούτῳ ἄλλοι τῶν λαμπαδηφόρων τε καὶ πλείστων ἄντων τοῖς ἐσχάτοις πλατειῶν. τοῦτο δέ φησιν Εὐφρόνιος. ὅτι ἀπὸ τοῦ ἐν τῷ Κεραμεικῷ ἀγῶνος τῆς λαμπάδος, καὶ τοὺς ὑστάτους τρέχοντας ἀπὸ τῶν ἀγροικίων τύπτεσθαι πλατείαις ὑπὸ τῶν νεανίσκων χερσί. καὶ λέγονται αἱ τοιαῦται κεραμεικαὶ πληγαί. ἐμφαίνεται δὲ ἀπὸ τούτων, ὅτι παρὰ τοῖς Κεραμεικοῖς τοῦτο μάλιστα γίνεται πύλαις ἢ ταῖς εἰσόδοις τοῦ ἀγῶνος. Ταῖς πλατείαις. ταῖς πλατείαις χερσὶ δηλονότι. ἢ μάστιξιν. ἢ οὕτω λεγομέναις κεραμεικαῖς πληγαῖς τε καὶ πλατείαις.

Λαμπάδα δ' οὐδεὶς οἷός τε φέρειν.
ὑπ' ἀγυμνασίας ἔτι νυνί.

Δι. μὰ Δί' οὐ δῆθ', ὥστ' ἀπεφαυάνθην,
Παναθηναίοισι γελῶν ὅτε δὴ
βραδύς ἄνθρωπός τις ἔθει κύψας,
λευκός. πίων. ὑπολειπόμενος.
καὶ δεινὰ ποιῶν. κᾆθ' οἱ Κεραμῆς
ἐν ταῖσι πύλαις, παίουσ' αὐτοῦ
γαστέρα. πλευράς. λαγόνας. πυγήν.
ὁ δὲ τυπτόμενος ταῖσι πλατείαις
ὑποπορδόμενος
φυσῶν τὴν λαμπάδ' ἔφευγε. ἔρχεται.

Χο. μέγα τὸ πρᾶγμα. πολὺ τὸ νεῖκος ἁδρὸς ὁ πόλεμος
χαλεπὸν οὖν ἔργον διαιρεῖν, ὅταν ὁ μὲν τείνῃ βιαίως,
ὁ δ' ἐπαναστρέφειν δύνηται κἀπερείδεσθαι τορῶς.
ἀλλὰ μὴ 'ν ταὐτῷ κάθησθον.
εἰσβολαὶ γάρ εἰσι πολλαί. χἄτεραι σοφισμάτων.
ὅ,τι περ οὖν ἔχετον ἐρίζειν,
λέγετον. ἔπιτον. ἀνὰ δ' ἔρετον
τά, τε παλαιὰ καὶ τὰ καινά.
κἀποκινδυνεύετον λεπτόν τι καὶ σοφὸν λέγειν
εἰ δὲ τοῦτο καταφοβεῖσθον, μή τις ἀμαθία προσῇ,
τοῖς θεωμένοισιν, ὡς τὰ
λεπτὰ μὴ γνῶναι λεγόντοιν,
μηδὲν ὀρρωδεῖτε τοῦθ' ὡς οὐκέθ' οὕτω ταῦτ' ἔχει.
ἐστρατευμένοι γάρ εἰσι

Μέγα τὸ πρᾶγμα. ἡ παροῦσα στροφὴ καὶ ἀντιστροφή, κώλων ἐστὶν ἑκατέρα δέκα τῶν μεμιγμένων τριβράχεσιν. ὧν τὰ α. δ'. ς. ι. τροχαϊκὰ τετράμετρα καταληκτικά. τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα. τὸ μέντοι ζ' τῆς στροφῆς ἀναπαιστικὸν πενθημιμερὲς καὶ τὸ ἑξῆς. δίμετρον βραχυκατάληκτον. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς, παράγραφος. τῆς δὲ ἀντιστροφῆς κορωνίς. Μὴ 'ν ταὐτῷ κάθησθον. μὴ ἐν τῷ αὐτῷ τόπῳ καὶ λόγῳ καὶ τρόπῳ τὰς ἀπολογίας ποιεῖσθε. Εἰσβολαί. ἀφορμαί. ἀρχαὶ φιλονεικίαι. εἴσοδοι. Κἀποκινδυνεύετον. ἀποκινδυνεύοντες λέγετε. τουτέστι τολμῶντες. Οὐκέθ' οὕτω. ὡς τῶν Ἀθηναίων πρότερον οὐχ ὁμοίως γεγυμνασμένων ἐν τοῖς ποιητικοῖς σοφισμοῖς.

ῥωννύντας. οὐ γὰρ ἴδιόν τι λέγουσιν αἱ περὶ τῆς παράλου τριήρους νεὼς ἅπερ ἦν οὗτοι ᾖσαν. Ῥυππαπαί. ἐπίφθεγμα ναυτικόν. παρασκευαστικόν. ἢ παρακελευσματικὸν κωπηλασίας. Τῷ θαλάμακι. τῷ κωπηλατοῦντι ἐν τῷ κάτω μέρει τῆς τριήρους. οἱ δὲ θαλάμακες, ὀλίγον ἐλάμβανον μισθόν. διὰ τὸ κολοβαῖς χρῆσθαι κώπαις παρὰ τὰς ἄλλας τρεῖς τάξεις τῶν ἐρετμῶν. ὅτι μᾶλλον ἐγγύς εἰσι τοῦ ὕδατος. ἦσαν δὲ τρεῖς τάξεις τῶν ἐρετμῶν. καὶ ἡ μὲν κάτω, θαλαμῖται. ἡ δὲ μέση, ζυγῖται. ἡ δὲ ἄνω, θρανῖται. θρανίτης οὖν, ὁ πρὸς τὴν πρύμναν· ζυγίτης ὁ μέσος. θαλαμίτης ὁ πρὸς πρῷραν. καὶ θαλαμία ὀπὴ, δι᾽ ἧς ἐξέρχεται ἡ κώπη. οἷον ὤν, παρὰ τῷ συγκαθέδρῳ παραδεῖν. Μινθῶσαι. διοσφρᾶναι. δυσοσμίας ἀναπλῆσαι. μιαίναι. μίνθη δὲ, τὸ παρ᾽ ἡμῖν ἡδύοσμον. οἱ δὲ τὸν θύμον ἢ κόπρον λέγουσιν.

οὐκ ἠπίσταντ᾽, ἀλλ᾽ ἢ μᾶζαν καλέσαι, καὶ ῥυππαπαῖ εἰπεῖν.
Δι. νὴ τὸν Ἀπόλλω· καὶ προσπαρδεῖν γ᾽ ἐς τὸ στόμα τῷ θαλάμακι
καὶ μινθῶσαι τὸν ξύσσιτον. κἀκβὰς, τινὰ λωποδυτῆσαι·
νῦν δ᾽ ἀντιλέγει· κοὐκέτ᾽ ἐλαύνει.]
καὶ πλεῖ δευρὶ καὖθις ἐκεῖσε.
Αἰ. ποίων δὲ κακῶν οὐκ αἴτιός ἐστ᾽·
οὐ προαγωγοὺς κατέδειξ᾽ οὗτος;
καὶ τικτούσας ἐν τοῖς ἱεροῖς.
καὶ μιγνυμένας τοῖσιν ἀδελφοῖς,
καὶ φασκούσας οὐ ζῆν τὸ ζῆν,
κᾆτ᾽ ἐκ τούτων, ἡ πόλις ἡμῶν
ὑπὸ γραμματέων ἀνεμεστώθη,
καὶ βωμολόχων δημοπιθήκων.
ἐξαπατώντων τὸν δῆμον ἀεί.

Νῦν δ᾽ ἀντιλέγει. ἔκθεσις τῆς διπλῆς εἰς δύο περιόδους διῃρημένης. ἐκ κώλων ὁμοίων ἀναπαιστικῶν κγ΄ ὧν τὰ μὲν πρῶτα δύο κῶλα δίμετρα ὄντα ἀκατάληκτα τῇ διπλῇ συνάπτεται. τῆς δὲ πρώτης περιόδου εἰσὶ κῶλα ια΄. ἀκατάληκτα πλὴν τοῦ τελευταίου ἑφθημιμεροῦς. ὁμοίως δὲ καὶ τὰ τῆς δευτέρας ἔχει. τὸ μέντοι παρὰ τέλευτον ἀναπαιστική ἐστι βάσις. ἐπὶ τῷ τέλει τῆς μὲν πρώτης περιόδου παράγραφος. τῆς δὲ δευτέρας δύο διπλαῖ· ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου. ἡ δὲ κατὰ τὸ τέλος. Καὶ τικτούσας. ἔγραψε γὰρ τὴν Αὔγην ὠδίνουσαν ἐν ἱερῷ. Τοῖσιν ἀδελφοῖς. ὡς αἱ τοῦ Αἰόλου θυγατέρες.

Καὶ φασκούσας οὐ ζῆν. ὅτι παρὰ τὰ ἐκ Φρίξου Εὐριπίδου. τίς δ᾽ οἶδ᾽ εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν. τὸ κατθανεῖν δὲ ζῆν. ἀλλ᾽ ὀλίγων ἐστὶ Φρίξος. οὕτως δὲ, ὡς παρὰ γυναικὸς αὐτὸ λέγεσθαι εἰρημένον. ἰδεῖν οὖν χρὴ, μήποτε τὸ αὐτὸ ἂν ἢ παρ᾽ Εὐριπίδῃ γυνὴ λέγῃ. καὶ μήποτε τὸ ὑπὸ τῆς τροφοῦ ἐν Ἱππολύτῳ λεγόμενον. ἀλλ᾽ ὅτι τοῦ φίλτερον ἄλλο σκότος ἀμπίσχον κρύπτει νεφέλαις. καὶ τὰ ἑξῆς. Ἀνεμεστώθη, ἀνεπληρώθη, τῶν γραμματεύειν βουλομένων καὶ μὴ στρατεύεσθαι. ἢ καὶ ἐπὶ κακοπραγμοσύνῃ τοὺς γραμματεῖς διαβάλλει. ὄλεθρος γραμματεὺς συκοφαντῶν. ἄλλως. ἐπειδὴ ἀφέντες τὰ γενναῖα πράγματα φορολόγοι γεγένηνται. οἱ δὲ μετιόντες τὸν λόγον, κέρδους ἕνεκα τούτοις εἶπον τό. δημοπιθήκους δὲ τοὺς πανούργους περὶ τὸν δῆμον ὡς τὸ ζῶον ὁ πίθηκος. ἢ τοὺς τὸν δῆμον κολακεύοντας καὶ πείθοντας.

Κώνεια πίνειν. ὅτι πληθυντικῶς εἶπε κώνεια. ἕνεκα τοῦ πολλὰς εἶναι. ἦν δὲ καὶ ἑνικῶς εἰπεῖν. τάχα μέντοι μᾶλλον, πρὸς τὸ περὶ γυναικῶν ἱστορούμενον. πολλαὶ γὰρ τὴν σθενέβοιαν μιμησάμεναι πιοῦσαι κώνειον ἐτελεύτησαν. Τοῖς μὲν γὰρ παιδαρίοισιν. ὁ γὰρ διδάσκαλος τοῖς μικροῖς. ὁ δὲ ποιητὴς, τοῖς ἡβῶσι. Καὶ παρνασῶν. ὄρος φωκίδος. οἷον ῥήματα παραπλήσια ὄρεσιν ἢ τὸ λυκαβηττοὺς καὶ παρνασῶν μεγέθη αἰσχύλος ἔν τινι τῶν αὐτοῦ πεποίηκε δραμάτων. ἔστι δὲ λυκαβηττὸς ὄρος ἀθηνῶν. Γνωμῶν καὶ διανοιῶν. σημειωτέον, ὅτι πρὸς γενικὴν ἔταξε τὸ ἴσα. Ἁμοῦ χρηστῶς. τὸ λέγειν τοὺς ἥρωας μείζω ῥήματα καὶ πρὸς τὰς μεγίστας διανοίας. καὶ τοὺς λόγους τοιούτους προάγειν. Ῥάκι' ἀμπισχ. διὰ οἰνέα καὶ τήλεφον καὶ τοὺς ἄλλους. Περιειλόμενος συστραφεὶς ἢ περιειληθείς.

κώνεια πίνειν, αἰσχυνθείσας διὰ τοὺς σοὺς βελλεροφόντας.
εὐ. πότερον δ' οὐκ ὄντα λόγον τοῦτον περὶ τῆς φαίδρας ξυνέθηκα;
αἰ. μὰ δί'. ἀλλ' ὄντ'· ἀλλ' ἀποκρύπτειν χρὴ τὸ πονηρὸν τόν γε ποιητὴν,
καὶ μὴ παράγειν· μηδὲ διδάσκειν. τοῖς μὲν γὰρ παιδαρίοισιν,
ἐστὶ διδάσκαλος, ὅστις φράζει. τοῖς δ' ἡβῶσι ποιηταί
πάνυ δὴ χρηστὰ λέγειν ἡμᾶς. εὐ. ἢν οὖν σὺ λέγῃς, λυκαβηττοὺς
καὶ παρνασῶν ἡμῖν μεγέθη, τοῦτ' ἐστὶ τὸ χρηστὰ διδάσκειν;
ὃν χρὴ φράζειν ἀνθρωπείως; αἰ. ἀλλ' ὦ κακόδαιμον ἀνάγκη,
μεγάλων γνωμῶν, καὶ διανοιῶν, ἴσα καὶ τὰ γε ῥήματα τίκτειν.
κἄλλως εἰκὸς τοὺς ἡμιθέους, τοῖς ῥήμασι μείζοσι χρῆσθαι.
καὶ γὰρ τοῖς ἱματίοις ἡμῶν χρῶνται πολὺ σεμνοτέροισιν
ἁμοῦ χρηστῶς καταδείξαντος διελυμήνω σύ. εὐ. τί δράσας,
αἰ. πρῶτον μὲν τοὺς βασιλεύοντας, ῥάκι' ἀμπισχὼν, ἵν' ἐλεεινοὶ
τοῖς ἀνθρώποις φαίνοιντ' εἶναι. εὐ. τοῦτ' οὖν ἔβλαψα; τί δράσας
αἰ. οὔκουν ἐθέλει γε τριηραρχεῖν πλουτῶν οὐδεὶς, διὰ ταῦτα.
ἀλλ' ἐν ῥακίοις περιειλόμενος, κλάει καὶ φησὶ πένεσθαι.
δι. νὴ τὴν δήμητρα. χιτῶνά γ' ἔχων οὔλων ἐρίων ὑπένερθε
κἂν ταῦτα λέγων ἐξαπατήσῃ, παρὰ τοὺς ἰχθῦς ἀνέκυψεν
αἰ. εἶτ' αὖ λαλιὰν ἐπιτηδεῦσαι καὶ στωμυλίαν ἐδίδαξας.
ἣ 'ξεκένωσε τάς τε παλαίστρας καὶ τὰς πυγὰς ἐνέτριψε.
τῶν μειρακίων στωμυλλομένων. καὶ τοὺς παράλους ἀνέπεισεν.
ἀνταγορεύειν τοῖς ἄρχουσι. καίτοι τότε γ' ἡνίκ' ἐγὼ 'ζων,

εἴλλειν γὰρ τὸ συνέχειν. Οὔλων ἐρίων. ὁ διόνυσος φησὶν, οἷον ἐνδεδυμένος ἔνδοθεν ἐρίων χιτῶνα. περιείληπται γὰρ ῥάκη προσποιούμενος εἶναι πένης. Παρὰ τοὺς ἰχθῦς ἀνέκυψε. παρὰ τὰ ἰχθυοπώλια. τὸ δὲ τοιοῦτον, ἀττικὸν εὔπολις. περιῆλθεν εἰς τὰ σκόροδα καὶ τὰ κρόμμυα. φησὶν οὖν, ὅτι ἀναφαίνεται περὶ τὰ ἰχθυοπωλεῖα, ἀγορασείων. ἀντὶ τοῦ τρυφῶν, εὑρίσκεται. Στωμυλίαν. σκώμματα κολακείαν. πανουργίαν. Τῶν μειρακίων στωμυλλομένων. ἄπειροι οὔτι ἐκκλησίας. φησὶν ὑπὸ εὐριπίδου γραφέντας, ἐπὶ τὸ λέγειν ὁρμῆσαι. καὶ διατρίβοντα ἐν τῇ ἀγορᾷ πολλοὺς κλᾶσθαι τοὺς ἐραστάς. παράλους δὲ σημαίνει τοὺς κωπηλάτας. πάραλος γὰρ καὶ σαλαμινία, τριήρεις εἰσὶν ἀρχικαί. κοινῶς δὲ παράλους, τοὺς ἐκ τῆς τριή

στι. φέρεται δὲ καὶ ἐπιτάφιον οὕτως ἔχον· εὐμόλπου φίλον υἱὸν ἔχει τὸ φαληρικὸν οὖδας. μουσαῖον, φθίμενον σῶμ' ὑπὸ τῷδε τάφῳ. ἐνταῦθα δὲ καὶ θεραπείας νοσημάτων καταδεῖξαι λέγεται. Ἡσίοδος δέ. ὡς πρώτου ὄντος ἡσιόδου μέμνηται. Χρῆστ' ἐδίδαξε. τινὲς συναλοιφὴν λέγουσι χρηστὰ δὲ ἀντὶ τοῦ χρήσιμα.

Καὶ μὴν οὐ παντακλέα. διαβάλλει τὸν παντακλέα ὡς ἀμαθῆ ἐν τῷ ὁπλίζεσθαι. μέμνηται δὲ τούτου, καὶ εὔπολις ἐν χρυσῷ γένει. παντακλέης σκαιός.

μουσαῖος δ' ἐξακέσεις τε νόσων καὶ χρησμούς. ἡσίοδος δέ,
γῆς ἐργασίας. καρπῶν ὥρας. ἀρότους. ὁ δὲ θεῖος ὅμηρος.
ἀπὸ τοῦ, τιμὴν καὶ κλέος ἔσχε πλὴν τοῦδ' ὅτι χρῆστ' ἐδίδαξε.
τάξεις ἀρετὰς ὁπλίσεις ἀνδρῶν. δι. καὶ μὴν οὐ παντακλέα γε
ἐδίδαξεν ὅμως τὸν σκαιότατον. πρώην γοῦν ἡνίκ' ἔπεμπεν,
τὸ κράνος πρῶτον περιδησάμενος, τὸν λόφον ἤμελλ' ἐπιδήσειν.
αἰ. ἀλλ' ἄλλους τοι πολλοὺς ἀγαθούς. ὧν ἦν καὶ λάμαχος ἥρως.
ὅθεν ἡ 'μὴ φρὴν ἀπομαξαμένη, πολλὰς ἀρετὰς ἐποίησεν.
πατρόκλων. τεύκρων. θυμολεόντων, ἵν' ἐπαίροιμ' ἄνδρα πολίτην.
ἀντεκτείνειν αὑτὸν τούτοις, ὁπόταν σάλπιγγος ἀκούσῃ.
ἀλλ' οὐ μὰ δί' οὐ φαίδρας ἐποίουν πόρνας. οὐδὲ σθενεβοίας.
οὐδ' οἶδ' εἴς ἥν τιν' ἐρῶσαν πώποτ' ἐποίησα γυναῖκα.
εὐ. μὰ δί', οὐ γὰρ ἐπῆν τῆς ἀφροδίτης οὐδέν σοι. αἰ. μηδέ γ' ἐπείη.
ἀλλ' ἐπὶ σοί τοι καὶ τοῖς σοῖσι πολλὴ πολλοῦ 'πικαθοῖτο.
ὥστε γε κ' αὐτόν σε κατ' οὖν ἔβαλεν. δι. νὴ τὸν δία τοῦτό γέ τοι δή.
ἃ γὰρ ἐς τὰς ἀλλοτρίας ἐποίεις αὐτὸς, τούτοισιν ἐπλήγης.
εὐ. καὶ τί βλάπτουσ' ὦ σχέτλι' ἀνδρῶν τὴν πόλιν ἁμαὶ σθενέβοιαι
αἰ. ὅτι γενναίους καὶ γενναίας ἀνδρῶν ἀλόχους, ἀνέπεισας,

Τὸ κράνος πρότου περιδησάμενος δέον ἐπιδήσαντα τὸν λόφον πρῶτον, τὸ κράνος περιθέσθαι. καὶ ὅμηρος ἐμφαίνει τοῦτο. κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκε. δεινὸν δὲ λόφος καθύπερθεν ἔνευε.

Λάμαχος ἥρως. ὁ λάμαχος οὗτος ἄριστος ἦν τὰ πολεμικά. ἦν δὲ ἐπὶ τῶν χρόνων αἰσχύλου καὶ ἀριστοφάνους στρατηγὸς ἀθηναίων. μέμνηται δὲ τούτου καὶ ἐν ἀχαρνεῦσιν. ὅθεν δὲ ἡ γοῦν ἐκ τοῦ ὁμήρου. Ἀντεκτείνειν. αὐτὰ παραδιδόναι. ὁμοιοῦν ἐξισοῦν. Οὐ φαίδρας. δρᾶμα εὐριπίδου. σθενέβοια δὲ, ἣν ὅμηρος ἄντειαν, ἥτις ἠράσθη τοῦ βελλεροφόντου οὐ μὴ ὑπακούοντος κατεψεύσατο πρὸς τὸν ἴδιον ἄνδρα πρῶτον ὡς βιαζομένη. καὶ ὃς ἔπεμψε τοῦτον εἰς τὸν πενθερὸν αὐτοῦ ἀναιρεθησόμενον. ἐλθόντος οὖν ἐκεῖσε βελλεροφόντου καὶ καθαροῦ φανέντος μὴ φέρουσα τὴν αἰσχύνην ἡ σθενέβοια, κωνείῳ ἐχρήσατο. Ὥστε καὶ τόν σε. ἵνα διαβάλῃ τὴν γυναῖκα τοῦ εὐριπίδου. τὸ δὲ ἃ γὰρ εἰς τὰς ἀλλοτρίας ἐποίεις, διχῶς νοητέον. ἢ ὅτι τὰς τῶν ἄλλων μοιχῶν γυναῖκας καὶ αὐτὸς ὑφ' ἑτέρων τοιαῦτα πέπονθας, ἢ ἃ ἐποίεις περὶ τὰς ἑτέρας λέγω δὴ φαίδραν καὶ σθενέβοιαν μοιχευομένας αὐτὰς λέγων, τούτοις ἐπλήγης. αἰτίᾳ τοῦ καὶ αὐτὸς τὴν γυναῖκα μεμοιχεῦσθαι.

Τοὺς ἕπτ' ἐπὶ Θήβας. οἱ Πέρσαι πρότερον δεδιδαγμένοι εἰσὶν, εἶτα οἱ ἕπτ' ἐπὶ Θήβας. νῦν δὲ τὸ ὕστερον προτέρως εἶπε. πλὴν οὐδὲ τῷ ποιητῇ ἐγκλητέον. οὐ γάρ ἐστιν ἀκρίβωσις τὸ τοιοῦτον, οὐδὲ τοῖς ἀπελέγχουσιν αὐτόν. Θηβαίους γὰρ πεποίηκας. δῆλον, ὡς οὐ φίλων ὄντων τοῖς Ἀθηναίοις τῶν Θηβαίων. ἀλλὰ διαφερομένων.

Ἀλλ' ὑμῖν αὔτ' ἐξῆν. ὑμῖν ἐξῆν τοῖς Ἀθηναίοις, μιμήσασθαι. καὶ ἀσκεῖν τὰ πολεμικά.

Οὐκ ἐπὶ τοῦτο. ἀλλ' εἰς ἐγκλήσεις καὶ δικορραφίας. κατηγορεῖ δὲ Ἀθηναίων ἐντεῦθεν.

Τοὺς Πέρσας.

αἰσχύλου δρᾶ/	αἰ.	δρᾶμα ποιήσας ἄρεος μεστόν. δι. ποῖον. αἰ. τοὺς ἕπτ' ἐπὶ θήβας.
μα οὕτω κα/		ὃ θεασάμενος πᾶς ἄν τις ἀνὴρ, ἠράσθη δάϊος εἶναι.
λούμενον τὸ	δι.	τουτὶ μέν σοι κακὸν εἴργασται. θηβαίους γὰρ πεποίηκας
δὲ εἶτα. καὶ		ἀνδρειοτέρους εἰς τὸν πόλεμον. καὶ τούτου γ' οὕνεκα τύπτου.
τὸ μετὰ τοῦτο,	αἰ.	ἀλλ' ὑμῖν αὔτ' ἐξῆν ἀσκεῖν. ἀλλ' οὐκ ἐπὶ τοῦτ' ἐτράπεσθε.
οὐ θέλουσιν ἀ/		εἶτα διδάξας τοὺς πέρσας, μετὰ τοῦτ' ἐπιθυμεῖν ἐδίδαξα
κούειν πρὸς		νικᾶν ἀεὶ τοὺς ἀντιπάλους, κοσμήσας ἔργον ἄριστον.
τὰς διδασ/	δι.	ἐχάρην γοῦν ἡνίκ' ἤκουσα περὶ δαρείου τοῦ τεθνεῶτος.
καλίας. ἀλλ'		ὁ χορὸς δ' εὐθὺς τὼ χεῖρ' ὡδὶ ξυγκρούσας, εἶπεν, ἰαυοῖ.
ἐν ἴσῳ τὸ κα	αἰ.	ταῦτα γὰρ ἄνδρας χρὴ ποιητὰς ἀσκεῖν. σκέψαι γὰρ ἀπ' ἀρχῆς
τὰ τοῦτο ἐδί/		ὡς ὠφέλιμοι τῶν ποιητῶν οἱ γενναῖοι γεγένηνται.
δαξα καὶ τὸ		ὀρφεὺς μὲν γὰρ τελετάς θ' ἡμῖν κατέδειξε φόνων τ' ἀπέχεσθαι.
ἕτερον.		

Ἐχάρην γοῦν ἡνίκ' ἤκουσα. ἐν τοῖς φερομένοις αἰσχύλου πέρσαις, οὔτε δαρείου θάνατος ἀπαγγέλλεται, οὔτε ὁ χορὸς τὰς χεῖρας συγκρούσας λέγει ἰαυοῖ. ὅ ἐστιν ἐπιφώνημα πρὸς τὸν διόνυσον λεγόμενον χαρᾶς ἐπελθούσης. ἀλλὰ τὰ μὲν πράγματα ὑπόκειται ἐν σούσοις. καὶ περίφοβός ἐστιν ἡ μήτηρ ξέρξου ἐξ ὀνείρου τινός. χορὸς δὲ περσῶν γερόντων διαλεγόμενος πρὸς αὐτήν. εἶτα ἄγγελος ἀπαγγέλλων τὴν περὶ σαλαμῖνα ναυμαχίαν καὶ τὴν ξέρξου φυγήν. χαῖρεις δέ φησι τὸ δαρεῖν, ἀντὶ τοῦ ξέρξου. σύνηθες γὰρ τοῖς ποιηταῖς ἐπὶ τῶν υἱῶν τοῖς τῶν πατέρων ὀνόμασι χρῆσθαι. πρὸς ὅν ἐστιν εἰπεῖν. ὅτι ἐν τῷ δράματι λέγεται ξέρξης μὲν αὐτὸς ζῇ, τε καὶ βλέπει φάος. ἡρόδικος δέ φησι διττοὺς γεγονέναι τοὺς θανάτους, καὶ τὴν τραγῳδίαν ταύτην περιέχειν τὴν ἐν πλαταιαῖς μάχην. δοκοῦσι δὲ οὗτοι οἱ πέρσαι, ὑπὸ τοῦ αἰσχύλου δεδιδάχθαι ἐν συρακούσαις, σπουδάσαντος ἱέρωνος, ὥς φησιν ἐρατοσθένης ἐν γ'. περὶ κωμῳδιῶν. ἄλλως. δίδυμος ὅτι οὐ περιέχουσι θάνατον δαρείου οἱ πέρσαι τὸ δρᾶμα. διὸ τινὲς, διττὰς θέσεις. τουτέστι διδασκαλίας τῶν περσῶν φασι. καὶ τὴν μίαν μὴ φέρεσθαι. τινὲς δὲ γράφουσι δαρείου τοῦ ξέρξου. οἱ δὲ ὅτι τοῖς κυρίοις, ἀντὶ πατρωνυμικῶν κέχρηνται. καὶ ὅτι ὁ ξέρξης. οἱ δὲ, ὅτι εἴδωλον δαρείου φθέγγεται, ἐκεῖ τεθνηκότος δηλονότι. Ὀρφεὺς γὰρ τελετάς θ' ἡμῖν. ὅτι πολλὴ δόξα κατεῖχε περὶ ὀρφέως, ὡς τελετὰς συντετάχοι. Μουσαῖος δὲ. τὸν μουσαῖον παῖδα σελήνης. καὶ εὐμόλπου φιλόχορός φησιν. οὗτος δὲ παραλύσεις καὶ τελετὰς καὶ καθαρμοὺς συντέθεικεν. ὁ δὲ σοφοκλῆς, χρησμολόγον αὐτόν φη

ρος ἐλαῶν ἐστι χαλδὸν ἱστάμεναι οὖσαι κατὰ τὸ τέρμα τοῦ δρόμου. καὶ οὐδεὶς ἐπέκεινα τούτων ἐχώρει. ὅστις οὖν πέρα τοῦ δέοντος ἔπραττέ τι, ἔλεγον ὡς ἐκτὸς τῶν ἐλαιῶν φέρεται. ἐπεκράτησε δὲ εἰς παροιμίαν. Χρώμενος τοῖς ἱστίοις. λείπει ὁ καί. ἔστι γὰρ καὶ ἄκροισι χρώμενος. τοῦτο δὲ εἴρηκεν ἐκ μεταφορᾶς τῶν πλεόντων. οἱ ὅταν πνεῦμα σφοδρὸν ἐμπνεύσῃ συστέλλουσι τὰ ἱστία. ἵνα μὴ τῇ βίᾳ τούτου φορᾶς ἀνατραπείη τὸ σκάφος. χαλῶντες δὲ ἤδη κατὰ μικρὸν ἄγουσι τὴν ναῦν εἰς

χρώμενος τοῖς ἱστίοισιν.
εἶτα μᾶλλον μᾶλλον ἄξεις.
καὶ φυλάξεις, ἡνίκ' ἂν τὸ
πνεῦμα λεῖον
καὶ καθεστηκὸς λάβῃς.
ἀλλ' ὦ πρῶτος τῶν ἑλλήνων πυργώσας ῥήματα σεμνὰ
καὶ κοσμήσας τραγικὸν λῆρον, θαρρῶν τὸν κρουνὸν ἀφίει.
αἰ. θυμοῦμαι μὲν τῇ ξυντυχίᾳ. καί μου τὰ σπλάγχν' ἀγανακτεῖ,
εἰ πρὸς τοῦτον δεῖ μ' ἀντιλέγειν. ἵνα μὴ φάσκῃ δ' ἀπορεῖν με,
ἀπόκριναί μοι. τίνος οὕνεκα χρὴ θαυμάζειν ἄνδρα ποιητήν.
εὐ. δεξιότητος καὶ νουθεσίας. ὅτι βελτίους τε ποιοῦμεν
τοὺς ἀνθρώπους ἐν ταῖς πόλεσι. αἰ. τοῦτ' οὖν εἰ μὴ πεποίηκας
ἀλλ' ἐκ χρηστῶν καὶ γενναίων, μοχθηροτάτους ἀπέδειξας,
τί παθεῖν φήσεις ἄξιος εἶναι. δι. τεθνάναι. μὴ τοῦτον ἐρώτα.
αἰ. σκέψαι τοίνυν γ' οἵους αὐτοὺς παρ' ἐμοῦ παρεδέξατο πρῶτον
εἰ γενναίους καὶ τετραπήχεις. καὶ μὴ διαδρασιπολίτας.
μήτ' ἀγοραίους. μήτε κοβάλους ὥσπερ νῦν. μηδὲ πανούργους.
ἀλλὰ πνέοντας δόρυ καὶ λόγχας. καὶ λευκολόφους τρυφαλείας
καὶ πήληκας. καὶ κνημῖδας. καὶ θυμοὺς ἑπταβοείους.
εὐ. καὶ δὴ χωρεῖ τουτὶ τὸ κακόν. δι. κρανοποιῶν αὖ μ' ἐπιτρίψει.
εὐ. καὶ σὺ τί δὴ δράσας, αὐτοὺς οὕτως ἀνδρείους ἐδίδαξας
δι. αἰσχύλε λέξον. μηδ' αὐθάδως σεμνυνόμενος χαλέπαινε,

τὸ πρόσω τοῦ πλοῦ. ἄκροισι δὲ τοῖς ἐν ἄκρῳ δὲ χρώμενοι, δ' πνεῦμα καὶ μὴ κατὰ τὸ μέσον. Πυργώσας. αὐξήσας καὶ μεγάλα εἰπών. Τραγικὸν λῆρον παρ' ὑπόνοιαν ἀντὶ τοῦ τέχνην. τραγικὸν δὲ, ὅτι ἀλλήλους διαβάλλουσι κωμικοὶ καὶ τραγικοί. Ἐκ χρηστῶν καὶ γενναίων. ἀντὶ τοῦ ἀπὸ καλῶν κακοὺς ἐποίησας μοχθηροὺς δὲ ἀντὶ τοῦ αἰσχροτέρους. Τεθνάναι μὴ τοῦτον ἐρώτα, οὐ δὴ τοῦτο συκοφαντητέον ὅτι νεκρὸν λέγει τεθνάναι. ἴσως γὰρ πρὸς τὸ γελοῖον ἀποτείνεται. γελοίου οὖν χάριν εἶπεν. ἤδη γὰρ ἀπέθανε. βραχυπαραληκτεῖ δὲ ἐνταῦθα.

Διαδρασιπολίτας. ἀντὶ τοῦ δειλούς. ἀποδιδράσκοντας τὴν πολιτείαν.

Κοβάλους. ἐκ παραλλήλου κοβάλους καὶ πανούργους, Κρανοποιῶν. κράνη καὶ λόφους διηγούμενος ἀφανιεῖ με τῷ πατάγῳ τῶν ὀνομάτων. Ἑπταβοείους. ἀντὶ τοῦ μεγάλους. ἀπὸ μεταφορᾶς τῆς ἀσπίδος αἴαντος.

F οὗ 'στιν ἡ χύτρα. ταῦτα πάντα μακροπρεπείας δείγματα. Τέθνηκέ μοι. ἀντὶ τοῦ κέκλασθαι ἀπώλετο πρὸς τὰς λέξεις εὐριπίδου. Τῆς ἐλάας. μέχρι καὶ τῶν εὐτελῶν βρωτῶν. ἐλάα δὲ ὁ καρπὸς τῆς ἐλαίας. καταχρηστικῶς δὲ θάτερον ἀντὶ θατέρου λαμβάνεται. Μαμμάκουθοι. ἀρίσταρχος μέν φησιν, ὀνοματοπεποιῆσθαι, πῶς οὖν, δημήτριός φησιν, εἰ μὴ σύνηθες αὐτοῖς τὸ ὄνομα. οὐ καὶ δρᾶμα ὅλον, οὕτως ἐπιγέγραπται μαμμάκουθοι. ὅ τινες, πλάτωνος λέγουσιν. ἄλλως. ἀντὶ τοῦ μαμμόθρεπτοι. δίδυμος, ὅτι μαμμάκουθος καὶ μελιτίδης, ἐπὶ μωρίᾳ διεβάλλοντο. καθάπερ καὶ ὁ βουταλίων καὶ ὁ κόροιβος. μήποτε ἐγγραπτέον. εἴη μαμμάκυθοι διὰ τὸν στίχον. μελιτίδην δὲ τὸν εὐήθη. παρὰ τὸ μέλι. ἢ καὶ γέγονέ τις οὕτω μωρός. τοῦ δὲ μελιτίδου καὶ κοροίβου καὶ λουκιανὸς ἔρωσι μέμνηται. Τάδε μὲν λεύσεις φαίδιμ'. κορωνὶς καὶ εἴσθεσις χοροῦ ἐπῳδικὴ μὲν διὰ τὸ μετὰ τὴν διπλῆν κεῖσθαι. προῳδικὴ δὲ διὰ τὸ προτίθεσθαι ἑτέρας διπλῆς ἐκ κώλων ιγ΄. ὧν τὸ α΄ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ β΄ ἰαμβικὸν τρίμετρον ἀκατάληκτον. τὰ γ΄. ϛ΄. ιγ΄. τροχαϊκὰ ἑφθημιμερῆ. τὰ δὲ λοιπὰ ἀκατάληκτα. καὶ δίμετρα πλὴν τοῦ μονομέτρου παρατελεύτου. ἐν ἐκθέσει δὲ στίχοι δύο ἀναπαιστικοὶ τετράμετροι καταληκτικοί. ὅμοιοι τοῖς ἑξῆς διπλῆς ἀμοιβαίας εἰσθέσεως ἑβδομήκοντα κώλοις. ὧν τελευταῖον καὶ μυοῦνται τὸν ξύσαντι κάκβας τινὰ λωποδυτῆσαι. ἐπὶ τῷ τέλει τῆς μὲν προῳδικῆς κορωνὶς, τῶν δὲ τετραμέτρων διπλῆ ἔξω νενευκυῖα. πρὸς τὸν αἰσχύλον δὲ ὁ χορὸς ἀπὸ τῶν αὐτοῦ. ἔστι δὲ ἀρχὴ αὕτη μυρμιδόνων αἰσχύλου. τοῦτο δὲ παρὰ τὴν ὑπόνοιαν. Ἐκτὸς οἴσει. ἀντὶ τοῦ ἐκτὸς τῶν ὡρισμένων λόγων. ἐμφαίνει δέ τι ὡρισμένον λέγειν. καὶ μάλιστα, ἐπ' ἄκρου ἱπποδρόμου, ἐλαῖαι ἦσαν. καθ' ἃς ἐξεφέροντο οἱ ὑπερπίπτοντες κατὰ τὸν δρόμον. θέλει δὲ εἰπεῖν ἐκτὸς τοῦ προκειμένου, ἐπεὶ εἶπεν ὁ διόνυσος. τίς τῆς ἐλαίας παρέτραγεν. παρὰ τὸ παρέτραγε παίζων ὁ χορὸς, τοῦτό φησι μή σ' ὁ θυμὸς ἀρπάσας ἐκτὸς οἴσῃ τῶν ἐλαιῶν. Ἄλλως. ἐν τῷ τέλει τοῦ πόρου οὗ ἐτελεῖτο ὁ δρό-

ζητεῖ, τί ποῦ 'στιν ἡ χύτρα.
τίς τὴν κεφαλὴν ἀπεδήδοκε.
τῆς μαινίδος. τὸ τρύβλιον
τὸ περυσινὸν τέθνηκέ μοι,
ποῦ τὸ σκόροδον τὸ χθεσινόν.
τίς τῆς ἐλάας παρέτραγε.
τέως δ' ἀβελτερώτατοι
κεχηνότες μαμμάκυθοι κου
καὶ μελιτίδαι κάθηντο.
Χο. τάδε μὲν λεύσσεις φαίδιμ' ἀχιλλεῦ.
σὺ δὲ τί φέρε πρὸς ταῦτα λέξεις μόνον ὅπως
μή σ' ὁ θυμὸς ἁρπάσας,
ἐκτὸς οἴσει τῶν ἐλαιῶν.
δεινὰ γὰρ κατηγόρηκεν.
ἀλλ' ὅπως ὦ γεννάδα
μὴ πρὸς ὀργὴν ἀντιλέξεις
ἀλλὰ συστείλας, ἄκροισι

Σαρκασμοπιτυοκάμπται· ὡς σαρκάζοντας μὲν καὶ προσποιουμένους τὰ πολεμικά. οὐκ ἀληθῶς δὲ τοιούτους. ἰσχύος δὲ ἐπιμελουμένους. διὸ καὶ τὸν Μεγαίνετον μάνην εἶπεν. οὐ πάντως βάρβαρον. ἀλλ' ἀναίσθητον καὶ μανικόν. ἐπίτηδες δὲ ἐχρήσατο τοῖς συνθέτοις, διὰ τὸ Αἰσχύλου ἦθος. Θηραμένης, ὡς ἀστεῖος καὶ πιθανός. Κλειτοφῶν δὲ ὡς ἀργὸς ἐκωμῳδεῖτο. νῦν δὲ ὡς πανοῦργον καὶ παλίμβολον βούλεται τοῦτον ἀποδεικνύναι. καὶ παραπλήσιον Θηραμένει.

σαλπιγγολογχυπηνάδαι. σαρκασμοπιτυοκάμπται.
οὑμοὶ δὲ, Κλειτοφῶν τε καὶ Θηραμένης ὁ κομψός.

δι. Θηραμένης; σοφός γ' ἀνὴρ καὶ δεινὸς εἰς τὰ πάντα
ὃς ἢν κακοῖς που περιπέσῃ καὶ πλησίον παραστῇ
πέπτωκεν ἔξω τῶν κακῶν, οὐ χῖος ἀλλὰ κῖος.

ευ. τοιαῦτα μέντοι 'γὼ φρονεῖν,
τούτοισιν εἰσηγησάμην.
λογισμὸν ἐνθεὶς τῇ τέχνῃ.
καὶ σκέψιν. ὥστ' ἤδη νοεῖν,
ἅπαντα καὶ διειδέναι
τά τ' ἄλλα καὶ τὰς οἰκίας,
οἰκεῖν ἄμεινον ἢ πρὸ τοῦ,
κἀνασκοπεῖν, πῶς τοῦτ' ἔχει.
ποῦ μοι τοδί. τίς τοῦτ' ἔλαβε.

δι. νὴ τοὺς θεούς. νῦν γοῦν Ἀθη-
ναίων ἅπας τις εἰσιὼν,
κέκραγε πρὸς τοὺς οἰκέτας.

Οὐ χῖος, ἀλλὰ κῖος. ὅτι δοκεῖ προσπεγράφθαι τῇ πολιτείᾳ, ἀγνώμονος αὐτὸν κρινομένου ὡς Εὔπολις πόλεσιν. Ἀρίσταρχος δὲ, ὡς γεγραμμένου κῷος ἐξηγεῖται. ὅτι πρὸς τὸ κῷος εἰσήγαγε τὸ χῖος. τὸν γὰρ ἀντίστροφον τῷ χίῳ λέγεσθαι. τοῦτο οὖν φησιν. ὅτι οὐδέποτε κακοβουλεῖ. ὁ Θηραμένης ὡς ἐν ἀστραγάλοις. ἀλλ' ἐπιτυγχάνει. ἐπιπλήττει δὲ αὐτῷ ὁ Δημήτριος, ὡς τελέως ἀγνοοῦντι, ὅτι κῖος ἦν. παραλείπει δὲ ὅμως καὶ αὐτὸς, ὅτι οὐδὲν ἧττον παρὰ τὴν ὑπόνοιαν εἴρηται, ἀντὶ τοῦ κῷος κῖος. Δίδυμος δέ φησιν ὅτι δύναται καὶ τῆς παροιμίας μεμνῆσθαι. οὐ χῖος ἀλλὰ κῖος. παρόσον ποικίλος τις ὢν καὶ ἀγχίστροφος, καθωμίλει τοὺς καιρούς. πρὸς τὸ κρεῖττον μέρος ἀεὶ διδοὺς ἑαυτόν. κῷος δὲ ἐλέγετο εἶναι. καὶ κόθορνος. Λουκιανὸς ἔρωσιν ὡς καὶ ἔχων γ' ἂν δεξαίμην εἴπερ ἦν ἐν δυνατῷ γενέσθαι Θηραμένης ἐκεῖνος ὁ κόθορνος. ἵν' ἄμφω νενικηκότης ἔξισοι βαδίζοιτε.

Τοιαῦτα μέντοι 'γὼ φρονεῖν. τὸ πλῆρες τοιαῦτα μέντοι ἐγώ. εἴσθεσις τῆς διπλῆς εἰς δύο περιόδους διῃρημένη ἐκ κώλων ἰαμβικῶν διμέτρων ἀκαταλήκτων κα'. εἰσὶ δὲ τῆς μὲν πρώτης περιόδου κῶλα θ'. τῆς δὲ δευτέρας κῶλα δυοκαίδεκα. ἧς τὰ η'. ια'. ιβ'. καταληκτικά εἰσιν. ἐπὶ τῷ τέλει τῆς μὲν πρώτης περιόδου παράγραφος. τῆς δὲ δευτέρας δύο διπλαῖ. ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου. ἡ δὲ κατὰ τὸ τέλος ἀμφότεραι ἔξω νενευκυῖαι. Καὶ τὰς οἰκίας. προσέχειν τῇ οἰκίᾳ καὶ μηκέτι πολεμεῖν.

ἀλλ' ἔλεγεν ἡ γυνή τέ μοι χὠ δοῦλος, οὐδὲν ἧττον.
χὠ δεσπότης χἠ παρθένος, χἠ γραῦς ἄν. αἰ. εἶτα δῆτα
οὐκ ἀποθανεῖν σε ταῦτα χρῆν τολμῶντα; ευ. μὰ τὸν ἀπόλλω·
δημοκρατικὸν γὰρ αὔτ' ἔδρων. δι. τουτὶ μὲν ἔασον ὦ τᾶν.
οὐ σοὶ γάρ ἐστι περίπατος κάλλιστα περί γε τούτου.
ευ. ἔπειτα τουτουσὶ λαλεῖν ἐδίδαξα. αἰ. φημὶ κἀγώ.
ὡς πρὶν διδάξαι γ' ὤφελες μέσος διαρραγῆναι.
ευ. λεπτῶν τε κανόνων ἐσβολάς. ἐπῶν τε γωνιασμούς.
νοεῖν. ὁρᾶν. ξυνιέναι. στρέφειν. ἐρᾶν. τεχνάζειν.
κἄχ' ὑποτοπεῖσθαι. περινοεῖν ἅπαντα. αἰ. φημὶ κἀγώ.
ευ. οἰκεῖα πράγματ' εἰσάγων. οἷς χρώμεθ' οἷς ξύνεσμεν.
ἐξ ὧν γ' ἂν ἐξηλεγχόμην ξυνειδότες γὰρ οὗτοι.
ἤλεγχον ἄν μου τὴν τέχνην. ἀλλ' οὐκ ἐκομπολάκουν,
ἀπὸ τοῦ φρονεῖν ἀποσπάσας. οὐδ' ἐξέπληττον αὐτούς.
κύκνους ποιῶν καὶ μέμνονας. κωδωνοφαλαροπώλους
γνώσει δὲ τοὺς τούτου τε κἀμοὺς γ' ἑκατέρου μαθητάς,
τούτου μὲν οὖν φορμίσιος μεγαίνετός θ' ὁ μάνης.

Ἡ γυνή τέ μοι χὠ δοῦλος. ἀντὶ τοῦ τὰ αὐτά. καὶ εἰς τοῦτο δὲ κωμῳδεῖται ὁ εὐριπίδης. ὅτι διαφόροις, τοῖς προσώποις ἀνοικείους λόγους περιτίθησιν. Ταῦτα γὰρ τὸ δούλους τοῖς δεσπόταις ἰσοτίμους ποιεῖν. Δημοκρατικόν. τὰ περὶ δημοκρατίας καὶ ἰσότητος. φησὶν οὖν πρὸς ταῦτα ὁ διόνυσος ἔασον. ἐμὸν γάρ ἐστι μᾶλλον ἐμπεριπατῆσαι περὶ τούτου οὐ σόν. παρ' ὅσον εἰρήνης καὶ ἡσυχίας ὁ θεὸς αἴτιος. ἔασον οὖν ὦ τᾶν. ὀρθῶς γάρ σου κατηγορεῖ ἐπὶ τῇ πάντων ἀδολεσχίᾳ ὁ αἰσχύλος. καὶ οὐκ ἂν ἔχοις ἐμπεριπατῆσαι οὐδὲ ἐπαινέσαι σεαυτὸν ἐπὶ τούτῳ. ἄλλως. οὐ δεῖ σε φησὶ ζητεῖν ὅπως ἂν ἀποδείξῃς ὡς κάλλιστα τοῦτο ἐποίεις. οὐ γὰρ καλὸν ἐξ ἴσου τὸ δούλους τοῖς δεσπόταις παρρησιάζεσθαι. περίπατος δὲ διατριβή. Γωνιασμούς. ταγιασμοὺς ἅπαντας. κἄχ' ὑποτοπεῖσθαι. ἀντὶ τοῦ κακὰ ὑπονοεῖν ἐάν τις εἰς αὐτοὺς τεχνάσηται. Οὐκ ἐκομπολάκουν κενοὺς οὐκ ἐποίουν ψόφους οὐκ ἔλεγον κομπώδη ὡς αἰσχύλος. Ἀπὸ τοῦ φρονεῖν ἀποσπάσας. οὐ τὴν σωφροσύνην αὐτῶν ἀφειλόμην. ἀπὸ τοῦ φρονεῖν καὶ συνεῖναι τὸ λεγόμενον ἀποσπάσας αὐτούς. Κύκνους. ὅτι δύο κύκνοι ἐγένοντο. ὁ μὲν ἄρεος υἱὸς ὑφ' ἡρακλέους φονευθεὶς ὡς ἐν τῇ ἀσπίδι ἡσίοδος. ὁ δὲ ποσειδῶνος ὑπ' ἀχιλλέως. ὡς καὶ πίνδαρος ἱστορεῖ. Κωδωνοφαλαροπώλους. ἀπολλώνιός φησιν, ὅτι παρήνεγκε χρωμένους κώδωσί τινας. κώδωνας, ἐν τοῖς φαλάροις καὶ χαλινοῖς τῶν ἵππων ἔχοντας. Φορμίσιος. δίδυμός φησιν, ὅτι φορμίσιος, δραστικὸς ἦν καὶ τὴν κόμην τρέφων. καὶ φοβερὸς δοκῶν εἶναι. διὸ καὶ αἰσχύλου μαθητήν φησιν αὐτὸν εἶναι. βαθὺς δὲ ἦν. καὶ καθίει τὸν πώγωνα. κωμῳδεῖται δὲ καὶ εἰς δωροδοκίαν.

Μεγαίνετός θ' ὁ μάνης. ὁ μεγαίνετος. ὅτι οὐ πάντως βάρβαρος ἀλλ' ἀναίσθητος καὶ οὐκ ἀστεῖος. αὐθάδης δὲ οὗτος. καὶ τῶν στρατηγιώντων εἷς καὶ θρασύς. τοιαῦτα δὲ δούλων ὀνόματα. Σαλπιγγολογχυπηνάδαι. σάλπιγγας καὶ λόγχας καὶ ὑπήνας ἔχοντες. τοῦτο δὲ εἰς τὸν φορμίσιον ἀποτείνει,

Ἢ σκαμάνδρους. χαρακτηριστικὸν καὶ τοῦτο, ὅτι πολὺς αἰσχύλος ἐν τῷ ποταμοὺς καὶ ὄρη λέγειν. Γρυπαέτους. ἐπίσημα ἀσπίδος ἀλλόκοτα. εἰώθασι γὰρ ζωγραφεῖν εἰς τὰς ἀσπίδας αὐτούς. ζητεῖται δὲ, πρὸς ὃ μᾶλλον συναπτέον. εἰς τὸ, ἢ 'π' ἀσπίδων ἐπόντας, ἢ τοῖς ἄνω. ἢ τῷ γρυπαέτους χαλκηλάτους. Ἤδη ποτ' ἐν μακρῷ. παρὰ τὰ ἐξ ἱππολύτου. ἤδη ποτ' ἄλλως. νυκτὸς ἐν μακρῷ χρόνῳ. Ἱππαλεκτρυόνα. γράφεται καὶ ἀλεκτρυόνα ὡς γένος τι λάβης περσικὸν αὐτῷ ὅμοιον. Ἄλλως.

ευ. ἀλλ' ἢ σκαμάνδρους. ἢ τάφρους. ἢ 'π' ἀσπίδων ἐπόντας,
γρυπαέτους χαλκηλάτους. καὶ ῥήμαθ' ἱππόκρημνα.
ἃ ξυμβαλεῖν οὐ ῥᾴδιον ἦν. δι. νὴ τοὺς θεοὺς ἔγωγ' οὖν
ἤδη ποτ' ἐν μακρῷ χρόνῳ νυκτὸς διηγρύπνησα.
τὸν ξουθὸν ἱππαλεκτρυόνα ζητῶν τίς ἐστιν ὄρνις.
αι. σημεῖον ἐν ταῖς ναυσὶν ὦμαθέστατ' ἐνεγέγραπτο.
δι. ἐγὼ δὲ τὸν φιλοξένου γ' ᾤμην ἔρυξιν εἶναι.
ευ. εἶτ' ἐν τραγῳδίαις ἐχρῆν κἀλεκτρυόνα ποιῆσαι;
αι. σὺ δ' ὦ θεοῖσιν ἐχθρέ. ποῖ' ἄττ' ἐστὶν ἄττ' ἐποίεις.
ευ. οὐχ ἱππαλεκτρυόνας μὰ Δί' οὐδὲ τραγελάφους ἅπερ σύ.
ἃ 'ν τοῖσι παραπετάσμασι τοῖς μηδικοῖς γράφουσιν·
ἀλλ' ὡς παρέλαβον τὴν τέχνην παρὰ σοῦ τὸ πρῶτον μὲν εὐθὺς
οἰδοῦσαν ὑπὸ κομπασμάτων, καὶ ῥημάτων ἐπαχθῶν.
ἴσχνανα μὲν πρώτιστον αὐτήν. καὶ τὸ βάρος ἀφεῖλον.
ἐπυλλίοις, καὶ περιπάτοις, καὶ τευτλίοισι μικροῖς
χυλὸν διδοὺς στωμυλμάτων. ἀπὸ βιβλίων ἀπηθῶν.
εἶτ' ἀνέτρεφον μονῳδίαις. κηφισοφῶντα μιγνύς
εἶτ' οὐκ ἐλήρουν ὅ τι τύχοιμ' οὐδ' ἐμπεσὼν ἔφυρον.
ἀλλ' οὑξιὼν πρώτιστα μέν μοι, τὸ γένος εἶπεν εὐθὺς
τοῦ δράματος. αι. κρεῖττον γὰρ ἦν σοι νὴ Δί' ἢ τὸ σαυτοῦ.
ευ. ἔπειτ' ἀπὸ τῶν πρώτων ἐπῶν, οὐδὲν παρῆκ' ἂν ἀργόν.

Ἱππαλεκτρυών. εἰ καὶ τοῖς φιλοσόφοις ἀπαγορεύεται μὴ εἶναι, ἀλλ' ἔστι τῇ ἀληθείᾳ ζῶον θαλάσσιον, ὃν καί τις τῶν καθ' ἡμᾶς εὑρὼν κατὰ τὸ χινέζιον τὰ ἀπικτὰ ὡς καὶ πᾶσι νεκρὸν δείξας, ἐνέγραψεν ἐν τῇ σημαίᾳ αὐτοῦ καὶ τῇ ἀσπίδι. ὡς ἂν καὶ τοῖς μὴ εἰδόσιν ὁ ἆθλος κηρύττοιτο. τινὲς δὲ τὸ ἵππος ἐπὶ τοῦ μεγάλου. Ἔρυξιν. οὗτος γὰρ ὡς ἄμορφος καὶ ἀηδὴς διαβάλλεται. Παραπετάσμασι. ταῖς σκηναῖς. τοῖς περσικοῖς βήλοις. ἢ βηλοθύροις. Ἐπυλλίοισιν. ἀντὶ τοῦ λογίοις μικροῖς ὡς δὲ βρέφος βρεφύλλιον καὶ εἶδος εἰδύλλιον. οὕτω καὶ ἔπος ἐπύλλιον. Περιπάτοις. εἰώθασι γὰρ οἱ καλούμενοι, περιπατεῖν ἀντὶ τοῦ διατρίβειν. ὡς ἐπὶ ἀσθενοῦντος δὲ διαλέγεται ἐκ μεταφορᾶς τῶν λεπτυνομένων σωμάτων διὰ τῆς καθάρσεως. Μικροῖς γράφεται λευκοῖς. Χυλὸν διδούς. οὐκ ἀποπλύσαιμι, ἀλλ' ἀπὸ ἠθῶν ἀνδρῶν καὶ βιβλίων. γράφεται δὲ καὶ ἀπηθῶν ἀντὶ τοῦ ἐκλεγόμενος μονῳδίαις δὲ γυμνάσμασι μονῳδικοῖς. Κηφισοφῶντα. ὅτι ἐδόκει δοῦλος ὢν συμποιεῖν αὐτῷ ὁ κηφισοφῶν καὶ μάλιστα τὰ μέλη. ὃν καὶ συνεῖναι τῇ γυναικὶ αὐτοῦ κωμῳδοῦσιν. ἕτερος δέ ἐστι κηφισοφῶν. ὁ καὶ τὸ ψήφισμα εἰσενεγκών, ὑπὲρ τοῦ εἰρχθῆναί τις ἐν πρυτανείῳ σιτήσεως. Ἢ τὸ σαυτοῦ. ὅτι δυσγενὴς ὁ εὐριπίδης. ἐπῶν δὲ τῶν ἰαμβείων ἔπη γὰρ καὶ αὐτὰ καλοῦσιν. Ἀργόν, ὥσπερ σὺ τὴν νιόβην καὶ τὸν ἀχιλλέα ἐποίησας μηδὲν λέγοντας.

ἐξηπάτα. μώρους λαβὼν παρὰ φρυνίχῳ τραφέντας.
πρώτιστα μὲν γὰρ δή γ' ἕνα τινὰ κάθισεν ἐγκαλύψας
ἀχιλλέα τιν' ἢ νιόβην, τὸ πρόσωπον οὐχὶ δεικνὺς
πρόσχημα τῆς τραγῳδίας, γρύζοντας οὐδὲ τουτί.
δι. μὰ τὸν δί' οὐ δῆθ'. ευ. ὁ δὲ χορός γ' ἤρειδεν ὁρμαθοὺς ἂν
μελῶν ἐφεξῆς τέτταρας ξυνεχῶς ἄν· οἱ δ' ἐσίγων.
δι. ἐγὼ δ' ἔχαιρον τῇ σιωπῇ. καί με τοῦτ' ἔτερπεν
οὐχ ἧττον, ἢ νῦν οἱ λαλοῦντες. ευ. ἠλίθιος γὰρ ἦσθα
σάφ' ἴσθι. δι. κἀμαυτῷ δοκῶ. τί δὲ ταῦτ' ἔδρασ' ὁ δεῖνα.
ευ. ὑπ' ἀλαζονείας. ἵν' ὁ θεατὴς προσδοκῶν καθῆτο.
ὁπόθ' ἡ νιόβη φθέγξαιτο δή. τὸ δρᾶμα δ' ἂν διῄει.
δι. ὦ παμπόνηρος. οἷ' ἄρ' ἐφενακιζόμην ὑπ' αὐτοῦ.
τί σκορδινᾷ καὶ δυσφορεῖς. ευ. ὅτ' αὐτὸν ἐξελέγχω.
κἄπειτ' ἐπειδὴ ταῦτα ληρήσειε, καὶ τὸ δρᾶμα
ἤδη μεσοίη, ῥήματ' ἂν βόεια δώδεκ' εἶπεν.
ὀφρῦς ἔχοντα καὶ λόφους. δείν' ἄττα μορμορωπά.
ἄγνωτα τοῖς θεωμένοις. αι. οἴμοι τάλας. δι. σιώπα.
ευ. σαφὲς δ' ἂν εἶπεν οὐδὲ ἕν. δι. μὴ πρῖε τοὺς ὀδόντας.

ἴσων ἀκλείων τετραμέτρων καταληκτικῶν ξζʹ. ὧν τελευταῖος πέπτωκεν ἔξω τῶν κακῶν οὐ χίος ἀλλὰ κίος. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. Παρὰ φρυνίχῳ τραφέντας. ἀπαιτιῶν γάρ, ὡς ἀφελέστερος ὁ φρύνιχος. νῦν δὲ φρύνιχον λέγουσι τὸν τραγῳδίας ποιητήν. τοῦτον δὲ ἐπαινοῦσι εἰς τὴν μελοποιίαν. νυνὶ δὲ ὡς ἀφελοῦς ὄντος αὐτοῦ, μνημονεύει ὁ ἀριστοφάνης. ἦν δὲ πρὸ αἰσχύλου. Ἐγκαλύψας. ὡς αὐτοῦ εἰσφέροντος ἐν δράμασι, τινὰ κεκαλυμμένον. ὁ ἀχιλλεὺς δὲ καθήμενός ἐστι καὶ οὐκ ἀποκρινόμενος, παρ' αἰσχύλῳ ἐν δράματι ἐπιγραφομένῳ, φρυξὶν, ἢ ἕκτορος λύτροις. οὐδὲν δὲ ὁ ἀχιλλεὺς φθέγγεται. Ἄλλως. εἰκὸς τὸν ἐν τοῖς φρυξὶν ἀχιλλέα. ἢ ἕκτορος λύτροις. ἢ τὸν ἐν μυρμιδόσιν. ὃς μέχρι τριῶν ἡμερῶν οὐδὲν φθέγγεται. Οὐδὲ τουτί. εἰκὸς αὐτὸν ἀπρακτοῦντα τῷ δακτύλῳ δεικνύειν τὸ οὐδὲ τουτί. τὸ δὲ οἱ δ' ἐσίγων, ὁ ἀχιλλεύς φασι καὶ ἡ νιόβη. Καί με τοῦτ' ἔτερπε. μᾶλλον τῇ σιωπῇ ἐτερπόμην, ἢ τοῖς νῦν λαλοῦσι, πολλοὶ δέ, ἐν σκηνῇ ἐλάλουν. Ὁ δεῖνα. ὅτι ἐπὶ δείξεως. δείκνυσι γὰρ τὸν αἰσχύλον παρόντα. Διῄει, διήνυε. εἰς ἂν τέλος ἀνῆλθεν. Ὦ παμπόνηρος. ἢ ἐγὼ ἢ αὐτὸς νόει. καὶ πρὸς μὲν τὸν διόνυσον ὦ παμπόνηρος ἐγὼ ὁ εἰς πάντα πονηρευόμενος καὶ πάντα ἐξετάζων. οἷα ἐφενακιζόμην ὑπ' αὐτοῦ ἐπὶ τούτῳ. πρὸς δὲ τὸν αἰσχύλον στίζον ἐς τὸ παμπόνηρος. καὶ τὸ ὦ ἀντὶ τοῦ φεῦ. ὦ παμπόνηρος ὑπάρχει αὐτός. ταῦτα πονηρευόμενος εἰς ἀπάτην τῶν θεατῶν. Τί σκορδινᾷ. οὕτως ἔλεγον τὸ παρὰ φύσιν τὰ μέλη ἐκτείνειν, σκορδινᾶσθαι. τινὲς δέ, περὶ τοὺς ἐγειρομένους ἐξ ὕπνου, ὅταν χασμώδεις ὄντες ἐκτείνουσι τὰ μέλη. ὅπερ συμβαίνει, καὶ περί τινας ἄλλως πως βασανιζομένους καὶ διαστρεφομένους τὰ μέλη. Βόεια. μεγάλα καὶ κτύπου πλέα. ὀφρῦς ἔχοντα ὑψηλὰ καὶ ὑπερήφανα. μορμορωπά. καταπληκτικὰ φοβερά. ἐκ μεταφορᾶς τῆς μορμοῦς τῆς τὰ βρέφη φοβούσης. Ἄγνωτα τοῖς θεωμένοις. ἀπὸ τοῦ ἀγνῶτος. οὐ γὰρ παρασχηματίζεται ἀπὸ τοῦ ἀγνώς, εἰς οὐδέτερον γένος. ὥς φησιν ἡρωδιανός.

Καλῶς. ὅτι καὶ νῦν τὸ καλῶς, ἐπὶ παραιτήσει. ἀποστρεφόμενος δὲ καὶ παραιτούμενος ὁ εὐριπίδης λέγει τὸ καλῶς. Ἕτεροι γάρ εἰσιν οἷσιν εὔχομαι. ἅτε δὴ σωκρατικὸς ὤν, καινὰ δαιμόνια ἔπλασεν. Τοῖσιν ἰδιώταις θεοῖς. τινὲς ἐν τῷ θεοῖς δύο τιθέασιν· ἵνα ᾖ τι ἴδιον τινές σοι κόμμα καινόν. Αἰθὴρ ἐμὸν βόσκημα. καὶ σωκράτης ἐν νεφέλαις· μὰ τὴν ἀναπνοήν· μὰ τὸ χάος· μὰ τὸν ἀέρα. χαρακτηρίζει δὲ εὐριπίδην· εὐεπίφορον ὄντα, ἐπὶ τῷ αἰθέρα ὀνομάζειν. στρόφιγξ δὲ, ἀπὸ τοῦ στρέφειν αὐτὸν καὶ παρεγγυᾶσθαι. μυκτῆρες δὲ, ὀσφραντήριοι, ὡς συντελούντων τῶν μυκτήρων εἰς τὴν φωνήν.

δι. ἐπίθες λαβὼν δὴ καὶ σὺ λιβανωτόν. ευ. καλῶς.
ἕτεροι γάρ εἰσιν οἷσιν εὔχομαι θεοῖς.
δι. ἴδιοί τινές σοι κόμμα καινόν; ευ. καὶ μάλα.
δι. ἴθι νῦν προσεύχου τοῖσιν ἰδιώταις θεοῖς.
ευ. αἰθὴρ ἐμὸν βόσκημα. καὶ γλώσσης στρόφιγξ,
καὶ ξύνεσις, καὶ μυκτῆρες ὀσφραντήριοι,
ὀρθῶς μ' ἐλέγχειν ὧν ἂν ἅπτωμαι λόγων.
χο. καὶ μὴν ἡμεῖς ἐπιθυμοῦμεν
παρὰ σοφοῖν ἀνδροῖν ἀκοῦσαι
τινὰ λόγων ἐμμέλειαν,
ἔπιτε δαΐαν ὁδόν.
γλῶσσα μὲν γὰρ ἠγρίωται.
λῆμα δ' οὐκ ἄτολμον ἀμφοῖν,
οὐδ' ἀκίνητοι φρένες
προσδοκᾶν οὖν εἰκός ἐστι
τὸν μὲν, ἀστεῖόν τι λέξειν,
καὶ κατερρινημένον
τὸν δ' ἀνασπῶντ' αὐτοπρέμνοις
τοῖς λόγοισιν ἐμπεσόντα
συσκεδᾶν πολ-
λὰς ἀλινδήθρας ἐπῶν.
δι. ἀλλ' ὡς τάχιστα χρὴ λέγειν. οὕτω δ' ὅπως ἐρεῖτον
ἀστεῖα καὶ μήτ' εἰκόνας, μήθ' οἷ' ἂν ἄλλος εἴποι.
ευ. καὶ μὴν ἐμαυτὸν μέν γε τὴν ποίησιν οἷός εἰμι,
ἐν τοῖσιν ὑστάτοις φράσω. τοῦτον δὲ πρῶτ' ἐξελέγξω.
ὡς ἦν ἀλαζὼν καὶ φέναξ. οἵοις τε τοὺς θεατὰς

Καὶ μὴν ἡμεῖς. κορωνὶς καὶ εἴσθεσις χοροῦ προῳδική. ὅτι προτίθεται τῆς διπλῆς ἐκ κώλων τροχαϊκῶν ιδʹ. ὧν τὰ μὲν αʹ. βʹ. εʹ. ϛʹ. ηʹ. θʹ. ιαʹ. ιβʹ. ιδʹ. δίμετρα ἀκατάληκτα· τὰ δ' ἄλλα ἑφθημιμερῆ, πλὴν τοῦ παρατελεύτου μονομέτρου ἀκαταλήκτου ὄντος. ἐπὶ τῷ τέλει κορωνίς. Λόγων ἐμμέλειαν. ὅτι καταχρηστικῶς νῦν, τὴν εὐρυθμίαν. κυρίως δὲ ἡ μετὰ μέλους ὄρχησις, τραγική. οἱ δὲ, ἡ πρὸς τὰς ῥήσεις ὑπόρχησις. Δαΐαν ὁδόν. ἀγωνιστικήν. ἔμπειρον ἀπὸ τοῦ δαῆναι. ἐπὶ τούτοις δὲ δαΐαν ὁδὸν, ἔμπειρον. ἢ αὐτὴ τοῦ φιλονείκου. Προσδοκᾶν οὖν. ἔθος τοῖς τραγικοῖς προλέγειν ἃ εἰς τὸ ἑξῆς λέγειν μέλλουσι. κἀνταῦθα οὖν οὗτος τοῦτο ποιεῖ. Κατερρινημένον. ἐξεσμένον. ῥίνη γάρ, ἐργαλεῖον τεκτονικόν, ᾧ ῥινοῦσιν. ἢ εὐτελές. ὅτι ἐξευτελίζομεν τῇ ῥινί. Αὐτοπρέμνοις. δυσκόλοις. προρρίζοις. ἢ μεγάλοις. Ἀλινδήθρας. συναγωγὰς στροφάς. λεπτολογίας. στροφὰς τοῦ εὐριπίδου. Ἀλλ' ὡς τάχιστα. εἴσθεσις διπλῆς ἀμοιβαίας ἐκ στίχων ἰαμβικῶν

Κ ἄπι μάλα τὸν τήλεφον· ὡσεὶ ἔλεγε· καὶ οὐ κωμῳδεῖς τήλεφον, εἰς μέσον φέρε.
Ο τι ἡ ποίησις, οὐχὶ συντέθνηκεν. ἐπεὶ τὰ αἰσχύλου ἐψηφίσαντο διδάσκειν. κομψῶς δὲ τοῦτο ἔφη. τῶν γὰρ δυνατῶν, καὶ μετὰ θάνατον ᾄδονται τὰ ποιήματα. Τούτῳ δὲ συντέθνηκε συναποθανοῦσα. πάρεστιν ἐνθάδε ἐν τῷ ᾅδῃ. καὶ ἕξει αὐτὴν ξύμμαχον. Ὑμεῖς δὲ ταῖς μούσαις πρὸς τὸν χορὸν ἴσον τῷ προσοίσατε ὡς ὑπογραμμός τις ὤν. Διὸς ἐννέα. κορωνὶς καὶ εἴσθεσις ἐπῳδικὴ διὰ τὸ μετὰ τὴν κορωνίδα τίθεσθαι. ἐκ κώλων ἀναπαιστικῶν μὲν δὲ μέτρων ἐφθημιμερῶν κατὰ τὰς περιττὰς χώρας. κατὰ δὲ τὰς ἀρτίας ἀντισπαστικῶν ἡμιολίων ἐξ ὧν τρίτου τετάρτου ἢ καὶ πεντασυλλάβου τῶν ὑπὲρ τρισκαιδεκάτου ἰαμβικοῦ καθαροῦ ὄντος ἐφθημιμεροῦς ἐφ᾽ ᾧ κορωνίς. ἑξῆς δὲ σύστημα κατὰ περικοπὴν ἀμοιβαῖον. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι δέκα. ὧν τελευταῖος ὀρθῶς μ᾽ ἐλέγχειν ὧν ἂν ἀπολῶμαι λόγων· ἐπὶ τῷ τέλει παράγραφος ⁘
Γ γνωμοτύπων· τῶν τὰς εἰκαίας γνώμας διὰ τῶν λόγων τυπούντων. ἢ τῶν τύπους αὐτὰς τοῖς ὕστερον καταλιμπανόντων. ἢ τῶν ταῖς γνώμαις ἀλλήλους τυπτόντων. Ὀξυμερίμνοις. τοῖς μετὰ σκέψεως εὑρισκομένοις, καὶ ἀσαφέσι.
Ρ ήματα. καὶ παραπρίσματα. τὰ μὲν ῥήματα πρὸς τὸν αἰσχύλον. τὰ δὲ παραπρίσματα πρὸς τὸν εὐριπίδην λεπτολογοῦντα. Δήμητερ ἡ θρέψασα. παρόσον ἐλευσίνιος τὸν δῆμον ὁ αἰσχύλος ἦν. ἢ ὅτι ἐν τοῖς ἐλευσινίοις ἐτελεῖτο τὰ δράματα τοῦ αἰσχύλου. ἔστι δὲ τοῦτο ἔπος αἰσχύλου.

καὶ τὸν μελέαγρον. κἄπι μάλα τὸν τήλεφον.
δι. σὺ δὲ δὴ τί βουλεύει ποιεῖν. λέγ᾽ αἰσχύλε.
αἰ. ἐβουλόμην μὲν οὐκ ἐρίζειν ἐνθάδε.
οὐκ ἐξ ἴσου γάρ ἐστιν ἀγὼν νῷν. δι. τί δαί;
αἰ. ὅτι ἡ ποίησις οὐχὶ συντέθνηκέ μοι.
τούτῳ δὲ συντέθνηκεν. ὥσθ᾽ ἕξει λέγειν.
ὅμως ἐπειδή σοι δοκεῖ, δρᾶν ταῦτα χρή.
δι. ἴθι νυν λιβανωτὸν δεῦρό τις καὶ πῦρ δότω,
ὅπως ἂν εὔξωμαι πρὸ τῶν σοφισμάτων.
ἀγῶνα κρῖναι τόνδε μουσικώτατα.
ὑμεῖς δὲ ταῖς μούσαις τι μέλος προσάσατε.
χο. Διὸς ἐννέα παρθένοι ἁγναὶ
μοῦσαι λεπτολόγους
ξυνετὰς φρένας αἳ καθορᾶτε
ἀνδρῶν γνωμοτύπων
ὅταν εἰς ἔριν ὀξυμερίμνοις
ἔλθωσι στρεβλοῖσι
τε παλαίσμασιν ἀντιλογοῦντες.
ἔλθετ᾽ ἐποψόμεναι.
δύναμιν δεινοτάτοιν στομάτοιν.
πορίσασθε ῥήματα.
παραπρίσματ᾽ ἐπῶν. νῦν γὰρ ἀγὼν
ὁ δὲ σοφίας μέγας,
χωρεῖ πρὸς ἔργον ἤδη.
δι. εὔχεσθε δὴ καὶ σφῶϊ, πρὶν τἄπη λέγειν.
αἰ. Δήμητερ ἡ θρέψασα τὴν ἐμὴν φρένα,
εἶναί με τῶν σῶν ἄξιον μυστηρίων.

Σ σπλάγχνα θερμήνῃς. θυμὸς γάρ ἐστι ζέσις τοῦ περὶ τὴν καρδίαν αἵματος, δι' ὄρεξιν ἀντιλυπήσεως κινούμενος. ἡ ὀργὴ ἐναρχομένη. κότος δὲ ὀργὴ θυμὸν ἐπιτηροῦσα. μῆνις δὲ ὀργὴ εἰς παλαίωσιν ἀποτιθεμένη. χόλος δὲ ὀργὴ οἰδοῦσα. ὀργὴ δὲ ἐπιθυμία τιμωρίας τοῦ ἠδικηκέναι δοκοῦντος. ἡ λύπη μεθ' ὑπολήψεως τοῦ ὀλιγωρεῖσθαι.

Τ ὀν χωλοποιόν. διὰ τοὺς τρεῖς βελλεροφόντην. φιλοκτήτην. τήλεφον. Ἄρν' ἄρνα μέλαιναν. ὡς τοιαύτης γινομένης θυσίας τῷ τυφῶνι, ἐν τῷ λῆξαι τὰς καταιγίδας.

καὶ μὴ πρὸς ὀργὴν σπλάγχνα θερμήνῃς κότῳ.
αἰ. οὐ δῆτα, πρίν γ' ἂν τοῦτον ἀποφήνω σαφῶς
τὸν χωλοποιόν, οἷος ὢν θρασύνεται.
δι. ἄρν' ἄρνα μέλαιναν παῖδες ἐξενέγκατε
τυφὼς γὰρ ἐκβαίνειν παρασκευάζεται.
αἰ. ὦ κρητικὰς μὲν συλλέγων μονῳδίας.
γάμους δ' ἀνοσίους εἰσφέρων εἰς τὴν τέχνην,
δι. ἐπίσχες οὗτος ὦ πολυτίμητ' αἰσχύλε
ἀπὸ τῶν χαλαζῶν, ὦ πόνηρ' εὐριπίδη
ἄπαγε σεαυτὸν ἐκ ποδῶν, εἰ σωφρονεῖς.
ἵνα μὴ κεφαλαίῳ τὸν κρόταφόν σου ῥήματι
θενὼν ὑπ' ὀργῆς, ἐκχέῃ τὸν τήλεφον.
σὺ δὲ, μὴ πρὸς ὀργὴν αἰσχύλ' ἀλλὰ πραόνως
ἔλεγχ' ἐλέγχου. λοιδορεῖσθαι δ' οὐ πρέπει
ἄνδρας ποιητὰς ὥσπερ ἀρτοπώλιδας.
σὺ δ' εὐθὺς ὥσπερ πρῖνος ἐμπρησθεὶς βοᾷς.
εὐ. ἕτοιμός εἰμ' ἔγωγε, κοὐκ ἀναδύομαι,
δάκνειν. δάκνεσθαι πρότερος εἰ τούτῳ δοκεῖ.
τἄπη. τὰ μέλη. τὰ νεῦρα τῆς τραγῳδίας.
καὶ νὴ δία τὸν πηλέα γε, καὶ τὸν αἴολον

Τ Τυφὼς γὰρ ἐκβαίνει. ἕτοιμος ἀθρόως ἐκβαίνειν μέλλει. τοὺς δὲ καταιγιδώδεις ἀνέμους, Τυφὼς καλοῦσι. τούτῳ ἐνόμιζον μέλανα ἄρνα σφαγιάζειν, ὅπως λήξῃ τὸ πνεῦμα, εἰς τὸν αἰσχύλον δὲ τοῦτο.

Ω κρητικὰς μέν. ἐν γὰρ τοῖς κρησὶν, ἴκαρον μονῳδοῦντα ἐποίησε. καὶ οἱ μὲν ὡς τὴν ἰκάρου μονῳδίαν ἐν τοῖς κρησί. θρασύτερον γὰρ δοκεῖ εἶναι τὸ πρόσωπον. ἀπολλώνιος δὲ, ὅτι δύναται καὶ εἰς τὴν ἀερόπην. τὴν ἐν τοῖς κρήταις εἰρῆσθαι. ἣν εἰσήγαγε πορνεύουσαν. οἶμαι δὲ διὰ τὰ ἐν τῷ αἰόλῳ. τὴν μαχίδα δὲ, διὰ τὴν ἐν τοῖς κρησὶ μῖξιν πασιφάης, πρὸς τὸν ταῦρον. Ἄλλως. ἐκ τῶν ἐν τῷ αἰόλῳ κανάχης καὶ μακαρέως ἢ ὥς τινες δ' ἀνάης καὶ μεγαρέως τῶν ἀδελφῶν. ἐδόκει γὰρ τοῖς παλαιοῖς. πάνυ ἐναγὲς εἶναι ταῖς ἀδελφαῖς μίγνυσθαι. ἢ ὅτι ἡ φαίδρας ἧς τὸ πάθος ἐδραματούργησε κρῆσσα ἦν. καὶ γάμους ἀνοσίους λέγει διὰ τὸ αὐτὴν ἐρασθῆναι μὲν ἱππολύτου. ὃν ὁ θησεὺς ἐξ ἱππολύτης ἔσχε μιᾶς τῶν ἀμαζόνων. μὴ δυνηθεῖσαν δὲ τελέσαι τὸν ἔρωτα διὰ τὴν ἱππολύτου σωφροσύνην ἀγχόνῃ χρήσασθαι. Ἵνα μὴ κεφαλαίῳ. ἀντὶ τοῦ ἁδρῷ. καὶ ἐννεφέλαις, κεφάλαιον τῆς ῥαφανίδος. οὐδ' ἐλέσθαι δειπνοῦντ' ἐξῆν, κεφάλαιον τῆς ῥαφανίδος. Ἐκχέῃ τὸν τήλεφον. ὥσανεὶ ἔφη τὸν ἐγκέφαλον. ἰδιαίτατα δὲ τὸν τήλεφον κωμῳδεῖ. Ὥσπερ πρῖνος. ὅτι ἡ πρῖνος καιομένη ψόφον ποιεῖ.

τοι δὲ, διὰ τὸ τροπικοί εἰσιν ἐν τῷ παίζειν. λέγει δὲ τὴν εὐριπίδου. πρὸς δὲ τὸ ἱπποβάμονα καὶ τὰ λοιπὰ τὸ κινοῦσα χαλινοὺς εἶπε. φθονεροὺς δὲ ὡς φθονουμένου τοῦ εὐριπίδου ἐπὶ σοφίᾳ. δαιομένη δὲ διαμερίζουσα. διαιροῦσα. κατατέμνουσα τὰ αἰσχύλου ῥήματα. καταλεπτολογήσει δὲ, τὴν τοῦ αἰσχύλου λεπτολογίαν. λεπτῶς βασανίσει ὁ εὐριπίδης. Πλευμόνων πολὺν πόνον. τὰ γὰρ τοιαῦτα ῥήματα μετὰ πολλοῦ ἐξέρχονται πόνου. Οὐκ ἂν μεθείμην. γράφεται καὶ μεθείμην. κορωνὶς δὲ εἰσιόντων τῶν ὑποκριτῶν. οἱ ιϛ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι μεθ' ὧν τελευταῖος. ὑμεῖς δὲ ταῖς μούσαις τι μέλος ἐπάσατε. ἐπὶ δὲ τέλει κορωνίς. Αἰσθάνει γὰρ τοῦ λόγου. ὃν λέγει. ὡς οὐ παραχωρήσει σοι τοῦ θρόνου. φάσκων εἶναί σου κρείττων. Ἀποσεμνυνεῖται. ἀντὶ τοῦ ἀποποιεῖται σιωπῶν. ὑπερηφανεῖ πάλιν ὅπερ ἐποίει ζῶν. σεμνότητος γὰρ ἕνεκα, ὅτι πολὺ ἐσιώπα αἰσχύλος, ἐν τοῖς θεάτροις εἰσάγων. Ἀγριοποιόν. ἀγρίους εἰσάγοντα καὶ ὠμοὺς τοὺς ἥρωας. Ἀπύλωτον στόμα. φρύνιχος, ἀθύρωτον.

ΒΑΣΑΝΙΣΤΡΙΑ λίσπη.
γλῶσσ' ἀνελισσομένη φθονεροὺς
κινοῦσα χαλινοὺς,
ῥήματα δαιομένη,
καταλεπτολογήσει.
πλευμόνων πολὺν πόνον.
ΔΙ. οὐκ ἂν μεθείμην τοῦ θρόνου. μὴ νουθέτει.
κρείττων γὰρ εἶναί φημι τούτου τὴν τέχνην.
ΔΙ. αἰσχύλε τί σιγᾷς; αἰσθάνει γὰρ τοῦ λόγου.
ΕΥ. ἀποσεμνυνεῖται πρῶτον, ἅπερ ἑκάστοτε.
ἐν ταῖς τραγῳδίαισιν ἐτερατεύετο.
ΔΙ. ὦ δαιμόνι' ἀνδρῶν. μὴ μεγάλα λίαν λέγε.
ΕΥ. ἐγῷδα τοῦτον καὶ διέσκεμμαι πάλαι,
ἄνθρωπον ἀγριοποιὸν αὐθαδόστομον.
ἔχοντ' ἀχάλινον. ἀκρατὲς. ἀπύλωτον στόμα.
ἀπεριλάλητον. κομποφακελορρήμονα.
ΑΙ. ἄληθες ὦ παῖ τῆς ἀρουραίας θεοῦ.
σὺ δή με ταῦτ' ὦ στωμυλιοσυλλεκτάδη.
καὶ πτωχοποιὲ καὶ ῥακιοσυρραπτάδη,
ἀλλ' οὔ τι χαίρων ταῦτ' ἐρεῖς. ΔΙ. παῦσ' αἰσχύλε.

Οἱ δὲ γραμματικοὶ, ἀπύλωτον, ἀντὶ τοῦ ἀνεῳγμένον. καὶ πύλην μὴ ἔχον μὴ χαλιναγωγούμενον μὴ δὲ κρατούμενον. Ἀπεριλάλητον. οἷον, οὐκ εἰδότα λαλεῖν. κομποφακελορρήμονα δὲ βαρυρρήμονα σκληρὰ καὶ συνδεδεμένα ἔπη λέγοντα. φάκελοι γὰρ τὰ βαρέα. καὶ συνδεδεμένα φορτία τῶν ξύλων.

Ἄληθες ὦ παῖ. ἐν ἐρωτήσει. ἀντὶ ὄντως δὴ σὺ, ὅτι δὲ λαχανοπώλιδος υἱὸς ἦν ὁ εὐριπίδης, ἀλέξανδρός φησιν. εἴρηται δὲ ὁ στίχος, παρὰ τῷ εὐριπίδῃ. ἄληθες ὦ παῖ τῆς θαλασσίας θεοῦ. βαρυτονητέον δὲ τὸ ἄληθες. ἀρουραίας δὲ διότι τὰ λάχανα ἐκ τῆς γῆς φύεται. Πτωχοποιέ. ὁ τὸν τήλεφον τὸν βασιλέα μυσῶν πτωχὸν ποιήσας. στωμυλιοσυλλεκτάδη δὲ ὁ πολυλογίας συνάγων. ῥακιοσυρραπτάδη δὲ, ὁ τὰ ῥάκη συρράπτων καὶ ἐνδύων τοὺς βασιλεῖς. ἢ ὁ τὰ τῶν ἄλλων ποιητῶν συλλέγων καὶ οἰκεῖα ἑαυτοῦ λογιζόμενος.

Σκινδαλμῶν τε παραξόνια. σκινδαλμὸς κυρίως, τὸ περὶ τὸν φλοιὸν τοῦ καλάμου ξέσμα. παραξόνια δὲ, οἷον κινδυνώδη καὶ παράβουλα. παρὰ τὸν τροχὸν ἑλκόμενα. καὶ ἄλλως ἔφη ἐπ' αὐτοῦ τοῦ εὐριπίδου, τοιοῦτον. ἔτι παρακεκινδυνευμένον. Ἄλλως. παραξόνια κινδυνώδη. ἀπὸ τοῦ ἄξονος. ἀεὶ γὰρ τὸ μέρος τοῦτο κινδυνεύει. σμιλεύματα δὲ, τὰ ἐκβαλλόμενα. ἀπὸ σμίλης. ἀντὶ τοῦ διαγλύμματα. ἐρεθίσματα. Φρενοτέκτονος. τοῦ ἐκ τῆς αὐτοῦ φρενὸς τεκταινομένου καὶ συντιθέντος αἰσχύλου. ταῦτα δὲ λέγει ἐπειδὴ τοιούτοις ὀνόμασιν αἰσχύλος ἐκέχρητο [illegible] ἁπλοῦσι. τὸ δὲ ἑξῆς φωτὸς ἀμυνομένου τουτέστι τοῦ εὐριπίδου ἀμυνομένου τὰ ἱπποβάμονα ῥήματα τοῦ φρενοτέκτονος ἀνδρὸς τουτέστι τοῦ αἰσχύλου. Φρίξας δ' αὐτοκόμου, ὡσεὶ εἶπεν ὀργισθείς. ὥσπερ σῦς. πᾶν δέ τ' ἐπισκύνιον, κάτω ἕλκεται. εἰς ἓν δὲ συνήγαγεν ὁμοῦ ἀμφοτέρας τὰς ὁμηρικὰς εἰκόνας τήν τε ἐπὶ τοῦ λέοντος, ἐν τῷ λασιαύχενα χαίταν καὶ τὴν ἐπὶ τοῦ συός. Ἐπισκύνιον συνάγων. ὅμηρος πᾶν δέ τ' ἐπισκύνιον κάτω ἕλκεται ὄσσε καλύπτων. τὸ περὶ τὰς ὀφρῦς δέρμα. κατὰ μετάθεσιν τοῦ λ εἰς ν. σκύλος γὰρ λέγεται τὸ δέρμα. ἔνθα καὶ σκυλοδέψης ὡς βυρσοδέψης. τὸ ἐπάνω τῶν ὀφθαλμῶν μέρος. ἤτοι δέρμα. τὸ συνοφρύωμα τοῦ μετώπου. ὅθεν καὶ σκύζεσθαι τὸ ὀργίζεσθαι. διὰ τὸ ἐνδιάθετον γίνεσθαι τοῦτο τὸ μέρος τοῖς ὀργιζομένοις. καὶ ἐπισκύσαι τὸ χαλεπῆναι, ἀπὸ τοῦ τὸ ἐπισκύνιον καθέλκειν τοὺς χαλεπαίνοντας.

Σκινδαλμῶν τε παραξόνια.
σμιλεύματά τ' ἔργων
φωτὸς ἀμυνομένου,
φρενοτέκτονος ἀνδρός.
ῥήμαθ' ἱπποβάμονα.
φρίξας δ' αὐτοκόμου λοφιᾶς
λασιαύχενα χαίταν,
δεινὸν ἐπισκύνιον ξυνάγων,
βρυχώμενος ἥσει.
ῥήματα γομφοπαγῆ
πινακηδὸν ἀποσπῶν
γηγενεῖ φυσήματι
ἔνθεν δὴ, στοματουργὸς ἐπῶν

Γομφοπαγῆ. ἀκριβέστατα. πολυσύνθετα. σκληρὰ καὶ ἦχον ποιοῦντα ὥσπερ αἱ κεκαρφωμέναι σανίδες. Πινακηδὸν ἀποσπῶν. ἀποσπῶν τὰ ῥήματα, ὥσπερ πίνακας ἀπὸ πλοίων. οὐχ ὡς εὐριπίδης σκινδαλμούς. πινακίδες δὲ αἱ μεγάλαι σανίδες τῶν πλοίων. δίκην σανίδων τῶν ἐκ νεὼς ἀποσπωμένων ἐν τρικυμίᾳ.

Γηγενεῖ φυσήματι. μεγάλῳ ὥστε σειομένους ποιεῖν. ἀρχαία γὰρ ὑπόνοια τὸ, ὑπὸ πνευμάτων κατεχομένην σείεσθαι τὴν γῆν. Λίσπη. τῷ τόνῳ ὡς κίστη. ἀπολλώνιος δὲ ὀξύνει. ὡς ψιλή. λίσπη δὲ, ἡ ἐκτετριμμένη καὶ λεία. οὕτω γὰρ λέγονται, οἱ τοιοῦτοι ἀστράγαλοι. ἀφ' οὗ καὶ οἱ λίσποι τὰ ἰσχία. καλλίστρατος δὲ, θυρίδιον λεπτὸν σφόδρα. ἀφ' οὗ καὶ οἱ τὰ ἰσχία λεπτοὶ, λίσποι λέγονται. Ἄλλως. λίαν ἐκτετριμμένη καὶ ὀλισθηρὰ γλῶσσα. διὰ τὸ ἐν τοῖς λόγοις δυσπερίφυκτον. Ἄλλως. λίσπους καλοῦσι, τοὺς ὑφ' ἡμῶν καλουμένους, τρυφνοὺς ἀστραγάλους. οἱ τοιοῦ-

Ὅμηρος· σταφύλην ἐπὶ νῶτον ἔχουσα. οὐδὲν δὲ ἀλλ' ἢ διον περιττὰ καὶ σοφά. ἢ διὰ τούτων δείκνυσιν ὅτι παντοδαπῶς ἐξεπαθήσεται. Ταυρηδόν. τοιοῦτος γὰρ τῷ σχήματι ὀργιζόμενος αἰσχύλος. Οὔτε γὰρ ἀθηναίοισιν· ὡς φαύλων περὶ τὰς ἀπὸ κρίσεις ὄντων, οὐκ ἐστοίχησεν. Τοὺς τοιχωρύχους. τοὺς προσέχοντας δὲ εἰπεῖν δὴ πονηρούς. Λῆρόν τε τἄλλ' ἡγεῖτο. ἀντὶ τοῦ τοὺς ἄλλους. ἀθηναίους μέν, συνετοὺς ἡγεῖτο. πονηροὺς δὲ τοὺς πλείστους· διὸ μὴ ἐπιτρέψαι αὐτοῖς τὴν κρίσιν. τοὺς δὲ ἄλλους ἀνθρώπους, λῆρον ἡγεῖτο πρὸς τοιαύτην ἐξέτασιν. Ὡς ὅταν γ' οἱ δεσπόται. ὅταν γὰρ οἱ δεσπόται σπουδάζωσι, βέλτιόν τι ἀπαρτισθῆναι, ἐπιτηδεύουσι τοὺς δούλους, ἵνα βέλτιον ἐνεργῶσιν. Ἦ που δεινὸν ἐριβρεμέτας. κορωνὶς καὶ εἴσθεσις μέλους χοροῦ μονοστροφικὴ τέσσαρας περιόδους ὁμοίους ἔχουσα· τὰ κῶλα δ' ἑκάστης περιόδου εἰσὶν ἑπτὰ ἰσόμετρα. ὧν τὰ μὲν πρῶτα καὶ τρίτα καὶ πέμπτα δακτυλικά. ἀλλὰ τὰ μὲν ἑφθημιμερῆ. τὰ δὲ πέμπτα πενθημιμερῆ. τὰ δ' εὔτερα καὶ τέταρτα καὶ ἕκτα ἀναπαιστικὰ ἑφθημιμερῆ. τὰ δ' ἕβδομα τροχαϊκὰ ἑφθημιμερῆ δὲ ἐπιδεια. μετροῦνται μέντοι καὶ κατὰ δύο δακτυλικοὺς ἑξαμέτρους καὶ ἕνα τετράμετρον καὶ ἕνα τροχαϊκὸν δίμετρον καταληκτικόν. Ἦ που δεινὸν ἐριβρεμέτας. ὁ αἰσχύλος πρὸς τὸ βροντῶδες τῶν ῥημάτων καὶ κομπῶδες διὰ ἐστι κἀκεῖνα εὐθὺς ἐν ἀρχῇ τοῦ προμηθέως. χθονὸς μὲν ἐς τηλουρὸν ἥκομεν πέδον. σκύθην ἐς οἶμον ἄβατον εἰς ἐρημίαν. ἥφαιστε. σοὶ δὲ χρὴ μέλειν ἐπιστολάς, ἅς σοι πατὴρ ἐφεῖτο, τόνδε πρὸς πέτραις ὑψηλοκρήμνοις τὸν λεωργὸν ὀχμάσαι, ἀδαμαντίνων δεσμῶν ἐν ἀρρήκτοις πέδαις. καὶ πάλιν, ἀδαμαντίνου νῦν σφηνὸς αὐθάδη γνάθον στέρνων διαμπὰξ πασσάλευ' ἐρρωμένως. Θήγοντος ὀδόντας. ἀπὸ μεταφορᾶς ἐστὶ τῶν χοίρων, οἳ ὅταν εἰς μάχην παρασκευάζωνται, τοῦτο ποιοῦσι. στροβήσεται δὲ ἀντὶ τοῦ ταραχθήσεται. Ὑψιλόφων τε λόγων. τῶν τοῦ αἰσχύλου. διὰ τὸ ὑψηλόν. τουτέστι μετεώρων. μεγάλων. χαρακτηρίζει δὲ ἀμφοτέρους. εὐριπίδην καὶ αἰσχύλον.

αἰ. ἔβλεψεν οὖν ταυρηδὸν ἐγκύψας κάτω.
ξα. κρινεῖ δὲ δὴ τίς ταῦτα. αἰα. τοῦτ' ἦν δύσκολον.
σοφῶν γὰρ ἀνδρῶν ἀπορίαν εὑρισκέτην.
οὔτε γὰρ ἀθηναίοισι συνέβαινεν αἰσχύλος,
ξα. πολλοὺς ἴσως ἐνόμιζε τοὺς τοιχωρύχους.
αἰ. λῆρόν τε τἄλλ' ἡγεῖτο, τοῦ γνῶναι πέρι
φύσεις ποιητῶν. εἶτα τῷ σῷ δεσπότῃ
ἐπέτρεψαν, ὁτιὴ τῆς τέχνης ἔμπειρος ἦν.
ἀλλ' εἰσίωμεν. ὡς ὅταν γ' οἱ δεσπόται
ἐσπουδάκωσι, κλαύμαθ' ἡμῖν γίγνεται.
χο. ἦ που δεινὸν ἐριβρεμέτας,
χόλον ἔνδοθεν ἕξει.
ἡνίκ' ἂν ὀξυλάλων περ ἴδῃ,
θήγοντος ὀδόντα
ἀντιτέχνου. τότε δὴ
μανίας ὑπὸ δεινῆς,
ὄμματα στροβήσεται
ἔσται δ' ὑψιλόφων τε λόγων
κορυθαίολα νείκη.

Κλειδημίδης. καλλίστρατος, ὅτι ἴσως σοφοκλέους υἱὸς οὗτος. ἀπολλώνιος δέ, ὅτι σοφοκλέους ὑποκριτής. τοῦτο δὲ πόθεν, σκέψασθε. διαβάλλει δὲ καὶ κλειδημίδην ὡς κακόξενον. τινὲς δὲ τὸ νυνὶ δ' ἔμελλε τοῦ κλειδημίδου φασὶν εἶναι. ἔφεδρος δὲ ὁ μὴ παλαιώμενος ἐν τοῖς ἀγῶσιν εἰς τὸ ἀγωνίζεσθαι τοῖς νικῶσιν. καὶ σοφοκλῆς· καί μοι δυσθεράπευτος αἴας ξύνεστ' ἔφεδρος. ἤγουν ἔσχατος καὶ ὡς ἔφεδρος ἐλήφθη μοι αἴας εἰς κακόν. Ἕξειν κατὰ χώραν. ἀντὶ τοῦ ἐάσειν οὕτως, ὡς ηὗρεν αἰσχύλον καθέζεσθαι.

νυνὶ δ' ἔμελλεν, ὡς ἔφη κλειδημίδης,
ἔφεδρος καθεδεῖσθαι. κἂν μὲν αἰσχύλος κρατῇ,
ἕξειν κατὰ χώραν. εἰ δὲ μή, περὶ τῆς τέχνης
διαγωνιεῖσθ' ἔφασκε πρός γ' εὐριπίδην,
ξα. τί χρῆμ' ἄρ' ἔσται. αια. νὴ δί' ὀλίγον ὕστερον,
κἀνταῦθα δὴ τὰ δεινὰ κινηθήσεται.
καὶ γὰρ ταλάντῳ μουσικὴ σταθμήσεται.
ξα. τί δέ, μειαγωγήσουσι τὴν τραγῳδίαν;
αι. καὶ κανόνας ἐξοίσουσι καὶ πήχεις ἐπῶν.
καὶ πλαίσια ξύμπηκτα πλινθεύσουσί γε.
καὶ διαμέτρους. καὶ σφῆνας. ὁ γὰρ εὐριπίδης,
κατ' ἔπος βασανιεῖν φησι τὰς τραγῳδίας.
ξα. ἦ που βαρέως οἶμαι τὸν αἰσχύλον φέρειν.

Μειαγωγήσουσι τὴν τραγῳδίαν. μεῖον λέγουσι, τοὺς ὑπὲρ τῶν υἱῶν εἰς τὰ ἀπατούρια οἷς ὑπὸ τῶν πατέρων εἰς φερομένους διὰ τὸ ἀποφωνεῖν τοὺς φράτερας ἐπὶ τοῦ σταθμοῦ τοῦ ἱερείου, μεῖον. μεῖον. ὅτι δὲ ἵσαντος', ἀριστοφάνης ἐν δράματι δεδήλωκε. τοῦτο δὲ κέκληται κούρειον, ἀπὸ τῶν κούρων. ὑπὲρ ὧν ἐθύετο. μεῖον δὲ διὰ τὴν προειρημένην αἰτίαν καὶ ἐπιζήμιόν τι τοῖς ἤτοι εἰσάγουσιν ἀποδέδεικτο. καθάπερ αὐτός φησιν ἀριστοφάνης. ἀλλ' οὐ χόμαι ἔγωγε, ἑλκύσαι σε τὸν σφυγμόν, ἵνα μή με προσπράττωσι γρῶν οἱ φράτορες. μειαγωγὸς δὲ ἐλέγετο, ὁ προαγαγὼν τὸ ἱερεῖον. ὅτι μεῖον τὸ ἱερεῖον ἔλεγον, τὸ παριστάμενον ὑπὲρ τῶν εἰς τοὺς φράτερας ἐκφερομένων. μεῖον δὲ ἐκλήθη ἀπὸ τοῦ συμβαίνοντος. ἔδει γὰρ αὐτό, ἔλαττον ἔχειν σταθμοῦ τινος ἀπὸ τοῦ ὡρισμένου διὰ τοὺς φιλοδοξοῦντας. οἱ δὲ φράτερες ἵνα μείζους νέμωνται μερίδας, ἐπεφώνουν οὐκ ἐάν τις ἱστῶσι, διὰ τοῦ μεῖόν ἐστιν. Ἄλλως. ἐάν τις εἰσάγῃ εἰς τοὺς ἰδίους φράτορας υἱὸν ἐν ἡλικίᾳ γενόμενον, παρίστα αὐτοῖς ἐπὶ ὡρισμένῳ σταθμῷ ἱερεῖον, πρὸς ὃν ἔδει προσάγειν. καὶ οὐκ ἐξῆν μεῖον παρασχεῖν. ὅτι δὲ ἐντιθείη τὸ ἱερεῖον εἰς τὸν ζυγόν, παριστῶντες ἐβόων. μεῖον μεῖον τοῦτο. δῆλον ὅτι ἔλαττόν ἐστι. παρὰ τοῦτο οὖν λέγει, καὶ μειαγωγεῖν τὴν τραγῳδίαν, τουτέστι πρὸς τὸν ζυγὸν προσάξουσι καὶ στήσουσιν. Ἄλλως. ἐπεὶ εἰώθασι προσφέρειν οἱ εἰς τοὺς φράτερας γραφόμενοι, πρόβατον. καὶ οἱ ἱστάμενοι, ἔλεγον. μεῖον. μεῖον. καὶ τὸν εἰσάγοντα μειαγωγὸν ἐκάλουν. Τοὺς κανόνας. κυρίως τὸ ἐπάνω τῆς τρυτάνης ὄν. καὶ εἰς ἰσότητα ταύτην ἄγων. Καὶ πλαίσια. τὰ τῶν ξύλων τετράγωνα. πλαίσιον γὰρ πλινθίον τετράγωνον. Ἀφθόνιος. καὶ τὸ σχῆμα πλαίσιον τυγχάνει τοῦ μηχανήματος. διάμετρος δὲ ἡ ἐν τῷ κύκλῳ κέντρον τέμνουσα μέσον γραμμή. διαβήτης. σταφύλη. ὅπερ ἐστὶν ὄνομα παρὰ τοῖς ἀρχιτέκτοσιν ἐπὶ τῆς καθιεμένης μολύβδου τιθέμενον.

Νόμος τις ἐνθάδ' ἐστί. νόμος ἦν ἐν τῷ ᾅδῃ, τὸν βέλτιστον ἄνδρα τῶν ἑαυτοῦ συντέχνων, ἐγγὺς τοῦ πλούτωνος καθέζεσθαι. Σίτησιν αὐτόν. ταῦτα μεταφέρει ἀπὸ τῶν ἐν ἀττικῇ ἐθῶν, εἰς τὰ καθ' ᾅδου. Τοῦ πλούτωνος ἑξῆς. ἀντὶ τοῦ ἐγγὺς τοῦ θρόνου τοῦ πλούτου. Βαλαντιοτόμοις. τοῖς τὰ βαλάντια τέμνουσιν ἃ ἐν ταῖς ζώναις ἀποκρημνάμενα φοροῦσιν οἱ ἄνθρωποι. Τῶν ἀντιλογιῶν. παρ' ἴσως αὐτοῦ, τὸ παρ' ἴσους λόγους σαπρόν. καὶ ἐν ἄλλοις. στρέφει μέλος τὴν τέχνην εὐριπίδης. Λυγισμῶν. γράφεται καμπῶν. τουτέστι παραλογισμῶν. τὸ δὲ καμπτεῖν, ἅμα μὲν πρὸς τὰ μέλη. ἅμα δὲ πρὸς τὸ ἐξελίττειν καὶ ἀποδύεσθαι. ὅμηρος. δίδει μόσχοισι λύγοισι δίδυμος ἢ, λυγισμῶν. ἀπὸ τῶν συνδέσεων τοῦ λόγου.

Ὑπερεμάνησαν. ἀντὶ τοῦ λίαν ἐχάρησαν. τούτων γὰρ οἱ τοιοῦτοι ὀρέγονται. ἵν' ὁπότε φωραθῶσι κλέπτοντες διὰ τοῦ τὸ κεκρατηκότας φύγωσι. διαβάλλει δὲ εὐριπίδην ἐνταῦθα ὡς λίαν πανοῦργον καὶ τὰ τοιαῦτα ἐν τοῖς δράμασιν αὐτοῦ διδόντα. Οὐκ ἐβάλλετο, λίθοις δηλονότι. εἴπερ οὐκ ἐλιθοβολεῖτο φησὶ ποιήσας. Οὐράνιον γ' ὅσον. ἀντὶ τοῦ πολύ. καὶ μεγάλως ἐβόησαν.

Ὀλίγον τὸ χρηστόν ἐστι. δεικνύουσιν ὡς πρὸς τὸ θέατρον. μηνύει δὲ τὰ ἐνθάδε τοῖς ἐκεῖ. νῦν γὰρ οὐ καθ' ᾅδου φησίν. Κἀκεῖνος ὑπεχώρησεν αὐτῷ τοῦ θρόνου. καλλίστρατος: οὐχ ὡς παραδεδωκότος αἰσχύλου τὸν θρόνον, ἀλλ' ὡς παραδεδεγμένου αὐτὸν καὶ οὐ προκεχωρηκότος,

ξα. ἐκ τοῦ; αἰ. νόμος τις ἐνθάδ' ἐστὶ κείμενος·
ἀπὸ τῶν τεχνῶν ὅσαι μεγάλαι καὶ δεξιαί,
τὸν ἄριστον ὄντα τῶν ἑαυτοῦ συντέχνων·
σίτησιν αὐτὸν ἐν πρυτανείῳ λαμβάνειν·
θρόνον τε, τοῦ πλούτωνος ἑξῆς; ξα. μανθάνω.
αἰ. ἕως ἀφίκοιτο τὴν τέχνην σοφώτερος
ἕτερός τις αὐτοῦ· τότε δὲ παραχωρεῖν ἔδει.
ξα. τί δῆτα τουτὶ τεθορύβηκεν αἰσχύλον·
αἰ. ἐκεῖνος εἶχε τὸν τραγῳδικὸν θρόνον,
ὡς ὢν κράτιστος τὴν τέχνην. ξα. νυνὶ δὲ τίς,
αἰ. ὅτε δὴ κατῆλθεν εὐριπίδης, ἐπεδείκνυτο
τοῖς λωποδύταις καὶ τοῖς βαλαντιοτόμοις
καὶ τοῖσι πατραλοίαισι καὶ τοιχωρύχοις,
ὅπερ ἔστ' ἐν ᾅδου πλῆθος. οἱ δ' ἀκροώμενοι
τῶν ἀντιλογιῶν, καὶ λυγισμῶν. καὶ στροφῶν,
ὑπερεμάνησαν. κἀνόμισαν σοφώτατον·
κἄπειτ' ἐπαρθεὶς, ἀντελάβετο τοῦ θρόνου,
ἵν' αἰσχύλος καθῆστο. ξα. κοὐκ ἐβάλλετο;
αἰ. μὰ δί'. ἀλλ' ὁ δῆμος ἀνεβόα κρίσιν ποιεῖν
ὁπότερος εἴη τὴν τέχνην σοφώτερος
ξα. ὁ τῶν πανούργων; αἰ. νὴ δί' οὐράνιόν γ' ὅσον.
ξα. μετ' αἰσχύλου δ' οὐκ ἦσαν ἕτεροι ξύμμαχοι;
αἰ. ὀλίγον τὸ χρηστόν ἐστιν ὥσπερ ἐνθάδε.
ξα. τί δῆθ' ὁ πλούτων δρᾶν παρασκευάζεται.
αἰ. ἀγῶνα ποιεῖν αὐτίκα μάλα καὶ κρίσιν.
κἄλεγχον αὐτοῖν τῆς τέχνης. ξα. κἄπειτα, πῶς
οὐ καὶ σοφοκλέης ἀντελάβετο τοῦ θρόνου.
αἰ. μὰ δί' οὐκ ἐκεῖνος. ἀλλ' ἔκυσε μὲν αἰσχύλον
ὅτε δὴ κατῆλθε. κἀνέβαλε τὴν δεξιάν.
κἀκεῖνος ὑπεχώρησεν αὐτῷ τοῦ θρόνου.

Μάλ' ἐποπτεύειν δοκῶ. σύμμαχος οὕτως αὐτῇ τῇ λέξει φαίνονται συνεχῶς λέγειν. εὐφημοῦντες, τὴν τῶν μυστηρίων ἐποπτείαν. οἱ δὲ τὰ μυστήρια παραλαμβάνοντες. μύσται καλοῦνται. οἱ δὲ παραλαβόντες αὐτά, τῷ αὖθις ἐνιαυτῷ, ἐφορῶσι τὰ μυστήρια. καὶ ἐποπτεύουσι. καὶ ἐποπτεύοντες, χαίρουσιν ἐπὶ τῷ πολλὰ πράττειν. ὁ δὲ νοῦς, ὅταν φησὶ λάθρα καταράσωμαι τῷ δεσπότῃ, λίαν οὕτως ἥδομαι, ὡς δοκεῖν μυστήρια ἐποπτεύειν. καὶ ἑορτάζειν. τὸ δὲ μάλ' εἶπεν, ἀντὶ τοῦ οὐκ ἄλλα. οἷα πρόπω λεγόμενα. οὐχ οἷον ἥδομαι, ἀλλ' ὑπερήδομαι. ἔστι δὲ καὶ ἄλλη γραφή· μάλα γ' ἐποπτεύειν δοκῶ. ἔτι δὲ καὶ μάλ' ἐποπτεύειν μοι δοκῶ. τονθορύζων δὲ ψιθυρίζων ἠρέμα γογγύζων. ἢ λάθρα φθεγγόμενος. ὑποτρέμων. τὰ χείλη κινῶν. τὸ δὲ πολλὰ πράττων. ἢ ἀντὶ τοῦ χαίρεις τονθορύζων ἡνίκα πολλὰ μοχθῇς κελεύοντος τοῦ δεσπότου νοητέον, ἢ οὕτω τί δὲ χαίρεις πολλὰ πράττων ἤγουν πάσχων ἢ μοχθῶν. ἵν' ᾖ ὁ τοῦ αἰακοῦ λόγος κατ' ἐρωνείαν. ἢ τοῦ οἰκέτου λέγοντος οὕτω χαίρω ὡς μὰ τὸν δία οὐδὲν ἄλλο οἶδα εἰς ὃ χαίρω ἐγώ. Ὁμόγνιε ζεῦ. τὴν ὁμοιότητα θαυμάζων λέγει. οἷον, ὦ ὁμοιότητος. τὸ δὲ παρακούων, οὐχ ὡς ἡμεῖς εἰώθαμεν λέγειν, καταφρονῶν τῶν λεγομένων, παρὰ τῶν δεσποτῶν. ἀλλ' ἴσως τό, λάθρα ἐπακροώμενος. ἔνθεν καὶ ὠτακουστὰς οἱ ἀττικοί φασι. τὸ δὲ πλεῖν ἢ μαίνομαι, ἀντὶ τοῦ ἐξανίσταμαι ἑαυτοῦ ἐκ τῆς ἀξίας.

ξαν. χαίρεις ἱκετεύω. αἰ. μάλα γ' ἐποπτεύειν δοκῶ,
ὅταν καταράσωμαι λάθρα τῷ δεσπότῃ.
ξαν. τί δέ, τονθορύζων ἡνίκ' ἂν πληγὰς λαβὼν,
πολλὰς ἀπίῃς θύραζε. αἰα. καὶ τοῦθ' ἥδομαι.
ξαν. τί δὲ πολλὰ πράττων. αἰα. ὡς μὰ δί' οὐδὲν οἶδ' ἐγώ.
ξαν. ὁμόγνιε ζεῦ. καὶ παρακούων δεσποτῶν
ὅταν λαλῶσι; αἰα. μάλα γε πλεῖν ἢ μαίνομαι.
ξαν. τί δὲ τοῖς θύραζε ταῦτα καταλαλῶν. αἰα. ἐγώ,
μὰ δί' ἀλλ' ὅταν δρῶ τοῦτο. κἀκμαίνομαι.
ξαν. ὦ φοῖβ' ἄπολλον. ἔμβαλέ μοι τὴν δεξιὰν
καὶ δὸς κύσαι. κ' αὐτὸς κύσον. καί μοι φράσον
πρὸς διός, ὃς ἡμῖν ἐστιν ὁμομαστιγίας,
τίς οὗτος οὔνδον ἐστὶ θόρυβος χ' ἡ βοή·
χὠ λοιδορισμός. αἰα. αἰσχύλου κεὐριπίδου.
ξαν. ἆ. αἰα. πρᾶγμα πρᾶγμα γὰρ κεκίνηται μέγα.
ἐν τοῖς νεκροῖσι. καὶ στάσις πολλὴ πάνυ.

Κἀκμαίνομαι. οὕτως ἔλεγον τὸ ἀποσπερματίζειν ὡς οἱ ὀνειρώττοντες. τοῦτο οὖν φησὶν ὅτι ἥδομαι ὥσανεὶ ἀποσπερματίζων. Ὁμομαστιγίας. ὥσπερ φαμὲν ἑταιρεῖος ζεὺς καὶ ὁμόγνιος καὶ ἱκέσιος καὶ ξένιος καὶ ὅσα τοιαῦτα οὕτω καὶ δούλιος ὁ τῶν δούλων ἔφορος. ἐπεὶ δὲ οἱ δοῦλοι μάστιξιν ὑπόκεινται καὶ πληγαῖς, διὰ τοῦτο ὁμομαστιγίας εἶπεν. ἢ βουλόμενος εἰπεῖν ὃς ἡμᾶς νῦν εἰσήγαγε, παίζων παρ' ὑπόνοιαν εἶπεν ὁμομαστιγίας. ἄλλως. ἀντὶ τοῦ εἰπεῖν ὁμόγνιος. ὡς ἔμπροσθεν. ἢ ὁμάδελφος. λέγει οὖν ὁμόδουλος. στικτέον δὲ, ἐπὶ τῷ μαστιγίας. μέλλων γὰρ αὐτὸν πυνθάνεσθαι περί τινος πράγματος δουλικοῦ, σιωπᾷ, ἀκούσας ἔνδον γινομένου θορύβου περὶ οὗ καὶ ἑξῆς πυνθάνεται. οὐ γὰρ ὁρκίζει αὐτὸν κατὰ τοῦ διός, ἵνα εἴπῃ αἰτίαν περὶ τῆς ἔνδον βοῆς. δύναται δὲ συνάπτεσθαι καὶ ἀπὸ τοῦ καί μοι φράσον, μέχρι τοῦ χὠ λοιδορισμός

K ἐκωδωνισμένοις. δεδοκιμασμένοις. ἐκλελεγμένοις ἀκριβῶς. Τοῖς πονηροῖς χαλκίοις, τοῖς χαλκοῖς κέρμασι. τοῖς ἀδοκίμοις. καὶ μεμιγμένοις χαλκῷ, ὡς ἐπὶ νομισμάτων. χαλκία δὲ ὡς χρυσία ἔλεγον τῷ σχήματι, χαλκᾶ σκεύη. νῦν δὲ ὡς κακὸν νόμισμα τὸ χρυσοῦν οὕτως εἶπεν. δύναται δὲ καὶ τὸ χαλκοῦν λέγειν. ἐπὶ γὰρ Καλλίου, χαλκοῦν νόμισμα ἐκόπη. Χθές τε καὶ πρώην. ἀντὶ τοῦ καινοῖς. ὡς ἐπὶ νομίσματος δὲ τῷ κόμματι. Προσελοῦμεν. προπηλακίζομεν. ἐλαύνομεν. ἐκβάλλομεν.

ἀλλὰ καλλίστοις ἁπάντων ὡς δοκεῖ νομισμάτων.
καὶ μόνοις ὀρθῶς κοπεῖσι, καὶ κεκωδωνισμένοις,
ἔν τε τοῖς Ἕλλησι καὶ τοῖς βαρβάροισι πανταχοῦ,
χρώμεθ' οὐδὲν, ἀλλὰ τούτοις τοῖς πονηροῖς χαλκίοις,
χθές τε καὶ πρώην κοπεῖσι τῷ κακίστῳ κόμματι
Τῶν πολιτῶν θ' οὓς μὲν ἴσμεν εὐγενεῖς καὶ σώφρονας
ἄνδρας ὄντας καὶ δικαίους καὶ καλούς τε κἀγαθούς.
καὶ τραφέντας ἐν παλαίστραις, καὶ χοροῖς, καὶ μουσικῇ
προσελοῦμεν, τοῖς δὲ χαλκοῖς, καὶ ξένοις, καὶ πυρρίαις
καὶ πονηροῖς κἀκ πονηρῶν. εἰς ἅπαντα χρώμεθα.
ὑστάτοις ἀφιγμένοισιν. οἷσιν ἡ πόλις πρὸ τοῦ
οὐδὲ φαρμακοῖσιν εἰκῆ ῥᾳδίως ἐχρήσατ' ἄν.
ἀλλὰ καὶ νῦν ὦ 'νόητοι μεταβαλόντες τοὺς τρόπους,
χρῆσθε τοῖς χρηστοῖσιν αὖθις. καὶ κατορθώσασι γὰρ,
εὔλογον. κἄν τι σφαλῆτ' ἐξ ἀξίου γοῦν τοῦ ξύλου,
ἤν τι καὶ πάσχητε, πάσχειν τοῖς σοφοῖς δοκήσετε.
αἰ. νὴ τὸν δία τὸν σωτῆρα, γεννάδας ἀνὴρ
ὁ δεσπότης σου. ξα. πῶς γὰρ οὐχὶ γεννάδας
ὅστις γε πίνειν οἶδε καὶ βινεῖν μόνον.
αἰ. τὸ δὲ μὴ πατάξαι σ' ἐξελέγξαντ' ἄντικρυς,
ὅτι δοῦλος ὢν, ἔφασκες εἶναι δεσπότης;
ξαν. οἴμωζε μέντ' ἄν. αἰ. τοῦτο μέντοι δουλικὸν
εὐθὺς πεποίηκας, ὅπερ ἐγὼ χαίρω ποιῶν.

K αἱ πυρρίαις. ἀντὶ τοῦ δούλοις. ὄνομα γὰρ δούλου, ὁ πυρρίας ἀπό τινος δούλου πυρρίου. ὡς καὶ ξανθίας, ἀπὸ ξανθίου τινός. ὧν ὁ μὲν πυρρὸς ἦν τὴν κόμην. ὁ δὲ, ξανθός. φαρμακοῖσι δὲ τοῖς λεγομένοις καθάρμασιν. Ἐξ ἀξίου γοῦν τοῦ ξύλου. παρὰ τὴν παροιμίαν. ἐξ ἀξίου γοῦν τοῦ ξύλου. κἂν ἀπάγξασθαι. ἐπὶ τῶν ἐθελόντων σεμνῶς δυστυχεῖν. θέλει δὲ οὖν λέγειν, ὅτι βέλτιόν ἐστι χρῆσθαι τοῖς γενναίοις στρατηγοῖς καὶ δεδοκιμασμένοις, ἢ τοῖς φαύλοις. καὶ γὰρ δέῃ παθεῖν, κρεῖττον ἀπὸ ἀγαθοῦ ἢ φαύλου πάσχειν.

N νὴ τὸν δία τὸν σωτῆρα. αἰακὸς ἢ πλούτωνος οἰκέτης πρὸς τὸν τοῦ διονύσου ξανθίαν. κορωνὶς δὲ εἰσιόντων αὖθις τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. ος΄. ὧν τελευταῖος ἐσπουδάκωσι. κλαυμαθ' ἡμῖν γενήσεται. Βινεῖν συνουσιάζειν. γαμεῖν ὅτι οἱ κοιμίζοντες τὴν ἡλικίαν, τὸ συνουσιάζειν. ὀρχὰς ἔχουσι τοῦ βίου. ἄλλοι δὲ παρὰ τὸ βύειν δεδώκασιν. Ἐξελέγξαι τ' ἄντικρυς γράφεται ἐξελεγχθέντα. λείπει δὲ τὸ θαυμάζω ἢ τοιοῦτόν τι. Οἴμωζε μέντ' ἄν. ἀντὶ τοῦ ὤμωζε τοι τέτιν, ἔφθεγγεν καὶ εἴων σοὶ λέγειν, οἴμωζε εἰπὼν εἰ ἔτυψέ με. Τοῦτο μέντοι δουλικόν. τὸ λοιδορεῖν τὸν δεσπότην ἀπόντα.

Ε ἰδ' ἐγὼ ὀρθῶς ἰδεῖν. τοῦτο Ἴωνός ἐστιν ἐκ φοινίκης. ἢ καὶ οἰνέως. Εἰ δ' ἐγὼ ὀρθὸς ἰδεῖν βίον ἀνδρὸς, πολίτου. θέλει γὰρ εἰπεῖν ὅτι εἰ δύναμαι κρίνειν. οἰμώξεται δὲ, τιμωρηθῆναι ὀφείλει. τὸ γὰρ οὐ πολὺν, σύναπτε εἰς τὸ χρόνον. Ὁ μικρός. τῷ σώματι δηλονότι. φαίνεται δὲ ὁ κλειγένης περὶ τὰ πολιτικά. καὶ τῶν πλουσίων μὲν ἐστι. ξένος δὲ καὶ βάρβαρος οὗτος. Ὁπόσοι κρατοῦσι. δέον εἰπεῖν ὅσοι κρατοῦσι γῆς, οὐκ εἶπεν. ἀλλ' ἐπήνεγκεν, ὅσα παρέχεται βαλανεὺς τοῖς λουομένοις σμήγματα.

Εἰ δ' ἐγὼ ὀρθὸς ἰδεῖν βίον ἀνέρος.
ἢ τρόπον, ὅστις ἔτ' οἰμώξεται.
οὐ πολὺν, οὐδ' ὁ πίθηκος οὗτος ὁ
νῦν ἐνοχλῶν, κλειγένης ὁ μικρός.
ὁ πονηρότατος βαλανεὺς, ὁπόσοι
κρατοῦσι κυκησιτέφρου.
ψευδονίτρου τε κονίας.
καὶ κιμωλίας γῆς;
χρόνον ἐνδιατρίψει. ἰδὼν δὲ τάδ' οὐκ
εἰρηνικὸς ἔσθ' ἵνα μή ποτε κα-
πολυθῇ μεθύων, ἄ-
νευ ξύλου βαδίζων.
Πολλάκις γ' ἡμῖν ἔδοξεν ἡ πόλις πεπονθέναι
ταὐτὸν, ἔς τε τῶν πολιτῶν τοὺς καλούς τε κἀγαθούς.
ἔς τε τἀρχαῖον νόμισμα. καὶ τὸ καινὸν χρυσίον.
οὔτε γὰρ τούτοισιν οὖσιν οὐ κεκιβδηλευμένοις,

Κ καὶ κιμωλίας γῆς. μία τῶν κυκλάδων νήσων αὕτη ἡ κιμωλία νιτροποιὸς γῆ ἐξ ἧς τὸ νίτρον. ἢ τῶν ἐρυθρῶν τῆς ἰωνίας ἀκρωτήριον, φέρων ἄμμον στυπτικήν. τὸν οὖν κλειγένην, ἐν τοιούτῳ ἤθει λέγει. ὡς περ εἰ ἔλεγε, πονηρότατός ἐστι πάσης τῆς γῆς, ὁπόσης οἱ βαλανεῖς κρατοῦσι, κιμωλίας καὶ τέφρας. καὶ τοιαύτης λοιπῆς. Οὐκ εἰρηνικός. οὐχ ἥσυχος. ἀλλ' οἷον ἔνοπλος. εἰδὼς δέ φησι τάδε, προσεποιεῖτο πρόφασιν καὶ μανίαν. εἰδὼς ὅτι, μισεῖται παρὰ τῶν πολιτῶν. διὸ καὶ βακτηρίαν ἔχων περιῄει, δι' ἧς ἠμύνετο τοὺς ἐπερχομένους αὐτῷ.

Γ Πολλάκις ἡμῖν ἔδοξε. τὸ ἀντεπίρρημα ὅμοιον κατὰ πάντα τῷ ἐπιρρήματι, ἐκ στίχων κ΄ τροχαϊκῶν τετραμέτρων καταληκτικῶν συγκείμενον. ὧν ὁ τελευταῖος ἦν τι καὶ πάσχητε πάσχειν τοῖς σοφοῖς δοκήσετε. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. τὸ δὲ ἑξῆς, τὸ αὐτὸ πέπονθεν ἡ πόλις εἰς τοὺς χρηστοὺς τῶν ἀνθρώπων καὶ ἐς τὸ ἀρχαῖον νόμισμα. ὥσπερ γὰρ τῷ παλαιῷ νομίσματι οὐ χρώμεθα καλῷ ὄντι, ἀλλὰ τῷ καινῷ κακῷ ὄντι, οὕτω καὶ τοῖς ἀρχαίοις ἀνθρώποις οὐ χρώμεθα καλοῖς οὖσι τοῖς δὲ νῦν στρατηγοῖς κακοῖς οὖσι συγχρώμεθα. Εἴς τε τἀρχαῖον νόμισμα. τῷ προτέρῳ ἔτει ἐπὶ ἀντιγένους. ἀλλὰ νικᾷ φησι χρυσοῦν νόμισμα κοπῆναι. καὶ φιλόχορος ὁμοίως, τὸ ἐκ τῶν χρυσῶν νικῶν. Οὐ κεκιβδηλευμένοις. ἀντὶ οὐ κακούργοις. οὐ κεκαπηλευμένοις. ἀλλὰ καθαροῖς. τοῖς παλαιοῖς δηλονότι ἀνδράσι.

116.b.

γικὸς Φρύνιχος ἐν τῷ δράματι, περὶ παλαισμάτων πολλὰ διεξῆλθεν, ὡς πρόκειται. ἔθος δὲ ἔχουσιν οἱ κωμικοὶ παρακωμῳδεῖν τοὺς τραγικούς, ὅταν πολλάκις καὶ συνεχῶς χρῶνται τοῖς αὐτοῖς. ἄλλως. στρατηγοῦντος αὐτοῦ ἠτυχήθησαν ἀθηναῖοι, καὶ πολλοὶ αὐτῷ προσεκρούσθησαν ὡς προδόντι τὸν πόλεμον. τινὲς δὲ τοῦτον κωμικὸν κρίνειν λέγουσιν ὃς καινουμένους τοὺς χοροὺς εἰσῆγε καὶ παλαίοντας. ἐγένετο δὲ στρατηγὸς ἐφ' οὗ πολλοὶ ἥμαρτον τῶν τραγικῶν καὶ ἄτιμοι ἐγένοντο.

Εἶτ' ἄτιμόν φημι χρῆναι μηδέν' εἶν' ἐν τῇ πόλει.
καὶ γὰρ αἰσχρόν ἐστι τοὺς μὲν ναυμαχήσαντας μίαν
καὶ πλαταιᾶς εὐθὺς εἶναι, κἀντὶ δούλων δεσπότας.
κοὐδὲ ταῦτ' ἔγωγ' ἔχοιμ' ἂν μὴ οὐ καλῶς φάσκειν ἔχειν,
ἀλλ' ἐπαινῶ. μόνα γὰρ αὐτὰ νοῦν ἔχοντ' ἐδράσατε.
πρὸς δὲ τούτοις εἰκὸς ὑμᾶς, οἳ μεθ' ὑμῶν πολλὰ δή,
χοἰ πατέρες ἐναυμάχησαν, καὶ προσήκουσι γένει,
τὴν μίαν ταύτην παρεῖναι ξυμφορὰν, αἰτουμένοις.
ἀλλὰ τῆς ὀργῆς ἀνέντες ὦ σοφώτατοι φύσει.
πάντας ἀνθρώπους ἑκόντες ξυγγενεῖς κτησώμεθα.
κἀπιτίμους καὶ πολίτας, ὅστις ἂν ξυνναυμαχῇ.
εἰ δὲ ταῦτ' ὀγκωσόμεσθα, κἀποσεμνυνούμεθα.
τὴν πόλιν καὶ ταῦτ' ἔχοντες κυμάτων ἐν ἀγκάλαις.
ὑστέρῳ χρόνῳ ποτ' αὖθις εὖ φρονεῖν οὐ δόξομεν.

Εἶτ' ἄτιμον φημὶ χρῆναι. ἕως τοῦ καὶ ἀντὶ δούλων δεσπότας. ἐπειδὴ τοὺς συνναυμαχήσαντας δούλους ἐλευθέρους ἐποίησαν. καὶ πλαταιᾶς εἶπεν, ὡς τῶν πλαταιέων ἀφέντων ἐλευθέρους, τοὺς συνναυμαχήσαντας περὶ σαλαμῖνα. Κ. αἱ πλαταιαῖς. ἀντὶ τῶν πλαταιέας. τοὺς συνναυμαχήσαντας δούλους, ἑλλανικός φησιν ἐλευθερωθῆναι. καὶ ἐγγραφέντας, ὡς πλαταιεῖς συμπολιτεύεσθαι αὐτοῖς. καλλίστρατος δέ φησιν οὐ συναλοιφὴν εἶναι ἀλλὰ διάλεκτον ἰδίαν, σημαίνουσαν τὸ δέον εἶναι. ἢ ὁμοίους ἡγεῖσθαι τοῖς ἐν πλαταιαῖς τὸ ξέρξου νενικηκόσι πεζόν. Χοἱ πατέρες ἐναυμάχησαν. ἴσως περὶ τῶν δ΄. λέγει στρατηγῶν, τῶν περὶ ἀργινούσας ναυμαχησάντων. τῶν σωθέντων ἐκ τῶν ι΄. κατεδικάσθησαν γὰρ αὐτοὶ μὴ ἀνελόμενοι τοὺς νεκρούς. οἱ μὲν ἓξ ὑπομείναντες, θανάτῳ ἐκολάσθησαν. οἱ δὲ λοιποὶ δ΄. ἔφυγον. οὓς ἀριστοφάνης μετακαλεῖσθαί φησι καὶ ἐπιδίκους ζ. ἡ δὲ ἀργίνουσα κώμη ἦν τῆς αἰολίδος. συμβαλόντες γὰρ ἐνίκησαν ἀθηναῖοι λακεδαιμονίους. καὶ νικήσαντες, ἐπανῆλθον. ἐν δὲ τῇ ὁδῷ χειμῶνι περιπεσόντες, πολλοὶ τεθνήκασιν αὐτῶν. καὶ τούτους ἐάσαντες οἱ στρατηγοί, ἐπανῆλθον οἱ ι΄. καὶ οἱ μὲν ἓξ ἐκολάσθησαν. οἱ δέ, δ΄. ἔφυγον. ἴσως δὲ καὶ ἐν τῷ ἔπος ἡμᾶς τι φρυνίχου παλαίσμασι, περὶ τῶν ἐν τῷ δ΄. λέγει. οἷον καὶ εἴ τις ἥμαρτε σφαλεὶς, ἀπολογησάσθω. καταπληχθείς. Εἰ δὲ ταῦτ' ὀγκωσόμεθ'. ἐὰν γὰρ ὡς μεγάλα ἁμαρτήματα, μὴ θελήσωμεν ἀφεῖναι τοῖς συμμαχήσασιν ὑπερφρονήσωμεν. ἀλαζονευσώμεθα μεγαλαυχήσωμεν. Κυμάτων ἐν ἀγκάλαις. δίδυμος φησὶ παρὰ τὸ αἰσχύλου ψυχὰς ἔχοντες κυμάτων ἐν ἀγκάλαις. θέλει δὲ εἰπεῖν, καὶ ταῦτα ὄντες ἐν πολλοῖς κινδύνοις. ἐνειστήκει γὰρ ὁ διονυσιακὸς πόλεμος. Ὑστέρῳ χρόνῳ ὅτι βλαβησόμεθα τῷ πολέμῳ.

[illegible] καὶ τὸ δέκατον. τὸ ἑνδέκατον μονόμετρον ὑπερκατάληκτον. τὸ δωδέκατον τροχαϊκὸν δίμετρον βραχυκατάληκτον ἰθυφαλλικόν. ἡ δὲ ἀντῳδὴ ἰσόμετρος. ἐπὶ τῷ τέλει τῆς μὲν ᾠδῆς παράγραφος καὶ διπλῆ ἔσω νενευκυῖα. τῆς δὲ ἀντῳδῆς δύο διπλαῖ ἔξω νενευκυῖαι. ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου ἡ δὲ κατὰ τὸ τέλος.

φιλοτιμότεραι Κλεοφῶντος. ἐφ' οὗ
δὴ χείλεσιν ἀμφιλάλοις,
δεινὸν ἐπιβρέμεται
Θρηκία χελιδών,
ἐπὶ βάρβαρον ἑζομένη πέταλον.
κελαδεῖ δ' ἐπίκλαυτον ἀηδόνιον
νόμον. ὡς ἀπολεῖται,
κἂν ἴσαι γένωνται.
ἡμ. τὸν ἱερὸν χορὸν δίκαιόν ἐστι χρηστὰ τῇ πόλει ※
ξυμπαραινεῖν καὶ διδάσκειν. πρῶτον οὖν ἡμῖν δοκεῖ,
ἐξισῶσαι τοὺς πολίτας. κἀφελεῖν τὰ δείματα.
κεἴ τις ἥμαρτε σφαλείς τι, Φρυνίχου παλαίσμασιν,
ἐγγενέσθαι φημὶ χρῆναι τοῖς ὀλισθοῦσιν τότε
αἰτίαν ἐκθεῖσι, λῦσαι τὰς πρότερον ἁμαρτίας.

Κλεοφῶντος. Κλεοφῶν στρατηγὸς τῶν Ἀθηναίων καὶ εἰς τοῦτον τὸν δημαγωγόν, δρᾶμα φέρεται Πλάτωνος. καὶ ἐπιγράφεται ὁμωνύμως αὐτῷ Κλεοφῶν. τοῦτον κωμῳδεῖ, ὡς ξένον καὶ ἀμαθῆ. καὶ φλύαρον καὶ δυσγενῆ. Θρᾷκα γὰρ αὐτὸν ἔλεγεν. αὐτὸ ἐποιεῖτο δὲ τῶν πρωτείων τῆς πόλεως. Θρηκία χελιδών. ἵνα διαβάλλῃ αὐτὸν ὡς βάρβαρον. κωμῳδεῖται δὲ ὡς ξένος θρασύς. οὗτος δὲ ἦν ὁ καλούμενος Κλεοφῶν ὁ τυροποιός. καὶ Πλάτων ἐν Κλεοφῶντι δράματι, βαρβαρίζουσαν πρὸς αὐτὸν παρεισάγει τὴν μητέρα. καὶ αὐτὴ δὲ θρᾷσσα ἐλέγετο. χελιδὼν δὲ ἀπαιδευτά. ἀηδόνιον δὲ νόμον, παρ' ὅσον ἡ ἀηδὼν τὸν ἑαυτῆς υἱὸν Ἴτυν θρηνεῖ. καὶ τοῦτον ἐπίκλαυτον ᾄδειν λέγει συνειδότα ἑαυτῷ δεινότατα περὶ τὴν πόλιν πεπανουργηκότι. Κἂν ἴσαι γένωνται. αἱ ψῆφοι δηλονότι. αἱ λευκαὶ καὶ αἱ μέλαιναι. ὑπερβολικῶς δὲ εἶπεν. ὅταν γὰρ ἴσαι γένωνται αἱ ψῆφοι ἀπολύεται ὁ κατηγορούμενος. πρὸς τὸ ἔθος δὲ ὅτι φεύγων, ἀπολύεται ἴσων τῶν ψήφων ἐνεχθεισῶν. ἀπὸ τοῦ κατὰ τὸν Ὀρέστην γενομένου Εὐριπίδου ἐν Ἰφιγενείᾳ τῇ ἐν Ταύροις. ἐξέσωσά σε καὶ πρίν γ' Ἀρείοις ἐν πάγοις ψήφους ἴσας κρίνασ' Ὀρέστα. Τὸν ἱερὸν χορὸν δίκαιόν ἐστι. τὸ τοιοῦτο, παράβασις καλεῖται. ὅπερ ἔλεγον, ἐπιστρέφοντες πρὸς τοὺς θεωμένους. ἔστι δὲ ὁ τρόπος ὅταν καταλιπὼν τὰ ἑξῆς τοῦ δράματος ὁ ποιητὴς συμβουλεύῃ τοῖς θεωμένοις, ἢ ἄλλο τι ἐκτὸς λέγῃ τῆς ὑποθέσεως. σύγκειται δὲ ἐκ στίχων τροχαϊκῶν τετραμέτρων καταληκτικῶν κ. ὧν τελευταῖος ὑστέρῳ χρόνῳ ποτ' αὖθις εὖ φρονεῖν οὐ δόξομεν. ἐπὶ τῷ τέλει διπλῆ ἔσω νενευκυῖα διὰ τὴν ἀνταπόδοσιν. Ἐξισῶσαι τοὺς πολίτας. τουτέστιν ἐντίμους ποιῆσαι τοὺς ἀτιμωθέντας. τοιαύτη γὰρ κατάστασις ἐνεστήκει, καθ' ἣν ἐφυγαδεύθησάν τινες τῶν πολιτῶν καὶ ἄτιμοι ἐγένοντο. Ἄλλως. ἴσως ἐνταῦθα, περὶ τῶν δέκα λέγει στρατηγῶν. ἴδιον, καὶ εἴ τις ἥμαρτε σφαλείς, ἀπολογησάσθω κατακληθείς. δείματα δὲ τὰς ἀτιμίας λέγει, ἢ τοὺς φόβους ἀφελεῖν ἀπὸ τῶν φοβουμένων. τὸ δὲ Φρυνίχου παλαίσμασιν, ἐπεὶ τρα-

Ἔπειτα προτιμᾷς οὐδέν. καὶ νῦν δῖον οὐκ ἀπεστρέφη. δύναται δὲ, τὸ αὐτὸ πρόσωπον λέγειν ὅλον. Τὴν ἄκανθαν ἔξελε. ἐπάρας τὸν πόδα τὴν πτέρναν δείκνυσι.

Τί τὸ πρᾶγμα τουτί. ὡς δυσκρίτως ἔχων τοῦτο λέγει ὁ αἰακός. Ἄπολλον ὅς που. ᾄδειν προσποιεῖται ἀλγούμενος ὁ διόνυσος. οἱ γὰρ ἀλγοῦντες τοὺς θεοὺς ἀνακαλοῦνται. Ἴαμβον ἱππώνακτος. ὡς ἀλγήσας καὶ συγκεχυμένος, οὐκ οἶδε τί λέγει. ἐπεὶ οὐχ ἱππώνακτος, ἀλλ' ἀνανίου. ἀποφορὰ δὲ ὁ ἀνανίας αὐτῷ, ἢ νάξον ἢ μίλητον ἢ θείαν κλάρον ἱκοῦ καθ' ἱερὰ ἢ σκύθας ἀφίξεαι.

αι. ἔπειτα προτιμᾷς γ' οὐδέν; δι. οὐδέν μοι μέλει.
αι. βαδιστέον γ' ἄρ' ἐστὶν ἐπὶ τονδὶ πάλιν.
ξαν. οἴμοι. αια. τί ἐστι; ξα. τὴν ἄκανθαν ἔξελε.
αι. τί τὸ πρᾶγμα τουτί; δεῦρο πάλιν βαδιστέον.
δι. ἄπολλον, ὅς που δῆλον ἢ πυθῶν' ἔχεις,
ξαν. ἤλγησεν. οὐκ ἤκουσας; δι. οὐκ ἔγωγ', ἐπεὶ,
ἴαμβον ἱππώνακτος ἀνεμιμνησκόμην.
ξαν. οὐδὲν ποιεῖς γὰρ, ἀλλὰ τὰς λαγόνας σπόδει.
αια. μὰ τὸν δί', ἀλλ' ἤδη πάρεχε τὴν γαστέρα.
δι. πόσειδον. ξα. ἤλγησέ τις.
δι. ὃς αἰγαίου πρῶνας ἢ γλαυκᾶς μέδεις
ἁλὸς ἐν βένθεσιν.
αια. οὔτοι μὰ τὴν δήμητρα δύναμαί πω μαθεῖν.
ὁπότερος ὑμῶν ἐστι θεός. ἀλλ' εἴσιτον.
ὁ δεσπότης γὰρ αὐτὸς ὑμᾶς γνώσεται,
χἠ φερσέφαττ' ἅτ' ὄντε κἀκείνω θεώ.
δι. ὀρθῶς λέγεις. ἐβουλόμην δ' ἂν τοῦτό σε,
πρότερον ποιῆσαι, πρίν με τὰς πληγὰς λαβεῖν.
χο. μοῦσα χορῶν ἱερῶν ἐπίβηθι καὶ
ἔλθ' ἐπὶ τέρψιν ἀοιδᾶς ἐμᾶς.
τὸν πολὺν ὀψομένη λαῶν ὄχλον.
οὗ σοφίαι μυρίαι κάθηνται,

Τὰς λαγόνας σπόδει. κάθαιρε. σποδεῖν γὰρ κυρίως, τὸ τοὺς βωμοὺς καθαίρειν. Ὃς αἰγαίου πρῶνας. παρὰ τὰ σοφοκλέους ἐκ λαοκόωντος. ποσειδον ὃς αἰγαίου μέδεις πρῶνας ἢ γλαυκᾶς μέδεις εὐανέμου λίμνας, ἐφ' ὑψηλαῖς σπιλάδεσσι στομάτων. Μοῦσα χορῶν ἱερῶν κἀνταῦθα παράβασίς ἐστιν ἀλλ' οὐκ ἔχει πάντα τὰ μέρη τῆς παραβάσεως. ἀλλὰ μόνα τὰ τέσσαρα. τὴν ᾠδήν. τὸ ἐπίρρημα. τὴν ἀντῳδήν. τὸ ἀντεπίρρημα. ἔστι γοῦν ἡ παροῦσα ᾠδὴ ἐκ κώλων πολυσχηματίστων. ιβ. ὧν τὸ πρῶτον τετράμετρον βραχυκατάληκτον ἀσυνάρτητον προσοδιακὸν ἀναπαιστικὸν καλούμενον. ἢ δακτυλικὸν τετράμετρον ἀκατάληκτον. τὸ δεύτερον ἀναπαιστικὸν δίμετρον καταληκτικόν. τὸ τρίτον ὅμοιον τρίμετρον ἀκατάληκτον. κατὰ τὴν τρίτην χώραν τῆς μὲν ᾠδῆς ἀμφιβράχεος τῆς δ' ἀντῳδῆς κρητικοῦ κειμένου. τὸ τέταρτον χοριαμβικὸν τοῦ δευτέρου ποδὸς ὄντος διτροχαίου τρίμετρον βραχυκατάληκτον. τὸ ε. ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ ϛ. δίμετρον ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου ἀκατάληκτον. τὸ δὲ τῆς ἀντῳδῆς ἐκ διιάμβου καὶ διτροχαίου. τὸ ἕβδομον δακτυλικὸν πενθημιμερές. ὄγδοον χοριαμβικὸν ἡμιόλιον συνίζησιν ἔχον εἰς τὸ θηΐκια διὰ τὸ ἡμιόλιον εἶναι τὸ τῆς ἀντῳδῆς ἐκ διτροχαίου. τὸ ἔνατον ὅμοιον τῷ πέμ-

Οὐ καὶ σὺ τύπτει. τύπτει δευτέρου προσώπου· ἀττικῶς. τινές φασι τοῦ ξανθίου ὅλον εἶναι. τινὲς δὲ τοῦ διονύσου, πρὸς τὸν ξανθίαν. θεὸς γὰρ ὁ ἡρακλῆς ὃν ὁ ξανθίας ἐμιμεῖτο. Ἢ προτιμήσαντά τι. φροντίσαντα τῶν πληγῶν, κατὰ τοὺς ἀττικούς. ἢ ἐπιστραφέντα, ἢ δακρῦσαι ἢ ἀποιμῶξαι ἕνεκα. Παρακινήσαντα. κινηθέντα σαλευθέντα ἐκτραπέντα τοῦ καθεστηκότος ἢ αἰσθανθέντα παρόσον ὁ αἰσθανόμενος μάστιγος, κινεῖται. Ἤδη 'πάταξά σ'. πιθανῶς τὸν ξανθίαν πρώτως τύπτεσθαι. οὕτω γὰρ, καὶ τὸ, οὐ μὰ δί' ἀλλ' ἐφρόντισα, ὁπόθ' ἡράκλεια τἀν διομείοις. τινὲς μὲν ὅτι ξανθίας, εἰς αὐτὸν γὰρ ἐλδύσετου. ὡς ἅτε δὴ ἡρακλέα πως ὄντα. τινὲς δὲ ὅτι διόνυσος. ἔχει δὲ καὶ τοῦτο λόγον, ὅτι θεράπων νῦν ἐστιν ὁ διόνυσος, καὶ πρώτως τύπτεται. προσποιεῖται γοῦν ὁ ἕτερος μὴ αἰσθάνεσθαι. λέγων, οὐδ' ἐμοὶ δοκεῖς. Πηνίκα. μὴ αἰσθανόμενος καὶ αὐτὸς ὁ διόνυσος λέγει. πότε με ἔτυψας. Κᾆτα πῶς οὐκ ἔπταρον. οὐκ ᾐσθόμην. ὁ γὰρ πταρμὸς, κεφαλῆς αἴσθησις. ἢ ἐπειδὴ οἱ θίγοντες τοῦ μυκτῆρος λεπτῷ κάρφει, πτάρνυνται. ἢ ὀσφραίνονται προσενεγκόντες. οὕτω φησὶν ἢ ἥψατό μου ἡ πληγὴ, ὃν τρόπον ἅπτεται κάρφος μυκτῆρος.

καὶ πολύ γε μᾶλλόν ἐστι μαστιγωτέος.
εἴπερ θεός γ' ἐστιν, οὐκ αἰσθήσεται.
δι. τί δῆτ' ἐπειδὴ καὶ σὺ φῂς εἶναι θεὸς,
οὐ καὶ σὺ τύπτει, τὰς ἴσας πληγὰς ἐμοί.
ξα. δίκαιος ὁ λόγος. χὠπότερον ἂν νῷν ἴδοις,
κλαύσαντα πρότερον, ἢ προτιμήσαντά τι
τυπτόμενον, εἶναι τοῦτον ἡγοῦ μὴ θεόν.
αἰ. οὐκ ἔσθ' ὅπως οὐκ εἶ σὺ γεννάδας ἀνήρ.
χωρεῖς γὰρ εἰς τὸ δίκαιον. ἀποδύεσθε δή.
ξα. πῶς οὖν βασανιεῖς νὼ δικαίως. αἰ. ῥᾳδίως.
πληγὴν παρὰ πληγὴν ἑκάτερον. ξα. καλῶς λέγεις.
ἰδού. σκόπει γ' ἤν με παρακινήσαντ' ἴδῃς.
αἰ. ἤδη 'πάταξά σ'. ξα. οὐ μὰ δί'. αἰ. οὐδ' ἐμοὶ δοκεῖς.
ἀλλ' εἶμ' ἐπὶ τονδὶ καὶ πατάξω. δι. πηνίκα
αἰ. καὶ δὴ 'πάταξα. δι. κᾆτα πῶς οὐκ ἔπταρον.
αἰ. οὐκ οἶδα. τουδὶ δ' αὖθις ἀποπειράσομαι.
ξα. οὔκουν ἀνύσεις; ἰατταταῖ. αἰ. τί δ' ἠτταταῖ.
μῶν ὠδυνήθης; ξα. οὐ μὰ δί'. ἀλλ' ἐφρόντισα,
ὁπόθ' ἡράκλεια τἀν διομείοις γίνεται.
αἰ. ἅνθρωπος ἱερός. δεῦρο πάλιν βαδιστέον.
δι. ἰού. ἰού. αἰ. τί ἐστιν. δι. ἱππέας γ' ὁρῶ.
αἰ. τί δῆτα κλαίεις. δι. κρομμύων ὀσφραίνομαι.

Οὔκουν ἀνύσεις. οὐ προσδίδεις, αὐτὸς ὁ μαστιγούμενος ἐπικελεύων τῷ τύπτοντι.

Τἀν διομείοις. δῆμος τῆς αἰγηίδος φυλῆς, ἀπὸ διόμου ἐρωμένου τοῦ ἡρακλέος. ἔστι δὲ ἡράκλειον αὐτόθι. περὶ οὗ φησι δηλῶν, ὅτι δίομος ἡρακλῆς ἐγένετο. Ἄνθρωπος ἱερός. ἀποδέχεται αὐτὸν ὁ τύπτων, ὡς δαιρόμενον καὶ φροντίζοντα τῶν μυστηρίων. τυπτόμενος γὰρ θείας τελετῆς μέμνηται. Ἱππέας ὁρῶ. ὡς θαυμάζων ἱππέων ἔφοδον. προφάσεις δὲ ἐξευρίσκουσι γελοίως. Κρομμύων ὀσφραίνομαι. τοῦτο γὰρ σημαίνει τὸ δακρύειν ἀκουσίως τοῖς ὀσφραινομένοις κρομμύων.

Εἶτ' οὐχὶ δεινά. εἶτ' οὐχὶ δεινὰ κλέπτοντα τοῦτον τὰ ἀλλότρια πρὸς τούτῳ τύπτειν. Μάλ' ὑπερφυᾶ. τι μαχίδας, βραχέως ἀξιοῖ προφέρεσθαι ἀπιθαίας. συναλοιφῆς οὔσης, ἐκ τῆς μὴ, καὶ ἀλλά. ὅτι γὰρ τὸ μὴ πολλαχῇ ἀντὶ τῆς οὐ χρῆται, πολλάκις εἴρηται. Βασάνιζε γὰρ τὸν παῖδα. λέγεται βασανίζειν καὶ τὸ χωρὶς πληγῶν ἀνακρίνειν, ἀπὸ τῆς βασανίου λίθου. Ἐν κλίμακι δήσας. τὸ ἐν πρὸς τὸ δήσας. ἐνδήσας κλίμακι. ἀντὶ τοῦ εἰς κλίμακα δήσας. ὅμηρος. κάππεσον ἐν λίμνῃ. ἀντὶ τοῦ εἰς τὴν λίμνην.

δι. εἶτ' οὐχὶ δεινὰ ταῦτα; τύπτειν τουτονὶ,
κλέπτοντα πρὸς τἀλλότρια; ξα. μάλ' ὑπερφυᾶ.
αἰ. σχέτλια μὲν οὖν καὶ δεινά. ξα. καὶ μὴν νὴ δία
εἰ πώποτ' ἦλθον δεῦρ' ἐθέλω τεθνηκέναι.
ἢ 'κλεψα τῶν σῶν ἄξιόν τι καὶ τριχός.
καί σοι ποιήσω πρᾶγμα γενναῖον πάνυ
βασάνιζε γὰρ τὸν παῖδα τουτονὶ λαβών.
κἄν ποτέ μ' ἕλῃς ἀδικοῦντ' ἀπόκτεινόν μ' ἄγων.
αἰ. καὶ πῶς βασανίζω. ξα. πάντα τρόπον. ἐν κλίμακι
δήσας. κρεμάσας. ὑστριχίδι μαστιγῶν. δέρων.
στρεβλῶν. ἔτι τε τὰς ῥῖνας ὄξος ἐγχέων.
πλίνθους ἐπιτιθείς. πάντα τἄλλα, πλὴν πράσῳ
μὴ τύπτε τοῦτον. μὴ δὲ γητείῳ νέῳ.
αἰ. δίκαιος ὁ λόγος. κἄν τι πηρώσω γέ σοι
τὸν παῖδα τύπτων, τἀργύριόν σοι κείσεται;
ξα. μὴ δῆτ' ἔμοιγ', οὕτω δὲ βασάνιζ' ἀπαγαγών.
αἰ. αὐτοῦ μὲν οὖν, ἵνα σοι κατ' ὀφθαλμοὺς λέγῃ
κατάθου σὺ τὰ σκεύη ταχέως χὤπως ἐρεῖς
ἐνταῦθα μηδὲν ψεῦδος. δι. ἀγορεύω τινὶ,
ἐμὲ μὴ βασανίζειν ἀθάνατον ὄντ', εἰ δὲ μὴ,
αὐτὸς σὺ σαυτὸν αἰτιῶ. αἰα. λέγεις δὲ τί,
δι. ἀθάνατος εἶναί φημι διόνυσος διός.
τοῦτον δὲ δοῦλον. αἰα. ταῦτ' ἀκούεις; ξα. φήμ' ἐγώ.

Πλὴν πράσῳ μὴ τύπτε τοῦτον. ἐπεὶ οἱ ἐλεύθεροι πρὸ τούτου ἐδέροντο πράσοις καὶ σκορόδοις. τὸ δὲ χ΄, πρὸς τὸ ἔθος τοῦ τύπτειν. οἱ δὲ ὅτι διώρισται πράσον ἀπὸ τοῦ γητείου. τινὲς γὰρ οἴονται εἶναι τὸ τοῦ πράσου φύλλον. δύναται μὲν οὖν ἐν ἤθει τὰ ὄντως χαλεπὰ προσθεὶς, ἐπιφέρειν. πλὴν μὴ τούτοις αὐτὸν τύπτε, ἅπερ ἐστὶν ἐλαφρότατα. δύναται δὲ καὶ αὖ πικρῶς βασάνιζε πανταχῶς αὐτὸν, μὴ ἐν παιδιᾷ. μὴ δὲ ὡς τοὺς ἐλευθέρους παῖδας, τῷ ἐκκαυλήματι τοῦ πράσου τύπτουσιν, ἢ τῷ γητείῳ.

Κἄν τι πηρώσω. ἐὰν βλάψω μέρος τοῦ σώματος τοῦ παιδὸς τύπτων, τὴν τιμὴν λήψῃ. Μὴ δῆτ' ἔμοιγε. οἷον αὐτοῦ τιμῆς οὐδὲν θέλω ὑπὲρ αὐτοῦ. τινὲς δὲ μὴ δῆτ' ἐμέ γε τοῦτον δὲ βασάνιζ' ἀπαγαγὼν αὐτὸν μὲν οὖν εἶναι δὲ καὶ ὅλον τοῦ ξανθίου. Κατάθου. ἀπειλῶν τῷ διονύσῳ ταῦτά φησι. Μηδὲν ψεῦδος, ὁ γὰρ τόπος οὐ δέχεται ψεῦδος ὅπου πᾶσα κρίσις. τὸ δὲ ἀγορεύω ἐν ὀργῇ λέλεκται. Ταῦτ' ἀκούεις. ὁ παρὰ τοῦ πλούτωνος τοῦτό φησι ξανθίᾳ. ἀντὶ τοῦ ὄντως εἶ δοῦλος.

Νῦν σὸν ἔργον. ἔστι δὲ ἐπὶ τῆς μελῶν χοροῦ περιοδικὴ καὶ ἀντίστροφος ὁμοία τῇ προῤῥηθείσῃ. καὶ τὸ σύστημα τοῖς αὐτοῖς τῶν ἐν τῇ στροφῇ κατά τε ποσότητα καὶ ποιότητα κώλοις συγκείμενον ἔχουσα. ἧς ἐπὶ τῷ τέλει παράγραφος. τοῦ δὲ συστήματος δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ, ἡ δὲ κατὰ τὸ τέλος. τὸ δὲ ἑξῆς, νῦν σὸν ἔργον ἐστὶ πάλιν ἀνανεάζειν. Παραληρῶν. ἀγεννές τι ποιῶν. καὶ οὐ τῆς ἡρακλέους σκευῆς ἄξιον. Ὀρίγανον δριμύ. τοιοῦτον γὰρ τὸ φυτόν. Ξυνδεῖτε ταχέως. κορωνὶς αὖθις ἑτέρα εἰσιόντων τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ξε´. ὧν τελευταῖος πρότερον τεθνῆσαι πρὶν με τὰς πληγὰς λαβεῖν. ὁ ξ´. μέντοι ἰαμβικὸς ἑφθημιμερής. εἶτα κῶλον ἀντισπαστικὸν ἐξ ἐπιτρίτου πρώτου ἡμιόλιον. μεθ' ὃ μονόμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου τετάρτου. καὶ ἰωνικὸν ἀπ' ἐλάσσονος ἡμιόλιον. ἐπὶ τῷ τέλει πάντων κορωνίς. κυνοκλόπον δέ, τὸν κλέψαντα τὸν κέρβερον κύνα. Ἥκει τῳ κακόν. ὁ διόνυσος τοῦτο λέγει ὑπὲρ αὐτοῦ καὶ ὁ ξανθίας ἀνωτέρω. ἀμέλει δώσει δίκην. ἡσυχῇ δ' ἴσως ταῦτα λέγει. Μὴ πρόσιτον. οὐκ εὖ οὐδὲ κυρίως τὸ πρόσιτον προκαλεῖται. δύναται δὲ ἄλλοις μὲν λέγειν τὸ πρόσιτον ἑτοιμένοις αὐτῷ, ἄλλους δὲ ἐπικαλεῖν.

Νῦν σὸν ἔργον ἐστ' ἐπειδή,
τὴν στολὴν εἴληφας ἥνπερ
εἶχες ἐξ ἀρχῆς πάλιν.
ἀνανεάζειν σαυτὸν αἰεί.
καὶ βλέπειν αὖθις τὸ δεινόν.
τοῦ θεοῦ μεμνημένον.
ᾧπερ εἰκάζεις σεαυτόν.
εἰ δὲ παραληρῶν ἁλώσει,
καὶ βάλῃς τι μαλθακόν,
αὖθις αἴρεσθαί σ' ἀνάγκη 'σται πάλιν τὰ στρώματα.
ξαν. οὐ κακῶς ὦνδρες παραινεῖτ'.
ἀλλὰ καὐτὸς τυγχάνω ταῦτ'
ἄρτι συννοούμενος.
ὅτι μὲν οὖν ἢν χρηστὸν ᾖ τι,
ταῦτ' ἀφαιρεῖσθαι πάλιν πει-
ράσεταί μ' εὖ οἶδ' ὅτι
ἀλλ' ὅμως ἐγὼ παρέξω.
μαὐτὸν ἀνδρεῖον τὸ λῆμα.
καὶ βλέποντ' ὀρίγανον.
δεῖν δ' ἔοικεν. ὡς ἀκούω τῆς θύρας καὶ δὴ ψόφον.
αι. ξυνδεῖτε ταχέως τουτονὶ τὸν κυνοκλόπον.
ἵνα δῷ δίκην. ἀνύετον. δι. ἥκει τῳ, κακόν
ξαν. οὐκ ἐς κόρακας; μὴ πρόσιτον. αι. εἶεν. καὶ μάχει;
ὁ διτύλας χὠ σκεβλύας χὠ παρδόκας
χωρεῖτε δευρὶ καὶ μάχεσθε τουτῳί

ὧν καὶ τὰ ὀνόματα εἴρηκεν ὡς δούλων, ἢ τοξοτῶν βαρβάρων. τινὲς δέ φασιν, ἐκ τοῦ, εἶεν καὶ τοῦ μάχῃ, τὸν παρὰ τοῦ πλούτωνος ἐξελθόντα λέγειν, ἕως τοῦ κλέπτοντα τἀλλότρια. τὸ δὲ μᾶλλον ὑπερφυᾶ, τὸν διόνυσον λέγειν, εἶτα πάλιν τὸν παρὰ τοῦ πλούτωνος, σχέτλια μὲν οὖν καὶ δεινά. ἔνιοι δέ φασι, πάντα αὐτὸν λέγειν τὸν πλούτωνα, ἀγανακτοῦντα ἐπὶ τῷ τύπτεσθαι τοὺς ἀκολούθους ὑπὸ ξανθίου. ἀπὸ τοῦ εἶεν καὶ μάχῃ, ἕως τοῦ σχέτλια μὲν οὖν καὶ δεινά.

Τὰς ψιάθους. οἷον καὶ τὰ στρώματα τοῦ πανδοκείου. ἐν δὲ τῷ καλλιστράτῳ γέγραπται τοὺς ψιάθους. καὶ ὅτι σεσημείωται τοῦτο, ὅτι ἀρσενικῶς εἶπε. τὸ δέ, ἀλλ' ἐχρῆν τι δρᾶν, δύναται καὶ ἡ γυνὴ λέγειν αὐτὴ τοῦ τιμωρήσασθαι. Τὸν προστάτην κλέωνα. ἦν γὰρ ἀποθανὼν τότε. τὰ δὲ δράματα καθ' ἄλλου νῦν. κλέωνα δὲ τὸν βυρσοδέψην. εἰς ὃν γέγραφε τοὺς ἱππέας, ὑπέρβολος δὲ εἰς ὃν καὶ εὔπολις ἔγραψε τὸν μαρικᾶν. ἀπώλετο δὲ περὶ τὴν σάμον, πολεμούντων αὐτῷ τῶν σαμίων. Ἐάν περ ἐπιτύχῃς. ὡς καὶ τοῦ ὑπερβόλου τεθνηκότος, παρατηρητέον δὲ ὅτι σαφῶς ἐν τῷ θεάτρῳ διαλέγεται.

ὁ δ' ᾤχετ' ἐξάξας γε τὰς ψιάθους λαβών.
ξαν. καὶ τοῦτο τούτου τοὔργον. ἀλλ' ἐχρῆν τι δρᾶν.
πα. ἴθι δὴ κάλεσον τὸν προστάτην κλέωνά μοι.
σὺ δ' ἔμοιγ' ἐάν περ ἐπιτύχῃς, ὑπέρβολον.
ἵν' αὐτὸν ἐπιτρίψωμεν. πλα. ὦ μιαρὰ φάρυγξ.
ὡς ἡδέως ἄν σου λίθῳ τοὺς γομφίους.
κόπτοιμ' ἄν, οἷς μου κατέφαγες τὰ φορτία.
πα. ἐγὼ δέ γ' εἰς τὸ βάραθρον ἐμβάλοιμί σε.
πλα. ἐγὼ δὲ τὸν λάρυγγ' ἂν ἐκτέμοιμί σου,
δρέπανον λαβοῦσ' ᾧ τοὺς χόλικας κατέσπασας.
ἀλλ' εἶμ' ἐπὶ τὸν κλέων', ὃς αὐτοῦ τήμερον
ἐκπηνιεῖται ταῦτα προσκαλούμενος.
δι. κάκιστ' ἀπολοίμην ξανθίαν εἰ μὴ φιλῶ.
ξαν. οἶδ' οἶδα τὸν νοῦν. παῦε παῦε τοῦ λόγου.
οὐκ ἂν γενοίμην ἡρακλῆς ἄν. δι. μηδαμῶς.
ὦ ξανθίδιον. ξα. καὶ πῶς ἂν, ἀλκμήνης ἐγὼ
υἱὸς γενοίμην, δοῦλος ἅμα καὶ θνητὸς ὤν.
δι. οἶδ' οἶδ' ὅτι θυμεῖ. καὶ δικαίως αὐτὸ δρᾷς.
κἂν εἴ με τύπτοις, οὐκ ἂν ἀντείποιμί σοι.
ἀλλ' ἤν σε τοῦ λοιποῦ ποτ' ἀφέλωμαι χρόνου,
πρόρριζος αὐτός, ἡ γυνή, τὰ παιδία,
κάκιστ' ἀπολοίμην κἀρχέδημος ὁ γλάμων.
ξαν. δέχομαι τὸν ὅρκον. κἀπὶ τούτοις λαμβάνω.

Φορτία. ψωμούς. κρέα. τυροὺς καὶ τἄλλα. τινὲς δὲ ἤκουσαν τὰ κόπρια φορτικῶς.

Χόλικας. ἢ ἀρτέας. ἢ ἔντερα. τὸ δὲ ᾧ, οὐ πρὸς τὸ δρέπανον, ἀλλὰ πρὸς τὸν λάρυγγα. κατέσπασας δὲ κατεβρόχθισας. Ἐκπηνιεῖται. ἃ ἔφαγεν ἡμῶν, ἀφελκύσει. ἀπὸ τῶν τὴν κρόκα μηρυομένων. εἰς πηνία. Ἄλλως· ἐξελκύσει ἀπὸ τοῦ πηνίου. ὅμηρος. πηνίον ἐξέλκουσα. ἢ ἐξάξει. ἀπὸ μεταφορᾶς τῆς κατὰ μικρὸν ἐκ τοῦ σκώληκος ἐξαγομένης πήνης. εἰ δὲ διὰ τῆς οι διφθόγγου γράφεται, μετὰ τιμωρίας ἀπαιτήσει. Προσκαλούμενος. ἐγκαλῶν εἰς δικαστήριον ἕλκων. κατηγορῶν αὐτοῦ. Κάκιστ' ἀπολοίμην. ἐνταῦθα φοβούμενος ὁ διόνυσος, ὑποκρίνεται φιλίαν πρὸς ξανθίαν. ἵνα πάλιν ἡρακλῆς γένηται καὶ αὐτὸς ξανθίας κελευσθεὶς ὑπὸ διονύσου. Καὶ πῶς ἂν ἀλκμήνης. ἅπερ πρὸς αὐτὸν ὁ διόνυσος πρότερον ἔλεγε, ταῦτα λέγει καὶ αὐτὸς εἰρωνευόμενος καὶ παίζων.

Γλάμων ὁ ἔχων λήμας. ὁ ἀκάθαρτος. παρόσον γερώμενός φασιν ἦν διονύσου. καλλιστράτης φησίν, ὅτι οὕτως ἐκαλεῖτο γλάμων, ὡς χάρων. ἄλλοι δέ, τὸν λημῶντα καὶ δίυγρον τοὺς ὀφθαλμούς. σοφοκλῆς ἐν μάντισιν ἐπὶ πτηνῶν ὀρνέων, τοὺς γλαμυροὺς καταφορβάς

τρίδα τὸ οὖν ... ἀπεῖναι. Ἐγὼ δὲ πρὸς τοῦτον. ὁρῶν γὰρ ὁ διόνυσος τῇ ὀρχηστρί-
δι συνιόντα τὸν ξανθίαν, καὶ ὥσπερ ἐρεθιζόμενος καὶ δραπετεύμενος τοῦ ἀηδίου φησὶν,
ἀντὶ τοῦ ἐμαυτοῦ. ὁ δὲ ξανθίας ἅτε καὶ αὐτὸς ταῦτα ποιῶν ἐπάταξεν αὐ. Τοῦ ἐρεβίν-
θου. τοῦ ἀηδίου. τὸ δὲ ὅλον ὡς ταῦτα, τοῦ ξανθίου ποιοῦντος, ἐπειδὴ αἱ διακονίαι τῷ διονύ-
σῳ. καὶ διὰ τοῦτο ἐπιγνόντες αὐτὰ εἰ ἀνὰ μέρος ἐποίει ὁ διόνυσος. Τοὺς χο-
ροὺς τοὺς προσθίους. ἀντὶ τοῦ τοὺς ὀδόντας εἰπεῖν, τοὺς χοροὺς εἶπε. διόνυσος γάρ ἐστιν ὁ τῶν

γὼ δὲ πρὸς τοῦτ' ἐμβλέπων,
τοῦ ἐρεβίνθου δραπέτην. οὗ-
τος δ' ἄρ' ἦν αὐτὸς πανοῦργος,
εἶδε. κᾆτ' ἐκ τῆς γνάθου
πὺξ πατάξας μοὐξέκοψε τοὺς χοροὺς τοὺς προσθίους.
πα. πλαθάνη, πλαθάνη. δεῦρ' ἔλθ' ὁ πανοῦργος οὑτοσὶ,
ὃς εἰς τὸ πανδοκεῖον εἰσελθών ποτε,
ἑκκαίδεκ' ἄρτους κατέφαγεν ἡμῶν. πλ. νὴ δία
ἐκεῖνος αὐτὸς δῆτα. ξα. κακὸν ἥκει τινὶ.
πα. καὶ κρέα γε πρὸς τούτοισιν ἀνάβραστ' εἴκοσιν,
ἀνημιωβολιαῖα. ξα. δώσει τις δίκην.
πα. καὶ τὰ σκόροδα τὰ πολλά. δι. ληρεῖς ὦ γύναι.
κοὐκ οἶσθ' ὅ,τι λέγεις. πα. οὐ μὲν οὖν με προσεδόκας
ὁτιὴ κοθόρνους εἶχες, ἀναγνῶναί σ' ἔτι;
πα. τί δαί. τὸ πολὺ τάριχος οὐκ εἴρηκά πω.
μὰ δί'. οὐδὲ τὸν τυρόν γε τὸν χλωρὸν τάλαν.
ὃν οὗτος αὐτοῖσι ταλάροις κατήσθιε.
κἄπειτ' ἐπειδὴ τἀργύριον ἐπραττόμην,
ἔβλεψεν εἰς ἐμὲ δριμὺ κἀμυκᾶτό γε.
ξαν. τούτου πάνυ τοὔργον. οὗτος ὁ τρόπος πανταχοῦ.
πα. καὶ τὸ ξίφος γ' ἐσπᾶτο, μαίνεσθαι δοκῶν
νὴ δία τάλαινα. πλα. νὼ δὲ δείσασαι γέ πω,
ἐπὶ τὴν κατήλιφ' εὐθὺς ἀνεπηδήσαμεν.

χορῶν προστάτης. τὸ δὲ ὅ-
λον παρὰ τὴν ὑπόνοιαν.
Γ Πλαθάνη, πλαθάνη. κορωνὶς
ὁμοία εἰσόδου τῶν ὑποκριτῶν
οἱ δὲ στίχοι ἰαμβικοὶ τρί-
μετροι ἀκατάληκτοι μα΄
ὧν πλούταρχος δέχομαι τὸν
ὅρκον κἀπὶ τούτοις λαμ-
βάνω. πανδοκεύτρια δὲ
πρὸς πλαθάνην θεράπαι-
ναν, ὃ αὐτὸς λέγει. διὰ γὰρ
τὸ ἡρακλέα νῦν βεβρωκό-
τα τι. ἀνημιωβολιμαῖα. ἤγουν
ἀντὶ τοῦ ἕκαστον αὐτῶν, ἡμίσου
ὀβολοῦ ἦν. ἄξιον ἡμιωβολι-
μαίου. ἢ ὠμὰ ὄντα κατὰ
τὸ ἥμισυ. ἄλλως. ὅτι ἰδί-
ως ἐπὶ τοῦ ἀνημιωβολίου
πωλούμενα. ἀπὸ δὲ συντά-
ξεως, ὄνομα γίνεται καλὸς
καὶ ἀγαθὸς, καλοκαγα-
θία. θεοῖς ἐχθρὸς, θεοεχθρία
ἀνημιωβόλιον, ἀνημιωβο-
λιαῖα. δηλοῖ δὲ ἡμιωβόλου
ἄξια. ἐπιτιμᾶσθαι δὲ τὴν
λέξιν ἔθει τὸ χ΄. Ἀνάβραστα δὲ, ζεστὰ ἑψημένα. Ληρεῖς ὦ γύναι. οὐδ' εἰκὸς
ἡρακλῆς σκορόδων γευσάμενος. διὸ πρὸς ταύτην φησὶ ληρεῖς. Οὐ μὲν οὖν με
προσεδόκας. οὐ προσεδόκας με γνῶναί σε. ἐπειδὴ κόθορνον εἶχες. ὁ γὰρ κόθορ-
νος, τοῦ διονύσου ἐστὶν, οὐ τοῦ ἡρακλέους. Τὸ τάριχος. οὕτως ἔλεγον ἀττικοὶ, οὐ-
δετέρως. ἐπιλαθομένη δέ φησιν εἰπεῖν τὸ τάριχος. Αὐτοῖς τοῖς ταλάροις. ἔτι
ὄντα φησὶν, ἐν τοῖς μικροῖς καλαθίσκοις. Οὗτος ὁ τρόπος πανταχοῦ. τὸ τύπτειν
καὶ μὴ διδόναι φησὶ τὸν μισθὸν, τοῦτο δὲ ὁ ξανθίας ἐπαίρων κατὰ τοῦ διονύσου τὰς γ-
υναῖκας. Μαίνεσθαι δοκῶν. καὶ παρ' εὐριπίδῃ μαινόμενος ὡς ἡρακλῆς, καὶ σπῶν
τὸ ξίφος. πρὸς τοῦτο οὖν παίζει. Κατήλιφα. τὴν μεσόδμην. ἢ τὴν κλίμακα.

ἐποίησεν ὡς δεσπότην, ἑαυτὸν δὲ δοῦλον. ὅτε δὲ ὁ θεράπων ἀπήγγειλε τῷ Ξανθίᾳ ὅτι ἡ κόρη δεῖπνον καὶ ὄψα, ἐποίησε δεσπότην πάλιν ἑαυτὸν ποιεῖ, τὸν δὲ Ξανθίαν δοῦλον. ἀποδέχεται δὲ τὸν Διόνυσον ὁ χορὸς ὡς μὴ μένοντα τοῖς αὐτοῖς. Μετακυλίνδειν. ὅμοιον τῷ ἐν Ἀλκμήνῃ Διονυσίου· οὐ γάρ ποτ' εἴωθεν ἔλεον εὐτυχῆ χωροῦντα τοῖχον τῆς δίκης ἀποστερεῖν. παροιμία δέ ἐστι πρὸς τὸν εὖ πράττοντα τοῖχον ῥέπειν ἐπὶ τὸ πλεῖον, τὸ λυσιτελοῦν αὐτοῖς ἀεὶ στρεφομένων. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν ἐπιβατῶν τῆς νεώς, ὅταν θατέρου μέρους αὐτοῖς κατακλυζομένου, πρὸς τὸ ἕτερον οὗτοι μεθίστανται. Ἡ γεγραμμένην, ἀντὶ τοῦ μὴ δεῖν κινοῦντα. ὅτι ἀκίνητον τὸ ἐπιγεγραμμένον τῇ εἰκόνι. Θηραμένης. οὗτος τῶν τὰ πολιτικὰ πραττόντων. σκώπτει δὲ αὐτὸν ὡς εὐμετάβολον ὄντα καὶ πρὸς τὸν καιρὸν ἁρμόζοντα. οὗτος δὲ γέγονεν ὁ Θηραμένης διδάσκαλος Ἰσοκράτους, στρατηγὸς δὲ καὶ ὑποκριτής, εὐμετάβλητος, Ἅγνωνος παῖς, στερίως τὸν δῆμον. τούτῳ πολλὰ μὲν καὶ ἄλλα παραινούμενα, δύο δὲ τὰ μέγιστα καὶ χαλεπώτατα· ἥ τε τῶν ἐν Ἀργινούσαις στρατηγῶν ἀγωγή, ἧς αὐτὸς συνεστήσατο μετὰ Καλλιξένου· καὶ ἡ τῶν λ΄ ἐπὶ καταλύσει τοῦ δήμου μετάστασις. τοιγάρτοι, τῆς τοῦ βίου προαιρέσεως ἐπαξίας τῆς τελευτῆς ἔτυχεν· ὑπὸ γὰρ αὐτῶν τῶν λ΄ ἀνῃρέθη, Κριτίου κρίναντος αὐτόν. ἔνιοι δέ φασι καὶ καταφυγόντα αὐτὸν ἐπὶ τὴν ἑστίαν, ἀποσπασθῆναι αὐτὸν. διὰ τὴν ποικιλίαν τοῦ ἤθους, κόθορνον ἐκάλουν· ἐπειδὴ ἑκατέρᾳ στάσει τῇ τῶν πολιτευομένων ἑαυτὸν παρεπίθει, καθομιλῶν τοῖς καιροῖς, καὶ τὸ συμφέρον αὐτοῦ, τοῦ πατρὸς προδιδάσκων. ἐπειδὴ καὶ ὁ κόθορνος ἀνδράσι καὶ γυναιξὶ πρὸς τὰ ὑποδύσασθαι ἁρμόττει. δοκεῖ καὶ οὗτος καὶ λαβὼν τὰ τρία ἐπιθήσεσθαι ἐπὶ ζημίᾳ ἢ δεσμεύεσθαι ἐν τῷ ξύλῳ ἢ πιεῖν κώνειον ἢ ἐκφυγεῖν. δοκεῖ δέ, ἀπὸ Κέω τῆς νήσου εἶναι. καὶ εἰς τοῦτο ὡς μὴ γνήσιος πολίτης λέγεται. οὐκ εἶναι δὲ γνήσιον ἀλλὰ ποιητὸν υἱὸν τοῦ Ἅγνωνος. Εὔπολις δὲ αὐτὸν ἐν Προσπαλτίοις (?) ἐπαινεῖ. Ἄλλως. ὁ Θηραμένης οὗτος ἀνὴρ πανοῦργος ἦν· καὶ πρὸς τοὺς καιροὺς μεταβαλλόμενος. Χῖοι γὰρ καὶ Κῖοι πόλεμον εἶχον πρὸς ἀλλήλους. ὅτε μὲν παρὰ Χίοις ἦν, Χῖον ἑαυτὸν ἐκάλει· ὅτε δὲ παρὰ Κίοις, Κῖον. τῇ δὲ ἀληθείᾳ Χῖος ἦν.

	μετακυλινδεῖν αὑτὸν ἀεὶ,
	πρὸς τὸν εὖ πράττοντα τοῖχον
	μᾶλλον, ἢ γεγραμμένην
	εἰκόν' ἑστάναι λαβόνθ' ἓν
	σχῆμα. τὸ δὲ μεταστρέφεσθαι
	πρὸς τὸ μαλθακώτερον,
	δεξιοῦ πρὸς ἀνδρός ἐστι καὶ φύσει Θηραμένους.
ΔΙ.	οὐ γὰρ ἂν γέλοιον ἦν εἰ
	Ξανθίας μὲν δοῦλος ὢν, ἐν
	στρώμασι Μιλησίοις
	ἀνατετραμμένος, κυνῶν ὀρ-
	χηστρίδ' εἶτ' ᾔτησεν ἀμίδ' ἐ-

Ἐν στρώμασι Μιλησίοις. ἐν γὰρ Μιλήτῳ καλλίστη τῶν στρωμάτων ἐργασία. καὶ τὰ Μιλήσια στρώματα, ποικίλα, καὶ ἁπαλὰ γίνεται καὶ διάφορα. εἰς τρυφὴν δὲ οἱ Μιλήσιοι διαβάλλονται. καὶ εἰς τὸ στολῆς πολυτελές. ἐσθῆτας τε ἐνταῦθα κατεσκεύαζον ποικίλας καὶ τάπητας ὡς καὶ Ἡράκλειτος. περφύρεοι δὲ τάπητες ἄνω μαλακώτεροι ὕπνου, ἀμίλλατος ἐρεῖ χώραν σταμίαν καταβόσκων. ἀμίδα δὲ τὴν οὐρη-

Ἄρτι παρατετιλμέναι. ἐκ τούτου δείκνυται, ὅτι παρέτιλλον. καὶ οἱονεὶ ἐξέδερον ἢ ἔτυπτον τὸ γυναικεῖον αἰδοῖον. οὕτω γὰρ πάλαι ἐψίλουν. καὶ δρίαλος τὸ γυναικεῖον αἰδοῖον. ὡς παρὰ τῷ αὐτῷ ποιητῇ. αἱ γυναῖκες τὸν δρίαλον φράγνυνται. τίλλουσι δὲ τὰς τρίχας αἱ νεόνυμφοι ἢ ἐσπασμέναι τὰς ἐπανθούσας τῷ προσώπῳ τρίχας. καὶ τὰς τῶν ὀφρύων. κρεῖττον γάρ ἐστι τοῦτο τοῦ ξυρεῖν. Ἡβυλλιῶσαι. ἡβῶσαι. καὶ ἀκμαίως τίλλουσαι τὸ αἰδοῖον. ἢ ἀντὶ τοῦ ἀκμάζουσαι. Τεμάχη. τὰ κόμματα τῶν ἰχθύων.

ἡβυλλιῶσαι κἄρτι παρατετιλμέναι.
ἀλλ' εἴσιθ' ὡς ὁ μάγειρος ἤδη τὰ τεμάχη
ἤμελλ' ἀφαιρεῖν χἠ τράπεζ' εἰσῄρετο.
ξα. ἴθι νυν φράσον πρώτιστα ταῖς αὐλητρίσι
ταῖς ἔνδον οὔσαις, αὐτὸς ὡς εἰσέρχομαι.
ὁ παῖς, ἀκολούθει δεῦρο τὰ σκεύη φέρων.
δι. ἐπίσχες οὗτος. οὔ τί που σπουδὴν ποιεῖς
ὁτιή σε παίζων Ἡρακλέα γ' ἐσκεύασα;
οὐ μὴ φλυαρήσεις ἔχων ὦ Ξανθία.
ἀλλ' ἀράμενος γ' οἴσεις πάλιν τὰ στρώματα.
ξα. τί δ' ἐστίν; οὔ τί πού μ' ἀφελέσθαι διανοεῖ
ἃ δώκας αὐτός; δι. οὐ τάχ', ἀλλ' ἤδη ποιῶ.
κατάθου τὸ δέρμα. ξα. ταῦτ' ἐγὼ μαρτύρομαι.
καὶ τοῖς θεοῖσιν ἐπιτρέπω. δι. ποίοις θεοῖς.
τὸ δὲ προσδοκῆσαί σ' οὐκ ἀνόητον καὶ κενόν.
ὡς δοῦλος ὢν καὶ θνητὸς Ἀλκμήνης ἔσει;
ξα. ἀμέλει καλῶς ἔχ' αὔτ'. ἴσως γάρ τοί ποτε
ἐμοῦ δεηθείης ἄν, εἰ θεὸς θέλοι.
χο. ταῦτα μὲν πρὸς ἀνδρός ἐστι
νοῦν ἔχοντος καὶ φρένας καὶ
πολλὰ περιπεπλευκότος,

Ἀφαιρεῖν. κόπτειν. ἢ διαιρεῖν. ἢ κλέπτειν. Εἰσῄρετο. νῦν ἀντὶ τοῦ εἰσεφέρετο. Αὐτός. ἀντὶ τοῦ ὁ δεσπότης. τὸ δὲ παῖς, τῷ Διονύσῳ λέγει. Ἐπίσχες. κρατεῖ τὸν Ξανθίαν ὁ Διόνυσος. τὸ δὲ οὔ τί που ἢ ἀντὶ τοῦ ἆρα ἢ πρὸς τὸ οὔ τί που στικτέον. τὸ δὲ λοιπὸν κατ' ἐρώτησιν λέγε. οὔ τί που. ἤγουν οὐδαμῶς. σπουδὴν ποιεῖς, ἤγουν ἀληθὲς τοῦτο ἐνόμισας ὅτι σε παίζων Ἡρακλέα ἐσκεύασα. Ἄρα φησὶ νομίζεις σεαυτὸν Ἡρακλέα εἶναι. ἐπεὶ ἐποίησα παίζων σχῆμα παραπλήσιον τοῦ Ἡρακλέους, διὰ τὴν λεοντῆν καὶ τὸ ῥόπαλον.

Οὐ δή που μ' ἀφελέσθαι διανοεῖ. ἀντὶ τοῦ ὄντως διανοῇ, ὥστε ἀφελέσθαι μου ὅπλα. ἢ γὰρ οὐ ἄρνησις, συγκατάθεσιν δηλοῖ. Οὐ τάχ' ἀλλ' ἤδη ποιῶ. οὐδ' ὅλως φησὶ διανοοῦμαι. ἀλλ' ἤδη ταῦτα ἀφαιροῦμαι, οἷον, οὐ διστάζω. Ταῦτα μὲν, πρὸς ἀνδρός ἐστιν. εἶθ' ἕτερον μέλος χοροῦ προῳδικὴ στροφῆς λόγον ἔχουσα. ἔχει γὰρ καὶ ἀντίστροφον, τὸ νῦν σὸν ἔργον ἐστίν. ἐκ κώλων τροχαϊκῶν ι. ὧν τὰ γ. ε. θ. δίμετρα καταληκτικά. ἤτοι ἑφθημιμερῆ εὐριπίδεια. τὰ δὲ λοιπὰ ἀκατάληκτα. πλὴν τοῦ τελευταίου τετραμέτρου ὄντος καταληκτικοῦ. ἑξῆς δὲ σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς ἀναλόγως τῇ στροφῇ τῇ, τε ποσότητι καὶ ποιότητι τῶν κώλων. ἐφ' ᾧ τέλει ἑκατέρου παράγραφος καὶ ἑπτὰ νενευκυῖα διπλῆ διὰ τὴν ἀνταπόδοσιν. ταῦτα δὲ λέγει ὁ χορός, διὰ τὸν Διόνυσον. ἐπειδὴ οὗτος ὅτε ἐφοβήθη τὰς τοῦ Αἰακοῦ ἀπειλάς, τὸν Ξανθίαν

λῆφε τὴν ἡρακλέους σκευήν. τὸ δὲ τοῦ ἡρακλέους ἄγαλμα, ἔργον Ἐλάδου τοῦ ἀρ-
γείου. τοῦ διδασκάλου φειδίου. ἡ δὲ ἵδρυσις ἐγένετο, κατὰ τὸν μέγαν λοιμὸν ὅ-
θεν καὶ ἐπαύσατο ἡ νόσος, πολλῶν ἀνθρώπων ἀπολλυμένων. ἀπολλώνιος δὲ οὐ κα-
κῶς ὑπονενοῆσθαί φησι, τὸ κωμῳδεῖσθαί τινα. ἴσως δὲ ὅτι ἦρχε, διὰ τοῦτο οὐκ ὠνο-
μάσθη. ἢ ὀλίγον πρότερον εἰρῆσθαι. καλλίας γὰρ ὁ ἱππονίκου, ἐν μελίτῃ ᾤκει.
παρεικάζει δὲ αὐτὸν ἅμα τῷ ἡρακλεῖ, ἅμα χλευάζων διὰ τὸ λεοντῇ ἐν ταῖς μά-
χαις χρῆσθαι. ὡς ἐν τοῖς ὀ-
πίσω κεῖται· λεοντῆν ναυ-
μαχεῖν ἐνημμένον. ἐπεὶ εἴ-
γε ὄντως ἐπὶ τὸν ἡρακλέα
ἀνέφερε, τί μᾶλλον εἶπε
τὸ ἐκ μελίτης, καὶ μὴ ἐξ
ἄλλου δήμου. πανταχοῦ γὰρ ἡρακλέα ἀνέφα-
γη. σύνηθές τε οὐχ οὕτω
λέγειν ἐπὶ θεῶν. οὐκ μελί-
της, ἀλλ᾽ ὁ ἐν μελίτῃ. ὡς
καὶ ζεὺς ἐν ὀλυμπίᾳ. ἐπὶ
δὲ ἀνθρώπων, ἐκ μελίτης.
ἐξ ἰοῦς. ἐκ κολωνῶν. πῶς
δὲ καὶ παλαιότερον εἶναι ἀριστοφάνους τὸ ἄγαλμα, εἰ ἀκμάζοντος τοῦ λοιμοῦ ἱ-
δρύθη. σχεδὸν γὰρ μειρακίσκος ἤδη ἥπτετο τῶν ἀγώνων.

ἔπεττεν ἄρτους. ἧψε κατερικτῶν χύτρας
ἔτνους δύ᾽ ἢ τρεῖς. βοῦν ἀπηνθράκιζ᾽ ὅλον.
πλακοῦντας ὤπτα. κολλάβους. ἀλλ᾽ εἴσιθι.
ξα. κάλλιστ᾽ ἐπαινῶ. θε. μὰ τὸν ἀπόλλω οὐ μή σ᾽ ἐγὼ
περιόψομαι ἀπελθόντ᾽ ἐπεί τοι καὶ κρέα
ἀνέβραττεν ὀρνίθεια. καὶ τραγήματα.
ἔφυγε. κᾦνον ἀνεκεράννυ γλυκύτατον.
ἀλλ᾽ εἴσιθ᾽ ἅμ᾽ ἐμοί. ξα. πάνυ καλῶς. θε. ληρεῖς ἔχων
οὐ γάρ σ᾽ ἀφήσω. θε. καὶ γὰρ αὐλητρίς γέ σοι
ἤδ᾽ ἔνδον ἔσθ᾽ ὡραιοτάτη. κὠρχηστρίδες.
ἕτεραι δύ᾽ ἢ τρεῖς. ξα. πῶς λέγεις ὀρχηστρίδες;

Κατερικτῶν. χύτρας. τῶν κατακεκομμένων ὀσπρίων. λέγει δὲ τὰ σχιζόμενα
ὄσπρια τοὺς κυάμους. τὰ ὀρεικόμενα. καὶ τὴν ὀρίγμην δὲ, ἐντεῦθεν ὁμολογοῦσί τι-
νες. Ἔτνους. ὃ νῦν φάβα οἱ ἰδιῶται καὶ οἱ ἄγροικοι. τὸ διαλελυμένον ὑπὸ τῆς
ἑψήσεως καὶ τῆς τορύνης. τορύνη δὲ ὁ χυτρόπους. Ἄλλως. Πρῶτον εἰπὼν κα-
θολικῶς κατερικτῶν ἤτοι κατεσχισμένων ὀσπρίων, ἐπειδὴ οὐδὲν ἄλλο τῶν ὀσπρί-
ων σχίζομεν ἀλλ᾽ ἢ τοὺς κυάμους, ὅταν ἔτνος ποιῆσαι θέλωμεν, ἐπήγαγε, τὸ ἔτ-
νους. ἔχαιρε γὰρ τούτῳ πάνυ ὁ ἡρακλῆς. ἢ τὸ ἔτνους, ἑρμηνεία τοῦ κατερικτῶν.
Κολλάβους. τοὺς ἄρτους λέγει. τοὺς ἐοικότας τὴν πλάσιν τοῖς κολλάβοις τῆς
κιθάρας. οἱ δὲ εἶδος πλακοῦντος τετραγώνου. ἢ ἄρτου μακροῦ. παρὰ τὸ ἐκ με-
γάλων κολλυβίζεσθαι. Ἄλλως. ἄρτοι νέοι ἐκ νεοπύρων. καὶ οἱ λάσταυροι ὑπὸ
σικυωνίων λέγονται. καὶ ἡ γέφυρα τοῦ ὀργάνου. Πάνυ καλῶς. παραιτούμενοι οἱ
παλαιοὶ, ἔλεγον. κάλλιστ᾽ ἐπαινῶ. καὶ ἐπήνουν. νῦν οὖν παραιτούμενος εἰσιέναι
φησὶν ὁ θεράπων αὐτὸ τοῦ ἔασον ληρεῖς ἔχων. τοῦτο λέγει κρατῶν αὐτὸν ὁ διόνυ-
σος. καὶ μὴ συγχωρῶν εἰσελθεῖν ἅμα τῇ θεραπαίνῃ τῆς περσεφόνης περισσὸν δὲ
τὸ ἔχων. Καὶ γὰρ αὐλητρίς. αὕτη ἡ κατασκευὴ πρὸς τὸ ἀλλ᾽ εἴσιθ᾽ ἅμ᾽ ἐμοί.

97. b.
142. b.
267. a.

ξα. ἰδοὺ λαβέ. δι. πρόσθου. ποῦ 'στιν; ξα. ὦ χρυσοῖ θεοί,
ἐνταῦθ' ἔχεις τὴν καρδίαν; δι. δείσασα γὰρ,
εἰς τὴν κάτω μου κοιλίαν καθείρπυσεν.
ξα. ὦ δειλότατε θεῶν σὺ κἀνθρώπων. δι. ἐγώ;
πῶς δειλὸς, ὅστις σπογγιὰν ᾔτησά σε.
οὐκοῦν ἕτερος ταῦτ' εἰργάσατ' ἀνήρ. ξα. ἀλλὰ τί.
δι. κατέκειτ' ἂν ὀσφραινόμενος, εἴπερ δειλὸς ἦν.
ἐγὼ δ' ἀνέστην, καὶ προσέτ' ἀπεψησάμην.
ξα. ἀνδρεῖά γ' ὦ πόσειδον. δι. οἶμαι νὴ δία.
σὺ δ' οὐκ ἔδεισας τὸν ψόφον τῶν ῥημάτων
καὶ τὰς ἀπειλάς; ξα. οὐ μὰ δί' οὐδ' ἐφρόντισα.
δι. ἴθι νυν, ἐπειδὴ ληματιᾷς κἀνδρεῖος εἶ,
σὺ μὲν γενοῦ 'γὼ, τὸ ῥόπαλον τουτὶ λαβὼν
καὶ τὴν λεοντῆν, εἴπερ ἀφοβόσπλαγχνος εἶ.
ἐγὼ δ' ἔσομαί σοι σκευοφόρος ἐν τῷ μέρει.
ξα. φέρε δὴ ταχέως αὔτ'. οὐ γὰρ ἀλλὰ πειστέον
καὶ βλέψον εἰς τὸν ἡρακλειοξανθίαν,
εἰ δειλὸς ἔσομαι, καὶ κατὰ σὲ τὸ λῆμ' ἔχων.
δι. μὰ δί'. ἀλλ' ἀληθῶς οὐκ μελίτης μαστιγίας.
φέρε νυν ἐγὼ τὰ στρώματ' αἴρωμαι ταδί.
θε. ὦ φίλταθ' ἥκεις ἡράκλεις; δεῦρ' εἴσιθι.
ἡ γὰρ θεός σ' ὡς ἐπύθεθ' ἥκοντ', εὐθέως

F οὐ τί ἐστιν; ὁ διόνυσος φοβούμενος λέγει, ποῦ ἐστιν ἡ καρδία μου. Ἐνταῦθ' ἔχεις τὴν καρδίαν, ἔνθα μου τὴν χεῖρα προσήγαγες. ἤγουν περὶ τὸν πρωκτόν. λαμβάνει γὰρ ὁ διόνυσος τὴν χεῖρα τοῦ ξανθίου καὶ προστίθησιν εἰς τὸν πρωκτόν. ὁ δὲ τίθησι τὸν σπόγγον εἰς τὸ αἰδοῖον αὐτοῦ γέλωτος χάριν. Πῶς δειλός. δειλός εἰμι ἐγὼ ὅτι ᾔτησά σε σπογγιάν. θαυμάζω δὲ τοῦτο λέγει ὁ διόνυσος ἑαυτοῦ ὅτι οὐκ ἂν ἄλλος ᾔτησέ σε ὦ ξανθία σπόγγον. ἀλλ' ἐξαπώλησεν ἄν. τοῦ γὰρ δειλοῦ τὸ σιωπᾶν οἰκεῖον, οὐ τὸ λαλεῖν, τὸ δὲ ἐγὼ ἢ μόνον κατ' ἐρώτησιν ἢ καθ' ὁμαλισμὸν μέχρι τοῦ δειλός. Ὀσφραινόμενος. οἱ γὰρ ὑπὸ φόβου ἐκλυόμενοι, ὀσφρήσει τὸν πόνον παύουσιν. ὁ δὲ πόνος αὐτοῖς ἐκ καρδίας γίνεται. Ἀπεψησάμην. κατεμαξάμην. ἀποψῆν λέγουσι, τὸ ἐκμάσσειν καὶ ἐν πλούτῳ· ἀποψώμεθα δ' οὐ λίθοις. Ἴθι νῦν. τὸ ἴθι ἀντὶ τοῦ ἄγε, συνωνυμεῖ γὰρ τὸ δεῦρο. ὃ σημαίνει καὶ τὸ ἄγε. Ληματιᾷς. λῆμά ἐστι τὸ φρόνημα. ληματιᾷς, οἷον μέγα φρονεῖς. γράφεται δὲ καὶ ληματίας χωρὶς τοῦ ι. οἷον μεγαλόφρων καὶ ἰσχυρός. Ἀφοβόσπλαγχνον. ἄφοβος. ἐπειδὴ περὶ ὁ φόβος ὥς φασιν ἐν τοῖς σπλάγχνοις ἐστίν. ἢ ὅτι ἡ καρδία ἐν τοῖς σπλάγχνοις. περὶ ἣν ὁ φόβος γίνεται. Φέρε δὴ ταχέως. οὐδαμῶς φησιν ὀφείλεις λέγειν. ἀλλὰ καὶ διδόναι ἵνα σοι πιστεύσω. ὅτι ἀληθῶς ἐπαγγέλλῃ διδόναι μοι αὐτά. Εἰς τὸν ἡρακλειοξανθίαν. αὐτὸς ξανθίας ἐκαλεῖτο. παρὰ τὴν στολὴν δὲ ὅπλα τοῖς ἡρακλέους εἶχε. συμμίξας οὖν τὰ δύο ὁμοῦ, εἶπεν ἡρακλειοξανθίαν. Οὐκ μελίτης μαστιγίας. ἀντὶ τοῦ ἐκ μελίτης ἡρακλῆς. ἡ γὰρ μελίτη δῆμος τῆς ἀττικῆς, ἐν ᾗ ἐμυήθη ἡρακλῆς τὰ μικρὰ μυστήρια. ἔστι δὲ ἐκεῖ καὶ ἡρακλέους ἱερόν. ἐκλήθη δὲ ἀπὸ μελίτης νύμφης, ᾗ ἐμίγη ὁ ἡρακλῆς. μαστιγίας δὲ ὡς πρὸς δοῦλον. παρὰ δὲ τὴν ὑπόνοιαν σκώπτει, ἐπειδὴ ἐν μελίτῃ ἐστὶν ἐπιφανέστατον ἡρακλέους ἱερὸν ἀλεξικάκου. ὁ δὲ ξανθίας ἀντιμετεν/

Ἔχιδνά θ' ἑκατογκέφαλος. ὁ τόπος οὗτος, παρὰ τὰ ἐν Θησεῖ Εὐριπίδου. κάρα τε γάρ σου συγχέω κόμαις ὁμοῦ. ῥανεῖ δὲ πέδῳ ἐγκέφαλον. ὄμματα δ' ἄπο, αἱμοσταγεῖς πρηστῆρες ῥεύσονται κάτω. Ταρτησσία μύραινα. μύραινα, δαίμων φοβερά, παρὰ τὸ μύρεσθαι. παρὰ τὰ ἐν Θησεῖ Εὐριπίδου. Ταρτησσίαν δὲ εἶπε πρὸς τὸ ἐκπληκτικώτερον διὰ τὸ ἐκτετοπισμένον. λέγουσι δὲ Ταρτησσίαν γαλῆν, αἴτιοι τοῦ μεγάλην. ἡ δὲ Ταρτησσὸς Ἰβηρικὴ πόλις περὶ τὴν ἄορνον λίμνην. μύραινα δέ, ἰχθὺς θαλάσσιος. αἴτιοι δὲ τοῦ εἰπεῖν ἔχιδναν, μύραιναν εἶπε τὸ γένος, ἐπὶ τηλικοῦτον εἶπε τούτοις. ἔστι δὲ τὰ ἐν Θησεῖ παρῳδημένα Εὐριπίδῃ. ἐκεῖ γάρ τοι οὗτός ἐστι σπουδάζων ὁ Εὐριπίδης, οἷος ἐνταῦθα παίζων.

Γοργόνες Τιθράσιαι. ἀπὸ δήμου τῆς Ἀττικῆς πονηροῦ. οὐκ εἰκῆ δὲ τοῦτο εἶπεν. ἀλλ' ἐοίκασι τὸν δῆμον διαβάλλειν τοῦτον, ὡς κακοπράγμονα. εἰσὶ δὲ οὗτοι ἀπὸ Τιθράσιας τοῦ Πανδίονος παιδὸς ἐπώνυμοι. εἰς δὲ τὴν Αἰγηΐδα φυλὴν κατανενέμηνται. ἄλλως. Τιθράσιος τόπος τῆς Λιβύης, ἔνθα αἱ Γοργόνες διέτριβον. Οὗτος, τί δέδρακας. ἰδὼν ὁ Ξανθίας διὰ τὸν φόβον ἀποπατήσαντα τὸν Διόνυσόν φησιν, οὗτος, τί δέδρακας. τὸ δὲ κάλει θεόν, τινὲς οὕτως ἀποδεδώκασιν· ἐν τοῖς Ληναϊκοῖς ἀγῶσι τοῦ Διονύσου ὁ δᾳδοῦχος κατέχων λαμπάδα, λέγει καλεῖτε θεόν· καὶ οἱ ὑπακούοντες βοῶσι· Σεμελήϊ' Ἴακχε πλουτοδότα. ἢ πρὸς τὸ ἐν ταῖς θυσίαις ἐπιλεγόμενον· ἐπειδὰν γὰρ σπονδὰς ποιήσωνται, ὡς ἐκκέχυται, λέγεται κάλει θεόν. πρὸς ὃ ἐξείλεκται εἰς τοῦτο. ἄλλως. Κάλει θεόν. πρὸς βοήθειαν κάλει θεόν. οὐ γὰρ Διόνυσος θεὸς ἦν, ὅτι εἶπεν αὐτῷ κάλει θεόν. τοῦτο γὰρ ἐν κωμῳδίᾳ πέπλασται. ἄλλως. εἰώθασιν οἱ μεγάλοις κακοῖς περιπίπτοντες θεὸν ἐπικαλεῖσθαι πρὸς ἀρωγὴν θυσίας τινὸς ὑποσχέσει. δείκνυσι δὲ ἐντεῦθεν, ὡς ὁ Διόνυσος οὐκ ἔστι θεὸς ὡς ἐν κωμῳδίᾳ παίζων. τὸ δὲ ἐγκέχοδα ἀπὸ τοῦ χέζω μέσος παρακείμενος.

Ἀλλ' ὡρακιῶ. ὠχριῶ. φροντίζω. ὥρα γὰρ ἡ φροντίς. ἐκ δὲ φροντίδων, ἐκλύεταί τις. ὡρακιᾶσαι δὲ λέγεται τὸ ὑπὸ φόβου ὠχριάσαι ἀπὸ τοῦ τὴν ὥραν αἰκίζειν. τοῦτο δὲ Σοφοκλῆς εἶπεν ἐν Ἀμφιαράῳ σατυρικῷ, τὸ ὠχριᾶσθαι θλιβομένης τῆς καρδίας. τοῦτο δὲ πολλοῖς γίνεται.

φρουροῦσι. Κωκυτοῦ τε περίδρομοι κύνες.
ἔχιδνά θ' ἑκατογκέφαλος. ἣ τὰ σπλάγχνα σου
διασπαράξει. πλευμόνων τ' ἀνθάψεται.
Ταρτησσία μύραινα. τὼ νεφρὼ δέ σου,
αὐτοῖσιν ἐντέροισιν ᾑματωμένω,
διασπάσονται Γοργόνες Τιθράσιαι.
ἐφ' ἃς ἐγὼ δρομαῖον ὁρμήσω πόδα.
ξα. οὗτος, τί δέδρακας. δι. ἐγκέχοδα. κάλει θεόν
ξα. ὦ καταγέλαστ'. οὔκουν ἀναστήσει ταχύ,
πρίν τινά σ' ἰδεῖν ἀλλότριον. δι. ἀλλ' ὡρακιῶ.
ἀλλ' οἶσε πρὸς τὴν καρδίαν μου σπογγιάν

τῆς ἀντιστροφῆς τρίβραχυν ἔχει τὸν δεύτερον πόδα. ἔνθα καὶ ἀντὶ τοῦ ἱλαρὸν ἱερὸν γράφεται. τὰ τρίτα ἰωνικὰ ἀπὸ μείζονος δίμετρα καταληκτικὰ ἐκ παίωνος δευτέρου καὶ κρητικοῦ ἤτοι ἀμφιμάκρου. τὰ πέμπτα καὶ τὰ ἕκτα ὁμοίως. τὰ μέντοι τῆς ἀντιστροφῆς ἀντ' ἰωνικῶν, ἔχει παίωνας δευτέρους τὰ τελευταῖα ἰωνικὰ ἡμιόλια ἤτοι δίμετρα βραχυκατάληκτα. ἐπὶ τῷ τέλει τῆς μὲν προῳδοῦ καὶ τῆς στροφῆς παράγραφος. τῆς δὲ ἀντιστροφῆς κορωνίς. Ἄλλως.

τὸν ἡμέτερον τρόπον.
τὸν καλλιχορώτατον,
παίζοντες. ὃν ὄλβιαι
μοῖραι ξυνάγουσι.
μόνοις γὰρ ἡμῖν ἥλιος
καὶ φέγγος ἱλαρόν ἐστιν
ὅσοι μεμυήμεθ', εὐ-
σεβῆ τε διήγομεν
τρόπον περὶ τοὺς ξένους. καὶ τοὺς ἰδιώτας.
δι. ἄγε δὴ τίνα τρόπον τὴν θύραν κόψω. τίνα.
πῶς ἐνθάδ' ἄρα κόπτουσιν οἱ 'πιχώριοι;
ξα. οὐ μὴ διατρίψῃς. ἀλλὰ γεῦσαι τῆς θύρας.
καθ' ἡρακλέα τὸ σχῆμα καὶ τὸ λῆμ' ἔχων.
δι. παῖ. παῖ. αἰα. τίς οὗτος. δι. ἡρακλῆς ὁ καρτερός.
αἰ. ὦ βδελυρὲ κἀναίσχυντε. καὶ τολμηρὲ σὺ
καὶ μιαρὲ, καὶ παμμίαρε. καὶ μιαρώτατε
ὃς τὸν κύν' ἡμῶν ἐξελάσας τὸν κέρβερον,
ἀπῇξας ἄγχων. κἀποδρὰς, ᾤχου λαβών.
ὃν ἐγὼ 'φύλαττον. ἀλλὰ νῦν ἔχει μέσος.
τοία στυγός σε μελανοκάρδιος πέτρα.
ἀχερόντιός τε σκόπελος αἱματοσταγής.

Χ ορεύωμεν. δύνανται παῖδες οἱ κατὰ τὸν χορὸν, ἀλλήλοις παρακελεύεσθαι. καὶ μὴ εἰς ἀμοιβαῖα διαιρεῖσθαι. ἀλλὰ τοῦτο, εἰς οὐδὲν φαίνοιτο ἂν οἰκονομούμενος. Τὸν ἡμέτερον. ἀντὶ τοῦ κατὰ τὸν ἡμέτερον τρόπον ὡς ἔθος ἔχομεν παίζοντες. Ὅσοι μεμυήμεθ'. ἐμυσταγωγήθημεν, μυστήρια δὲ ἐκλήθη, παρὰ τὸ τοὺς ἀκούοντας μύειν τὸ στόμα. καὶ μηδενὶ ταῦτα ἐξηγεῖσθαι μύειν δέ ἐστι τὸ κλείειν τὸ στόμα. Καὶ τοὺς ἰδιώτας. ἀντὶ τοῦ τοὺς ἰδίους. τοὺς πολίτας. ἀντιστρέφεται δὲ τοῦτο τὸ ἴδιον ἀντὶ τοῦ ἰδιωτικοῦ. καὶ οὕτω πολλάκις εἴρηται κατὰ παραγωγὴν σημειωτέον ὅτι καὶ ἰδιώτης λέγεται, ὁ πρὸς γένος ἴδιος καὶ ὁ ἀμαθής. Ἄγε δή. κορωνὶς εἰσιόντων αὖθις τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι οδ'. ὧν τελευταῖος ἐμοῦ δεηθεὶς αὖ εἰ θεὸς θέλ. ἐπὶ τῷ τέλει κορωνίς. Ἀλλὰ νῦν ἔχει μέσος. ἀντὶ τοῦ μέσον ἐλήφθης. τοῦτο δὲ ἐκ μεταφορᾶς τῶν ἀθλητῶν. τὸ ἔχει δὲ, οὕτως ἀττικοὶ ἀντὶ τοῦ ἔχῃ ἀπὸ τοῦ ἔχομαι δευτέρου προσώπου. Μελανοκάρδιος. διὰ τῆς λέξεως τὸ φοβερὸν εἶπε μελανοκάρδιος πέτρα. οὐ γὰρ ἔχει καρδίαν ἡ πέτρα. ἐκ μεταφορᾶς τῶν ἀγρίων ἀνθρώπων οὓς διὰ τὴν ἐνοῦσαν αὐτοῖς ἀγριότητα μελανοκαρδίους φασὶ καὶ τὰ μὲν ἑαυτῷ πλάττων λέγει. τὰ δὲ ἐξ εὐριπίδου πρὸς φόβον διονύσου.

r ἐρίδρομοι. οἷον παντοχοῦ δυνάμενοι περιστρέφεσθαι. λέγει δὲ, τὰς ἐριννῦς.

πορνομανῆ. τὸ δὲ ἵππος πολλαχοῦ, ἐπὶ τοῦ μεγάλου λαμβάνουσιν. ἱππόπορνε. κωμῳδεῖται δὲ καὶ ὁ Καλλίας, ὡς σπαθῶν τὴν πατρικὴν οὐσίαν. καὶ μάλιστα ἐπὶ γυναιξὶ μεμηνώς. ἢ τοῦ κυσθοβάτου. Ἀλλ᾽ ἢ Διὸς κόρινθος. παροιμία ἐπὶ τῶν τὰ αὐτὰ συνεχῶς λεγόντων. τῶν μεγαρέων ἀποστάντων, κορινθίων, ἀπεστάλη κῆρυξ πολλάκις λέγων, ὅτι οὐκ ἀνέξεται ὑμῶν ὁ τοῦ Διὸς κόρινθος. ἐπέμενέ τε οὖν αὐτὸ λέγων. οἱ δὲ μεγαρεῖς συγχυθέντες καὶ εἰς ὀργὴν τραπέντες ἔλεγον παῖε παῖε τὸν Διὸς κόρινθον. τουτέστι τὸν κήρυκα καὶ παροιμία ἐλέχθη ἐπὶ ταυτολογούντων ἀεὶ καὶ τὰ αὐτὰ πραττόντων. ὁ δὲ Διὸς κόρινθος παῖς Διὸς βασιλεὺς κορίνθου. μεγαρεῖς δὲ ὑποτελεῖς ἦσαν κορινθίοις. μεγαρέας φασὶ κορινθίων ἀποίκους, πολλὰ τοῖς κορινθίοις κατ᾽ ἰσχὺν τῆς πόλεως ὑπείκειν. ἄλλα τε γὰρ πλείονα τοὺς κορινθίους προστάσσειν. καὶ τῶν Βακχιαδῶν εἴ τις τελευτήσει. διῴκουν δὲ αὐτοὶ τὴν πόλιν. ἔδει οὖν μεγαρέων ἄνδρας καὶ γυναῖκας ἐλθόντας εἰς κόρινθον συγκηδεύειν τὸν νεκρὸν τῶν βακχιαδῶν. ὡς δὲ ὕβρεως οὐδὲν ἀπέλιπον οἱ κορίνθιοι. τὰ δὲ τῶν μεγαρέων ἔρρωτο. καὶ πρὸς ἐλπίδι τοῦ μηδὲν παθεῖν ἀποστάντες αὐτοὺς, ἀν᾽ ἀφεῖναι, πέμπουσι δὴ πρέσβεις οἱ κορίνθιοι, κατηγορήσοντας μεγαρέων. οἳ προσελθόντες εἰς τὴν ἐκκλησίαν. ἄλλα τε πολλὰ διεξῆλθον. καὶ τέλος, δικαίως στενάξοι ὁ Διὸς κόρινθος, εἰ μὴ λάβοι δίκην παρ᾽ αὐτῶν. ἐφ᾽ οἷς παροργισθέντες οἱ μεγαρεῖς, τοὺς πρέσβεις λίθοις ἔβαλον, καὶ κατὰ μικρὸν ἐπιβοησάντων τινῶν τοῖς κορινθίοις. καὶ μάχης γενομένης νικήσαντες, φυγῇ τῶν κορινθίων ἀποφυγόντων ἐφεπόμενοι κτείνοντες ἅμα παίειν τὸν Διὸς κόρινθον ἐκέλευον. ὅθεν φησὶν ὁ Δίμων ἔτι καὶ νῦν ἐπὶ τῶν ἄγαν σεμνυνομένων καὶ δεινῶς ἀπαλλαττομένων, τὴν παροιμίαν τετάχθαι.

ἀλλ᾽ ἢ Διὸς κόρινθος ἐν τοῖς στρώμασι.
χο. Χωρεῖτε νῦν ἱερὸν ἀνὰ κύκλον θεᾶς.
ἀνθοφόρον ἀν᾽ ἄλσος.
παίζοντες. οἷς μετουσία
θεοφιλοῦς ἑορτῆς.
δι. ἐγὼ δὲ σὺν ταῖσι κόραις
εἶμι καὶ γυναιξὶν,
οὗ παννυχίζουσι θεᾷ,
φέγγος ἱερὸν οἴσων.
χο. Χωρῶμεν ἐς πολυρρόδους
λειμῶνας ἀνθεμώδεις;

Χωρεῖτε νῦν. εἰσὶ δὲ τοῦ ἑτέρου μέλους προῳδικὴ διαιρεθέντος αὖθις τοῦ χοροῦ καὶ τῶν μὲν τὴν προῳδὴν ᾀσάντων τοῦ δὲ τὴν ἀντιστροφὴν καὶ εἰσὶ τῆς μὲν προῳδοῦ τὰ κῶλα ὀκτώ. τὸ πρῶτον ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον καταληκτικὸν τοῦ δευτέρου πρὸς ἑξασύλλαβον. τὰ β. δ. καὶ τελευταῖον παιωνικὰ δίμετρα καταληκτικὰ ἐκ παίωνος πρώτου ἢ τετάρτου καὶ βακχείου ἢ ἀμφιβραχέος. τὸ τρίτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ πέμπτον καὶ ἕβδομον ἀντισπαστικὰ χοριαμβικὰ δίμετρα ἀκατάληκτα ἐκ διιάμβου ἢ ἐπιτρίτου τρίτου καὶ χοριάμβου. τὸ ἕκτον τροχαϊκὸν ἰθυφαλλικόν. τῆς δὲ στροφῆς τὰ κῶλα ἕξ. καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα ὧν τὰ πρῶτα ἰαμβικὰ δίμετρα ἀκατάληκτα. τὰ δὲ δεύτερα καταληκτικὰ ἢ πενθημιμερῆ. τὸ μέντοι

παρὰ τὰς τοὺς ὀδόντας. λέγει οὖν, ὅτι χρονίσας ταῖς ἀθήναις, οὐκ ἐδυνήθη ἀναγραφῆναι εἰς τοὺς πολίτας. οὗτος δέ, ὡς ξένος κωμῳδεῖται. καὶ Εὔπολις βάπταις. ἐπιχώριος δέ ἐστι καὶ ξένης ἀπὸ χθονός. Ἐν τοῖς ἄνω νεκροῖς. οὐχ ὡς Ἀπολλώνιος πρὸς τὴν ἐξήγησιν τὴν εἰ μὴ νεναυμάχηκε τὴν περὶ τῶν κρεῶν. ἀλλ' ὅτι διὰ τὴν κακοπραγίαν, νεκροὺς τοὺς ἀθηναίους λέγει. ψυχρὸν γὰρ ἀλλὰ πιθανῶς οἱ κάτω τοὺς ζῶντας, ἄνω νεκροὺς φασίν. ὅτι κατατετρίβησαν ἐν τοῖς κακοῖς ὑπὸ τῶν στρατηγῶν.

ἐν τοῖς ἄνω νεκροῖσι.
κἄστι τὰ πρῶτα τῆς ἐκεῖ μοχθηρίας
τὸν Κλεισθένη δ' ἀκούω
ἐν ταῖς ταφαῖσι, πρωκτὸν
τίλλειν ἑαυτοῦ, καὶ σπαράττειν τὰς γνάθους
κἀκόπτετ' ἐγκεκυφώς.
κἄκλαε. κἀκεκράγει
σεβῖνον ὅστις ἐστὶν ἀναφλύστιος.
καὶ καλλίαν γέ φασι
τοῦτον τὸν ἱπποβίνου,
κύσθου λεοντὴν ναυμαχεῖν, ἐνημμένον.
Δι. ἔχοιτ' ἂν οὖν φράσαι νῷν,
πλούτων ὅπου 'νθάδ' οἰκεῖ,
ξένω γάρ ἐσμεν, ἀρτίως ἀφιγμένω
Χο. μηδὲν μακρὰν ἀπέλθῃς.
μηδ' αὖθις ἐπανέρῃ με.
ἀλλ' ἴσθ' ἐπ' αὐτὴν τὴν θύραν ἀφιγμένος.
Δι. αἴροις ἂν αὖθις αὖ γε παῖ τὰ στρώματα.
Ξα. τουτὶ τί ἦν τὸ πρᾶγμα.

Ἄλλως. νεκροὺς τοὺς ἀθηναίους λέγει ἢ διότι τὸ ἀρχαῖον φρόνημα ἀποβεβλήκασιν. ἢ διότι οἱ ἐν τῷ κόσμῳ ἄνθρωποι εἰ καὶ ζῶσιν, ἀλλὰ τοῖς τοῦ βίου ματαίοις ἐγκυλινδούμενοι δεινότερα τῶν τεθνηκότων πάσχουσι ζῶντες κολαζόμενοι. ἢ διότι πολλοῖς κακοῖς ὑπὸ τῶν δημαγωγῶν κατατριβόμενοι. ἀναισθήτως ἔχουσιν ὡς νεκροὶ αὐτοὺς ἀτιμωρήτους ἐῶντες. χαρίεν δὲ τὸ ὑπὸ τῶν νεκρῶν τοὺς ζῶντας καλεῖσθαι νεκρούς. Τὸν κλεισθένη. διαβάλλει τὸν κλεισθένη ὡς φαυλόβιον, καὶ πρὸς τοῦ σεβίνου πορνευόμενον. διὸ καὶ δεινοπαθοῦντά φησιν ἐπὶ τῇ τούτου τελευτῇ. Τῆς ἐκεῖθεν μοχθηρίας. ἀντὶ τοῦ εἰπεῖν δημαγωγίας ἢ πολιτείας, μοχθηρίας εἶπεν χαριέντως πρὸς τὰ κακὰ αὐτῶν.

Ἐν ταῖς ταφαῖσι. ταφαί, ὅπου οἱ ἐνδόξως τετελευτηκότες ἐθάπτοντο δημοσίᾳ. ἄλλως. τοῖς κατὰ τὸν πόλεμον ἀποθανοῦσι, δημοσίᾳ τάφους προυτίθεσαν. τὸ οὖν τίλλειν τὰς τρίχας καὶ κόπτεσθαι, ἅμα μὲν ὡς ἐπὶ τετελευτηκότι, ἀναγκαίως. ἅμα δὲ εἰς μαλακίαν. καὶ τὸ κόπτεσθαι κακεμφάτως. Σεβῖνον, ὅστις ἐστὶν ἀναφλύστιος. ὀνοματοποιεῖ τοῦτο, ὡς πρὸς τὴν μαλακίαν κλεισθένους παρὰ τὸ αἰσχρόν. πιθανῶς δὲ τὸ ὅστις, ἐμφαίνει, οὐ τὸν ὑπὸ ἑνὸς μόνου πορνευόμενον. πέπλασται δὲ αὐτῷ ὥσπερ ὁ σεβῖνος, οὕτω καὶ ὁ ἀναφλύστιος. ἀναφλᾶν γὰρ ἔλεγον τὸ μαλάσσειν τὸ αἰδοῖον. καὶ σεβῖνος ἴσως, παρὰ τὸ βινεῖν. ἔστι δὲ καὶ σεβῖνος ὠνομασμένος παρὰ πλάτωνι ποιητῇ. ἔστι δὲ καὶ δῆμος ἀττικῆς ἀναφλύστιος.

Τουτονὶ τὸν ἱπποβίνου. παρεγραμμάτισε διὰ τὴν ἀσέλγειαν. παρὰ τὸ ἱππονίκου τῆς

ῥᾳδίκου πρὸς τὸ ἐμπέμψαντες τὸν διόνυσον. τὸ δὲ ἄνευ πόνου πολλὴν ὁδὸν περαίνεις, αὐτὶ τοῦ μεθ' ἡμῶν ὢν ῥᾳδίαν πάνυ τὴν ὁδὸν ποιήσεις. ἢ ὅτι ἐν τοῖς ναοῖς διατρίβων ἐμφανείης ἡμῖν ἐξαίφνης ἐπικαλεσαμένοις, ἐνταῦθα δείξεις τὰς ὁδοὺς ἄνευ πόνου τοῖς θεοῖς τελειοῦσθαι. πάντα γὰρ αὐτοῖς εὐπετῆ. Σὺ γὰρ κατεσχίσω. ἴσον τῷ διὰ σὲ κατεσχίσθη. εἴρηται γὰρ ὁ αὐτὸς ἴακχος τῷ διονύσῳ κατά τινας. τῷ δὲ διονύσῳ αἱ κωμῳδίαι ἀνάκειται. ἔοικε δὲ παρεμφαίνειν ὅτι ἤδη λιτῶς ἐχορήγειτο τοῖς ποιηταῖς. ἐπὶ γοῦν τοῦ καλλίου τούτου φησὶν ἀριστοτέλης ὅτι σύνδυο ἔδοξε χορηγεῖν, τὰ διονύσια τοῖς τραγῳδοῖς καὶ κωμῳδοῖς. ὥστε ἦν τις καὶ παρὰ τὸν ληναϊκὸν συστολὴ χρόνῳ. δι' οὐ πολλοὶ ὕστερον καθάπερ τὰς χορηγίας περιεῖλε κινησίας. Καὶ τὸ ῥάκος. ἐπιδύναται καὶ ταῦτα, τὴν αὐτὴν ἔννοιαν ἔχειν. ῥάκος δέ. οἱ μὲν τὸ τριβώνιον. οἱ δὲ τὸ προσωπεῖον. ὅτι ῥάκεσι κατεκολλᾶτο. Καὶ μετ' αὐτῆς. τοῦτο πρὸς τὸ αὐτὸ, συμπαιστρίας. μετ' αὐτῆς τῆς συμπαιστρίας δηλονότι. Κἄγωγε πρός. τοῦτό τινες διονύσου φασὶ μεταξὺ παρεμβαλόντος λέγειν.

Ἴακχε φιλοχορευτὰ συμπρόπεμπέ με.
σὺ γὰρ κατεσχίσω μὲν ἐπὶ γέλωτι
κἀπ' εὐτελείᾳ τόνδε
τὸν σανδαλίσκον καὶ τὸ ῥάκος.
κἀξηῦρες ὥστ' ἀζημίους
παίζειν τε καὶ χορεύειν.
Ἴακχε φιλοχορευτὰ συμπρόπεμπέ με.
καὶ γὰρ παραβλέψας τι μειρακίσκης
νῦν δὴ κατεῖδον καὶ μάλ' εὐπροσώπου
συμπαιστρίας, χιτωνίου
παραρραγέντος, τιτθίον προκύψαν.
Ἴακχε φιλοχορευτὰ συμπρόπεμπέ με.
ξαν. ἐγὼ δ' ἀεί πως φιλακόλουθός εἰμι καὶ μετ' αὐτῆς
παίζων χορεύειν βούλομαι. δι. κἄγωγε πρός.
χο. βούλεσθε δῆτα κοινῇ
σκώψωμεν ἀρχέδημον;
ὃς ἑπτέτης ὢν, οὐκ ἔφυσε φράτορας.
νυνὶ δὲ δημαγωγεῖ

Βούλεσθε δῆτα. στροφὴ καὶ εἴσθεσις χοροῦ ἀπὸ ῥηματικῆς ἐκ κώλων πεντεκαίδεκα ἰαμβικῶν ἐφθημιμερῶν. πλὴν τοῦ γ΄. ϛ΄. θ΄. ιβ΄. καὶ τελευταίου τριμέτρων ἀκαταλήκτων. ἐπὶ τῷ τέλει παράγραφος. τὸ δὲ πρὸς λαγγείαν ἀπὸ ῥήσεως ἀμφοτέρων σκωπτῶν, τοῦ τε δεσπότου καὶ τοῦ δούλου τοῦτό φησιν. ὁ δὲ ἀρχέδημος ὡς ξένος παρ' αὐτοῦ κωμῳδεῖται. νόμος γὰρ ἦν τοὺς ἐξ ἀλλοδαπῆς ἀθήνησι κατοικεῖν ἐθέλοντας εἰς πολίτας, ἐνταῦθα χρόνον ὀλίγον διατρίψαντας ἐγγράφεσθαι. ὅπερ ἀρχέδημος οὐκ ἐποίησε. δέον οὖν εἰπεῖν ὅτι οὐκ ἐπολιτογραφήθη, ὥστε τοὺς πολίτας ὡς περὶ συγγενεῖς ἔχειν, οὐκ ἔφυσεν εἶπεν. ἑξῆς δὲ ταύτης τῆς στροφῆς ἐν εἰσθέσει σύστημα κατὰ περικοπήν. ἀμοιβαῖον ἐκ κώλων ἀναλόγως τῇ στροφῇ κειμένων. ὧν τὸ τελευταῖον παραγράφῳ σημειοῦται.

Οὐκ ἔφυσε φράτορας. ἀντὶ τοῦ εἰπεῖν οὐκ ἔφυσεν ὀδόντας. ἵνα ὡς ξένον διαβάλῃ. οἱ δὲ παροιμία ἑπτέτης ὢν ὀδόντας οὐκ ἔφυσεν. Ἄλλως. ἀντὶ τοῦ εἰπεῖν ὀδόντας, συγγενεῖς εἶπεν. ἡ μεταφορὰ ἀπὸ τῶν παιδίων οἵ τινες ὄντες περὶ τὰ ἑπτὰ ἔτη, ἔχουσι

στροφῆς. ἐπὶ τῷ τέλει παράγραφος. ἐντεῦθεν δὲ Ἀρίσταρχος ὑπενόησε μὴ ὅλα τοῦ χοροῦ εἶναι τὰ πρῶτα. τοῦτο δέ, οὐκ ἀξιόπιστον. πολλάκις γὰρ ἀλλήλοις οὕτω παρακελεύονται οἱ παρὰ τοῦ χοροῦ. Ἐγκρούων. βαίνων εὐρύθμως ἢ ἀντὶ τοῦ ἐκβάλλων. Ἠρίστηται. ἄριστον γεγένηται πρὸ τῆς τελετῆς. ἔμβα δὲ ἀντὶ τοῦ χόρευε. Αἴρεις τὴν σώτειραν. ὑψώσεις τοῖς ἐπαίνοις. ἔστι γὰρ Ἀθήνησι σώτειρα λεγομένη. ἣ καὶ θύουσιν. Δήμητερ. εἴσθεσις ἑτέρα μέλους μονοστροφικοῦ ἐκ κώλων ἰαμβικῶν δέκα. ὧν τὸ πέμπτον καὶ τὸ δέκατον ἑφθημιμερῆ ἀκατάληκτα. τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα, ὧν τελευταῖον, κήσαντα ταινιοῦσθαι. ἑξῆς δὲ ὡς ἐξ ἑτέρας στροφῆς κῶλα τέσσαρα. ὧν τὸ πρῶτον καὶ τὸ τρίτον ἰαμβικά. τὸ μὲν τρίμετρον. τὸ δὲ δίμετρον. τὰ δὲ λοιπὰ τροχαϊκὰ δίμετρα βραχυκατάληκτα ἰθυφαλλικὰ καλούμενα ἀρχιλόχεια. ἐπὶ τῷ τέλει παράγραφος. Παῖσαι. ὅπερ ἡμεῖς παίζειν. ταινιοῦσθαι. στεφανοῦσθαι. ταινία γὰρ ῥάμμα τοῦ στεφάνου. Τὸν ὡραῖον. τὸν κατὰ καιρὸν φαινόμενον Διόνυσον. ἐπεὶ τὸν καιρὸν τοῦ ἔαρος τὰς ἑορτὰς αὐτοῦ ἦγον καὶ τὰ κωμικὰ δράματα, ἐν ταύταις εἰσήγετο. Ἴακχε. εἴσθεσις ἑτέροις μέλεσι διαιρεθέντος αὖθις τοῦ χοροῦ, ἐκ κώλων ὀκτωκαίδεκα. ὧν τὰ μὲν α. β. δ. ϛ. ιβ. ιγ. ιε. τρίμετρα καταληκτικά. τὰ δὲ γ. η. θ. ιδ. δίμετρα ἀκατάληκτα. τὰ δὲ ε. ια. ιϛ. καὶ τὸ τελευταῖον τρίμετρα ἀκατάληκτα. τὰ ζ. καὶ ι. ἑφθημιμερῆ. τὸ δὲ ιζ. τετράμετρον καταληκτικόν. ἐν ταῖς ἀποθέσεσι τῶν συστημάτων παράγραφος. Συνακολούθει. τοῦτο ἐπειδὴ εἰς Ἐλευσῖνα ὁδεύουσιν ἀπὸ τοῦ κε-

λειμώνων ἐγκρούων.
καὶ σκώπτων καὶ παίζων,
καὶ χλευάζων ἠρίστηται
δ' ἐξαρκούντως. ἀλλ' ἔμβα
χ' ὅπως ἀρεῖς τὴν σώτειραν γενναίως
τῇ φωνῇ μολπάζων,
ἣ τὴν χώραν σώζειν φήσ' ἐς τὰς ὥρας,
κἂν Θωρυκίων μὴ βούληται.
Χο. ἄγε νῦν ἑτέραν ὕμνων ἰδέαν τὴν καρποφόρον βασίλειαν
Δήμητρα θεὰν ἐπικοσμοῦντες ζαθέαις μολπαῖς κελαδεῖτε.
Δήμητερ ἁγνῶν ὀργίων
ἄνασσα συμπαραστάτει
καὶ σῶζε τὸν σαυτῆς χορόν.
καί μ' ἀσφαλῶς πανήμερον
παῖσαί τε καὶ χορεῦσαι
καὶ πολλὰ μὲν γελοῖά μ' εἰ-
πεῖν. πολλὰ δὲ σπουδαῖα καὶ
τῆς σῆς ἑορτῆς ἀξίως.
παίσαντα καὶ σκώψαντα, νι-
κήσαντα ταινιοῦσθαι.
ἡμ. ἄγ' εἶα νῦν γε καὶ τὸν ὡραῖον θεὸν
παρακαλεῖτε δεῦρο.
ᾠδαῖσι τὸν ξυνέμπορον
τῆσδε τῆς χορείας.
ἡμ. Ἴακχε πολυτίμητε μέλος ἑορτῆς
ἥδιστον εὑρών, δεῦρο συνακολούθει
πρὸς τὴν θεόν, καὶ δεῖξον ὡς
ἄνευ πόνου πολλὴν ὁδὸν περαίνεις.

φάγου διονύσου. ἢ τολμηρὰ ἀπὸ τῶν βάκχων. τολμηροὺς γὰρ τοὺς ἀθηναίους διέσυρεν ἐν τοῖς δράμασι. βωμολόχοις δὲ τοῖς πρὸς χάριν λέγουσι καὶ πρὸς κολακείαν. ἀπὸ δὲ τῶν λοχώντων περὶ τοὺς βωμοὺς καὶ βουλομένων τι λαβεῖν μετήνεγκται ἡ λέξις. οὗτοι γὰρ ὑπὸ τῶν βωμῶν πολλὰ λιπαροῦντες, κολακεύοντές τι λαβεῖν τι παρὰ τῶν θυόντων. τινὲς δὲ τοῦ γαῦρον ἔπαθλον λαμβάνοντος. ἢ τοῦ λαιμάργου. Ἢ προδίδωσι φρούριον. πρὸς τοὺς ποιήσαντας τοὺς φερεκράτους πέρσας.

ἢ προδίδωσι φρούριον, ἢ ναῦς. ἢ τἀπόρρητ' ἀποπέμπει.
ἐξ αἰγίνης. θωρυκίων ὤν, εἰκοστολόγος. κακοδαίμων.
ἀσκώματα. καὶ λίνα. καὶ πίτταν. διαπέμπων εἰς ἐπίδαυρον.
ἢ χρήματα ταῖς τῶν ἀντιπάλων ναυσὶ παρέχειν τινὰ πείθει.
ἢ κατατιλᾷ τῶν ἑκαταίων, κυκλίοισι χοροῖσιν ὑπᾴδων.
ἢ τοὺς μισθοὺς τῶν ποιητῶν ῥήτωρ ὤν, εἶτ' ἀποτρώγει
κωμῳδηθεὶς ἐν ταῖς πατρίοις τελεταῖς ταῖς τοῦ διονύσου.
τούτοισιν ἀπαυδῶ. κἆυθις ἀπαυδῶ. κἆυθις μάλ' ἀπαυδῶ
ἐξίστασθαι μύσταισι χοροῖς. ὑμεῖς δ' ἀνεγείρετε μολπὴν.
καὶ παννυχίδας τὰς ἡμετέρας, αἳ τῇδε πρέπουσιν ἑορτῇ.
ἡμ. χώρει δὴ νῦν πᾶς ἀνδρείως
εἰς τοὺς εὐανθεῖς κόλπους.

τὰ γὰρ ἀπόρρητα ἤκουσιν, ὡς νῦν ἡμῖν ἔθος. διὸ καὶ ἐν πῦθεν λοιδορεῖται τῷ θωρυκίωνι. καὶ αὐτὸς ὅσον μηδὲν. ἀπόρρητα δὲ ἔλεγον τὰ ἀπειρημένα ἐξάγεσθαι ἐν γοῦν τούτοις ἀναφέρει ἀσκώματα. καὶ λίνα. καὶ πίτταν. δῆλον ὅτι οὐδὲν ἔδει ἀποπέμπειν τοῦτον ἐξ αἰγίνης, ὢν θωρυκίων τὰ ἀπόρρητα ἀθήνηθεν ἀποπέμπει. ὅτι οὖν πρὸς τοὺς πελοποννησίους ἦν ὁ πόλεμος. ἀπόρρητα, τὰ πρὸς ναυπηγίαν ἐξάγειν. ἤτοι δὲ ὁ θωρυκίων ἐξ αἰγίνης ὤν, ἢ εἰς αἴγιναν ἐξάγων καθὸ ἦν κοινὸν ἐμπόριον ἡ αἴγινα. οὗτος δὲ ταξίαρχος ἦν ἐν τοῖς πελοποννησιακοῖς τῶν ἀθηναίων. ὁ δὴ πείσας ἔπεμψε τοῖς ἀντιπάλοις εἰς τὸ ἁλῶναι τὴν αὐτοῦ πόλιν. ὅθεν γνωσθεὶς, ἐκωμῳδεῖτο ἐπὶ προδοσίᾳ. τινὲς δὲ θορυκίων γράφουσιν, ἀντὶ τοῦ τὰ τῶν θορυκίων μιμούμενος. Εἰκοστολόγος. τὰ εἰκοστὰ ἐν τῇ κρίσει συνάγων. Ἀσκώματα. εἰς διαφέρας γὰρ τὰς ἑαυτοῦ διανοίας γράψας ἔπεμπε τοῖς πολεμίοις ἐν τῇ λακωνικῇ. ἄσκωμα δὲ δερμάτιόν τι. ᾧ ἐν ταῖς τριήρεσι χρῶνται. καθ' ὃ ἡ κώπη βάλλεται. Ἐπίδαυρον πόλιν λακωνικήν. Ἢ χρήματα. κῦρος γὰρ λυσάνδρῳ ἔπεμψε χρήματα τότε εἰς πόλεμον δαρείου χάριν. Ἢ κατατιλᾷ. ἢ γοῦν ἀσεβῶς διάκειται περὶ τὰ τῆς ἑκάτης ἀγάλματα. ὅτε παννυχίζει κινησίας δὲ τοῦτο πεποίηκε. Ἢ τοὺς μισθούς. οὓς ἔλαβε παρὰ τῆς βουλῆς αὐτοῖς παρασχεῖν. λέγει δὲ διὰ τὸν ἀρχῖνον. τούτοισιν ἀπαυδῶ. παρὰ τὴν ἱεροφάντου καὶ δᾳδούχου πρόρρησιν, τὴν ἐν τῇ ποικίλῃ στοᾷ. Χώρει νῦν. εἰσθέσις ἑτέρα μέλους μονοστροφικοῦ διαιρεθέντος τοῦ χοροῦ ἐκ κώλων ἀναπαιστικῶν ι. ὧν τὰ μὲν ἄκρα καὶ τὸ δ'. καὶ ε. δίμετρα ἀκατάληκτα. τὸ δὲ δεύτερον καὶ ἕκτον ἐφθημιμερῆ. τὸ τρίτον καὶ τὸ ὄγδοον δίμετρα βραχυκατάληκτα. τὰ δὲ λοιπὰ τρίμετρα καταληκτικὰ εἰς συλλαβήν. ἑξῆς δὲ στίχοι δύο ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ ὡς ἐξ ἑτέρας

τινάσσων, ἀντὶ τοῦ τινάσσομένος λαμβάνεται. ἐν δέ τισιν ἐκλέλοιπε τὸ τινάσσων. ἴακχ᾽ ὦ ἴακχε ἀναλόγως τῇ στροφῇ γράφουσι καὶ τὸ χεροῖν εἰς τὸ ἔγειρε συνάπτουσιν. ἥκεις γὰρ κατὰ ἀντιστροφήν. νύκτωρ δ᾽ ἐτελεῖτο τὰ μυστήρια. ὧν τῆς τελετῆς οὐ μόνον χορευτὴς ἀλλὰ καὶ ἔξαρχος ἦν ὁ διόνυσος. καὶ μὲν δὴ διονύσου ἐν ἐλευσῖνι ἱερόν ἐστι καὶ ἐν διονυσίοις ἐτελεῖτο τὰ μυστήρια. Φλέγεται δὲ λειμών. λειμὼν γὰρ ἀνάκειται τοῖς μύσταις. δηλοῖ δὲ καὶ σοφοκλῆς. Χρονίων τ᾽ ἐτῶν. εἰ μὲν οὕτω γράφεται διω-

νικόν ἐστι τὸ ἐνθύμημα	χρονίων τ᾽ ἐτῶν
μερὲς ἐκ παίωνος	Γαλαιοὺς ἐνιαυτοὺς
τρίτου ἀναλόγως	ἱερᾶς ὑπὸ τιμῆς.
τῷ ἐν τῇ στροφῇ ὁδ-	σὺ δὲ λαμπάδι φλέγων
δῷ. εἰ δὲ χρόνους	προβάδην ἔξαγε παίδη-
τ᾽ ἐτῶν ὡς ἐν τοῖς	ρον ἕλειον δάπεδον.
πλείοσιν, ἰαμβι-	χοροποιὸν μάκαρ ἥβαν.
κὴ ταυτοποδία.	ΕΠΙΡΡΗΜΑ.
λέγει δ᾽ ὅτι διὰ τὴν	εὐφημεῖν χρὴ κἀξίστασθαι τοῖς ἡμετέροισι χοροῖσιν
τὴν χαρὰν νεάζου-	ὅστις ἄπειρος τοιῶνδε λόγων ἢ γνώμῃ μὴ καθαρεύει,
σιν οἱ γέροντες. ἡ	ἢ γενναίων ὄργια μουσῶν μήτ᾽ εἶδε πω, μήτ᾽ ἐχόρευσε.
δὲ δύναμις ἐν γό-	μηδὲ κρατίνου τοῦ ταυροφάγου γλώττης βακχεῖ᾽ ἐτελέσθη
νασι. καὶ ὅμηρος.	ἢ βωμολόχοις ἔπεσι χαίρει μὴ ᾽ν καιρῷ τοῦτο ποιοῦσιν,
θεῶν ἐν γούνασι	ἢ στάσιν ἐχθρὰν μὴ καταλύει μηδ᾽ εὔκολός ἐστι πολίταις.
κεῖται. Γαίδη-	ἀλλ᾽ ἀνεγείρει καὶ ῥιπίζει, κερδῶν ἰδίων ἐπιθυμῶν.
ρον ἕλειον. προσ-	ἢ τῆς πόλεως χειμαζομένης ἄρχων καταδωροδοκεῖται.
λιπεῖον τὸ εἰς. ἔξα-	

γε εἰς τὸ παίδηρον καὶ ἕλειον δάπεδον. παίδηρον δὲ πανποδαπῶν θηρίων δεκτικόν. τινὲς δὲ ἀναγινώσκουσιν ἐπ᾽ ἀνθηρόν. Εὐφημεῖν χρή. ἐπὶ τούτων τῶν χορῶν λέγει ἀρίσταρχος. μεμερίσθαι εἰς μερικὰ ἀναπαιστικὰ ἄλλα δὲ ἀμείβεσθαι τὸν χορόν. καὶ τί ἄρα σύνοιδεν ὁ ἀρίσταρχος, δύναται δὲ καὶ ἐν συζυγίᾳ εἶναι τὸ λεγόμενον, πολλαχοῦ δὲ μεμερίσθαι καὶ εἰς διχορείαν τὸ λοιπόν. ὥστε εἰς δώδεκα διαμεμερίσθαι. ἄλλως. εὐφημεῖν χρὴ τροφὴ καὶ εἴσθεσις χοροῦ ἐπιρρηματική. ἔθος γὰρ ἐν τῷ ἐπιρρήματι χρηστὰ συμβουλεύειν τῇ πόλει, ἢ ἐλέγχειν τοὺς πονηρευομένους. ἐν στίχοις ἀναπαιστικοῖς τετραμέτρων καταληκτικῶν ὀκτωκαίδεκα. ὧν τελευταῖος καὶ παν- 106.b.

νυχίδας τὰς ἡμετέρας αἳ τῇδε πρέπουσιν ἑορτῇ. ἐπὶ τοῦ τέλους παράγραφος. ὁ δὲ λόγος ἀπὸ τοῦ ποιητοῦ καί τοι δοκῶν εἶναι χοροῦ. ἰστέον δὲ ὅτι εἰ καὶ διὰ τὸ ἐν ᾅδου μύστας φαίνεται λέγειν, ἀλλὰ τῇ ἀληθείᾳ διὰ τὸ ἐν ἐλευσῖνι ἐνταῦθα καὶ ὑφίσταται ἡ σκηνὴ τοῦ δράματος. Μὴ τε κρατίνου, τὸ περὶ ἀριστόξενον οἰόμενος. ὅτι ταῦρος ἦν αὐτοῖς τὸ ἔπαθλον. εἴρηται δὲ παρὰ σοφοκλέους, ἐκ τῶν τυρῶν διονύσου τοῦ ταυροφάγου. ἢ ὅτι φίλοινος ἦν. καὶ διὰ τοῦτο ἐπίθετον αὐτῷ τοῦ διονύσου ἐπιτέθεικασιν. οἱ δὲ ἔτι περισσότερον ὅλον τὸν λόγον ἀποδιδόασι. μὴ τε κρατίνου βακχεῖ᾽ ἐτελέσθη. οἷον ἐστὶ τὸν μοχθο-

προχαίῳ ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλῆ ἔξω νενευκυῖα. ἑξῆς δὲ τριστιχία ἰαμβικὴ παραγράφῳ τεμματιζομένη. μεθ' ἣν αὐτῇ δὴ καὶ ἀντιστροφὴ [illegible] ὡς καθ' ἕκαστον σχεδὸν τῇ τε ποσότητι καὶ ποιότητι τῶν κώλων, ἔχουσα τῇ στροφῇ. ἐφ' ἧς τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι ἡ μὲν ἐν ἀρχῇ, ἡ δὲ κατὰ τὸ τέλος. ἄλλως.

ἴ' Ἴακχ' ὦ πολυτιμήτοις. μία τῶν μυστηρίων εἰκάς ἐστιν. ἐν ᾗ τὸν Ἴακχον ἐξάγουσι. πολυτιμήτοις δὲ ἐν ἕδραις, καθὸ συνίδρυται τῇ Δήμητρι ὁ Διόνυσος. εἰσὶ γοῦν οἳ Περσεφόνης φασὶν αὐτὸν εἶναι. οἱ δὲ, τῇ Δήμητρι συγγενέσθαι. ἄλλοι δὲ ἕτερον Διόνυσον εἶναι τὸν Ἴακχον. οἱ δὲ, τὸν αὐτόν. οἱ δέ φασι πολυτιμήτοις ἐν ἕδραις καθὸ φιλοτιμότεροί εἰσιν ἐν ᾅδου, οἱ μεμυημένοι, ὡς σαφὲς ποιεῖ ἐν Εἰρήνῃ. δεῖ γάρ μυηθῆναί με, πρὶν τεθνηκέναι. Ἀνὰ λειμῶνα χορεύσων. ἐν τῷ λειμῶνι τὰς χορείας ἐποιοῦντο, διὰ τὰ ἄνθη. χορεύοντες ἐν τῷ προφανεῖ, ἐν χοροῦ σχήματι. Στέφανον μύρτων. μυρσίνης στεφάνῳ ἐστεφανοῦντο οἱ μεμυημένοι. οὐχ ὥς τινες νομίζοντες κισσίνῳ. ὁ δὲ Ἀπολλόδωρος καὶ τοὺς θεσμοθέτας φησὶ διὰ τῆς μυρσίνης στέφεσθαι. ὅτι οἰκείως ἔχει πρὸς τὸ φυτὸν ἡ θεός. καὶ ὅτι τοῖς χθονίοις ἀνίδρωτο. Ἀκόλαστον. μανιώδη βακχικὴν ὁσίαν. οὐ γάρ δὴ αἰσχρὰν καὶ ἀσελγῆ. τὸ δὲ ἐγκατακρούων πρὸς τὸ ὁσίοις μύσταις. Χοιρείων κρεῶν. παρόσον χοῖροι τῇ Δήμητρι καὶ τῷ Διονύσῳ ἐθύοντο ὡς λυμαντικοὶ τῶν θεοῖν σπερμάτων. εἰκότως ὁ ἐν ᾅδου ὢν ἐπιβοᾶται τὴν Περσεφόνην. Χορδῆς λάβῃς. ἡ εἴλησις ἡ τῶν ἐντέρων, ἐστὶ χορδή. ἣν εἰλητὴν καλοῦμεν ἡμεῖς. Ἔγειρε φλογέας. τὸ ἑξῆς. ἔγειρε φλογέας λαμπάδας ἐν χερσὶ τινάσσων ἥκεις νυκτέρου τελετῆς φωσφόρος ἀστήρ. Φωσφόρος ἀστήρ. τὸ μυστηριακὸν πῦρ, φωσφόρον λέγουσι. λέγει δὲ ἐπεὶ τὴν νύκτα λέγουσιν αἰνιγματωδῶς, διὰ τὸ λαθεῖν τοὺς ἀμυήτους. ἢ ὅτι ἐν νυκτὶ ἄγεται τὰ μυστήρια. ἀξιοῦσι δέ τινες αὐτὴν τὴν λαμπάδα φωσφόρον ἀστέρα λέγειν. ὁ δὲ λόγος, κολοβός ἐστιν εἰ μὴ τὸ

ἐλθὲ τόνδ' ἀνὰ λειμῶνα χορεύσων.
ὁσίους ἐς θιασώτας.
πολύκαρπον μὲν τινάσσων
ἀμφὶ κρατὶ σῷ βρύοντα
στέφανον μύρτων.
θρασεῖ δ' ἐγκατακρούων
ποδὶ τὰν ἀκόλαστον
φιλοπαίγμονα τιμὰν
χαρίτων πλεῖστον ἔχουσαν,
μέρος ἁγνὴν ἱεράν,
ὁσίοις μύσταις χορείαν,

ξα. ὦ πότνια πολυτίμητε Δήμητρος κόρη.
ὡς ἡδύ μοι προσέπνευσε χοιρείων κρεῶν.

δι. οὔκουν ἀτρέμ' ἕξεις ἤν τι καὶ χορδῆς λάβῃς.

χο. ἔγειρε φλογέας λαμπά
δας ἐν χερσὶ γὰρ ἥκεις
τινάσσων Ἴακχε.
νυκτέρου τελετῆς φωσφόρος ἀστήρ
φλογὶ φέγγεται δὲ λειμών.
γόνυ πάλλεται γερόντων
ἀποσείονται δὲ λύπας

Μυστικωτάτη. τῶν ἐν ἐλευσῖνι, μυστηρίων. τινὲς δὲ, εἰς τὸ μυστικωτάτη δύο τρέπουσιν. Αὖρα τίς, μακροκαταληκτεῖ. τὰ γὰρ εἰς ρα, εἰ μὲν μονοφθόγγω παραλήγει μακροκαταληκτεῖ, πεῖρα. εἰ δὲ διφθόγγω βραχυκαταληκτεῖ. πλὴν τοῦ, αὖρα καὶ φαῖδρα παρ' εὐριπίδῃ. φαῖδρα γὰρ τῆς δ' οὐ προτιμήσω καλόν. Ἀπορεῖ τινὲς ἐνταῦθα πῶς συνεσμηνόμενα, δᾶδας εἶπεν. ὅμοια ἄρα. καὶ φαμὲν ὅτι τοῦτο λέγει δεικνὺς ὅτι καὶ δᾶδας οἱ μύσται ἔφερον. καὶ θεία πνοή τις ἐξ αὐτῶν ἐφέρετο.

αὖρα τίς εἰσέπνευσε μυστικωτάτη.
ἀλλ' ἠρεμεὶ πτήξαντες ἀκροασώμεθα.
χο. ἴακχ' ὦ ἴακχε. ἴακχ' ὦ ἴακχε.
ξα. τοῦτ' ἔστ' ἐκεῖνο δέσποθ' οἱ μεμυημένοι.
ἐνταῦθά που παίζουσιν, οὓς ἔφραζε νῷν.
ᾄδουσι γοῦν τὸν ἴακχον ὅνπερ διαγόρας.
δι. κἀμοὶ δοκοῦσιν. ἡσυχίαν τοίνυν ἄγειν.
βέλτιστόν ἐστιν, ὡς ἂν εἰδῶμεν σαφῶς.
χο. ἴακχ' ὦ πολυτίμητος
ἕδραις ἐνθάδε ναίων.
ἴακχ' ὦ ἴακχε

Ἴακχ' ὦ ἴακχε. ἡ πάροδος τῆς ᾠδῆς ταύτης τῶν μυστῶν χορῶν κώλων ἐστὶν ἀντισπαστικῶν δύο διμέτρων βραχυκαταληκτῶν. ἑξῆς δὲ τοῦτο σύστημα ἀμοιβαῖον ἐκ στίχων ἰάμβων τριμέτρων ἀκαταληκτῶν πέντε. Ὅνπερ διαγόρας. διαγόρας μελῶν ποιητὴς ἄθεος, ὃς καὶ καινὰ δαιμόνια εἰσηγεῖτο. καὶ ὁ μὲν ἀρίσταρχος, διαγόρου νῦν μνημονεύειν φησι, τοὺς θεοὺς, οὐχ ὡς ᾄδοντος αὐτοῦ. ἀλλ' ἐν εἰρωνείᾳ κειμένου τοῦ λόγου. αἰτίᾳ τοῦ χλευάζοντος ἐξαιρέτου θείου. διακινεῖ οὖν τοὺς ἀθηναίους ὁ κωμικός. ὅθεν καὶ ἀθηναῖοι ὡς χλευάζοντος τοὺς θεοὺς καταψηφισάμενοι ἀνεκήρυξαν τῷ μὲν ἀναιρήσοντι, ἀργυρίου τάλαντον. τῷ δὲ ζῶντα κομίσαντι, δύο. ἐπειδὴ δὲ καὶ τοὺς ἄλλους παλοτρυγικεῖ ους. ὡς ἱστορεῖ κράτερος ἐν τῇ συναγωγῇ τῶν ψηφισμάτων. ἦν δὲ οὗτος τηλεκλύτου παῖς. μήλιος τὸ γένος. τὸν χρόνον κατὰ σιμωνίδην. καὶ πίνδαρον. οἱ δὲ τὸ διαγόρας ταπεινοῦσιν, ὡς ἀπολλόδωρος ὁ ταρσεύς. καὶ φερεκράτης. Ἄλλως. διθυραμβοποιὸς ὁ διαγόρας ποιητὴς συνεχῶς ἴακχε ἴακχε ᾄδων. ἢ κωμικὸς διθυραμβικὰ τουτέστι διονυσιακὰ δράματα ποιῶν. Ἴακχ' ὦ πολυτίμητος. ᾠδὴ καὶ στροφὴ κώλων ιδ'. ὧν τὸ πρῶτον ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον. ὃ καλεῖται γλυκώνειον. τὸ δεύτερον δίμετρον καταληκτικὸν ἢ ἐξ ἀντισπάστου καὶ βακχείου. τὸ τρίτον ὅμοιον ὁ πρῶτον ὁμοῦ τῶν ἐν τῇ παρόδῳ. τὸ τέταρτον ἐκ διτροχαίου ἀντισπαστικοῦ καὶ βακχείου ἀλκαϊκόν φασι καλούμενον. τὸ πέμπτον ἰωνικὸν δίμετρον ἀκατάληκτον ἀνακλώμενον καθ' ἡφαιστίων καλούμενον αὐτ' ἰωνικῶν παίωνα τρίτον καὶ ἐπίτριτον δεύτερον ἔχον. τὰ ἑξῆς δύο τὴν αὐτὴν τρόπον. τὸ ὄγδοον ἰωνικὸν ἀπ' ἐλάττονος πενθημιμερές. τὸ ἔνατον ἐξ ἀντισπάστου καὶ βακχείου δίμετρον ἢ ἐφθημιμερές, τὰ ἑξῆς δύο ἰωνικὰ ἐκ παιώνων τρίτων καταληκτικὰ ἢ ἐκ παίωνος καὶ εἰς ὃν συναιρεῖται βακχείου. τὸ δωδέκατον ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον καθαρόν. τὸ τρισκαιδέκατον καθαρὸν μὲν, καταληκτικὸν δέ. τὸ τελευταῖον ὡς τὸ δωδέκατον ἀναμεμιγμένον μέντοι ἀπὸ τρίτου δευτέρῳ ἢ δὲ

293. 6.

αὐτοῖς ἱερέα. μὴ γὰρ ἐμφαίνεσθαι. τὸ δ᾽ ἀληθὲς οὕτως ἔχειν. οἱ μεγάλοις κακοῖς περιπίπτοντες πρὸς ἱερεῖς ἐρχόμενοι ἱκέτευον αὐτοὺς εὐχὰς ὑπὲρ αὐτῶν ποιεῖσθαι εἰς ἀπαλλαγήν. κατὰ συμμίμησιν ἐκείνων καὶ οὗτος νῦν λέγει. ἔχειν δέ φασι καὶ λόγον, εἶναί τινος τὸν στίχον ποιητοῦ νῦν κατασυρόμενον. Ἡράκλεις. εἶχε γὰρ σχῆμα Ἡρακλέους ὁ Διόνυσος. ἢ καὶ ὡς ἀλεξίκακον Ἡρακλῆν καλεῖ. Μ᾽ ὤνθρωπε. πρὸς τὸ σύνηθες τῆς ἀρχῆς τοῦ δευτέρου στίχου. διότι ἀπὸ συναλοιφῆς ἄρχεται, εὐλαβεῖται τοῦ καταφανὴς γενέσθαι ὁ Διόνυσος.

μ᾽ ὤνθρωφ᾽. ἱκετεύω, μηδὲ κατείπῃς τοὔνομα.
ξα. Διόνυσε τοίνυν. δι. τοῦτο δ᾽ ἔθ᾽ ἧττον θατέρου.
ξα. ἴθ᾽ ᾗπερ ἔρχει. δεῦρο δεῦρ᾽ ὦ δέσποτα.
δι. τί δ᾽ ἐστί; ξα. θάρρει. πάντα τἀγαθὰ πεπράγαμεν,
ἔξεστί δ᾽ ὥσπερ Ἡγέλοχος ἡμῖν λέγειν·
ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλῆν ὁρῶ.
ἥμπουσα φρούδη. δι. κατόμοσον. ξα. νὴ Δία.
δι. καὖθις κατόμοσον. ξα. νὴ Δί᾽. δι. ὄμοσον. ξα. νὴ Δία.
δι. οἴμοι τάλας, ὡς ὠχρίασ᾽ αὐτὴν ἰδών.
ὁδὶ δὲ δείσας ὑπερεπυρίασέ μου.
οἴμοι, πόθεν μοι ταυτὶ τὰ κακὰ προσέπεσε;
τίν᾽ αἰτιάσομαι θεῶν μ᾽ ἀπολλύναι;
ξα. αἰθέρα Διὸς δωμάτιον ἢ χρόνου πόδα.
δι. αὐλεῖ τις ἔνδον.
οὗτος. ξα. τί ἐστιν; δι. οὐ κατήκουσας; ξα. τίνος;
δι. αὐλῶν πνοῆς. ξα. ἔγωγε, καὶ δᾴδων γέ με.

Τοῦτό κ᾽ ἔσθ᾽ ἧττον θατέρου. πιθανῶς γὰρ τοῦ δειλοῦ ἦθος, τὸ μηδαμῶς θέλειν φανερὸν γενέσθαι. θέλει δὲ εἰπεῖν ὅτι τοῦτο χεῖρον τοῦ προτέρου. Ἴθ᾽ ᾗπερ ἔρχει. τοῦτο ἔμφασιν παρέχει, ὡς προσερχομένου αὐτοῦ πρότερον, ὄπισθεν τοῦ ἱερέως ὄντος. Ἡγέλοχος. τραγῳδίας ὑποκριτής, ὃς καὶ ἐν τῷ Ὀρέστῃ Εὐριπίδου, πρωταγωνιστὴς αὐτοῦ τοῦ δράματος ἐν τῷδε τῷ στίχῳ· ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλῆν ὁρῶ. ἀφυιδίως ὀφθῆναι συνελόντα τὴν συναλοιφήν. τοῦτον δὲ, καὶ ὡς ἀτιμοῖ τὴν φωνήν, Πλάτων σκώπτει. καὶ Στράττις. ποῖ ποῖ πρὸς θεῶν ποῖ ποῖ γαλῆν γαληνά. ἐγὼ δὲ ᾤμην σε γαλῆν λέγειν ὁρῶ. καὶ Σαννυρίων γὰρ ἐν Δανάῃ· τίς ἂν γενόμενος εἰς ὀπὴν γενήσομαι φορῇ· εἰ γενοίμην γαλῆ. ἀλλ᾽ Ἡγέλοχός με μηνύσειεν ὁ τραγικός. ἀνακράγοι τ᾽ ἂν οὕτως εἰσιδών· ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλῆν ὁρῶ. ἔστι δὲ παροιμία ἐπὶ τῶν διαφυγόντων τὰ λυπηρά. οἱ δὲ λέγοντες ποιήτριαν εἶναι, τὸν Ἡγέλοχον Ἀθήνησι τούτῳ συνεχῶς χρωμένην τῷ ἔπει. καὶ ἄλλα τῶν αὐτοσχεδίως συντιθέντων, οὐκ ἀνεκτὰ τερατεύονται. Ὁδὶ δὲ δείσας. ὁ τοῦ Διονύσου ἱερεύς. πυρρὸς γὰρ ἦν κατὰ φύσιν. παρ᾽ ὑπόνοιαν δὲ τὸ ἐπυρρίασε, πρὸς τὸ ὠχρίασεν. Ἀρίσταρχος δὲ ἐφ᾽ ἑαυτοῦ φησι λέγειν τὸν Ξανθίαν. καὶ γὰρ διότι πυρρὸς, οὕτως ἀποκεκλῆσθαι. καθάπερ Πυρρίας καὶ Σμικρίνης. ὁ δὲ Ἰξίων, ἐπί τινος τῶν καθημένων. ξανθὸν τὸ χρῶμα ἔχοντος, ἐν ἔθει γὰρ εἶναι, διασκώπτειν τοὺς ἀκροωμένους. ὡς καὶ Πλάτων ἐν Παιδαρίῳ ποιεῖ. Εὔπολις δὲ, τὸν τοῦ Διονύσου ἱερέα, νομίζεσθαι ἀγίπυρον εἶναι, ἀντὶ τοῦ πυρρόν. τὸ γὰρ ἄνθος ἔχειν φησὶ Δημήτριος, ἱκανῶς ἐρυθρόν. Αὐλεῖ τις ἔνδον. παρεπιγραφή. σημειωτέον γὰρ ὅτι ἔνδοθέν τις ηὔλησε μὴ ὁρώμενος τοῖς θεαταῖς.

ΜΥΣΤΙΚΩΤΑΤΑ.

Ἰαῦ. μίμημά ἐστι συριγμοῦ. Καὶ νυνί γ' ὁρῶ. τοὺς ἐν τῷ θεάτρῳ ἐπιόρκους ὁρᾶν φησιν. Ἠλαζονεύετο. ἐψεύδετο. καὶ μαίανδρος. ἀλλ' ἀλαζὼν καὶ θεοῖσιν ἐχθρός. Οὐδὲν γὰρ οὕτω γαῦρον. πρὸς τὰ ἐκ φιλοκτήτου εὐριπίδου. οὐδὲν γὰρ οὕτω γαῦρον ὡς ἀνὴρ ἔφυ. Ἀγώνισμα. ἆθλον κατορθώσεως ἄξιον. Ἐξόπισθε νῦν ἴθι. ὡς φοβούμενος ὁ διόνυσος ταῦτα λέγει. ὅθεν δὲ αἰσθάνεται τοῦ ψόφου, ἐκεῖθεν αὐτὸν ἄγει καὶ προβάλλει. Φέρ' ἐπ' αὐτὴν ἴω. ὡς καταφρονοῦς τοῦ διονύσου ἐπιτηδείως.

ξα. ἰαῦ. δι. βάδιζε δεῦρο. ξα. χαῖρ' ὦ δέσποτα.
δι. τί ἐστι τἀνταυθοῖ. ξα. σκότος καὶ βόρβορος.
δι. κατεῖδες οὖν που τοὺς πατραλοίας αὐτόθι,
καὶ τοὺς ἐπιόρκους οὓς ἔλεγεν ἡμῖν. ξα. σὺ δ' οὔ;
δι. νὴ τὸν ποσειδῶ 'γωγε. καὶ νυνί γ' ὁρῶ.
ἄγε δὴ τί δρῶμεν. ξα. προϊέναι βέλτιστα νῷν
ὡς οὗτος ὁ τόπος ἐστὶν, οὗ τὰ θηρία.
τὰ δείν' ἔφασκ' ἐκεῖνος. δι. ὡς οἰμώξεται.
ἠλαζονεύεθ' ἵνα φοβηθείην ἐγώ.
εἰδώς με μάχιμον ὄντα φιλοτιμούμενος.
οὐδὲν γὰρ οὕτω γαῦρον ἔσθ' ὡς ἡρακλῆς
ἐγὼ δέ γ' εὐξαίμην ἂν ἐντυχεῖν τινὶ
λαβεῖν τ' ἀγώνισμ' ἄξιόν τι τῆς ὁδοῦ.
ξα. νὴ τὸν δία. καὶ μὴν αἰσθάνομαι ψόφου τινός.
δι. ποῦ ποῦ 'στ'. ξα. ὄπισθεν. δι. ἐξόπισθέ νυν ἴθι
ξα. ἀλλ' ἔστιν ἐν τῷ πρόσθε. δι. πρόσθε νυν ἴθι.
ξα. καὶ μὴν ὁρῶ νὴ τὸν δία θηρίον μέγα.
δι. ποῖόν τι. ξα. δεινὸν παντοδαπὸν γοῦν γίνεται
τοτὲ μὲν βοῦς. νυνὶ δ' ὀρεύς. τοτὲ δ' αὖ γυνή.
ὡραιοτάτη τις. δι. ποῦ 'στι. φέρ' ἐπ' αὐτὴν ἴω.
ξα. ἀλλ' οὐκέτ' αὖ γυνή 'στιν. ἀλλ' ἤδη κύων.
δι. ἔμπουσα τοίνυν γ' ἐστί. ξα. πυρὶ γοῦν λάμπεται
ἅπαν τὸ πρόσωπον. καὶ σκέλος χαλκοῦν ἔχει.
δι. νὴ τὸν ποσειδῶ. καὶ βολίτινον θάτερον.
ξα. σάφ' ἴσθι. δι. ποῖ δῆτ' ἂν τραποίμην. ξα. ποῖ δ' ἐγώ.
δι. ἱερεῦ διαφύλαξόν μ' ἵν' ὦ σοι ξυμπότης.
ξα. ἀπολούμεθ' ὦναξ ἡράκλεις. δι. οὐ μὴ καλῇς.

Ἔμπουσα τοίνυν. φάντασμα δαιμονιῶδες ὑπὸ ἑκάτης ἐπιπεμπόμενον καὶ φαινόμενον τοῖς δυστυχοῦσιν. ὃ δοκεῖ πολλὰς μορφὰς ἀλλάσσειν. καὶ οἱ μέν φασιν αὐτὴν μονόποδα εἶναι. καὶ ἐτυμολογοῦσιν οἱονεὶ ἑνίποδα διὰ τὸ ἑνὶ ποδὶ κεχρῆσθαι. οἱ δὲ ὅτι ἐξηλλάττετο τὴν μορφήν. δοκεῖ δὲ καὶ ταῖς μεσημβρίαις φαντάζεσθαι, ὅταν τοῖς κατοιχομένοις ἐναγίζουσιν. ἔνιοι δὲ αὐτὴν τῇ ἑκάτῃ. ὡς ἀριστοφάνης ἐν ταγηνισταῖς χθονίας ἑκάτης σπεῖρα σοφῶν ἐξελιξομένη. εἶπα ἀποφορεῖ. τί καλεῖς τὴν ἔμπουσαν. Καὶ σκέλος χαλκοῦν ἔχει. τῷ χαλκῷ προσέθηκε τὸ βολίτινον ἐπιτηδές. ἔνιοι δὲ ὄνου σκέλος λέγουσι. διὸ παρά τισι καλεῖσθαι ὀνόκωλον. τὸ δὲ ὅλον φησὶ κράτης ἔοικέ τι εἶναι φάντασμα παντοδαπὸν γινόμενον. βολίτινον ὄνινον. βόλιτος γὰρ κυρίως τὸ τῶν ὄνων ἀπόπατημα. τὸ αὐτὸ δὲ καὶ βόλβιτος.

Ἱερεῦ διαφύλαξον. παρὰ τοῖς θεαῖς, προεδρία ἐτετίμητο ὁ ἱερεὺς τοῦ διονύσου. πρὸς οὖν συνήθειαν καλεῖ ὁ διόνυσος τὸν ἱερέα. Ἄλλως. ἤδη γὰρ ἦν τῶν μεμυημένων κατὰ τὴν σκηνὴν γενόμενος. οἱ δέ φασιν ἄτοπον εἶναι νομίζειν ἀκολουθεῖν

χαϊκὸν δίμετρον ὅμοιον. τὸ τρίτον ὅμοιον τοῦ δευτέρου τρίβραχυ ἔχοντος ἢ χορεῖον. τὸ τέταρτον ὅμοιον ἐφθημιμερές. τὸ τελευταῖον δῆλον. τὸ δὲ ἑξῆς, τὸ λέγειν βρεκεκεκέξ, παρ' ὑμῶν ἔμαθον. Δεινά γ' ἄρα πεισόμεθα. πάθοιμεν ἂν ἐκ τῆς βοῆς ἣν ἐπὶ τοσοῦτον παρατεινούμεθα, ἐφ' ὅσον οἷοί τε ὦμεν. Οἰμώζετ' οὐ γάρ μοι μέλει. τῆς δευτέρας περιόδου τὰ κῶλα ὁμοίως πέντε τοῖς ἄνω καθ' ἕκαστον ὁμοίως ἔχοντα. ὁ μέντοι πρῶτος τοῦ τρίτου κώλου πούς τρίβραχύς ἐστι. δεῖ δὲ νοεῖν ὡς οἱ βάτραχοι ὑπὸ σκηνήν εἰσιν. ἀλλ' οὐκ ἐν τῷ φανερῷ. ἡ μέντοι φωνὴ αὐτῶν ἐξακούεται, ὥσπερ καὶ αὐτοὶ κατὰ λίμνην ἠχοῦσιν. ἐπειδὴ οὖν διαλελοίπασι καὶ χορὸς ἐγεγόνει, διὰ τοῦτο λόγον ἐποίησεν ὁ διόνυσος λέγων ἔμελλον ἄρα ὑμᾶς παύσειν. θηλυκῶς δὲ τὴν φάρυγγα λέγει. Οὐ νικήσετε. τῆς τρίτης περιόδου τὰ κῶλα ὀκτώ. ὧν τὰ μὲν πέντε ὅμοια πάντως τοῖς ἄνω πλὴν τοῦ τετάρτου τὸν δεύτερον πόδα τρίβραχυν ἔχοντος. τὸ δὲ ἕκτον καὶ ὄγδοον ἰαμβικὰ τρίμετρα ἀκατάληκτα. τὸ γὰρ ἕβδομον δῆλον. ἐπὶ τῷ τέλει κορωνίς. Ἔμελλον ἄρα. σιωπῶσι λοιπὸν οἱ βάτραχοι. καὶ ἕτερος εἰσέρχεται χορὸς ὡς προείπομεν ὁ τῶν μυστῶν. ὅς ἐστιν ἀναγκαῖος. Ὦ παῦε παῦε. κορωνὶς ἀμοιβαία εἰπόντων τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι μϛʹ. ὧν τελευταῖος, ἂν ἠρεμεὶ ἐπήξαντες ἀκροασώμεθα. μετὰ δὲ τὸν μβʹ, κῶλον ἰαμβικὸν ἐφθημιμερὲς τό, αὐλεῖ τις ἔνδον. ὃ κατὰ παρεγγραφήν φασι κεῖσθαι. ὡς καὶ ἑξῆς τὸ διαύλιον προσαυλεῖ. ἐπὶ τῷ τέλει κορωνίς. Ἀπόδος τὸν ναῦλον. καλλίστρατος ὅτι τὸν ναῦλον ἀρσενικῶς. ἀλλ' οὐχὶ τὸ ναῦλον εἰώθασι λέγειν. διασώζεται δὲ καὶ ἔν τισιν ἡ γραφή. καὶ ὅτι παρὰ τοῖς νεωτέροις καὶ ἡ ναῦλος ἡμῖν τῆς νεὼς ὀφείλεται. οὐ μόνον δὲ ἀρσενικῶς ἀλλὰ καὶ ἐν τοῖς δύο λέγεται λλ, ναῦλλος καὶ ναῦλλον. Ἔχε δή, αὐτοῦ κράτει. ἐν ἄδου λοιπὸν τὰ πράγματα.

δι. Τουτὶ παρ' ὑμῶν λαμβάνω.
χο. δεινά γ' ἄρα πεισόμεθα.
δι. δεινότερα δ' ἔγωγ' ἐλαύνων,
εἰ διαρραγήσομαι.
χο. βρεκεκεκὲξ κοὰξ κοάξ.
δι. οἰμώζετ' οὐ γάρ μοι μέλει.
χο. ἀλλὰ μὴν κεκραξόμεσθά
γ' ὁπόσον ἡ φάρυγξ ἂν ἡμῶν
χανδάνῃ δι' ἡμέρας.
βρεκεκεκὲξ κοὰξ κοάξ.
δι. τούτῳ γὰρ οὐ νικήσετε
χο. οὐδὲ μὴν ἡμᾶς σὺ πάντως.
δι. οὐδὲ μὴν ὑμεῖς γε δή με
οὐδέποτε. κεκράξομαι γάρ.
κἂν με δέῃ δι' ἡμέρας;
ἕως ἂν ὑμῶν ἐπικρατήσω τῷ κοάξ.
χο. βρεκεκεκὲξ κοὰξ κοάξ.
δι. ἔμελλον ἄρα παύσειν ποθ' ὑμᾶς τοῦ κοάξ.
ξα. ὦ παῦε παῦε. παραβαλοῦ τῷ κωπίῳ.
ἔκβαιν' ἀπόδος τὸν ναῦλον. δι. ἔχε δὴ τὼ 'βολώ.
ὁ ξανθίας, ποῦ ξανθίας; ἦ ξανθίας;

λάμων. δόνακος δὲ, τοῦ λεπτοκαλάμου, μέλος ἀποτελοῦντος τῇ τοῦ ἀνέμου συγκρούσει. ἐν εἰσθέσει δὲ κῶλα πέντε. ὧν τὰ τρία ἰαμβικὰ δίμετρα ἀκατάληκτα. τὸ τέταρτον δῆλον. τὸ πέμπτον χοριαμβικὸν τρίμετρον ἐξ ἐπιτρίτων βραχυκατάληκτον. φλυκτίδας δὲ τὰ τῶν χειρῶν ἐπαναστήματα ἀπὸ τοῦ κωπηλατεῖν. λείπει δὲ ἐν ταῖς χερσί.

Μᾶλλον μὲν οὖν φθεγξόμεσθ' εἰ δή ποτ' εὐ-
ηλίοις ἐν ἁμέραισιν
ἡλάμεσθα διὰ κυπείρου
καὶ φλέω χαίροντες ᾠδῆς
πολυκολύμβοισι μέλεσιν.
ἢ Διὸς φεύγοντες ὄμβρον.
ἔνυδρον ἐν βυθῷ χορείαν
αἰόλαν ἐφθεγξάμεσθα.
πομφολυγοπαφλάσμασι
βρεκεκεκὲξ κοὰξ κοάξ.

Μᾶλλον μὲν οὖν. εἴσθεσις μέλους ἑτέρου μονοστροφικοῦ ἐκ κώλων διαφόρων δέκα. ὧν τὸ πρῶτον χοριαμβικὸν τρίμετρον ἐξ ἐπιτρίτων καὶ κρητικοῦ. τὸ δεύτερον τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ τρίτον ὅμοιον τοῦ τρίτου πρὸς ὃ τριβράχεος ἢ χορείου. τὸ τέταρτον ὅμοιον καθαρόν. τὸ πέμπτον ἀντιχοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ παίωνος τετάρτου καὶ χοριάμβου. τὸ ἕκτον ὅμοιον τῷ δευτέρῳ κατάληκτον τῷ δευτέρῳ ποδί. τὸ ἕβδομον ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. τὰ ἑξῆς δύο τῷ δευτέρῳ πέφυκεν ὅμοια. τὸ τελευταῖον δῆλον. ἐπὶ τῷ τέλει κορωνίς. Εἰ δή ποτ' εὐηλίοις. ὅτι ἐν τῷ χειμῶνι φοβούμενοι ἐπειφεύγουσι καὶ ἀπιστῶσιν. ἐν δὲ τῷ θέρει ἄφοβοί εἰσιν. Ἡλάμεσθα. ἐπηδήσαμεν. ὡρμήσαμεν. κύπειρος δὲ εἶδος βοτάνης. Καὶ φλέω. φλέως λοχμῶδες φυτὸν, οὗ μνημονεύει θεόφραστος. πρόδηλον ὅτι ποτάμιός ἐστι βοτάνη ὡς βούτομον. διὸ καὶ τὸν κύπειρον προσέθηκεν, ὡς καὶ θεόκριτος ἔνθεν βούτομον ὀξύ. βαθὺν δ' ἐτάμοντο κύπειρον. μέμνηται αὐτοῦ καὶ ἐν ἀμφιαράῳ. πόθεν ἀλλὰ βοιμα βύσμα τὸ πρωκτῷ φλέων. τοῦ δὲ ἡλίου λάμποντος καὶ θαυμαστῆς οὔσης αἰθρίας τὸ τῶν βατράχων γένος ἄνω καὶ κάτω πρὸς τὰς λίμνας χωρεῖ καὶ πρὸς τὴν γῆν ἔσθ' ὅτε ἐκφέρεται ἐπὶ κυπείρου καὶ φλέω καὶ τῶν τοιούτων βοτανῶν ἐφαλλόμενον. Ἢ Διὸς ὄμβρον φεύγοντες. τὸν ἥλιον καὶ τὴν ἀλέαν διώκουσιν οἱ βάτραχοι. τὸν δὲ ὄμβρον φεύγουσιν. ἴσως ἐπεὶ τῶν χειμάρρων ποταμῶν πληρουμένων ἐκ τοῦ Διὸς ὄμβρου παρασύρονται. Ἔνυδρον ἐν βυθῷ χορείαν. τὴν νῆξιν χορείαν εἶπε. καὶ φθέγγεται μὲν ἐν τῷ βυθῷ. αἰὲν ἀλλ' ἔκραγεν. ἁπλούστερον δὲ εἴρηται. Πομφολυγοπαφλάσμασιν. ἐν φύσαις ῥηγνυμέναις καὶ ἦχόν τινα ἀποτελούσαις. ἢ ἐν ταῖς δίναις τῶν ὑδάτων. πομφόλυγες γὰρ αἱ φλυκταινώδεις δῖναι. τοῦτο δέ, φησιν ἐπειδὴ τῶν ἐξ ὑετοῦ σταγόνων πιπτουσῶν ἐν τῷ πηγῶν ἢ λιμνῶν ὕδατι πομφόλυγες ἤτοι φῦσαι συνίστανται, αὐτίκα διαφθειρόμεναι ἦχον ἀποτελοῦσί τινα. Τουτὶ παρ' ὑμῶν. ἡ ἀμοιβαία αὕτη ἔκθεσις τῶν μελῶν τρισὶ διαιρεῖται περιόδοις. καὶ εἰσὶ τῆς μὲν πρώτης περιόδου κῶλα πέντε. ὧν τὸ μὲν πρῶτον δίμετρον ἀκατάληκτον. καθαρὸν ἰαμβικόν. τὸ δεύτερον τρο

φοβουμένοι

Ὦ κοὰξ, κοάξ. διὰ τὸ συνεχὲς αὐτῶν ἐπίφθεγμα, παίζων λέγει. ὄρρον δὲ, τὸν λεγόμενον ταῦρον. τὸ μεταξὺ τῶν διδύμων. καλλίστρατος, τὴν ὀσφῦν. καὶ τὸ ἱερὸν ὀστοῦν. δίδυμος τὴν τραμήν. οὐχ ὥς τινες τὸ ἰσχίον. ἔνθεν καὶ τὸ ὀρρωδεῖν, τὸ ὄρρον ἱδροῦν. ὅμηρος. ἴδιον ὡς ἐνόησα. τοῦτο γὰρ πάσχουσιν οἱ φοβούμενοι. Ἀλλ' ἐξόλοισθ' αὐτῷ κοάξ. σὺν αὐτῷ τῷ κοάξ. ὅμηρος, αὐτοῖς ἵπποισι καὶ ἀνδράσιν. Εἰκότως. εἴσθεσις μέλους ἑτέρου μονοστροφικοῦ ἐκ κώλων διαφόρων ὀκτώ. ὧν τὸ πρῶτον τροχαϊκὸν τρίμετρον βραχυκατάληκτον.

τὸ δεύτερον ἰωνικὸν τρίμετρον ἀκατάληκτον τοῦ πρώτου ποδὸς παίωνος τετάρτου. τῶν δὲ ἑξῆς διτροχαίων. τὸ τρίτον χοριαμβικὸν δίμετρον βραχυκατάληκτον ἐκ παίωνος τετάρτου καὶ τροχαϊκῆς, συζυγίας. τὸ τέταρτον δίμετρον ἀκατάληκτον ἐκ παίωνος τετάρτου καὶ διτροχαίου. τὸ πέμπτον χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον ἐκ παίωνος τετάρτου καὶ ἰαμβικῶν συζυγιῶν. ἤτοι διιάμβων. τὸ ἕκτον δίμετρον ἀκατάληκτον ἔχον ἄμφω τὼ πόδε ἑξασυλλάβω. τὸ ἕβδομον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ τελευταῖον δῆλον. ἐπὶ δὲ τέλει κορωνίς. ἄλλως.

τὸν ὄρρον, ὦ κοὰξ κοάξ.
χο. βρεκεκεκὲξ κοὰξ κοάξ.
δι. ὑμῖν δ' ἴσως οὐδὲν μέλει.
χο. βρεκεκεκὲξ κοὰξ κοάξ.
δι. ἀλλ' ἐξόλοισθ' αὐτῷ κοάξ.
οὐδὲν γάρ ἐστ' ἀλλ' ἢ κοάξ.
χο. εἰκότως ἔγωγ' ὦ πολλὰ πράττων.
ἐμὲ γὰρ ἔστερξαν εὔλυροί τε μοῦσαι.
καὶ κεροβάτας πάν.
ὁ καλαμόφθογγα παίζων
προσεπιτέρπεται δ' ὁ φορμικτὰς ἀπόλλων.
ἕνεκα δόνακος, ὃν ὑπολύριον
ἔνυδρον ἐν λίμναις τρέφω.
βρεκεκεκὲξ κοὰξ κοάξ.
δι. ἐγὼ δὲ φλυκταίνας γ' ἔχω.
χὠ πρωκτὸς ἰδίει πάλαι.
κᾆτ' αὐτίκ' ἐγκύψας ἐρεῖ
βρεκεκεκὲξ κοὰξ κοάξ.
ἀλλ' ὦ φιλῳδὸν γένος παύσασθε.

Εἰκότως ἔγωγ' ὦ πολλά. εἰκότως, οὐδὲν ἄλλο ἐσμὲν, ἢ κοάξ. αὐτὸ γὰρ πράττομεν. ἢ εἰκότως ἀλγεῖς τὸν ὄρρον. πολυπραγμονεῖς γάρ. Ὦ πολλὰ πράττων. ὦ πολυπραγμονῶν. ἢ ὅτι οὐχὶ κατὰ ἡσυχίαν ἀλγεῖ. ἀλλὰ χλευάζει αὐτούς, ἢ ὅτι καὶ εἰς ᾅδου ὑπέμεινεν ἐλθεῖν. ἢ ὦ πολλὰ περιεργαζόμενε. Καὶ κεροβάτας ὁ εἰς τὰ κέρατα τῶν ὀρῶν βαίνων ἢ ὁ ἐπὶ κέρατος βαίνων. ἢ ἐπειδὴ χηλὰς ἔχειν δοκεῖ τράγου. διὸ καὶ αἰγιβότην καὶ τραγοβάμονα λέγουσι. δίδυμος δέ φησιν, ὅ ὅτι κέρατα ἔχει, ἢ διὸ κεροβάτης, τὴν βάσιν ἔχων κερατίνην. ἐπειδὴ ἱστορεῖται τὰ κάτω τράγου ἔχειν. ὥστε ἀπὸ τῶν ποδῶν κεροβάτης. Καλαμόφθογγα. ἐξ οὗ ἡ σύριγξ. ὅτι οἱ ἀρχαῖοι καλάμῳ ἀντὶ κέρατος ἐχρῶντο. σοφοκλῆς αἰχμαλωτίσιν. ὑφηγεῖται σου κάλαμος ὥσπερ λύρας. ἢ ᾔδεσαν μὲν τὸ κέρας. αὐτὸ ἔφερον δὲ τῷ ὀνόματι, ἐπὶ τὴν ἀρχαίαν χρῆσιν. καὶ χορδὰς λέγομεν ἔτι νῦν τὰς ἐκ τῶν νεύρων ὅτι τὸ παλαιὸν ἐντερίναι ἦσαν. ἢ ἐπεὶ σύριγγι ἥδεται ὁ πὰν ἤ τις ἐστὶ ἐκκα

κατάληκτον ἰωνικὸν ἀπὸ μείζονος. τὸ ὄγδοον χοριαμβικὸν τρίμετρον ἀκατάληκτον. τοῦ μὲν πρώτου ποδὸς πεντασυλλάβου, τῆς πρώτης μακρᾶς εἰς δύο βραχείας διαλυομένης ἐκ χορείου καὶ ἰάμβου ὅθεν ἴσως καὶ χοριαμβικὸν ἐκλήθη. τοῦ δὲ δευτέρου ἰωνικοῦ ἀπὸ μείζονος. τοῦ δὲ τρίτου διιάμβου. τὸ ἔνατον χοριαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ἑξῆς ὅμοιον. τὸ παρατέλευτον τρίμετρον ἀκατάληκτον ὃ καλεῖται προσῳδιακὸν διὰ τὸ τὸν πρῶτον ἔχειν πόδα ἰωνικὸν ἀπὸ μείζονος. τὸ τελευταῖον ὡς τὸ πρῶτον.

λιμναῖα κρηνῶν τέκνα.
ξύναυλον ὕμνων βοὰν,
φθεγξώμεθ' εὔγηρυν ἐμὰν ἀοιδάν.
κοὰξ, κοάξ
ἣν ἀμφὶ νυσήιον διὸς
διόνυσον ἐν λίμναισιν ἰαχήσαμεν.
ἡνίχ' ὁ κραιπαλόκωμος
τοῖς ἱεροῖσι χύτροισιν,
χωρεῖ κατ' ἐμὸν τέμενος λαῶν ὄχλος.
βρεκεκεκὲξ κοὰξ κοάξ.
ΔΙ. ἐγὼ δὲ τἀλγεῖν ἄρχομαι.

ἐπὶ τῷ τέλει κορωνίς. τὸ δὲ ὠὸπ ἐλατικὸν ἐπίφθεγμα. ναυτικῶν ὡς κελευόντων ταῦτά φησι. Λιμναῖα κρηνῶν τέκνα. λιμνῶν καὶ κρηνῶν ὀφείλων εἰπεῖν οὕτως εἶπεν ἀττικῶς. ταῦτα δὲ καλεῖται παρηγορήματα. ἐπειδὴ οὐχ ὁρῶνται ἐν τῷ θεάτρῳ οἱ βάτραχοι οὐδὲ ὁ χορός. ἀλλ' ἔσωθεν μιμοῦνται τοὺς βατράχους. ὁ δὲ χορὸς, ἐκ τῶν εὐσεβῶν. ἐλλείπει δὲ ὁ καί. ἵν' ᾖ λιμνῶν καὶ κρηνῶν τέκνα καὶ γὰρ ἐν κρήναις γίνονται καὶ εὑρίσκονται βάτραχοι.

Εὔγηρυν ἐμὰν ἀοιδάν. τὸ ἡμέτερον μέλος. ἣν οὖν εἰώθαμεν ὑμνοῦν ἡμεῖς προσφέρειν. Διὸς διόνυσον ἐν λίμναις. λείπει παῖδα ἀπὸ τοῦ ἑαυτοῦ δὲ λιμνῶν μεταφέρουσιν ἐπὶ τὸν ἐν λίμναις διόνυσον λεγόμενον. λίμναι δὲ χωρίον τῆς ἀττικῆς. ἐν ᾧ διονύσου ἱερόν. Καλλίμαχος. λιμναίῳ δὲ, χοροστάδας ἦγον ἑορτάς, νύσιος δὲ ὁ διόνυσος τοῖς ἰνδοῖς ὀνομάζεται. ἀπὸ τῆς ἐν ἰνδοῖς νύσης. οὐ μόνον δὲ ἰνδοῖς ἀλλὰ καὶ πᾶσι τοῖς πρὸς ἀκτῖνα ἔθνεσιν ὥς φησι φιλόστρατος ἐν τῷ ἀπολλωνίου τοῦ τυανέως βίῳ. κραιπαλόκωμος δὲ, κατὰ μετωνυμίαν ὁ κατὰ μέθην γινόμενος ὕμνος. Τοῖς ἱεροῖσι χύτροισι. χύτροι ἑορτὴ παρ' ἀθηναίοις γινομένη τῷ διονύσῳ. ἄγεται δὲ παρὰ ταύτην τὴν αἰτίαν, ἣν καὶ θεόπομπος ἐκτίθεται γράφων οὕτω διασωθέντας οὖν τοὺς ἀνθρώπους ᾗ περ ἐθάρρησαν ἡμέρᾳ, τῷ ταύτης ὀνόματι προσαγορεῦσαι καὶ τὴν ἑορτὴν ἅπασαν. ἔπειτα θύειν αὐτοῖς ἔθος τῶν μὲν ὀλυμπίων θεῶν, οὐδενὶ τὸ παράπαν ἑρμῇ δὲ χθονίῳ, καὶ τῆς χύτρας ἣν ἕψουσι πάντες κατὰ τὴν πόλιν, οὐδεὶς γεύεται τῶν ἱερέων. τοῦτο δὲ ποιοῦσι τῇ ἡμέρᾳ, καὶ τοὺς τότε παραγενομένους ὑπὲρ τῶν θανόντων ἱλάσασθαι τὸν ἑρμῆν. ἤγοντο δὲ ἀγῶνες αὐτόθι, οἱ χύτρινοι καλούμενοι καθά φησι φιλόχορος ἐν τῇ ἕκτῃ τῶν ἀτθίδων. Ἐμὸν τέμενος. λέγουσι τὸ ἐν λίμναις τοῦ διονύσου ἱερόν. πρὸς δὲ τὴν ὁμωνυμίαν ὅτι ἐν λίμναις εἰσὶν οἱ βάτραχοι. λίμναι δὲ καὶ τὸ ἱερόν. ἐφεξῆς δὲ σύστημα καὶ περίοδος ἀμοιβαία ἑπτάκωλος ἰαμβικῶν διμέτρων ἀκαταλήκτων, πλὴν τοῦ κώλου ᾧ κέχρηνται ὡς ἐφυμνίῳ ὁμοίου τῷ πρώτῳ τοῦ μέλους αὐτῶν. ἐπὶ δὲ τῷ τέλει παράγραφος. Ἐγὼ δὲ τἀλγεῖν ἄρχομαι. ὁ διόνυσος λέγει δεινοπαθῶν, ἐπὶ τῷ κωπηλατεῖν. ὄρρον δὲ, τὸ καλούμενον ταῦρον. μέρος δ' ἐστι τῆς πυγῆς. ἡρωδιανὸς δὲ καὶ τῷ λόγῳ καὶ κατὰ τὴν διάλεκτον, βαρέως.

Σουΐδας

φοκλεῖ ἐν χρύσει τοιοῦτος ὤν, ἄρξεις τῶν δὲ τῶν κρεῶν, ἐνθάδε οἴω εἰ μὴ νεναυμάχηκε περὶ τῆς ψυχῆς τῆς ἑαυτοῦ. ὡς τότε μὲν τῶν Ἀθηναίων ἐν περιστάσει γενομένων. καὶ ὑπὲρ τῶν ψυχῶν ἀγωνιζομένων προσλαβεῖν τοὺς δούλους, καὶ ὕστερον ἐλευθερίας ἀξιῶσαι.

Ο Οὔκουν περιθρέξει. περικυκλώσῃ. ὁ Χάρων πρὸς τὸν δοῦλον. ἀντὶ τοῦ οὐ λαμβάνω σε ἀλλὰ τὶ δὲ τοῦ τρέχων, γράφεται καὶ κύκλῳ. Παρὰ τὸν αὐαίνου λίθον. ἀπὸ τοῦ αὔους τοὺς νεκροὺς εἶναι. ὡς ὄντος τινὸς ἐν ᾅδου οὕτω λεγομένου λίθου. φασὶ δὲ αὐαίνου λίθον τινὰ λέγεσθαι Ἀθήνησι. παρ' ὃ οἰκείως ἀπὸ τοῦ αὐαίνου παρήχη ἐπειδὴ οἱ πολὺν χρόνον περιμείναντές τινας, εἰώθασι λέγειν, αὖος γέγονα περιμένων. ἔοικε δὲ θρυλλούμενον τοῦτο ἤδη. ἀναπλάττει δὲ τοῦτο, ἀπὸ τοῦ τοὺς νεκροὺς, ξηροὺς εἶναι καὶ ἀλίβαντας. ἀμφίβολον δὲ, πότερον ἀπὸ τῆς αὖος εὐθείας, ἢ ἀπὸ τῆς εἰς ης. Ἄλλως. τὸ μὲν φαινόμενον λίθος ἦν αὐαίνου καλούμενος. τὸ δ' ἀληθὲς οὕτως ἔχει. παρὰ τὸν λίθον αὐαίνου καὶ ξηραίνου. ἢ ὅπου ξηραίνονται οἱ νεκροί.

χα. οὔκουν περιθρέξει δῆτα τὴν λίμνην τρέχων;
ξα. ποῦ δῆτ' ἀναμενῶ; χα. παρὰ τὸν αὐαίνου λίθον,
ἐπὶ ταῖς ἀναπαύλαις. μανθάνεις; ξα. πάνυ μανθάνω.
οἴμοι κακοδαίμων, τῷ ξυνέτυχον ἐξιών.
χα. κάθιζ' ἐπὶ κώπην. εἴ τις ἔτι πλεῖ, σπευδέτω.
οὗτος, τί ποιεῖς; δι. ὅ τι ποιῶ; τί δ' ἄλλο γ' ἢ
ἵζω 'πὶ κώπην, οἷπερ ἐκέλευσάς με σύ;
χα. οὔκουν καθεδεῖ δῆτ' ἐνθαδὶ γάστρων; δι. ἰδού.
χα. οὔκουν προβαλεῖ τὼ χεῖρε κἀκτενεῖς; δι. ἰδού.
χα. οὐ μὴ φλυαρήσῃς ἔχων, ἀλλ' ἀντιβὰς
ἐλᾷς προθύμως. δι. κᾆτα πῶς δυνήσομαι
ἄπειρος, ἀθαλάττωτος, ἀσαλαμίνιος
ὢν εἶτ' ἐλαύνειν; χα. ῥᾷστ'· ἀκούσει γὰρ μέλη
κάλλιστ', ἐπειδὰν ἐμβάλῃς ἅπαξ. δι. τίνων;
χα. βατράχων κύκνων θαυμαστά. δι. κατακέλευε (δή.
χα. ὢ ὄπ ὄπ. ὢ ὄπ ὄπ.
χο. βρεκεκεκὲξ κοὰξ κοάξ.
βα. βρεκεκεκὲξ κοὰξ κοάξ.

Τ Τῷ ξυνέτυχον. ἀντὶ τοῦ τίνι οἰωνῷ ξυνέτυχον, ἐξιὼν τῆς οἰκίας. δύναται δὲ τοῦτο καὶ ὁ Διόνυσος καὶ ὁ Ξανθίας λέγειν. Κάθιζ' ἐπὶ κώπην. τοῦτο ἀκούσας ὁ Διόνυσος ἐπάνω τῆς κώπης ἐκάθισε. Γάστρων. γαστρίμαργε. εἰσάγουσι γὰρ τὸν Διόνυσον προγάστορα καὶ οἰδαλέον ἀπὸ τῆς ἀργίας καὶ οἰνοφλυγίας. Μὴ φλυαρήσῃς ἔχων. καὶ παρὰ τὸ εὐθυδήμῳ. ὅτι ἔχων φλυαρεῖς καὶ ἀρχαιότερος εἶ τοῦ δέοντος. Ἀθαλάττωτος. θέλει εἰπεῖν, ὅτι μὴ ναυτικός. ἀθαλάττωτος δὲ καὶ ἀσαλαμίνιος, ταὐτόν ἐστιν. ἢ διὰ τὴν περὶ Σαλαμῖνα ναυμαχίαν τὴν κατὰ Ξέρξου. ἢ ὅτι ἡ μὲν ἑτέρα τῶν ὑπηρετίδων νεῶν, Σαλαμινία ἐκαλεῖτο ἡ δὲ ἑτέρα πάραλος. Ὢ ὄπ ὄπ, ὢ ὄπ ὄπ. ἔκθεσις μέλους χοροῦ μονοστροφική. ἧς προτίθεται τὸ τοιοῦτον κῶλον δακτυλικὸν οὖν δίμετρον ἀκατάληκτον. κατὰ γὰρ μονοποδίαν μετρεῖται τὰ δακτυλικά. τὰ δὲ τοῦ χοροῦ κῶλα εἰσὶ δυοκαίδεκα. ὧν τὸ πρῶτον καὶ δεύτερον τροχαϊκὰ ἐφθημιμερῆ τὸ πρῶτον ἔχοντα πόδα τρίβραχυν ἤτοι χορεῖον. εἰ δὲ βούλει παιωνικὰ δίμετρα ἀκατάληκτα, ἐκ παίονος τετάρτου καὶ διιάμβου. τὰ ἑξῆς δύο χοριαμβικὰ δίμετρα καταληκτικὰ ἤτοι ἑφθημιμερῆ. τὸ πέμπτον τρίμετρον καταληκτικόν. τὸ ἕκτον μονόμετρον ἢ ἰαμβικὴ βάσις. τὸ ἕβδομον δίμετρον ὑπερ-

ρων. χαῖρ' ὦ Χάρων. ἤτοι σφόδρα θυμηδῶς οὕτω παθαινόν ὑπονοεῖν, τρεῖς τοῦτο λέγον τας, ἀσπαζομένους τὸν χάρωνα. διόνυσον ξανθίαν καὶ τὸν νεκρόν. δεῖ γὰρ ὑπονοῆσαι αὐτὸν βούλεσθαι συνεμβαίνειν αὐτοῖς. Τίς εἰς ἀναπαύλας. εἰς ἀναπαύσεις γὰρ ἐκ κοσμικῶν ὀχλήσεων χωροῦσιν οἱ μεθιστάμενοι. Τίς εἰς τὸ λήθης πεδίον. τοῦτο κηρύσσει ὁ χάρων. ὡς τόπους δὲ καταλέγει. οὕτω γὰρ κηρύσσειν εἰώθασιν οἱ τὰς ναῦς ἔχοντες ὅτι πρὸς ἑτέραν ἐκπλεύσειν μέλλουσι χώραν, ὡς ἂν ἀκούσαντες οἱ ἐκεῖθεν ἀποδημήσοντες τούτους μεθ' ἑαυτῶν,

Χα. τίς εἰς ἀναπαύλας ἐκ κακῶν καὶ πραγμάτων.
τίς εἰς τὸ λήθης πεδίον. ἢ 'ς ὄνου πόκας,
ἢ 'ς κερβερίους, ἢ 'ς κόρακας. ἢ 'πὶ ταίναρον.
Δι. ἐγώ. Χα. ταχέως ἔμβαινε. Δι. ποῦ σχήσειν δοκεῖς
ἐς κόρακας ὄντως; Χα. ναὶ μὰ δία σοῦ γ' εἵνεκα.
ἔμβαινε δή. Δι. παῖ δεῦρο. Χα. δοῦλον οὐκ ἄγω,
εἰ μὴ νεναυμάχηκε τὴν περὶ τῶν κρεῶν.
Ξα. μὰ τὸν δί' οὐ γάρ. ἀλλ' ἔτυχον ὀφθαλμιῶν.

κατὰ τὸ αἰὼ οὖν ἑξῆς καὶ τὰ ἐν ᾅδου σχηματίζει. λήθης δὲ πεδίον, χωρίον διὰ τὸ τοῦτο κενὸν ᾅδου ὡς καὶ τὸν αὔαινον λίθον ἔπλασεν ἀπὸ τοῦ αὐαίνεσθαι τοὺς νεκροὺς καὶ ἀλίβαντας εἶναι. ἐκ δὲ τοῦ δευτέρου καὶ τὸ ἀδύνατον τῶν καθ' ᾅδου δηλοῖ. τοῦ ἢ ἐς ὄνου πόκας. ἀδύνατον γὰρ πόκας ἀποκείρασθαι τῶν ὄνων. φαίνεται δὲ καὶ παροιμιῶδες εἶναι ὄνου πόκον, τὸ ἄχρηστον, οὐδὲ γὰρ ἂν τοῦ ὄνου πόκες χρησιμεύουσιν. ἡ παροιμία δὲ λέγεται, ἐπὶ τῶν ἀνηνύτων καὶ ἀνυποστάτων παρόσον τὸν ὄνον οὔτε πέξαι τὶς δύναται οὔτε κάρσαι. λέγεται δὲ καὶ ὄνου κείρεις ἐπὶ τῶν ἀνήνυτα ἐπιχειρούντων. ἐν ᾧ τρόπῳ φαμὲν καὶ τὸ χύτραν ποικίλλεις καὶ κόπρον γαλαθυμᾶς. ἀνήνυτα δὲ καὶ τὰ ἐν ᾅδου. διὰ τοῦτο οὖν ὄνου πόκας ἀνέπλασε κριτικῶς. Ἢ 'ς κερβερίους. τινὲς καὶ παρ' ὁμήρῳ γράφουσιν. ἐνθάδε κερβερίων ἀντὶ τοῦ κιμμερίων ἢ μᾶλλον τοὺς κιμμερίους φασί. παίζει δὲ παρὰ τὸν κέρβερον Ἐς κόρακας. παίζει ἐνταῦθα εἰπὼν ἐς κόρακας. ἀθήνησι γὰρ τόπος ἦν οὕτω καλούμενος, οὐχὶ ἐν ᾅδου. ἢ τοῦτο λέγει ἐπειδὴ καὶ οἱ ἐκεῖσε ἐρχόμενοι εἰς ἀπώλειαν ἔρχονται. Ναὶ μὰ δία σοῦ γ' εἵνεκα. παρόσον οὕτως εἰώθασι λέγειν οἱ ναῦται ὡς χαριζόμενοι τῷ ἐπιβάτῃ. Εἰ μὴ νεναυμάχηκε τὴν περὶ ἀργινούσας φησὶ ναυμαχίαν ἦσαν γὰρ οἱ δοῦλοι τότε ναυμαχήσαντες, περὶ οὐδενὸς ἄλλου ἢ περὶ τῶν ἰδίων κρεῶν τουτέστι σωμάτων. φησὶν οὖν, οἷον οὐ περὶ χρημάτων καὶ πατρίδος, ἀλλὰ περὶ τοῦ ἰδίου σώματος. κρέας γὰρ τὸ σῶμα. φέρεται δὲ καὶ ἄλλη γραφή. τὴν περὶ τῶν νεκρῶν. ἔνιοι δ' αὖ λέγουσι, περὶ τῆς ἐν ἀργινούσαις ναυμαχίας. ἐν ᾗ, ἐνίκων μὲν οἱ ἀθηναῖοι. τοὺς δὲ νεκροὺς ἐκωλύθησαν ἀνελέσθαι ὑπὸ χειμῶνος. ἐξ οὗ καὶ τῶν δέκα στρατηγῶν ἀπώλοντο καταδικασθέντες, οἱ ὑπομείναντες ἕξ. ἐπεὶ οὖν συνεναυμάχουν καὶ οἱ δοῦλοι, τοιοῦτόν τι λέγει δοῦλον οὐκ ἄγω εἰ μὴ ἀνῄρηται τοὺς ἐκ τῆς θαλάσσης νεκρούς. οὐκ ἔχει δὲ νοῦν τὸ λεγόμενον ναυμαχίας γὰρ οὐδὲ μνεία ἔδει πρὸς τὴν ἀναίρεσιν. χειμῶνι γὰρ ἐκωλύθησαν. διὰ τί δὲ τὸν δοῦλον μόνον ἐκώλυσεν. ἀλλ' οὐχὶ καὶ τῶν ἐλευθέρων, εἴ τις μὴ ἀνῄρηται τοὺς νεκρούς. παρίησι γὰρ τὸν διόνυσον. ἢ ἔνιοι λέγουσι νεκροὺς τοὺς ἀθηναίους. διὰ τὸ ἐσχάτως τότε πράττειν. ὅτι δὲ καὶ κρέας τὸ σῶμα, καὶ παρὰ σο

Ἀπαροῦ καθέζω. ἅμα τῷ λόγῳ ῥίπτει τὰ σκεύη. ἵνα ὕστερον φαίνηται γελοιότερος. κελευόμενος ἆραι τὰ σκεύη. λέγει γοῦν, πρὶν καὶ καταθέσθαι εἰπόντος, σὺ δὲ τὰ στρώματα αὖθις λάμβανε. Ἐὰν δὲ μὴ εὕρω. ἀντὶ τοῦ ἐὰν δὲ μὴ εὕρω. γράφεται ἐὰν δὲ μὴ ἔχω. ἤγουν, ἐὰν δὲ μὴ ἔχω ἀργύριον. ἵνα λείπῃ τὸ ἀργύριον. Πόσ᾽ ἄττα. ἀντὶ τοῦ πόσα σκεύη ἔχετε. γελοίως δὲ βασταζόμενος φησιν. ἀσθενῶς δὲ ἐρεῖ. ἡ δραχμὴ δὲ, ἓξ ὀβολῶν. δώδεκα οὖν ὀβολοὺς αἰτεῖ. Ὑπάγεθ᾽ ὑμεῖς. ἀντὶ τοῦ ἀναχωρεῖτε. ἀποστρέφεται δὲ αὐτοὺς ὁ νεκρὸς, μὴ βουλόμενος σκευηφορεῖν. διὰ τὸ ἐλάχιστον εἶναι τὸν μισθόν. τὸ δ᾽ ὑπάγετε ὑμεῖς τῆς ὁδοῦ, ὁ νεκρός φησι πρὸς τοὺς νεκροφόρους. Ἐὰν ξυμβῶ τί σοι. ἐὰν ξυμβῶ σοι. γράφεται δὲ καὶ ἵνα. ἵνα ξυμφωνήσω σοι. ἔλεγον δὲ τὸ ἵνα ἀντὶ τοῦ καί. Ὅμηρος. ἵνα μὴ ῥέζωμεν ὧδε. Ἀναβιῴην νῦν. ὀχλούμενος ὑπ᾽ αὐτῶν τοῦτο λέγει. ἐν ἤθει δὲ, ἐκ τοῦ ἐναντίου ἡμῶν. οἷον ἀπολοίμην. οἱ δὲ, ὅτι χαλεπὸν τὸ ζῆν ἦν ὥστε ἄμεινον εἶναι τὸ τεθνάναι. εἰς κατάραν οὖν λαμβάνει τὸ ἀναζῆσαι ἐν Ἀθήναις. κατηγορίαν δὲ ἔχει οὐ τὴν τυχοῦσαν. ἤγουν, ἐπεὶ ἁπλῶς ὁ ἀνθρώπινος βίος μοχθηρός, τοῦτο λέγει. ἢ ὅτι τότε Ἀθηναίων δυστυχούντων, οἱ ἀπολλύμενοι ἐμακαρίζοντο.

ἀπαροῦ καθέζω ταῦτα τὸν πλείω χρόνον.
ηρ. οὗτοί σοι φράσουσ᾽ ἁπαξάπανθ᾽ ὧν ἂν δέῃ.
οὗτοι γὰρ ἐγγύτατα παρ᾽ αὐτὴν τὴν ὁδὸν
ἐπὶ ταῖσι τοῦ Πλούτωνος οἰκοῦσι θύραις,
καὶ χαῖρε πόλλ᾽ ὦδελφέ. δι. νὴ Δία καὶ σύ γε
ὑγίαινε. σὺ δὲ τὰ στρώματ᾽ αὖθις λάμβανε.
ξα. πρὶν καὶ καταθέσθαι; δι. καὶ ταχέως μέντοι πάνυ.
ξα. μὴ δῆθ᾽ ἱκετεύω σ᾽, ἀλλὰ μίσθωσαί τινα
τῶν ἐκφερομένων, ὅστις ἐπὶ τοῦτ᾽ ἔρχεται.
δι. ἐὰν δὲ μὴ εὕρω; ξα. τότε μ᾽ ἄγειν. δι. καλῶς λέγεις.
καὶ γάρ τινες ἐκφέρουσι τουτονὶ νεκρόν.
οὗτος, σὲ λέγω μέντοι, σὲ τὸν τεθνηκότα.
ἄνθρωπε βούλει σκευάρι᾽ εἰς ᾅδου φέρειν;
νε. πόσ᾽ ἄττα; δι. ταυτί. νε. δύο δραχμὰς μισθὸν τελεῖς;
δι. μὰ Δί᾽ ἀλλ᾽ ἔλαττον. νε. ὑπάγεθ᾽ ὑμεῖς τῆς ὁδοῦ.
δι. ἀνάμεινον ὦ δαιμόνι᾽, ἐὰν ξυμβῶ τί σοι.
νε. εἰ μὴ καταθήσεις δύο δραχμὰς, μὴ διαλέγου.
δι. λάβ᾽ ἐννέ᾽ ὀβολούς. νε. ἀναβιῴην νυν πάλιν.
ξα. ὡς σεμνὸς ὁ κατάρατος. οὐκ οἰμώξεται;
ἐγὼ βαδιοῦμαι. δι. χρηστὸς εἶ καὶ γεννάδας.
δι. χωρῶμεν ἐπὶ τὸ πλοῖον. χαρ. ὢ ὄπ, παραβαλοῦ.
δι. τουτὶ τί ἐστι; ξα. τοῦτο λίμνη νὴ Δία.
αὕτη ᾽στὶν ἣν ἔφραζε, καὶ πλοῖόν γ᾽ ὁρῶ.
νὴ τὸν Ποσειδῶ, κἄστι γ᾽ ὁ Χάρων οὑτοσί.
δι. χαῖρ᾽ ὦ Χάρων. χαῖρ᾽ ὦ Χάρων. χαῖρ᾽ ὦ Χάρων.

Ὢ ὄπ, παραβαλοῦ. ἐλαστικόν ἐστι ἐπίφθεγμα τὸ ὢ ὄπ. τὸ δὲ παραβαλοῦ, ἀντὶ τοῦ ὅρμισον τῇ γῇ τὴν ναῦν. ἐν τῇ νηὶ δὲ ὁ Χάρων λέγει. Τουτὶ λίμνη νὴ Δία. τοῦτο οἱ μὲν τὸν Διόνυσόν φασι λέγειν, οἱ δὲ τὸν Ξανθίαν. ἐνταῦθα δὲ τοῦ πλοίου ὀφθέντος ἢ ἄλλο. ἠλλοιῶσθαι χρὴ τὴν σκηνήν. καὶ εἶναι κατὰ τὴν Ἀχερουσίαν λίμνην τὸν τόπον, ἐπὶ τοῦ λογείου ἢ ἐπὶ τῆς ὀρχήστρας. μηδέπω δὲ ἐν ᾅδου. Χαῖρ᾽ ὦ Χάρων. Δημήτριος φησὶν ἀρχαῖον ὅλον εἶναι. λέγουσι δ᾽ αὐτὸ οἱ σάτυροι. χαῖρ᾽ ὦ Χάρων. χαῖρ᾽ ὦ Χα

Θησεὺς ἤγαγε. ὅτι κατῆλθε μετὰ πειρίθου εἰς ἀϊδωνέα ἁρπάσαι βουλομένου τὴν κόρην τῆς δήμητρος περσεφόνην. ἢ διὰ τὸ ἐκδύειν τὸν χάρωνα διαπορθμεύοντα.

Καὶ σκῶρ ἀεὶ νῶν. τινές φασι τῷ σκῶρ, πρῶτον κεχρῆσθαι κράτην ἐν ἀταλάντῳ δράματι. ψεῦδος δέ. πολλῷ γὰρ ὕστερον τῶν βατράχων ὁ ἀταλάντης κράτητος. δεδίδακται. Ἢ μορσίμου. τραγῳδίας καὶ οὗτος ποιητής. καὶ ψυχρός. ἔστι δὲ φιλοκλέους υἱός. ἦν δὲ ὀφθαλμῶν ἰατρὸς ἀγαθός. ἦν δὲ καὶ σμικρός. υἱὸν δὲ ἔχεν ἀμφιδάμαντα.

πῶς ἦλθε τὴν κἀκεῖσε. ἡρ. θησεὺς ἤγαγε.
μετὰ ταῦτ' ὄφεις καὶ θηρί' ὄψει μυρία.
δεινότατα. δι. μή μ' ἔκπληττε μηδὲ δειμάτου.
οὐ γάρ μ' ἀποτρέψεις. ἡρ. εἶτα βόρβορον πολὺν
καὶ σκῶρ ἀεὶ νῶν. ἐν δὲ τούτῳ κειμένους
εἴ που ξένον τις ἠδίκησε πώποτε.
ἢ παῖδα κινῶν τἀργύριον ὑφείλετο.
ἢ μητέρ' ἠλοίησεν. ἢ πατρὸς γνάθον
ἐπάταξεν, ἢ 'πίορκον ὅρκον ὤμοσεν,
ἢ μορσίμου τις ῥῆσιν ἐξεγράψατο
δι. νὴ τοὺς θεοὺς ἐχρῆν γε πρὸς τούτοισι κεἰ
τὴν πυρρίχην τις ἔμαθε τὴν κινησίου.
ἡρ. ἐντεῦθεν αὐλῶν τίς σε περίεισι πνοή.
ὄψει τε φῶς κάλλιστον ὥσπερ ἐνθάδε.
καὶ μυρρινῶνας. καὶ θιάσους εὐδαίμονας.
ἀνδρῶν. γυναικῶν. καὶ κρότον χειρῶν πολύν.
δι. οὗτοι δὲ δὴ τίνες εἰσίν. ἡρα. οἱ μεμυημένοι.
ξα. νὴ τὸν δί' ἐγὼ γοῦν ὄνος ἄγων μυστήρια.

Τὴν κινησίου. κινησίας διθυραμβοποιός. ὃς ἐποιήσατο πυρρίχην. ἢ ὅτι ἐν τοῖς χοροῖς πολλῇ κινήσει ἐχρήσατο. τινὲς δὲ οὐ γράφουσι τὸν, νὴ τοὺς θεοὺς στίχον. ἀλλ' ἀφαιροῦσι. καὶ οὕτω τὸ ἑξῆς γράφουσιν. ἢ πυρρίχην τις ἔμαθε τὴν κινησίου. διὸ καὶ ἀριστοφάνης παρατίθησιν αἴνιγμα καὶ τὸ σχῆμα. Ἄλλως. ὁ κινησίας ἐπραγματεύσατο κατὰ τῶν κωμικῶν, ὡς εἶεν ἀχορήγητοι. ἦν δὲ καὶ τὸ σῶμα ὀκνηρός. καὶ κατασκελετευτικώς. δοκεῖ δὲ καὶ κατησχημονηκέναι τοῦ τῆς ἑκάτης ἀγάλματος. διὸ καὶ ἐν τοῖς ἑξῆς φησιν. ἢ καταπιλῶν τῶν ἑκαταίων, κυκλίοισι χοροῖσιν ἐπᾴδων, ἦν δὲ θηβαῖος. μελοποιὸς κάκιστος. ὃς ἐν τοῖς χοροῖς ἐχρῆτο πολλῇ κινήσει. Οἱ μεμυημένοι. λόγος γὰρ ἐκράτει παρ' ἀθηναίοις ὡς ὁ τὰ μυστήρια διδαχθεὶς μετὰ τὴν ἐνθένδε τελευτήν, θείας ἠξιοῦτο τιμῆς. διὸ καὶ πάντες πρὸς τὴν μύησιν ἔσπευδον.

Ὄνος ἄγων μυστήρια. τοῖς μυστηρίοις ἐξ ἄστεος εἰς ἐλευσῖνα, διὰ τῶν ὄνων φέρουσι τὰ εἰς τὴν χρείαν, ὅθεν ἡ παροιμία διὰ τὸ κακοπαθεῖν μάλιστα τοὺς ὄνους ἀχθοφοροῦντας. ὡς αὖ οὖν ὅμοιόν τι πάσχων διὰ τὸ πιέζεσθαι τῷ ὑποκειμένῳ ἄχθει, τὴν παροιμίαν μίγνυσιν.

Α' φιεμένην τὴν λαμπάδα. τοὺς λαμπαδιστὰς ἀγῶνας. λαμπαδηδρομίαι δὲ γίνονται τρεῖς ἐν τῷ κεραμεικῷ. ἀθηνᾶς. ἡφαίστου. προμηθέως. κεραμεικὸς δὲ τόπος ἀθήνησιν ὅπου συνεπλήρουν οἱ ἀθηναῖοι κατ' ἐνιαυτὸν, λαμπαδοῦχον ἀγῶνα. πρὸς δὲ τῷ τόπῳ τούτῳ πύργον τινὰ ὑπάρχειν φασίν. ἐφ' ὃν συμβουλεύει αὐτὸν ἀναβάντα, θεωρεῖν τὴν λαμπάδα. καὶ ὅταν οἱ πρῶτοι λαμπαδίζοντες ἀφεθῶσι, καὶ αὐτὸν ἀπὸ τοῦ πύργου ἀφεῖναι ἑαυτὸν κάτω. Εἶναι τόθ' εἶναι. ἀντὶ τοῦ ἀφεῖται τοὺς δρομεῖς. τινὲς γράφουσιν εἶπε, ἀντὶ τοῦ ἀφεῖκε. οἱ δρομεῖς δηλονότι. τοῦτο δὲ γνωριμώτερον ἔχει τὸ γοῦν. ἐπειδὰν οἱ θεώμενοι εἴπωσιν ἀφεῖντε δηλονότι οἱ τρέχοντες, καὶ σὺ σαυτόν. γράφεται ἐν πολλοῖς εἶναι, ἀντὶ τοῦ εἶπε μήποτε τὸ δεύτερον εἶναι. πρὸς καὶ σὺ σαυτὸν ἁμαρτανομένου τοῦ πρώτου, λέγοι δ' ἄν τις, καὶ τοῦτο λόγον ἔχειν. ὡς ἴσον θεωμένων ἐπικαλοῦντων τῷ σημεῖον ἀφιέντι κατὰ τὸ ἀρχαῖον σχῆμα, οὕτως εἶναι. Ἄλλως. ὅτι ἐν τῇ ἀφέσει τῆς λαμπάδος σημεῖον ἦν τοῖς μέλλουσι δραμεῖν ὡς δεῖ τοῦ δρόμου κατάρξασθαι. ἦν δὲ τοῦτο πρὸ τοῦ εὑρεθῆναι παρὰ τυρσηνοῖς τὴν σάλπιγγα. Ἀλλ' ἀπολέσαιμ' ἂν ἐγκεφάλου. ὁ ἐγκέφαλος τῶν ἀνθρώπων ἔχει ὑφ' ἑαυτὸν ὑμένας ἐοικότας τοῖς τῆς συκῆς φύλλοις. καὶ ἀρίσταρχος, ὅτι πρὸς τὸ σχῆμα τοῦ ἐγκεφάλου. ἔστι γὰρ ὥσπερ θρία δύο συγκείμενα. θρία δὲ, τὰ τῆς συκῆς φύλλα. καὶ τὰ θρία δὲ, οὕτω σκευάζεται. λέγεται δὲ ἀπὸ τοῦ κατειλεῖσθαι, τοῖς τῆς συκῆς φύλλοις. οἱ δὲ σκευασίαι εἰσὶ, στέαρ, μέλι, ὠά. σεμίδαλις. εἰώθασι δὲ καὶ τὸν ἐγκέφαλον ὁπτῶντες κατειλήσαντες τοῖς τῆς συκῆς φύλλοις, ἢ μετὰ τῆς ἄλλης τοῦ θρίου κατασκευῆς, ἢ καὶ μόνον. πρὸς ὃ παρέθηκε τὸ θρίον. Ἄβυσσος. ἣν οὐδὲ βυθὸς δύναται χωρῆσαι. ἴωνες δὲ τὸν βυθόν. βύσσον λέγουσι. Τυννουτωΐ. συνάγων τοὺς δακτύλους καὶ τὴν παλάμην κοιλάνας φησίν. ἀντὶ τοῦ μικρῷ. ὁμοίως δὲ καὶ τυτθὸν τὸ νήπιον. ἀντὶ τοῦ τυτθόν. τὸ ἔτι παρὰ τοῖς ττθίοις καθεστηκὸς. φοβεῖ δὲ αὐτὸν, ἐπίτηδες σμικρύνων τὸ πλοῖον.

Ηρ. ἀφιεμένην τὴν λαμπάδ' ἐντεῦθεν θεῶ.
κᾆτ' ἐπειδὰν φῶσιν οἱ θεώμενοι
εἶναι, τόθ' εἶναι καὶ σὺ σαυτόν. Δι. ποῖ; Ηρ. κάτω.
Δι. ἀλλ' ἀπολέσαιμ' ἂν ἐγκεφάλου θρίω δύω.
οὐκ ἂν βαδίσαιμι τὴν ὁδὸν ταύτην. Ηρ. τί δαί;
Δι. ἥνπερ σὺ τότε κατῆλθες. Ηρ. ἀλλ' ὁ πλοῦς πολύς.
εὐθὺς γὰρ ἐπὶ λίμνην μεγάλην ἥξεις πάνυ.
ἄβυσσον. Δι. εἶτα πῶς περαιωθήσομαι;
Ηρ. ἐν πλοιαρίῳ τυννουτωΐ σ' ἀνὴρ γέρων
ναύτης διάξει, δύ' ὀβολὼ μισθὸν λαβών.
Δι. φεῦ. ὡς μέγα δύνασθον πανταχοῦ τὼ δύ' ὀβολώ.

Δ ύ' ὀβολὼ μισθὸν λαβών. οὐχ ὡς τοῦτο λαμβανόντος. ἀλλὰ πρὸς τὸ δικαστικὸν μισθὸν ὅτι δύο ὀβολῶν ἦν. ἅμα οὖν διὰ τὸ λεγόμενον, ὅτι τοῖς νεκροῖς ἐπὶ τοῦ στόματος βάλλουσι δύο ὀβολοὺς, καὶ ὅτι τὸ δικαστικὸν μισθάριον, δύο ὀβολοὶ ἦσαν. ἐπιφέρεται γοῦν ὡς μέγα δύνασθον πανταχοῦ τὼ δύω ὀβολώ. ὕστερον δὲ ἦν τριώβολον. τοῦτο τῶν στρατηγῶν κολακείας χάριν προστιθέντων. ἐπὶ δὲ ἀριστοφάνους καὶ δραχμὴν ἦν λαβεῖν.

Καὶ μὴν ἀτεχνῶς γε· ἀντὶ τοῦ ὅλως· καὶ συνόλως καὶ ἔστιν ὅμοιον ἀδόλως. τέχνας γὰρ ἔλεγον. οἷον τοὺς δόλους· ἀμφὶ δὲ δεσμοὶ τεχνήεντες ἔχυντο. Δειπνεῖν με δίδασκε· τοῦτο γὰρ ἐπίστασαι ἐκεῖνο δ' οὔ. ταῦτά με φησὶ δίδασκε. καὶ μὴ κρῖνε τραγῳδίας. ὅτι ἀδηφάγος ὁ ἡρακλῆς. Κρήνας· γράφεται κρημνούς. ἐκτροπαὶ δὲ ἐκνεύσεις τῶν ὁδῶν. ὅπου τις ἐκτραπῆναι δύναται. διὰ τὸ ἐκτρέπεσθαι τῆς ὁδοῦ καὶ κρύπτεσθαι, ὅταν ταραχή τις γίνηται τῶν νεκρῶν. ὅσα δὲ οἱ ὁδοιποροῦντες ἐπάνω τῆς γῆς εὑρίσκουσι καθ' ὁδόν, ταῦτα καὶ αὐτὸς οἰόμενος καὶ ὑπὸ γῆν εἶναι, ἐρωτᾷ τε εἰπεῖν τοῦτο. Μήτε θερμήν. μήτε ὅπου ἐστὶ καῦμα, μήτε δυσχείμερον ὁδὸν εἴπῃς. Θρανίου. θρανίους καὶ θρανίτια τινὰ διφρία καὶ ὑποπόδια ἔλεγον. καὶ ἡ παρὰ τῷ ποιητῇ δὲ θρῆνυς. ἐφ' ὧν οἱ ἀπαγχόμενοι, ἀρτῶσι ἑαυτοὺς ἀπολακτίζοντες αὐτά. τὸ δὲ κάλῳ ἡ εὐθεῖα κάλως.

Ρ Πνιγηρὰν λέγεις καυματώδη. ἅμα μέν, ὅτι θερμήν, ἅμα δὲ ὅτι πνίγει τῷ χρόνῳ τὸ σχοινίον. καὶ τὸ θρανίον. Σύντομος. ὅτι οὐ μόνον ἐπίτομον λέγουσιν, ἀλλὰ καὶ σύντομον τετριμμένην δέ, ἅμα μὲν ὡς ἐπὶ ὁδοῦ κατημαξευμένης. ἅμα δὲ καὶ διὰ τὸ τρίβεσθαι τὸ κώνειον. Ψυχράν γε καὶ δυσχείμερον. καὶ ὡς ἐπὶ ὁδοῦ ψυχρᾶς, καὶ ὅτι κατὰ ψύξιν φονεύειν τὸ κώνειον. πήγνυσι δέ, εἶπε τἀντικνήμια, ἀπὸ τῶν ποδῶν γὰρ οὕτως ὁ θάνατος ἄρχεται. πρώτως αὐτοὺς καταψύχων. ὡς τοῦ ζωτικοῦ αἵματος περὶ τὴν καρδίαν συστελλομένου. Κατάντη. οὕτως ἀττικοὶ ἀντὶ τοῦ κατωφερῆ. εὐκολώτεραι γὰρ καὶ ταχύτεραι αἱ τοιαῦται ὁδοί.

δι. μὴ τὸν ἐμὸν οἴκει νοῦν· ἔχεις γὰρ οἰκίαν.
ἡρ. καὶ μὴν ἀτεχνῶς γε παμπόνηρα φαίνεται.
δι. δειπνεῖν με δίδασκε. ξα. περὶ ἐμοῦ δ' οὐδεὶς λόγος;
δι. ἀλλ' ὧνπερ οὕνεκα τήνδε τὴν σκευὴν φορῶν
ἦλθον κατὰ σὴν μίμησιν, ἵνα μοι τοὺς ξένους
τοὺς σοὺς φράσειας, εἰ δεοίμην, οἷσι σὺ
ἐχρῶ τόθ' ἡνίκ' ἦλθες ἐπὶ τὸν κέρβερον,
τούτους φράσον μοι. λιμένας· ἀρτοπώλια.
πορνεῖ'. ἀναπαύλας. ἐκτροπάς. κρήνας. ὁδούς.
πόλεις. διαίτας. πανδοκευτρίας. ὅπου
κόρεις ὀλίγιστοι. ξα. περὶ ἐμοῦ δ' οὐδεὶς λόγος;
ἡρ. ὦ σχέτλιε. τολμήσεις γὰρ ἰέναι καὶ σύ γε;
δι. μηδὲν ἔτι πρὸς ταῦτ'. ἀλλὰ φράζε τῶν ὁδῶν
ὅπως τάχιστ' ἀφιξόμεσθ' εἰς ᾅδου κάτω·
καὶ μήτε θερμὴν, μήτ' ἄγαν ψυχρὰν φράσῃς.
ἡρ. φέρε δή, τίν' αὐτῶν σοι φράσω πρώτην, τίνα.
μία μὲν γὰρ ἔστιν ἀπὸ κάλω καὶ θρανίου,
κρεμάσαντι σαυτόν. δι. παῦε πνιγηρὰν λέγεις.
ἡρ. ἀλλ' ἔστιν ἀτραπὸς σύντομος τετριμμένη
ἡ διὰ θυείας. δι. ἆρα κώνειον λέγεις;
ἡρ. μάλιστά γε. δι. ψυχράν γε καὶ δυσχείμερον
εὐθὺς γὰρ ἀποπήγνυσι τἀντικνήμια.
ἡρ. βούλει ταχεῖαν καὶ κατάντη σοι φράσω;
δι. νὴ τὸν δί'. ὡς ὄντος γε μὴ βαδιστικοῦ.
ἡρ. καθέρπυσόν νυν ἐς κεραμεικόν. δι. κᾆτα τί,
ἡρ. ἀναβὰς ἐπὶ τὸν πύργον τὸν ὑψηλόν. δι. τί δρῶ,

Α αλίστερα. πολυλογώτερα εἰς τοῦτο γὰρ εὐριπίδης ἐκακίζετο. Ἐπιφυλλίδες, τὰ ὑπολειπόμενα τοῖς μεγάλοις βότρυσι βοτρύδια. καλλίστρατος δέ, τὰ καθ' ἑαυτὰ μικρά. κέκληνται δὲ οὕτως, διὰ τὸ τοῖς φύλλοις καλύπτεσθαι. ἢ τὰ πρὸς αὐτοῖς τοῖς φύλλοις. Ἄλλως. ἐπιφυλλίδες εἰσὶ τὰ ἐν τοῖς βότρυσιν ἐν ἀρχῇ ἐπιπτώματα. οἱ δέ φασι τὰ ἐν κορυφαῖς τῶν κλημάτων. ταῦτα γὰρ οὐχ ὑπὸ κάτω τῶν φύλλων ὡς οἱ βότρυες, ἀλλ' ἐπάνω φύονται. δείκνυσι δὲ ἐντεῦθεν ὡς οὐδὲν πρὸς λόγους εἰσί. Χελιδόνων μουσεῖα. παρὰ τὰ ἐν ἀλκμήνῃ εὐριπίδου. πολὺς δ' ἀνεῖρπε κισσὸς εὐφυὴς κλάδος. χελιδόνων μουσεῖα. αὕτη τοῦ βάρβαρα καὶ ἀσύνετα. καὶ γὰρ παροιμία ἐπὶ τῶν βαρβάρων καὶ πολυλόγων καὶ ἐπαχθῶν ἐστι [illegible]. τοιοῦτον γὰρ τὸ χελιδόνων γένος. πλέον διὰ τὸ πολὺ τῆς ᾠδῆς αὐτῶν τοὺς ἀκούοντας ἢ διὰ τὸ μέλος εὐφραῖνον. καὶ ἐν τοῖς ἑξῆς, οὐ περιβρέμεται θρηκία χελιδών.

εὐριπίδου πλεῖν ἢ σταδίῳ λαλίστερα.

δι. Ἐπιφυλλίδες ταῦτ' ἐστὶ καὶ στωμύλματα.
χελιδόνων μουσεῖα. λωβηταὶ τέχνης.
ἃ φροῦδα θᾶττον ἢν μόνον χορὸν λάβῃ,
ἅπαξ προσουρήσαντα τῇ τραγῳδίᾳ.
γόνιμον δὲ ποιητὴν ἂν, οὐχ εὕροις ἔτι
ζητῶν ἄν, ὅστις ῥῆμα γενναῖον λάκοι.
ἡρ. πῶς γόνιμον. δι. ὡδὶ γόνιμον. ὅστις φθέγξεται,
τοιουτονί τι παρακεκινδυνευμένον.
αἰθέρα διὸς δωμάτιον ἢ χρόνου πόδα.
ἢ φρένα μὲν οὐκ ἐθέλουσαν ὀμόσαι καθ' ἱερῶν,
γλῶτταν δ' ἐπιορκήσασαν ἰδίᾳ τῆς φρενός.
ἡρ. σὲ δὲ ταῦτ' ἀρέσκει; δι. καὶ μάλα πλεῖν ἢ μαίνομαι.
ἡρ. ἦ μὴν κόβαλά γ' ἐστὶν ὡς καὶ σοὶ δοκεῖ.

Ἀφροῦδα. ἀφανῆ ὑπὸ τῆς χαρᾶς. Ἢν μόνον. ἢν χορὸν εἴπῃ ἅπαξ τοὺς ἐπιτυχόντας ἐπαινέσαντας χοιεῖν τῶν δραμάτων. Προσουρήσαντα. ἐνυβρισάμενα. διοικήσαντα. ἐν τραγῳδίαις δράματι ἐπαινεθέντα. Γόνιμον δὲ ποιητήν. φυσικόν τινα καὶ μὴ βεβιασμένον. ἢ γεννητικόν. Παρακεκινδυνευμένον. ὑψηλόν. βλάσφημον. παράδοξον ἀσύνηθες. Αἰθέρα διός. ἐξ ἀλεξάνδρας εὐριπίδου. καὶ χρόνου προβαίνει πόδα. καὶ ἐκ μελανίππης σοφοκλέους. ὄμνυμι δ' ἱερὸν αἰθέρα, οἴκησιν διός. Γλῶτταν δ' ἐπιορκήσασαν, ταῦτα ἐξ ἱππολύτου εὐριπίδου. ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος. Σὲ δὲ ταῦτ' ἀρέσκει. αὕτη τοῦ σοὶ ἀττικῶς. σημειωτέον τοίνυν ὅτι οἱ ἀττικοὶ κέχρηνται τῷ τοιούτῳ σχηματισμῷ, καὶ εὐριπίδης ἐν βάκχαις. καταφρονεῖ με καὶ θήβας ὅδε. Μάλα πλεῖν ἢ μαίνομαι. ἀττικοὶ μᾶλλον ἢ μαίνομαι. οἱ μέν, φασὶν ἐκτείνουσιν. οἱ δέ, συστέλλουσι. μάλα λαμβάνεται ἢ εἰς τὸ μὲν οὖν, ἢ οὔκ. ἀλλὰ καὶ μᾶλλον. ἢ γὰρ μὴ ἀπαγορεύει παρὰ τοῖς παλαιοῖς, αὕτη τῆς οὐ ἀρνήσεως παραλαμβάνεται. Ἄλλως. ἀλλὰ πλέον ἢ μαίνομαι ἐπ' αὐτῷ. τουτέστιν, ὑπερβαλλόντως μοι ἀρέσκει. Κόβαλα. κακοῦργα καὶ ἀνελεύθερα. δίδυμος. κατὰ στωμυλεύματα. ἀπατητικά. καὶ κακοβούλους κοβάλλους.

Μ ἢ τὸν ἐμὸν οἴκει. καὶ τοῦτο παρὰ τὸ ἐν ἀνδρομάχῃ. μὴ τὸν ἐμὸν οἴκει νοῦν, ἐγὼ γὰρ ἀρκέσω.

δὲ, τῇ ἡλικίᾳ ἢ τιμιώτερον. ἦν γὰρ ὁ σοφοκλῆς αἰσχύλου μὲν ἔτεσιν ἑπτὰ νεώτερος εὐριπίδου δὲ κδʹ. Οὐ πρίν γ᾽ ἂν ἰοφῶντα. κωμῳδεῖται γὰρ ἰοφῶν ὁ υἱὸς σοφοκλέους, ὡς τὰ τοῦ πατρὸς λέγων. οὐ μόνον δὲ ἐπὶ ταῖς τοῦ πατρὸς τραγῳδίαις ἐπιγράφεσθαι κωμῳδεῖται, ἀλλ᾽ ἐπὶ τῷ καὶ ψυχρὸς, καὶ μακρὸς εἶναι. τὸ δὲ κωδωνίσω, ὅτι τινὰ τῶν ὀρνέων δοκιμάζεται τῷ τοῦ κώδωνος ψόφῳ. καὶ τοὺς ἵππους οὕτω ἐδοκίμαζον εἰ ψοφώδεις εἶεν. ἢ εἰ θόρυβον ὑπομένειν δύναιντο. μή πως ἐν πολέμῳ εἰς κίνδυνον ὑπ᾽ αὐτῶν ἐμβληθεῖεν καὶ τὰς ὄρτυγας. τινὲς δὲ ἀπὸ τῶν ἀγγείων τῶν σαθρῶν. ἐπεὶ οὕτω δοκιμάζουσι διακρούοντες. τινὲς δὲ ἐκ μεταφορᾶς τῶν νομισμάτων. τινὲς δὲ ἀπὸ τῶν φυλάκων. δημήτριος γάρ φησιν ὅτι κατὰ τὰς φυλακὰς εἰ ἐγρηγόρασι, κώδωσι διεσήμαινον ὅπως αὐτοὶ φθέγγωνται. βέλτιον δὲ τὸ ἐπὶ τῶν ἵππων καὶ τῶν ἀγγείων. τὰ δὲ ἄλλα ἐσχεδίασται.

οὐ γὰρ σάφ᾽ οἶδ᾽ οὐδ᾽ αὐτὸ τοῦθ᾽ ὅπως ἔχει.
ἡρ. εἶτ᾽ οὐχὶ σοφοκλέα πρότερον ὄντ᾽ εὐριπίδου
μέλλεις ἀναγαγεῖν εἴπερ ἐκεῖθεν δεῖ σ᾽ ἄγειν;
δι. Οὐ πρίν γ᾽ ἂν ἰοφῶντ᾽ ἀπολαβὼν αὐτὸν μόνον.
ἄνευ σοφοκλέους, ὅ,τι ποιεῖ κωδωνίσω.
κἄλλως, ὁ μέν γ᾽ εὐριπίδης πανοῦργος ὤν,
κἂν ξυναποδρᾶναι δεῦρ᾽ ἐπιχειρήσειέ μοι.
ὁ δ᾽ εὔκολος μὲν ἐνθάδ᾽ εὔκολος δ᾽ ἐκεῖ.
ἡρ. ἀγάθων δὲ ποῦ 'στιν. δι. ἀπολιπών μ᾽ ἀποίχεται.
ἀγαθὸς ποιητὴς καὶ ποθεινὸς τοῖς φίλοις,
ἡρ. ποῖ γῆς ὁ τλήμων. δι. ἐς μακάρων εὐωχίαν.
ἡρ. ὁ δὲ ξενοκλῆς. δι. ἐξόλοιτο νὴ δία.
ἡρ. πυθάγγελος δέ. ξα. περὶ ἐμοῦ δ᾽ οὐδεὶς λόγος,
ἐπιτριβομένου τὸν ὦμον οὑτωσὶ σφόδρα;
ἡρ. οὐκοῦν ἕτερ᾽ ἔστ᾽ ἐνταῦθα μειρακύλλια.
τραγῳδίας ποιοῦντα, πλεῖν ἢ μύρια.

Εὔκολος. ἁπλοϊκὸς καὶ ἐλευθέριος. τοιοῦτος δὲ ὁ σοφοκλῆς.

Ἀγάθων δὲ, οὗτος τραγικὸς ποιητής. ἐπὶ μαλακίᾳ διεβάλλετο. Ποθεινὸς τοῖς φίλοις. τοῖς σοφοῖς. οὗτος δὲ ὁ ἀγάθων, κωμῳδοποιὸς τοῦ σωκράτους διδασκάλου. ἀγαθὸς τὸν τρόπον καὶ τὴν τράπεζαν λαμπρός. καὶ φασὶν ὅτι πλάτωνος συμπόσιον ἐν ἑστιάσει αὐτοῦ γέγραπται. πολλῶν ἅμα φιλοσόφων σὺν αὐτῷ καταχέντων. Ἐς μακάρων εὐωχίαν. ἢ ὡς περὶ τετελευτηκότος λέγει, ὥσπερ εἰ περὶ τὰς μακάρων νήσους; ἢ ὅτι ἀρχελάῳ τῷ βασιλεῖ μέχρι τελευτῆς μετὰ ἄλλων πολλῶν συνῆν ἐν μακεδονίᾳ. καὶ μακάρων εὐωχίαν ἔφη τὴν ἐν βασιλείοις. τοῦτο δὲ παρ᾽ ὑπόνοιαν. Ξενοκλῆς. υἱὸς καρκίνου ξενοκλῆς, κωμῳδεῖται ὡς ἄξεστος ἐν τῇ ποιήσει καὶ ἀλληγορικός. ἀδελφοὶ δὲ αὐτοῦ, ξενόκλειτος καὶ ξενότιμος. εἰσὶ δέ φασι δύο ξενοκλεῖς τραγῳδοὶ γεγονότες. τρίτος δ᾽ ἐστὶ τούτοις ὁμώνυμος πολιτικός. φαύλου μὲν πατρός. τῷ δὲ δήμῳ χολαργεύς. Πυθάγγελος δὲ τραγῳδίας ποιητής. μοχθηρός, καὶ ἄσημος. ὁ ξανθίας δὲ ὑπομνησθεὶς πυθαγγέλου φησὶν ὅτι οὐ φροντίζει τις μου καὶ ταῦτα πυθαγγέλου μνημονεύοντος, καλῶς δὲ καὶ πικρῶς ἔδειξεν ὡς δοῦλος τὸ προκείμενον.

σος. τοῦ δὲ διονύσου εἰπόντος τὸ ἀπαπαί, ὁ ἡρακλῆς ὑποβάλλει, ἀνδρὸς ἐρασθῆναι ὑπὸ κλεισθένους τὸν διόνυσον. Ἀπαπαί. γράφεται ἀππαπαί. διὰ τούτου οὐ καταθεμένου τοῦ διονύσου. καὶ ὁ ἡρακλῆς ἐπήνεγκε· μὴ τῷ κλεισθένει, διὰ τὸ ἐπιβάτευον κλεισθένει. Οὐ γὰρ ἀλλ' ἔχω κακῶς. ἀντὶ τοῦ καὶ γὰρ ἀλλά. τὸ ἀλλά, παρέλκει ἀττικῶς. ἀντὶ τοῦ ἔχω γὰρ κακῶς. Ἑτέρα φράσω. διδάσκω σοι ὡς ἐρῶ. ὑποβαλών σοι τὸν ἔρωτα τοῦ ἔτνους. ἢ ἄλλῳ τινὶ ὑποδείγματι φράσω. ἔστι δὲ ἡμιστίχιον ἐξ εὐριπίδου.

ἡρ. ἀλλ' ἀνδρός; δι. ἀπαπαί. ἡρ. ξυνεγένου κλεισθένει;
δι. μὴ σκῶπτέ μ' ὦδελφ'. οὐ γὰρ ἀλλ' ἔχω κακῶς.
τοιοῦτος ἵμερός με διαλυμαίνεται.
ἡρ. ποῖός τις ὦ δελφίδιον. δι. οὐκ ἔχω φράσαι.
ὅμως γε μέντοι σοὶ δι' αἰνιγμῶν ἐρῶ.
ἤδη ποτ' ἐπεθύμησας ἐξαίφνης ἔτνους;
ἡρ. ἔτνους; βαβαιάξ. μυριάκις ἐν τῷ βίῳ.
δι. ἆρ' ἐκδιδάσκω τὸ σαφές, ἢ 'τέρα φράσω;
ἡρ. μὴ δῆτα περὶ ἔτνους γε. πάνυ γὰρ μανθάνω.
δι. τοιουτοσὶ τοίνυν με δαρδάπτει πόθος.
εὐριπίδου, καὶ ταῦτα τοῦ τεθνηκότος.
κοὐδείς γέ μ' ἂν πείσειεν ἀνθρώπων, τὸ μὴ οὐκ
ἐλθεῖν ἐπ' ἐκεῖνον. ἡρ. πότερον, εἰς ᾅδου κάτω;
δι. καὶ νὴ δί' εἴ τί γ' ἔστιν, ἔτι κατωτέρω.
ἡρ. τί βουλόμενος. δι. δέομαι ποιητοῦ δεξιοῦ
οἱ μὲν γὰρ, οὐκ ἔτ' εἰσίν. οἱ δ' ὄντες, κακοί.
ἡρ. τί δ' οὐκ ἰοφῶν ζῇ; δι. τοῦτο γάρ τοι καὶ μόνον
ἔτ' ἐστὶ, λοιπὸν ἀγαθόν; εἰ καὶ τοῦτ' ἄρα.

Ἔτνους. ὀσπρίου ποιητοῦ ὡς ἀδηφάγον δὲ τὸν ἡρακλέα κωμῳδοῦσι. τὸ δὲ ἔτνος εἶδος ἀθάρας. οἱ δὲ ἀνδρεῖοι καὶ πρὸς τὰς μάχας θαυμαστοὶ ἔτνος ἐσθίουσιν ὡς συντελοῦν αὐτοῖς πλεῖστα ὡς οἱ περὶ ταῦτα δεινοὶ λέγουσιν. Καὶ ταῦτα τοῦ τεθνηκότος. τινὲς βούλονται ἐν προσώπῳ λέγειν ὅλον. τινὲς δὲ διορίζουσι τὸ τοῦ τεθνηκότος. ὡς τοῦ ἡρακλέους λέγοντος αὐτό. οὕτω δὲ καὶ αἱ διδασκαλίαι φέρουσι. τελευτήσαντος εὐριπίδου, τὸν υἱὸν αὐτοῦ, δεδιδαχέναι ὁμωνύμως ἐν ἄστει. ἰφιγένειαν τὴν ἐν αὐλίδι, ἀλκμαίωνα, βάκχας.

Οἱ μὲν γὰρ οὐκ ἔτ' εἰσίν. εὐριπίδου ἐξ οἰνέως. σὺ δ' ὧδ' ἐρῆμος ξυμμάχων ἀπόλλυσαι. οἱ μὲν γὰρ, οὐκ ἔτ' εἰσίν οἱ δ' ὄντες, κακοί. Τί δ' οὐκ ἰοφῶν. ἰοφῶν υἱὸς ἦν σοφοκλέους ἐκ νικοστράτης. ὃς δόκησιν παρεῖχεν, ὅτι τοῖς τοῦ πατρὸς ἐχρῆτο ποιήμασιν ὡς οἰκείοις. εἰσήγαγε δέ ποτε σοφοκλῆς ἐν δράματι τὸν ἰοφῶντα φθονοῦντα. καὶ πρὸς τοὺς φράτορας ἐγκαλοῦντα τῷ πατρὶ ὡς ὑπὸ γήρως παραφρονοῦντι. οἱ δὲ τῷ ἰοφῶντι ἐπετίμησαν. σάτυρος δέ φησιν αὐτὸν εἰπεῖν. εἰ μὲν εἰμὶ σοφοκλῆς, οὐ παραφρονῶ, εἰ δὲ παραφρονῶ σοφοκλῆς οὐκ εἰμί. καὶ τότε τὸν οἰδίποδα παραναγνῶναι. οὐ μόνον δὲ ἡ χοιρίλῳ καὶ τοῖς περὶ αἰσχύλον καὶ εὐριπίδην ἀλλὰ καὶ ἰοφῶντι συνηγωνίσατο [illegible]. Τοῦτο γὰρ μόνον ἔτ' ἐστὶν ἀγαθόν. ἠγωνίσατο γὰρ καὶ ἐνίκησε λαμπρῶς ἔτι ζῶντος τοῦ πατρὸς αὐτοῦ. διὸ ἀμφιβάλλει. μή ποτε τοῦ σοφοκλέους εἴη. Ὅπως ἔχει. εἴτε αὐτοῦ δηλονότι τὰ ποιήματα εἴτε τοῦ πατρὸς αὐτοῦ σοφοκλέους. τοιαύτη γὰρ περὶ αὐτοῦ τοὺς πολλοὺς δόξα κατεῖχε πρότερον

ὁ συμβευστίου, ἐπ᾽ αἰσχρότητι κωμῳδεῖται. ἦν δὲ λεῖος τὸ γένειον. διὸ καὶ εὐνούχῳ εἰκάζει αὐτόν. κωμῳδοῦσι δὲ αὐτὸν καὶ ἐπὶ τῷ παχητιᾶν. ἐμφαίνει οὖν εἰ κατὰ στρατείαν ἀπεδήμουν, μετὰ κλεισθένους ἂν ἐστρατευσάμην. καὶ τὸ ἐπεβάτευον, ἐκείνῳ, κακεμφάτως. ἐστρατήγησε δὲ νεωστὶ καὶ ἐνίκησεν οὗτος. σφὼ νὴ τὸν ἀπόλλω θαυμάζων καὶ ἀπιστῶν λέγει ὁ ἡρακλῆς. τινὲς δὲ εἰς τὸν ἀπόλλω δύο στίζουσι. καὶ εἰς τὸ ἐξηγρόμην. Κᾆτ᾽ ἔγωγ᾽ ἐξηγρόμην. σκώπτει τὸν διόνυσον καὶ ἐγώ φησιν ἀνέστην ἐξ ὀνείρου. δηλῶν ὅτι ὄναρ ταῦτα ἑώρα. ξένοι δέ φασιν ὡς ὁ διόνυσος ταῦτα λέγει. κᾆτ᾽ ἔγωγ᾽ ἐξηγρόμην. ὡς τ᾽ ἐπὶ τῇδε ψευδομένων, ἐπιλεγόντων τοῦτο. καθὸ δηλοῦται. ὅτι ἐνυπνίῳ ἔοικε τὸ λεγόμενον. οἱ δὲ, τῷ ἡρακλεῖ παρανέμουσι τοῦτο. οἱ δὲ τῷ ξανθίᾳ. καὶ τὸ νὴ τὸν ἀπόλλω τῷ διονύσῳ. μόνον γὰρ τὸ σφὼ λέγειν τὸν ἡρακλῆν.

περὶ γῆς ἀπεδήμεις. δι. ἐπεβάτευον κλεισθένει.
ἡρ. κἀναυμάχησας; δι. καὶ κατεδύσαμέν γε ναῦς
τῶν πολεμίων, ἢ δώδεκ᾽ ἢ τρισκαίδεκα.
ἡρ. σφώ; νὴ τὸν ἀπόλλω. Κᾆτ᾽ ἔγωγ᾽ ἐξηγρόμην.
δι. καὶ δῆτ᾽ ἐπὶ τῆς νεὼς ἀναγινώσκοντί μοι
τὴν ἀνδρομέδαν πρὸς ἐμαυτὸν ἐξαίφνης πόθος.
τὴν καρδίαν ἐπάταξε. πῶς οἴει σφόδρα.
ἡρ. πόθος; πόσος τις. δι. μικρὸς, ἡλίκος μόλων
ἡρ. γυναικός; δι. οὐ δῆτ᾽. ἡρ. ἀλλὰ παιδός. δι. οὐδαμῶς.

Τὴν ἀνδρομέδαν. διατί μὴ ἄλλο τι τῶν πρὸ ὀλίγου διδαχθέντων καὶ καλῶν. ὑψιπύλης φοινισσῶν. ἀντιόπης. ἡ γὰρ ἀνδρομέδα ὀγδόῳ ἔτει προεισῆκται. ἐπειδὴ οὐ συκοφαντητέα ἦν τὰ τοιαῦτα. Μικρὸς ἡλίκος μόλων. παίζει. ἔστι γὰρ μεγαλόσωμος ὁ μόλων. δίδυμος δέ φησιν ὅτι δύο μόλωνες εἰσὶν ὁ ὑποκριτὴς. καὶ ὁ λωποδύτης. καὶ μᾶλλον λωποδύτην λέγει. ὃς ἐστὶ μικρὸς τὸ σῶμα. τιμαχίδας δὲ, τὸν ὑποκριτὴν λέγεσθαι μόλωνα. Ἄλλως. γράφεται μακρός. ἵνα ὁ κροτωνιάτης νοῆται. ἀνὴρ μεγάλῳ σώματι παρὰ τῆς φύσεως κεκοσμημένος ὡς τοῖς ὁρῶσι παρέχειν ἔκπληξιν. ἐγένοντο δὲ αὐτῷ ἓξ ἐν ὀλυμπίᾳ πάλης νῖκαι. μία δ᾽ ἐν παισὶν ἐξ αὐτῶν. πυθοῖ δὲ ἐν τοῖς ἀνδράσιν ἓξ καὶ μία ἐνταῦθα ἐν παισίν. ἀφίκετο δὲ καὶ ἕβδομον παλαίσων ἐς ὀλυμπίαν. ἀλλὰ γὰρ οὐκ ἐγένετο οἷός τε καταπαλαῖσαι τιμασίθεον πολίτην τε ὄντα αὐτοῦ καὶ ἡλικίᾳ νέον. λέγεται δὲ καὶ ὡς κομίσειεν αὐτὸς αὑτοῦ τὸν ἀνδριάντα ἐς ἄλτιν. λέγεται δὲ ἐς αὐτὸν καὶ τὰ ἐπὶ τῇ ῥοιᾷ καὶ ἐπὶ τῷ δίσκῳ. ῥοιὰν μὲν δὴ οὕτως εἶχε βιαζομένην, ὥστε αὐτὸς λυμήνασθαι πιέζων. ἑστάμενος δὲ ἐπὶ ἀληλιμμένῳ τῷ δίσκῳ γέλωτα ἐποιεῖτο τοὺς ἐμπίπτοντάς τε καὶ ὠθοῦντας ἀπὸ τοῦ δίσκου. ἀποθανεῖν δὲ ὑπὸ θηρίων φασὶν αὐτόν. ἐπιτυχεῖν γὰρ αὐτὸν ἐν τῇ κροτωνιάτιδι αὐαινομένῳ ξύλῳ. σφῆνες δὲ ἐγκείμενοι διίστασαν τὸ ξύλον. ὁ δὲ ὑπὸ φρονήματος ὁ μίλων. καθίησι τὰς χεῖρας ἐς τὸ ξύλον. ὀλισθαίνουσί τε δὴ οἱ σφῆνες. καὶ ἐχόμενος ὑπὸ τοῦ ξύλου λύκοις ἐγένετο εὕρημα, μάλιστα δέ πως τὸ θηρίον τοῦτο ἐν τῇ κροτωνιάτιδι πολύ τε νέμεται καὶ ἄφθονον. ταῦτα δέ φησι κατὰ λέξιν παυσανίας ἐν δευτέρῳ ἠλείων. Γυναικὸς οὐ δῆτα. τινὲς ἀπὸ τοῦ γυναικὸς ἀνθυποφορὰν ποιοῦσι. τινὲς δέ φασιν ὅλον τὸν ἡρακλέα λέγειν, λογιζόμενον τίνος ἐρᾷ ὁ διόνυ-

Τί γὰρ ἐγὼ οὐκ ἐναυμάχουν. πρὸς τοὺς χρόνους. ὅτι τῷ προτέρῳ ἔτει ἐπὶ ἀντιγένους ὅτε περὶ ἀργίνουσαν ἐνίκων ναυμαχίᾳ οἱ ἀθηναῖοι συμμαχούντων δούλων. προκακωθέντες ἄλλαις ναυμαχίαις, οὓς ἠλευθέρωσαν. πρὸς τοῦτο οὖν χαριεντιζόμενος λέγει, ὅτι εἰ γὰρ νεναυμαχήκειν καὶ ἀφειμένην ἐλεύθερος. ὡς τε οἰμώζειν ἂν ἐλεγόν σοι. ἡ δὲ ἀργίνουσα, πόλις τῆς αἰολίδος, ἀντικρὺς δὲ λέσβου κειμένη. καὶ μανίας καλουμένης ἄκρας. Κατάβα πανοῦργε. τὸ χ΄, ὅτι κατάβα φησί. πρὸς τοὺς ἀξιοῦντας, ὅτι καταβῆθι λέγεται μόνως. τὸ δὲ πανοῦργε, ἡμεῖς μὲν μετριώτερον φαμέν. ἀττικοὶ δὲ, ἐπὶ σφοδρᾶς ἀτιμίας. Ὡς κενταυρικῶς. πρῶτον μὲν ἕως τούτου ὑπακούων διονύσῳ λέγει ὁ ἡρακλῆς, ἐνήλαθ' ὅστις. εἶτα τὴν ὄψιν καταπλαγεὶς, τὸ μὲν ἀκόλουθον, οὐκ ἀνεπλήρωσεν, εἰπὼν ὅστις ἐστίν. ἀλλὰ θαυμάσας ἐπηρώτησε τίς εἴη. κενταυρικῶς δὲ, ἀντὶ τοῦ ἀκόσμως καὶ ὑβριστικῶς. ὅτι καὶ οἱ κένταυροι, ὑβρισταί. καὶ τοῦτο οἶδεν ἡρακλῆς ἐκ τῆς πρὸς αὐτοὺς μάχης γράφεται, ἀντὶ τοῦ μαλακῶς. εἰρωνεύεται γὰρ ἡρακλῆς. ὁ γὰρ Διόνυσος, μαλακὸς καὶ τρυφερός. Ὁ παῖς. ὁ διόνυσος νεύει πρὸς τὸν ξανθίαν. καὶ λέγει μειρακευόμενος ὡς δείσαντος αὐτὸν τοῦ ἡρακλέους. καθόλου γὰρ τοιοῦτον εἰσάγουσι τὸν διόνυσον καυχηματίαν.

ξα. οἴμοι κακοδαίμων. τί γὰρ ἐγὼ οὐκ ἐναυμάχουν.
ἦ τἄν σε κωκύειν ἂν ἐκέλευον μακρά.
δι. κατάβα πανοῦργε καὶ γὰρ ἐγγὺς τῆς θύρας
ἤδη βαδίζων εἰμὶ τῆς δ' οἷ πρῶτά με
ἔδει τραπέσθαι. παιδίον. παῖ. ἠμὶ παῖ.
ἡρ. τίς τὴν θύραν ἐπάταξεν. ὡς κενταυρικῶς
ἐνήλαθ' ὅστις. εἰπέ μοι. τουτὶ τί ἦν
δι. ὁ παῖς. ξα. τί ἐστιν. δι. οὐκ ἐνεθυμήθης; ξα. τὸ τί.
δι. ὡς σφόδρα μ' ἔδεισε. ξα. νὴ δία μὴ μαίνοιό γε.
ἡρ. οὔτοι μὰ τὴν δήμητρα δύναμαι μὴ γελᾶν.
καίτοι δάκνω γ' ἐμαυτὸν, ἀλλ' ὅμως γελῶ.
δι. ὦ δαιμόνιε πρόσελθε. δέομαι γάρ τί σου.
ἡρ. ἀλλ' οὐχ οἷός τ' εἰμ' ἀποσοβῆσαι τὸν γέλων,
ὁρῶν λεοντῆν ἐπὶ κροκωτῷ κειμένην.
τίς ὁ νοῦς. τί κόθορνος καὶ ῥόπαλον ξυνηλθέτην.

Μὴ μαίνοιό γε. δίδυμος ἀντὶ τοῦ μὴ μανείης. πιθανώτερον δὲ, ἀντὶ τοῦ ὑπέλαβέ σε μαίνεσθαι ὁ ἡρακλῆς. ἢ, οὕτως μὴ μανείης οὕτως, ὡς ὑπολαβεῖν σε τὸν ἡρακλέα φοβηθῆναι. Ἐπὶ κροκωτῷ. διονυσιακὸν φόρεμα. κροκωτὴν ἐφόρει λεοντῆν. ἵνα ᾖ, ὡς ἡρακλῆς. ἡρακλέους γὰρ φόρεμα ἡ λεοντῆ. κροκωτὴν δὲ, ἵνα ᾖ φοβερὸς ἡ κροκωτῷ γυναικείῳ ἐκ τῆς ἐνδύματι. Κόθορνος. ὅτι ὁ κόθορνος, εἰς ἀμφοτέρους τοὺς πόδας ἁρμόζει. ἔνθεν καὶ θηραμένης κόθορνος ἐλέγετο. ὅτι τοῖς καιροῖς καθομαλεῖν δύναται. οἱ δὲ, ὅτι ἀνδράσι καὶ γυναιξὶν ἁρμόττει. ὁ δὲ ξενοφῶν ἐν ἑλληνικοῖς, ἀμφοτέροις τοῖς ποσὶν ἁρμόζειν αὐτόν φησιν. ἐκπλήττεται διὸ ἡρακλῆς ὁρῶν τὴν ἄτοπον ταύτην σκευήν. καὶ ὅτι τὰ ἄμικτα ἔμιξεν. ὁ μὲν γὰρ κροκωτὸς καὶ ὁ κόθορνος γυναικεῖά ἐστιν. ἡ δὲ λεοντῆ καὶ τὸ ῥόπαλον ἀνδρῶα. Ἐπεβάτευον κλεισθένει. παίζει. λέγεται γὰρ καὶ ἐπὶ νεὼς τὸ ἐπιβατεύειν. καὶ ἐπὶ συνουσίας κατὰ μεταφορὰν τῶν ἀλόγων ζώων. ἃ ἐπιβαίνοντα. συνουσιάζει. κλεισθένης δὲ

ὁ συμβυστίου,

Φρύνιχος. Δίδυμός φησιν, ὅτι νῦν Φρυνίχου τοῦ κωμικοῦ μέμνηται. ὡς παρ' ἕκαστα ἐν ταῖς κωμῳδίαις φορτικευομένου. ἔστι δὲ πατρὸς Εὐνομίδου. κωμῳδεῖται δὲ ὡς ξένος. καὶ ἐπὶ φαυλότητι ποιημάτων. καὶ ὡς ἀλλότρια λέγων καὶ ὡς κακόμετρα. εἰσὶ δὲ καὶ ἄλλοι τρεῖς Φρύνιχοι. Φρύνιχος δὲ ὁ κωμικὸς οὐδὲν τούτων ἐποίησεν ἐν ταῖς σωζομέναις ἑαυτοῦ. εἰκὸς δὲ ἐν ταῖς ἀπολωλόσιν εἶναι αὐτοῦ τοιοῦτό τι. Λύκις. κωμῳδίας ποιητής. ὡς ψυχρὸς κωμῳδεῖται. λέγει δὲ αὐτὸν καὶ λύκον. οὗ οὐδὲν φέρεται.

ξα. τί δῆτ' ἔδει με ταῦτα τὰ σκεύη φέρειν,
εἴπερ ποιήσω μηδὲν, ὧνπερ Φρύνιχος
εἴωθε ποιεῖν. καὶ Λύκις, κἀμειψίας,
σκεύη φέρουσ' ἑκάστοτ' ἐν κωμῳδίᾳ.
δι. μή νυν ποιήσῃς. ὡς ἐγὼ θεώμενος
ὅταν τι τούτων τῶν σοφισμάτων ἴδω,
πλεῖν ἢ 'νιαυτῷ πρεσβύτερος ἀπέρχομαι.
ξα. ὢ τρισκακοδαίμων. ἄρ' ὁ τράχηλος οὑτοσὶ
ὅτι θλίβεται μὲν, τὸ δὲ γελοῖον οὐκ ἐρεῖ;
δι. εἶτ' οὐχ ὕβρις ταῦτ' ἐστὶ καὶ πολλὴ τρυφή;
ὅτ' ἐγὼ μὲν ὢν Διόνυσος υἱὸς σταμνίου,
αὐτὸς βαδίζω καὶ πονῶ. τοῦτον δ' ὀχῶ,
ἵνα μὴ ταλαιπωροῖτο. μηδ' ἄχθος φέροι;
ξα. οὐ γὰρ φέρω 'γώ; δι. πῶς φέρεις γὰρ, ὅς γ' ὀχεῖ;
ξα. φέρων γε ταυτί. δι. τίνα τρόπον. ξα. βαρέως πάνυ.
δι. οὔκουν τὸ βάρος τοῦθ' ὃ σὺ φέρεις, ὄνος φέρει;
ξα. οὐ δῆθ' ὅ γ' ἔχω 'γὼ καὶ φέρω. μὰ τὸν Δί' οὔ.
δι. πῶς γὰρ φέρεις. ὅς γ' αὐτὸς ὑφ' ἑτέρου φέρει,
ξα. οὐκ οἶδ'. ὁ δ' ὦμος οὑτοσὶ πιέζεται.
δι. σὺ δ' οὖν ἐπειδὴ τὸν ὄνον οὔ φῄς σ' ὠφελεῖν,
ἐν τῷ μέρει σὺ τὸν ὄνον ἀράμενος φέρε.

Ὁ δὲ νοῦς, εἴπερ ποιήσω μηδὲν ὧν οὗτοι εἰώθασι ποιεῖν τοῖς σκευοφοροῦσιν. ἵνα τὸ φέρουσι σημαίνῃ ἐπῶδιν ἐνεργητικήν. ἢ ἄλλως, γραφὴ τριχῶς. ἢ γράφεται σκευηφοροῦσιν. ἢ σκεύη φέρουσιν, ἢ σκευοφοροῦσιν. ἀντὶ τοῦ σκευοφόρους ἄνδρας ποιοῦσιν. ἔστι δὲ βεβιασμένος ὁ λόγος, εἴπερ ποιήσω μηδὲν. ὧν οὗτοι ποιοῦσι σκευηφοροῦντας, εἰσάγοντες, μετὰ πολλῶν. λείπει δὲ οὕτω, ὧν εἰώθασιν οὗτοι ποιεῖν τοῖς σκευοφόροις. Πλεῖν ἢ 'νιαυτῷ. παρὰ τὸ ὁμηρικόν. αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν. καὶ ἐν ὠμῷ γήραϊ θῆκε. διὰ τὴν ἀηδίαν οὖν γηράσκω φησίν. Ἄρ' ὁ τράχηλος οὑτοσί. ὁ ξανθίας ἀχθόμενος ἐφ' ᾧ βαστάζει φόρτῳ λέγει. Υἱὸς σταμνίου δέον εἰπεῖν υἱὸς Διὸς, υἱὸς σταμνίου εἶπε παρ' ὑπόνοιαν. ἐπειδὴ ὁ οἶνος ἐν σταμνίῳ βάλλεται. ὁ δὲ Διόνυσος εἰς τὸν οἶνον ἀλληγορεῖται. σταμνία δὲ καὶ στάμνους, τοὺς ἀμφορεῖς τοῦ οἴνου φασίν. ἔπαιξεν οὖν. ἐπεὶ ὁ κέραμος ἐν ἑαυτῷ βαστάζει τὸν οἶνον καὶ φέρει. Τοῦτον δ' ὀχῶ. ὀχεῖσθαι ποιῶ. ἐπὶ ὄνου γὰρ ἦν καθήμενος. νοεῖται δέ τι καὶ αἰσχρόν. ἀντὶ τοῦ ἐπιβαίνω αὐτόν. Οὐ δῆθ' ὅ γ' ἔχω 'γὼ καὶ φέρω. ἐπαίω γὰρ τοῦ ὄνου καθεζόμενος ὁ οἰκέτης, ἐβάσταζε τὸ ἀνάφορον. τινὲς δὲ εἰς τὸ φέρω δύο στιγμὰς ποιοῦσιν, ἀφαιροῦντες τοῦ μὰ τὸν Δί' οὔ, τὴν μίαν στιγμήν. Πιέζεται. καταπιέζεται. ὅμως καὶ αὐτὸς ἐπὶ τὸ πιέζομαι. Ἐν τῷ μέρει σὺ τὸν ὄνον. ἀντὶ τοῦ κατά τι μέρος. ἢ ἐν τῷ ἴσῳ μέρει κατὰ τὴν ἀμοιβὴν βάστασον τὸν ὄνον.

IC

ἈΡΙΣΤΟΦΆΝΟΥΣ ΒΑΤΡΑΧΟΙ.

Ξανθίας ὁ προλογίζων.

εἰ

Ἔ⟨ι⟩πω τι τῶν εἰωθότων. ἀντὶ τοῦ τῶν εἰθισμένων. μετοχὴ ἀντὶ τοῦ ὀνόματος. καὶ ὅμηρος· τὸν δ᾽ αὖ τηλέμαχος πεπνυμένος. ἀντὶ τοῦ πινυτός. ὁ ξανθίας δὲ ἐπὶ ὄνου παράγεται καθεζόμενος ἔχων ἐπὶ τῶν ὤμων ἀνάφορον, ὅπου ἦν τὰ στρώματα γελοίου χάριν. διὸ καὶ ἀστεῖόν τι λέξαι βουλόμενος, ὑπὸ διονύσου κωλύεται. εὐθὺς δὲ ἐν τῇ εἰσβολῇ διαβάλλει τούς τε κωμῳδοὺς ὡς γελοίοις χρωμένους καὶ παρατρέποντας τοὺς θεατὰς ἀπὸ τῆς ἀκριβείας. Νὴ δί᾽ ὅ τι βούλει γε. ἴδιον αὐτοῦ τὸ, εἰς ταῦτα ὀλισθαίνειν ὡς καὶ ἐν θεσμοφοριαζούσαις θεράπων φησίν. ὡς δή γε τοῦτο τοὔργον, οὐ δύναμαι σχολὴν φέρειν τοσαῦτα. καὶ τὸν ὦμον θλίβομαι. ἐνταῦθα δέ φησιν ὅτι οὐ δύναμαι ἀνέχεσθαι τοῦ θλίβομαι λεγομένου. Πάνυ γάρ ἐστ᾽ ἤδη χολή. ἀντὶ τοῦ πολύ. τὸ δὲ πολὺ καὶ ἡ γλυκὺ πονηρόν ἐστιν. Ἄλλως. ὥσπερ εἰ ἔλεγε ναυτία, διὰ τὸ πολλὴν γίνεσθαι τὴν παιδιὰν ταύτην συνεχῶς γὰρ εἰσῆγον οἱ τὰ τοιαῦτα λέγοντες.

Εἴπω τι τῶν εἰωθότων ὦ δέσποτα,
ἐφ᾽ οἷς ἀεὶ γελῶσιν οἱ θεώμενοι;
Δι. Νὴ τὸν δί᾽ ὅ τι βούλει γε, πλὴν πιέζομαι·
τοῦτο δὲ φύλαξαι· πάνυ γάρ ἐστ᾽ ἤδη χολή.
Ξα. μηδ᾽ ἕτερον ἀστεῖόν τι. Δι. πλήν γ᾽ ὡς θλίβομαι.
Ξα. τί δαί; τὸ πάνυ γέλοιον εἴπω; Δι. νὴ Δία.
θαρρῶν γ᾽· ἐκεῖνο μόνον ὅπως μὴ ᾽ρεῖς. Ξα. τὸ τί;
Δι. μεταβαλλόμενος τἀνάφορον, ὅτι χεζητιᾷς.
Ξα. μηδ᾽ ὅτι τοσοῦτον ἄχθος ἐπ᾽ ἐμαυτῷ φέρων,
εἰ μὴ καθαιρήσει τις, ἀποπαρδήσομαι;
Δι. μὴ δῆθ᾽ ἱκετεύω, πλήν γ᾽ ὅταν μέλλω ᾽ξεμεῖν.

Γέλοιον. ἀττικῶς γελοῖον δὲ κοινόν. ἡ δὲ σημασία ἡ αὐτή. Μεταβαλλόμενος μεταφορῶν ἀποτιθεὶς ἀπὸ ὤμου εἰς ὦμον. τἀνάφορον δὲ ξύλον ἀμφίκοιλον ἐν ᾧ τὰ φορτία ἐξαρτήσαντες οἱ ἐργάται βαστάζουσι. Μὴ δ᾽ ὅτι τοσοῦτον. μὴ οὕτω πονήσαιμι καίτοι ἄχθος τοσοῦτον φέρων. Ἀποπαρδήσομαι. εἰς τὸ αὐτὸ κατήντησεν ὡς δῆθεν ἄκων. Πλήν γ᾽ ὅταν μέλλω ᾽ξεμεῖν. οἷον, εἰ ὅλως λέγεις, τὸ τι φησὶ λέγε ἂν θέλῃς ἀποτηρήσας, ὅτι μέλλω ᾽ξεμεῖν. ἕτοιμα γὰρ ἐξεμέσαιμι ἂν εἴπῃς.

Ἡ ἔνθεσις τοῦ δράματος εὐθὺς ἐξ ἀμοιβαίων προσώπων ἄρχεται. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι σζʹ. ὧν τελευταῖος βατράχων, κύκνων, θαύματα κατακέλευε δή.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

Ξανθίας. ὃς προλογίζει τῷ ἀναφόρῳ τὸν ὦμον θλιβόμενος. Διόνυσος.
Ἡρακλῆς. Νεκρός. Χάρων. Χορὸς βατράχων.
Ἱερεύς. Χορὸς μυστῶν. Αἰακός. Θεράπαινα περσεφόνης.
Πανδοκεύτρια. Ἑτέρα πανδοκεύτρια. Πλαθάνη. Οἰκέτης πλούτωνος.
Εὐριπίδης. Αἰσχύλος. Πλούτων.

δίκην βατράχων βοῶσι θορυβωδέστατα, τὸ τοιοῦτον ὁ ποιητὴς δρᾶμα ἐξέθετο· διασκευὴ δὲ καὶ ἔκθεσις τοιάδε, τοῦ δράματος. Πλάττεται τῷ ποιητῇ δυσφορῶν ὁ Διόνυσος διὰ τὸ ἐν τοῖς Διονυσίοις μὴ εἶναι τραγικὸν ἢ κωμικὸν δεξιὸν ποιητήν· ὅθεν καὶ βουληθεὶς κατιέναι εἰς ᾅδου ὡς εὐριπίδην ἐκεῖθεν ἀνάξειεν, ἐπὶ διονυσιακοῖς τοῖς κοθόρνοις, καὶ λεοντὴν καὶ ῥόπαλον ἔχων τρόπῳ τοῦ ἡρακλέους μετὰ ξανθίου οἰκέτου ὄνῳ ἐποχουμένου, τοῖς ὤμοις δὲ ἀνάφορον φέροντος, ὃ ἄλλα κτὸν δημωδεστέρως καλεῖται, εἰς θήβας ἢ τίρυνθα πόλιν τοῦ ἄργους, ἀφικνεῖται πρὸς ἡρακλέα, ὁδοὺς τὰς εἰς ᾅδου χρήζων μαθεῖν ἐξ αὐτοῦ. καὶ πανδοχεῖα καὶ ἐκτροπὰς ἅτε τοῦ ἡρακλέους εἰς ᾅδου πρὶν κατελθόντος ἐπ' ἀναγωγῇ τοῦ κερβέρου. εἰ καὶ δυσὶ γενεαῖς προγενέστερος ἦν ἡρακλέους ὁ διόνυσος. παρ' οὗ μαθὼν ὅσων ἔχρῃζεν ἀπάρχεται τῆς πορείας. παρὰ τὴν λίμνην δὲ πεφθακὼς τὴν ἀχερουσίαν, αὐτὸς μὲν ὁ διόνυσος δυσὶν ὀβολοῖς περαιοῦται τῷ χάρωνι. ξανθίας δ' αὖθ' ὢν τῇ περὶ ἀργινούσας οὐκ ἐναυμάχησε ναυμαχίᾳ τῷ χάρωνι μὴ ἀναληφθεὶς, πεζῇ τὴν λίμνην κύκλῳ περιέρχεται. καὶ τί δεῖ λεπτολογεῖν τὸ πᾶν τοῦ συγγράμματος, τέλος διόνυσος ξενίζεται περσεφόνῃ καὶ πλούτωνι καὶ κρίσιν ποιησάμενος ποιητῶν, εὐριπίδου καὶ αἰσχύλου, καὶ ἄριστον τῷ ὄντι αἰσχύλον νομίσας καὶ παρὰ προσδοκίαν τοῦτον λαβὼν ἀλλ' οὐκ εὐριπίδην αὖθις ἐς τοὺς ζῶντας ἀνέρχεται.

ΒΑΤΡΑΧΩΝ ΥΡΟΘΕΣΙΣ ΔΙΑ ΣΤΟΙΧΩΝ.

Μαθὼν παρ' Ἡρακλέους Διόνυσος τὴν ὁδόν,
Ρρὸς τοὺς κατοιχομένους πορεύεται· λαβὼν·
Τὸ δέρμα καὶ τὴν σκυτάλην· ἀνάγειν θέλων·
Ευριπίδην· λίμνην δὲ διέβαινε κάτω.
Καὶ τῶν βατράχων ἀνέκραγεν εὔφημος χορός.
Ἔπειτα μυστῶν ἐκδοχή· πλούτων δ' ἰδὼν,
Ως Ἡρακλεῖ προσέκοψε διὰ τὸν κέρβερον.
Ως δ' ἀνεφάνη, τίθεται τραγῳδίας ἀγών·
Καὶ δὴ στεφανοῦται γ' αἰσχύλος. τοῦτον δ' ἄγει
Διόνυσος εἰς φῶς. οὐ μὰ δία γ' εὐριπίδην.

ΤΕΛΟΣ ΤΗΣ ΒΑΤΡΑΧΩΝ
ΥΡΟΘΕΣΕΩΣ.

προσδιηκημένων ὑπὸ Ἡρακλέους προσαπολεκομένων τῷ Διονύσῳ διὰ τὴν ἐκ τῆς σκευῆς ἄγνοιαν, μέχρι μέν τινος οὐκ ἀγελοίως χειμάζονται. εἶτα μέντοι γε πρὸς Πλούτωνα καὶ τὴν Περσέφασσαν παρελθόντες, ἀλεωρῆς τυγχάνουσιν. ἐν τοσούτῳ δὲ, ὁ μὲν τῶν μυστῶν χορὸς, περὶ τοῦ τὴν πολιτείαν ἐξελάται καὶ τοὺς ἀτίμους ἐντίμους ποιῆσαι. χ' ἑτέρων τινῶν, πρὸς τὴν Ἀθηναίων διαλέγεται πόλιν. τὰ δὲ λοιπὰ τοῦ δράματος, μονόκωλον, ἄλλως δὲ τερπνὴν καὶ φιλόλογον λαμβάνει σύστασιν. παρεισάγεται γὰρ Αἰσχύλος Εὐριπίδῃ περὶ τῆς τραγῳδίας διαλεγόμενος, τὸ μὲν ἔμπροσθεν, Αἰσχύλου τὸ πρωτεῖον παρὰ τῷ ᾅδῃ ἔχοντος. καὶ τοῦ τραγῳδικοῦ θρόνου. τότε δὲ Εὐριπίδου τῆς τιμῆς ἀντιποιησαμένου. συστήσαντος δὲ τοῦ Πλούτωνος τὸν Διόνυσον αὐτοῖς ἀκροατὴν, ἑκάτερος αὐτῶν, λόγους ποιεῖται πολλούς. καὶ τέλος πάντα ἔλεγχον καὶ πᾶσαν βάσανον οὐκ ἀπιθάνως ἑκατέρου κατὰ τῆς θατέρου ποιήσεως προσαγαγόντος, κρίνας παρὰ προσδοκίαν Διόνυσος Αἰσχύλον νικᾶν, ἔχων αὐτὸν, ὡς τοὺς ζῶντας ἀνέρχεται. Τὸ δὲ δρᾶμα, τῶν εὖ καὶ φιλοπόνως πάνυ πεποιημένων. ἐδιδάχθη ἐπὶ Καλλίου ἄρχοντος τοῦ μετὰ Ἀντιγένη, ἐπὶ Ληναίῳ. Φιλωνίδης ἐπεγράφη καὶ ἐνίκα. Φρύνιχος δὲ δεύτερος, Μούσαις. Πλάτων τρίτος Κλεοφῶντι. οὕτω δὲ ἐθαυμάσθη τὸ δρᾶμα διὰ τὴν ἐν αὐτῷ παράβασιν, ὥστε καὶ ἀνεδιδάχθη ὥς φησι Δικαίαρχος. οὐ δεδήλωται μὲν ὅπου ἐστὶν ἡ σκηνή. εὐλογώτατον δ' ἐν Θήβαις. καὶ γὰρ ὁ Διόνυσος ἐκεῖθεν. καὶ πρὸς τὸν Ἡρακλέα ἀφικνεῖται Θηβαῖον ὄντα.

ΣΚΟΠΟ'Σ ΤΟΥ͂ ΠΑΡΟ'ΝΤΟΣ ΔΡΑ'ΜΑΤΟΣ.

Ὁ παρὼν ποιητὴς ὡς ἐν τῷ δράματι Πλούτου τῷ τότε τῶν Ἀθηνῶν ἄρχοντι ὅπως δή ποτε χαριζόμενος τότε τὸν Πλοῦτον ἀναβλέψαι φησὶ καὶ πλουτῆσαι τοὺς ἀγαθούς. τῶν Νεφελῶν δὲ τὸ δρᾶμα τῷ φαινομένῳ γράψας κατὰ Σωκράτους, κατὰ παντὸς συνετάξατο φιλοσόφου μετεωρολόγου καὶ φυσικοῦ. Σωκράτης γὰρ μετερχόμενος τὴν ἠθικὴν φιλοσοφίαν κατεγέλα μετεωρολογίας, καὶ φυσικῆς ὡς γράφει Ξενοφῶν ἐν τοῖς ἀπομνημονεύμασι. θεολογίας δὲ ὡς ἀκαταλήπτου πάντη ἀπείχετο. ὡς οὖν τὸ δρᾶμα τοῦ Πλούτου ὑπὲρ τοῦ τότε ἄρχοντος Ἀθηνῶν ἀσυμφανῶς ξυνετάξατο. κατὰ παντὸς δὲ φιλοσόφου μετεωρολέσχου καὶ ψευδοτί που τὸ δρᾶμα τῶν Νεφελῶν, οὕτω καὶ τήνδε τὴν κωμῳδίαν τῶν Βατράχων κατὰ ὑποψύχρου καὶ ὑποξύλου, καὶ ἀφυοῦς καὶ ἀτεχνότατα γράφοντος. τῷ μεμηνέναι δὲ οὐ συνιέντος αὐτὸν ὄντα βάρβαρον. οἰομένου δὲ μὴ μόνον ἰσοῦσθαι ἀλλὰ καὶ τὰ κρείττονα φέρεσθαι τινῶν ἀθερίων ἀνθρώπων. ὡς τῷ ὑπερφυεῖ Ὁμήρῳ τις ἀνώνυμος ἤριζε σάτυρος. Ἡσιόδῳ δὲ Κέρκωψ. ἢ τὸ πλέον εἰπεῖν, Εὔρυτος μὲν τοξικῇ. Μαρσύας δὲ μουσικῇ τῷ Ἀπόλλωνι. σειρῆνες δὲ Μούσαις καὶ Θάμυρις ὁ μαινόμενος ἢ ὡς Αἰγύπτιος Σῶφις. καὶ ὁ Θετταλὸς Σαλμωνεὺς ταῖς οὐρανίαις ἀντιπαταγοῦντες βρονταῖς καὶ τοῖς κεραυνοῖς, ὅθεν ἀντιπαραστράπτοντες κατὰ τοιούτου παντὸς μὴ συνιέντος αὐτόν. ἐξομνυμένου δὲ φιληταῖς ἀλογίστοις καθάρμασι

ΘΟΜΑ ΤΟΥ ΜΑΓΙΣΤΡΟΥ, ΒΑΤΡΑΧΩΝ ΥΠΟΘΕΣΙΣ.

Διόνυσος Εὐριπίδου πόθῳ ληφθεὶς, καὶ οὐχ οἷός τ' ὢν ἄλλως θεραπεῦσαι τὸν ἔρωτα, εἰς ᾅδου καταπλεῖν ἐβουλήθη, ὅπως ἐκεῖ τούτῳ ἐντύχῃ. ἐπεὶ δὲ τῆς ὁδοῦ ἄπειρος ἦν, ἔγνω δεῖν εἰς Ἡρακλέα πρότερον ἐλθεῖν. οὗτος γὰρ πάλαι κελεύσαντος Εὐρυσθέως, Κερβέρου χάριν εἰς ᾅδου κατῄει. ἐλθὼν δὲ καὶ πυθόμενος περὶ τῆς ὁδοῦ, ἤκουσε παρ' αὐτοῦ ὅπως ἄρα δεῖ καταπλεῖν. χαριεντισαμένου πρὸς αὐτὸν πρότερον. Διόνυσος δὲ καὶ πρὶν ἀπαντῆσαι πρὸς Ἡρακλέα, κατ' αὐτὸν ἐσκευάσθη. λεοντῆν ἐνδεδυμένος καὶ ῥόπαλον φέρων. ὡς οὖν ἤκουσε παρ' Ἡρακλέους περὶ τῆς ὁδοῦ, μεθ' ἑαυτοῦ δοῦλόν τινα ἔχων Ξανθίαν, ἐχώρει πρὸς ᾅδην. καὶ πρῶτον μὲν ἐντυγχάνει τῇ Ἀχερουσίᾳ λίμνῃ. καὶ ὁρᾷ ἐν αὐτῇ τὸν Χάροντα μετὰ σκάφους. δι' οὗ, τοὺς τεθνεῶτας εἰς ᾅδου ἐπέρα. καὶ ὁ μὲν Ξανθίας οὐκ ἐπέβη τοῦ σκάφους, διὰ τὸ μὴ τὴν ἐν Ἀργινούσαις ναυμαχῆσαι μάχην. πεζῇ δὲ περιῄει τὴν λίμνην. Διόνυσος δὲ ἐμβὰς καὶ τῶν ἐν αὐτῇ βατράχων ἀκούσας μέλη παρὰ τὸν πλοῦν, διαπεραιοῦται. καὶ αὖθις Ξανθίᾳ συγγίνεται. καὶ σὺν αὐτῷ πάλιν ἁψάμενος τῆς ὁδοῦ, εὑρίσκει ἃ Ἡρακλῆς αὐτῷ προειρήκει, δυσχερῆ τινα θεάματα. καὶ τοὺς μύστας παρ' αὐτὰς τὰς πύλας τοῦ ᾅδου χορεύοντας. εἶτα ὡς Ἡρακλῆς εἰσελθὼν, καὶ μεταξὺ πολλῶν τούτῳ συμβάντων, παραγίνεται πρὸς Πλούτωνα. οὐχ ἵν' Εὐριπίδην ἀναγάγῃ, ἀλλ' ἵν' ἀγωνισαμένων Αἰσχύλου καὶ Εὐριπίδου, ὅστις τούτων ἄριστος τὰ εἰς τέχνην φανείη, τοῦτον αὐτὸς εἰληφὼς, ἀνενέγκῃ πρὸς βίον. τούτου δὲ γενομένου καὶ κρείττονος ἀναφανέντος Αἰσχύλου, Διόνυσος τοῦτον λαβὼν, ἀνῆλθε. Τὸ δὲ δρᾶμα τῶν εὖ καὶ φιλοπόνως πάνυ πεποιημένων. ἐδιδάχθη δὲ ἐπὶ Καλλίου ἄρχοντος τοῦ μετὰ Ἀντιγένη. οὕτω δὲ ἐθαυμάσθη διὰ τὴν ἐν αὐτῷ παράβασιν. καθ' ἣν διαλλάττει τοὺς ἐντίμους τοῖς ἀτίμοις, καὶ τοὺς πολίτας τοῖς φυγάσιν, ὥστε καὶ ἀνεδιδάχθη ὥς φησι Δικαίαρχος.

ΑΛΛΩΣ.

Διόνυσός ἐστι μετὰ θεράποντος Ξανθίου δι' Εὐριπίδου πόθον, εἰς ᾅδην κατιών. ἔχει δὲ λεοντῆν καὶ ῥόπαλον. πρὸς τὸ, τοῖς ἐντυγχάνουσιν ἔκπληξιν παρέχειν. ἐλθὼν δὲ ὡς τὸν Ἡρακλέα πρότερον ἵνα ἐξετάσῃ τὰ κατὰ τὰς ὁδοὺς, δι' ὧν καὶ αὐτὸς ἐποίησε τὴν πορείαν πρὸς τὸν Κέρβερον ᾤχετο. καὶ ὀλίγα περὶ τῶν τραγικῶν διαλεχθεὶς, ὁρμᾷ πρὸς τὸ προκείμενον. ἐπεὶ δὲ πρὸς τῇ Ἀχερουσίᾳ λίμνῃ γίνεται, ὁ μὲν Ξανθίας διὰ τὸ μὴ συννεναυμαχηκέναι εἰς τὴν περὶ Ἀργινούσας ναυμαχίαν, ὑπὸ τοῦ Χάρωνος οὐκ ἀναληφθεὶς, πεζῇ τὴν λίμνην κύκλῳ διέρχεται. ὁ δὲ Διόνυσος δοὺς διώβολον περᾷ. προσπαίζων ἅμα τοῖς κατὰ τὸν πόρον ᾄδουσι βατράχοις καὶ γελωτοποιῶν. μετὰ ταῦτα ἐν ᾅδου, τῶν πραγμάτων ἤδη χειριζομένων, οἵ τε μύσται χορεύοντες ἐν τῷ προφανεῖ καὶ τὸν Ἴακχον ᾄδοντες ἐν χοροῦ σχήματι καθορῶνται. ὅ, τε Διόνυσος μετὰ τοῦ θεράποντος, εἰς ταυτὸν ἔρχεται τούτοις. τῶν δὲ

μηδέ μ᾽ ἐπιτρίψῃς ἀλλὰ συγγνώμην ἔχε
ἐμοῦ παρανοήσαντος ἀδολεσχίᾳ.
καί μοι γενοῦ ξύμβουλος. εἴτ᾽ αὐτοὺς γραφὴν
διωκάθω γραψάμενος, εἴθ᾽ ὅ, τι σοι δοκεῖ.
ὀρθῶς παραινεῖς, οὐκ ἐῶν δικορραφεῖν.
ἀλλ᾽ ὡς τάχιστ᾽ ἐμπιπράναι τὴν οἰκίαν
τῶν ἀδολεσχῶν. δεῦρο δεῦρ᾽ ὦ ξανθία.
κλίμακα λαβὼν, ἔξελθε. καὶ σμινύην φέρων.
κἄπειτ᾽ ἐπαναβὰς ἐπὶ τὸ φροντιστήριον,
ἕως ἂν αὐτοῖς ἐμβάλῃς τὴν οἰκίαν,
τὸ τέγος κατάσκαπτ᾽ εἰ φιλεῖς τὸν δεσπότην.
ἐμοὶ δὲ δᾷδ᾽ ἐνεγκάτω τις ἡμμένην.
κἀγώ τιν᾽ αὐτῶν τήμερον δοῦναι δίκην
ἐμοὶ ποιήσω, κἂν σφόδρ᾽ εἰσ᾽ ἀλαζόνες.
μα. ἰοὺ ἰού.
στρ. σὸν ἔργον ὦ δᾲς, ἱέναι πολλὴν φλόγα.
μα. ἄνθρωπε τί ποιεῖς; στρ. ὅ, τι ποιῶ, τί δ᾽ ἄλλο γ᾽ ἢ,
διαλεπτολογοῦμαι ταῖς δοκοῖς τῆς οἰκίας.
μα. οἴμοι. τίς ἡμῶν πυρπολεῖ τὴν οἰκίαν.
στρ. ἐκεῖνος οὗπερ θοἰμάτιον εἰλήφατε.
μα. ἀπολεῖς. ἀπολεῖς. στρ. τοῦτ᾽ αὐτὸ γὰρ καὶ βούλομαι.
ἢν ἡ σμινύη μοι μὴ προδῷ τὰς ἐλπίδας.
ἢ 'γὼ πρότερόν πως ἐκτραχηλισθῶ πεσών.
σω. οὗτος τί ποιεῖς ἐτεόν; οὑπὶ τοῦ τέγους
στρ. ἀεροβατῶ καὶ περιφρονῶ τὸν ἥλιον.
σω. οἴμοι τάλας. δείλαιος ἀποπνιγήσομαι.
στρ. τί γὰρ μαθὼν ὑβρίζετόν γ᾽ εἰς τοὺς θεούς.
χαι. ἐγὼ δὲ κακοδαίμων γε κατακαυθήσομαι.
στρ. καὶ τῆς σελήνης ἐσκοπεῖσθε τὴν ἕδραν.
δίωκε. βάλλε. παῖε. πολλῶν οὕνεκα.
μάλιστα δ᾽ εἰδὼς τοὺς θεοὺς ὡς ἠδίκουν.
χο. ἡγεῖσθ᾽ ἔξω. κεχόρευται γὰρ μετρίως τό γε τήμερον ἡμῖν.

ἐλθεῖν αὐτοῖς εἰς βοήθειαν. ᾤοντο γὰρ διὰ τὸ μὴ πεπυκέναι αὐτῷ ὡς ἐφόρῳ κλεπτικῆς ὄντι, εἰς ταῦτα περιπεσεῖν τὰ δεινά.

Παρανοήσαντος. ἀντὶ τοῦ ἀνοητήσαντος παρὰ τὸ πρέπον καὶ πεισθέντος. ἀδολεσχία δὲ ἡ τῶν ἀνδρῶν ὁμιλία.

Τῆς σελήνης τὴν ἕδραν. ἀντὶ τοῦ τὰς κινήσεις τῆς σελήνης. ἕδραν δὲ εἶπεν εἰς τὸ αἰσχρὸν ἀποτείνων τὸν λόγον. τὴν ἀποφορὰν ἀπὸ τίνος ὀχεῖται καὶ διὰ τί καὶ πῶς μένει.

Δίωκε. ὡς τῶν φιλοσόφων φευγόντων διὰ τὸ πῦρ. τὸ δὲ ὡς ἠδίκουν, γράφεται καὶ οὓς ἠδίκουν.

Τό γε τήμερον. ἀντὶ τοῦ τήμερον ἄρχεται ἐχθὲς ἡμέρα. ὡς ἀπὸ τοῦ ποιητοῦ δὲ ὁ λόγος τέλος.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΝΕΦΕΛΩΝ ΤΕΛΟΣ.

92. a

Τ Ταυτὶ δι' ὑμᾶς. ἐν ἐκθέσει ἴαμβοι τρίμετροι ἀκατάληκτοι μα΄. ὧν τελευταῖος, ἐμοὶ πονήσω κεἰ σφόδρ' εἴσ' ἀλαζόνες. εἶτα ἀναφώνημα τὸ ἰοὺ ἰού. καὶ πάλιν ἴαμβοι ιε΄. καὶ τελευταῖον τοῦ δράματος ἀναπαιστικὸν τετράμετρον καταληκτικόν. ἐφ' ᾧ κορωνὶς ἡ καὶ τὸ δρᾶμα ἀποσφραγίζουσα. Ὦ φίλτατε. λείπει τὸ υἱὲ ἢ παῖ. τοῦτο γὰρ ἀπογράφεται. πρὸς γὰρ τὸν υἱὸν μετῆλθε. Πατρῷον δία. πατρῷος Ζεὺς καὶ Ἀπόλλων ἐν Ἀθήναις τιμῶνται, ὁ Ζεὺς μὲν μετὰ τὴν ἐν Ἀρκαδίᾳ, ἢ ὡς ἕτεροι μετὰ τὴν ἐν Κρήτῃ ἀνατροφήν, ὅτε πρῶτον ταῖς Ἀθήναις ἐπέστη καὶ ἐφάνη τοῖς πατράσιν αὐτῶν. οἵτινες τῇ τῇ προσηγορίᾳ τετιμήκασιν αὐτόν. Ἀπόλλων δὲ ὅτι Ἐρεχθέως θυγατέρα ἔγημε τὴν Κρέουσαν. ἐξ ἧς γίνεται ὁ Ἴων. ὡς πρόγονον οὖν αὐτὸν ἐτίμων καὶ οἱ ἄρχοντες ὅτε ἐχειροτονοῦντο. ἐκ γὰρ τοῦ μὴ ἀεὶ εἶναι ξένους αὐτοὺς ἐνόμιζον. ἄλλως. οὕτω τιμᾶται παρ' Ἀθηναίοις Ζεὺς πατρῷος καὶ Ἀπόλλων. διὰ τὸ πρώτους ὑποδέξασθαι τὼ θεὼ εἰς τὴν χώραν. καὶ θυσίας οὖν τελέσαι κατὰ φρήτρας καὶ δήμους καὶ συγγενείας μόνους Ἑλλήνων. Ἰδού γε δία. ἐξ ὧν ὁ πατὴρ ἐπελάβετο αὐτοῦ ἀνωτέρω, ἐκ τούτων καὶ αὐτὸς πειρᾶται τοῦ πατρὸς λαμβάνεσθαι. Διὰ τουτονὶ τὸν δῖνον. ὡς ἀγάλματος δίνου ὄντος ἐν τῇ διατριβῇ Σωκράτους ὀστρακίνου.

ταυτὶ δι' ὑμᾶς ὦ νεφέλαι πέπονθ' ἐγώ.
ὑμῖν ἀναθεὶς ἅπαντα τἀμὰ πράγματα.

Χο. αὐτὸς μὲν οὖν σαυτῷ σὺ τούτων αἴτιος,
στρέψας σεαυτὸν ἐς πονηρὰ πράγματα.

Στρ. τί δῆτα ταῦτά γ' οὔ μοι τότ' ἠγορεύετε,
ἀλλ' ἄνδρ' ἄγροικον καὶ γέροντ' ἐπήρετε.

Χο. ἀεὶ ποιοῦμεν ταῦθ' ἑκάστοθ' ὅταν τινὰ
γνῶμεν πονηρῶν ὄντ' ἐραστὴν πραγμάτων;
ἕως ἂν αὐτὸν ἐμβάλωμεν ἐς κακόν.
ὅπως ἂν εἰδῇ τοὺς θεοὺς δεδοικέναι.

Στρ. οἴμοι. πονηρά γ' ὦ νεφέλαι δίκαια δέ.
οὐ γάρ μ' ἐχρῆν τὰ χρήμαθ' ἁδανεισάμην,
ἀποστερεῖν. νῦν οὖν ὅπως ὦ φίλτατε,
τὸν Χαιρεφῶντα τὸν μιαρὸν καὶ Σωκράτη.
ἀπολεῖς μετ' ἐμοῦ γ' ἐλθὼν οἵ σε κἄμ' ἐξηπάτων.

Φε. ἀλλ' οὐκ ἂν ἀδικήσαιμι τοὺς διδασκάλους.

Στρ. ναὶ ναί. καταιδέσθητι πατρῷον δία.

Φε. ἰδού γε δία πατρῷον. ὡς ἀρχαῖος εἶ.
Ζεὺς γάρ τις ἐστίν; Στρ. ἐστίν. Φε. οὐκ ἔστ' ἐπεὶ
Δῖνος βασιλεύει τὸν Δί' ἐξεληλακώς.

Στρ. οὐκ ἐξελήλακ' ἀλλ' ἐγὼ τοῦτ' ᾠόμην,
διὰ τουτονὶ τὸν δῖνον οἴμοι δείλαιος.
ὅτι καὶ σὲ χυτρεοῦν ὄντα θεὸν ἡγησάμην.

Φε. ἐνταῦθα σαυτῷ παραφρόνει καὶ φληνάφα.

Στρ. οἴμοι παρανοίας ὡς ἐμαινόμην ἄρα.
ὅτ' ἐξέβαλον καὶ τοὺς θεοὺς διὰ Σωκράτη.
ἀλλ' ὦ φίλ' Ἑρμῆ. μηδαμῶς θύμαινέ μοι.

Χ Χυτρεοῦν. τὸ ἐν τῷ φροντιστηρίῳ μηχάνημα ὀστράκινον ὂν περιφερὲς ὡς χύτραν ὠνόμασε δῖνον. καὶ ὄνομα αὐτῷ ἔθετο χυτρεοῦν. τοῦτ' ἔστι μάταιον. εὐτελές. χύτρας ἄξιον. ὡς ὀστρακίνου ἀγάλματος ὄντος πρὸ τῆς διατριβῆς. Ὅτ' ἐξέβαλον. ταῦτα εἰς διαβολὴν Σωκράτους, ἐκβαλόντος τὰ δαιμόνια. Ἀλλ' ὦ φίλ' Ἑρμῆ. τοῦτο οἱ κλέπται πρὸς τὸν Ἑρμῆν ἔλεγον ὅτε ἁλισκόμενοι ἐκολάζοντο. ἀπολούμενοι αὐτόν

λαιούς. ἧττον, ἀντὶ τοῦ οὐδαμῶς. τοῦτο οὕτως ἔχει. ἢ ὡς γὰρ ἐν τῷ πρώτῳ τὸ ἧττον πρὸς τὸ ἔπειθε συνήψαμεν, οὕτω καὶ πρὸς τὸ λέγων συναπτέον οὕτω. καὶ λέγων ἧττον καὶ ἔλαττον ἢ ἐγὼ νῦν, ἔπειθε τοὺς παλαιούς. Συγκεκόφθαι. τυφθῆναι ἡμᾶς. κατακοπῆναι ταῖς μάστιξι. Πλὴν ὅτι ψηφίσματα. ἀντὶ τοῦ δικαστήρια οὐκ ἄγουσιν. εἰς δὲ τὸ φιλόδικον τῶν ἀθηναίων αἰνίττεται. Σωκράτει δοκοίη. ἀπορήσας λύσεως ἐπὶ τὴν τοῦ σωκράτους δόκησιν ἀνάγει τὴν ἀτοπίαν οὖσαν. τὰ δὲ πρόσωπα οὕτως· ἀπὸ τοῦ οὐ ταὐτὸν ἕως τοῦ οὐ ταῦτα τοῦ νέου ἐστίν. ἵνα ἡ τοῦ πρεσβύτου τὸ πρὸς ταῦτα τουτέστιν ἅ σοι νῦν περὶ τῶν ἀλεκτρυόνων εἶπον. τὸ καὶ πῶς τοῦ φειδιππίδου λέγοντος. ἐν δέ τισι γονέος τοῦ οὐ ταὐτόν. καὶ ἑξῆς στίχον εὕρηται λέγων τὰ δ' ἑξῆς μέχρι τοῦ ἢν δὲ μὴ γένηται, στρεψιάδης. διὸ καὶ πῶς ἐμαυτὸν αἰτιάσομαι. ἔξεστι γάρ μοι τύπτειν σε. ὡς γὰρ καὶ σοὶ ἐὰν ἔχῃς υἱόν. Ἐμοὶ μὲν, τοὺς τρεῖς τοὺς ἑξῆς ὁ πρεσβύτης πρὸς τοὺς θεατάς. ἐπιεικῆ γάρ, ὅμοια πρέποντα κατὰ τὸ προσῆκον καὶ ἀκόλουθον. συγχωρεῖν τοῖς ἐπιεικέσι συγχωρεῖν αὐτοῖς. Τοὔθ' ἕτερον αὖ. ἔκθεσις τῆς διπλῆς ἐκ κώλων ἰαμβικῶν ὀκτώ· ὧν τὸ πρῶτον δίμετρον ἀκατάληκτον, τὸ β'. δίμετρον καταληκτικόν. ἤτοι ἑφθημιμερές. τὰ ἑξῆς τρία ὅμοια τῷ πρώτῳ, τὸ ἕκτον τρίμετρον ἀκατάληκτον. τὸ ἕβδομον δίμετρον ἀκατάληκτον. τὸ τελευταῖον, τῷ πρώτῳ ὅμοιον. ἄλλως. διπλῆ καὶ μέλος ἀμοιβαῖον οὗ ἡ ἀρχὴ τοὔθ' ἕτερον αὖ μεῖζον. τέλος δὲ, καὶ τὸν λόγον τὸν ἥττω. ἔστι δὲ ἰαμβικὰ τρίμετρα ἀκατάληκτα τρία. καὶ τὸ πρῶτον ἰαμβεῖον τετράμετρον καταληκτικόν. τινὲς δὲ διαιροῦσι τοῦτο εἰς δύο. ἐπειδὴ καὶ τὰ πρόσωπα κεχωρισμένα εἰσί. καὶ γίνεται μεσῳδικὴ τρία ἑκατέρωθεν ἔχουσα κῶλα. τινὲς δὲ τὸ μέσον τετράκωλον.

ἀφίεμεν. καὶ δίδομεν αὐτοῖς προῖκα συγκεκόφθαι.
σκέψαι δὲ τοὺς ἀλεκτρυόνας καὶ τἄλλα τὰ βοτὰ ταυτί,
ὡς τοὺς πατέρας ἀμύνεται. καίτοι διαφέρουσ' οὐδὲν
ἡμῶν ἐκεῖνοι. πλὴν ὅτι ψηφίσματ' οὐ γράφουσι.
στρ. τί δῆτ' ἐπειδὴ τοὺς ἀλεκτρυόνας ἅπαντα μιμεῖ,
οὐκ ἐσθίεις καὶ τὴν κόπρον κἀπὶ ξύλου καθεύδεις.
φει. οὐ ταὐτὸν ὦ τᾶν ἐστιν. οὐδ' ἂν σωκράτει δοκοίη.
στρ. πρὸς ταῦτα μὴ τύπτ'· εἰ δὲ μὴ σαυτόν ποτ' αἰτιάσει.
φει. καὶ πῶς. στρ. ἐπεὶ σὲ μὲν δίκαιός εἰμ' ἐγὼ κολάζειν,
σὺ δ' ἢν γένηταί σοι τὸν υἱόν. φει. ἢν δὲ μὴ γένηται,
μάτην ἐμοὶ κεκλαύσεται. σὺ δ' ἐγχανὼν τεθνήξει.
στρ. ἐμοὶ μὲν ὦνδρες ἥλικες, δοκεῖ λέγειν δίκαια.
κἀμοί γε συγχωρεῖν δοκεῖ τούτοισι τἀπιεικῆ.
κλάειν γὰρ ἡμᾶς εἰκός ἐστ' ἢν μὴ δίκαια δρῶμεν.
φει. σκέψαι δὲ χ' ἀτέραν ἔτι γνώμην. στρ. ἀπὸ γὰρ ὀλοῦμαι.
φι. καὶ μὴν ἴσως γ' οὐκ ἀχθέσει παθὼν ἃ νῦν πέπονθας.
στρ. πῶς δή. δίδαξον γὰρ τί δή μ' ἐκ τούτων ἐπωφελήσεις.
φι. τὴν μητέρ' ὥσπερ καὶ σὲ τυπτήσω. στρ. τί δῆτα φῂς σύ
τοὔθ' ἕτερον αὖ μεῖζον κακόν.
φει. τί δῆτ' ἢν ἔχων τὸν ἥττω
λόγον σε νικήσω λέγων.
τὴν μητέρ' ὡς τύπτειν χρεών.
στρ. τί δ' ἄλλο γ' ἢν ταυτὶ ποιῇς
οὐδέν σε κωλύσει, σεαυτὸν ἐμβαλεῖν
ἐς τὸ βάραθρον μετὰ σωκράτους.
καὶ τὸν λόγον τὸν ἥττω.

Ὡς ἡδὺ καινοῖς. εἴσθεσις ἑτέρας διπλῆς ἀμοιβαίας ἐκ στίχων ἰαμβικῶν τετραμέτρων καταληκτικῶν μγ΄. ὧν τελευταῖος, τὴν μητέρ᾽ ὥσπερ καὶ σὲ τυπτήσω. τί δῆτα φῂς σύ. ὁ μέντοι ἑπτακαιδέκατος, τρίμετρος ἴαμβός ἐστιν. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. Κλάουσι παῖδες. τοῦτο ἐξ Ἀλκήστιδος Εὐριπίδου. χαίρεις ὁρῶν φῶς· πατέρα δ᾽ οὐ χαίρειν δοκεῖς. Δὶς παῖδες οἱ γέροντες. παῖδές τε γὰρ τὴν ἀρχὴν ἦσαν ἄφρονες. καὶ νῦν, ὑπὸ τοῦ τῶν ἐτῶν πλήθους παραπαίοντες αὐτοῖς τοῦ λογισμοῦ.

φει. Ὡς ἡδὺ καινοῖς πράγμασι καὶ δεξιοῖς ὁμιλεῖν.
καὶ τῶν καθεστώτων νόμων ὑπερφρονεῖν δύνασθαι.
ἐγὼ γὰρ ὅτε μὲν ἱππικῇ μόνῃ τὸν νοῦν προσεῖχον
οὐδ᾽ ἂν τρί᾽ εἰπεῖν ῥήμαθ᾽ οἷός τ᾽ ἦν, πρὶν ἐξαμαρτεῖν·
νυνὶ δ᾽ ἐπειδή μ᾽ οὑτοσὶ τούτων ἔπαυσεν αὐτὸς,
γνώμαις δὲ λεπταῖς καὶ λόγοις ξύνειμι καὶ μερίμναις,
οἶμαι διδάξειν, ὡς δίκαιον τὸν πατέρα κολάζειν.
στρε. ἵππευε τοίνυν νὴ Δί᾽, ὡς ἔμοιγε κρεῖττόν ἐστιν
ἵππων τρέφειν τέθριππον ἢ τυπτόμενον ἐπιτριβῆναι.
φει. ἐκεῖσε δ᾽ ὅθεν ἀπέσχισάς με τοῦ λόγου μέτειμι.
καὶ πρῶτ᾽ ἐρήσομαί γε τουτί. παῖδά μ᾽ ὄντ᾽ ἔτυπτες;
στρε. ἔγωγέ σ᾽ εὐνοῶν τε καὶ κηδόμενος. φει. εἰπὲ δή μοι.
οὐ κἀμέ σοι δίκαιόν ἐστιν εὐνοεῖν ὁμοίως.
τύπτειν τ᾽, ἐπειδήπερ τοῦτ᾽ ἔστ᾽ εὐνοεῖν τὸ τύπτειν;
πῶς γὰρ τὸ μὲν σὸν σῶμα χρὴ πληγῶν ἀθῷον εἶναι.
τοὐμὸν δὲ μή. καὶ μὴν ἔφυν ἐλεύθερός γε κἀγώ.
κλάουσι παῖδες. πατέρα δ᾽ οὐ κλάειν δοκεῖς; στρ. τί δή;
φει. φήσεις νομίζεσθαι σὺ παιδὸς τοῦτο τοὔργον εἶναι;
ἐγὼ δέ γ᾽ ἀντείποιμ᾽ ἄν, ὡς δὶς παῖδες οἱ γέροντες.
εἰκὸς δὲ μάλιστα τοὺς γέροντας ἢ τοὺς νέους τι κλάειν.
ὅσῳ περ ἐξαμαρτάνειν ἧττον δίκαιον αὐτούς.
στρε. ἀλλ᾽ οὐδαμοῦ νομίζεται τὸν πατέρα τοῦτο πάσχειν.
φει. οὔκουν ἀνὴρ ὁ τὸν νόμον θεὶς τοῦτον ἦν τὸ πρῶτον,
ὥσπερ σὺ κἀγώ. καὶ λέγων ἔπειθε τοὺς παλαιούς;
ἧττόν τι δῆτ᾽ ἔξεστι κἀμοὶ καινὸν αὖ τὸ λοιπὸν
θεῖναι νόμον τοῖς υἱέσι. τοὺς πατέρας ἀντιτύπτειν.
ὅσας δὲ πληγὰς εἴχομεν πρὶν τὸν νόμον τεθῆναι,

παῖδές εἰσι τῷ νῷ πάλιν ληροῦντες. καὶ Σοφοκλῆς Πηλεῖ. Πηλέα τὸν Αἰάκειον οἰκουρὸς μόνη γεροντάγωγῶ κἀναπαιδεύω πάλιν· πάλιν γὰρ αὖθις παῖς ὁ γηράσκων ἀνήρ. καὶ Θεόπομπος. δὶς παῖδες οἱ γέροντες ὀρθῷ τῷ λόγῳ. καὶ Πλάτων. ἄρ᾽ ὡς ἔοικε δὶς γένοιτ᾽ ἂν παῖς γέρων. καὶ Ἀντιφῶν. γηροτροφία γὰρ προσέοικε παιδοτροφίᾳ. Ὅσῳ περ. οἱ παῖδες ἐξαμαρτάνοντες συγγνώμης μᾶλλον ἄξιοι διὰ τὸ νέον τῆς ἡλικίας. τὸ δὲ ἧττον ἀντὶ τοῦ μηδ᾽ ὅλως. Οὔκουν ἀνήρ. ἐν ἠθικῷ ἐρωτήσει. Ἧττον τι δῆτ᾽ ἔξεστι κἀμοί. ἀντὶ τοῦ κἀμοὶ οὐδὲν ἧττον ἔξεστι τοῦ παλαιοῦ νομοθέτου. παρὰ δέ τισι τῶν νεωτέρων κατὰ λέξιν οὕτως. ἀποροῦσι πάντες ἐνταῦθα περὶ τοῦ ἧττον. τὸ δὲ ὡς ἐγᾦμαι τοιοῦτόν ἐστιν. εἰπὼν γάρ, καὶ λέγων ἔπειθε τοὺς παλαιοὺς ἐπήγαγεν ἧττον. δεικνὺς ὡς εἰ καὶ ἔπειθεν, ἀλλ᾽ ἧττον ἢ ἐγὼ αὐτὸς νῦν. ἐπειδὴ καὶ τὰ δίκαια καὶ τὰ μή, λέγων, ὁμοίως νικῶ. οἱ δὲ τὸ ἧττον, πρὸς τὸ τί δῆτα συνάπτοντες, ψυχροί τινές εἰσιν. ἢ τὸ ἧττον μὴ πρός τι σύναπτε. ἀλλὰ μόνον λέγε κατ᾽ ἐρώτησιν. οὔκουν ἀνὴρ ἦν ὁ θεὶς τὸν νόμον τοῦτον ὡς σὺ καὶ ἐγώ. καὶ λέγων ἔπειθε τοὺς πα/

Στόμφακα. σκληρὸν παρὰ τὸ στόμα καὶ τὸν ὄμφακα. διὸν τραχύν. κρημνοποιὸν δὲ, μεγάλας λέξεις ποιοῦντα. Τὰ σοφὰ ταῦτα. ἢ ἀντὶ τοῦ ἔπη ἀντὶ ... ἢ δέον εἰπεῖν. οἱ γάρ εἰσιν οἱ σοφοὶ οὗτοι ποιηταί. ὁ δὲ πρὸς οὐδέτερον ἔτρεψεν, ὥσπερ καὶ ἐν βατράχοις ποιεῖ λέγων. οὐκοῦν ἕτερ' ἐστὶ μειρακύλλια τραγῳδίας ποιοῦντα.

Ὡς ἐκίνει ἀδελφός. τὴν Κανάκην ὁ Μακαρεύς. τὸ δὲ ἀλεξίκακε διὰ μέσου ἀναπεφώνηται. σημειοῦται δὲ τὸν Εὐριπίδου Αἴολον. ἐκεῖ γὰρ τὰς ἀδελφὰς γαμοῦσιν ἀδελφοί· ὡς ἐπὶ Ἡρακλέοις δὲ τὸ ἀλεξίκακε. γέγραπται δὲ δρᾶμα Εὐριπίδου Αἴολος λεγόμενον. ἐν ᾧ παρήγαγε Μακαρέα τὸν παῖδα Αἰόλου φθείροντα Κανάκην τὴν ἀδελφήν. ἐπεὶ δὲ ἦν παρὰ Ἀθηναίοις ἔξεστι γαμεῖν τὰς ἐκ πατέρων ἀδελφάς, εἰς αὔξησιν τοῦ ἀδικήματος προσέθηκε τὴν ὁμομητρίαν. εἶτα εὐφυῶς ἐσχετλίασεν ἐπάγων τὸ ἀλεξίκακε. τουτέστιν, ἀποτρόπαιε καὶ ὦ τὰ δεινὰ ἀπείργων. ἴδιον γὰρ Ἡρακλέους τὸ ἐπίθετον.

ψόφου πλέων, ἀξύστατον στόμφακα. κρημνοποιόν.
κἀνταῦθα πῶς οἴεσθέ μου τὴν καρδίαν ὀρεχθεῖν.
ὅμως δὲ τὸν θυμὸν δακὼν, ἔφην· σὺ δ' ἀλλὰ τούτων
λέξον τι τῶν νεωτέρων, ἅττ' ἐστὶ τὰ σοφὰ ταῦτα.
ὁ δ' εὐθὺς ᾖσ' ἐξ Εὐριπίδου ῥῆσίν τιν' ὡς ἐκίνει
ἀδελφὸς, ὦλεξίκακε, τὴν ὁμομητρίαν ἀδελφήν.
ἐγὼ δ' ἔτ' οὐκ ἠνεσχόμην, ἀλλ' εὐθὺς ἐξαράττω
πολλοῖς κακοῖς καἰσχροῖσι. κᾆτ' ἐντεῦθεν οἷον εἰκός.
ἔπος πρὸς ἔπος ἠριζόμεσθ'· εἶθ' οὗτος ἐπαναπηδᾷ,
κἄπειτ' ἔφλα με, κἀσπόδει, κἄπνιγε, κἀπέτριβεν.
φε. οὔκουν δικαίως, ὅστις οὐκ Εὐριπίδην ἐπαινεῖς.
σοφώτατον. στ. σοφώτατόν γ' ἐκεῖνον, ὦ τί σ' εἴπω.
ἀλλ' αὖθις αὖ τυπτήσομαι. φε. νὴ τὸν Δί' ἐνδίκως γάρ.
στ. καὶ πῶς δικαίως, ὅστις ὦναίσχυντέ σ' ἐξέθρεψα.
αἰσθανόμενός σου πάντα τραυλίζοντος, ὅ, τι νοοίης.
εἰ μέν γε βρῦν εἴπῃς, ἐγὼ γνοὺς ἂν πιεῖν ἐπέσχον.
μαμμᾶν δ' ἂν αἰτήσαντος ἧκόν σοι φέρων ἂν ἄρτον.
κακκᾶν δ' ἂν οὐκ ἔφθης φράσαι. κἀγὼ λαβὼν θύραζε
ἐξέφερον ἂν καὶ προὐσχόμην σε. σὺ δέ με νῦν ἀπάγχων
βοῶντα καὶ κεκραγόθ' ὅτι
χεζητιῴην, οὐκ ἔτλης
ἔξω 'ξενεγκεῖν ὦ μιαρέ.
θύραζέ μ' ἀλλ' ἀποπνιγόμενος αὐτοῦ, ποίησα κακκᾶν.

ἈΝΤΙΣΤΡΟΦῊ ΚΩΛΩΝ Η'.

χο. οἶμαί γε τῶν νεωτέρων τὰς καρδίας
πηδᾶν. ὅ, τι λέξει.
εἰ γὰρ τοιαῦτά γ' οὗτος ἐξειργασμένος,
λαλῶν ἀναπείσει,
τὸ δέρμα τῶν γεραιτέρων λάβοιμεν ἂν,
ἀλλ' οὐδ' ἐρεβίνθου.
σὸν ἔργον ὦ καινῶν κινητὰ καὶ μοχλευτὰ,
πειθώ τινα ζητεῖν, ὅπως δόξῃς λέγειν δίκαια

Ἐξαράττω. κρούω αὐτόν. λοιδορῶ πλήττω πολλοῖς κακοῖς. Τραυλίζοντος. ψελλίζοντος καὶ μηδὲν ἔναρθρον λαλοῦντος.

Πιεῖν ἐπέσχον. οὐ μόνον ἐπέχω τὸ κωλύω, ἀλλὰ καὶ τὸ δίδωμι.

Μαμμᾶν. ἄσημος φωνὴ τῶν παιδίων λαλούντων.

Λάβοιμεν ἄν, οὕτως ἀφανισθήσεται πηγαῖς ὥς νομίσαι ἡμᾶς καὶ τοῦ δέρματος ἐρεβίνθου λεπτότερον αὐτοὺς ἔχειν.

Πρὸς χορόν· πρὸς ἐμέ. οὕτως ἔλεγον πρὸς χορὸν λέγειν, ὅταν τοῦ ὑποκριτοῦ διατιθεμένου τὴν ῥῆσιν ὁ χορὸς ὀρχῆται. διὸ καὶ ἐκλέγονται ὡς ἐπὶ τὸ πλεῖστον ἐν τοῖς τοιούτοις τὰ τετράμετρα ἢ τὰ ἀναπαιστικὰ ἢ τὰ ἰαμβικά· διὰ τὸ ῥᾳδίως ἐμπίπτειν ἐν τούτοις τὸν τοιοῦτον ῥυθμόν. ἐπὶ τῷ τέλει παράγραφος. καὶ διπλῆ ἔξω νενευκυῖα.

Καὶ μὴν ὅθεν γε. κορωνὶς καὶ στίχοι ὅμοιοι τῷ διστιχίῳ λγ΄. ὧν τελευταῖος ἐξέφερον αὖ καὶ προὐχόμησε· σὺ δέ με νῦν ἀπάγχων. μεθ' ὃν τρία κῶλα ἰαμβικὰ δίμετρα ἀκατάληκτα· καὶ στίχος ὅμοιος τοῖς ἄνω.

ἤδη λέγειν χρὴ πρὸς χορόν. πάντως δὲ τοῦτο δράσεις.
Στρ. καὶ μὴν ὅθεν γε τὸ πρῶτον ἠρξάμεσθα λοιδορεῖσθαι
ἐγὼ φράσω. 'πειδὴ γὰρ εἱστιώμεθ', ὥσπερ ἴστε,
πρῶτον μὲν αὐτὸν τὴν λύραν λαβόντ' ἐγὼ 'κέλευσα
ᾆσαι Σιμωνίδου μέλος, τὸν Κριὸν ὡς ἐπέχθη.
ὁ δ' εὐθὺς ὡς ἀρχαῖον εἶν' ἔφασκε τὸ κιθαρίζειν.
ᾄδειν τε πίνονθ' ὡσπερεὶ κάχρυς γυναῖκ' ἀλοῦσαν.
Φει. οὐ γὰρ τότ' εὐθὺς χρῆν σ' ἄρα τύπτεσθαί τε καὶ πατεῖσθαι,
ᾄδειν κελεύονθ', ὡσπερεὶ τέττιγας ἑστιῶντα;
Στρ. τοιαῦτα μέντοι καὶ τότ' ἔλεγεν ἔνδον, οἷάπερ νῦν.
καὶ τὸν Σιμωνίδην ἔφασκ' εἶναι κακὸν ποιητήν.
κἀγὼ μόλις μέν, ἀλλ' ὅμως ἠνεσχόμην τὸ πρῶτον.
ἔπειτα δ' ἐκέλευσ' αὐτὸν ἀλλὰ μυρρίνην λαβόντα,
τῶν Αἰσχύλου λέξαι τί μοι. κᾆθ' οὗτος εὐθὺς εἶπεν.
ἐγὼ γὰρ Αἰσχύλον νομίζω πρῶτον ἐν ποιηταῖς,

Λύραν λαβόντα. ἐν τοῖς συμποσίοις κύκλῳ τοῖς ἑστιωμένοις ὁ ἑστιάτωρ διδοὺς λύραν ἐκέλευσεν ᾆσαι ᾠδήν. Ἆσαι Σιμωνίδου. τοῦτο τὸ μέλος Σιμωνίδου καὶ Ἐπινίκου. ἐπέξαθ' ὁ κριὸς οὐκ ἀεικέως ἦν δὲ παλαιστὴς ὁ ἀγωνιστής. ἄλλως. τῇ πρὸς τὸ ζῷον κοινωνίᾳ τῆς λέξεως συνέπλεξε τὰς κοινωνίας ὁ ποιητὴς λέγων. ἐπέξαθ' ὁ κριὸς οὐκ ἀεικέως, ἐλθὼν εἰς δένδρον ἀγλαὸν Διὸς τέμενος. φαίνεται δὲ εὐδοκιμεῖν καὶ διαφανὴς εἶναι. τὸ δὲ ἐπέχθη καὶ διὰ τοῦ ε ψιλοῦ ἀπὸ τοῦ πέκω. καὶ διφθόγγῳ γραφέται. Ἀρχαῖον μωρόν. παραιτοῦνται δὲ οἱ φιλόσοφοι κιθαρίζειν ἐν τῷ πίνειν. κάχρυς δὲ αἱ τοῦ κριθάς πεφρυγμένας. ᾄδουσι δὲ αἱ ἀλήθουσαι ὑπὲρ τοῦ παραπέμψασθαι τὸν κάματον. Ὡσπερεὶ κάχρυς. καθάπερ τινὰ γυναῖκα κριθὰς ἀλοῦσαν. διαβάλλει δὲ λεληθότως τὸ τῶν γυναικῶν γένος. αἷς ἔργον πίνειν καὶ ἕτερόν τι διαπραττομένας. Ὡσπερεὶ τέττιγας. παρετρόησε δ' ᾄδειν καί φησιν ὅτι τὸ ᾄδειν φλυαρεῖν ὡς τέττιγας καὶ οὐδὲν ἄλλο ἢ ὡς γυναῖκας ᾀδούσας ἀλετρευούσας. Ἀλλὰ μυρρίνην. μυρρίνης γὰρ κλάδον κατέχοντες ᾖδον τὰ Αἰσχύλου. ὡς περὶ τὰ Ὁμήρου μετὰ δάφνης. παρὰ τὰ Αἰσχύλου. οὕνεκ' ἐκεῖ ἄεθλα λειμώνια. Ἄλλως. Δικαίαρχος ἐν τῷ περὶ μουσικῆς ἐπεὶ δὲ κοινόν τι πάθος ἀεί. φαίνεται συνακολουθεῖν τοῖς διερχομένοις, εἴ τι μετὰ μέλους, εἴ τι αὐλοῦ μέλους ἔχοντά τι τῇ χειρὶ ποιεῖσθαι τὴν ἀφήγησιν. οἵ τε γὰρ ᾄδοντες ἐν τοῖς συμποσίοις ἐκ παλαιᾶς τινος παραδόσεως κλῶνα δάφνης ἢ μυρρίνης λαβόντες ᾄδουσιν.

Ἀσύστατον. οὐ συνεστῶτα. οὐδὲ πυκνὸν ἐν τῇ ποιήσει. ἀλλ' ἀραιὸν καὶ κομπώδη. τὰ γὰρ ῥήματα Αἰσχύλου φαντασίαν μὲν ἔχει. βασανιζόμενα δὲ οὐδεμίαν ἔχει πραγματείαν. ἀσύστατα γὰρ, ἀσύστατον δὲ οἷον ἀδιάθετον. ἐπειδὰν ὡς συνιστᾶσι τοῖς μύθοις.

οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι κγ΄. ὧν προτίθεται κῶλον ἰαμβικὸν μονόμετρον. ὁ δὲ τελευταῖος τοῦ, καὶ μὴν ὅ,τι καὶ λέξεις ἀκοῦσαι βούλομαι ἐπὶ τῷ τέλει κορωνίς. κέχρηται δὲ προαναφωνήσει τὸ ἰοὺ ἰού. τινὲς δὲ ἅπαξ οὖν τὸ ἰού, φασίν. σχετλιάζων δὲ ἐξεισφρεῖ ὁ πρεσβύτης ὡς ὑπὸ τοῦ παιδὸς τυπτόμενος. δῆλον δὲ ὅτι πάντα ταῦτα διαπέπλασται αὐτῷ τῆς πρὸς Σωκράτη διαβολῆς χάριν, δεικνύναι διὰ τούτου φιλοτιμούμενος ὅτι μηδὲν χρηστὸν διδάσκει τοὺς νέους. ἀλλὰ τοὐναντίον πονηρούς. ὥστε καὶ τοὺς γεγεννηκότας τιοῦ τοι γίνονται. καθίστησι.

ἀμυνάθετέ μοι τυπτομένῳ πάσῃ τέχνῃ.
οἴμοι κακοδαίμων τῆς κεφαλῆς καὶ τῆς γνάθου.
ὦ μιαρὲ, τύπτεις τὸν πατέρα. φει. φήμ' ὦ πάτερ.
στρ. ὁρᾶθ' ὁμολογοῦνθ' ὅτι με τύπτει; φει. καὶ μάλα.
στρ. ὦ μιαρὲ καὶ πατραλοία καὶ τοιχωρύχε.
φει. αὖθις με ταὐτὰ ταῦτα καὶ πλείω λέγε.
ἆρ' οἶσθ' ὅτι χαίρω πόλλ' ἀκούων καὶ κακά.
στρ. ὦ λακκόπρωκτε. φει. πάττε πολλοῖς τοῖς ῥόδοις.
στρ. τὸν πατέρα τύπτεις κἀποφανῶ γε νὴ Δία.
ὡς ἐν δίκῃ σ' ἔτυπτον. στρ. ὦ μιαρώτατε.
καὶ πῶς γένοιτ' ἂν πατέρα τύπτειν ἐν δίκῃ.
φει. ἔγωγ' ἀποδείξω, καί σε νικήσω λέγων.
στρ. τουτὶ σὺ νικήσεις; φει. πολύ γε καὶ ῥᾳδίως.
ἑλοῦ δ' ὁπότερον τοῖν λόγοιν βούλει λέγειν.
στρ. ποίοιν λόγοιν. φει. τὸν κρείττον' ἢ τὸν ἥττονα.
στρ. ἐδιδαξάμην μέντοι σε νὴ Δί' ὦ μέλε.
τοῖσι δικαίοις ἀντιλέγειν. εἰ ταῦτά γε
μέλλεις ἀναπείσειν ὡς δίκαιον καὶ καλὸν.
τὸν πατέρα τύπτεσθ' ἐστὶν ὑπὸ τῶν υἱέων.
φει. ἀλλ' οἴομαι μέντοι σ' ἀναπείσειν. ὥστε γε
οὐδ' αὐτὸς ἀκροασάμενος, οὐδὲν ἀντερεῖς.
στρ. καὶ μὴν ὅ,τι καὶ λέξεις ἀκοῦσαι βούλομαι.

ΣΤΡΟΦΗ ΚΩΛΩΝ. Η΄.

χο. Σὸν ἔργον ὦ πρεσβῦτα φροντίζειν ὅπῃ
τὸν ἄνδρα κρατήσεις.
ὡς οὗτος εἰ μή τῳ 'πεποίθειν, οὐκ ἂν ἦν
οὕτως ἀκόλαστος.
ἀλλ' ἔσθ' ὅτῳ θρασύνεται· δῆλόν γε τὸ
λῆμ' ἐστὶ τἀνθρώπου.
ἀλλ' ἐξ ὅτου τὸ πρῶτον ἤρξαθ' ἡ μάχη γενέσθαι,

Πάσῃ τέχνῃ· παντὶ τρόπῳ, πάσῃ δυνάμει. τὸ γὰρ ἀμύνειν καὶ ἀμυνάθειν λέγουσι.

Καὶ πλείω· ἀντὶ τοῦ χείρονα καὶ πλείω τούτων εἰπέ.

Ἐδιδαξάμην· παθητικὸν ἀντὶ ἐνεργητικοῦ. λέγεται δὲ ἐκ μεσότητος ἀττικῶς, ἀντὶ τοῦ ἐξεπαίδευσα δι' ἑτέρου. τὸ γὰρ ἐδίδαξα δι' ἑαυτοῦ.

Σὸν ἔργον· εἴσθεσις χοροῦ στροφῆς μὲν λόγον ἔχουσα διὰ δὲ ἔχειν καὶ ἀντίστροφον τὸ ὅμοιόν γε τῶν νεωτέρων. ἧς οὐδὲν διενήνοχε προῳδικὴ δὲ διὰ τὸ προτίθεσθαι καὶ προᾴδεσθαι τῆς διπλῆς. ἡ διπλῆ καὶ εἴσθεσις εἰς ἐπῳδικὴν τριάδα ἢ τετράδα κώλων ἐξ ὧν τὰ μὲν πρῶτα ὅμοια τῷ ἀνωτέρω. τὰ δὲ ἄρτια ἰωνικὰ ἡμιόλια διὰ τὸ ἔχειν πρὸς τῷ ὅλῳ καὶ ἥμισυ τοῦ ἰωνικοῦ καλούμενα, ἀδιαφοροῦντα τὴν πρώτην συλλαβήν. τὸ μέντοι τελευταῖον ὃ καὶ ἐπῳδὸς ὡς ἐπὶ τῷ τέλει τῆς ᾠδῆς τιθέμενον λέγεται, ἀντὶ ἰωνικοῦ, ἐπίτριτον ἔχει. ἐν ἐκθέσει δὲ στίχοι δύο ἰαμβικοὶ τετράμετροι καταληκτικοί, ὅμοιοι τοῖς ἑξῆς. ἔθος γάρ ἐστι προτιθέναι τῆς διπλῆς διστιχίαν μίαν τὴν περίοδον τῆς κορωνίδος ἢ τῆς ᾠδῆς.

ὑπὸ τὸν πρωκτόν σε. μήποτε οὐκ ἔστι σὲ ἀλλὰ σύ. εἰ μὴ ἄρα λέγει ἄξεις σεαυτὸν ὡς τὸν σειραφόρον ὅπερ αὐτὸς ἐργάζῃ. Οἷον τὸ πραγμάτων ἐρᾶν. κορωνὶς καὶ εἴσθεσις μέλους ἐξιόντων ὑποκριτῶν μονοστροφικοῦ ἐκ κώλων ιη. ὧν τὸ πρῶτον ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον τοῦ φλαύρων προσόντος δι' ὅλης ἰαμβικῆς κειμένου διποδίας. τὸ δεύτερον ἐκ διιάμβου καὶ ἰωνικοῦ ἀπ' ἐλάσσονος δίμετρον ἀκατάληκτον, ἢ ἰαμβικὸν ἑφθημιμερές. τὸ τρίτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ τέταρτον ὅμοιον ἢ ἐκ παιώνων δευτέρων. τὸ ε΄ χοριαμβικὸν ἐξ ἀντιτρίτου ἢ ἰαμβικὸν τρίμετρον καταληκτικόν. τὸ ϛ΄ τροχαϊκὸν δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές. τὸ ζ΄. ὅμοιον τρίμετρον μέντοι. τὸ η΄. χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον. τὸ θ΄ ἀντισπαστικὸν ἐξ ἀντιτρίτου τρίτου καὶ πρώτου ὅμοιον. τὸ δέκατον ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ια΄ καὶ ιβ΄. ὅμοια τῷ τρίτῳ. τὸ ιγ΄ χοριαμβικὸν πενθημιμερές. εἰ δὲ βούλει δακτυλικὸν δίμετρον. τὰ ἑξῆς τρία, ἀντισπαστικὰ ἑφθημιμερῆ φερεκράτεια. διτροχαϊκῆς κατὰ τὴν πρώτην τῆς πεντεκαιδεκάτου χώρας κειμένης ταυτοποδίας. τὸ παρατέλευτον ὅμοιον τῷ τρίτῳ.

κεντῶν ὑπὸ τὸν πρωκτόν σε τὸν σειραφόρον.
φεύγεις; ἔμελλον ἄρα κινήσειν σ' ἐγώ,
αὐτοῖς τροχοῖς τοῖς σοῖσι καὶ ξυνωρίσιν.

ΣΤΡΟΦΗ ΚΩΛΩΝ. ΙΗ.

Χο. Οἷον τὸ πραγμάτων ἐρᾶν φλαύρων.
ὁ γὰρ γέρων ὅδ' ἐρασθεὶς,
ἀποστερῆσαι βούλεται.
τὰ χρήμαθ' ἁδανείσατο.
κοὐκ ἔσθ' ὅπως οὐ τήμερον λήψεται.
πρᾶγμ' ὃ τοῦτον ποιήσει
τὸν σοφιστὴν ὧν πανουργεῖν
ἤρξατ', ἐξαίφνης τι κακὸν λαβεῖν.
οἶμαι γὰρ αὐτίχ' εὑρήσειν ὅπερ,
πάλαι ποτ' ἐζήτει,
εἶναι τὸν υἱὸν δεινόν οἱ.
γνώμας τ' ἐναντίας λέγειν.
Τοῖσι δικαίοις.
ὥστε νικᾶν ἅπαντας,
οἷς περ ἂν ξυγγένηται,
κἂν λέγῃ παμπόνηρα.
ἴσως ἴσως βουλήσεται
κἄφωνον αὐτὸν εἶναι.

ΣΥΣΤΗΜΑ ΚΑΤΑ ΠΕΡΙΚΟΠΗΝ.

Στρε. ἰοὺ ἰού.
ὦ γείτονες καὶ ξυγγενεῖς καὶ δημόται.

μεθ' ὃ ἰαμβικὸν δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερές. ἐπὶ δὲ τῷ τέλει κορωνίς. Αἰνίττεται δὲ εἰς τὸν Στρεψιάδην, λέγων ὅτι δεινόν ἐστι καὶ ἀηδὲς τὸ ἀτόπων ἐρᾶν. ἰστέον δὲ ὅτι ἐκεῖνοι διαλεχθέντες ἀπεληλύθασιν. ὁ δὲ χορὸς ἐπὶ τῆς σκηνῆς ὤν, ταῦτα διέξεισι περὶ τοῦ Στρεψιάδου. προαναφωνῶν διὰ τούτου καὶ αἰνιττόμενος, ἃ μέλλει πείσεσθαι ὁ Στρεψιάδης ὑπὸ τοῦ υἱοῦ. Τὸν σοφιστήν. τὸν φιλόσοφον. τὸν παῖδα ἢ τὸν γέροντα ἀπὸ τοῦ σοφίζεσθαι. Ἴσως ἴσως. δόξει τις παρ' αὐτοῦ ἀδικούμενος καὶ δεινὰ πάσχων τέλεον ἄφωνον αὐτὸν εἶναι. Ἰοὺ ἰού. κορωνὶς ἑτέρα εἰσόδου αὖθις τῶν ὑποκριτῶν.

σαυτὸς αὐτόν. τούτων γὰρ μαχομένων ἀνεχώρησε τὸ ζῶον. Προσκεκλήσεσθαι. ἀντὶ τοῦ διαμαρτύρων ἀπαχθήσεσθαι. εἰς τὸ δικαστήριον κληθήσεσθαι κατὰ κοινοῦ δὲ τὸ δοκεῖς. Καινὸν ἀεὶ τὸν Δία νέον ὕδωρ ὕειν νομίζεις φησίν. ἢ πάλιν αὐτὸ παραγόμενον αὐτὸ ὑπὸ τοῦ ἡλίου. Τί θηρίον. τινὲς τὸ θηρίον πρὸς τὸν δανειστὴν λέγουσιν εἰρῆσθαι. ἀντὶ τοῦ ὦ θηρίον τί ἐστιν ὁ τόκος. ἐπεὶ γέννημα φαμὲν ἐπὶ θηρίων καὶ τόκον. Τὴν θάλατταν. τί δῆτα ἐστιν ἃ νομίζεις. καὶ τοῦτο δὲ ἔμαθε κατὰ τὸ σιωπώμενον.

δα. Σὺ δὲ νὴ τὸν ἑρμῆν προσκεκλήσεσθαί γέ μοι,
εἰ μὴ ἀποδώσεις τἀργύριον. στρε. κάτειπέ νυν.
πότερα νομίζεις καινὸν ἀεὶ τὸν Δία
ὕειν ὕδωρ ἑκάστοτ', ἢ τὸν ἥλιον,
ἕλκειν κάτωθεν ταὐτὸ τοῦθ' ὕδωρ πάλιν.
δα. οὐκ οἶδ' ἔγωγ' ὁπότερον. οὐδέ μοι μέλει.
στρε. πῶς οὖν ἀπολαβεῖν τἀργύριον δίκαιος εἶ,
εἰ μηδὲν οἶσθα τῶν μετεώρων πραγμάτων.
δα. ἀλλ' εἰ σπανίζεις τἀργυρίου μοι τὸν τόκον
ἀπόδος γε. στρε. τοῦτο δ' ἔσθ' ὁ τόκος τί θηρίον.
δα. τί δ' ἄλλο γ', ἢ κατὰ μῆνα καὶ καθ' ἡμέραν,
πλέον πλέον τἀργύριον ἀεὶ γίνεται,
ὑπορρέοντος τοῦ χρόνου. στρε. καλῶς λέγεις.
τί δῆτα. τὴν θάλατταν ἔσθ' ὅτι πλείονα
νυνὶ νομίζεις, ἢ πρὸ τοῦ. δα. μὰ Δί' ἀλλ' ἴσην.
οὐ γὰρ δίκαιον πλείον' εἶναι. στρε. κᾆτα πῶς,
αὕτη μὲν ὦ κακόδαιμον οὐδὲν γίνεται
ἐπιρρεόντων τῶν ποταμῶν πλείων. σὺ δὲ
ζητεῖς ποιῆσαι τἀργύριον πλεῖον τὸ σόν.
οὐκ ἀποδιώξεις σαυτὸν ἐκ τῆς οἰκίας;
φέρε μοι τὸ κέντρον. δα. ταῦτ' ἐγὼ μαρτύρομαι.
στρε. ὕπαγε τί μέλλεις. οὐκ ἐλᾷς ὦ σαμφόρα;
δα. ταῦτ' οὐχ ὕβρις δῆτ' ἐστίν. στρε. ἄξεις ἐπαλῶ

Ω σαμφόρα. τινὲς τοῦτο στρεψιάδου. τινὲς ὅλον τοῦ κλητῆρος. ἀντὶ τοῦ κλῆτορ. ὡς ἵππῳ αὐτῷ διαλέγεται. Ἄξεις ἐπαλῶ. ἡ γραφὴ διττή. καὶ ἐπ' ἄλω καὶ ἐπαλῶ. καὶ πρὸς μὲν τὸ παρασιωπωμένως τὸ ἄξεις ἀπειλητικῶς χρὴ λέγειν. οἷον ἄξεις ὁρμήσεις τὸν ἐντεῦθεν. ἐπεὶ ἀλῶ σε ὅ ἐστιν ἐξελάσω σε. εἰ διφθόγγῳ γράφεται καὶ διώξω σε κεντῶν ὑπὸ τὸν πρωκτὸν ὡς ἐπὶ ἵππων παρήορον. πρὸς δὲ τὴν ἑτέραν γραφὴν ὡς ἠθικῶς λέγοντος. οἷον ἀπάξεις σὺ τὸν σειραφόρον εἰς μύλωνα ἐπὶ τὸ ἀλήθειν. ἀντὶ τοῦ ἄπαγε σὺ σεαυτὸν ἵππον, κἀκεῖθεν τραφήσῃ. Ἄλλως. ἐπαλῶ μέλλων ἀπὸ τοῦ ἰάλλω. λέγει δὲ ἐπιπέμψω σοι. ἐν ἤθει ἐν τῷ ἄξεις. λέγει. οὐκ ἀπάξῃ ποτὲ ἐντεῦθεν καὶ προσδώσῃ. τὸ δὲ ἐπαλῶ ἀντὶ τοῦ ἐπιπέμψω σε. συμβουλεύει δὲ αὐτῷ ἀλοάσαντα μισθοῦ προσδέχεσθαι ἵνα τρέφειν ἔχῃ τοὺς ἵππους. σειραφόρος δὲ ὁ ἔξω τοῦ ζυγοῦ. Ἄλλως. ἐὰν μὲν οὕτως ὁ λόγος ᾖ ἠθικῶς, ἀπέρχῃ ἢ ὑποβαλῶ τὴν μάστιγα κεντῶν σε ὑπὸ τὸν πρωκτὸν ὡς σειραφόρον. ἐὰν δὲ ἐπ' ἄλω οὕτως. ἀπέρχῃ ἐπ' ἀλῶνα κεντῶν σου τὸν σειραφόρον, ἐπὶ τὸ ἐργαζόμενον ἐκεῖθεν τραφῆναι. οὐδὲν γὰρ ἐντεῦθεν λήψῃ. οἱ δὲ οὕτως. ἐπιβαλῶν σοι τὴν μάστιγα καὶ δέρων τὸν πρωκτὸν, ἄξω σε. ἀπὸ μεταφορᾶς τῶν κεντουμένων ἵππων βραδέων ὑπὸ τῶν ἡνιόχων.

Ἰώ μοί μοι. κορωνὶς ἑτέρα ὁμοία. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι μγ΄. ὧν προτίθεται κῶλα δύο. τὸ πρῶτον ἀντισπαστικὸν μονόμετρον ἀκατάληκτον. τὸ δεύτερον ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον. ὁ δὲ τελευταῖος τούτων. αὐτοῖς τροχοῖς τοῖς σοῖσι καὶ ξυνωρίσιν. ἐπὶ τῷ τέλει κορωνίς. Τῶν Καρκίνου. παρ' ὑπόνοιαν εἶπεν ἀντὶ τοῦ παίδων. ἐπεὶ τραγικῶς ἀνεφώνησε τὸ ἰώ μοί μοι. Καρκίνου δὲ παῖδες, Ξενοκλῆς. Ξενότιμος. καὶ Δημότιμος. καὶ οἱ μὲν χορευταί. Ξενοκλῆς δὲ τραγῳδίας ποιητής. ὡς βέβαιον δὲ ἔχων τὸ νικᾶν, κατειρωνεύεται αὐτοῦ. Ἄλλως. φασὶν ὡς ὁ Καρκῖνος οὗτος ποιητὴς ὢν τραγικός, εἰσήγαγέ τινας τῶν θεῶν ἔν τινι δράματι δεινοπαθοῦντας. Ὦ σκληρὲ δαῖμον. τοῦτο Ξενοκλέους ὑπὸ Τληπολέμου. διὸ καὶ ἐπήνεγκε. τί δαί σε Τληπόλεμος. ἐπεὶ δὲ Ξενοκλέους τοῦ Καρκίνου ἐμνήσθη, καὶ τὰ αὐτοῦ τραγῳδεῖ. θρηνικῶς, ὦ σκληρὲ δαῖμον. τοῦτο δὲ εἶπε διὰ τὸ ἄνω εἰρηκέναι ἰώ μοί μοι καὶ ἀνὴρ κακοδαίμων. Εὐφρόνιος δέ φησι γρ. ὦ Παλλάς ὥς μ' ἀπώλεσας, Ξενοκλέους εἶναι, ἐκ τοῦ Λικυμνίου λεγόμενον ὑπὸ Ἀλκμήνης. τοῦ Λικυμνίου ὑπὸ τοῦ Τληπολέμου ἀνῃρημένου. διὸ καὶ ἐπήνεγκεν αὐτός. τί δαί σε Τληπόλεμός ποτ' εἴργασται κακόν. καὶ τὸ χρυσάμπυγες παραπεποιῆσθαι. ἄλλοι δέ, τραγικὸν ὑποκριτὴν εἶναι τὸν Τληπόλεμον, συνεχῶς ὑποκρινόμενον Σοφοκλεῖ. εἰκότως δὲ τούτοις ὁ δανειστὴς χρῆται. διὰ γὰρ ἱπποτροφίαν ἐπτώχευσεν. Κακῶς ἄρ' εἶχες. διὰ τὸ ἄνω εἰρηκέναι ἰώ μοί μοι καὶ ἀνὴρ κακοδαίμων. Ἵππους γ' ἐλαύνων. καὶ τοῦτο ἐκ παρῳδίας. ἅμα δὲ καὶ αὐτὸς ἱπποτροφῶν ἐδυσπράγησεν. Ὥσπερ ἀπ' ὄνου. ἀντὶ τοῦ ἀλόγως πράττοντος ἡ παροιμία. καὶ μὴ δυναμένων ὄνοις χρῆσθαι μήτιγε δὴ ἵπποις. ὁ μέντοι Πλάτων ἐν τρίτῳ νόμων τὴν τελευταίαν παρασπᾷ ἀπὸ νοῦ λέγων οὕτως. καὶ μὴ καθάπερ ἀχάλινον κεκτημένον τὸ στόμα βίᾳ ὑπὸ τοῦ λόγου φερόμενον κατὰ τὴν παροιμίαν ἀπὸ νοῦ πεσεῖν. ἢ ἔπαιξε πρὸς τὸ ὑπ' αὐτοῦ εἰρημένον. καὶ δέον εἰπεῖν ἀπὸ τοῦ νοῦ. εἶπεν ἀπ' ὄνου. Ἄλλως. γράφεται καὶ ἀπὸ ὄνου καὶ ἀπὸ νοῦ. κεῖται δὲ παροιμία ἀπ' ὄνου. φασὶ γὰρ ὅτι δύο τινὲς περιτυχόντες ὄνῳ ἐν ἐρημίᾳ, φιλονεικοῦντες πρὸς ἀλλήλους περὶ τῆς αὐτοῦ λήψεως. ἔλαβεν αὐτὸν ἄμφω ἀπολέ-

σαντας

Ἕτερος δανειστής. Ἰώ μοί μοι. στρ. ἔα.
τίς οὑτοσί ποτ' ἔσθ' ὁ θρηνῶν; ἦ τί που
τῶν Καρκίνου τις δαιμόνων ἐφθέγξατο.
δα. τί δ' ὅς τις εἰμὶ τοῦτο βούλεσθ' εἰδέναι,
ἀνὴρ κακοδαίμων. στρ. κατὰ σεαυτὸν νῦν τρέπου.
δα. ὦ σκληρὲ δαῖμον. ὦ τύχαι θραυσάντυγες
ἵππων ἐμῶν. ὦ Παλλάς, ὥς μ' ἀπώλεσας.
στρ. τί δαί σε Τληπόλεμός ποτ' εἴργασται κακόν.
δα. μὴ σκῶπτέ μ' ὦ τᾶν. ἀλλά μοι τὰ χρήματα
τὸν υἱὸν ἀποδοῦναι κέλευσον ἅλαβεν.
ἄλλως τε μέντοι καὶ κακῶς πεπραγότι.
στρ. τὰ ποῖα ταῦτα χρήμαθ'. δα. ἁδανείσατο.
στρ. κακῶς ἄρ' ὄντως εἶχες ὥς γ' ἐμοὶ δοκεῖς
δα. ἵππους γ' ἐλαύνων ἐξέπεσον νὴ τοὺς θεούς.
στρ. τί δῆτα ληρεῖς. ὥσπερ ἀπ' ὄνου καταπεσών.
δα. ληρῶ, τὰ χρήματ' ἀπολαβεῖν εἰ βούλομαι;
στρ. οὐκ ἔσθ' ὅπως σύ γ' αὐτὸς ὑγιαίνεις. δα. τί δαί.
στρ. τὸν ἐγκέφαλον ὥσπερ σεσεῖσθαί μοι δοκεῖς.

φησὶν. ἀλλ᾽ ἐξένεγκέ μοι ταχέως οἴνου χοᾶ. ἐνταῦθα δὲ τὸ χοᾶς εἰ μὲν περισπᾶται ἐκ τούτου. τοῦ χοῦς ἐστι κατὰ ποιητικὴν ἄδειαν. χοῦς γὰρ ὤφειλεν εἰπεῖν. ὡς ἱππῆς. εἰ δὲ βαρύνεται, ἐξ ἑτέρας ἐστὶν εὐθείας ἥτις ἐστὶν ἡ χοὴ θηλυκῶς καὶ κλίνεται τῆς χοῆς. Καταπροίξει. καταφρονήσεις. παρὰ τὴν προῖκα. δωρεὰν ἐπεγχανῇ μοι. Ἥσθην παρ᾽ ἐπιγραφή. γελῶν γὰρ τοῦτό φησιν. ἐκκαγχάζει γὰρ τῆς προσηγορίας ἀκούσας καὶ τοῦ Διός. ἀγνῶτα τὸν ἐκείνου τιθέμενος ὅρκον. ταῦτα δέ φασιν ἐπεὶ δεδίδακται μήτε τὸν Δία μήτε τοὺς ἄλλους ἡγεῖσθαι θεοὺς ἀλλ᾽ ἢ τὰς νεφέλας καὶ τὸν δῖνον ὡς ἔφησεν ὁ Σωκράτης.

Ἑρμοῦ καταπροίξει. στρε. θαυμασίως ἥσθην θεοῖς.
καὶ Ζεὺς γέλοιος ὀμνύμενος τοῖς εἰδόσιν.
δα. ἦ μὴν σὺ τούτων τῷ χρόνῳ δώσεις δίκην.
ἀλλ᾽ εἴτ᾽ ἀποδώσεις μοι τὰ χρήματ᾽ εἴτε μή,
ἀπόπεμψον ἀποκρινάμενος. στρε. ἔχε νυν ἥσυχος.
ἐγὼ γὰρ αὐτίκ᾽ ἀποκρινοῦμαί σοι σαφῶς.
δα. τί σοι δοκεῖ δράσειν. μάρ. ἀποδώσειν σοι δοκεῖ.
στρε. ποῦ 'σθ᾽ οὗτος ὡπαιτῶν με τἀργύριον. λέγε.
τουτὶ τί ἐστι. δα. τοῦθ᾽ ὅτι ἐστί; κάρδοπος.
στρε. ἔπειτ᾽ ἀπαιτεῖς τἀργύριον τοιοῦτος ὤν;
οὐκ ἂν ἀποδοίην οὐδ᾽ ἂν ὀβολὸν οὐδενί,
ὅστις καλέσειε κάρδοπον τὴν καρδόπην.
δα. οὐκ ἄρ᾽ ἀποδώσεις; στρε. οὐχ ὅσον γέ μ᾽ εἰδέναι.
οὔκουν ἀνύσας τι θᾶττον, ἀπολιταργιεῖς
ἀπὸ τῆς θύρας. δα. ἄπειμι. καί τοι γ᾽ ἴσθ᾽ ὅτι
θήσω πρυτανεῖ᾽ ἢ μηκέτι ζῴην ἐγώ.
στρε. προσαποβαλεῖς ἄρ᾽ αὐτὰ πρὸς ταῖς δώδεκα.
καί τοι σε τοῦτό γ᾽ οὐχὶ βούλομαι παθεῖν.
ὁτιὴ 'κάλεσας εὐηθικῶς τὴν κάρδοπον.

Τοῖς εἰδόσιν. ἀντὶ τοῦ ἐμοὶ ὡς εἰδότι. ἢ τοῖς ἀστρονόμοις καὶ εἰδόσιν ὅτι ὁ Ζεὺς οὐδείς ἐστι. διὸ καὶ γέλωτος ποιητικὸς ὁ Ζεὺς ὁ παρὰ σοί.
Ἀποδώσειν σοι. τινὲς τοῦτο τοῦ κλητῆρος εἶναι λέγουσιν ἢ εἰσελθόντος τοῦ Στρεψιάδου ὁ δανειστής φησι πρὸς τὸν μάρτυρα.
Τουτί, τί ἐστιν. εἰσελθὼν ὁ Στρεψιάδης προῆλθε πάλιν τῆς οἰκίας, σφραγίδιον ἢ μαγίδιον ἐξαγαγών. ἀνερωτᾷ οὖν αὐτὸν καὶ πυνθάνεται ὅ, τί ποτε αὐτὸ προσαγορεύοι. ὁ δὲ οὕτως φησὶν ἀρσενικῶς, κάρδοπος. οὗτος δὲ ἀπὸ τοῦ Σωκράτους καρδόπην αὐτὸ δεδίδακται λέγειν. ἵνα οὖν ἀμαθῆ καὶ ἀπαίδευτον ἀπὸ τοῦ πρώτου ἀποδείξῃ τὸν δανειστήν, οὕτω φησίν.
Οὐχ ὅσον γέ μ᾽ εἰδέναι. ἀντὶ τοῦ ὡς νομίζω ἐν ὅσῳ ἐν ἐμαυτῷ εἰμι, καὶ οἶδά τι.
Ἀπολιταργιεῖς. λιταργισμοὺς ἐκάλουν τὰ σκιρτήματα. ἀποδραμῇ. ἀποσκιρτήσεις. καταλείψῃ ἀπὸ τῆς θύρας. ἥτις ἐστὶν ἡ λιτή. ἢ ἀπὸ τοῦ ἀργοῦ, ὃ δηλοῖ τὸ ταχύ, καὶ τὸ λιπεῖν. οὐ ταχέως οὖν φησὶν ἀποδραμῇ. Θήσω πρυτανεῖα. λείπει ἡ γραφὴν κατὰ σοῦ. ἐν γὰρ τῷ πρυτανείῳ ἐτίθεσαν τὰς τῶν ἀδίκων γραφάς. εὐηθικῶς δὲ ἀπαιδεύτως. Προσαποβαλεῖς. ἀντὶ τοῦ ζημιωθήσῃ καὶ τὰ πρυτανεῖα πρὸς ταῖς δώδεκα μναῖς ὅ ἐστι τὸ δέκατον τοῦ τιμήματος τῆς δίκης. ὅπερ καλεῖται συνωνύμως παρακαταβολή.

ἐς τὴν ἕνην τε καὶ νέαν. εἰς δικαστήριον δηλονότι, ὑπὲρ ἑαυτὸν δέ. ἀλλ' ἀνακαλοῦμαι στρεψιάδην, εἰς ἕνην τε καὶ νέαν. ἀπὸ κοινοῦ δὲ τὸ καλοῦμαι. Τοῦ χρήματος. λείπει χάριν ἢ περί. ἀττικῶς. ἕνεκα, τοῦ χρήματος, οἷον τοῦ πράγματος ὃ ἐρωτηματικῶς. εἶτα ἀποκρίνεται ὁ δανειστὴς τῶν δώδεκα μνῶν καὶ τὰ ἑξῆς. Τὸν ψαρόν. τὸν ταχύν. ἀπὸ τοῦ ψαίρειν. ὅθεν καὶ ψηνδρός. ἢ τὸν χρῶμα ποιοῦτον. Τὸν ἀκατάβλητον. τὸν ἀήττητον. τὸν μηδενὶ καταβαλλόμενον. πρὸ δὲ τοῦ. μὰ τὸν δία, τὸ ναὶ ληπτέον ἔξωθεν οὕτως. ναὶ ὤμνυον, οὐ γὰρ ἠπίστατο μὰ τὸν δία ὁ φειδιππίδης καὶ τὰ ἑξῆς. Προσκαταθείην ἄν τι τοῦ ζημιωθείην ἂν τρεῖς ὀβολοὺς ἵνα ἐπιτρέψῃς μοι ὀμόσαι τοὺς θεούς. οὕτω καταφρονῶ τοῦ ὅρκου θεοὶ γάρ, ὥς φασιν οὐκ εἰσί. τὸ δὲ ἑξῆς καὶ προσκαταθείην ἂν τριώβολον ὥστε ὀμόσαι νὴ δία. Διασμηχεὶς. οἱ σμηχόμενοι ἁλσὶ βελτίονες γίνονται ἅμα. καὶ ὅτι τοὺς παραφρονοῦντας ἁλσὶ καὶ ἐλαίῳ διέβρεχον καὶ ὠφελοῦντο. ὡς παχύδερμον δὲ αὐτὸν χλευάζει. τὰ γὰρ παχέα ὑπὸ τῇ ἐπιμελῆς τῶν δερμάτων ἁλσὶ μαλαττόμενα, εὐρύτερα γίνονται, ὡς πλέον χωρεῖν μέτρον. ὄναιτο δὲ διὰ τὸ βάρος τοῦ δέρματος. οἷον ἀποκαθαρθεὶς τὴν παχύτητα. ἡ μεταφορὰ ἀπὸ τῶν βυρσῶν. ταῦτα δὲ λέγει ἢ ἀσκὸν ἢ ἀγγεῖον χαλκοῦν βαστάζων ὡς ἐπ' ἀγγείου ἢ ἀσκοῦ. τινὲς δὲ ὡς ἐπὶ οἴνου. οἱ γὰρ δεχόμενοι ἅλας οὐ τρέπονται. Ἄλλως. τὴν μεταφορὰν εἴληφεν ἀπὸ τῶν κεράμων καὶ τοῦ οἴνου. διὰ ἅλες βάλλονται ὑπὲρ τοῦ μὴ ἐξίστασθαι μηδὲ ὀξίζειν δυσχερῶς. ἢ ἐπεὶ τοὺς ὑπὸ μέθης καὶ ὡς παραφρονοῦντας ὑποβρέχειν εἰώθαμεν ἐλαίῳ ἁλσὶ μεμιγμένῳ. ὡς οὖν τοῦ δανειστοῦ μὴ καθεστηκότος ἀλλὰ καὶ παραφρονοῦντος ὡς ἐπὶ ὁμολογουμένοις ἔξαρνος ἐστίν, οὕτω τῇ μεταφορᾷ ἐχρήσατο. φησὶν οὖν οὗτος ὠφεληθείη διὰ βραχεῖς ἁλσίν. Ἓξ χοάς. πάλιν χλευάζει ὡς ἐπὶ ἀμφορέως καὶ οἴνου. ἢ πρὸς τὸ ἀνωτέρω. ἂν σμηχθῇ πλέον χωρήσει ὥσπερ λήκυθος ἢ ἀσκὸς ἢ ἄλλο τι τῶν ποιούντων. πλέον γὰρ χωρεῖ τῶν ἐμπεφρακότων ἀποβεβλημένων. χοῦς δέ, ἐστὶν εἶδος μέτρου. ᾧ μετροῦσι τὸν οἶνον. ὃ καὶ κλίνεται χοέως ὡς πλέως ὡς καὶ ἐν ἱππεῦσι

δα. ἐς τὴν ἕνην τε καὶ νέαν. στρ. μαρτύρομαι,
ὅτι ἐς δύ' εἶπεν ἡμέρας. τοῦ χρήματος.
δα. τῶν δώδεκα μνῶν, ἃς ἔλαβες ὠνούμενος
τὸν ψαρὸν ἵππον. στρ. ἵππον, οὐκ ἀκούετε,
ὃν πάντες ὑμεῖς ἴστε μισοῦνθ' ἱππικήν;
δα. καὶ νὴ δί' ἀποδώσειν γ' ἐπώμνυς τοὺς θεούς.
τὸ χρέος. στρ. μὰ δί'. οὐ γάρ πω τότ' ἐξηπίστατο.
φειδιππίδης μοι τὸν ἀκατάβλητον λόγον.
δα. νῦν δὲ διὰ τοῦτ' ἔξαρνος εἶναι διανοεῖ;
στρ. τί γὰρ ἄλλ' ἂν ἀπολαύσαιμι τοῦ μαθήματος.
δα. καὶ ταῦτ' ἐθελήσεις ἀπομόσαι μοι τοὺς θεούς,
ἵν' ἂν κελεύσω 'γώ σε. στρ. τοὺς ποίους θεούς.
δα. τὸν δία, τὸν ἑρμῆν, τὸν ποσειδῶ. στρ. νὴ δία.
κἂν προσκαταθείην γ' ὥστ' ὀμόσαι τριώβολον.
δα. ἀπόλοιο τοίνυν ἕνεκ' ἀναιδείας ἔτι.
στρ. ἁλσὶ διασμηχεὶς, ὄναιτ' ἂν οὑτοσί.
δα. οἴμ' ὡς καταγελᾷς. στρ. ἓξ χοᾶς χωρήσεται.
δα. οὔτοι μὰ τὸν δία τὸν μέγαν καὶ τοὺς θεούς,

Μάκαρ ὦ Στρεψίαδες. Στρεψιάδη μὲν ἡ κλητική· ἀλλ' ἵνα παίξῃ εἰς τὸ ὄνομα διέστρεψε τὴν κλητικὴν καὶ ὡς ἄγροικος ἔπλασεν. ἔκθεσις δὲ τῆς διπλῆς περιοδική, εἰς μέλος μονοστροφικὸν τοῦ ὑποκριτοῦ ὀκτάκωλος. ὧν τὸ πρῶτον, ἰωνικὸν ἀπ' ἐλάσσονος δίμετρον καταληκτικόν. εἰ δὲ βούλει ἀντισπαστικὸν πενθημιμερές. τὸ δεύτερον ἰωνικὸν ἀπὸ μείζονος ἑφθημιμερὲς ἀντὶ ἰωνικοῦ ἔχον ἐπίτριτον. τὸ τρίτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ τέταρτον ὅμοιον τῷ δευτέρῳ. τινὲς δὲ ταῦτα τὰ τρία ἀπὸ ἰαμβικῆς βάσεως καὶ τροχαϊκῆς καταλεῖδος. τὸ πέμπτον ἰαμβικὸν ἑφθημιμερές, τὸ ς̄ ἰωνικὸν τρίμετρον καταληκτικὸν ἐκ διτροχαίου καὶ ἐπιτρίτου καὶ κρητικοῦ. εἰ δὲ βούλει τροχαϊκὸν τρίμετρον καταληκτικὸν ἰάμβου κατὰ τὴν τετάρτην χώραν, ὡς ἐπὶ τῆς παραβάσεως τεθεμένου. ἢ τὸ μὲν πέμπτον ἰωνικὸν δίμετρον ἀκατάληκτον. τὸ δ' ἕκτον, ἐξ ἰαμβικοῦ πενθημιμεροῦς καὶ δοχμίου συζυγίας συνῆψε τῇ λέξει καὶ ἑτέραν διαίρεσιν τὴν εἰς ἰαμβικὴν τρίμετρον ὥσπερ καταληκτικὴν καὶ δόχμιον. τὸ ἕβδομον ἰωνικὸν δίμετρον ὥσπερ κατάληκτον ἐξ ἰωνικοῦ καὶ διτροχαίου. ἢ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ὄγδοον ἰωνικὸν ἡμιόλιον ἐκ διτροχαίου καὶ σπονδείου ἢ τροχαϊκὸν ἰθυφαλλικόν. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι. ἡ μὲν ἐν ἀρχῇ. ἡ δὲ κατὰ τὸ τέλος. ἔστι δὲ καὶ ταῦτα πολυσχημάτιστα κατὰ τὸ εἰρημένον πρότερον. εἶτ' ἄνδρα κορωνὶς ὁμοία ταῖς ἐνθείσαις. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. μεθ' ὧν τελευταῖος ὅτι καλέσας ἐνθικῶς τὴν καρδόπον. ἐπὶ τῷ τέλει κορωνίς. ὄρχεται δὲ δανειστὴς τοῦ Στρεψιάδου Πασίας ἄγων μεθ' ἑαυτοῦ καὶ μάρτυρα. πρὸς ὃν διαλέγεται. προϊέναι δὲ ἀντὶ τοῦ προδιδόναι καὶ χρᾶν. ἀσχάλλει δὲ ἐπὶ τῷ μὴ κεκομίσθαι ἅπερ ἐδανείσατο χρήματα. φησὶν οὖν οὐ χρὴ ῥαδίως ἄλλοις προΐεσθαι τὰ ἑαυτοῦ χρήματα. ἐμφαντικῇ δὲ λέξει ἐχρήσατο, εἰπὼν μὴ διδόναι. ὁ γὰρ δῶρον λαβὼν τάχα τὴν χάριν οἶδε τῷ δεδωκότι. ἀλλ' οὔτι δανεῖσαι. ὁ γὰρ δανείζων, ἐπὶ μείζονι ὠφελείᾳ δίδωσί τινι. ἀλλὰ προϊέναι ἐμφαντικῶς, ἀντὶ τοῦ ῥιπτεῖν καὶ ἀπολέσαι καὶ σκορπίζειν. Ἀπερυθριᾶσαι γε μᾶλλον. ἀντὶ τοῦ ἀρνήσασθαι μὴ χρῆσαι. ἢ χρήσαντα πράγματα ἔχειν. αἰσχυνθῆσαι εἰόντα μὴ ἔχειν.

Μάκαρ ὦ Στρεψίαδες
αὐτός τ' ἔφυς ὡς σοφός.
χοἷον τὸν υἱὸν ἐκτρέφεις,
φήσουσι δή μ' οἱ φίλοι
χοἰ δημόται ζηλοῦντες.
ἡνίκ' ἂν σὺ νικᾷς λέγων τὰς δίκας.
ἀλλ' εἰσαγαγών σε βούλομαι
πρῶτον ἑστιᾶσαι.

δαν. εἶτ' ἄνδρα τῶν αὑτοῦ τι χρὴ προϊέναι;
πα. οὐδέποτέ γ' ἀλλὰ κρεῖττον ἦν εὐθὺς τότε
ἀπερυθριᾶσαι γε μᾶλλον, ἢ σχεῖν πράγματα.
ὅτε τῶν ἐμαυτοῦ γ' οὕνεκα νυνὶ χρημάτων
ἕλκω σε κλητεύσοντα καὶ γενήσομαι.
ἐχθρὸς ἔτι πρὸς τούτοισιν ἀνδρὶ δημότῃ.
ἀτὰρ οὐδέποτέ γε τὴν πατρίδα καταισχυνῶ
ζῶν. ἀλλὰ καλοῦμαι Στρεψιάδην. στρ. τίς οὑτοσί.

Ἵν' αἱ θέσεις. αἱ δίκαι καὶ αἱ παραβολαὶ τῶν πρυτανείων. ἅπερ μισθὸς ἦν τῆς εἰσαγωγῆς τῆς δίκης. Ἄλλως. θέσεις τὰ δικαστήρια· παρὰ τὸ τοὺς δικαζομένους δραχμὴν τῷ δημοσίῳ διδόναι. Ἵν' ὦ μέλε. ἵνα φησὶ παρόντες οἱ ἐναγόμενοι εἰ συνίδοιεν ἑαυτοῖς ἀδικοῦσι καὶ ὀφείλουσι, πρὸ τοῦ δικάζεσθαι ἀπαλλάττοιντο, διαλυσάμενοι πρὸς τοὺς δανειστὰς, διὰ τῆς τῶν τόκων ἀποδόσεως. εἰ δὲ μὴ οἰκεία ἀποδοῖεν γνώμῃ, ὑπὸ τοῦ δικαστηρίου λυποῖντο. εἰς σκέψιν οὖν αὐτοῖς φησὶν ἐδίδοτο ἡ τριακοστή. Ἄλλως. ἵνα πρὸ μιᾶς ἡμέρας παραστάντες οἱ κατηγορούμενοι διαλυθῶσιν. εἰ δὲ μὴ, τῇ νουμηνίᾳ δικάζοιντο. εἰς σκέψιν οὖν αὐτοῖς ἡ τριακοστὴ συνεχωρεῖτο, ἵνα παρόντες τῇ κλήσει συνίδοιεν τὰς ἡμέρας ἐν αἷς μέλλει τῶν ἐχθρῶν δικάζοιντο. Ὑπανιῷντο. αὐτὶ τοῦ μετὰ βίας ἀπαιτοῖντο. ἔθος γὰρ ἦν καταβάλλειν τῇ νουμηνίᾳ.

ἵν' αἱ θέσεις γίγνοιντο τῇ νουμηνίᾳ.
ΣΤΡ. ἵνα δὴ τί τὴν ἕνην προσέθηκεν. ΦΕΙ. ἵν' ὦ μέλε
παρόντες οἱ φεύγοντες ἡμέρᾳ μιᾷ
πρότερον, ἀπαλλάττοινθ' ἑκόντες. εἰ δὲ μὴ,
ἕωθεν ὑπανιῷντο τῇ νουμηνίᾳ.
ΣΤΡ. πῶς οὐ δέχονται δῆτα τῇ νουμηνίᾳ.
ἀρχαὶ, τὰ πρυτανεῖ'. ἀλλ' ἕνῃ τε καὶ νέᾳ
ΦΕΙ. ὅπερ οἱ προτένθαι γὰρ δοκοῦσί μοι παθεῖν.
ἵν' ὡς τάχιστα τὰ πρυτανεῖ' ὑφελοίατο;
διὰ τοῦτο προὐτένθευσαν ἡμέρᾳ μιᾷ.
ΣΤΡ. εὖγ' ὦ κακοδαίμονες. τί κάθησθ' ἀβέλτεροι.
ἡμέτερα κέρδη τῶν σοφῶν. ὄντες λίθοι.
ἀριθμός. πρόβατ' ἄλλως. ἀμφορῆς νενασμένοι.
ὥστ' εἰς ἐμαυτὸν καὶ τὸν υἱὸν τουτονὶ.
ἐπ' εὐτυχίαισιν ᾀστέον μοὐγκώμιον.

Ἕνη τε καὶ νέα ἀποδεικτικὸς ὁ τόπος. ὅτι ἕνη καὶ νέα λέγεται ἡ τριακάς. αὕτη διέσταλκε γὰρ πρὸς νουμηνίαν. ἀρχαὶ δὲ οἱ ἄρχοντες. πρυτανεῖα δὲ τὰ διδόμενα ἀπὸ τῶν δικαζομένων τῷ δημοσίῳ ἀργύρια. Ὅπερ οἱ προτένθαι. οὐκ ἔτι γὰρ δίδοται αὐτοῖς ἡ σκέψις ἡ πρὸ μιᾶς. ἀλλ' εὐθὺς ἐπὶ τὸ καταβάλλειν ὁρμῶσιν. εἰκὸς γὰρ αὐτοὺς ἀποσκεπτομένους τῇ ἐνδοσίμῳ τριακοστῇ, καταβάλλειν χωρὶς δίκης τὸ χρέος. καὶ μηκέτι τούτους λαμβάνειν τὰ πρυτανεῖα. διὰ τοῦτο τοίνυν προέλαβον τὴν προθεσμίαν ἀπὸ τοῦ ἐπιθυμητικῶς ἔχειν. ὑπὸ τοῦ κερδαίνειν ἡττώμενοι. προτένθαι δὲ οἱ προλαμβάνοντες καὶ προεσθίοντες τὰ ὄψα πρὶν εἰς ἀγορὰν κομισθῆναι, καὶ μετὰ πιπράσκοντες πλείονος. οἱ νῦν παράβολοι καλούμενοι, ἢ λίχνοι, ἢ ἀκρατεῖς. Ὑφελοίατο λάβοιεν. οὐκέτι γὰρ δίδοται αὐτοῖς ἡ σκέψις ἡ πρὸ μιᾶς. ἀλλ' εὐθὺς ἐπὶ τὸ καταλαβεῖν ὁρμῶσι. Προὐτένθευσαν. προελιμβεύσαντο προελιχνεύσαντο. προὐθέμευσαν ἡμέραν μίαν. προέλαβον τὴν προθεσμίαν ὑπὸ τοῦ ἐπιθυμητικῶς ἔχειν τοῦ κέρδους. Ἀβέλτεροι. ἀνόητοι. βέλτερος γὰρ ὁ φρόνιμος. ἢ ἀπαίδευτοι. πρὸς δὲ τοὺς δανειστὰς τρέπεται τὸν λόγον. διὰ γὰρ τοῦ μωροῦ δοκιμάζεται ὁ φρόνιμος.

Ἔνη γάρ ἐστιν· ἀντὶ τοῦ λέγει τῷ ὁμολογουμένῳ· ὅτι οὐκ ἔστιν ἡμέρα μία ἔνη καὶ νέα, ἀλλὰ δύο. ὅτι οὐ δυνατὸν τὰς δύο ἡμέρας μίαν γενέσθαι. καὶ δεικνῦσιν ὅτι οὐ τῆς μιᾶς ἡμέρας ἐστὶ τὰ ὀνόματα. ἀλλὰ τὸ μὲν τῆς λʹ ἔνη· τὸ δὲ τῆς νουμηνίας, ἡ νέα. ἄλλως. παίζει ἐνταῦθα ἐρωτῶν· ἔνη γάρ ἐστι καὶ νέα τις ἡμέρα. ὥσπερ καὶ εἰς τὸ ἀλεκτρύαινα καὶ ἀλεκτρυών. ἡ αὐτὴ γάρ ἐστιν ἔνη καὶ νέα. ἡ γὰρ τοῦ μηνὸς πρώτη ἀρχή τε ἐστι τῶν ἀπολοίπων καὶ νέα. ἐκ ταύτης γὰρ τὰ τῆς σελήνης χωρεῖ πρὸς αὔξησιν.

Φε. Ἔνη γάρ ἐστι καὶ νέα τις ἡμέρα;
Στ. εἰς ἥν γε θήσειν τὰ πρυτανεῖά φασί μοι.
Φε. ἀπολοῦντ' ἄρ' αὔθ' οἱ θέντες· οὐ γὰρ ἔσθ' ὅπως
μί' ἡμέρα γένοιτ' ἂν ἡμέραι δύο.
Στ. οὐκ ἂν γένοιτο. Φε. πῶς γάρ, εἰ μή περ γ' ἅμα
αὐτὴ γένοιτο γραῦς τε καὶ νέα γυνή.
Στ. καὶ μὴν νενόμισταί γ'. Φε. οὐ γὰρ οἶμαι τὸν νόμον
ἴσασιν ὀρθῶς ὅ, τι νοεῖ. Στ. νοεῖ δὲ τί;
Φε. ὁ σόλων ὁ παλαιὸς, ἦν φιλόδημος τὴν φύσιν.
Στ. τουτὶ μὲν οὐδέν πω πρὸς ἔνην τε καὶ νέαν.
Φε. ἐκεῖνος οὖν, τὴν κλῆσιν εἰς δύ' ἡμέρας
ἔθηκεν. εἴς τε τὴν ἔνην τε καὶ νέαν.

Πλάτων περὶ τοῦ μὴ δεῖν δανείζεσθαι. τὴν δὲ τράπεζαν ἡ καλὴ αὐλὶς ἡ πένεθος αὐτίκα κοσμήσει τοῖς κεραμεοῖς καθαρωτέροις οὖσι τῶν ἀργυρῶν. οὐκ ὄζει τόκου βαρὺ καὶ δυσχερὲς ὥσπερ εἰ οὐ καθ' ἡμέραν ἀπορρυπαίνοντος τὴν πολυτέλειαν. οὐδ' ἀναμνήσει τῶν καλανδῶν καὶ τῆς νεομηνίας. ἣν ἱερωτάτην ἡμερῶν οὖσαν ἀποφράδα ποιοῦσιν οἱ δανεισταὶ καὶ στύγιον.

Γραῦς τε καὶ νέα. διὰ τοῦτο τὸ παράδειγμα τῆς γυναικὸς ἔθηκε, διὰ τὸ τὴν ἔνην ἀρχαίαν καὶ παλαιὰν καὶ ὥσπερ τέλος τοῦ ὄπισθεν μηνὸς ἡγεῖσθαι. νέαν δὲ τὴν τριακοστὴν πρώτην· ἀφ' ἧς ὁ μὴν ἄρχεται. Ἀπολοῦντ' ἄρ'. ζημιωθήσονται ἅπερ ἀναλώσουσι. σοφίζεται γὰρ ὅτι οὐ δύναται εἶναί τις ἡμέρα ἡ αὐτὴ ἔνη καὶ νέα. Ὁ σόλων ὁ παλαιός. ἀρχὴ αὕτη τῆς τοῦ νόμου διηγήσεως ἐκμαρτυρεῖται δὲ τῷ ἑτέρας. οἱ τὰ μὲν ὀνόματα τῶν νομοθετῶν ἴσασιν· οὐ μέντοι τοὺς νόμους. Τουτὶ μὲν οὐκ ἀνασχόμενος ὁ στρεψιάδης ἀκοῦσαι πάντα τὸν λόγον, ἐκ παρακοπῆς τοῦτό φησι τὸ οὐδέν ἐστι τοῦτο πρὸς τὴν ἔνην τε καὶ νέαν. Τὴν κλῆσιν. τὴν ἐν ταῖς δίκαις εἰσαγωγήν. καλοῦνται γὰρ εἰς τὰ δικαστήρια. Εἰς δύ' ἡμέρας. ἐγχειρεῖ λέγειν ὅτι οὐκ ἔστι μία ἡμέρα ἔνη καὶ νέα. ἀλλ' ὅτι δύο. ἔνη μὲν ἡ λʹ νέα δὲ ἡ νουμηνία. τὰς οὖν κλήσεις τῶν δικῶν τῇ λʹ φασὶ γενέσθαι ὅπως ὁ κληθεὶς εἰς τὴν δίκην, ἔχῃ τὴν τριακοστὴν ὅλην εἰς διασκέψασθαι περὶ αὐτοῦ καὶ μὴ ἀποτομίᾳ ζημιωθῇ. ὥστε καλεῖσθαι καὶ τὰ πρυτανεῖα θεῖναι ἐν τῷ δήμῳ. οὐ χεῖρον δὲ καὶ τὰ παρὰ πλουτάρχῳ περὶ σόλωνος παραθέσθαι. συνιδὼν γάρ φησι τοῦ μηνὸς τὴν ἀνωμαλίαν καὶ τὴν κίνησιν τῆς σελήνης οὔτε δυομένῳ τῷ ἡλίῳ πάντως οὔτε ἀνίσχοντι συμφερομένην, ἀλλὰ πολλάκις τῆς αὐτῆς ἡμέρας καὶ καταλαμβάνουσαν καὶ παρερχομένην τὸν ἥλιον, αὐτὴν μὲν ἔταξε ταύτην ἔνην καὶ νέαν καλεῖσθαι· τὸ μὲν πρὸ συνόδου μόριον αὐτῆς, τῷ παυομένῳ μηνί. τὸ δὲ λοιπὸν ἤδη τῷ ἀρχομένῳ προσήκειν ἡγούμενος. πρῶτος ὡς ἔοικεν ὀρθῶς ἀκούσας ὁμήρου λέγοντος· τοῦ μὲν φθίνοντος μηνὸς, τοῦ δ' ἱσταμένοιο. τὴν δ' ἐφεξῆς ἡμέραν νουμηνίαν ἐκάλεσεν. τὰς ἀπ' εἰκάδος οὐ προστιθεὶς ἀλλ' ἀφαιρῶν καὶ ἀναλύων ὥσπερ τὰ φῶτα τῆς σελήνης ἑώρα μέχρι τριακάδος ἠρίθμησεν.

δέκατον ἐκ διτροχαίου ἀντισπαστικοῦ ἐπιτρίτου τετάρτου καὶ διιάμβου. τὰ ἑξῆς δύο χοριαμβικὰ δίμετρα βραχυκατάληκτα. τὸ τρισκαιδέκατον, ἐκ χοριάμβου καὶ σπονδείου. τὸ ιδʹ, σπονδειακὴ ταυτοποδία. τὸ ιεʹ. ἐκ παίωνος τετάρτου καὶ ἰάμβου. τὸ ιϛʹ, ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον. τὸ ιζʹ, δακτυλικὸν δίμετρον ἀκατάληκτον. τὸ ιηʹ, ὅμοιον τῷ ιϛʹ. τὰ ἑξῆς δῆλα. ζητητέον δὲ περὶ πάντων ἀκριβέστερον. Ἄλλως. παρὰ τὰ ἐκ Πηλέως Εὐριπίδου. ἀναφορεῖ γὰρ ἰὼ πύλαισιν ἤτις ἐνδόμοις. καὶ Φρύνιχος Σατύροις. βοάσομαι γ' ἄρα τὰν ὑπέρτονον βοάν. χορικὴ περιπλοκὴ εἴρηται καὶ διαλέκτῳ Δωρίδι. ὑπέρτονον δέ, μεγάλην ὑπέροχον. φησὶ γὰρ εἰ οὕτως ὁ παῖς ἐκπεπαίδευται, μέγιστον ὑπὸ χαρᾶς ἐκβοήσομαι. Ἀμφήκει γλώττῃ. ὡς ἀπὸ εὐθείας τῆς ἀμφίκης. ἀκόλουθον δὲ τὸ οἴμοι στομώσεις αὐτόν, ἐπὶ μὲν θάτερα οἵαν δικιδίοις. Λυσανίας. λύων τὰς τοῦ πατρὸς ἀνίας. ἐκτεταμένως δὲ προσενεκτέον τὴν πρώτην καὶ τὴν τρίτην συλλαβήν. πρὸς δὲ τὴν ὀνομασίαν τὸν Σοφοκλέα μυκτηρίζει λέγοντα. διὰ τοῦτο ἀγριτονικομάχαν καὶ Πασανίαν καὶ Ἀτρείδαν. Χροιάν. ὡς ἐκ τῆς ἀσκήσεως ὠχριάσαντος. οἱ Ἀττικοὶ δὲ παροξύνουσι τὴν χροιάν. Ἰδεῖν εἶ. λείπει ἡ εἰς. ἵν' ᾖ εἰς τὸ ἰδεῖν ἐξαρνητικὸς δέ, ἀρνεῖσθαι δυνάμενος. Τί λέγεις σύ. τὸ περὶ τὴν συνήθειαν καὶ ἀνὰ χεῖρα ἐχρήσατο. εἰώθαμεν γὰρ ἐν ταῖς τῶν ἐναντίων διαλέξεσι λέγειν τί λέγεις σύ. ὅτε γὰρ τοὺς ἐναντίους καταπλῆξαι βουλόμεθα, τῇ τοιαύτῃ φωνῇ χρώμεθα, οἱ, παναισχυντοῦντες παρὰ Ἀθηναίοις ἀνθιστάμενοι ἔλεγον τί λέγεις σύ. Ἀτεχνῶς. ἄγαν ἀκριβῶς. ἐπανθεῖ δέ, πλεονάζει ἀκμάζει. Βλέπος, ἀντὶ τοῦ πανοῦργον τὸ βλέμμα. τὸ δὲ χʹ πρὸς τὸν σχηματισμὸν τῆς λέξεως. τοὺς μὲν γὰρ Ἀττικοὺς ἐπὶ ἀναιδείᾳ διέβαλλον. τοὺς δὲ Ἀθηναίους ἐπὶ ἀναιδείᾳ καὶ τὸ ἱκανοὺς εἶναι λέγειν.

ὅσος ἐμοὶ τρέφεται
τοῖσδ' ἐνὶ δώμασι παῖς.
ἀμφήκει γλώττῃ
λάμπων. πρόβολος ἐμός.
σωτὴρ δόμοις. ἐχθροῖς ἀνιαρός.
λυσανίας πατρῴων μεγάλων κακῶν.
ὃν κάλεσον τρέχων.
ἔνδοθεν ὡς ἐμέ.
ὦ τέκνον. ὦ παῖ παῖ.
ἔξελθ' οἴκων.
ἄιε σοῦ πατρός.
σω. ὅδ' ἐκεῖνος ἀνήρ.
στρ. ὦ φίλος. ὦ φίλος.
σω. ἄπιθι σὺ λαβών.
στρ. ἰὼ. ἰὼ τέκνον.
ἰοῦ. ἰοῦ.
ὡς ἥδομαί σου πρῶτα τὴν χροιὰν ἰδών.
νῦν μέν γ' ἰδεῖν εἶ πρῶτον ἐξαρνητικὸς
κἀντιλογικὸς καὶ τοῦτο τοὐπιχώριον,
ἀτεχνῶς ἐπανθεῖ. τὸ, τί λέγεις σύ. καὶ δοκεῖν
ἀδικοῦντ' ἀδικεῖσθαι. καὶ κακουργοῦντ' οἶδ' ὅτι
ἐπὶ τοῦ προσώπου τ' ἐστὶν, Ἀττικὸν βλέπος.
νῦν οὖν ὅπως σώσῃς μ' ἐπεὶ κἀπώλεσας.
φει. φοβεῖ δὲ δὴ τί. στρ. τὴν ἕνην τε καὶ νέαν.

δέκα. δεύτερα ἐπὶ δέκα. ἄχρι τῆς θ'. τὴν γὰρ εἰκάδα. οὕτω καλοῦσι. τὴν δὲ εἰκάδα πρώτην, ὑστέραν δεκάδα καὶ τὴν μετ' αὐτὴν β' φθίνοντος. ἕως β' φθίνοντος. ἥτις ἐστὶν κθ'. τὴν δὲ τριακάδα ἕνην τε καὶ νέαν φασί. Θείς μοι πρυτανεῖα. τὰς γὰρ δικάδας τοῦ χρέους καταβάλλοντες τοῖς πρυτανεῦσιν εἰσῆγον τοὺς χρεωφειλοῦντας. πρυτανεῖα δὲ τὰ νῦν καλούμενα παρὰ ῥωμαίοις σπόρτυλα. μέμνηται τῆς λέξεως καὶ ἰσοκράτης ἐν τῇ πρὸς καλλίμαχον παραγραφῇ. ἔστι δὲ καὶ παρὰ τοῖς ἄλλοις ἀττικοῖς τὰ πρυτανεῖα. ἦν δὲ ἀργύριόν τι ὅπερ κατετίθεσαν οἱ δικαζόμενοι ἀμφότεροι καὶ ὁ φεύγων καὶ ὁ διώκων. ἄλλως. δίκας. ἐκταγάς. αὗται γὰρ εἰς τὸ πρυτανεῖον συνήγοντο. τὸ δὲ ἦν δημόσιον τι θησαυροφυλάκιον. Ὀλίγον γάρ μοι μέλει. ἀντὶ τοῦ οὐδὲ ὀλίγον φροντίζω λοιπὸν τῶν δανειστῶν, διὰ τὸ μεμαθηκέναι δηλαδὴ τὸν υἱὸν τὸν ἥττω λόγον. ὃς περιεγένετο τῶν δίκαια λεγόντων. Πρῶτον λαβέ. θύλακον ἀλφίτων δίδωσιν αὐτῷ. καὶ γὰρ αὐτῷ εἶπε διαλφιτώσω σε κύκλῳ τὴν καρδόπον. Ἐπιθαυμάζειν. θαυμαστῇ τιμᾶν καὶ δεξιοῦσθαι. Ἀρτίως. διαφέρει τὸ ἄρτι τοῦ ἀρτίως παρὰ ἀττικοῖς. ἄρτι μὲν γὰρ ἀντὶ τοῦ νῦν, ἀρτίως δὲ πρὸ ὀλίγου.

θείς μοι πρυτανεῖ' ἀπολεῖν μέ φησι κἀξολεῖν,
ἐμοῦ μέτριά τε καὶ δίκαι' αἰτουμένου.
ὦ δαιμόνιε τὸ μέν τι νυνὶ μὴ λάβῃς,
τὸ δ' ἀναβαλοῦ μοι, τὸ δ' ἄφες, οὔ φασί ποτε
οὕτως ἀπολήψεσθ' ἀλλὰ λοιδοροῦσί με,
ὡς ἄδικός εἰμι. καὶ δικάσασθαί φασί μοι.
νῦν οὖν δικαζέσθων. ὀλίγον γάρ μοι μέλει.
εἴπερ μεμάθηκεν εὖ λέγειν φειδιππίδης.
τάχα δ' εἴσομαι, κόψας τὸ φροντιστήριον.
παῖ ἠμί παῖ παῖ. σω. στρεψιάδην ἀσπάζομαι.
στρε. κἄγωγέ σ', ἀλλὰ τουτονὶ πρῶτον λαβέ.
χρὴ γὰρ ἐπιθαυμάζειν τι τὸν διδάσκαλον.
καί μοι τὸν υἱὸν εἰ μεμάθηκε τὸν λόγον
ἐκεῖνον, εἴφ' ὃν ἀρτίως εἰσήγαγες.
σω. μεμάθηκεν. στρε. εὖ γ' ὦ παμβασίλει' ἀπαιόλη.
σω. ὥστ' ἀποφύγοις ἂν ἥντιν' ἂν βούλῃ δίκην.
στρε. κεἰ μάρτυρες παρῆσαν ὅτ' ἐδανειζόμην;
σω. πολλῷ γε μᾶλλον κἂν παρῶσι χίλιοι.
στρ. βοάσομ' ἄρα τὰν ὑπέρτονον
βοάν. ἰὼ κλάετ' ὦ 'βολοστάται.
αὐτοί τε καὶ τἀρχαῖα καὶ τόκοι τόκων.
οὐδὲν γὰρ ἄν με φλαῦρον ἐργάσαισθ' ἔτι.

Ἀπαιόλη, πέπλακεν ὄνομα δαίμονος σωματοποιήσας αὐτὴν παρὰ τὸ ἀπαιολεῖν καὶ κινεῖν καὶ στρέφειν. ἢ πρὸς τοιαύτην ὡς ἂν εἴποι τις ὦ ἀδικία. ἀριστοφάνης δὲ ὀξύνεσθαί φησι τὴν ἐσχάτην ἀπαιόλη. τὸ δὲ ὥστε πρὸς τὸ μεμάθηκε. τὸ γὰρ ὦ παμβασίλεια, διὰ μέσου.

Βοάσομ' ἄρα. διπλῆ εἴσθεσις εἰς μέλος ἀμοιβαῖον, τῶν ὑποκριτῶν εἰκοσάκωλος. τὸ μὲν πρῶτον, ἐξ ἰαμβικῆς βάσεως. τῶν ἄρα δύο βραχειῶν ἀντὶ μιᾶς μακρᾶς λογιζομένων, καὶ τροχαϊκοῦ πενθημιμεροῦς. τὸ δεύτερον ἐξ ἰαμβικῆς βάσεως καὶ τροχαϊκοῦ ἐφθημιμεροῦς. τὰ δὲ ἑξῆς δύο ἰαμβικὰ τρίμετρα ἀκατάληκτα μεθ' ἃ δακτυλικὰ πενθημιμερῆ τρία. τὸ ὄγδοον ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ χορείου δίμετρον. τὸ ἔνατον ἐξ ἀντιτρίτων τρίτων δίμετρον ὑπερκατάληκτον. τὸ

Τὴν νύκτα ὅτι ἀνάγκη ἐστὶ μετελθεῖν τὴν νύμφην. Ἐν αἰγύπτῳ. ἐπεὶ μὴ ὕει ἐκεῖ αὐτόθι ὡς ἡρόδοτος. ἐκεῖ γὰρ θελήσει τυχεῖν ἔνθα μὴ βλαβήσεται ἐκ τῶν νεφελῶν ὡς πορρωτάτω τῆς πατρίδος. ἢ ὡς ἐπὶ κατάραν. ἐπεὶ καταρᾶται. ἐλέγετο γὰρ λυπεῖσθαι ἢ αἰγύπτιος. αἰσχύλος. δεινοὶ πλέκειν τοι μηχανὰς αἰγύπτιοι. καὶ θεόκριτος ἐν ἀδωνιαζούσαις. οὐδεὶς κακοεργὸς δαλεῖται τὸν ἰόντα παρέρπων αἰγυπτιστί. καὶ αἰγυπτιάζειν τὸ ὕπουλα πράττειν. Πέμπτη. κορωνὶς εἰσιόντων τῶν ὑποκριτῶν. καὶ ἔκθεσις παρὰ τοὺς τετραμέτρους, ἔστι γὰρ τὰ ἑξῆς ἰαμβικὰ τρίμετρα κγ΄. ἐξέρχεται δὲ ὁ στρεψιάδης ἀριθμῶν τὰς ἡμέρας. οὕτω δὲ ἠρίθμουν ἀθηναῖοι. τὰς μὲν ἀπὸ νουμηνίας ὁμοίως ἡμῖν. λέγοντες πρώτη ἱσταμένου δευτέρα ἱσταμένου. μέχρι τῶν δέκα. μεθ' ἣν πρώτην ἐπὶ δέκα. εἶτα δευτέραν ἐπὶ δέκα. καὶ ἑξῆς ἄχρι εἰκοστῆς. ἢ αὐτὴ καὶ εἰκάς. μεθ' ἣν ἑνδεκάτην φθίνοντος. ἢ δεκάτην. ἢ ἐνάτην. ἢ ὀγδόην ὡς ἔτυχεν ἔχων ὁ μήν. καὶ ἑξῆς ἀναλύοντες ἄχρι δευτέρας. οὕτω γὰρ ἀθηναῖοι ἠρίθμουν οὐ προστιθέντες, ἀλλ' ἀφαιροῦντες καὶ ἀναλύοντες μέχρι τριακάδος. σόλωνος ἡγησαμένου πρὸς τὰ τῆς σελήνης φῶτα οὕτω μειούμενα. μετὰ δὲ δευτέραν ἀντὶ τοῦ ἕνην τουτέστι τὴν τελευταίαν τοῦ μηνὸς ἡμέραν. Ἄλλως. πέμπτη. τετρὰς οὐ προσέθηκε τὸ, φθίνοντος. οὕτω γάρ φασιν ἀθηναῖοι μετροῦσιν. ἀπὸ πρώτης ἕως δευτέρας προτιθέασι τὸ ἱσταμένου. ἀπὸ τρισκαιδεκάτης ἕως ἐννεακαιδεκάτης, τὸ ἐπὶ δέκα. εἶτα ἡ μεγάλη εἰκάς. ἀπὸ εἰκοστῆς πρώτης ἕως εἰκοστῆς ἐνάτης τὸ φθίνοντος. τὴν δὲ τριακοστὴν ἕνην τε καὶ νέαν. ἐπεὶ μετέχει τοῦ τε παλαιοῦ καὶ τοῦ νέου φωτός. ταυτὸν καὶ δημητριάδας προσηγόρευσαν. τὴν οὖν εἰκοστὴν δευτέραν. ἐκάλουν ἐννάτην φθίνοντος. τὴν εἰκοστὴν τρίτην, ὀγδόην τὴν εἰκοστὴν τετάρτην, ζ΄. τὴν εἰκοστὴν πέμπτην ϛ΄, τὴν εἰκοστὴν ἕκτην ε΄. τὴν εἰκοστὴν ἑβδόμην δ΄. τὴν εἰκοστὴν ὀγδόην γ΄. τὴν εἰκοστὴν ἐνάτην β΄. εἶτα τὴν τριακοστὴν ἕνην τε καὶ νέαν. ἐν ᾗ τόκοι ἀπῃτοῦντο. ἐπεὶ ἐν αὐτῇ συντελεῖται ὁ μὴν καὶ ἀρχὴν ἔχει τοῦ ἑτέρου μηνὸς τῆς σελήνης. ὥστε ἡ μὲν εἰκοστὴ ἕκτη παρ' αὐτοῖς πέμπτη ἀκούει. ἡ δὲ εἰκοστὴ ἑβδόμη, τετρὰς λέγεται. Ἕνη καὶ νέα. ἡ νουμηνία. οὐ τῇ παρ' ἀθηναίοις ἡ παρ' ἡμῖν τριακάς. ἐπειδὴ συμβαίνει ἐν αὐτῇ καταλήγειν τὴν σελήνην καὶ γενέσθαι. τότε δὲ τοὺς μὴ ταχέως ἀποδιδόντας τοὺς τόκους ἢ τὰ δάνεια, ἀπῄτουν ὡς ὑπερόρους. διὸ λυπεῖσθαί φησιν ὡς ὁρῶν ἐνισταμένην ἕνην καὶ νέαν. ἡ δέ ἐστιν ἡ καλουμένη εἰκὰς φθίνοντος. ἕνη καὶ νέα ἡ νουμηνία. διὰ μὲν οὖν τὸ παρελθεῖν τὸν μῆνα ἕνη. διὰ δὲ τὴν ἀρχήν, νέα. Ἄλλως. ἡ καλουμένη νουμηνία διὰ τὸ τοῦ μὲν παρελθόντος μηνὸς εἶναι τέλος. ἀρχὴν δὲ τοῦ ἐνισταμένου. τὰς δὲ τριάκοντα ἡμέρας τῆς σελήνης, εἰς τρεῖς δεκάδας ἀθηναῖοι διαιροῦσι. καὶ τὴν μὲν πρώτην ὡς ἡμεῖς ἀπαριθμοῦνται. τὴν δὲ δευτέραν οὕτως. πρώτη ἐπὶ

ὕειν μὲν τὴν νύκτα πᾶσαν. ὥστ' ἴσως βουλήσεται
καὶ ἐν αἰγύπτῳ τυχεῖν ὢν μᾶλλον ἢ κρῖναι κακῶς.
στρε. πέμπτη. τετράς. τρίτη μετὰ ταύτην, δευτέρα.
εἶθ' ἣν ἐγὼ μάλιστα πασῶν ἡμερῶν
δέδοικα καὶ πέφρικα καὶ βδελύττομαι.
εὐθὺς μετὰ ταύτην ἔσθ' ἕνη τε καὶ νέα.
πᾶς γάρ τις ὀμνύς, οἷς ὀφείλων τυγχάνω,

Τ ἰδῆτα. πότερον. σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ὀκτώ. ἐν ἐκθέσει δὲ κῶλα ἰαμβικὰ δίμετρα καταληκτικὰ ἤτοι ἑφθημιμερῆ. ἔχει δὲ τὸ δεύτερον κῶλον τὸν δεύτερον πόδα τρίβραχυν ἤτοι χορεῖον. ἐπὶ τῷ τέλει παράγραφος. Στομώσεις. ὀξύνεις ἢ εὔστομον ποιήσεις. ἡ μεταφορὰ ἀπὸ τῶν μαχαιρῶν. Ἐπὶ θάτερα. τὸ μὲν ἕτερον μόρος τῆς γνάθου οἷον δικιδίοις. τουτέστι δυνατὴν καὶ ἔμπειρον δικῶν. ὑποκοριστικῶς δὲ τὸ δικιδίοις. Τοὺς κριτὰς ἃ κερδανοῦσιν. καὶ ταῦθα παράβασίς ἐστιν. ἔχει δὲ οὐ πάντα τὰ μέρη τῆς παραβάσεως. ἀλλὰ μόνον τὸ ἐπίρρημα τῆς παραβάσεως. ἐν ᾧ ἔθος ἢ χρηστὰ συμβουλεύειν τῇ πόλει, ἢ σκώπτειν τοὺς πονηρούς. τίθενται γὰρ οὐ μόνον τέλειαι παραβάσεις, ἀλλὰ καὶ μέρη τινὰ αὐτῶν. ἔστι δὲ τὸ παρὸν ἐπίρρημα ἐκ στίχων τροχαϊκῶν τετραμέτρων καταληκτικῶν. ιϛ΄. ὧν πλουταῖος καί, ἐν ἀγυιῷ τυχεῖν ὧν μᾶλλον ἢ κρῖναι καλῶς. ἀπατικὴ δὲ αὐτὴ δὐδείας. αὐτὴ τοῦ οἱ κριταί. ὅμηρος μητέρα δ' εἴποι θυμὸς ἐπιτρύνει γαμέεσθαι, αὐτὴ τοῦ ἡ μήτηρ. Ὠφελῶσ' ἐκ τῶν δικαίων. συναγωνίζωνται καὶ συλλαμβάνωνταί τι κατὰ τὸ δίκαιον ἵνα δὲ μὴ χάριτι δοκῇ νικᾶν καὶ τὴν ψῆφον φέρειν ἀλλὰ ταῖς ἀληθείαις, προσέθηκε τοῦτο. Τεκούσας. χαριέντως εἶπε τεκούσας καὶ φυλάξαι ἐπὶ τῆς βλαστήσεως τῆς ἀμπέλου. λίαν γάρ ἐστιν δύσχερὲς τὸ αὐχμὸν πιέζειν αὐτὴ τοῦ ξηρασίαν καταπονεῖν ἀφανίζειν. Σφενδόναις. ὅτι ἡ χάλαζα ὡς λίθος ἐστίν. ἡ μεταφορὰ ἐκ τῶν λίθων καὶ τῶν σφενδονῶν. θέλει δὲ τὴν χιόνα εἰπεῖν. οὐκ ἀκύρως δὲ τὸ παιήσομεν. ἐπειδὴ ἀλθούντων τῶν καρπῶν ἡ χιὼν γίνεται.

Σύστημα κατὰ περικοπήν. στίχων. ή.

ΣΩ. τί δῆτα. πότερον τοῦτον ἐπάγεσθαι λαβὼν
βούλει τὸν υἱόν, ἢ διδάσκω σοι λέγειν.

ΣΤ. δίδασκε. καὶ κόλαζε. καὶ μέμνησ' ὅπως
εὖ μοι στομώσεις αὐτόν. ἐπὶ μὲν θάτερα.
οἷον δικιδίοις. τὴν δ' ἑτέραν αὐτοῦ γνάθον
στόμωσον, οἵαν ἐς τὰ μείζω πράγματα.

ΣΩ. ἀμέλει. κομιεῖ τοῦτον σοφιστὴν δεξιόν.

ΦΕ. ὠχρὸν μὲν οὖν οἶμαι, καὶ κακοδαίμονα.

ΧΟ. χώρει νυν. οἴομαι δέ
σοι ταῦτα μεταμελήσειν.

ΕΠΙΡΡΗΜΑ.

Τοὺς κριτὰς ἃ κερδανοῦσιν, ἤν τι τόνδε τὸν χορὸν
ὠφελῶσ' ἐκ τῶν δικαίων, βουλόμεσθ' ἡμῖν φράσαι.
πρῶτα μὲν γὰρ ἢν νεοῦν βούλησθ' ἐν ὥρᾳ τοὺς ἀγρούς.
ὕσομεν πρώτοισιν ὑμῖν. τοῖσι δ' ἄλλοις ὕστερον
εἶτα τὸν καρπὸν τεκούσας ἀμπέλους φυλάξομεν.
ὥστε μήτ' αὐχμὸν πιέζειν, μήτ' ἄγαν γ' ἐπομβρίαν.
ἢν δ' ἀτιμάσῃ τις ἡμᾶς, θνητὸς ὢν οὔσας θεάς,
προσεχέτω τὸν νοῦν πρὸς ἡμῶν οἷα πείσεται κακά.
λαμβάνων, οὔτ' οἶνον. οὔτ' ἄλλ' οὐδὲν ἐκ τοῦ χωρίου.
ἡνίκ' ἂν γὰρ αἵτ' ἐλᾶαι βλαστάνωσ' αἵτ' ἄμπελοι,
ἀποκεκόψονται. τοιαύταις σφενδόναις παιήσομεν.
ἢν δὲ πλινθεύοντ' ἴδωμεν, ὕσομεν. καὶ τοῦ τέγους
τὸν κέραμον αὐτοῦ χαλάζαις στρογγύλαις συντρίψομεν.
κἂν γαμῇ ποτ' αὐτὸς ἢ τῶν ξυγγενῶν ἢ τῶν φίλων.

84.b.

Ἀ. δύνατος γάρ, οὐ γὰρ δυνατὸς εἶ λόγοις νικῆσαι αὐτοὺς ἀναίτιον. Ἢν ῥαφανιδωθῇ. οὕτω γὰρ τοὺς ἁλόντας μοιχοὺς ᾐκίζοντο. ῥαφανῖδας λαμβάνοντες καθίεσαν εἰς τοὺς πρωκτοὺς τούτων. καὶ παρατίλλοντες αὐτούς, τέφραν θερμὴν ἐπέπασσον, βασάνους ἱκανὰς ἐργαζόμενοι. Τίνα γνώμην. ἀντὶ τοῦ ποίαν ἕξει γνώμην μὴ εὐρύπρωκτος εἶναι. Ἢν δ' εὐρύπρωκτος. ἔκθεσις τῆς διπλῆς ἀμοιβαία. ἧς προτίθενται στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι τέσσαρες. τὰ δὲ λοιπὰ κῶλα εἰσὶν ἰαμβικὰ ὀκτωκαίδεκα δίμετρα ἀκατάληκτα. τὸ μὲν τὸ ἕβδομον καὶ ἑνδέκατον τρίμετρα, καὶ τὸ δέκατον πενθημιμερές. τὸ πεντεκαιδέκατον καὶ ἑπτακαιδέκατον μονόμετρα. τὸ δὲ τελευταῖον ἑφθημιμερές. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι. ἡ μὲν ἐν τῇ ἀρχῇ. ἡ δὲ κατὰ τὸ τέλος. Ἢν τοῦτο. λείπει ἡ εἰς. ἵνα ᾖ εἰς τοῦτο. δύο προθέσεων ἐλλείψεις. ἀντὶ τοῦ εἰς τοῦτο νικηθῇς ὑπ' ἐμοῦ ὅτι οὐκ ἔστι κακὸν εὐρύπρωκτον εἶναι. Τραγῳδοῦσιν, εἰς Φρύνιχόν φασιν αὐτὸν ἀποτείνειν τὸν τραγικὸν χορευτήν. ἐπειδὴ διεβάλλετο ἐπὶ μαλακίᾳ. διὰ ποικιλίαν σχημάτων. Ὦ κινούμενοι. τοῦτο ἄδηλον πότερον ὁ κρείττων λόγος φησὶν ὁμολογῶν ἡττᾶσθαι, ἢ ὁ νεανίσκος ὁ τῶν λόγων κριτής, ὃ καὶ μᾶλλον φαίνεται ἐν τοῖς ἑξῆς ὁ κρείττων λόγος αὐτῷ συνάγεσθαι παραδοθέντι μανθάνειν τῷ ἑτέρῳ. Θοἰμάτιον. ἵνα ἐξ ἑτοίμου καὶ εὐχερῶς χωρίσῃ πρὸς αὐτὸν καὶ μὴ ἐμποδίζοιτο τῷ δρόμῳ.

ἀπόλωλας. ἀδύνατος γὰρ εἶ λέγειν. ἐμοὶ δ' ὁμιλῶν,
χρῶ τῇ φύσει. σκίρτα. γέλα. νόμιζε μηδὲν αἰσχρόν.
μοιχὸς γὰρ ἢν τύχῃς ἁλούς, τάδ' ἀντερεῖς πρὸς αὐτόν,
ὡς οὐδὲν ἠδίκηκας. εἶτ' εἰς τὸν Δί' ἐπανενεγκεῖν.
κἀκεῖνος ὡς ἥττων ἔρωτός ἐστι καὶ γυναικῶν.
καίτοι σὺ θνητὸς ὤν, θεοῦ πῶς μεῖζον ἂν δύναιο.
δι. τί δ' ἢν ῥαφανιδωθῇ τε πειθόμενός σοι, τέφρα τε τιλ
ἕξει τινὰ γνώμην λέγειν, τὸ μὴ εὐρύπρωκτος εἶναι; (θῇ
ἀδι. ἢν δ' εὐρύπρωκτος ᾖ, τί πείσεται κακόν,
δι. τί μὲν οὖν ἂν ἔτι μεῖζον πάθοι τούτου ποτέ.
ἀδι. τί δῆτ' ἐρεῖς ἢν τοῦτο νικηθῇς ἐμοῦ;
δι. σιγήσομαι. τί δ' ἄλλο. ἀδι. φέρε δή μοι φράσον.
συνηγοροῦσιν ἐκ τίνων.
δι. ἐξ εὐρυπρώκτων. ἀδι. πείθομαι.
τί δαὶ τραγῳδοῦσ' ἐκ τίνων,
δι. ἐξ εὐρυπρώκτων. ἀδι. εὖ λέγεις.
καὶ δημαγωγοῦσ' ἐκ τίνων.
δι. ἐξ εὐρυπρώκτων. ἀδι. ἆρα δῆτ'
ἔγνωκας ὡς οὐδὲν λέγεις;
καὶ τῶν θεατῶν ὁπότεροι πλείους, σκόπει.
δι. καὶ δὴ σκοπῶ. ἀδι. τί δῆθ' ὁρᾷς
πολὺ πλείονας, νὴ τοὺς θεούς,
τοὺς εὐρυπρώκτους,
καὶ τουτονὶ γοῦν οἶδ' ἐγώ. κἀκεινονί.
καὶ τὸν κομήτην τουτονί.
ἀδι. τί δῆτ' ἐρεῖς;
δι. ἡττώμεθ'. ὦ κινούμενοι
πρὸς τῶν θεῶν δέξασθέ μου
θοἰμάτιον, ὡς
ἐξαυτομολῶ πρὸς ὑμᾶς.

ὑφ' οὗ καὶ καθαίρεται. ἐκεῖθεν ἐπὶ τὴν θήραν τοῦ καλυδωνίου κάπρου ἐλθών, εὐρυτίωνι ἐντυγχάνει καὶ κτείνει τοῦτον ἄκων. πάλιν οὖν ὁ πηλεὺς ἐκ φθίας φυγὼν ἐς ἰωλκὸν πρὸς ἄκαστον ἀφικνεῖται. καὶ καθαίρεται ὑπ' αὐτοῦ. ἀστυδάμεια δὲ ἡ ἀκάστου γυνὴ ἐρασθεῖσα πηλέως καὶ μὴ πείσασα αὐτὸν διὰ σωφροσύνην συνελθεῖν αὐτῇ καταψεύδεται αὐτοῦ πρὸς ἄκαστον ὡς ἀποπειραθέντος αὐτῆς. ὁ δὲ, κτεῖναι μὲν ὃν καθῆρεν, οὐκ ἠβουλήθη. ἄγει δὲ αὐτὸν εἰς θήραν εἰς τὸ πήλιον. ἀποκοιμηθέντα

Ὑπέρβολος δ' οὑκ τῶν λύχνων πλεῖν ἢ τάλαντα πολλὰ
εἴληφε διὰ πονηρίαν. ἀλλ' οὐ μὰ δί' οὐ μάχαιραν.
ΔΙ. καὶ τὴν θέτιν γ' ἔγημε διὰ τὸ σωφρονεῖν ὁ πηλεύς.
ΑΔΙ. κᾆτ' ἀπολιποῦσά γ' αὐτὸν ᾤχετ'. οὐ γὰρ ἦν ὑβριστής.
οὐδ' ἡδὺς ἐν τοῖς στρώμασι, τὴν νύκτα παννυχίζειν.
γυνὴ δὲ σιναμωρουμένη χαίρει. σὺ δ' εἶ κρόνιππος.
σκέψαι γὰρ ὦ μειράκιον ἐν τῷ σωφρονεῖν ἅπαντα
ἃνεστιν. ἡδονῶν θ' ὅσων μέλλεις ἀποστερεῖσθαι.
παίδων. γυναικῶν. κοττάβων. ὄψων. ποτῶν. κιχλισμῶν.
καίτοι τί σοι ζῆν ἄξιον, τούτων ἐὰν στερηθῇς.
εἶεν. πάρειμ' ἐντεῦθεν ἐς τὰς τῆς φύσεως ἀνάγκας.
ἥμαρτες. ἠράσθης. ἐμοίχευσας. τί. κατελήφθης.

τα δὲ αὐτὸν ἄκαστος καταλιπών, καὶ τὴν μάχαιραν ὑπὸ τὴν κόπρον τῶν βοῶν κρύψας ἐπανέρχεται. ὁ δὲ ἐξαναστὰς καὶ μὴ εὑρὼν τὴν μάχαιραν ἤμελλεν ἀπόλλυσθαι καταλειφθεὶς ὑπὸ τῶν κενταύρων. σώζεται δὲ ὑπὸ χείρωνος. ὃς καὶ τὴν μάχαιραν ἐκζητήσας δίδωσιν αὐτῷ. Ὑπέρβολος. οὗτος λυχνοποιὸς ὤν, πάνυ πανοῦργος ἦν. οὐ γὰρ χαλκῷ μόνον ἐχρῆτο πρὸς τὴν τῶν λύχνων κατασκευὴν, ἀλλὰ καὶ μόλιβδον ἐνετίθει ἵνα πολὺ βάρος ἔχοντες πλείονος ἄξιοι ὦσι. καὶ οὕτως ἠπάτα τοὺς πριαμένους. Κᾆτ' ἀπολιποῦσά γ' αὐτόν. φασὶν ὅτι τοὺς γινομένους παῖδας ἐκ τοῦ πηλέως ἡ θέτις λαμβάνουσα περιέκαιε τὸ θνητὸν αὐτῶν σῶμα, βουλομένη αὐτοὺς ἀθανάτους ποιεῖν. καὶ πολλοὺς ἔκαυσε. καὶ τὸν ἀχιλλέα οὖν τεκοῦσα, ἐπέθηκεν εἰς τὸ πῦρ. καὶ γνοὺς ὁ πηλεὺς ἐβόησεν. ἡ δὲ λυπηθεῖσα ἐχωρίσθη. Ἄλλως. ἡ θέτις εἰς λέβητα ὕδατος ἐνέβαλλε τοὺς ἐκ πηλέως γενομένους γνῶναι βουλομένη εἰ θνητοί εἰσιν. ἑτέρους δὲ εἰς πῦρ ὡς ἀπολλώνιός φησι. καὶ δὴ πολλῶν διαφθαρέντων, ἀγανακτῆσαι τὸν πηλέα καὶ κωλῦσαι τὸν ἀχιλλέα ἐμβληθῆναι εἰς λέβητα. σοφοκλῆς δὲ ἐν ἀχιλλέως ἐρασταῖς φησὶν ὑπὸ πηλέως λοιδορηθεῖσαν τὴν θέτιν καταλιπεῖν αὐτόν. στάφυλος δὲ ἐν τῷ περὶ θεσσαλίας φησὶ χείρωνα σοφὸν ὄντα καὶ ἀστρονομίας ἔμπειρον βουλόμενον τὸν πηλέα ἔνδοξον γενέσθαι, μεταπέμψαι τὴν ἄκτορος θυγατέρα τοῦ μυρμιδόνος καὶ λόγους διασπεῖραι ὅτι μέλλει γαμεῖν τὴν θέτιν πηλεὺς διὸς διδόντος αὐτῷ. οἱ δὲ θεοὶ μετ' ὄμβρου καὶ χειμῶνος ἥξουσιν. ταῦτα φημίσας παρετήρει τὸν χρόνον ἐν ᾧ ὕδατα πολλὰ καὶ πνεύματα ἐξαίσια. καὶ δίδωσι πηλεῖ φιλομήλαν. καὶ οὕτως ἐπεκράτησεν ἡ φήμη. Σιναμωρουμένη. αἰδοῖ συνουσιάζουσα πρὸς μῖξιν. σινάμωρος δὲ ἡ μεμωρουμένη. σίνος δὲ τὸ αἰδοῖον. ὅθεν καὶ σιληνός. σινάμωρον οὖν τὸ πορνικόν. κρόνιππος δὲ ὁ μέγας λῆρος κατὰ τὸ πᾶσιν λαμβανομένου τοῦ ἵππου. Κοττάβων. ἐν συμποσίῳ παίγνιον. ἦν δὲ τοιοῦτον. ἐτίθεσαν λέβητα καὶ τὸ λείψανον τοῦ πόματος ἐνέβαλον. καὶ κτύπον μέγαν ἀπετέλουν καὶ ἐν τούτοις.

Ἐγὼ γὰρ ἥττων. ὅτι πρὸς αὐτὸ ἡττηθῆναι ἢ ὅτι τὰ ἥττονα λέγω ἐπὶ τὸ πάντας ἡττᾶσθαι. Καὶ τοῦτο. τὸ τινὰ λαβόντα δίκην τῷ ἀδίκῳ λόγῳ νικᾶν. τὸ δὲ σκέψαι, πρὸς τὸν φειδιππίδην. Κάκιστόν ἐστι. ἔψοι γὰρ καὶ χαυνοῖ τὰ σώματα. δειλότατον δὲ εἶπεν. ἐκλύει γάρ. Μέσον ἔχω. λαβὼν σε ἄφυκτον ἔχω εὐθὺς μέσον λαβών. ἡ μεταφορὰ δὲ ἀπὸ τῶν παλαιστῶν. λαμβανομένων εἰς τὸ μέσον καὶ ἡττωμένων. τὸ δὲ εὐθὺς ἀντὶ τοῦ ἐν ἀρχῇ. Ἡράκλεια λουτρά. ἴβυκός φησι τὸν ἥφαιστον κατὰ δωρεὰν ἀναδοῦναι ἡρακλεῖ λουτρὰ θερμὰ ὑδάτων. ἐξ ὧν τὰ θερμά τινές φασιν ἡράκλεια γίνεσθαι. οἱ δέ φασιν ὅτι τῷ ἡρακλεῖ μογήσαντι ἡ ἀθηνᾶ θερμὰ λουτρὰ ἐπαφῆκεν ὡς πείσανδρος. Τῷ δ' ἐν θερμοπύλῃσι θεὰ γλαυκῶπις ἀθήνη. ποίει θερμὰ λοετρὰ παρὰ ῥηγμῖνι θαλάσσης. Ἃ τῶν νεανίσκων. ὡς ταῦτα ἀγυμνάστων νεανίσκων λαλούντων. τῶν εὐγενῶν δηλονότι. Ὁ γοῦν πηλεύς. ὅτι ἀφῆκεν αὐτὸν ἄκαστος μεταξὺ θηρίων, οἱ θεοὶ δεδώκασιν αὐτῷ ξίφος πρὸς ἄμυναν τῶν θηρίων. τινὲς δὲ ἐπὶ τῷ πηλίου ἀγῶνί φασι τὸν πηλέα λαβεῖν διὰ σωφροσύνην ἡφαιστότευκτον μάχαιραν. Ἄλλως ὁ πηλεὺς ἐγένετο σωφρονέστατος. καί ποτε ἱππολύτης τῆς γυναικὸς ἀκάστου ἐρασθείσης αὐτοῦ, καὶ μὴ δυνηθείσης πεῖσαι, ἀλλὰ διαβολῇ χρησαμένης ὡς ἄρα ἐπεχείρησε βιάσασθαι αὐτήν, ὁ ἄκαστος μαθών, καὶ λαβὼν αὐτὸν εἰς ἐρημίαν καὶ τῶν ὅπλων γυμνώσας, ἀφῆκεν αὐτὸν καὶ ἀνεχώρησεν εἰπών. εἰ δίκαιος εἶ, σωθήσῃ. ὡς δὲ ἔμελλεν ὑπὸ θηρίων διαφθείρεσθαι οἱ θεοὶ μάχαιραν αὐτῷ ἐχαρίσαντο ἡφαιστότευκτον δι' ἑρμοῦ. καὶ οὕτως ἔφυγε τὸν κίνδυνον. Ἄλλως. πηλεὺς φόνον τοῦ ἀδελφοῦ κατὰ πατρίδα σὺν τελαμῶνι δολοφονήσας φεύγει εἰς φθίαν πρὸς εὐρυτίωνα τὸν ἄκτορος

Ἐγὼ γὰρ ἥττων μὲν λόγος δι' αὐτὸ τοῦτ' ἐκλήθην
ἐν τοῖσι φροντισταῖσιν, ὅτι πρώτιστος ἐπενόησα
καὶ τοῖσι νόμοις καὶ ταῖς δίκαις τἀναντί' ἀντιλέξαι.
καὶ τοῦτο πλεῖν ἢ μυρίων ἔστ' ἄξιον στατήρων,
αἱρούμενον τοὺς ἥττονας λόγους, ἔπειτα νικᾶν.
σκέψαι δὲ τὴν παίδευσιν ᾗ πέποιθεν ὡς ἐλέγξω,
ὅστις σε θερμῷ φησι λοῦσθαι πρῶτον οὐκ ἐάσειν.
καίτοι τίνα γνώμην ἔχων ψέγεις τὰ θερμὰ λουτρά;
δι. ὅτι ἢ κάκιστόν ἐστι, καὶ δειλὸν ποιεῖ τὸν ἄνδρα.
ἀδι. ἐπίσχες. εὐθὺς γάρ σε μέσον ἔχω λαβὼν ἄφυκτον.
καί μοι φράσον. τῶν τοῦ Διὸς παίδων τίν' ἄνδρ' ἄριστον
ψυχὴν νομίζεις, εἰπέ, καὶ πλείστους πόνους πονῆσαι;
δι. ἐγὼ μὲν οὐδέν' ἡρακλέους βελτίον' ἄνδρα κρίνω.
ἀδι. ποῦ ψυχρὰ δῆτα πώποτ' εἶδες ἡράκλεια λουτρά;
καίτοι τίς ἀνδρειότερος ἦν; δι. ταῦτ' ἐστὶ ταῦτ' ἐκεῖνα
ἃ τῶν νεανίσκων ἀεὶ δι' ἡμέρας λαλούντων
πλῆρες τὸ βαλανεῖον ποιεῖ, κενὰς δὲ τὰς παλαίστρας.
ἀδι. εἶτ' ἐν ἀγορᾷ τὴν διατριβὴν ψέγεις. ἐγὼ δ' ἐπαινῶ.
εἰ γὰρ πονηρὸν ἦν, ὅμηρος οὐδέποτ' ἂν ἐποίει
τὸν νέστορ' ἀγορητὴν ἂν οὐδὲ τοὺς σοφοὺς ἅπαντας.
ἄνειμι δῆτ' ἐντεῦθεν ἐς τὴν γλῶτταν, ἣν ὁδὶ μὲν
οὔ φησι χρῆναι τοὺς νέους ἀσκεῖν. ἐγὼ δέ φημι.
καὶ σωφρονεῖν αὖ φησι χρῆναι. δύο κακὼ μεγίστω.
ἐπεὶ σὺ διὰ τὸ σωφρονεῖν, τῷ πώποτ' εἶδες ἤδη
ἀγαθόν τι γενόμενον; φράσον. καί μ' ἐξέλεγξον εἰπών.
δι. πολλοῖς. ὁ γοῦν πηλεὺς ἔλαβε διὰ τοῦτο τὴν μάχαιραν.
ἀδι. μάχαιραν; ἀστεῖόν γε κέρδος ἔλαβεν ὁ κακοδαίμων.

καλεῖ τὸ παροιμιακὸν ὡς εἴρηται. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἡ μὲν ἐν ἀρχῇ ἡ δὲ κατὰ
τὸ τέλος τοῦ κώλου ἔξω νενευκυῖαι. Γλῶτταν βαιάν. σωφροσύνης σύμβολον.
οἷον μὴ φλυαρολογεῖν. τὸ δὲ πυγὴν μεγάλην, ἢ γέλωτος χάριν. ἢ διὰ τὴν τροφὴν ἕ/
ξεις πυγὴν μεγάλην. πόσθη δὲ τὸ μόριον τοῦ ἀνδρός. αἰνίττεται δὲ εἰς τοὺς ἀθηναί/
ους. Χροιὰν ὠχράν. διὰ τὴν ἀπαξίαν. Ὤμους. μακρούς. γράφεται καὶ λεπτοὺς
καὶ λευκούς. οἷοι τῶν ἀγυμνάστων καὶ ἀργῶν. Ψήφισμα μακρόν. τὸ ἐκ πολυ/

Γλῶτταν βαιάν. πυγὴν μεγάλην
πόσθην μικράν. ἢν δ' ἅπερ οἱ νῦν,
ἐπιτηδεύῃς, πρῶτα μὲν ἕξεις
χροιὰν ὠχράν. ὤμους μικρούς.
στῆθος λεπτόν. γλῶτταν μεγάλην.
πυγὴν μικράν. κωλῆν μεγάλην.
Ψήφισμα μακρὸν καί σ' ἀναπείσει,
τὸ μὲν αἰσχρὸν ἅπαν, καλὸν ἡγεῖσθαι.
τὸ καλὸν δ' αἰσχρόν. καὶ πρὸς τούτοις,
τῆς Ἀντιμάχου
καταπυγοσύνης ἀναπλήσει.

Ἀντιστροφὴ κώλων ιβʹ.

Χο. Ὦ καλλίπυργον σοφίαν
κλεινοτάτην τ' ἐπασκῶν
ὡς ἡδύ σου τοῖσι λόγοις.
σῶφρον ἔπεστιν ἄνθος.
εὐδαίμονες δ' ἄρ' ἦσαν οἱ
τότε ζῶντες ἡνίκ' ἦς.
τῶν προτέρων πρὸς οὖν τάδ' ὦ κομψο
πρεπῆ μοῦσαν ἔχων.
δεῖ σε λέγειν τι καινόν. ὡς
εὐδοκίμηκεν ἀνήρ.
δεινῶν δέ σοι βουλευμάτων ἔοικε δεῖν πρὸς αὐτόν,
εἴπερ τὸν ἄνδρ' ὑπερβαλεῖ καὶ μὴ γέλωτ' ὀφλήσεις.
Αδι. καὶ μὴν πάλαι 'γὼ 'πνιγόμην τὰ σπλάγχνα κἀπεθύμουν
ἅπαντα ταῦτ' ἐναντίαις γνώμαισι συνταράξαι

λογίας συγκείμενον. ἀντὶ
τοῦ μεγάλῳ ψηφίσματι
γράψεις. Τῆς ἀντιμά/
χου. οὗτος ὡς κίναιδος καὶ
εὔμορφος καὶ θηλυμανὴς
κωμῳδεῖται. δεύτερος ὁ
ἐπὶ πονηρίᾳ κωμῳδούμε/
νος. τρίτος ὁ ψαδακὸς λε/
γόμενος. τέταρτος ὁ στρα/
τηγίτης οὗ μέμνηται εὔπο/
λις ἐν δήμοις. πέμπτος ἱστο/
ριογράφος. τάχα δὲ αὐ/
τός ἐστι τῷ εὐμόρφῳ.
Ὦ καλλίπυργον. ἑτέρα εἴ/
σθεσις μέλους χοροῦ με/
σῳδικὴ ἀντίστροφος ὁμοία
τῇ προρρηθείσῃ στροφῇ. ἐκ
κώλων χοριαμβικῶν ἐπι/
μεμιγμένων. ὡς τὰ τῆς στρο/
φῆς καθ' ἕκαστον ἐχόντων,
δέκα. πλὴν τοῦ πέμπτου
ἐξ ἐπιτρίτου καὶ διιάμβου
συγκειμένου καὶ τοῦ ἕβ/
δόμου ἐκ χοριάμβου ἰάμ/
βου, καὶ ἀντισπάστου.
ἐν ἐκθέσει δὲ στίχοι δύο
ἰαμβικοὶ τετράμετροι
καταληκτικοὶ ὅμοιοι τοῖς
ἑξῆς. ἐπὶ τῷ τέλει δύο δι/
πλαῖ ἔξω νενευκυῖαι ἡ μὲν ἐν ἀρχῇ, ἡ δὲ κατὰ τὸ τέλος. Καὶ μὴν πάλαι 'γὼ 'πνι/
γόμην. εἴσθεσις ἑτέρας διπλῆς ἀμοιβαίας ἐκ στίχων ἰαμβικῶν τετραμέτρων κα/
ταληκτικῶν μθʹ. ὧν πλουταῖος, ἕξει τινὰ γνώμην λέγειν τὸ μὴ δεῖν ὑπέρως κτος ?
τὸ δὲ μέτρον ἱππωνάκτειον. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα.

ἀεὶ τὸ μέλλε καλεῖσθαι. καλοῦσιν εἴρηκε. Τριβολεκτράπελα. ἐκ τοῦ τρίβειν καὶ ἐκ τράπελος σύγκειται. ἀντὶ τοῦ σκληρὰ καὶ ἀπαίδευτα καὶ ἀπόβλητα καὶ ἀνώμαλα. Γλισχραντιλογεξεπιτρίπτου. ἐκ τοῦ γλίσχρου καὶ ἀντιλογίας περιειλημμένου καὶ δυναμένου ἐπιτρῖψαι. Ἀλλ' εἰς ἀκαδημίαν. ἐνταῦθα γὰρ διέτριβον οἱ φιλόσοφοι. ἦν γὰρ καὶ γυμνάσιον ἀπὸ ἑκαδήμου τινὸς καταλείψαντος τὴν κτῆσιν ἑαυτοῦ πρὸς ἐπισκευὴν τοῦ τόπου. περὶ αὐτὸν δὲ ἦσαν αἱ ὄντως ἱεραὶ ἐλαῖαι τῆς θεοῦ. αἳ καλοῦνται μορίαι. ἐξ ὧν τὸ ἔλαιον τῶν παναθηναίων τὸν δὲ στέφανον τοῦ καλάμου προέκρινεν ὡς ἁπλούστερον ὄντα καὶ ἀπερίεργον. οὗ ὅτι αὐτῷ στέφονται οἱ διόσκουροι.

οὐδ' ἑλκόμενος περὶ πραγματίου γλισχραντιλογεξεπιτρίπτου·
ἀλλ' εἰς ἀκαδημίαν κατιὼν, ὑπὸ ταῖς μορίαις ἀποθρέξεις
στεφανωσάμενος καλάμῳ λευκῷ μετὰ σώφρονος ἡλικιώτου.
μίλακος ὄζων, καὶ ἀπραγμοσύνης καὶ λεύκης φυλλοβολούσης
ἦρος ἐν ὥρᾳ χαίρων ὁπόταν πλάτανος πτελέᾳ ψιθυρίζῃ
ἢν ταῦτα ποιῇς ἁγὼ φράζω
καὶ πρὸς τούτοις προσέχῃς τὸν νοῦν,
ἕξεις ἀεὶ στῆθος λιπαρόν.
χροιὰν λαμπράν. ὤμους μεγάλους.

Ὑπὸ ταῖς μορίαις. αἱ ἱεραὶ ἐλαῖαι τῆς ἀθηνᾶς ἐν τῇ ἀκροπόλει μορίαι ἐκαλοῦντο. λέγουσι γὰρ ὅτι ἁλιρρόθιος ὁ παῖς ποσειδῶνος ἠθέλησεν ἐκκόψαι αὐτάς. διὰ τὸ τῆς ἐλαίας εὑρεθείσης, κριθῆναι τῆς ἀθηνᾶς τὴν πόλιν. ὁ δὲ ἀνατείνας τὸν πέλεκυν καὶ ταύτης ἀποτυχὼν, ἔπληξεν ἑαυτὸν καὶ ἀπέθανε. καὶ διὰ τοῦτο μορίαι ἐλαῖαι ἐκλήθησαν. ἢ διὰ τὸ πάντα ἄνθρωπον κεκτημένον ἐλαίας ἀναγκάζεσθαι μόρον τι παρέχειν εἰς τὰ παναθήναια. κέραμον γὰρ ἐλαίου ἐλάμβανον οἱ νικῶντες. ἐπεφύτευτο δὲ ἐν τῷ γυμνασίῳ δένδρον. ἔθος δὲ ἦν τοῖς ἀσκουμένοις, ἀλειψαμένοις ἐν τῷ ἡλίῳ τρέχειν. Ἄλλως. ἡττηθεὶς τῆς ἀθηνᾶς ὁ ποσειδῶν ἐπὶ τῇ τῆς ἐλαίας ἀποδείξει, ἔπεμψε τὸν υἱὸν αὐτοῦ ἁλιρρόθιον ταύτην τεμοῦντα. ὁ δὲ ἀνατείνας τὸν πέλεκυν, ταύτης μὲν ἠστόχησε. τὸν δὲ πόδα αὐτοῦ πλήξας ἐτελεύτησε. καὶ οὕτω μορία ἡ ἐλαία ἐκλήθη. ὡς μόρου παρεκτική. ἦν δὲ ἡ ἀκαδημία σχολεῖον τι ἐν ἀθήναις ἐλαίαις καὶ ἄλλοις τισὶ δένδρεσι κατάσκιον.

Καλάμῳ λευκῷ. λιτὸς γὰρ καὶ ἀπερίεργος ὁ τοιοῦτος στέφανος. ἦν δὲ τῶν διοσκούρων ἴδιον στεφανοῦσθαι καλάμῳ. Μίλακος. εἶδος βοτάνης. παρέμιξε τὸ ἀπραγμοσύνης. ἀπραγμοσύνη δὲ φυτὸν ὡς ἀριστοφάνης ὁ γραμματικὸς ἐν ἀκαδημίᾳ φυόμενον. ἡ λεύκη δὲ ὁμοία πλατάνῳ. Ἄλλως. ἀπραγμοσύνη εἶδος ἄνθους. οἷον πάσης εὐωδίας ὄζων καὶ ἀσφαλείας. ἢ ἀπραγμοσύνης, ἀντὶ τοῦ πολυπραγμοσύνης. τὸ δὲ ψιθυρίζει, ἀντὶ τοῦ ἀνέμου πνέοντος μαλακοῦ καὶ ἠρέμα διὰ τῶν φύλλων εἰσιόντος, ὥσπερ προσλαλεῖ τὰ δένδρα, ὅπερ ψιθυρίζειν λέγεται. καὶ Θεόκριτος· ἁδύ τι τὸ ψιθύρισμα. Ἢν ταῦτα ποιῇς. ἔκθεσις τῆς διπλῆς ἐκ κώλων ὁμοίων ἀναπαιστικῶν δεκαπέντε. ὧν τὰ μὲν ιγ΄ δίμετρα ἀκατάληκτα. τὸ τεσσαρεσκαιδέκατον μονόμετρον ὃ παρατέλευτον ὀνομάζεται. τὸ τελευταῖον ἐφθημιμερές, ὃ

παλαιὸν καταφαγεῖν τὸ παρεσκευασμένον πρὸς τὴν θυσίαν. βούλωνα δέ τινα ὃς εἶχε τῷ πελέκει ἀποκτεῖναι τὸν βοῦν. καθὰ καὶ ἀνδροτίων μέμνηται διὰ τῆς τετάρτης. Μαραθωνομάχους. τοὺς ἐν Μαραθῶνι τροπωσαμένοις τὴν Δαρείου στρατιάν, ἣν Δάτις ὁ τούτου στρατηγὸς ἤγαγεν οὖσαν περὶ πεντήκοντα μυριάδας. τὸ δὲ ἐντετυλίχθαι, τὸ ἐναντίον γυμνοῦσθαι. οὐκ ἐγκεκαλύφθαι. Ὀρχεῖσθαι. ὠρχοῦντο γὰρ ἐν ὅπλοις ἐν τοῖς Παναθηναίοις οἱ παῖδες. διὰ δὲ τὸ ἀπρεπὲς φησὶ προέχοντες τῶν αἰδοίων τὴν ἀσπίδα. ὡσανεὶ τοῦτο γ' ἐν τῇ πομπῇ ἀσπιδοφοροῦντες διὰ τὸ ἀποκαλύπτεσθαι τὴν αἰσχύνην. ηὔξησε δὲ τὴν διαβολὴν εἰς τὴν ἀσπίδα τῆς θεοῦ Τριτογενείης. εἶδος ὀρχήσεως ἢ καλεῖται ἐνόπλιος. διὰ δὲ τὸ εἰς Ἀθηνᾶν τελεῖσθαι Τριτογένεια κέκληται.

ἐξ ὧν ἄνδρας Μαραθωνομάχους ἡμὴ παίδευσις ἔθρεψεν.
σὺ δὲ τοὺς νῦν εὐθὺς ἐν ἱματίοισι διδάσκεις ἐντετυλίχθαι.
ὥστε μ' ἀπάγχεσθ' ὅταν ὀρχεῖσθαι Παναθηναίοις δέον αὐτοὺς
τὴν ἀσπίδα τῆς κωλῆς προέχων, ἀμελῇ τῆς Τριτογενείας.
πρὸς ταῦτ' ὦ μειράκιον θαρρῶν ἐμὲ τὸν κρείττω λόγον αἱροῦ.
κἀπιστήσει μισεῖν ἀγορὰν καὶ βαλανείων ἀπέχεσθαι.
καὶ τοῖς αἰσχροῖς αἰσχύνεσθαι. κἂν σκώπτῃ τίς σε φλέγεσθαι.
καὶ τῶν θάκων τοῖς πρεσβυτέροις ὑπανίστασθαι προσιοῦσι.
καὶ μὴ περὶ τοὺς σαυτοῦ γονέας κακοεργεῖν. ἄλλο τε μηδὲν
αἰσχρὸν ποιεῖν. ὅτι τῆς Αἰδοῦς μέλλεις τἄγαλμ' ἀναπλήσειν,
μηδ' εἰς ὀρχηστρίδος εἰσιέναι. ἵνα μὴ πρὸς ταῦτα κεχηνὼς,
μήλῳ βληθεὶς ὑπὸ πορνιδίου, τῆς εὐκλείας ἀποθραυσθῇς.
μηδ' ἀντειπεῖν τῷ πατρὶ μηδὲν μηδ' Ἰαπετὸν καλέσαντα
μνησικακῆσαι τὴν ἡλικίαν, ἐξ ἧς ἐνεοττοτροφήθης.

ἄδ. εἰ ταῦτ' ὦ μειράκιον πείσει τούτῳ, νὴ τὸν Διόνυσον;
τοῖς Ἱπποκράτους υἱέσιν εἴξεις. καί σε καλοῦσι βλιτομάμμαν

δι. ἀλλ' οὖν λιπαρός γε καὶ εὐανθὴς ἐν γυμνασίοις διατρίψεις
οὐ στωμύλλων κατὰ τὴν ἀγορὰν τριβολεκτράπελ' οἷάπερ οἱ νῦν

κέκληται. τριτὼ γὰρ ἡ κεφαλὴ παρ' Αἰολεῦσιν. ἐγεννήθη δὲ Ἀθηνᾶ ἐκ τῆς κεφαλῆς τοῦ Διός. ἐτέλουν δὲ ταύτην τὴν ὄρχησιν, οἱ πρότερον μὲν ὡπλισμένοι καὶ τὴν ἀσπίδα ἐν πλαγίῳ φέροντες. οἱ ὕστερον δὲ, ἔμπροσθεν τῶν ποδῶν ἔφερον. σημειωτέον δέ φασι τὴν σύνταξιν. πρῶτον γὰρ πληθυντικῶς εἰπὼν εἰς ἑνικὸν ἀπέδωκεν. ἐν δὲ τοῖς παλαιοῖς τῶν ἀντιγράφων, ἀμελεῖ τῆς Τριτογενείης εὕρηται. Μὴ περὶ τοὺς σεαυτοῦ. αἰτιοῦ μὴ παρὰ γνώμην τῶν σῶν γονέων, ὅπερ μέλλει μολύνειν τὴν αἰδῶ. Ὅτι τῆς Αἰδοῦς. εἴπερ μέλλεις τῆς αἰδοῦς τὰ ἀγάλματα πληρώσειν. γράφεται δὲ καὶ ἀφανίζειν. Μήλῳ βληθείς. ἀντὶ τοῦ ἔρωτι. μηλοβολεῖν γὰρ ἔλεγον τὸ εἰς ἀφροδίσια δελεάζειν. ἐπεὶ καὶ τὸ μῆλον Ἀφροδίτης ἐστὶν ἱερόν. Τοῖς Ἱπποκράτους. οὗτοί εἰσι Τελέσιππος. Δημοφῶν. Περικλῆς. διαβαλλόμενοι εἰς ὑωδίαν. καὶ Εὔπολίς φησιν ἐν Δήμοις. Ἱπποκράτους τε παῖδες ἐμβόλιμοί τινες. βληχητὰ τέκνα καὶ οὐδαμῶς τοῦ τρόπου. Βλιτομάμμαν. μωρόν. τὸ γὰρ βλίτον μωρὸν εἶναι δοκεῖ λάχανον. εἰκότως δὲ εἶπε καλοῦσι καὶ οὐ καλέσουσι πρὸς τὸ εἴξεις. διότι μὲν γὰρ ἅπαξ ἔμελλεν ὅμοια πείσεσθαι εἴξεις εἶπε. διότι δὲ μετὰ τὴν ὁμοίωσιν οὕτως

Ἀριστοκλείτου. ταῦτα δὲ σχεδιάσαι ἔοικεν· εἰ γὰρ ἦν γεγονὼς δοῦλος καὶ μάγειρος ἰσδρωνος, οὐκ ἂν ἀπέκρυψαν οἱ κωμικοὶ πολλάκις αὐτοῦ μεμνημένοι. ἐφ' οἷς ἐκαινούργησε κλάσας τὴν ᾠδὴν παρὰ τὸ ἀρχαῖον ἔθος ὡς Ἀριστοφάνης φησί. καὶ Ἀριστοκράτης. καθὸ πρῶτος τὴν ἁρμονίαν ἔκλασεν ἐπὶ τὸ μαλθακώτερον. ἦν δὲ γένος καὶ ψυχρός. Πληγάς. πολλὰς δηλονότι. Ἐν παιδοτρίβου. εἰς τὸν τόπον ὅπου γυμνάζονται καὶ διατρίβουσιν οἱ παῖδες. Προβαλέσθαι. τουτέστιν εὐκοσμίως καθεσθῆναι. ὡς μηδὲν τοῖς πλησίον ὑποδεῖξαι ἄκοσμον. Συμψῆσαι. ἀντὶ τοῦ συγχέαι τὴν κόνιν ὡς μὴ σημεῖον ἢ τύπον ἀπολείπεσθαι ταῖς καθέδραις. ἐν γὰρ ψάμμῳ λεπτοτάτῃ ἐγυμνάζοντο. κατέψων δὲ τὸν τόπον οὗ τοῦ ἐκαθέζοντο. ἵνα μὴ σημεῖον τῆς ἥβης ἑαυτῶν καταλείψειαν τοῖς ἐρασταῖς. παρεγίνοντο γὰρ ὥστε γυμνοὺς ὁρᾶν τοὺς ἀνθρώπους.

ἐν παιδοτρίβου δὲ καθίζοντας, τὸν μηρὸν ἔδει προβαλέσθαι
τοὺς παῖδας. ὅπως τοῖς ἔξωθεν μηδὲν δείξειαν ἀπηνές.
εἶτ' αὖ πάλιν αὖθις ἀνισταμένους συμψῆσαι καὶ προνοῆσαι,
εἴδωλον τοῖσιν ἐρασταῖς, τῆς ἥβης μὴ καταλείπειν γε.
ἠλείψατο δ' ἂν τοὐμφαλοῦ οὐδεὶς παῖς. ὑπένερθε τότ' ἄν, ὥστε
τοῖς αἰδοίοισι δρόσος καὶ χνοῦς ὥσπερ μήλοισιν ἐπήνθει.
οὐδ' ἂν μαλακὴν φυρασάμενος τὴν φωνὴν πρὸς τὸν ἐραστὴν αὐ-
τὸς ἑαυτὸν προαγωγεύων, τοῖς ὀφθαλμοῖς ἐβάδιζεν.
οὐδ' ἀνελέσθαι δειπνοῦντ' ἐξῆν κεφάλαιον τῆς ῥαφανῖδος
οὐδ' ἄννηθον τῶν πρεσβυτέρων ἁρπάζειν. οὐδὲ σέλινον.
οὐδ' ὀψοφαγεῖν. οὐδὲ κιχλίζειν. οὐδ' ἴσχειν τὼ πόδ' ἐναλλάξ.
ἀδι. ἀρχαῖά γε. καὶ διπολιώδη καὶ τεττίγων ἀνάμεστα.
καὶ κηκείδου καὶ βουφονίων. δι. ἀλλ' οὖν ταῦτ' ἐστὶν ἐκεῖνα.

Κεφάλαιον τῆς ῥαφανῖδος. ὡς θερμὸν καὶ διεγεῖρον πρὸς τὰ ἀφροδίσια, παρῃτοῦντο ταῦτα. κεφάλαιον δὲ τὸ πρὸς τοῖς φύλλοις καυλῶδες. οὐκ ἔτεμον δὲ κατὰ μῆκος ὡς νῦν ἀλλὰ κατὰ κύκλον φησὶ διὰ τὴν κεφαλήν. Κιχλίζειν. ἀντὶ τοῦ λιπαροὺς ὄρτυγας τρώγειν. κίχλας ἐσθίειν. ἢ ἀτάκτως γελᾶν καὶ ἀμέτρως.

Τεττίγων ἀνάμεστα. ἀρχαῖον τὸ τοὺς τέττιγας ἀναπλέκειν. τουτέστι τοὺς κρωβαλούς. Ἄλλως. οἱ ἀρχαιότατοι τῶν Ἀθηναίων τέττιγας χρυσοῦς ἐν τοῖς τῶν τριχῶν πλέγμασιν εἶχον διότι οἱ τέττιγες μουσικοὶ ὄντες, ἀνάκεινται τῷ Ἀπόλλωνι, ὃς ἦν πατρῷος τῇ πόλει. τὰ δὲ διιπόλια τῶν ἀρχαιοτάτων ἑορτῶν. τὰ καὶ διάσια. τοὺς δὲ τέττιγας παρέλαβεν, ἐπειδὴ οἱ παλαιοὶ κατὰ τὴν ἀναπλοκὴν τῶν τριχῶν χρυσῶν ἐχρῶντο τέττιγι τεκμήριον ὅτι αὐτόχθονες ἦσαν οἱ Ἀθηναῖοι ὡς οἱ τέττιγες. καὶ Θουκυδίδης. καὶ οἱ πρεσβύτεροι αὐτοῖς τῶν εὐδαιμόνων οὐ πολὺς χρόνος ἐπειδὴ χιτῶνάς τε λινοῦς ἐπαύσαντο φοροῦντες. καὶ χρυσῶν τεττίγων ἐνέρσει κρωβύλων ἀναδούμενοι τῶν ἐν τῇ κεφαλῇ τριχῶν. Κηκείδου. ἀρχαῖος διθυραμβοποιός. οὗ μέμνηται Κρατῖνος ἐν πανόπταις. τὰ δὲ βουφόνια παλαιὰ ἑορτή. ἥν φασιν ἄγεσθαι μετὰ τὰ μυστήρια. ὅτε καὶ βοῦν θύουσιν εἰς ὑπόμνησιν τοῦ πρώτου φονευθέντος βοὸς ἐν ἀκροπόλει ἀψαμένου τοῦ πελανοῦ ἐν τῇ ἑορτῇ τῶν Διονυσίων. Ἄλλως. ἑορτὴ Ἀθηναίων πάνυ ἀρχαία. ἐν γὰρ τοῖς διιπολείοις φασὶ βοῦν τὸ πό-

καταλέλειπται. Λέξω τοίνυν εἰσθέσεις διπλῆς περιοδικῆς ἀμοιβαίας μονοστροφικῆς ὑφ' ἓν διὰ τὸ εἰς μῆκος ἐκτείνεσθαι τὴν περίοδον ἐκ στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν μζ΄. ὧν πλουταῖος ἦρος ἐν ὥρᾳ χαίρων ὁπόταν πλάτανος πτελέᾳ ψιθυρίζῃ. τοῦτο δὲ τὸ μέτρον ἀριστοφάνειον καλεῖται. ἐπεὶ δ' εὐδοκίμησε λέγων. ὥστ' ἐγὼ τὰ δίκαια ἤσκουν καὶ σωφροσύνη νενόμιστο τοῦτ' οἶμαι ἀγανάξ σοφαλής ἀπεδέχετο. ὡς οὖν πεποιημένον. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. αὕτη δ' ἐπὶ τέλ δ διπλῆ

ὅτ' ἐγὼ τὰ δίκαια λέγων ἤνθουν, καὶ σωφροσύνη νενόμιστο.
πρῶτον μὲν ἔδει φωνὴν παιδὸς γρύξαντος μηδὲν ἀκοῦσαι·
εἶτα βαδίζειν ἐν ταῖσιν ὁδοῖς εὐτάκτως εἰς κιθαριστοῦ.
τοὺς κωμήτας γυμνοὺς ἀθρόους. κεἰ κριμνώδη καταγίφοι.
εἶτ' αὖ προμαθεῖν ᾆσμ' ἐδίδασκε, τὼ μηρὼ μὴ ξυνέχοντας.
ἢ παλλάδα περσέπολιν δεινάν. ἢ τηλέπορόν τι βόαμα.
ἐντειναμένους τὴν ἁρμονίαν ἣν οἱ πατέρες παρέδωκαν.
εἰ δέ τις αὐτῶν βωμολοχεύσαιτ' ἢ κάμψειέ τινα καμπὴν,
οἵας οἱ νῦν τὰς κατὰ φρῦνιν ταύτας τὰς δυσκολοκάμπτους
ἐπετρίβετο τυπτόμενος πολλὰς, ὡς τὰς μούσας ἀφανίζων.

ἔξω νενευκυῖα.
Εἰς κιθαριστοῦ. οὕτως ἀττικοί. ἐσπούδαζον γὰρ περὶ τὴν κιθάραν οἱ ἀθηναῖοι τότε μανθάνειν μὴ φροντίζοντες τοῦ καλύπτεσθαι.
Κωμήτας, δ' χ

ὅτι κωμήτας τοὺς ἐκ τοῦ αὐτοῦ ἀμφόδου καὶ τόπου ἔλεγον. Κριμνώδη. ἀντὶ τοῦ παχεῖαν σύστασιν ἔχοντα παρὰ τοῖς κρίμνοις. οὗτοι γὰρ παχύτεροι τῶν ἀλεύρων. κρίμνος γὰρ εἶδος ἀλεύρου. Τὼ μηρὼ μὴ ξυνέχοντας. ἀντὶ τοῦ αἰδημόνως ἑστῶτας πρὸς τὸ μὴ θλίβειν τὸ μόριον ἐκθλίβοντας τὰ αἰδοῖα ἐκ τοῦ συνέχειν τοὺς μηρούς. Παλλάδα. εἴδη ᾀσμάτων ἀμφότερα τὸ παλλάδα περσέπολιν θεὰν, καὶ τὸ τηλέπορόν τι βόαμα. τὸ μὲν οὖν πρότερον λαμπροκλέους εἶναί φασιν ἀθηναίου τοῦ μίδωνος υἱοῦ. ἔχει δὲ οὕτως. παλλάδα περσέπολιν κλῄζω πολεμαδόκον ἁγνὸν παῖδα διὸς μεγάλου δαμάσιππον. τὸ δὲ τηλέπορόν τι βόημα μὴ εὑρίσκεσθαι ὅτου ἐστίν. ἐν γὰρ ἀποσπάσματι εὑρεῖν ἀριστοφάνην ἐν τῇ βιβλιοθήκῃ. τινὲς δέ φασιν αὐτὸ κυδίδου ἑρμονέως τηλέπορόν τι βόημα λύρας. ἄλλως. οὕτως ἐρατοσθένης. φρύνιχος αὐτοῦ τούτου τοῦ ᾄσματος μέμνηται ὡς λαμπροκλέους ὄντος τοῦ μίδωνος υἱοῦ ἢ μαθητοῦ. ἔχει δὲ οὕτως. παλλάδα περσέπολιν δεινὴν θεὸν ἐγρεκύδοιμον ποτικλῄζω πολεμαδόκον ἁγνὰν παῖδα διὸς μεγάλου δαμάσιππον καὶ κατὰ λαμπροκλέα ὑποτίθησι κατὰ λέξιν. τὸ δὲ τηλέπορον βόημα κυδίδου τοῦ ἑρμονέως κιθαρῳδοῦ ἀπό τινος τῶν ᾀσμάτων. τηλέπορόν τι βόαμα λύρας. Τὴν ἁρμονίαν. τὴν κιθάραν, ὡς συντόνου οὔσης τῆς παλαιᾶς ἁρμονίας οὐκ ἀνειμένης ὡς οἱ νέοι ἐπενόησαν. Κάμψειεν. ἀντὶ τοῦ εἰ κακοηθεύσαιτο. κεκλασμένῃ τῇ φωνῇ τὴν ᾠδὴν ἀπενέγκοιτο. οἷον καταισχύνων τῷ μαλθακῷ τῆς φωνῆς. Κατὰ φρύνιν. ὁ φρύνις κιθαρῳδὸς μιτυληναῖος. οὗτος δὲ δοκεῖ πρῶτος παρὰ ἀθηναίοις κιθαρῳδικὴ νικῆσαι παναθήναια ἐπὶ καλλίου ἄρχοντος. ἦν δὲ ἀριστοκλείτου μαθητής. ὁ δὲ ἀριστόκλειτος τὸ γένος ἦν ἀπὸ τερπάνδρου. ἤκμασε δ' ἐν τῇ ἑλλάδι κατὰ τὰ μηδικά. παραλαβὼν δὲ τὸν φρύνιν αὐλῳδοῦντα. κιθαρίζειν ἐδίδαξεν. ὁ δὲ ἴστρος ἰδρῶνος αὐτόν φησι μάγειρον ὄντα σὺν ἄλλοις δοθῆναι τῷ

ληκτα. τῆς δὲ δευτέρας περιόδου κῶλα ὀκτώ. ὧν τὸ πρῶτον μονόμετρον ἀκατάληκτον. τὰ ἑξῆς ἓξ δίμετρα ἀκατάληκτα. τὸ δὲ τελευταῖον ἐφθημιμερὲς ὃ καλεῖται παροιμιακόν. ἐπὶ τῷ τέλει τοῦ πρώτου συστήματος παράγραφος. ἐπὶ δὲ τῷ τέλει τοῦ δευτέρου, δύο διπλαῖ. ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου. ἡ δὲ κατὰ τὸ τέλος.

Κρίνας φοιτᾷ. ἀντὶ τοῦ φοιτήσῃ. ἐὰν δὲ ᾖ φοιτᾶν ἀπαρεμφάτως λείπει τὸ πείσω. ὡς πρὸ τῆς παῖδα φοιτῆσαι τῷ ἐλλογιμωτάτῳ. Ὑπ' αἰθρηνῶν. οὕτως οἱ κριταὶ τὰς μελίσσας συνεχῶς. ὁ δὲ Ἀριστοτέλης συγγενῆ τῇ μελίσσῃ τὴν αἰθρήνην φησί. κοινότερον δὲ ἐπὶ τῶν μελισσῶν τὰς αἰθρήνας λέγουσιν. ἔστι δὲ εἶδος μελίσσης ὅμοιον σφηκί. Νῦν δεῖξετον. εἴσθεσις μέλους χοροῦ προῳδικὴ στροφῆς λόγον ἔχουσα. ἔχει γὰρ καὶ ἀντιστροφὴν τὸ ὦ καλλίπυργον σοφίαν ἐκ κώλων χοριαμβικῶν διαφόρως κεκολλημένων δέκα. ὧν τὸ πρῶτον δίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου τρίτου καὶ χοριάμβου. τὸ δεύτερον ἐκ χοριάμβου καὶ ἀμφιβραχέος. τὸ τρίτον ἐκ διιάμβου καὶ χοριάμβου. τὸ τέταρτον ἐκ χοριάμβου καὶ βακχείου. τὸ πέμπτον ἀντιστρόφως τῷ πρώτῳ. ἐκ χοριάμβου καὶ ἐπιτρίτου τρίτου. τὸ ἕκτον ἐξ ἀντισπαστικοῦ καὶ κρητικοῦ εἴτ' οὖν ἀμφιμάκρου. τὸ ἕβδομον χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον. τὸ ὄγδοον ἐξ ἀντισπάστου καὶ ἰάμβου διὰ τὸ ἔχειν τὸν ὅλον πόδα τὸν τετρασύλλαβον καὶ τὸ ἥμισυ αὐτοῦ τὰς δύο δηλαδὴ συλλαβάς, ἡμιόλιον καλούμενον. τὸ ἔνατον ἐκ χοριάμβου καὶ διιάμβου. τὸ δέκατον, ἐκ χοριάμβου καὶ ἀμφιβραχέος. Ἀγεῖ. κεῖται. δέδοικα. νῦν πρόκειται ἡμῖν ὑπὲρ ἁπάσης τῆς σοφίας κινδυνεῦσαι. ἢ νῦν παραστασ

Ἀλλ' ἐπιδεῖξαι σύ τε τοὺς προτέρους
ἅτ' ἐδίδασκες, σύ τε τὴν καινὴν
παίδευσιν. ὅπως ἂν ἀκούσας σφῷν
ἀντιλεγόντοιν, κρίνας φοιτᾷ.
δι. δρᾶν ταῦτ' ἐθέλω. ἀδι. κἄγωγ' ἐθέλω.
χο. φέρε τίς λέξει πρότερος ὑμῶν.
ἀδι. τούτῳ δώσω. Κᾆτ' ἐκ τούτων ὧν ἂν λέξῃ.
ῥηματίοισι καινοῖς αὐτὸν
καὶ διανοίαις, κατατοξεύσω.
τὸ τελευταῖον δ' ἢν ἀναγρύζῃ,
τὸ πρόσωπον ἅπαν καὶ τὠφθαλμὼ
κεντούμενος ὥσπερ ὑπ' αἰθρηνῶν
ὑπὸ τῶν γνωμῶν ἀπολεῖται.

Στροφὴ κώλων ι΄.

χο. Νῦν δεῖξετον τὼ πισύνω
τοῖς περιδεξίοισι
λόγοισι καὶ φροντίσι καὶ
γνωμοτύποις μερίμναις.
ὁπότερος γ' αὐτοῖν λέγων,
ἀμείνων φανήσεται.
νῦν γὰρ ἅπας ἐνθάδε κίνδυνος,
ἀνεῖται σοφίας.
ἧς πέρι τοῖς ἐμοῖς φίλοις
ἐστὶν ἀγὼν μέγιστος.
ἀλλ' ὦ πολλοῖς τοὺς πρεσβυτέρους ἤθεσι χρηστοῖς στεφανώσας.
ῥῆξον φωνὴν ᾗτινι χαίρεις. καὶ τὴν σαυτοῦ φύσιν εἰπέ.
δι. λέξω τοίνυν τὴν ἀρχαίαν παιδείαν ὡς διέκειτο.

Κρίνεσθον. ὡς ἀπὸ τοῦ κρίνου κατὰ μεταπλασμόν. Πρὸ τοῦ γ'. πρὸ τοῦ χρυσοῦ μολίβδῳ δὲ ἀτιμίᾳ. ὡς νυνὶ μᾶλλον τῶν κακῶν εὐθηνούντων. διὸ καὶ ἐκεῖνος ἐπιφέρει· νῦν δέ γε κόσμος τοῦτ' ἐστὶν ἐμοί. Διὰ σὲ δὲ φοιτᾶν. τοῦ αἰτίου δεῖν πάντα εἶναί φασι τοῦ ἥττονος λόγου. οὐ θέλει γάρ φησι τὰ μειράκια διὰ τὴν σὴν συνήθειαν φοιτᾶν ὡς μαθησόμενα τὰ χρήσιμα μαθήματα. Τήλεφος εἶναι. διαβάλλει Εὐριπίδην ὡς πτωχὸν εἰσενεγκόντα τὸν Τήλεφον. τοῦτον γὰρ Εὐριπίδης ὡς πτωχὸν εἰσήγαγε. περὶ οὗ καὶ κωμῳδεῖται. Ἄλλως. ὁ Τήλεφος βασιλεὺς ἦν Μυσίας. ὃν πλανηθέντων ὅτε εἰς Τροίαν ἀπήρχοντο καὶ τῶν Ἑλλήνων δηούντων τὴν αὐτοῦ γῆν, ἀντὶ τῆς Τροίας Ἀχιλλεὺς ἔτρωσεν. καὶ πάλιν ἀποροῦντα τῆς θεραπεύσεως, τῆς Πυθίας ὁ τρώσας ἰάσεται λεγούσης παραγενόμενον εἰς Θετταλίαν τῷ χρησμῷ πεισθείς, θεραπείας ἠξίωσε. δυστυχήσαντα δὲ ὕστερον πεποίηκεν Εὐριπίδης ἐν δράματι πήραν ἔχοντα καὶ προσαιτοῦντα. ἀντὶ δὲ τοῦ εἰπεῖν ἄρτους καθαροὺς ἢ ξηροὺς τρώγων, Πανδελετείους γνώμας εἶπε διαβάλλων αὐτὸν κατ' ἄμφω. καὶ ὡς ἄπορον καὶ ὡς πανοῦργον. ἐπὶ γὰρ πανουργίᾳ διεβεβόητο ὁ Πανδέλετος. συκοφάντης δὲ ἦν καὶ φιλόδικος γράφων ψῆφον ψηφίσματα. Πανδελετείοις ἦν οὕτως εἶπεν ἀντὶ ἄρτων πανουργίαν ὅπου μῦθος. μέμνηται τοῦ Πανδελέτου καὶ Κρατῖνος Χείρωσιν. οὗτος καὶ ψηφίσματα ἔγραψε. διαβάλλει δὲ τοὺς ῥήτορας ὡς ἐκ τῶν πτωχῶν πλουτοῦντας. Λυμαινόμενον. ἀντὶ τοῦ ἐνυβρίζοντα. οὕτω δὲ αὐτοῖς σύνηθες οὐχὶ τὰ μειράκια λυμαινόμενον. πρὸς ὃ καὶ τὸ χ. Κρόνος. ἀρχαῖος. λῆρος. Παύσασθε μάχης ἔκθεσις τῆς διπλῆς συστηματική. εἰς δύο περιόδους διῃρημένη ἐκ κώλων ὁμοίων ἀναπαιστικῶν ιε. ὧν τῆς πρώτης περιόδου κῶλα δίμετρα ἀκατάληκτα ε. καὶ ἐν εἰσθέσει ἕτερα δύο ὅμοια δίμετρα ἀκατα

ἀδ. Κρίνεσθε στεφανοῖς. δι. καὶ πατραλοίας.
ἀδ. χρυσῷ πάττων μ' οὐ γινώσκεις.
δι. οὐ δῆτα πρὸ τοῦ γ' ἀλλὰ μολίβδῳ.
ἀδ. νῦν δέ γε κόσμος τοῦτ' ἐστὶν ἐμοί.
δι. θρασὺς εἶ πολλοῦ. ἀδ. σὺ δέ γ' ἀρχαῖος.
δι. διὰ σὲ δὲ φοιτᾶν
οὐδεὶς ἐθέλει τῶν μειρακίων.
γνωσθήσει ποτ' Ἀθηναίοισιν,
οἷα διδάσκεις τοὺς ἀνοήτους.
ἀδ. αὐχμεῖς αἰσχρῶς. δι. σὺ δέ γ' εὖ πράττεις.
καίτοι πρότερόν γ' ἐπτώχευες.
Τήλεφος εἶναι Μυσὸς φάσκων.
ἐκ πηριδίου
γνώμας τρώγων Πανδελετείους.
ἀδ. ὤμοι σοφίας ἧς ἐμνήσθης.
δι. ὤμοι μανίας τῆς σῆς πόλεώς
θ' ἥτις σε τρέφει.
λυμαινόμενον τοῖς μειρακίοις.
ἀδ. οὐχὶ διδάξεις τοῦτον κρόνος ὤν.
δι. εἴπερ γ' αὐτὸν σωθῆναι χρή.
καὶ μὴ λαλιὰν μόνον ἀσκῆσαι.
ἀδ. δεῦρ' ἴθι. τοῦτον δ' ἔα μαίνεσθαι.
δι. κλαύσει. τὴν χεῖρ' ἐπιβάλλεις;
χο. παύσασθε μάχης καὶ λοιδορίας.

Χ Χώρει δεῦρο. δεῖξον σαυτὸν. διπλῆ κορωνὶς ἀποχωρησάντων τῶν ὑποκριτῶν. μέλος δὲ τοῦ χοροῦ οὐ κεῖται. ἀλλὰ γέγραπται μὲν ἐν μέσῳ ὁ χορὸς καὶ ἕπεται, εἰς θέσιν ἀναπαιστικὴν τῶν ὑποκριτῶν. καὶ διὰ τὰ πρόσωπα οὐ τελείας ἔχει τὰς συζυγίας. ὑπόκεινται δὲ ἐπὶ τῆς σκηνῆς ἐν πλεκτοῖς οἰκίσκοις. οἱ λόγοι δίκην ὀρνέων διαμαχόμενοι. τοῦ δὲ χοροῦ τὸ πρόσωπον ἐκλέλοιπεν. ἐπιγραφὴ δὲ φέρεται χοροῦ. ὁ δὲ κρείττων λόγος καὶ ὁ ἥττων διαλέγονται. Ἄλλως. Χώρει δεῦρο. εἴσθεσις διπλῆς κατὰ σχῆμα. δικωλικὸν ἐκ κώλων ἀναπαιστικῶν. μέ. ὧν τὸ κη΄. τὸ λε΄. καὶ τὸ λθ΄. μονόμετρα ἀκατάληκτα. τὰ δὲ λοιπὰ πάντα δίμετρα ἀκατάληκτα. τῶν δύο προσώπων ὡς ἀντιπαρει-σὸν δίμετρον κῶλον ἀποτελούντων ὧν τὸ τελευταῖον κλαύσει τὴν χεῖρ' ἀποβάλλεις, ἐφθημιμερές. ἰστέον δὲ ὅτι τὸ κη΄ κῶλον τετράβραχυν ἔχει ἤτοι προκελευσματικὸν τὸν πρῶτον πόδα ἀντὶ ἀναπαίστου. διαλύεται γὰρ ἡ μακρὰ τοῦ ἀναπαίστου εἰς δύο βραχείας. ὡς καὶ τοῦ ἰάμβου καὶ τοῦ τροχαίου καὶ τῶν λοιπῶν τετρασυλλάβων ποδῶν. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. ἴθ' ὅποι χρῄζεις. τοῦτο ἐκ Τηλέφου Εὐριπίδου. ἴθ' ὅποι χρῄζεις. οὐκ ἀπόλουμαι τῆς σῆς Ἑλένης οὕνεκα.

ΧΟΡΟΥ.

δι. Χώρει δεῦρο δεῖξον σαυτὸν
τοῖσι θεαταῖς καίπερ θρασὺς ὤν.
ἀδ. ἴθ' ὅποι χρῄζεις. πολὺ γὰρ μᾶλλον
σ' ἐν τοῖς πολλοῖσι λέγων ἀπολῶ.
δι. ἀπολεῖς σύ; τίς ὤν. ἀδ. λόγος. δι. ἥττων γ' ὤν.
ἀδ. ἀλλά σε νικῶ. τὸν ἐμοῦ κρείττω
φάσκοντ' εἶναι. δι. τί σοφὸν ποιῶν
ἀδ. γνώμας καινὰς ἐξευρίσκων.
δι. ταῦτα γὰρ ἀνθεῖ διὰ τουτουσὶ
τοὺς ἀνοήτους. ἀδ. οὐκ, ἀλλὰ σοφούς.
δι. ἀπολῶ σε κακῶς. ἀδ. εἰπὲ τί ποιῶν.
δι. τὰ δίκαια λέγων. ἀδ. ἀλλ' ἀνατρέψω
ταῦτ' ἀντιλέγων. οὐδὲ γὰρ εἶναι
πάνυ φημὶ δίκην. δι. οὐκ εἶναι φής;
ἀδ. φέρε γὰρ ποῦ 'στι. δι. παρὰ τοῖσι θεοῖς.
ἀδ. πῶς δῆτα δίκης οὔσης, ὁ Ζεὺς
οὐκ ἀπόλωλε τὸν πατέρ' αὑτοῦ
δήσας. δι. αἰβοῖ. τουτὶ καὶ δὴ
χωρεῖ τὸ κακόν. δότε μοι λεκάνην.
ἀδ. τυφογέρων εἶ κἀνάρμοστος.
δι. καταπύγων εἶ κἀναίσχυντος.
ἀδ. ῥόδα μ' εἴρηκας. δι. καὶ βωμολόχος.

Γ Γνώμας καινάς. ὡς παρορωμένου τοῦ δικαίου παρὰ Ἀθηναίοις. διὸ καὶ μωροὺς αὐτοὺς εἶπεν. Δότε μοι λεκάνην ἵνα τὴν χολὴν ἐμέσω. ὡς ναυτιῶν ὑπὸ τῆς ἐκείνου ψυχρίας. ἢ ἵνα ἐμέσω. χολὴ γάρ μοι ἐπιπλέει διὰ τὰ αὐτοῦ ῥήματα. Ῥόδα μ' εἴρηκας. ἀντὶ τοῦ ἐμοὶ τὰ ὑπὸ σοῦ εἰρημένα ῥόδα ἐστί. Βωμολόχος. κακοῦργος. ἀσεβής. παρὰ τοὺς λοχῶντας τὰ ἐν τοῖς βωμοῖς ἐπιτιθέμενα θύματα ἢ τοὺς θύσαντας ἵνα αἰτήσαντες λάβωσί τι. βωμολοχία δὲ κυρίως ἡ περὶ τὸ ἐν παιδιᾷ ἦθος ὡς Ἀριστοτέλης ἐν δευτέρῳ ἠθικῶν ὑπερβολή. βωμολόχοι τοίνυν οἱ ἐν τοῖς βωμοῖς ὀρχούμενοι καὶ ἀντὶ τοῦ τὸ θεῖον εὐχαῖς ἐξιλεοῦν πολλοῖς τισι λόγοις χρώμενοι καὶ ματαίοις.

τὸ δικαστήριον διὰ τὸ ὑπαίθριον εἶναι, καὶ ὑπὸ τῷ ἡλίῳ βάλλεσθαι. οὐχ ἵστατο δὲ τῶν δικαστικῶν ὁ μισθός. Διασίοις ἑορτὴ τοῦ διός. ἁμαξὶς δὲ τὸ μικρὸν ἁμάξιον ἢ παιδικὸν παίγνιον. Ἦ μὴν σὺ τούτοις. προαναφωνεῖ αὐτῷ ἃ μέλλει πείσεσθαι ἀπὸ τοῦ λυπηθῆναι τὸ τέλος μαθόντα. τοῦτο δὲ λέγει πεισθεὶς τῷ πατρί. διὸ καὶ ὁ πατὴρ ἐπιφέρει εὖγ' ὅτι ἐπείσθης. Νηπύτιος γάρ, ἀντὶ τοῦ νήπιος. ἐπικρύπτει δὲ τὸ ὄνομα ὁ σωκράτης ἵνα καταπλήξῃ τὸν νεώτερον νῦν εἰσελθόντα. Ἀλλὰ σύ γ' αὐτός. ἐκ τῶν κρεμαστῶν δηλονότι τετριμμένος εἴης ἀεὶ κρεμάμενος. λέγει δὲ τῶν ὀργάνων τῶν ἀστρονομικῶν καὶ γεωμετρικῶν. κρεμάθρα γὰρ ἐν τῷ φροντιστηρίῳ γράφεται ἐπεὶ αὐτὸς ἐπὶ κρεμάθρας ἦν. Ἰδοὺ κρέμαιό γε. διακωμῳδεῖ σωκράτης τὴν φωνὴν ὀρθὴν μιμούμενος ὅτι κακῶς τῷ στόματι εἶπε τὸ κρέμαιό γε. Καὶ τοῖσι χείλεσι διερρυηκόσι· τὴν φωνὴν μιμούμενος ὁ σωκράτης φησὶ διακεχηνὼς τοῖς χείλεσι. Κλῆσιν, τὴν μαρτυρίαν. χαύνωσιν δὲ λύσιν τῶν δικῶν. καὶ οἷον ἀπάτην τὰ κοινὰ ῥήματα ἀναπείθοντα τοὺς ἀκούοντας. Ἄλλως. χαύνωσιν ἀναπειστηρίαν. ὅταν τοῦ ἀντιδίκου προβαλλόντος λόγους πιθανούς, ὡς τοὺναντίον τις αὐτοὺς περιτρέψῃ. καὶ χαύνους καὶ ἀσθενεῖς ποιήσῃ διὰ τῶν λόγων αὐτοῦ ἀναπείσας τοὺς δικαστὰς ὡς ἄρ' ἀληθῆ λέγει. Καίτοι ταλάντου. ἀξιόπιστόν τι ἀεὶ οἱ διδάσκαλοι λέγοντες, ἐλαττοῦνται τόνδε. οὐ λαμβάνω ἐπὶ τούτῳ τῷ ἀναγνώσματι; καὶ ἐπαγγέλονται προνοῆσαι ἂν τῶν κοινῶν μαθημάτων ὅσων. προνοοῦσι μάλιστα. Θυμόσοφός ἐστι. ἐκ φύσεως ἔχει σοφίαν. ἐκ τοῦ ἰδίου θυμοῦ σοφός. καὶ οὐκ ἐκ μαθήσεως. Σιδίων ἐκ τῶν λεπύρων τῶν ῥοιῶν. ἐκ μὲν τῶν δερμάτων τροχοὺς καὶ ἁμάξια. ὅταν δὲ καταφάγωσι τὰ ἐντὸς, ἐκ τῶν λεπύρων βατράχους γλύφουσιν. εἶτα τὸ πῶς δοκεῖς θαυμάζων προφέρεται καθ' ἑαυτόν. βούλεται δὲ αὐτὸν ὡς ἐκ παιδὸς ἀποδεῖξαι δυφυᾶ, καὶ γλύφειν ἀστείως δυνάμενον.

τούτου πριάμην σοι διασίοις ἁμαξίδα.
φει. ἦ μὴν σὺ τούτοις τῷ χρόνῳ ποτ' ἀχθέσει.
στρε. εὖγ' ὅτι ἐπείσθης. δεῦρο δεῦρ' ὦ σώκρατες
ἔξελθ'. ἄγω γάρ σοι τὸν υἱὸν τουτονί.
ἀκοντ' ἀναπείσας. σω. νηπύτιος γάρ ἐστ' ἔτι
καὶ τῶν κρεμαθρῶν οὐ τρίβων τῶν ἐνθάδε.
φει. αὐτὸς σὺ τρίβων εἴης ἄν, εἰ κρέμαιό γε.
στρε. οὐκ ἐς κόρακας; καταρᾷ σὺ τῷ διδασκάλῳ.
σω. ἰδοὺ κρέμαιό γ' ὡς ἠλίθιον ἐφθέγξατο.
καὶ τοῖσι χείλεσιν διερρυηκόσιν.
πῶς ἂν μάθοι ποθ' οὗτος ἀπόφυξιν δίκης.
ἢ κλῆσιν. ἢ χαύνωσιν ἀναπειστηρίαν.
καίτοι ταλάντου τοῦτ' ἔμαθεν ὑπέρβολος,
στρε. ἀμέλει. δίδασκε. θυμόσοφός ἐστι φύσει.
εὐθύς γέ τοι παιδάριον ὂν τυννουτονί,
ἔπλαττεν ἔνδον οἰκίας. ναῦς τ' ἔγλυφεν.
ἁμαξίδας δὲ σκυτίνας εἰργάζετο.
κἀκ τῶν σιδίων βατράχους ἐποίει πῶς δοκεῖς.
ὅπως δ' ἐκείνω τὼ λόγω μαθήσεται,
τὸν κρείττον' ὅστις ἐστὶ καὶ τὸν ἥττονα.
ἐὰν δὲ μή, τὸν γοῦν ἄδικον πάσῃ τέχνῃ.
σω. αὐτὸς μαθήσεται παρ' αὐτοῖν τοῖν λόγοιν.
στρ. ἐγὼ δ' ἀπέσομαι. τοῦτο δ' οὖν μέμνησ' ὅπως
πρὸς πάντα τὰ δίκαι' ἀντιλέγειν δυνήσεται.

Ρ παρανοίας. ἀντὶ τοῦ εἰς τὸ δικαστήριον εἰσαγαγὼν κατηγορήσω ὡς παραφρονοῦντος.

Σ σοροπηγοῖς. τουτέστι τοῖς πριοῦσι σοροὺς τοῖς νεκροῖς. χλευάζει δὲ τὸν πατέρα ὡς πρεσβύτην καὶ γειτνιῶντα τῷ θανάτῳ. ἄλλως. τοῖς σοροπριοῖς τοῖς τὰς σοροὺς τῶν ἀποθνησκόντων πριοῦσι. τουτέστιν ἄλλην ἴασιν οὐχ ἕξει ἢ τὸν θάνατον. καὶ δέον αὐτῷ πρὸς τὸ θανεῖν τὰ ἐπιτήδεια κατασκευάζειν. Τοὺς γηγενεῖς διὰ τὸ ὠχροὺς καὶ νεκρώδεις εἶναι. ἢ ἀσεβεῖς καὶ θεομάχους διὰ τοὺς γίγαντας. Καταπεφρόντικα. εἰς τὰς φροντιστὰς ἠνάλωσα. ὡς εἰ

πρότερον παρανοίας αὐτὸν εἰσαγαγὼν ἕλω,
ἢ τοῖς σοροπηγοῖς τὴν μανίαν αὐτοῦ φράσω.
στρε. φέρ' ἴδω. σὺ τουτονὶ τίνα νομίζεις. εἰπέ μοι.
φει. ἀλεκτρυόνα. στρε. καλῶς γε. ταυτηνὶ δὲ, τί.
φει. ἀλεκτρυόν'. στρε. ἄμφω ταὐτό; καταγέλαστος εἶ.
μή νυν τολοιπόν. ἀλλὰ τήνδε μὲν καλεῖν
ἀλεκτρύαιναν. τουτονὶ δ' ἀλέκτορα.
φει. ἀλεκτρύαιναν; ταῦτ' ἔμαθες τὰ δεξιὰ
εἴσω παρελθὼν ἄρτι παρὰ τοὺς γηγενεῖς;
στρε. χἄτερά γε πόλλ'. ἀλλ' ὅτι μάθοιμ' ἑκάστοτε,
ἐπελανθανόμην ἂν εὐθὺς ὑπὸ πλήθους ἐτῶν.
φει. διὰ ταῦτα δὴ καὶ θοἰμάτιον ἀπώλεσας;
στρε. ἀλλ' οὐκ ἀπολώλεκ' ἀλλὰ καταπεφρόντικα.
φει. τὰς δ' ἐμβάδας, ποῖ τέτροφας ὦ 'νόητε σύ.
στρε. ὥσπερ περικλέης. εἰς τὸ δέον ἀπώλεσα.
ἀλλ' ἴθι. βάδιζ' ἴωμεν. εἶτα τῷ πατρὶ
πειθόμενος, ἐξάμαρτε. κἀγώ τοί ποτε
οἶδ' ἑξέτει σοι τραυλίσαντι πειθόμενος,
ὃν πρῶτον ὀβολὸν ἔλαβον ἡλιαστικόν.

ἔλεγε καταπεφρόνηκα ἢ εἰς τὴν παίδευσιν καταδεδαπάνηκα. Ὥσπερ περικλέης. περικλῆς πολλῶν ὄντων χρημάτων ἐν τῇ ἀκροπόλει, εἰς τὸν πόλεμον τὰ πλεῖστα ἠνάλωσε. φασὶ δὲ ὅτι καὶ λογισμοὺς διδοὺς, τάλαντα εἴκοσιν ἁπλῶς εἰπεῖν εἰς τὸ δέον ἀνηλωκέναι. φησὶ δὲ ἔφορος ὅτι μαθόντες ταῦτα μαθόντες οἱ λακεδαιμόνιοι, κλεανδρίδην μὲν ἐδήμευσαν πλειστοάνακτα δὲ ιε΄ ταλάντοις ἐζημίωσαν ὑπολαβόντες δωροδοκήσαντας αὐτοὺς διὰ τὸ φείσασθαι τῆς λοιπῆς ἀθηναίων γῆς ὑπὸ τῶν περὶ τὸν περικλέα μὴ θελήσαντα γυμνῶς εἰπεῖν ὅτι δέδωκα τοῖς λακεδαιμονίων βασιλεῦσι τὸ ἐνδεές. Ἄλλως. περικλῆς ἀθηναίων στρατηγὸς χρήματα τὰ δημόσια λαβὼν εἰς τὸ κατασκευάσαι ὁλόχρυσον ἄγαλμα τῇ ἀθηνᾷ, ἐλεφάντινον ποιήσας, τὰ πολλὰ ἐσφετερίσατο συμπραξάμενος μετὰ φειδίου τοῦ πλάστου. ἐπεὶ δὲ κατακρινόμενος ὡς πλεῖστα ἀναλώσας ἠρωτᾶτο ποῦ ἀνηλώθη, ὑπὸ μεγαλονοίας ἔλεγεν εἰς τὸ δέον ἀνήλωσα. Ἄλλως. περικλῆς τοῖς ἐφόροις λακεδαιμονίων κλεάνδρῳ καὶ πλειστοάνακτι χρήματα δέδωκεν ὑπὲρ προδόσεως, καὶ τούτων ἀπαιτούμενος ὑπὸ τῆς πόλεως λόγον, οὐκ ἀξιῶν ἑαυτόν τε καὶ τοὺς λακεδαιμονίους καταισχύνειν, ἔλεγεν εἰς τὸ δέον ἀνήλωσα. τοῦτο δὲ γνόντες λακεδαιμόνιοι τὸν μὲν κλεανδρίδην ἐφόνευσαν. τὸν δὲ πλειστοάνακτα δεκαπέντε ταλάντοις ἐζημίωσαν οἰηθέντες αὐτοὺς διὰ τὸ φείσασθαι τῆς λοιπῆς ἀθηναίων γῆς δωροδοκήσαντας, ἐκ τῆς ἀττικῆς ἀναχωρῆσαι. Εἶτα τῷ πατρὶ, ἀντὶ τοῦ ἔχεις ἀπολογίαν ὅτι τῷ πατρὶ πειθόμενος ἐξήμαρτες. ὠφελήθητι καὶ ἁμάρτανε δι' ἐμέ. Τραυλίσαντι. ψελλίσαντι. ἀντὶ τοῦ ἄσημον ἀφιέντι φωνήν. ἡλιαστικόν. ἀντὶ τοῦ ἐκκλησιαστικόν. ἡλιαία γάρ

ΦΕ. Τίς φησὶ ταῦτα; ΣΤΡ. Σωκράτης ὁ μήλιος.
καὶ Χαιρεφῶν ὃς οἶδε τὰ ψυλλῶν ἴχνη.
ΦΕ. Σὺ δ' εἰς τοσοῦτο τῶν μανιῶν ἐλήλυθας,
ὥστ' ἀνδράσι πείθει χολῶσιν. ΣΤΡ. Εὐστόμει.
καὶ μηδὲν εἴπῃς φλαῦρον ἄνδρας δεξιοὺς
καὶ νοῦν ἔχοντας· ὧν ὑπὸ τῆς φειδωλίας,
ἀπεκείρατ' οὐδεὶς πώποτ' οὐδ' ἠλείψατο.
οὐδ' εἰς βαλανεῖον ἦλθε λουσόμενος. σὺ δὲ
ὥσπερ τεθνεῶτος καταλούει μου τὸν βίον.
ἀλλ' ὡς τάχιστ' ἐλθὼν, ὑπὲρ ἐμοῦ μάνθανε.
ΦΕ. Τί δ' ἂν, παρ' ἐκείνων καὶ μάθοι χρηστόν τις ἄν.
ΣΤΡ. Ἀληθες; ὅσα περ ἔστ' ἐν ἀνθρώποις σοφά.
γνώσει δὲ σαυτὸν ὡς ἀμαθὴς εἶ καὶ παχύς.
ἀλλ' ἐπανάμεινόν μ' ὀλίγον ἐνταυθοῖ χρόνον.
ΦΕ. Οἴμοι. τί δράσω παραφρονοῦντος τοῦ πατρός.

τὰς παραινέσεις ἃς παρῄνεσεν αὐτῷ πρότερον μαθητὴς σωκράτους. Ἰδοὺ ἤ ἐστι· τηνιστάσας αὐτῷ φησὶ τὸ ἰδού. Λιβοῖ. ἀλλ' ὂν λέγει τὸ αἰβοῖ. ἔστι γὰρ ἐπίρρημα σχετλιαστικόν. Ὁ μήλιος. παρ' ἱστορίαν. ἀθηναῖος γὰρ ὁ σωκράτης. ἀλλ' ἐπεὶ διαγόρας μήλιος ὢν διεβάλλετο ὡς θεομάχος, καὶ τὸν σωκράτη δὲ ὡς ἄθεον διαβάλλει, διὰ τοῦτο μήλιον αὐτὸν ἔφη. Ἄλλως. ὁ μήλιος αὐτὶ τοῦ ὁ ἀσεβής. ἀρισταγόρου γὰρ τοῦ μηλίου μαθητὴς ὁ σωκράτης. διεβέβληντο δὲ ἐπὶ ἀθεΐᾳ οἱ μήλιοι ἀπὸ διαγόρου. ὃς χρήματα παραθέμενός τινι καὶ ἀποστερηθεὶς, εἰς ἀθεΐαν ἐτράπη. ἢ διότι μῆλον ἐπολέμησαν ἀττικοί. οἱ δὲ ἐπειδή τις ἀρισταγόρας διθυραμβοποιὸς ἐξωρχήσατο τὰ ἐλευσίνια. οἱ δὲ μήλιον τὸν καταπραΰνοντα τῇ διδαχῇ τὰς ψυχὰς τῶν μηλίων. οἱ δὲ τὸν κομῶντα τὸν δασύν. Ἄλλως. ὁ μήλιος τινὲς ἐξεδέξαντο τὸν τὰς τῶν εἰσιόντων ψυχὰς ὀξύνοντα πρὶν εἰσελθεῖν ἠγριωμένας· ἀπὸ μεταφορᾶς τῶν ἀλόγων θηρίων. μῆλα γὰρ τὰ θρέμματα. οἱ δὲ εἰς τὸ δασὺ καὶ αὐχμηρὸν νοοῦσιν αὐτό. οἱ δὲ παρέλαβον οὕτω διαγόρας ὁ μήλιος ὃς τὸ πρότερον ἦν θεοσεβὴς, παρακαταθήκην ὑπό τινος ἀποστερηθεὶς, ἐπὶ τὸ ἄθεον ἐξέδραμεν. ἐφ' ᾧ οἱ ἀθηναῖοι ἀγανακτήσαντες, τὴν μῆλον ἐκάκωσαν. Ἄλλως. διαγόρας γέγονέ τις βλάσφημος εἰς τὸ θεῖον μήλιος. καὶ ποτέ φασιν ἐν πανδοκείῳ εὑρεθεὶς, καὶ μὴ εὑρὼν ξύλα, ἀλλ' ἄγαλμα ἡρακλέους, ἄγε φασὶ τρισκαιδέκατον ἡμῖν ἐπιτέλει ἆθλον, καὶ ἔψησε τὴν φακῆν. Ὑπὸ τῆς φειδωλίας. ὡς κομῶντας διαβάλλει τοὺς φιλοσόφους. ταῦτα δὲ ἐποίουν οἱ φιλόσοφοι διὰ καρτερίαν. ὁ δέ φησιν ὅτι οὐ διὰ ἀρετὴν ἐποίουν ἀλλὰ διὰ σμικρολογίαν. ἀντὶ τοῦ ὑπ' ἐγκρατείας ἐποίουν οὗτοι, οὗτος ὑπὸ φειδωλίας φησίν. ἅμα δὲ δοκοῦν ἐπαινεῖν, ψέγει. ἀντὶ γὰρ τοῦ εἰπεῖν καρτερίας, εἶπε φειδωλίας. Καταλούει μου. ἐν τρυφαῖς καταναλίσκεις τὴν περιουσίαν. ὁ δὲ καταλούει καταναλίσκεις εἰς λουτρά. ἤδη γὰρ ὡς περ τεθνεῶτός μου καταλούει. Ἄλλως δαψιλῶς ἀναλίσκεις μου τὸν βίον. ἐκ μεταφορᾶς τῶν ἐκχυομένων ὑδάτων ἐν τοῖς βαλανείοις. ἢ ἐν τρυφαῖς· ὡς καὶ τοῦ βαλανείου διὰ τρυφὴν ὄντος. ἐπεὶ ἔθος ἦν μετὰ τὴν ἐκκομιδὴν τοῦ νεκροῦ λούεσθαι τοὺς κατ' οἶκον καθαρμοῦ χάριν. Ἀληθες. ἐὰν μὲν προπαροξυτόνως, αὐτὶ τὸ ἀληθὲς λέγει. ἐὰν δὲ ὀξυτόνως τὸ πρᾶγμα δηλοῖ τὸ μετέχον τῆς ἀληθείας. Οἴμοι τί δράσω. πρὸς τὸν πατέρα δικάσομαι. καὶ δείξας αὐτὸν μαινόμενον οὕτω τὴν μανίαν παύσω.

νίας τῆς σῆς πόλεως τι. Διαγέγραπται. κατέξυσται. ἀπήλειπται, ἀπὸ τῆς τοῦ γραμματέως δέλτου ὅπου αἱ δίκαι ἀνεγράφοντο, καὶ αἱ εἰσαγωγαὶ τῶν δικῶν. Ἀντιδικῶν. κατηγορῶν καὶ ἐναντιουμένων. τοῖς γὰρ γραψαμένοις καὶ μὴ ἀποδείξασιν ἐπεβάλλετο χρηματικὴ ζημία. καὶ ὁ μὴ κατὰ τὸν ὁρισμὸν ἐξέτισεν ὑπερήμερος γενόμενος ἐξέπιπτε τῆς ἐπιτιμίας. οἱ δὲ μὴ ἔχοντες. τίσαι καθείργνυντο εἰς τὸ δικαστήριον. πολλοὶ δὲ τοῦτο παρέβασαν ὡς ὁ ῥήτωρ ἐν τῷ κατὰ Ἀριστογείτονος. Τίς ἦν ἐν ᾗ. ὡς ἐπιλανθανόμενος. θέλει δὲ εἰπεῖν τὴν κάρδοπον. Ἐπιλησμότατον. ἔδει εἰπεῖν ἐπιλησμονέστατον. ἡ λέξις δὲ ἐπιλήσμων. φησὶ δὲ Κρατῖνος ἐπιλήσμονι. Γλωττοστροφεῖν, τὴν γλῶτταν στρέφειν δι᾽ ἧς ἂν τοὺς δανειστὰς ἀποκρούσωμαι. Εὐσωματεῖ. ἐκ τοῦ ἐναντίου συγκατατίθεται. δέον γὰρ ἂν μανθάνειν τοιοῦτον ὑγιαίνοντα. εἰ μὴ ἄρα τοῦτο λέγει ὅτι φοβοῦμαι αὐτόν. Εὐπτέρων. ἀντὶ τοῦ εὐγενῶν. ἀπὸ τῶν ὀρνέων. ἢ κούφων ὧν ὁ λογισμὸς ἵπταται. φρονούντων τὰ Κοισύρας. ἀντὶ τοῦ μεγάλα φρονούντων. εὐπτέρων δὲ. τῶν εὐγενῶν. ἡ μεταφορὰ ἐκ τῶν ὀρνέων. ἢ τῶν μετεώρων καὶ ὑπερηφάνων. ἢ ἐπηρμένων. ὡς δραπέτας δὲ αὐτοὺς διαβάλλει. ἀσύμβολοι δέ φησιν. ὅτι καὶ ταχέως μεταβαλλόμενοι ἀπὸ θυμίας ἥττοις ἁλίσκονται. Αὐτὰρ μέτειμι. καὶ δὴ μετελθὼν μεταχειρίσομαι εἴπως δυνηθῶ πεῖσαι αὐτόν. Ἆρά γ᾽ αἰσθάνει.

τίς ἦν ἐν ᾗ ματτόμεθα μέντοι τἄλφιτα.
οἴμοι τίς ἦν. ΣΩ. οὐκ ἐς κόρακας ἀποφθερεῖ.
ἐπιλησμότατον καὶ σκαιότατον γερόντιον;
ΣΤΡ. οἴμοι. τί οὖν δῆθ᾽ ὁ κακοδαίμων πείσομαι.
ἀπὸ γὰρ ὀλοῦμαι, μὴ μαθὼν γλωττοστροφεῖν.
ἀλλ᾽ ὦ νεφέλαι. χρηστόν τι συμβουλεύσατε.
ΧΟ. ἡμεῖς μὲν ὦ πρεσβῦτα συμβουλεύομεν,
εἴ σοί τις υἱός ἐστιν ἐκτεθραμμένος.
πέμπειν ἐκεῖνον ἀντὶ σαυτοῦ μανθάνειν.
ΣΤΡ. ἀλλ᾽ ἔστ᾽ ἔμοιγ᾽ υἱὸς καλός τε κἀγαθός.
ἀλλ᾽ οὐκ ἐθέλει γὰρ μανθάνειν. τί ἐγὼ πάθω.
ΧΟ. σὺ δ᾽ ἐπιτρέπεις; ΣΤΡ. εὐσωματεῖ γὰρ καὶ σφριγᾷ.
κἄστ᾽ ἐκ γυναικῶν εὐπτέρων τῶν Κοισύρας.
ἀτὰρ μέτειμί γ᾽ αὐτόν. ἢν δὲ μὴ θέλῃ.
οὐκ ἔσθ᾽ ὅπως οὐκ ἐξελῶ ᾽κ τῆς οἰκίας
ἀλλ᾽ ἐπανάμεινόν μ᾽ ὀλίγον εἰσελθὼν χρόνον.

Στροφὴ κώλων δέκα.

ΧΟ. ἆρά γ᾽ αἰσθάνει πλεῖστα
δι᾽ ἡμᾶς ἀγάθ᾽ αὐτίκ᾽
ἕξων μόνας θεῶν;
ὡς ἕτοιμος ὅδ᾽ ἐστὶν
ἅπαντα δρᾶν ὅσ᾽ ἂν κελεύῃς.
σὺ δ᾽ ἀνδρὸς ἐκπεπληγμένου.
καὶ φανερῶς ἐπηρμένου.

Κορωνὶς καὶ εἴσθεσις χοροῦ μεσῳδικὴ κώλων διαφόρων δέκα. ὧν τὸ μὲν πρῶτον δίμετρον ἀντισπαστικὸν ἐκ διτροχαίου καὶ παλιμβακχείου. τὸ δεύτερον ἐξ ἀντισπάστου καὶ ἀμφιβράχεος. τὸ τρίτον ἐξ ἐπιτρίτου. τρίτου δίμετρον βραχυκατάληκτον. τὸ τέταρτον δίμετρον ἐκ διτροχαίου καὶ ἀμφιβράχεος. τὸ πέμπτον τροχαϊκὸν δίμετρον ἀκατάληκτον ἀδιαφόρου τῆς τελευταίας οὔσης. τὸ ἕκτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ἕβδομον ἐκ χοριάμβου καὶ διιάμβου δίμετρον. τὸ ὄγδοον χοριαμβικὸν τρίμετρον ἀκατάληκτον. τὸ ἔνατον ὅμοιον τῷ ἕκτῳ ἐχούσης ἀνάπαιστον τῆς ἀρχούσης. τὸ δέκατον χοριαμβικὸν δίμετρον καταληκτικόν. εἴτ᾽ οὖν ἐκ χοριάμβου καὶ βακχείου. Ἐκπεπληγμένου. ἀντὶ τοῦ ἐπαινοῦντος. λείπει δὲ τὸ σε. οἱονεὶ ἐκπλήκτου καὶ μέγα φρονοῦντος. Ἐπηρμένου, γνοὺς ἀπολέψει οἱ λέγοντες τοῖς

στ. ἤδη παρὰ τοῖσι φαρμακοπώλαις τὴν λίθον
ταύτην ἑώρακας, τὴν καλὴν τὴν διαφανῆ,
ἀφ᾽ ἧς τὸ πῦρ ἅπτουσι; σω. τὴν ὕαλον λέγεις;
στ. ἔγωγε. σω. φέρε. τί δῆτ᾽ ἄν; στ. εἰ ταύτην λαβὼν,
ὁπότε γράφοιτο τὴν δίκην ὁ γραμματεὺς,
ἀπωτέρω στὰς ὧδε πρὸς τὸν ἥλιον,
τὰ γράμματ᾽ ἐκτήξαιμι τῆς ἐμῆς δίκης.
σω. σοφῶς γε νὴ τὰς χάριτας. στ. οἴμ᾽ ὡς ἥδομαι.
ὅτι πεντετάλαντος διαγέγραπταί μοι δίκη.
σω. ἄγε δὴ ταχέως τουτὶ ξυνάρπασον. στ. τὸ τί.
σω. ὅπως ἀποστρέψαις ἂν ἀντιδικῶν δίκην,
μέλλων ὀφλήσειν, μὴ παρόντων μαρτύρων.
στ. φαυλότατα καὶ ῥᾷστ᾽. σω. εἰπὲ δή. στ. καὶ δὴ λέγω.
εἰ πρόσθεν ἔτι μιᾶς ἐνεστώσης δίκης,
πρὶν τὴν ἐμὴν καλεῖσθ᾽ ἀπαγξαίμην τρέχων.
σω. οὐδὲν λέγεις. στ. νὴ τοὺς θεοὺς ἔγωγ᾽ ἐπεὶ
οὐδεὶς κατ᾽ ἐμοῦ τεθνεῶτος εἰσάξει δίκην.
σω. ὑθλεῖς. ἄπερρ᾽ οὐκ ἂν διδαξαίμην σ᾽ ἔτι.
στ. ὁτιὴ τί. ναὶ πρὸς τῶν θεῶν ὦ σώκρατες.
σω. ἀλλ᾽ εὐθὺς ἐπιλήθει σύ γ᾽ ἅττ᾽ ἂν καὶ μάθῃς.
ἐπεὶ, τί δή γε πρῶτον ἐδιδάσκου. λέγε.
στ. φέρ᾽ ἴδω τί μέντοι πρῶτον ἦν. τί πρῶτον ἦν.

πράσῃ αὐτήν. Τοῖσι φαρμακοπώλαις. φαρμακοπῶλαι κυρίως οἱ τὰ φάρμακα πιπράσκοντες τά τε λυσιτελοῦντα καὶ τὰ θανάσιμα. παρὰ τοῖς παλαιοῖς δὲ καὶ οἱ τοὺς τιμαλφεῖς τουτέστι γλυπτοὺς λίθους πιπράσκοντες φαρμακοπῶλαι ἐλέγοντο. οὐδεὶς γὰρ τῶν τοιούτων λίθων ὃς οὐκ ἔχει καινοτέραν δύναμιν. Τὴν ὕαλον λέγεις, κατασκεύασμά ἐστιν ὑάλου τροχοειδὲς παχὺ τοῦτο τεχνασθέν. ὃ τῷ ἐλαίῳ χρίοντες καὶ θερμαίνοντες, προσάγουσι θρυαλλίδα. καὶ οὕτως ἅπτουσι. τοῦτο οὖν φησὶν εἰ ὑφάψαιμι διὰ τῆς ὑάλου, καὶ προσάγοιμι τῇ δέλτῳ τὸ πῦρ τῇ τοῦ γραμματέως, ἀφανίσαιμι τὰ γράμματα τῆς δίκης. ὅτι δὲ ὕαλος θηλυκῶς καὶ διὰ τοῦ α. διὸ τὸ χ. ὅμηρος δὲ οὐκ οἶδε τὸ ὄνομα ἀλλὰ παρ᾽ αὐτῷ καὶ τοῖς ἀρχαίοις ἤλεκτρος λεγόμενόν ἐστιν. ὕαλος δὲ οὔ. Ἄλλως. ὕαλον ἡμεῖς μὲν ἀρτίως τὸ ἐκ βοτάνης τινὸς κεκαυμένης καὶ διὰ πυρὸς τηκόμενον εἰς κατασκευὴν ἀγγείων τινῶν λέγομεν. οἱ παλαιοὶ δὲ τὸν διαφανῆ λίθον αὐτὸν τὸν ἰδιωτικῶς λεγόμενον κρύον ἐοικότα δὲ ὑάλῳ. Νὴ τὰς χάριτας. οὐχ ἁπλῶς ὄμνυσι κατὰ τῶν χαρίτων. ὅτι ἴσως γὰρ τῆς ἀθηνᾶς ἦσαν γλυφεῖσαι αἱ χάριτες ἐν τῷ τοίχῳ, ἃς ἐλέγετο ὁ σωκράτης γλύψαι. τὸ γὰρ πρῶτον λιθογλύφος ἦν τὴν τέχνην. αἰνίττεται οὖν αὐτοῦ τοῦ σωκράτους εἰς τὴν πρώτην τέχνην. Ἄλλως. τῷ μὲν φαινομένῳ ἀρεσκόμενος σωκράτης δείκνυται τῷ τοῦ στρεψιάδου νοήματι καὶ ὄμνυσι τὰς χάριτας ὅτι σοφῶς τοῦτο τὸ νόημα ἐπενόησε τὸ τῆς τοῦ χάρτου τεφρώσεως, χαρίτων γὰρ ἔργα καὶ δῶρα, σοφία σχήματα τῷ μέντοι δὲ τοῦ σωκράτους καθάπτεται ὁ ποιητὴς ὁ κωμῳδῶν τοῦτον ὡς λιθοξόον σωφρονίσκου γὰρ λιθοξόου ἦν υἱὸς σωκράτης καὶ τῆς λαξευτικῆς μετεῖχε τέχνης καὶ ἀνδριάντας λιθίνους ἐλέξευε καὶ ἀγάλματα δὲ τῶν τριῶν χαρίτων εἰργάσατο θεούς ἀγλαΐας καὶ θαλείας καὶ ἦσαν ὄπισθεν τῆς ἀθηνᾶς ἐγγεγλυμμένα τῷ τοίχῳ. Οἴμ᾽ ὡς ἥδομαι. τὸ οἴμοι καὶ ὤμοι, ποτὲ μὲν ἐπ᾽ εὐφροσύνῃ κείμενα εὕρηται, ποτὲ δὲ ἐπὶ λύπης καὶ ἐπ᾽ εὐφροσύνῃ μὲν ὡς ἐνταῦθα οἴμ᾽ ὡς ἥδομαι καὶ ὤμοι τῆς φιλίας ἐμνήσθης. ἐπὶ δὲ λύπης ὡς τὸ οἴμοι τάλας καὶ οἴμοι κακοδαίμων ὡς ἀγέλωα δείλαιος. καὶ ὤμοι μα

στρ. ἔχω τόκου γνώμην ἀποστερητικήν.
σω. ἐπίδειξον αὐτήν. στρ. εἰπὲ δή νῦν μοι. σω. τὸ τί,
στρ. γυναῖκα φαρμακίδ' εἰ πριάμενος θετταλὴν,
καθέλοιμι νύκτωρ τὴν σελήνην. εἶτα δὴ
αὐτὴν καθείρξαιμ' ἐς λοφεῖον στρογγύλον.
ὥσπερ κάτοπτρον, κᾆτα τηροίην ἔχων,
σω. τί δῆτα τοῦτ' ἂν ὠφελήσειέ σ'. στρ. ὅτι,
εἰ μηκέτ' ἀνατέλλοι σελήνη μηδαμοῦ,
οὐκ ἂν ἀποδοίην τοὺς τόκους. σω. ὁτιὴ τί δή.
στρ. ὅτι ἡ κατὰ μῆνα τ' ἀργύριον δανείζεται.
σω. εὖγ'. ἀλλ' ἕτερον αὖ σοι προβαλῶ τι δεξιόν.
εἴσοι γράφοιτο πεντετάλαντός τις δίκη,
ὅπως ἂν αὐτὴν ἀφανίσειας, εἰπέ μοι.
στρ. ὅπως; ὅπως; οἰκ οἶδ' ἀτὰρ ζητητέον.
σω. μή νυν περὶ σαυτὸν εἶλε τὴν γνώμην ἀεί.
ἀλλ' ἀποχάλα τὴν φροντίδ' ἐς τὸν ἀέρα.
λινόδετον ὥσπερ μηλολόνθην, τοῦ ποδός.
στρ. εὕρηκ' ἀφάνισιν τῆς δίκης σοφωτάτην.
ὥστ' αὐτὸν ὁμολογεῖν σ' ἐμοί. σω. ποίαν τινά

γυναῖκα φαρμακίδ'. ὡς νῦν τὰς φαρμακίδας θετταλὰς καλοῦσι. διαβάλλονται γὰρ οἱ θετταλοὶ, ὡς γόητες. καὶ μέχρι δὲ νῦν φαρμακίδες παρ' ἡμῖν αἱ θετταλαὶ καλοῦνται. φασὶ δὲ ὅτι μήδεια φυγοῦσα, κίστην ἐξέβαλε φαρμάκων ἐκεῖ καὶ ἀνέφυσαν. τὸ δὲ θετταλὴν ἀττικοὶ βαρύνουσιν οἱ κατὰ μένανδρον, ὡς δ' ἀμάλην. Λοφεῖον στρογγύλον. τὴν τοῦ κατόπτρου θήκην. ἢ τὴν θήκην τοῦ λόφου τῆς περικεφαλαίας. περιφερὴς δὲ αὕτη. Ὥσπερ κάτοπτρον. ὅτι γὰρ τῆς σελήνης κύκλος στρογγυλοειδής. καθάπερ καὶ τὰ ἔσοπτρα. καὶ φασὶ τοὺς περὶ τὰ τοιαῦτα δεινούς, οὕτω κατάγειν τὴν θεόν. ἔστι δὲ καὶ πυθαγόρου παίγνιον διὰ τοῦ τοιούτου κατόπτρου προσελήνου τῆς σελήνης οὔσης. εἴ τις ἔσοπτρον ἀπογράψειεν αἵματι ὅσα βούλεται, καὶ προειπὼν ἑτέρῳ σταίη κατόπιν αὐτοῦ δεικνὺς πρὸς τὴν σελήνην τὰ γράμματα, κἀκεῖνος ἀτενίσας ὅμμασιν εἰς τὸν τῆς σελήνης κύκλον, ἀναγνοίη πάντα τὰ ἐν τῷ κατόπτρῳ γεγραμμένα ὡς ἐν τῆς σελήνης γεγραμμένα. Μηκέτ' ἀνατέλλοι. πρὸς τὸ προειρημένον ὑπ' αὐτοῦ. ὅρθρον ἄγουσαν τὴν σελήνην εἰκάδας. πληρουμένης γὰρ σελήνης οἱ τόκοι ἐδίδοντο, εἰ γοῦν οὐκ ἀνατέλλοι πῶς ἂν οἱ δανεισταὶ γνόντες τὸν μῆνα πληρούμενον ἀπαιτήσαιεν τοὺς τόκους. Τιὴ τί δή. παράλληλα. καὶ παρ' ὁμήρῳ. Τιὴ τί δὴ λείπεσθαι ἄριστοι. Αργυρίων. οὕτως ἡ γραφὴ ἀργυρίων παρὰ φρυνίχῳ κεῖται, ὅτι οἱ κωμικοὶ πληθυντικῶς φασίν. οἱ δὲ ῥήτορες ἑνικῶς. καὶ σώφρων πληθυντικῶς ἀργυρίων δεήσῃ. Προβαλῶ. προθήσω, εἰς ὃ δεῖ σε μηχανὴν εὑρεῖν. Εἴσοι γράφοιτο. εἰ κατηγοροίη πέντε σε δυναμένη ζημιῶσαι τάλαντα. ἀττικῶς δὲ τὸν ἀριθμὸν τὸ πέντε πεφύλαξε. ἄλλως. Ἴστε οὖν ὅτι ἐν τοῖς δικασταῖς οἱ δανεισταὶ ἐρχόμενοι ἔλεγον ὡς ὁ δεῖνα αὐτοῖς ὀφείλει, εἶτα ὁ τοῦ δικαστηρίου γραμματεὺς ἔγραφεν τοῦτο καὶ μετὰ ταῦτα ὁ ὀφείλων καλούμενος ἀπῃτεῖτο τὸ δάνειον. Εἶλε τὴν γνώμην. εἰλῶ τὸ στρέφω παρὰ κοινοῖς περισπωμένως, εἴλω δὲ βαρυτόνως παρὰ τοῖς ποιηταῖς. Μηλολόνθην. οὕτω γράφουσιν οἱ ἀκριβέστεροι. τινὲς δὲ λέγουσιν ὅτι ζωΰφιόν ἐστι χρυσίζον κανθάρῳ ὅμοιον. ὃ λαμβάνοντες οἱ παῖδες ἀποδεσμοῦσι λίνῳ καὶ ἐκπεταννύουσιν. Ἄλλως. τὸν χρυσοκάνθαρον. οὕτως οὖν φησι δῆσόν σου τὴν γνώμην, ἵν' ὅταν ἀρπάσῃς ἐκ τοῦ ἀέρος τὴν γνώμην, πάλιν ἀπο/

Ἡ γὰρ πέος παρεπιγραφή. δεῖ γὰρ αὐτὸν καθέζεσθαι ἔχοντα τὸ αἰδοῖον. καὶ μιμεῖσθαι τὸν δερμύλλοντα ἑαυτόν. Τί φροντιεῖς. φροντίζω τὸ φροντίδα ἔχω κοινῶς μὲν γενικῇ συντάσσεται, ἀττικῶς δὲ μετὰ αἰτιατικῆς, ὡς ἐνταῦθα ἢ ἐν τῷ βολβοὺς ζητεῖτε; μὴ τοῦτο φροντίζετε. Αὐτὸς ὅ,τι βούλει. διαβάλλει αὐτὸν ὡς μὴ παρέχοντα δίδαγμα τοῖς μαθηταῖς. Σχάσας. καταπαύσας. στήσας. ἀτρεμήσας. καὶ πίνδαρος, κώπαν σχάσας, ἀντὶ τοῦ ἀτρεμήσας. ἔνιοι δὲ χάσας. ἀντὶ τοῦ ἀπώσας. Λεπτήν. ἀκριβῆ. ἔνθα καὶ λεπτολόγος δράμα. διαιρῶν ἀκριβῶς καὶ ἐπιμελῶς καταμερίζων περὶ οὗ τὴν σκέψιν ποιῇ. ἀναλύσσων δοκιμάζων. καὶ διακρίνων τὰ πράγματα. οἷον διαίρεσιν αὐτῶν ποιῶν. Ἄλλως. ὡς ἐπὶ τῶν μίμων ἐχρήσατο. ὥσπερ εἰ ἔλεγε κατὰ κεφάλαιον ἐκζήτει. Διαιρῶν καὶ σκοπῶν. ὁ γὰρ σκεπτόμενος, οὕτω διαιρεῖ τὴν βουλήν. οἷον εἰ τόδε ποιήσω, τόδε ἀπαντήσει. καὶ εἰ τόδε, τόδε.

στρ. οὐδέν γε πλὴν ἢ τὸ πέος ἐν τῇ δεξιᾷ.
σω. οὐκ ἐγκαλυψάμενος ταχέως τι φροντιεῖς;
στρ. περὶ τοῦ. σὺ γάρ μοι τοῦτο φράσον ὦ σώκρατες.
σω. αὐτὸς ὅ,τι βούλει πρῶτος ἐξευρὼν, λέγε.
στρ. ἀκήκοας μυριάκις ἁγὼ βούλομαι.
περὶ τῶν τόκων ὅπως ἂν ἀποδῶ μηδενί.
σω. ἴθι νυν, καλύπτου. καὶ σχάσας τὴν φροντίδα
λεπτὴν κατὰ μικρὸν περιφρόνει τὰ πράγματα.
ὀρθῶς διαιρῶν καὶ σκοπῶν. στρ. οἴμοι τάλας.
σω. ἔχ' ἀτρέμα. κἂν ἀπορῇς τι τῶν νοημάτων,
ἀφεὶς ἄπελθε. κᾆτα τὴν γνώμην πάλιν.
κίνησον αὖθις αὐτὸ καὶ ζυγώθρισον.
στρ. ὦ σωκρατίδιον φίλτατον. σω. τί ὦ γέρον.

Ἔχ' ἀτρέμα. ἐφ' ἡσυχίας μένε. ὡς αὐτοῦ κινουμένου διὰ τοὺς κόρεις. ἄλλως. Ἰστέον ὅτι οἱ ἀττικοὶ πάντα τὰ ἑνικά τε καὶ πληθυντικὰ, τρίτα πρόσωπα τῶν ῥημάτων καὶ τὰς τῶν ὀνομάτων δοτικὰς τῶν πληθυντικῶν συμφώνου καὶ φωνήεντος ἐπιφερομένου μετὰ τοῦ ν γράφουσιν ὡς ἔστι σαφῶς συμβαλεῖν ταῖς τοῖς πάλαι σοφοῖς πεπονημέναις ἐντυγχάνοντα βίβλοις, οἱ δὲ ἴωνες δίχα τοῦ ν. ποιηταὶ δὲ καὶ ἀμφοτέροις οἱ ποιηταὶ παρακολουθοῦντες καὶ δὴ καὶ τῇ ἀνάγκῃ τοῦ μέτρου ἑπόμενοι, πολλάκις συμφώνου μὲν ἐπιφερομένου μετὰ τοῦ ν. γράφουσι. πολλάκις δὲ καὶ φωνήεντος ἐπιφερομένου δίχα τοῦ ν. τοιοῦτον δή τι τῇ τοῦ μέτρου ἀνάγκῃ καὶ ἐν τοῖς εἰς ν. καὶ εἰς σ λήγουσιν ἐπιρρήμασι ποιεῖν εἰώθασιν. οἷον τὸ πρόσθεν, νέρθεν, ἐπένερθεν τὸ οὕτως αὖθις, πολλάκις εὐθὺς ταχὺς ἀτρέμας καὶ τοῖς ὁμοίοις. τοῦτο δὲ οὕτως ἔχον εὑρήσεις, ἀκριβῶς σκοπῶν. Ἀφεὶς ἄπελθε τὸ ἀπορούμενον. ἔπειτα πάλιν ἀνασκοπεῖν καὶ οἷον ἀνοίγειν ἀποπειρῶ. τὸ γὰρ ἀναζυγοῦν ἐστι τὸ ἔξωθεν ἀνοίγειν τὴν θύραν. ἔνιοι δὲ ζυγώθρισον. συνάρμοσον. σύμπλεξον. κίνησον δὲ αὖθις. ἀντὶ τοῦ καὶ δεύτερον καὶ τρίτον ἐπίστησον. περὶ τῶν αὐτῶν ζυγοστάτησον. ἴσωσον. Κίνησον αὖθις. ὑποτίθεται πῶς δεῖ φροντίζειν καὶ τίνα τρόπον. φησὶ γὰρ ἐὰν ὑπεισέλθῃς, ἔτι μὴ ἀμελήσῃς. ἀλλὰ πολλάκις αὐτὸ μέτελθε. καὶ οὕτως εἰς ἓν συμφορήσας, τὴν ἀρίστην γνώμην ἑλοῦ. Ζυγώθρισον ἀπὸ τοῦ ζυγὸς γίνεται καὶ τοῦ ἀθερίζω τὸ ἀποδοκιμάζω ζυγοθόρισον καὶ κατὰ συγκοπὴν τοῦ ε. καὶ κρᾶσιν τοῦ ο καὶ α εἰς ω μέγα ζυγώθρισον. Ὦ σωκρατίδιον, ἐνθυμηθεὶς ἐξανίσταται βοῶν.

καὶ τὴν λογικὴν, ἥτις ἐστὶ μόνων τῶν ἀνθρώπων. φρούδη δ' ἐμβάς. μέχρι τοῦ ἀπλοῦς κτήματος. τοῦτο δὲ εἶπε διὰ τὸ ὑπολελύσθαι τὰς ἐμβάδας ὅτε ἀπῄει ὡς ἔτι μέλλων εἰσιέναι εἰς τὸ φροντιστήριον. ἄλλως. οὐκ εἶπεν ὅ πέπονθεν, ὅτι τὰς ἐμβάδας ὑπελύσατο ὅτε ἐψηλάφα, ὅτε εἰσῄει τὸ εἶπεν γῆν ἐκεῖνο φροντιστήριον ἀλλὰ μόνον ὅτι ἐξεδύσατο τὸ ἱμάτιον καὶ οὐδὲν θαυμαστὸν ἢ γέροντος μὲν τό τι παρῆκε. νῦν δὲ λέγει τοῦτο τί ἐστι τὸ ὑπολύσασθαι τὰς ἐμβάδας, ὃ δὲ ἐκεῖ εἶπεν ἡ γνῶ τὸ ἀποδύσασθαι τὸ ἱμάτιον, νῦν δὲ λέγει. φρουρᾶς ᾄδων. οἱ φρουροῦντες ἐν τῷ πολέμῳ διὰ τὸ παραμυθεῖσθαι αὐτῶν τὴν ἀγρυπνίαν ᾖδον. καὶ οὕτως ἦν λεγόμενον ἐπὶ τῶν ἀγρυπνούντων φρουρᾶς ᾄδειν. ἄλλως. τὸ φρουρᾶς ᾄδειν παροιμία ἐστὶν ἐπὶ τῶν ἀγρυπνούντων καὶ φροντιζόντων πάνυ λεγομένη, οἱ γὰρ στρατιῶται τὰς ἐν νυκτὶ τινὰ φυλακὴν ᾄδουσιν ἵνα μὴ ὑπὸ τοῦ ὕπνου καταμαλακισθέντες, ἐκλίπωσι ὃ φυλάσσουσιν, ἐικότως

φρούδη δ' ἡ ψυχή. φρούδη δ' ἐμβάς,
καὶ πρὸς τούτοις ἔτι τοῖσι κακοῖς,
φρουρᾶς ᾄδων, ὀλίγου φροῦδος γεγένημαι
σω. οὗτος τί ποιεῖς. οὐχὶ φροντίζεις; στρ. ἐγώ.
νὴ τὸν ποσειδῶ. σω. καὶ τί δῆτ' ἐφρόντισας,
στρ. ὑπὸ τῶν κόρεων εἴ μου τι περιλειφθήσεται.
σω. ἀπολεῖ κάκιστ'. στρ. ἀλλ' ὦγάθ' ἀπόλωλ' ἀρτίως.
σω. οὐ μαλθακιστέ'. ἀλλὰ περικαλυπτέα.
ἐξευρετέος γὰρ νοῦς ἀποστερητικός.
κἀπαιόλημ'. στρ. οἴμοι. τίς ἂν δῆτ' ἐπιβάλοι
ἐξ ἀρνακίδων γνώμην ἀποστερητίδα.
σω. φέρε νυν. ἀθρήσω πρῶτον ὅ, τι δρᾷ τουτονί.
οὗτος καθεύδεις; στρ. μὰ τὸν ἀπόλλω 'γὼ μὲν οὔ.
σω. ἔχεις τι; στρ. μὰ Δί'. οὐδὲν ἔγωγ'. σω. οὐδὲν πάνυ;

δ' ἐνταῦθα ἡ παροιμία ἐλήφθη καὶ γὰρ αὐτὸς ἐν τῇ κλίνῃ κείμενος οὐκ ἐκοιμᾶτο ἀλλ' ἐφρόντιζεν, ἀστείως δὲ πάνυ καὶ τὸ φροῦδος εἴρηκεν ὁ ποιητὴς ἐκ τῶν δύο λέξεων συνθήκης τοῦ φρουρᾶς καὶ τοῦ ᾄδων σχηματίσας αὐτό. ἄλλως. ἐκ τοῦ παρεπομένου τοῖς φρουροῖς. εἰώθασι γὰρ ἑαυτοῖς ᾄδειν ἀποπέμποντες τὸν ὕπνον. φρουρᾶς ᾄδων οἷον διαγρυπνῶν τὴν φρουράν. παρὰ δὲ τὴν λέξιν τὴν φρούδη τοῦτο πεποίηκε. διὸ σὴ δὲ ἡ γραφή. φρουρὸς ᾄδων αὐτὶ τοῦ συνεχῶς ᾄδων φρουρός. τὸ δὲ φρουρᾶς ᾄδων, ἀντὶ τοῦ φυλάττων. ἐπεὶ φύλακες ἦσαν τῶν φροντιστηρίων θυρῶν. Ἀπόλωλ' ἀρτίως. ὑπὸ τῶν κόρεων δηλονότι. ἐπειδὴ σωκράτης εἶπεν ἀπολεῖ ὅ ἐστι μέλλεις ἀπολέσθαι, αὐτὸς λέγει, ὅτι ἀπόλωλ' ἤδη. Περικαλυπτέα. δὲ ἐστέ φησι καλύψασθαι καὶ σκέψασθαι. ἐπεὶ οἱ εἰς τείνοντες τοὺς ὀφθαλμοὺς, ἀποπλανῶνται τὴν γνώμην. Κἀπαιόλημ'. ἀπαιόλημα γίνεται ἀπὸ τοῦ αἰόλλω ὃ δηλοῖ τὸ ταχέως καὶ δίκην ἀέλλης κινῶ, ἀφ' οὗ ὅμηρος αἰολοπώλους τοὺς φρύγας καλεῖ ἤγουν ταχυίππους ἢ ποικίλως ἱππαζομένοις. Ἀρνακίδων. ἀρνακὶς λέγεται, τὸ τοῦ ἀρνὸς κώδιον. ἔπαιξε δὲ πρὸς τὸ ἀρνεῖσθαι. δέον εἰπεῖν τίς ἄν μοι περιβάλοι ἐξ ἀρνακίδων σισύραν, ἔπαιξεν ὀνομάσας ἀπὸ τοῦ ἀρνῶν τὸ ἀρνεῖσθαι τὰ δανειστάς, τὸ ἐξ ἀρνακίδων. τὸ δὲ ἀποστερητίδα, ἅμα μὲν καὶ πρὸς τὸ ἀπὸ τοῦ ἀποστερεῖν. ἅμα δὲ καὶ αὐτὶ τοῦ περιβόλαιον. Ἔχεις τι. ἐπειδὴ προεῖπεν αὐτῷ ἀπαρτήσας τὴν φροντίδα. ὡς ἐπὶ ὀρνιθοθήρου. εἶπε τὸ ἔχεις. ὡς ἐπὶ τῶν ἀγρευόντων ἤτοι ὄρνιν ἢ ἰχθῦν, εἶπε τὸ ἔχεις τι. αἰαρτῆσαι γὰρ αὐτῷ ἐκέλευσε τὴν διάνοιαν καὶ τὴν φροντίδα. Ἄλλως. χαριέντως τὸ ἔχεις τι. τῇ τῶν ἀγρευόντων λέξει χρώμενος. τοῖς γὰρ ἁλιεῦσιν ἢ ὀρνιθαγρευταῖς, οὕτω φασίν. ἔχεις τι.

οἵαν δίκην τοῖς κόρεσι δώσω τήμερα.
σω. φρόντιζε δὴ καὶ διάθρει πάντα τρόπον τε σαυτὸν
στρόβει πυκνώσας. ταχὺς δ' ὅταν γ' εἰς ἄπορον
ἐς ἄλλο, πήδα, νόημα φρενί. (πέσῃς
ὕπνος δ' ἀπέστω γλυκύθυμος ὀμμάτων.
στρε. ἰατταταῖ. ἰατταταῖ. σω. τί πάσχεις; τί κάμνεις;
στρε. ἀπόλλυμαι δείλαιος ἐκ τοῦ σκίμποδος.
δάκνουσί μ' ἐξέρποντες οἱ κορίνθιοι.
καὶ τὰς πλευρὰς δαρδάπτουσι
καὶ τὴν ψυχὴν ἐκπίνουσι.
καὶ τοὺς ὄρχεις ἐξέλκουσι.
καὶ τὸν πρωκτὸν διορύττουσι.
καί μ' ἀπολοῦσι. σω. μὴ νῦν βαρέως ἄλγει λίαν.
στρε. καὶ πῶς ὅτε μου
φροῦδα τὰ χρήματα. φρούδη χροιά.

Τήμερα. ὡς ἐν ὁλκάσιν. ἰὼ λακεδαῖμον. τί ἄρα πείσῃ τήμερα ὁ σημερινός. καὶ ἔστι τεταγμένως ἐπὶ σώματος. τὸ δὲ τήμερον ἐπὶ χρόνου λέγεται. Φρόντιζε δὴ καὶ διάθρει. ἐκάθισεν αὐτὸν ἐπὶ τοῦ ἀσκάντου. τὸ δὲ δὴ ἰσοδυναμεῖ τῷ νῦν. ἔκθεσις τῆς διπλῆς ἀμοιβαία ἐκ στίχων καὶ κώλων δύο πρὸς τοῖς εἴκοσιν. ὧν τὸ πρῶτον δίμετρον ἐκ διιάμβου καὶ χοριάμβου. τὸ δεύτερον δίμετρον ἐκ χοριάμβου καὶ βακχείου. τὸ τρίτον ἰαμβικὸν πενθημιμερές. τὸ τέταρτον ἐκ διιάμβου καὶ χοριάμβου τρίμετρον βραχυκατάληκτον. τὸ πέμπτον ἐκ διιάμβου καὶ τροχαίου ταυτοπαθές. τὸ ἕκτον τρίμετρον ἐκ διιάμβων καὶ κατὰ τὸ μέσον διτροχαίου. τὸ ἕβδομον, ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ὄγδοον δίμετρον ἀναπαιστικὸν βραχυκατάληκτον ἢ ἐκ δυοῖν βακχείοιν ἀκατάληκτον. τὰ ἑξῆς δύο ἰαμβικὰ τρίμετρα. τὰ δὲ μετὰ ταῦτα ἀναπαιστικὰ δίμετρα καταληκτικὰ εἰς δισύλλαβον. πλὴν τοῦ πεντεκαιδεκάτου μονομέτρου ὄντος. ὁμοίως καὶ τοῦ ἑπτακαιδεκάτου καὶ εἰκοστοῦ πρώτου. ἀναπαιστικαὶ γὰρ βάσεις. καὶ τοῦ τελευταίου ἀναπαιστικοῦ μὲν ὄντος ἐφθημιμεροῦς. παροιμιακοῦ δὲ ὡς πολλάκις εἴρηται καλουμένου. ἔστι δὲ καὶ ταῦτα πολυσχημάτιστα, ἐπὶ τῷ τέλει δύο διπλαῖ ὡς ἐν τοῖς προφθᾶσιν. ἰστέον δὲ ὅτι τὰς ἐκθέσεις τῶν διπλῶν οὐκ ἀεὶ διὰ τοῦ αὐτοῦ μέτρου ἐκφέρουσιν, ἀλλὰ καὶ δι' ἑτέρου. ἔστι δ' ὅτε καὶ διὰ διαφόρων ὡς καὶ ἐνταῦθα. Πάντα τρόπον. τουτέστιν ἐπὶ πολλὰ τὴν διάνοιάν σου στρέφε. Στρόβει. ἀνάκρινε καὶ δοκίμαζε περίφερε τῇδε κἀκεῖσε ἐπὶ πολλά. πυκνόν τι καὶ συνετὸν ποιήσας καὶ φρόνιμον σκεψάμενος. Εἰς ἄπορον πέσῃς. ἐπειδὰν δέ φησιν εἰς τὰ ἄπορον πέσῃς, ταχὺ ἐπ' ἄλλο νόημα φρενὸς πήδα. ἄπορον δὲ, οὗ πόρον καὶ λύσιν οὐκ ἔστιν εὑρεῖν. καθάπτεται δὲ τοῦ Σωκράτους ὡς καὶ αὐτοῦ ἐπὶ ταῖς ζητήσεσιν οὕτω ποιοῦντος. ὅταν γὰρ στενοχωρῆται καὶ ἀπορῇ, μεθίσταται εἰς ἕτερον. ὁ γὰρ ὑποτιθέμενος ἄλλῳ δῆλον ὅτι, αὐτὸς ἐν πείρᾳ γενόμενος τῶν ὅσα λέγει, ὑποτίθεται.

Ἰατταταῖ. καταπονούμενος ὑπὸ τῶν κόρεων στενάζει ὁ στρεψιάδης. ἔστι δὲ παρεπιγραφή. κατακλιθεὶς γὰρ καὶ μὴ δυνάμενος ὑπενεγκεῖν, παρακαλεῖ. Οἱ κορίνθιοι. ἴσως αὐτοῖς ἐπέκειντο κατ' ἐκεῖνο καιροῦ οἱ κορίνθιοι. παρονομάζει δὲ παίζων ἅμα μὲν πρὸς τὸ κόρεων, ἅμα δὲ καὶ διὰ τὸν πόλεμον, ὅτι ἐχθροὶ ἦσαν ἀθηναίων οἱ κορίνθιοι. Ψυχὴν ἐκπίνουσιν. ἰστέον ὅτι τρεῖς ψυχάς φασι, τὴν αὐξητικήν, ἥτις ἐστὶν κοινὴ τῶν ἀλόγων ζώων καὶ τῶν φυτῶν, τὸ αἷμα ὅπερ ἐστὶ μόνων τῶν ζώων,

ἀρσενικῶς δὲ ἐν θηλυκῶς· ὥσπερ κλεώνυμον ἄρρενα καλοῦσί τινες, οὐδὲν διαφέροντα τῇ αἰσχύνῃ τῶν γυναικῶν. Ταυτὸν δύναταί σοι. ἴδιον τὸ αὐτὸ γένος σημαίνει δὲ τὴν κατάληξιν. ὅ ἐστι δοκεῖ σοι ὁμοιοκατάληκτον εἶναι. ἅμα δὲ καὶ ὡς γυναικώδη σκώπτει τὸν κλεώνυμον. καὶ ὡς ἀδηφάγον διασύρει τῷ ἀλφίτων δεικτικῷ λέγων ὅμοιον. τῶν πολιτευομένων δὲ εἷς ἦν. καὶ ὡς γυναικιζόμενον αὐτὸν οἱ ποιηταὶ διαβάλλουσιν. Ἀλλ' ἐν θυείᾳ. ἀδηφαγίας ὑπερβολή. ὡς πένητα δὲ καὶ παράσιτον διαβάλλει αὐτόν. καὶ ἀποξροῦντα μάκτρας. μάκτρα δὲ ἡ θυεία ἢ δὲ καρδόπη, μεγάλη. ἀδηφαγίας δὲ ἔχει διαβολὴν κατὰ τοῦ κλεωνύμου. πρὸ τοῦ γὰρ μάκτρας ἔνδον ὁ κλεώνυμος. Τὴν σωστράτην πάλιν ἐνταῦθα ὅτι τῆς σκώπτει τὴν σώστρατον, σωστράτην εἰπών, διότι λίαν ἀσελγὴς ἦν καὶ θηλυδρίας. Καρδόπη. κλεωνύμη. τοῦτον ἤδη ὡς κίναιδον διασύρει, ἐπεὶ ῥίψασπις καὶ δειλός. ἐν ἐρωτήσει δὲ ὁ λόγος καὶ λείπει τὸ ὡς. ἵν' ἡ ἐκεῖνο δ' ἦν ὀρθῶς, ὡς καρδόπη καὶ κλεωνύμη λέγειν. ὅμοιον δὲ ἦν τὸ λέγειν καρδόπην ὡς κλεωνύμην. Γυναῖκα τὴν ἀμυνίαν. πρὸς τὴν κατάληξιν τοῦ ὀνόματος ἔπαιξε. καὶ εἰς διαβολὴν τοῦ ἀνδρός. ἐνταῦθα μὲν εἰς δειλίαν μόνον καὶ μαλακίαν. κράτης δὲ ἐν δ' ἐρρίφοις ὡς ἀλαζόνα καὶ κόλακα καὶ συκοφάντην. εὔπολις δὲ ὡς παραπρεσβύτην. ὅπερ καὶ ἐν τοῖς σφηξὶ φαίνεται. Κατακλινείς. τοῦτο κοινόν. τὸ γὰρ κατακλιθείς ἀττικόν. ἰωνικῶς δὲ κατακλινθείς. Ἐκφρόντισόν τι. αὐτὴ τοῦ σκέψαι καὶ διανοήθητι περὶ τῶν ἰδίων σοι συμφερόντων πραγμάτων. Μὴ δῆθ' ἱκετεύω. παρεπιγραφή. ποιήσει γὰρ τὸ προσταχθέν. εἶτα καταβραδύνεις, ἀρνήσεται. Οὐκ ἔστι παρὰ ταῦτ' ἄλλα εἰ μὴ σὺ τῆς ἀσκαίτου σκέψει. τοῦτό φησι πάντως δέδοικα, οὐκ ἀνίημί σε ἐλόντα ποιῆσαί τι.

σω. Ταυτὸν δύναταί σοι κάρδοπος κλεωνύμῳ.
στ. ἀλλ' ὦ 'γαθ' οὐδ' ἦν κάρδοπος κλεωνύμῳ.
ἀλλ' ἐν θυείᾳ στρογγύλῃ γ' ἀνεμάττετο.
ἀτὰρ τὸ λοιπὸν πῶς με χρὴ καλεῖν; σω. ὅπως;
τὴν καρδόπην, ὥσπερ καλεῖς τὴν σωστράτην.
στ. τὴν καρδόπην θήλειαν; ὀρθότερον λέγεις.
ἐκεῖνο δ' ἦν ἂν καρδόπη κλεωνύμη.
σω. ἔτι δή γε περὶ τῶν ὀνομάτων μαθεῖν σε δεῖ,
ἅττ' ἄρρεν' ἐστὶν, ἅττα δ' αὐτῶν θήλεα.
στ. ἀλλ' οἶδ' ἔγωγ' ἃ θήλε' ἐστίν. σω. εἰπὲ δή.
στ. λύσιλλα, φίλιννα, κλειταγόρα, δημητρία.
σω. ἄρρενα δὲ ποῖα τῶν ὀνομάτων; στ. μυρία.
φιλόξενος, μελησίας, ἀμυνίας.
σω. ἀλλ' ὦ πονηρὲ, ταῦτά γ' ἔστ' οὐκ ἄρρενα.
στ. οὐκ ἄρρεν' ὑμῖν ἐστιν; σω. οὐδαμῶς γ', ἐπεὶ
πῶς ἂν καλέσειας ἐντυχὼν ἀμυνίᾳ;
ὅπως ἄν, ὡδί. δεῦρο δεῦρ' ἀμυνία.
σω. ὁρᾷς; γυναῖκα δὴ τὴν ἀμυνίαν καλεῖς.
στ. οὔκουν δικαίως, ἥτις οὐ στρατεύεται;
ἀτὰρ τί ταῦθ' ἃ πάντες ἴσμεν μανθάνω;
σω. οὐδὲν μὰ δί' ἀλλὰ κατακλινεὶς δευρί. στ. τί δρῶ;
σω. ἐκφρόντισόν τι τῶν σεαυτοῦ πραγμάτων.
στ. μὴ δῆθ' ἱκετεύω σ' ἐνθάδ', ἀλλ' εἴπερ γε χρὴ
χαμαί μ' ἔασον αὐτὰ ταῦτ' ἐκφροντίσαι.
σω. οὐκ ἔστι παρὰ ταῦτ' ἄλλα. στ. κακοδαίμων ἐγὼ

στρ. κατὰ δάκτυλον, νὴ τὸν δί᾽ ἀλλ᾽ οἶδ᾽. σω. εἰπὲ δή.
στρ. τίς ἄλλος ἀντὶ τουτουὶ τοῦ δακτύλου.
πρὸ τοῦ μὲν, ἔτ᾽ ἐμοῦ παιδὸς, ὄντος. οὑτοσί.
σω. ἀγρεῖος εἶ καὶ σκαιός. στρ. οὐ γὰρ ὦζυρὲ
τούτων ἐπιθυμῶ μανθάνειν οὐδέν. σω. τί δέ.
στρ. ἐκεῖν᾽ ἐκεῖνο τὸν ἀδικώτατον λόγον.
σω. ἀλλ᾽ ἕτερα δεῖ σε πρότερα τούτου μανθάνειν.
τῶν τετραπόδων ἅττ᾽ ἐστὶν ὀρθῶς ἄρρενα.
στρ. ἀλλ᾽ οἶδ᾽ ἔγωγε τἄρρεν᾽ εἰ μὴ μαίνομαι.
κριός. τράγος. ταῦρος. κύων. ἀλεκτρυών.
σω. ὁρᾷς ἃ πάσχεις; τήν τε θήλειαν καλεῖς
ἀλεκτρυόνα κατὰ ταὐτὸ καὶ τὸν ἄρρενα.
στρ. πῶς δή φέρε. σω. πῶς; ἀλεκτρυὼν κἀλεκτρυών.
στρ. νὴ τὸν ποσειδῶ. νῦν δὲ πῶς με χρὴ καλεῖν.
σω. ἀλεκτρύαιναν. τὸν δ᾽ ἕτερον ἀλέκτορα.
στρ. ἀλεκτρύαιναν; εὖ γε νὴ τὸν ἀέρα.
ὥστ᾽ ἀντὶ τούτου τοῦ διδάγματος μόνου,
διαλφιτώσω σου κύκλῳ τὴν κάρδοπον.
σω. ἰδοὺ μάλ᾽ αὖθις τοῦθ᾽ ἕτερον. τὴν κάρδοπον
ἄρρενα καλεῖς θήλειαν οὖσαν. στρ. τῷ, τρόπῳ
ἄρρενα καλῶ ᾽γὼ κάρδοπον. σω. μάλιστά γε.
ὥσπερ γε καὶ κλεώνυμον. στρ. πῶς δή, φράσον.

Κατὰ δάκτυλον, ἀριθμητικόν ἐστι μέτρον. ἔστι δὲ ῥυθμὸς, κρούματος εἶδος κατὰ δάκτυλον. ᾧ χρῶνται οἱ αὐληταί. ὁ κατὰ δάκτυλον ῥυθμός ἐστιν ὁ ἐν ἴσῳ λόγῳ, ὁ δὲ ἐνόπλιος καὶ προσοδιακὸς καλούμενος ὑπό τινων, σύγκειται ἐκ σπονδείου καὶ πυρριχίου καὶ τροχαίου καὶ ἰάμβου. συνεμπίπτει δὲ οὗτος ἤτοι τριποδίᾳ ἀναπαιστικῇ, ἢ βάσεσι δυσὶν ἀναπαιστικῇ καὶ ἰωνικῇ. Τίς ἄλλος. τὴν παρατροπὴν ἑκατέρων μεταξὺ τοῖν δυοῖν ὡς ἐν τοῖς πλείστοις σχεδὸν φέρεται. ὁ πρότερος σωκράτους. τίς ἄλλος ἀντὶ τουτουὶ τοῦ δακτύλου. καὶ τάχα εἴη λέγων τῷ γέροντι ἕτερόν τινα εἶναι δάκτυλον νομίζεις ἢ τοῦτον, δεικνὺς αὐτῷ ἕνα τῶν δακτύλων τῶν αὐτοῦ. ὅταν γὰρ περὶ ῥυθμῶν οὐ περὶ τούτου τοῦ δακτύλου φησίν. ἀλλὰ περὶ ἑτέρου. ὡς γὰρ ἄγροικος καὶ οὗτος, ὀρεῖ οὐδὲν ἧττον δείξειν τὸν μέσον δάκτυλον ἀσελγαινόμενος. ἐὰν δὲ περὶ αἱρῆται, ἀμφότεροι ἔσονται τοῦ γέροντος ἀσυνδέτως εἰρημένοι. ἄλλως δεικνύει τὸν μέσον δάκτυλον ἀποχρῶ; οὐδεὶς φησὶν ὡς ἔστιν ἄλλος ἀντὶ τούτου τοῦ δακτύλου. καὶ γὰρ παιδίῳ μοι ὄντι παλαιὸς αὐτὸς ἦν. καὶ νῦν δὲ γεγηρακότι. Κύων. ἀλεκτρυών. ἔπαιξε τὸν ἀλεκτρυόνα ὡς τετράπουν καταριθμήσας. καὶ ταῦτα δὲ γελοίου χάριν παρείληπται. ἢ καὶ πρὸς τὴν ἀθεότητα σωκράτους ὅτι κατ᾽ αὐτῶν ὀμνύουσιν. Ἀλεκτρυόνα κατὰ ταὐτόν. οὐκ ἂν ἄλλως λέγοιτο τοῦτο. εἰ μὴ ἐνεθάδ᾽ ἦν τότε καὶ τὴν θήλειαν ἀλεκτρυόνα λέγειν. σαφὲς δὲ γίνεται ἐν ἀμφιαράῳ. γύναι τί τὸ ψοφῆσαν ἐστίν. ἡ ἀλεκτρυὼν τὴν κύλικα καταβέβληκεν οἰμώζουσά γε. καὶ ἐν τῷ πλάτωνος δαιδάλῳ. ἐνίοτε πολλαὶ τῶν ἀλεκτρυόνων καὶ ὑπηνέμια τίκτουσιν ᾠὰ πολλάκις ὁ δὲ παῖς ἔνδον τὰς ἀλεκτρυόνας σοβεῖ. οἱ ἀττικοὶ δὲ οὕτω καὶ τὰς θηλείας ἐκάλουν. καὶ θεόπομπος. λέγουσι δ᾽ αὐτὴν καὶ ἀλεκτρύαιναν. Νὴ τὸν ἀέρα. μιμεῖται καὶ αὐτὸς τοὺς φιλοσόφους, καὶ κατὰ τοῦ ἀέρος ὀμνύουσιν. Ὥσπερ καὶ κλεώνυμον. σὺ φησὶ τὴν κάρδοπον καλεῖς

ἀρσενικῶς

Κ άλλιστον μέτρον. διαβάλλει Σωκράτη. οὐ γὰρ ποιητικὴν ἢ μουσικὴν ἐπηγγέλλετο διδάσκειν. ὁ δὲ τὰ προσόντα μὴ λέγων, χαριζόμενος δὲ τὰ μὴ προσόντα ἀμφοτέρων ἐκεῖνος ἀποστερεῖται, ὅ τους λόγους, ἀμφοτέρων ἀποφαίνων ἀλλοτρίους. καὶ ἀπείρους. Ἡμιεκτέο. τοῦ τετραχοινίκου. ὁ γὰρ μέδιμνος χοίνικας ἔχει μη. τούτων τὸ ἕκτον ὀκτώ. τὸ ἥμισυ τοῦ ἕκτου τουτέστι τῶν ὀκτώ, τὰ τέσσαρα ὃ καλεῖται τετράμετρον. ὁ οὖν ἡμίεκτος τέσσαρας ἔχει χοίνικας. ἔπαιξε δὲ πάλιν εἰπών, οὐδὲν κάλλιον ἡγοῦμαι ἡμιεκτίου μέτρου τουτέστι τεσσάρων χοινίκων τοῦ οὖν τὸ ἕκτον γὰρ ὀκτὼ χοίνικες. τὸ γὰρ ἡμίεκτον τουτέστι τὸ δωδέκατον τῶν ὀκτὼ πρὸς τοῖς τεσσαράκοντα, χοίνικες τέσσαρες. παρατηρητέον γὰρ ὅτι διὰ τοῦ ε δεῖ γράφειν ἡμιεκτίου. οὐ κατὰ τὴν κοινὴν χρῆσιν διὰ διφθόγγου. ἡμιεκταίου.

σω. οὐ τοῦτ' ἐρωτῶ σ', ἀλλ' ὅ τι κάλλιστον μέτρον
ἡγεῖ. πότερον, τὸ τρίμετρον, ἢ τὸ τετράμετρον
στρ. ἐγὼ μὲν, οὐδὲν πρότερον ἡμιεκτίου.
σω. οὐδὲν λέγεις ὤνθρωπε. στρ. περίδου νῦν ἐμοί.
εἰ μὴ τετράμετρόν ἐστιν ἡμιεκτίον.
σω. ἐς κόρακας, ὡς ἄγροικος εἶ καὶ δυσμαθὴς
ταχύ γ' ἂν δύναιο μανθάνειν σὺ περὶ ῥυθμῶν
στρ. τί δέ μ' ὠφελήσουσ' οἱ ῥυθμοὶ πρὸς τἄλφιτα.
σω. πρῶτον μὲν εἶναι κομψὸν ἐν συνουσίᾳ.
εἶτ' ἐπαΐειν ὁποῖός ἐστι τῶν ῥυθμῶν.
κατ' ἐνόπλιον. χ' ὁποῖος αὖ κατὰ δάκτυλον.

Περίδου νυν ἐμοί. ἀντὶ τοῦ συνθήκας ποίησον. παρὰ τὸ ὁμηρικόν. δεῦρό γε νῦν τρίποδος περιδώμεθα. γίνεται δὲ οὕτω δίδημα τὸ δεσμεύω ὁ μέλλων διδήσω. ὁ δεύτερος ἀόριστος ἔδην. μέσος ἐδέμην ἔδεσο καὶ ἀποβολῇ τοῦ σ ἔδεο καὶ ἔδου καὶ τὸ προστακτικὸν δοῦ καὶ περίδου. καὶ ὅμηρος δίδει μόχλοισι λύγοισιν. ὡς ἄγροικος δὲ πάλιν ὁ πρεσβύτης ἀπεκρίνατο. ὁ μὲν γὰρ τὸ τοῦ ποιήματος ἔλεγε μέτρον. ὁ δὲ ὡς ἐπὶ τοῦ γεωργικῶν ἐδέξατο. Εἰ μὴ τετράμετρον. πρὸς τὸ τετράμετρον ἀπήντησε. τὸ ἡμιεκτέον μέτρον ἐστὶ τέσσαρα, ὡς πλεονάκις ἴσως τοῦ δέοντος εἴρηται. Ταχὺ δ' αὖ. ἐν εἰρωνείᾳ. λέγει δὲ εἰς τὸ κιθαρίζειν. ταχὺ δ' ὑγιὴς εἴης φησὶ ἀισθάνεσθαι καὶ μεταλαμβάνειν τὸ κιθαρίζειν. Κομψόν. ἀντὶ τοῦ πιθανὸν καὶ εὔχαριν ἐν συνόδῳ καὶ τῇ πρὸς ἑτέρους κοινωνίᾳ πιθανὸν καὶ ἀστεῖον φαίνεσθαι τοῖς συνοῦσιν.

Κ ατ' ἐνόπλιον. εἶδος ῥυθμοῦ πρὸς ὃν ὠρχοῦντο σείοντες τὰ ὅπλα. ἔστι γὰρ ὁ ἐνόπλιος. ἡ γὰρ μακρὰ πρὸς τὰς δύο βραχείας ἴσον τι ἔχει ῥυθμὸν ἐκ τριποδίας ἀναπαιστικόν, ὃς δέχεται πάντας τοὺς δισυλλάβους πόδας. οἱ δὲ ἐνόπλιον τὸν ἀμφίμακρον. ὃς καὶ κρητικὸς καλεῖται ἀπὸ τοῦ εἰς τοὺς κούρητας ἀναγομένου μέλους. τούτῳ γὰρ τῷ μέτρῳ προσωρχοῦντο σείοντες τὰ ὅπλα καλεῖται δὲ ἐνόπλιον κατὰ δάκτυλον ᾧ χρῶνται ζητητὲς. ἴσως δὲ λείπει τὸ, οἱ αὐληταί. Κατ' ἐνόπλιος ὁ μετὰ δύο δακτύλους ἔχων σπονδεῖον κατὰ τὸ πάλιν καὶ πάλιν οἷον ὡς φάτο δακρυχέων τοῦ δ' ἔκλυε πότνια μήτηρ. λέγοιτο δ' ἂν ἴσως κατ' ἐνόπλιον διὰ τὸ πρέπειν μὲν ῥυθμὸν τοιοῦτον, καὶ τοῖς ἄλλοις κινουμένοις μετὰ συντυχίας. ἐπὶ πλέον δὲ τοῖς μεθόπλων σεμνῶς πηδῶσι καὶ πυρρίχίζουσι.

ζόμενοι τοῖς περὶ ἄνυτον καὶ μέλιτον γεγραφέναι τὸ δρᾶμα διαβάλλοντα εἰς ἀθείαν τὸν σωκράτη διὰ τῆς πολυμαθίας. καὶ τοὺς φιλοσόφους ἀγροίκους διαβάλλειν. ἐπεὶ καὶ οὔπω προεῖπε μὴ ἡγεῖσθαι θεούς, πλὴν τὸ χάος καὶ τὴν ἀναπνοὴν καὶ τὸν ἀέρα. Σκαιόν. σκαιοὺς τοὺς ἀμαθεῖς καὶ δυσπαρακολουθήτους ἔλεγον, ἢ τοὺς μωροὺς ἀπὸ τῆς σκαιᾶς. Σκαλαθυρμάτι' ἄττα. σκαλεύματα σμικρὰ καὶ λεπτὰ πάντα, πᾶσι νοήματα καὶ μαθήματα σκαριφήματα. ἔγκειται δὲ καὶ τὸ ἄθυρμα.

οὐδ' ἄπορον. οὐδὲ σκαιόν. οὐδ' ἐπιλήσμονα.
ὅστις σκαλαθυρμάτι' ἄττα μικρὰ μανθάνων,
ταῦτ' ἐπιλέλησται πρὶν μαθεῖν. ὅμως γε μὴν
αὐτὸν καλῶ θύραζε δεῦρο πρὸς τὸ φῶς.
ποῦ στρεψιάδης ἔξει τὸν ἀσκάντην λαβών.
στρ. ἀλλ' οὐκ ἐῶσί μ' ἐξενεγκεῖν οἱ κόρεις.
σω. ἀνύσας τι, κατάθου, καὶ πρόσεχε τὸν νοῦν. στρ. ἰδού.
σω. ἄγε δὴ τί βούλει πρῶτα νυνὶ μανθάνειν,
ὧν οὐκ ἐδιδάχθης πώποτ' οὐδέν. εἰπέ μοι.
πότερα περὶ μέτρων. ἢ περὶ ἐπῶν ἢ ῥυθμῶν.
στρ. περὶ τῶν μέτρων ἔγωγ' ἔναγχος γάρ ποτε.
ὑπ' ἀλφιταμοιβοῦ παρεκόπην διχοινίκῳ.

οἱονεὶ παίγνια καὶ οὐδὲν ἀξιόπιστα. ἐκ τούτου δὲ διαβάλλει σωκράτη, ὡς οὐ τελῆ εἰσὶν ἃ διδάσκει. καὶ οὐδενὸς ἄξια λόγου. Ἔξει. ἀντὶ τοῦ ἔξελθε. ἔστιν εἴω τὸ πορεύομαι. οὐ παράγωγον εἶμι. ὁ παρατατικὸς εἶν. εἶς. εἶ. καὶ ὥσπερ ἐν τοῖς εἰς ω τὸ τρίτον πρόσωπον τοῦ ὁριστικοῦ παρατατικοῦ, δεύτερόν ἐστι προστακτικόν, οὕτω καὶ ἐν τοῖς εἰς μι σχηματίζουσιν οἱ αἰολεῖς καὶ οἱ ἀθηναῖοι. οἷον ἵστη μέγα κῦμα. ἀντὶ τοῦ ἵσταθι. ἀριστοφάνης καὶ τοὺς κοφίνους ἅπαντας ἐμπίμπλη πετρῶν. ἀντὶ τοῦ ἐμπίμπληθι. οὕτως οὖν καὶ ἐκ τοῦ εἶ τρίτου προσώπου τοῦ ὁριστικοῦ παρατατικοῦ ἐν συνθέσει ἔξει προστακτικόν. ἢ ἀπὸ τοῦ εἴω. οὗ ὁ δεύτερος ἀόριστος ἴον. ἴες. ἴε. καὶ μετὰ τῆς ἐξ ἔξιε καὶ κατὰ μετάθεσιν καὶ συναίρεσιν ἔξει. ὡσαύτως καὶ μετὰ τῶν λοιπῶν προθέσεων μέτει καὶ δίει. πλὴν τοῦ πάρει καὶ σύνει. ἐνταῦθα γὰρ αἱ προθέσεις τῷ εἶ ἀντὶ τοῦ ὑπάρχεις συνδυάζονται. Τὸν ἀσκάντην. σκίμποδα δίφρου τι εἶδος ἢ τὸν κράβατον. Πότερα περὶ μέτρων. καλῶς διέστησεν. οὐ γὰρ εἴ τι μέτρον ἐστὶν, ἤδη καὶ ἔπος. εἴ τι δὲ ἔπος, ἤδη πάντως καὶ ῥυθμὸς καὶ μέτρον. σημειωτέον δ' ὅτι καὶ ταῦτα τῶν κυκλικῶν μαθημάτων. διαφέρει δὲ μέτρον καὶ ῥυθμός. καὶ ὅτι πατὴρ μέτρου ῥυθμός. καὶ ὅτι ἀρχαία ἡ τῶν μέτρων καὶ ῥυθμῶν διδασκαλία.

Περὶ τῶν μέτρων. λείπει τὸ θέλω μαθεῖν. διαβολὴ δὲ τὸ πᾶν. ὅτι τὰ μὴ οἰκεῖα τῇ τέχνῃ ἐπαγγέλλεται διδάσκειν. οὔτε γὰρ ποιητής ἐστιν οὔτε κωμικός. ὡς ἄγροικος δὲ ὁ πρεσβύτης ἀπεκρίνατο περὶ τῶν γεωργικῶν δεξάμενος. Ἀλφιταμοιβοῦ. τοῦ ἀντικαταλλάσσοντος καὶ πιπράσκοντος ἄλφιτα. ἢ τοῦ ἀμείβοντος ἀντὶ ἀργυρίου ἄλφιτα. οὕτω καὶ ἀργυραμοιβοὶ, οἱ ἀντὶ ἀργυρίου κέρματα ἀμείβοντες. Παρεκόπην. ἐζημιώθην. ἀντὶ τοῦ ἐπλάνησέ με τῇ μέτρων ποσότητι δύο χοίνικας.

Α Ἄλλα τ' εὖ δρᾶν. καὶ εἰς ἄλλα φησὶν ὑμᾶς εὐεργετεῖν. οὐ παρατηρεῖν δὲ ὑμᾶς ἀκριβῶς τὰς κατὰ σελήνην ἡμέρας. Κυδοιδοπᾶν. συνταράττειν. γίνεται δὲ ἐξ ἑκατέρου. ἐὰν μὲν διὰ τοῦ κ, παρὰ τὸ κυκᾶν. ἐὰν δὲ διὰ τοῦ δ, παρὰ τὸν κυδοιμόν.
Ψ Ψευσθῶσιν. ἀποτύχωσιν ἢ μὴ δέξωνται τὰς θυσίας εὐτάκτως. Κατὰ λόγον τῶν ἡμερῶν. διὰ γὰρ τὸ συγχεῖσθαι τὴν τάξιν τῶν ἡμερῶν, ὑπερβαίνειν τὰς δεήσεις καὶ τὰς ἑορτὰς ἀνάγκη. Ἀπαστίαν. ἀγευστίαν παρὰ τὸ πάσασθαι. Μέμνων δὲ

ἄλλα τ' εὖ δρᾶν φησιν ὑμᾶς, κοὐκ ἄγειν τὰς ἡμέρας
οὐδὲν ὀρθῶς. ἀλλ' ἄνω τε καὶ κάτω κυδοιδοπᾶν.
ὥστ' ἀπειλεῖν φησιν αὐτῇ τοὺς θεοὺς ἑκάστοτε.
ἡνίκ' ἂν ψευσθῶσι δείπνου, κἀπίωσιν οἴκαδε,
τῆς ἑορτῆς μὴ τυχόντες, κατὰ λόγον τῶν ἡμερῶν.
κᾆθ' ὅταν θύειν δέῃ, στρεβλοῦτε καὶ δικάζετε.
πολλάκις δ' ἡμῶν ἀγόντων τῶν θεῶν ἀπαστίαν
ἡνίκ' ἂν πενθῶμεν. ἢ τὸν Μέμνον'. ἢ τὸν Σαρπηδόνα
σπένδεθ' ὑμεῖς, καὶ γελᾶτ'. ἀνθ' ὧν λαχὼν Ὑπέρβολος
τῆτες ἱερομνημονεῖν, κἄπειθ' ὑφ' ἡμῶν τῶν θεῶν
τὸν στέφανον ἀφῃρέθη. μᾶλλον γὰρ οὕτως εἴσεται,
κατὰ σελήνην ὡς ἄγειν χρὴ τοῦ βίου τὰς ἡμέρας.
σω. μὰ τὴν ἀναπνοήν, μὰ τὸ χάος. μὰ τὸν ἀέρα.
οὐκ εἶδον οὕτως ἄνδρ' ἄγροικον οὐδένα.

καὶ Σαρπηδὼν υἱοὶ ὄντες Διὸς, ἀποθανόντες ἐν Τροίᾳ οὕτω παρὰ θεοῖς ἐτιμήθησαν τοῦ πατρὸς νομοθετήσαντος, ὡς τὴν ἡμέραν καθ' ἣν ἀπέθανον ἐν πένθει καὶ νηστείᾳ τοὺς θεοὺς διάγειν κατ' ἔτος. Λαχὼν Ὑπέρβολος εἰς τὴν σύνοδον τῶν ἀμφικτυόνων πεμφθῆναι εἰς τὴν Πυλαίαν. κατὰ πόλιν δ' ἔπεμπον τοὺς ἐδρεύοντας. καὶ συνεδρεύσοντας. καὶ ἦσαν οἱ πεμπόμενοι πυλαγόραι καὶ ἱερομνήμονες. λέγουσι δὲ ὅτι Πυλάδης πρῶτος ἐκρίθη ἐπὶ τῷ Κλυταιμνήστρας φόνῳ καὶ ἐξ αὐτοῦ τοὔνομα σχεῖν τὸν τόπον. ἀπῄεσαν δὲ εἰς Δελφοὺς ἐπίσκοποι τῶν ἀναλισκομένων ἐν ταῖς θυσίαις. ἱερομνήμονας ἔπεμπον εἰς Πυλαίαν καὶ πυλαγόρας. Ἀριστοφάνης Θεσμοφοριαζούσαις. ἀγαθὰ μεγάλα τῇ πόλει ἥκειν φέροντας φασὶ τοὺς πυλαγόρας καὶ τὸν ἱερομνήμονα. καὶ εἰσὶν οἷον ἱερεῖς γραμματεῖς. μνήμονας γὰρ τούτους ἐκάλουν. φορτοῦ τε μνήμων καὶ ἐπίσκοπος ὁδαίων. Τῆτες. ἐν τῷδε τῷ ἔτει. οἱ δὲ Δωριεῖς σατές φασιν. ὅθεν σατανίους πυροὺς τοὺς μὴ τελεσφοροῦντας. ἀλλὰ πρὸ ὥρας θεριζομένους. Τῆτες ἱερομνημονεῖν. ἐξέπεμπον γὰρ οἱ Ἀθηναῖοι εἰς Δελφοὺς ἱερομνήμονας. οἳ πρὸ πυλαγόρου προεστήκεσαν τῶν ἡμερῶν τοῦ θεοῦ. οὐδεὶς δ' ἱστόρησε κατ' ἐκεῖνον τὸν ἐνιαυτὸν ἱερομνήμονα, ἤγουν τὸν Ὑπέρβολον. οὐδέπω γὰρ διέπρεπε Κλέωνος ἔτι ζῶντος. Μᾶλλον γὰρ οὕτως εἴσεται, τότε γὰρ μαθήσεται ὅτι καλὸν ἦν ζῆν αὐτὸν ὡς πρότερον καὶ ὡς ἀνάξιος ἦν. Μὰ τὴν ἀναπνοήν. ὑποχωρήσαντος τοῦ χοροῦ, εἰσίασιν αὖθις οἱ ὑποκριταί. Ἔστιν οὖν ἡ παροῦσα εἴσθεσις τῆς διπλῆς, ἐκ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ογ'. ὧν τελευταῖος οἵαν δίκην τοῖς κόρεσι δώσω τήμερον. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. δυσφορεῖ δὲ Σωκράτης ἐπὶ τῇ τοῦ Στρεψιάδου ἀμαθίᾳ. ἐντεῦθεν δέ φασι τὸν Ἀριστοφάνη χαριέντ

πάλιν. οὐδαμοῦ γὰρ νῦν τοῦ ἀπόλλωνος μέμνηται. τί οὖν ἔδει μνημονεῦσαι τοῦ αὐτοῦ, εἰ μὴ τῆς προειρημένης διανοίας εἴχετο. τὸ δὲ μέτρον αὐτῷ δὴ καὶ ἀντιστροφή. ἔστι δὲ τὸ μέτρον καὶ ἡ πρόσοδος ὁμοία τῇ στροφῇ. ὡμοίωται δὲ καὶ τὸ ἐπίρρημα καὶ τὸ ἀντεπίρρημα. Κυνθίαν ἔχων. περιφραστικῶς τὴν κύνθον. ἔστι δὲ ὄρος δήλου ἡ κύνθος. τὸ δὲ ὑψικέρατα πέτραν, ἐπῳδός ἐστι τὸ αὐτὸ ὃ μέτρον τῷ μέλει τῷ πρώτῳ. καὶ ἑξῆς οὕτως. ἔστι δὲ παραγώγως ἀντὶ τοῦ ὑψηλήν. μεταπλασμὸς δέ ἐστιν ἀντὶ τοῦ ὑψικέρατον.

Ἥ τ' ἐφέσου. μετὰ τὸν ἥλιον δὲ θεὸς ἡ ἄρτεμις ἧς ἡ ἔφεσος. πάγχρυσον δὲ οἶκον λέγει, τὸν πολυτελέστατον ναόν. ὃς ἦν εἷς τῶν ἑπτὰ θεαμάτων. Ἐν ᾧ κόραι. ἔνθα σε αἱ παρθένοι λυδῶν τιμῶσιν ὡς ἄρτεμιν. ὅτι τῆς λυδίας τὸ παλαιὸν ἡ ἔφεσος. Σὺν πεύκαις. μετὰ δᾳδῶν. παρὰ τὸ εὐριπίδειον. διόνυσος ὃς πεύκαισι καὶ νεβρῶν δοραῖς καθαπτὸς ἐν πεύκαισι παρνασὸν κάτα πηδᾷ χορεύων σὺν παρθένοις. Σελαγεῖ. μετὰ λαμπάδων καὶ πυρὸς χορεύει. διὰ πυρὸς γὰρ ὁ θεὸς. καὶ ὁ ζεὺς διὰ πυρὸς τῇ σεμέλῃ συνῆλθεν. οὐ γὰρ ἀργῶς τοῦτο παρέλαβεν

δήλιε, κυνθίαν ἔχων.
ὑψικέρατα πέτραν,
ἥ τ' ἐφέσου μάκαιρα πάγ
χρυσον ἔχεις οἶκον. ἐν ᾧ
κόραι σε λυδῶν μεγάλως σέβουσιν.
ἥ τ' ἐπιχώριος ἡμετέρα θεὸς,
αἰγίδος ἡνίοχος, πολιοῦχος ἀθάνα.
παρνασίαν θ' ὃς κατέχων
πέτραν, σὺν πεύκαις σελαγεῖ.
βάκχαις δελφίσιν ἐμπρέπων,
κωμαστὴς διόνυσος.

Ἀντεπίρρημα στίχων. κ'.

χο. ἡνίχ' ἡμεῖς δεῦρ' ἀφορμᾶσθαι παρεσκευάσμεθα
ἡ σελήνη συντυχοῦσ' ἡμῖν, ἐπέστειλε φράσαι.
πρῶτα μὲν χαίρειν ἀθηναίοισι καὶ τοῖς ξυμμάχοις.
εἶτα θυμαίνειν ἔφασκε. δεινὰ γὰρ πεπονθέναι.
ὠφελοῦσ' ὑμᾶς ἅπαντας, οὐ λόγοις, ἀλλ' ἐμφανῶς
πρῶτα μὲν τοῦ μηνὸς εἰς δᾷδ' οὐκ ἔλαττον ἢ δραχμὴν
ὥστε καὶ λέγειν ἅπαντας ἐξιόντας ἑσπέρας,
μὴ πρίω παῖ δᾷδ' ἐπειδὴ φῶς σεληναίης καλόν

ὁ ποιητής. Βάκχαις δελφίσι. ταῖς τὴν δελφικὴν χώραν κατοικούσαις. κἀκεῖ γὰρ ἐτιμᾶτο ὁ διόνυσος. Κωμαστής. ὅτι καὶ μεθύοντες βακχεύονται καὶ ὥσπερ ἐκμαίνονται. Ἡνίχ' ἡμεῖς, τὸ ἀντεπίρρημα τοῦτο, ὅμοιόν ἐστι τῷ ἐπιρρήματι. καὶ τοῦτο γὰρ ἐκ στίχων ἐστὶ τροχαϊκῶν τετραμέτρων καταληκτικῶν εἴκοσι. ἐνταῦθα μέντοι ὁ ἐπὶ τῆς τετάρτης χώρας ἴαμβος ἐξέλιπεν. ἐπὶ τῷ τέλει δὲ τὴν ἔξω νενευκυῖα. Πρῶτα μὲν χαίρειν. τὸν κλέωνά φασιν ἀπὸ τῆς πύλου καὶ σφακτηρίας τοῖς ἀθηναίοις ἐπιστέλλοντα. χαίρειν προσθεῖναι, ὅπερ γέγονεν ἐν χρήσει πάντων μέντοι ἐν ἀρχῇ τῆς ἐπιστολῆς. τὸ εὖ πράττειν προὔθηκεν. οἱ δὲ πυθαγόρειοι τὸ ὑγιαίνειν. καὶ τό, γε τριπλοῦν τρίγωνον, τὸ δι' ἀλλήλων τὸ πεντάγραμμον ᾧ συμβόλῳ πρὸς τοὺς ὁμοδόξους ἐχρῶντο, ὑγεία πρὸς αὐτῶν ὠνομάζετο. Ἄλλως. ἀρχαῖον ἦν ἔθος προτάσσειν ἐν ταῖς ἐπιστολαῖς χαίρειν. οὐ γὰρ ὥς τινες κλέωνος οὗτος πρῶτος ἀπέστειλεν ἀθηναίοις ἐκ σφακτηρίας.

λις. ὡς εὐτυχεῖς μᾶλλον ἢ καλῶς φρονεῖς. ἄλλως. φασὶν ὅτι ποσειδῶν ἡττηθεὶς τῇ ἀθηνᾷ δυσβουλίαν ἐπέβαλεν ἀθηναίοις. ἀθηνᾶν δὲ τὰ βουλευόμενα καλῶς μεταβάλλειν. Ἅττ' ἂν ὑμεῖς. ὅσα οἱ ἀθηναῖοι κακῶς ἐβουλεύσαντο, δι' ὑπερβάλλουσαν εὐτυχίαν, εἰς τὸ χρήσιμον ἀπέφαινε καὶ εἰς τὸ καλόν. αἰνίττεται δὲ εἰς ἀθηνᾶν. Τὸν λάρον. ὅτι ὁ λάρος. τοιοῦτος. καὶ ἐν ἱππεῦσι. λάρος κεχηνὼς ἐπὶ τῶν πετρῶν δημηγορῶν. ταῦτα δὲ ἀπὸ τῶν προτέρων νεφελῶν. τότε γὰρ ἔζη ὁ κλέων. ἐπὶ δὲ τούτων τέθνηκε. καὶ γὰρ εὔπολις μετὰ θάνατον κλέωνος, τὸν μαρικᾶν ἐποίησεν. καὶ μὴν ὡς μετὰ θάνατον κλέωνος φαίνεται γεγραφὼς τὸ δρᾶμα ὅπου γε τοῦ μαρικᾶ εὔπολιδος μέμνηται. ὃ ἐδιδάχθη καθ' ὑπερβόλου μετὰ τὸν κλέωνος θάνατον. ταῦτα δὲ ὡς ἔτι ζῶντος κλέωνος λέγεται. δῆλον οὖν ὅτι κατὰ πολλοὺς τοὺς χρόνους διεσκεύασε τὸ δρᾶμα. καὶ ταῦτα μὲν οὐ πολλῷ ὕστερον. ἐν οἷς δὲ εὐπόλιδος μέμνηται καὶ τῶν εἰς ὑπέρβολον κωμῳδιῶν πολλῷ.

ἅττ' ἂν ὑμεῖς ἐξαμάρτητ', ἐπὶ τὸ βέλτιον τρέπειν.
ὡς δὲ καὶ τοῦτο ξυνοίσει, ῥαδίως διδάξομεν.
ἢν Κλέωνα τὸν λάρον δώρων ἑλόντες καὶ κλοπῆς
εἶτα φιμώσητε τούτου τῷ ξύλῳ τὸν αὐχένα,
αὖθις ἐς τ' ἀρχαῖον, ὑμῖν εἴ τι κἀξημάρτηται,
ἐπὶ τὸ βέλτιον τὸ πρᾶγμα τῇ πόλει ξυνοίσεται.

Ἀντῳδή. καὶ αὐτὴ περιόδου κώλων ιβ'.

χο. ἀμφί μοι αὖτε φοῖβ' ἄναξ

Ἀμφί μοι ἄναξ. ἡ ἀντῳδὴ αὕτη καὶ ἀντιστροφή, ὁμοία ἐστὶ τῇ ᾠδῇ καὶ στροφῇ κατά τε τὰ κῶλα καὶ τὰ μέτρα. μιμεῖται δὲ τῶν διθυράμβων τὰ προοίμια. συνεχῶς γὰρ χρῶνται ταύτῃ τῇ λέξει. διὸ καὶ ἀμφιάνακτας αὐτοὺς ἐκάλουν. Ἔστι δὲ τερπάνδρου ἀμφ' ἐμοὶ ἄνακτα ἑκατηβόλον. λείπει δὲ τὸ ἔπος. ἢ τὸ χόρδισον, ἤ τι τοιοῦτον. καὶ τὸ προοιμιάζεσθαι δὲ ἀμφιανακτίζειν ἔλεγον. εἰκότως δὲ μετὰ τὸν ἥλιον ἀνυμνοῦσι τὸν ἀπόλλωνα. ὅτι δὲ ὁ αὐτός ἐστιν ἥλιος καὶ ἀπόλλων, δῆλον. τὸ δὲ αὖτε, ἀντὶ τοῦ πάλιν. ὥσπερ γὰρ ἀναλαμβάνων πρὸς τὸ ἄνω λέγει ἀντίστροφον. ἔφαμεν γὰρ ἐν τοῖς χορικοῖς γίνεσθαι τὰς στροφὰς καὶ τὰς ἀντιστρόφους καὶ ἐπῳδούς, ἅ τινες καλοῦσιν ἐπιρρήματα. καὶ ἐνταῦθα οὖν τὴν ἀντίστροφον ἐπήγαγεν ὁ ποιητής, ὥσπερ ἀναστρέφων ἐπὶ τὸ ἐξ ἀρχῆς μέλος. ὅθεν παρεξετράπη εἰς τὸ ἐπίρρημα. ἀρξάμενος γὰρ ὑμνεῖν τοὺς θεοὺς καὶ παραγενόμενος μέχρι τοῦ ὅλου, ἐπήγαγε τὴν ἐκτροπήν. τουτέστι τὸ ἐπίρρημα, ἀπὸ τοῦ ὦ σοφώτατοι θεαταί. οὔτε γὰρ ἡ διάνοια τοῖς προειρημένοις ἀκόλουθος, οὔτε τὸ μέτρον τοῦ λόγου. πάλιν οὖν ἐπαναστρέφων ἐπὶ τὸν ὕμνον τῇ τῶν θεῶν χρῆται ἐπαναστροφῇ. εἰ γοῦν τις τὰ ἐν μέσῳ ἅπαντα ἀφελὼν ἐπὶ ταῦτα ἔλθῃ, οὔτε ὁ λόγος οὔτε ὁ νοῦς ἐπιζητήσειεν. ἀλλὰ μᾶλλον ἡ ἀκολουθία οὕτω φυλάττοιτο. Τόν θ' ἱππονώμαν ὃς ὑπερλάμπροις ἀκτῖσι, καὶ ἑξῆς, Ἀμφί μοι αὖτε φοῖβ' ἄναξ. φησὶν οὖν ἀλλὰ σοῦ πάλιν ὦ ἄπολλον ἔξομαι καὶ τῶν σῶν ἐπαίνων. οὐ μὴν ἀπλῶς ἐπὶ τὴν ἀντίστροφον ἐλθὼν θεοῦ τινος ἐμνημόνευσεν. ἀλλὰ μετὰ τὸν ἥλιον εὐθὺς τὸν ἀπόλλωνα. ἐπεί τινες τὸν ἥλιον τὸν αὐτὸν εἶναί φασι τῷ ἀπόλλωνι. ὅτι δὲ τῷ λόγῳ τούτῳ καὶ ὁ ποιητὴς κατακολουθῶν, μετὰ τὸν ἥλιον ἐπὶ τὸν ἀπόλλωνος ἄρχεται ὕμνον, φανερὸν ποιεῖ αὐτὸς λέγων. ἀμφί μοι αὖτε φοῖβ' ἄναξ τουτέστι

ἐμνημόνευσε. τὸν μὲν Διός, ὅτι γενάρχης· τοῦ δὲ Ποσειδῶνος ὅτι τῶν ὑγρῶν δεσπότης· ἀέρος δέ, ὅτι πατήρ· ἡλίου δέ, ἐπεὶ διάπυρος ὤν, τὴν ἰκμάδα ἀνασπώμενος ἐργάζεται νεφέλην. Αἰθέρα. ἀντὶ τοῦ ἀέρα, ὁ γὰρ αἰθὴρ διακαὴς ὤν, ἀνωφελής ἐστι· καὶ ἐκ τοῦ βιοθρέμμονος δῆλον ὅτι ἀὴρ οὐχὶ αἰθήρ. ἢ ἐπειδὴ τὰ ζῶα ἐν τῷ ἀέρι ἔχει τὴν ζωήν. βιοθρέμμονα δέ, ἐπειδὴ ἀρδεύει τὴν γῆν. Τόν θ' ἱππονώμαν. τὸν ἥλιον τὸν ἐλαύνοντα καὶ νωμῶντα τὸ ἅρμα καὶ τοῖς ἵπποις ἡνιοχοῦντα. ἐξ αὐτοῦ γὰρ δοκοῦσι συνίστασθαι. διάπυρος γὰρ ὤν, ἕλκει εἰς ἑαυτὸν τὴν τῆς θαλάσσης ὑγρότητα. ἐξ ἧς αἱ νεφέλαι.

νης ταμίαν, γῆς τε καὶ ἁλμυρᾶς θαλάσσης ἄγριον μοχλευτήν.
καὶ μεγαλώνυμον ἡμέτερον πατέρ'
Αἰθέρα σεμνότατον βιοθρέμμονα πάντων.
τόν θ' ἱππονώμαν ὃς ὑπερλάμπροις ἀκτῖσιν κατέχει
γῆς πέδον. μέγας ἐν θεοῖς Ἐν θνητοῖσί τε δαίμων.

Ἐπίρρημα. στίχων κ'.

ΧΟ. ὦ σοφώτατοι θεαταί, δεῦρο τὸν νοῦν προσέχετε.
ἠδικημέναι γάρ, ὑμῖν μεμφόμεσθ' ἐναντίον,
πλεῖστα γὰρ θεῶν ἁπάντων ὠφελούσαις τὴν πόλιν.
δαιμόνων ἡμῖν μόναις οὐ θύετ' οὐδὲ σπένδετε
αἵτινες τηροῦμεν ὑμᾶς. ἢν γὰρ ᾖ τις ἔξοδος
μηδενὶ ξὺν νῷ, τότ' ἢ βροντῶμεν ἢ ψεκάζομεν.
εἶτα τὸν θεοῖσιν ἐχθρὸν βυρσοδέψην Παφλαγόνα
ἡνίχ' ᾑρεῖσθε στρατηγόν, τὰς ὀφρῦς συνήγομεν.
κἀποιοῦμεν δεινά. βροντὴ δ' ἐρράγη δι' ἀστραπῆς.
ἡ σελήνη δ' ἐξέλειπε τὰς ὁδούς. ὁ δ' ἥλιος.
τὴν θρυαλλίδ' εἰς ἑαυτὸν εὐθέως συνελκύσας,
οὐ φανεῖν ἔφασκεν ὑμῖν, εἰ στρατηγήσει Κλέων,
ἀλλ' ὅμως εἵλεσθε τοῦτον. φασὶ γὰρ δυσβουλίαν
τῇδε τῇ πόλει προσεῖναι. ταῦτα μέντοι τοὺς θεοὺς

Ὦ σοφώτατοι θεαταί. τοῦτο ἐπίρρημα ὀνομάζεται, διὰ τὸ ἐπιρρέπειν αὖθις τὸν χορὸν πρὸς τοὺς θεατάς. καὶ χρηστά τινα συμβουλεύειν αὐτοῖς. ἢ σκώπτειν τοὺς πονηρούς. ἔστι δὲ ἐκ στίχων τροχαϊκῶν τετραμέτρων καταληκτικῶν ὢν πλευταῖος. ἐπὶ τὸ βέλτιον τὸ πρᾶγμα τῇ πόλει συνοίσεται. ἐπὶ τῷ πλεῖν δὲ τὴν ἔσω νενευκῦα, δηλοῦσα ἔχειν αὐτὰ πρόοδον. Μηδενὶ ξὺν νῷ. σὺν μηδεμιᾷ κρίσει. μετ' οὐδενὸς νοῦ. ἀλλ' ἀσυμφόρως καὶ ἀκαίρως μετὰ μηδενὸς λογισμοῦ. οἷον προπετῶς. ἐκ τῶν πρώτων δὲ νεφελῶν ἐστι ταῦτα. τεθνεὼς γὰρ ἦν νῦν ὁ Κλέων. Τὰς ὀφρῦς συνήγομεν, συνέφειαν ἐποιήσαμεν. καὶ ἐχαλεπήναμεν. ἢ ἐστυγνάσαμεν. ἄλλως. ἐπεὶ ὁ Κλέων πιοῦτες. εἶπε δὲ αἰωτέρω ὅτι πάντας μισοῦνται. Βροντὴ δ' ἐρράγη. παρὰ τὰ ἐκ Τεύκρου Σοφοκλέους· οὐρανοῦ δ' ἄπο, ἤστραψε βροντὴ δ' ἐρράγη δι' ἀστραπῆς. Ἡ σελήνη δ' ἐξέλιπεν. ἐπειδὴ ἔκλειψις ἐγένετο σελήνης τῷ προτέρῳ ἔτει ἐπὶ Στρατοκλέους Βοηδρομιῶνος. Τὴν θρυαλλίδα. τὴν ἀκτῖνα εἰς ἑαυτὸν συστείλας. ἀπὸ τοῦ λύχνου δὲ ἡ μεταφορά. οὐχ ὡς τοῦ ἡλίου ἐκλείψαντος ἀλλ' ὡς ἀπειλοῦντος ἐκλείψειν εἰ στρατηγήσει Κλέων. οἷον παρ' Ὁμήρῳ. Δύσομαι εἰς Ἀΐδαο καὶ ἐν νεκύεσσι φαείνω. ἡλίου δὲ ἐγένετο κατά τινα τύχην ἔκλειψις Κλέωνος χειροτονουμένου. Δυσβουλίας. τὴν οὐκ ὀρθῶς βουλήν. ἀποτυχόντα φησὶ Ποσειδῶνα τῆς χώρας, τὸ κακῶς βουλεύεσθαι μέν, ἀποκλῖναι δὲ καλῶς καὶ ἦν τοῦτο λεγόμενον ἐπιχώριον. οὐ πόλις. Ὦ πόλις πό-

F. εἶθ᾽ Ἕρμιππος. Ἕρμιππος μὲν, δρᾶμα οὐκ ἐποίησεν εἰς Ὑπέρβολον. ἔοικε δὲ τὸ, πει/στὰς ἀρτοπώλιδας, λεχθὲν, κατ᾽ αὐτοῦ σημαίνειν. Τῶν ἐγχέλεων. αὐτὶ τοῦ λέξε/ων εἰπεῖν, ἐγχέλεων ἔφη. παρόσον ἐν τοῖς ἱππεῦσιν ἐμνήσθη τῶν ἐγχέλεων. ὥσπερ γὰρ οἱ τὰς ἐγχέλεις θηρώμενοι πεπόνηκασι. τὸ δὲ διὰ παραβολῆς εἰκάζειν τῆς πόλεως τὰ πράγματα ἐξ αὐτοῦ φησὶν εἰληφέναι τοὺς ἄλλους ὡς ἀφ᾽ ἱστορίας. Τούτοισι γελᾷ. οἷον εἴ τις ἐκείνοις τέρπεται καὶ ἡδέως ἀκούει, τοῖς ἐμοῖς μὴ προσέχετω. Εὖ φρονεῖν.

τοῦτον δ᾽ εἴλλουσι, κολετρῶσ᾽ ἀεὶ, καὶ τὴν μητέρα.
Εὔπολις μὲν τὸν Μαρικᾶν πρώτιστον παρείλκυσεν.
ἐκστρέψας τοὺς ἡμετέρους ἱππέας κακὸς κακῶς.
προσθεὶς αὐτῷ γραῦν μεθύσην, τοῦ κόρδακος οὕνεκα.
ἣν Φρύνιχος πάλαι πεποίηχ᾽ ἣν τὸ κῆτος ἤσθιεν.
εἶθ᾽ Ἕρμιππος αὖθις πεποίηκεν εἰς Ὑπέρβολον.
ἄλλοι τ᾽ ἤδη πάντες ἐρείδουσιν εἰς Ὑπέρβολον.
τὰς εἰκοὺς τῶν ἐγχέλεων τὰς ἐμὰς μιμούμενοι.
ὅστις οὖν τούτοισι γελᾷ, τοῖς ἐμοῖς μὴ χαιρέτω.
ἢν δ᾽ ἐμοὶ καὶ τοῖσιν ἐμοῖς εὐφραίνησθ᾽ εὑρήμασιν,
ἐς τὰς ὥρας τὰς ἑτέρας εὖ φρονεῖν δοκήσετε.

ᾠδὴ καὶ στροφὴ κώλων. ιβ΄.

Χο. Ὑψιμέδοντα μὲν θεῶν Ζῆνα τύραννον, ἐς χορὸν
πρῶτα μέγαν κικλήσκω. Τόν τε μεγασθενῆ τριαί

παρ᾽ ὑπόνοιαν. δέον γὰρ εἰπεῖν ἐλαύνεσθε, ἐπήνεγκεν ὅτι φρόνιμοι δόξετε. ἤγουν καὶ εὔνομοι καὶ εὖ φρονοῦντές μοι. διὸ ἀποσημειοῦσθαι τὴν λέξιν ἔδει δ᾽ χ. Χ Ὑψιμέδοντα μὲν, τὸ τοιοῦτον ᾠδὴ καὶ στροφὴ ὀνομάζεται, διὰ δὲ στροφήν τινα ποιεῖσθαι τοῦ χοροῦ ἀπὸ τοῦ πρὸς τὸ θέατρον τὰς ὁρᾶν καὶ ᾄδειν εἰς ἕτερον ἀφορῶντα μέρος. ἔστι δὲ ὡς ἀποτρεπτικὸν εἰς θεοὺς ἡ ᾠδή. ἔστι δὲ ἡ παροῦσα στροφὴ κώλων ιβ΄. ὧν τὸ πρῶτον χοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐπιμεμιγμένον διϊάμβῳ. τὸ β΄ ὅμοιον. τὸ τρίτον δίμετρον καταληκτικὸν, ἐπιμεμιγμένον βακχείῳ. ὃ καλεῖται ἑφθημιμερές. τὸ τέταρτον καὶ τὸ πέμπτον τῷ πρώτῳ ὅμοια. τὸ ἕκτον τρίμετρον ἐκ διϊάμβου χοριαμβικοῦ καὶ βακχείου. τὸ ἕβδομον δακτυλικὸν τετράμετρον. τὸ ὄγδοον δακτυλικὸν πεντάμετρον. τὸ ἔνατον δίμετρον. ἐξ ἐπιτρίτου τρίτου καὶ χοριάμβου. τὸ δέκατον ὅμοιον ἐκ διπόδου καὶ χοριάμβου ἢ δακτυλικὸν ἑφθημιμερὲς τῆς τελευταίας μακρᾶς λογιζομένης. τὸ ἑνδέκατον ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον τὸ καλούμενον γλυκώνειον ἐκ διτροχαίου καὶ διϊάμβου ὡς ἔχει τὰ γλύκωνος. Κάπρος ἡνίχ᾽ ὁ μαινόλης Κύπριδος θάλλος ὤλισε. τὸ δωδέκατον ἀντισπαστικὸν δίμετρον καταληκτικὸν τὸ καλούμενον φερεκράτειον ἑφθημιμερές. ἐξ ἐπιτρίτου τετάρτου καὶ βακχείου ὡς ἔχει τὰ φερεκράτους. Ἄνδρες προσέχετε τὸν νοῦν. Ἐξευρήματι καινῷ. Συμπτύκτοις. ἀναπαίστοις καλεῖται δὲ ταῦτα πο/λυσχημάτιστα διὰ τὸ διάφορα δέχεσθαι μέτρα. ἐπὶ τῷ τέλει παράγραφος. δη/λοῦσα ἔχειν αὐτὰ τέλος. ἄλλως τὸ διὰ τὰ καλοῦνται ὅν οἱ φιλόσοφοι. ἤγουν οὐκ ἔφα/σκον ἀλλὰ ταύτας. ἤγουν τὸ πᾶν διεβεβαιοῦντο. εἰκότως οὖν καὶ διὰ τοῦτο σκώπτει τοὺς φιλοσόφους. ὃν γὰρ ἤγουν οὐκ ἐδόξαζον, αἱ νομιζόμεναι ὑπ᾽ αὐτῶν νεφέλαι τοῦτον ἐπεκά/λουν. Τόν τε μεγασθενῆ. ὅτι ἔθος τοῖς ποιηταῖς ἀπὸ Διὸς ἄρχεσθαι. μετὰ δὲ, τὸν Ποσειδῶνα ὑμνεῖν. καὶ αὐτὸς δὲ τὴν ὁμηρικὴν τάξιν τῆς ἡλικίας δηλοῖ. Γῆς τε καὶ ἁλμυρᾶς. δοκεῖ γὰρ Ποσειδῶν, οὐ τὴν θάλασσαν κινεῖν μόνον, ἀλλὰ καὶ τὴν γῆν. ἔχει δὲ καὶ κοινωνίαν πρὸς αὐτὰς ὡς διαπόζων ὑγρᾶς οὐσίας. εἰκότως οὖν τῶν θεῶν τούτων

λαβοῦσα, διὰ τὴν ἐκ τῆς γῆς ὑπὸ τῶν χειρῶν ἄρσιν. ὃ δὲ ἀνείλετο διὰ τὴν ἀσάφειαν καὶ εἰς τρίκαν. Πιστὰ παρ' ὑμῶν. ἤγουν μεγάλη πίστις ἐστί μοι πρὸς ὑμᾶς καὶ πληροφορία. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν τὰς φιλίας δι' ὅρκου ποιούντων. Νῦν οὖν ἠλέκτραν. αἰσχύλος ἐποίησε δρᾶμα χοηφόροις. ἐν ᾧ ἠλέκτρα παραγινομένη εἰς τὸν τάφον τοῦ πατρὸς, ἐκ τοῦ πλοκάμου τὸν ἀδελφὸν ἐγνώρισεν. αὕτη φησὶν ἡ κωμῳδία ἀδελφὴ οὖσα τῆς πρώτης, ὡς ἐν τοῖς χοηφόροις αἰσχύλου ἠλέκτρα ἐκ τοῦ πλοκάμου τὸν ἀδελφὸν ἐπιγνοῦσα καὶ παραγενόμενον πρὸς τὸν τάφον ὅπως αὐτὸν γνωρίσῃ ἦλθεν, εἰς ζήτησιν ἦλθε τῶν τε θεατῶν. ἐπιγνώσεται γὰρ ἐάν τι σύμβολον ἴδῃ ἐκείνων. Ἡ χρυσόθεμις ἀπελθοῦσα θῦσαι τῷ πατρί. καὶ τὸν ὀρέστου πλόκαμον ἐνταῦθα εὑροῦσα, εἶπε τοῦτο τῇ ἠλέκτρᾳ. ἡ δὲ ἀπελθοῦσα ἐγνώρισεν αὐτὸν ὄντα ὀρέστου.

Ὑμεῖς δ' ἐξεθρέψατε γενναίως κἀπαιδεύσατε,
ἐκ τούτου μοι πιστὰ παρ' ὑμῶν γνώμης ἔσθ' ὅρκια.
Νῦν οὖν ἠλέκτραν κατ' ἐκείνην ἥδ' ἡ κωμῳδία
ζητοῦσ' ἦλθεν ἤν που 'πιτύχῃ θεαταῖς οὕτω σοφοῖς·
γνώσεται γὰρ ἤνπερ ἴδῃ, τἀδελφοῦ τὸν βόστρυχον.
ὡς δὲ σώφρων ἐστὶ φύσει, σκέψασθ'. ἥτις πρῶτα μὲν
οὐδὲν ἦλθε ῥαψαμένη σκύτινον καθειμένον.
ἐρυθρὸν ἐξ ἄκρου παχύ. τοῖς παιδίοις ἵν' ᾖ γέλως.
οὐδ' ἔσκωψε τοὺς φαλακρούς. οὐδὲ κόρδαχ' εἵλκυσεν
οὐδὲ πρεσβύτης ὁ λέγων τἄπη τῇ βακτηρίᾳ.
τύπτει τὸν παρόντ' ἀφανίζων πονηρὰ σκώμματα.

εἰ καὶ σοφοκλῆς τοῦτο οὐ λέγει. λέγει οὖν ὁ ποιητὴς ὅτι εἰ ἐπαινεθείσης παρ' ὑμῶν ἡ νῦν κωμῳδία γνώσεται ὅτι ὑμεῖς ἐστὲ, οἱ καὶ τὴν πάλαι αὐτῆς ἀδελφὴν ἐπαινέσαντες. Τἀδελφοῦ τὸν βόστρυχον. ὅ ἐστι σύμβολον καὶ ἔπαινον ἐκείνων ἐπιγνώσεται ἐὰν ἴδῃ. Οὐδὲν ἦλθε. παρέλκει τὸ δὲ ὡς καὶ παρ' ὁμήρῳ. οὐδέν ἐστι. θέλει γὰρ εἰπεῖν οὐκ ἦλθε συνήθως; Σκύτινον. διεζωσμένοι γὰρ δέρματά τινα αἰδοῖα οἱ κωμικοὶ εἰσῄεσαν τοῦ γέλωτος χάριν. θέλει δὲ εἰπεῖν αὐτοὺς φορτικῶς χαριεντιζομένοις. Ἐρυθρόν. ἢ ἐρυθρὸν ἐξ ἄκρου ἢ ἐξ ἄκρου παχύ. ταῦτα γὰρ οἱ κωμικοὶ εἰσῆγον διὰ γέλωτα. Τοὺς φαλακρούς. εὔπολις ἔσκωψε τοὺς φαλακροὺς, τοῦτο δ' ἀφωρησάμην. Οὐ κόρδαχ' εἵλκυσε. τρία εἴδη ὀρχήσεως. ἐμμέλεια μὲν, τραγική. σίκυννις, σατυρική. κόρδαξ, κωμικὴ ἥτις αἰσχρῶς κινεῖ τὴν ὀσφύν. Οὐδὲ πρεσβύτης ὁ λέγων. ὡς εὔπολις ἐν τοῖς προσπαλτίοις. ἢ ὡς εἰς τοῦτο τὸ μέρος διεπίφορον ὄντα τὸν ἕρμιππον. οἱ δὲ σισύμβριον τὸν ὑποκριτήν. Τύπτει τὸν παρόντ' ἀφανίζων. καὶ γὰρ ἐκεῖνος τοῦ γελῶν χάριν τοὺς ἐγγὺς ἑστῶτας ἔτυπτε τῇ βακτηρίᾳ. τὸ δὲ ἀφανίζων. ὅ ἐστιν ἐκ περιουσίας καὶ ἀποφυλῶν τὰ σκώμματα, δι' ὧν ἔδει σωφρονίζειν τοὺς κακῶς πράττοντας. ἐκ τοῦ ἑαυτοῦ ποιῶν τὰ πονηρὰ σκώμματα, ἢ τὸ ἀφανίζων, ἀντὶ τοῦ ἀφανεῖς ποιῶν. τουτέστι περικαλύπτων. τῷ γέλωτι τὰς εἰκῆ διεσκεμμένας ἀπὸ τῆς κωμῳδίας καὶ εὐτελῶς πεπλασμένας. Ἰστέον δὲ ὅτι πάντα ὅσα ἂν λέγῃ, εἰς ἑαυτὸν τείνει. τοὺς μὲν γὰρ φάλητας εἰσήγαγεν ἐν τῇ λυσιστράτῃ. τὸν δὲ κόρδακα ἐν τοῖς σφηξί. τοὺς δὲ φαλακροὺς, ἐν εἰρήνῃ. τὸν δὲ πρεσβύτην ἐν ὄρνισι. τὰς δὲ δᾶδας καὶ τὸ ἰοὺ ἰοὺ ἐν νεφέλαις τοῖς πρώτοις. Οὐδ' εἰσῆξε δᾶδας. οὐκ ἔστι δῆλος τίνι παρονειδίζει. ἀλλ' ἴσως ἑαυτῷ. ἐπεὶ πεποίηκεν ἐν τῷ τέλει τοῦ δράματος καιομένην τὴν διατριβὴν σωκράτους. καί τινας τῶν φιλοσόφων λέγοντας ἰοὺ ἰοὺ ἐν δὲ ταῖς πρώταις νεφέλαις, ὅ τοῦτ' ἐποίηκε. ποιήσει δὲ αὐτὸ μὴ λόγου. οὕτοι δὲ ἀκαίρως.

ἡ ἔξω νενευκυῖα. ἐν δὲ τοῖς ἀποδιδομένοις πάλιν, ἐφ' ἑκάστης στροφῆς παράγραφος. ἐπὶ δὲ τοῦ τελευταίου κώλου δύο διπλαῖ. ἡ μὲν κατ' ἀρχάς. ἡ δὲ κατὰ τὸ τέλος. ἀμφότεραι μέντοι ἔξω νενευκυῖαι, δηλοῦσαι μὲν ὅτι πάντα προδίδοται. τὸ δὲ μέτρον ἀσύστατον Εὐπολίδειον καλούμενον στίχων τροχαϊκῶν τετραμέτρων καταληκτικῶν με. ὧν τελευταῖος ἐς τὰς ὥρας τὰς ἑτέρας εὖ φρονεῖν δοκήσετε. τὸ δὲ τροχαϊκὸν μέτρον. κατὰ πᾶσαν μὲν χώραν δέχεται τροχαῖον. καὶ σπονδεῖον. πλὴν τοῦ παρατελεύτου μὴ ὄντος τοῦ μέτρου χωλοῦ. καὶ κατὰ μὲν τὰς περιττὰς τρίβραχυν καὶ δάκτυλον ἀντὶ χορείου. τῶν δὲ ἀρτίων τὰς μὲν ἑτέρας ἀνάπαιστον καὶ οἷς ἔφην εἰσχωρεῖν πάσῃ χώρᾳ. ἰδίως δὲ τὴν τετάρτην ἐν τούτοις ἴαμβον. ἐπὶ τῷ τέλει παράγραφος. ἐχρῆν δὲ τὴν λέξιν ὑπὸ τοῦ χοροῦ σημαίνεσθαι. ἔχουσα τὸ γὰρ μετοχὴν ἀντὶ ὀνόματος. Νὴ τὸν Διόνυσον. ἐπεὶ ἐν Διονυσίοις παρῆλθε τὸ δρᾶμα. καὶ γὰρ ἐν τοῖς Διονυσιακοῖς ἀγῶσι τὰ δράματα ἤγετο καὶ ἐδιδάσκετο.

τἀληθῆ, νὴ τὸν Διόνυσον τὸν ἐκθρέψαντά με
οὕτω νικήσαι μ' ἔγωγε καὶ νομιζοίμην σοφός.
ὡς ὑμᾶς ἡγούμενος εἶναι θεατὰς δεξιούς.
καὶ ταύτην σοφώτατ' ἔχειν τῶν ἐμῶν κωμῳδιῶν,
πρώτους ἠξίωσ' ἀναγεῦσ' ὑμᾶς, ἣ παρέσχε μοι
ἔργον πλεῖστον. εἶτ' ἀνεχώρουν ὑπ' ἀνδρῶν φορτικῶν
ἡττηθεὶς οὐκ ἄξιος ὤν. ταῦτ' οὖν ὑμῖν μέμφομαι
τοῖς σοφοῖς ὧν οὕνεκ' ἐγὼ ταῦτ' ἐπραγματευόμην
ἀλλ' οὐδ' ὣς ὑμῶν ποθ' ἑκὼν προδώσω τοὺς δεξιούς.
ἐξ ὅτου γὰρ ἐνθάδ' ὑπ' ἀνδρῶν, οἷς ἡδὺ καὶ λέγειν
ὁ σώφρων τε χὠ καταπύγων, ἄριστ' ἠκουσάτην
κἀγὼ παρθένος γὰρ ἔτ' ἦν, κοὐκ ἐξῆν πώ μοι τεκεῖν
ἐξέθηκα, παῖς δ' ἑτέρα τις λαβοῦσ' ἀνείλετο,

Οὕτω νικήσαι μ' ἔγωγε. διπλῆ εἴσθεσις εἰς τὴν παράβασιν. οὐχ ἡ αὐτὴ δέ ἐστιν οὐδὲ τοῦ αὐτοῦ μέτρου τῇ ἐν ταῖς πρώταις Νεφέλαις, ἀλλ' ὡς ὀλίγῳ πρότερον εἴρηται τοῦ καλουμένου Εὐπολιδείου. Σώφρων τε χὠ. πρῶτον δρᾶμα γράψας ὁ ποιητὴς ἐξέθηκε τοὺς Δαιταλεῖς, ἐν ᾧ σῶφρον μειράκιον εἰσάγει καὶ ἕτερον ἀκόλαστον. εὐδοκίμησε δὲ σφόδρα ἐν τούτῳ τῷ δράματι. Ἀναγεῦσ' ὑμᾶς. διατάξαι τὸ δρᾶμα, ὡς ἐπὶ βρώματος δὲ εἶπεν. Ὑπ' ἀνδρῶν. τοῦ Κρατίνου τοῦτο ἐπὶ τῶν προτέρων Νεφελῶν. Ταῦτ' οὖν ὑμῖν μέμφομαι. ἐπεὶ οὐ Κρατίνου ἀλλ' Ἀμειψίου δεύτερος ὤφθη. Οἷς ἡδὺ καὶ λέγειν. ὅτι τὸ ἐμὲ ἐπαινεῖν ἡδύ ἐστιν ἐλλογίμοις. Ἄριστ' ἠκουσάτην. ἀντὶ τοῦ εὐδοκίμησαν. οὕτω γὰρ τὸ πρότερον ἐνίκησεν, ἐπειδὴ δεύτερος ἐκρίθη ἐν τῷ δράματι. διὸ παρ', ἔστι μὲν αὐτὸ πρῶτον τῶν δραμάτων. ὑπὸ δὲ ἄλλου οὐ δι' ἑαυτοῦ ἐπεδείξατο αὐτό. Κοὐκ ἐξῆν πώ μοι. οὐ γὰρ ἐπέτρεπον ἐμαυτῷ τὸ λέγειν δημοσίᾳ διὰ τὸ νέον τῆς ἡλικίας, οὐ γὰρ πρῶτον δι' ἑαυτοῦ καθίει τὰ δράματα ὁ ποιητὴς εὐλαβούμενος. ἀπὸ δὲ τῶν ἱππέων ἤρξατο εἰσιέναι. νόμος δὲ ἦν μὴ εἰσελθεῖν τινα εἰπεῖν μήπω τεσσαράκοντα ἔτη γεγονότα. ὡς δέ τινες τριάκοντα. Ἐξέθηκα. ἀπὸ μεταφορᾶς τῶν λάθρα τικτουσῶν καὶ φοβουμένων γνωσθῆναι γυναικῶν. καὶ διὰ τοῦτο ἔξω ῥιπτουσῶν τὰ βρέφη, ἵν' ἰδών τις ἀνέλοιτο. ὅθεν καὶ δίδωσι βουκόλοισιν ἐκθεῖναι βρέφος. λέγει οὖν ἄριστα φανεὶς ὡς ἐπειδὴ παρὰ νόμους ταύτην τὴν κωμῳδίαν ἔτικτον, ὥσπερ τι βρέφος ἐξέρριψα. Παῖς δ' ἑτέρα. Κλεωνίδης καὶ Καλλίστρατος. οὐ γὰρ δι' ἑαυτοῦ ἐδίδαξε τοὺς Δαιταλεῖς πρώτην αὐτοῦ δρᾶμα. τὸ δὲ ἀνείλετο λαβοῦσα ἡ ἐκ παραλλήλου ὡς τὸ ἀγνοῦσας ἐκάθευδεν, ἡ γὰρ μὲν

Ὁ Τροφώνιος ἀνὴρ ἦν πάνυ φιλόδοξος. ποιήσας οὖν ἐν Λεβαδείᾳ τῆς Βοιωτίας ὑπόγειον οἴκημα, εἰσελθὼν ἐμαντεύετο· καὶ λιμαγχονηθεὶς ἀπέθανεν. ἐγκατοικήσαν δὲ δαιμόνιόν τι τὰς μαντείας ἐτέλει. εἰσήρχοντο οὖν ἐν τοῖς οἱ χρησόμενοι ἔχοντες ἐν ταῖν χεροῖν πόπανα. ἵνα τοῖς ἐκεῖ ἐμφιλοχωροῦσιν ὄφεσι διδόντες μηδὲν ὑπ' αὐτῶν δυσχερὲς πάσχωσιν. ὁ δὲ εἰσιὼν ἐκεῖσε λοιπὸν οὐκ ἐπέχει διὰ τὴν τῶν ὄφεων ἔκπληξιν. ὅθεν καὶ παροιμία ἐπὶ τῶν ἀγελάστων καὶ συνωφρυωμένων. ἐς Τροφωνίου μεμάντευται. Τί κυπτάζεις ἔχων· ἀντὶ τοῦ περιπλανᾷ δ' ἔχων. τὸ γὰρ κυπτάζεις, στραγγεύῃ. διατρίβεις. Περὶ τὴν θύραν. βαρέως διακείμενος εἰς τὸ εἰσιέναι δι' αὐτῆς. Ἀλλ' ἴθι χαίρων. τοῦτο διὰ τὸ εἰσάγεσθαι τὸν χορὸν ἐξιόντων τῶν ὑποκριτῶν, ὀνομάζεται κορωνίς.

Εἴσω καταβαίνων ὥσπερ ἐς Τροφωνίου.
χώρει. τί κυπτάζεις ἔχων περὶ τὴν θύραν.

Κομμάτιον κώλ. η′.

Χο. ἀλλ' ἴθι χαίρων τῆς ἀνδρείας εἵνεκα ταύτης.
εὐτυχία γένοιτ' ἀνθρώπῳ ὅτι προήκων
ἐς βαθὺ τῆς ἡλικίας, νεωτέροις τὴν φύσιν αὑτοῦ
πράγμασι χρωτίζεται καὶ σοφίαν ἐπασκεῖ.

Παράβασις κώλ. με′.

Ὦ θεώμενοι κατερῶ πρὸς ὑμᾶς ἐλευθέρως

διὰ δὲ τὸ προτίθεσθαι τῆς παραβάσεως κατὰ τὸ ἔθος, ὀνομάζεται κομμάτιον. κώλων ὀκτώ. ὧν τὸ μὲν πρῶτον ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. ἢ χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον ἐπιμεμιγμένον διὰ σπονδείῳ. τὸ δεύτερον ἀναπαιστικὸν μονόμετρον. τὸ τρίτον καὶ τὸ ἑξῆς καὶ ἕβδομον καὶ τὸ μετ' αὐτό, χοριαμβικὰ δίμετρα καταληκτικὰ εἰς ἀμφίβραχυν ἐπιμεμιγμένα ἢ βακχεῖον διὰ τὸ ἀδιάφορον, ἀριστοφάνεια καὶ αὐτὰ καλούμενα. τὸ πέμπτον, χοριαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ἕκτον ἀπὸ ἰαμβικῆς βάσεως εἰς χοριαμβικὴν ὑπερκατάληκτον. Χρωτίζεται ἀντὶ τοῦ χρωματίζεται. ἀπὸ τοῦ ὁ χρωματισμὸς εἰς πρόσωπον γίνεται, αὐτὸς δὲ κατὰ νοῦν ἐχρωματίζετο διὰ τοῦτο ἐπήγαγε τὴν αὐτοῦ φύσιν. ἵν' ᾖ ὅλον καὶ μέρος. διὰ μὲν τοῦ χρωματίζεται νοούμενον τοῦ ὅλου. διὰ δὲ τοῦ τὴν αὐτοῦ φύσιν, τοῦ μέρους. Ὦ θεώμενοι. ἡ παράβασις δοκεῖ μὲν ἐκ τοῦ χοροῦ λέγεσθαι. εἰσάγει δὲ τὸ ἑαυτοῦ πρόσωπον ὁ ποιητής. παράβασις δέ ἐστιν ὅταν ἐκ τῆς προτέρας στάσεως ὁ χορὸς μεταβὰς, ἀπαγγέλλῃ πρὸς τὸν δῆμον ἀφορῶν. εἴδη δὲ παραβάσεων ἑπτά. ἁπλᾶ μὲν τρία. κατὰ δὲ σχέσιν τέσσαρα. τὰ μὲν οὖν ἁπλᾶ ἐστι ταῦτα. κομμάτιον. παράβασις ὁμωνύμως ἣ καὶ ἀνάπαιστος καλεῖται. ἐπεὶ πολλάκις ἐν ταύτῃ τῷ ἀναπαίστῳ χρῆται. πνῖγος ὃ καὶ μακρόν. τὰ δὲ κατὰ σχέσιν, στροφή. ἀντίστροφος. ἐπίρρημα. ἀντεπίρρημα. συνεμπίπτουσι γὰρ ἀλλήλοις κατὰ τὸ μέτρον καὶ τὰ κῶλα. ἡ γὰρ στροφὴ, ἔχει ὁμοίαν ἑαυτῇ τὴν ἀντίστροφον. καὶ τὸ ἐπίρρημα. ὡσαύτως τὸ ἀντεπίρρημα. τινὲς δὲ προστιθέασι καὶ ᾠδὴν καὶ ἀντῳδήν. ἔχουσι γὰρ καὶ ταῦτα σχέσιν πρὸς ἄλληλα. ἡ μὲν οὖν παράβασις ἡ ἐκ τούτων συγκειμένη τελεία ἐστὶ. εἰσὶ δὲ καὶ ἀτελεῖς παραβάσεις. ἑπτὰ δὴ οὐσῶν τῶν τῆς παραβάσεως μορίων, ἐφ' ἕκαστον τῶν ἀπολελυμένων τριῶν, τίθεται ἡ παράγραφος. οὐχ ἧττον δὲ καὶ ἐπὶ τοῦ μέλους καὶ τοῦ ἐπιρρήματος, αἳ μηδὲν ἀποδίδονται. ἐὰν δὲ ᾖ τὰ ἀνακυκλούμενα τό, τε ἀντίστροφον τοῦ μέλους καὶ τὸ ἀντεπίρρημα, ἐπὶ τοῦ ἐπιρρήματος τίθεται ἡ ἔσω νενευκυῖα διπλῆ, ὑπὲρ τοῦ δηλῶσαι ὅτι ἐστὶ τὰ ἀνταποδιδόμενα. ἐπὶ δὲ τοῦ ἀντεπιρρήματος

Η μιθνὴς γενήσομαι. ἐπεὶ ἰσχνὸς καὶ ὠχρὸς τὴν ἰδέαν ὁ Χαιρεφῶν. ἅτε φιλοσοφίᾳ συνεστηκὼς· παρὸ ἐκαλεῖτο νυκτερὶς καὶ πύξινος. Μελιτοῦτταν. μάζαν τῷ μέλιτι δεδευμένην· ἔφερον δὲ ὡς ἐδόκουν τοῖς ὄφεσιν. Ὡς περὶ ἐς τροφωνίου. ὁ τροφώνιος ἐγένετο λιθοξόος ἄριστος. ὃς κατεσκεύασεν ἱερὸν ἐν τῇ λεβαδείᾳ τῆς βοιωτίας ὑπὸ γῆν καὶ καλεῖται τροφωνίου. ἐκεῖ οὖν οἱ μυούμενοι καθέζονται ἐπὶ τοῦ στόματος γυμνοὶ καὶ ἁρπάζονται ὑπό τινων πνευμάτων καὶ φέρονται ὑπὸ τὴν γῆν. ἐπειδὴ δὲ ἅπαξ τῶν δαιμόνων καὶ ὄφεις καὶ ἄλλα τινὰ ἑρπετὰ, βαστάζοιεν ἀκοῦν τά τινα καὶ ῥίπτοιεν αὐτὰ πρὸς τὸ ἐκφυγεῖν. καὶ μετὰ τὴν μύησιν, δι' ἄλλου στόματος ἀναρριπτοῦνται. ἄλλως οὕτως ὁ χάραξ. Ἀγαμήδης ἄρχων στυμφήλου τῆς ἀρκαδίας, ἐγάμει ἐπικάστην. ἧς παῖς ἦν τροφώνιος σκότιος. οὗτοι τοὺς τότε ὑπερεβάλλοντο πάντας δυστεχνίᾳ. τόν τε ἐν δελφοῖς ἀπόλλωνος ναὸν ἐργολαβῆσαι. ἐν ἤλιδι δὲ ταμεῖον χρυσοῦν κατασκευάσαι αὐγείᾳ. ᾧ καταλείψαντες ἁρμὸν λίθου, νυκτὸς εἰσιόντες ἔκλεπτον τῶν χρημάτων ἅμα κερκυόνι. ὃς ἦν γνήσιος ἀγαμήδους καὶ ἐπικάστης υἱός. ὡς δὲ ἠπόρει λίαν αὐγείας, ἐπιδημήσαντα δαίδαλον ἐκτόσε κατὰ φυγὴν μίνωος, ἐλιταίνευσεν ἐξιχνεῦσαι τὸν φῶρα. ὁ δὲ παγίδας ἔστησεν. αἷς περιπεσὼν ἀγαμήδης ἀναιρεῖται. τροφώνιος δὲ τὴν κεφαλὴν αὐτοῦ τεμὼν πρὸς τὸ μὴ γνωρισθῆναι, ἅμα κερκυόνι, φεύγει εἰς τὸν ὀρχομενόν. αὐγείου δὲ κατὰ κέλευσιν δαιδάλου ὑπὲρ τὴν τῶν αἱμάτων ἔκχυσιν ἐπιδιώκοντος, καταφεύγουσιν ὁ μὲν κερκύων εἰς ἀθήνας ὥς καλλίμαχος. Ὃς ῥ' ἔφυγεν μὲν, ἀρκαδίην. ἡμῖν δὲ κακὸς παρενάσσατο γείτων. ὁ δὲ ἕτερος εἰς λεβάδειαν τῶν βοιωτῶν. οὗ καταγεῖον κατασκευασάμενος οἴκησιν, διετέλει. τελευτήσαντι δὲ αὐτῷ μαντεῖον ἀτρεκὲς ἐφάνη αὐτόσε. καὶ θύουσιν αὐτῷ ὡς θεῷ. περιέλιπε δὲ, υἱὸν ἄλκανδρον. ἄλλως. ἐν μὲν τοῖς παλαιοῖς ἀντιγράφοις οὕτως εὗρον. πρῶτον μὲν ὅτι οἱ περὶ ἀγαμήδην υἱὸν ἀπόλλωνος καὶ ἐπικάστης. οἱ δὲ διὸς καὶ ἰοκάστης. οἱ δὲ ἐργίνου. εἶτα ὡς δαίδαλος μὲν τὸ τεχνίον ἐποίησεν, αὐτοὶ κεκλοφότες ἑάλωσαν. καὶ τῷ ἑτέρῳ φεύγοντι διεχεύη γῆ. καὶ ἐδέξατο περὶ λεβάδειαν. ὕστερον δὲ βοιωτοῖς λιμώττουσιν, ἔχρησεν ὁ θεὸς τροφώνιον τιμᾶν. οἱ δὲ ἀγνοοῦντες ὅπη εἴη τὸ μνῆμα, σμήνει μελισσῶν προσέτυχον ἐξ ὑπορρῶγά τινος ἀνιουσῶν. καὶ στοχασάμενοι τοῦτον εἶναι τὸν τόπον ἔκριναν ἐκεῖσε δεῖν τινα κατελθεῖν θεασόμενον. ὃς εὑρὼν δύο δράκοντας, προσήγαγε μελιτούττας καὶ οὐκ ἠδικήθη. ἐξ οὗ τὸ ἔθος ἐγένετο. οἱ δὲ βουλόμενοι χρηστηριασθῆναι, ἀγνοί τινες ὡρισμένως καὶ στολῇ κεκοσμημένοι θεοπρεπεῖ, κατίασι λόγχας ἔχοντες πρὸς τὸ βάλλειν τοὺς ὄφεις καὶ μὴ ἀδικηθῆναι ὑπ' αὐτῶν. καὶ πολλοὶ μὲν αὐθημερὸν ἐπέμφθησαν οἱ δὲ διὰ πλειόνων. ἐν δὲ τοῖς νεωτέροις, οὕτως.

ΣΤ. οἴμοι κακοδαίμων, ἡμιθνὴς γενήσομαι.
ΣΩ. οὐ μὴ λαλήσεις. ἀλλ' ἀκολουθήσεις ἐμοί,
ἀνύσας τι, δευρὶ θᾶττον. ΣΤ. ἐς τὼ χεῖρέ νυν
δός μοι μελιτοῦτταν πρότερον. ὡς δέδοικ' ἐγώ,

καλεῖται δὲ ταῦτα πολυσχημάτιστα, διὰ τὸ διάφορα δέχεσθαι μέτρα. τὰ δ' ἐφεξῆς λβ' ἰαμβικά εἰσιν ἀκατάληκτα τρίμετρα· ὧν τελευταῖον, χωρεῖ τί κυπάξεις ἔχων περὶ τὴν θύραν. ἐπὶ δὲ τέλει κορωνίς. Τειχομαχεῖν μοι διανοεῖ. ἐντεῦθεν παρίστησι τὴν ἑαυτοῦ διάνοιαν· τὸ γὰρ μηχανάς, οὐχ ὡς ὁ Σωκράτης εἶπεν οὕτω καὶ αὐτὸς ἐνόησεν· ἀλλ' εἰς τειχομαχικὰ ὄργανα. ἐξεπίτηδες δὲ ὁ ποιητὴς ταύτην τὴν λέξιν ἔθηκεν.

ἵν' αὐτὸν εἰδὼς ὅστις ἐστὶ μηχανὰς
ἤδη 'πὶ τούτοις πρὸς σὲ καινὰς προσφέρω.
στρ. τί δέ; τειχομαχεῖν μοι διανοεῖ πρὸς τῶν θεῶν;
σω. οὔκ. ἀλλὰ βραχέα σου πυθέσθαι βούλομαι,
εἰ μνημονικὸς εἶ. στρ. δύο τρόπω νὴ τὸν Δία.
εἰ μὲν γ' ὀφείλεταί μοι, μνήμων πάνυ·
ἐὰν δ' ὀφείλω, σχέτλιος, ἐπιλήσμων πάνυ.
σω. ἔνεστι δῆτά σοι λέγειν ἐν τῇ φύσει;
στρ. λέγειν μὲν οὐκ ἔνεστ' ἀποστερεῖν δ' ἔνι.
σω. πῶς οὖν δυνήσει μανθάνειν; στρ. ἀμέλει καλῶς.
σω. ἄγε νυν ὅπως, ὅταν τι προβάλωμαι σοφὸν
περὶ τῶν μετεώρων, εὐθέως ὑφαρπάσει.
στρ. τί δαί; κυνηδὸν τὴν σοφίαν σιτήσομαι;
σω. ἄνθρωπος ἀμαθὴς οὑτοσὶ καὶ βάρβαρος.
δέδοικά σ' ὦ πρεσβῦτα, μὴ πληγῶν δέῃ.
φέρ' ἴδω τί δρᾷς, ἤν τις σε τύπτῃ. στρ. τύπτομαι.
κᾆπειτ' ἐπισχὼν ὀλίγον, ἐπιμαρτύρομαι.
εἶτ' αὖθις ἀκαρῆ διαλιπὼν, δικάζομαι.
σω. ἴθι νυν κατάθου θοἰμάτιον. στρ. ἠδίκηκά τι;
σω. οὔκ. ἀλλὰ γυμνοὺς εἰσιέναι νομίζεται.
στρ. ἀλλ' οὐχὶ φωράσων ἔγωγ' εἰσέρχομαι.
σω. κατάθου τί ληρεῖς. στρ. εἰπὲ δή νυν μοι τοδί.
ἢν ἐπιμελὴς ὦ καὶ προθύμως μανθάνω,
τῷ, τῶν μαθητῶν ἐμφερὴς γενήσομαι.
σω. οὐδὲν διοίσεις Χαιρεφῶντος τὴν φύσιν.

Ἀποστερεῖν δ' ἔνι. πρὸς ὁμοιοκατάληκτον. καὶ πρὸς τὸ αὐτοῦ ὁ γέρων βούλευμα. τοῦ γὰρ αὐτοῦ συνδιάζεται τὸ ἀποστερεῖν τοῦ δανειστάς. Ἀμέλει παρέλκει. ἀττικὴ δὲ ἡ φράσις. ἀντὶ τοῦ μὴ ἀθύμει. Συναρπάσει. ἀττικοῦ δ' ὄντος προσώπου, ἀντὶ τοῦ συναρπάσης ἔπαιξε δὲ διὰ τοῦ ὑφαρπάσαι αἰνιττόμενος τὴν κυνικὴν φιλοσοφίαν. ἴσως δὲ κἀκεῖνος ἐκ τῶν κυνικῶν φιλοσόφων ἔλαβε τὸ κυνηδόν. Ἴθι νῦν κατάθου. ὅπερ ἐποίουν ἐπὶ τῶν μυουμένων τὰ μυστήρια. ἀποδύσαι δὲ αὐτὸν βούλεται τὴν ἐσθῆτα. ὡς μέλλων δὲ ἐκεῖνος τύπτεσθαι, φησὶν ἠδίκηκά τι, ὁ δὲ παραιτούμενος ὡς ἐπὶ τῶν μυουμένων γυμνὸν εἰσάγει αὐτόν. Ἀλλ' οὐχὶ φωράσων. ἔθος ἦν τοὺς εἰσιόντας εἰς οἰκίαν τινὸς ἐπὶ τῷ ἐρευνῆσαι, γυμνοὺς εἰσιέναι, ἵνα μή τι ὑπὸ τὰ ἱμάτια κρύψαντες λάθωσιν, ἢ ἵνα μὴ ὑπὸ χεῖρας λάθωσιν ὑποβαλόντες τὸ ζητούμενον. καὶ ζημίας αἴτιοι τούτῳ γένωνται. οἱ γοῦν μέλλοντες εἰσιέναι ἵνα ἐπιθεάσωνται χρήματα, τοῦ δημοσίου ἢ κατερευνῆσαι, γυμνοὶ εἰσῄεσαν ἵνα μή τι ἀποκρύψωνται.

Ματιολοιχός. ἤτοι ὁ κρουσιμέτρης. μάτιον γὰρ εἶδος μέτρου. ἢ ὁ φειδωλὸς καὶ σμικρολόγος. ἢ ὁ μυκτηριστής. ὀξύνει δὲ Ἡρωδιανός. ἢ μάταιον τὸ ἐλάχιστον. ἤτοι τὸ μάταια βουλευόμενον καὶ λοχῶντα. Λῆμα μὲν πάρεστι. ἐπέκθεσις τῆς διπλῆς ἀμοιβαία. ἐκ κώλων κ΄. ὧν τὸ πρῶτον τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ δεύτερον τροχαϊκὸν τρίμετρον καταληκτικόν. τὸ τρίτον δακτυλικὸν πενθημιμερές. τὸ τέταρτον ἀναπαιστικὸν πενθημιμερές. τὸ πέμπτον τροχαϊκὸν δίμετρον βραχυκατάληκτον, ὃ καλεῖται φερεκράτειον ἁπλές. τὸ ἕκτον ἰαμβικὴ βάσις. τὸ ἕβδομον, ἀ-

στρόφις, ἀργαλέος, ματιολοιχός. Ταῦτ' εἴ με λέγουσιν ἀπαντῶντες,
δρώντων ἀτεχνῶς ὅ,τι χρήζουσι. Κεἰ βούλονται νὴ τὴν δήμη-
τρ' ἐκ μοῦ χορδὴν. τοῖς φροντισταῖς παραθέντων.
σω. λῆμα μὲν πάρεστι τῷδε οὐκ ἄτολμον, ἀλλ' ἕτοιμον. ἴσθι δ' ὡς
ταῦτα μαθὼν παρ' ἐμοῦ, κλέος οὐρανομήκες
ἐν βροτοῖσιν ἕξεις. στρ. τί πείσομαι.
σω. τὸν πάντα χρόνον μετ' ἐμοῦ, ζηλωτότατον βίον ἀν-
θρώπων διάξεις. στρ. ἆρά γε τοῦτ' ἄρ' ἐγὼ
ποτ' ὄψομαι; σω. ὥστε τί σου πολλοὺς
ἐπὶ ταῖσι θύραις ἀεὶ καθῆσθαι.
βουλομένους ἀνακοινοῦσθαί τι κἀς λόγον ἐλθεῖν
πράγματα κἀντιγραφὰς πολλῶν ταλάντων
ἄξια σῇ φρενὶ συμβουλευσομένους μετὰ σοῦ.
χο. ἀλλ' ἐγχείρει τὸν πρεσβύτην ὅ,τι περ μέλλεις προδιδάσκειν
καὶ διακίνει τὸν νοῦν αὐτοῦ. καὶ τῆς γνώμης ἀποπειρῶ.
σω. ἄγε δὴ κάτειπέ μοι σὺ τὸν σαυτοῦ τρόπον.

ναπαιστικὸν δίμετρον βραχυκατάληκτον. τὸ ὄγδοον. ὅμοιον. τὸ ἔννατον ἰαμβικὸν πενθημιμερές. ὃ προῦχον καλεῖται. τὸ δέκατον ὅμοιον τῷ τρίτῳ. τὸ ἑνδέκατον ὅμοιον τῷ ἕκτῳ. τὸ δωδέκατον τροχαϊκὸν πενθημιμερές. τὸ τρισκαιδέκατον ἀναπαιστικὴ βάσις. τὸ τεσσαρεσκαιδέκατον ὅμοιον τῷ ἐννάτῳ. τὸ πεντεκαιδέκατον δακτυλικὸν ἑφθημιμερές, ὃ ἀλκμαΐειον καλεῖται. τὸ ἑκκαιδέκατον ὅμοιον τῷ τετάρτῳ τὸ ἑπτακαιδέκατον ὅμοιον τῷ τρίτῳ. τὸ ὀκτωκαιδέκατον, ὅμοιον τῷ ἐννάτῳ. τὸ ἐννεακαιδέκατον ὃ παρατέλευτον ὀνομάζεται, δακτυλικὴ βάσις. τὸ εἰκοστόν, ὅμοιον τῷ πεντεκαιδεκάτῳ. Οὐρανομήκες. μέγιστον παρὰ τὸ ἐπουράνιον κλέος εἴη. πάλιν δὲ ὡς φιλόσοφος ἀπὸ τοῦ οὐρανοῦ τὴν λέξιν παρήγαγε, διὰ τὸ διδάσκειν τὰ οὐράνια. Πράγματα κἀντιγραφάς. οὕτω γὰρ ἐκάλουν τὰς δίκας πάσας, πράγματα καὶ ἀντιγραφάς, διὰ τὰς ἀντιθέσεις καὶ λύσεις τῶν ἀποφερομένων. τὸ δὲ ἑξῆς ἀνακοινοῦσθαι τὰ πράγματα καὶ τὰς ἀντιγραφάς. Ἄξια σῇ φρενί. τὰ ἄξια πράγματα σὺν τῇ σῇ φρενὶ βουλευσομένους.

Ἀλλ' ἐγχείρει. ἐν ἐκθέσει δίστιχον ἀναπαιστικὸν τετράμετρον καταληκτικόν. εἰώθασι γὰρ μετὰ τὰς τοιαύτας περιόδους ἐπάγειν δίστιχον. ἐπὶ τῷ τέλει τῆς μὲν ἐπεκθέσεως, δύο συνήθως διπλαῖ ἔξω νενεύκασι. τῆς δὲ διστιχίας παράγραφος.

πρυτανείῳ λείψανά τινα διεσώζετο. καὶ προσηγορεύθησαν ὡς ἀριστοτέλης φησὶ κύρβεις. καὶ κρατῖνος ὁ κωμικὸς, εἴρηκέ που πρὸς τοῦ σόλωνος καὶ δράκοντος. οἷσι νῦν φρύγουσιν ἤδη τὰς κάγχρυς τοῖς κύρβεσιν. ἔνιοι δέ φασιν ἰδίως ἐν οἷς ἱερὰ καὶ θυσίαι περιέχονται κύρβεις. ἄξονας δὲ, τοὺς ἄλλους ὠνομάσθαι. Κρόταλον δὲ, εὔστομος καὶ εὔγλωττος ὡς τὰ κρόταλα. λάλος. Κίναδος. εἶδός τι θηρίου. καὶ δημοσθένης ἐν τῷ περὶ στεφάνου. τοῦτο δὲ καὶ φύσει κίναδος ταὐθρώπιόν ἐστιν.

μάσθλης. εἴρων. γλοιός. ἀλαζὼν
κέντρων. μιαρός.

οἱ δὲ, πάλαι μὲν θηρίον κίναδος ἀξιοῦσι καλεῖσθαι. ἰδίως δὲ τὴν ἀλώπεκα. καὶ σοφοκλῆς ἢ τοῦ πιτρίπτου κίναδος ἐξήρου μ' ὅπου, κακοῦργος οὖν φησιν ὡς ἀλώπηξ. τινὲς δὲ, κίναδος ζῶον μικρὸν τὸ αἰδοῖον εἰσωθῶν καὶ ἐξωθῶν. Τρύμη. ὁ περιτετριμμένος ἐν τοῖς πράγμασιν. ὃν ἡμεῖς τρύπανον καλοῦμεν. τρύμα καὶ τρῆμα τὴν ὀπὴν φασι. θέλει οὖν εἰπεῖν λεπτολόγος καὶ εὔστομος ὡς τρύπανον. τρύμη οὖν, τρύπανον ὡς πάντων περιγενόμενον. ἢ τριὸς καὶ παλαίπωρος. ἢ τριμαλιά. Μάσθλης. ἰδίως καλεῖται ὁ ἱμάς. ὁ κατειργασμένος καὶ ἔκλυτος. μάσθλης οὖν ὁ πολυγνώμων καὶ μηδὲν βέβαιον μηδὲ σταθερὸν γινώσκων. ἀλλ' ἄλλο μὲν νοῶν. ἄλλο δὲ ποιῶν, οἱονεὶ τοὺς τρόπους ἔκλυτος. μάσθλης οὖν ὁ μεμαλαγμένος λῶρος. λέγει οὖν τὸν ὀλισθηρὸν καὶ διαβατικόν.

E Εἴρων. πάντα παίζων ὑποκριτὴς εἰρωνευόμενος. Γλοιός. τὸ αὐτὸ δηλοῖ τῷ μάσθλης. εἴληπται δὲ ἡ μεταφορὰ ἀπὸ τοῦ ἐν τοῖς βαλανείοις ἐλαίου πεπηγότος. ὅπερ τοὺς ἀντιλαμβανομένους διολισθαίνειν πέφυκε. τοιοῦτος οὖν ὁ πρεσβύτης εὔχεται γενέσθαι τοὺς τρόπους, ἵνα διολισθαίνειν καὶ φεύγειν δύνηται τοὺς δανειστάς. καὶ μέχρι δὲ τῆ, δεῦρο τοὺς τῇ γνώμῃ σκάζοντας καὶ μηδὲν σταθερὸν φρονοῦντας, ἀλλὰ ἄλλα μὲν ἐπαγγελλομένους, ἄλλα δὲ πράσσοντας, διὰ τὸ τῆς γνώμης ὀλισθηρὸν καὶ ἄπιστον, γλοιοὺς καλοῦμεν. ἢ γλοιὸς λέγεται ὁ ῥύπος τοῦ ἐλαίου. λέγει οὖν τὸν ῥυπαρὸν τοὺς τρόπους. ἄλλως. γλοιὸς, ἐπὶ τοῦ ῥυπαροῦ καὶ μικροῦ καὶ μικρολόγου παραλαμβάνεται. καὶ γὰρ ὁ ῥυπαρὸς διὰ τὴν ἄσκησιν σύνεστι τῷ γλοιῷ. ἐπὶ δὲ τὸ ἦθος μετενεχθὲν τὸν μοχθηρὸν δηλοῖ καὶ ὀλισθηρὸν καὶ εὐμετάβολον. Κέντρων. φανερὸς κλέπτης. ὅτι βασανιζόμενοι αὐτοῖς κέντρα προσφέρουσιν. ἢ κέντρων, τουτέστι χαλεπὸς καὶ φρικτός. καθὸ καὶ τοὺς ἡνιόχους κεντροτύπους καλοῦμεν τοὺς τοῖς κέντροις τύπτοντας. κέντρων δέ ἐστι τὸ ἐπιτασσόμενον τοῖς ὄνοις ἐκ πολλῶν καὶ διαφόρων συρραφὲν σακκίων καὶ ἐπίσαγμα τῶν ὄνων. ἄλλως. οἱ ἐκ τῶν ἄλλων συνηθροισμένοι ἐπὶ τοιαῦτά τινα τοῖς ὑποζυγίοις ἐπιτιθέμενα καλοῦνται κέντρωνες. οἱ δὲ τὸν λοίδορον ἀκούουσιν. οἱονεὶ κεντροτύπος ὁ κεκεντρωμένος καὶ φρικτός. Στρόφις. ἀπὸ τοῦ στρόφιγος ἡ μεταφορά. οἷον εὔστροφος καὶ εὐκίνητος ἐν τοῖς πράγμασι. λέγεται δὲ στρόφιγξ τὸ τοῖς σωλῆσιν ἐμβαλλόμενον, ὥστε τὴν τοῦ ὕδατος ἐπέχειν ὅτε τις θελήσῃ καὶ αὖ πάλιν ἀνιέναι φοράν.

Τοὺς κοππατίας· διὰ τοῦ χαράγματος καὶ τοὺς ἐκκεκοφότας αὐτοῦ τὴν οὐσίαν δηλοῖ. Ὅς μ' ἐπέτριψεν. ὃς αἴτιός μοι πάντων τῶν συμβάντων κακῶν. ἢ δι' ὃν ἐδυστύχησα. Νῦν οὖν χρήσθων. ἡ ἔκθεσις τῆς διπλῆς κώλων ἐστὶν ὁμοίων ἀναπαιστικῶν ιη. ὧν τὸ πρῶτον τρίμετρον βραχυκατάληκτον, τὰ δὲ ἑξῆς δίμετρα ἀκατάληκτα. πλὴν τοῦ δωδεκάτου καὶ ἑπτακαιδεκάτου, ἀναπαιστικῶν βάσεων παρατελεύτων καλουμένων, καὶ τοῦ τελευταίου ἐφθημιμεροῦς ὄντος, καὶ παροιμιακοῦ ὡς εἴρηται καλουμένου. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι.

Διὰ τοὺς ἵππους τοὺς κοππατίας, καὶ τὸν γάμον ὅς μ' ἐπέτριψεν.
νῦν οὖν χρήσθων ἀτεχνῶς ὅ τι βούλονται
τουτί τό γ' ἐμὸν σῶμ' αὐτοῖσι
παρέχω τύπτειν· πεινῆν· διψῆν·
αὐχμεῖν· ῥιγοῦν· ἀσκὸν δέρειν·
εἴπερ τὰ χρέα διαφευξοῦμαι,
τοῖς ἀνθρώποις τ' εἶναι δόξω·
θρασύς· εὔγλωττος· τολμηρός· ἴτης·
βδελυρός· ψευδῶν συγκολλητής·
εὑρησιεπής· περίτριμμα δικῶν·
κύρβις· κρόταλον· κίναδος τρύμη

Χρήσθων· κατὰ δυϊκὴν προφορὰν ὡς δυϊκὸν ἔχον τὸν σχηματισμόν. πληθυντικῶς δὲ νῦν λέλεκται· χρήσθωσαν. ἀττικὴ δὲ ἡ τοιαύτη σύνταξις. δίον ποιούντων ἐκεῖνοι, ἀντὶ τοῦ ποιείτωσαν. φρονούντων, ἀντὶ τοῦ φρονείτωσαν. ὡς καὶ ἐνταῦθα. νῦν φησὶ, τὴν ἐξουσίαν αὐτοῖς παραδίδωμι τοῦ ἐμαυτοῦ σώματος. Τύπτειν. ὑπὲρ τοῦ ἀποδύεσθαι ἐμμένειν αὐτὸν τοῖς ὑποκειμένοις, προσέθηκε πλέον ἢ ἐκεῖνοι προσέταξαν. ὁ γὰρ τὸ μεῖζον ἐπαγγελλόμενος ὑπομένειν, πῶς οὐκ ἂν τὸ ἧττον ἐνέγκοι ῥᾳδίως.

Ἀσκὸν δέρειν· ἀντὶ τοῦ τὸ σῶμα ἐκδέρειν. εἰ δέοι καταφρονήσειν ἐκδερομένου τοῦ σώματος. Ἴτης· ἰταμός. ἀναιδής. καὶ δι' αὐτῶν χωρῶν τῶν πραγμάτων.

Βδελυρός. καὶ τὸν πόρνον οὕτως ἐκάλουν, ὡς ἐν τῷ κατὰ Τιμάρχου Αἰσχίνης. καὶ τὸν μίσους ἄξιον. καὶ τὸ μασεῖσθαι βδελύττεσθαι. ἢ τὸν ἀνελεύθερον. τὸ δὲ ψευδῶν συγκολλητής, ἀντὶ τοῦ ψευδοπλάστης. Κύρβις. ἡ σανὶς ἔνθα ἦσαν οἱ νόμοι γεγραμμένοι. λέγει οὖν, εἶτα τἄλλα δόξαιμι τοῖς πολλοῖς, καὶ ἔμπειρος εἶναι τῶν νόμων καὶ τῶν λόγων, ἡδέως ἂν ὑπομείναιμι πᾶν ὁτιοῦν παθεῖν. ἄλλως. κύρβις ὁ περίεργος. ὃν οὐκ ἔστι λαθεῖν. ἢ μνήμων. καὶ γὰρ αἱ κύρβεις πρὸς μνήμην εἰργάζοντο. Ἀπολλόδωρος δέ φησι πᾶσαν δημοσίαν γραφὴν καὶ νόμους κύρβεις καλεῖσθαι. ὅτι οἱ ἀρχαῖοι λίθους ἱστάντες, τὰ δόξαντα ἀναγράφοντες. οὓς μὲν, ἀπὸ τῆς στάσεως στήλας. κύρβεις δὲ ἀπὸ τῆς εἰς ὕψος ἀναβάσεως. ὕστερον δὲ τὰ ξύλα λελευκωμένα γράφοντες, ὁμοίως ἐκάλεσαν. κύρβις οὖν ἡ περιέχουσα τὰς ἱερὰς γραφὰς στήλη. ἢ ὡς Ἐρατοσθένης φησὶν ἄξων Ἀθήνησιν οὕτω καλούμενος, ἐν ᾧ οἱ νόμοι περιέχονται. Πλούταρχος δὲ ἐν τῷ Σόλωνος βίῳ περὶ αὐτοῦ λέγων, ἰσχὺν δέ φησι τοῖς νόμοις πᾶσιν εἰς ἑκατὸν ἔδωκεν ἐνιαυτούς. καὶ κατεγράφησαν εἰς ξυλίνους ἄξονας ἐν πλαισίοις περιέχουσι στρεφομένους. ὧν ἔτι καθ' ἡμᾶς ἐν

πρυτανείῳ

Μήτε ῥιγῶν. ἐν γὰρ μόνῳ τῷ τρίβωνι ἐχείμαζον οἱ φιλόσοφοι μηδὲν ἐσθίοντες. Οἴνου τ᾽ ἀπέχει. τὸ αὐτὸ οὐκ ἔστι σωκράτης. ἀλλὰ πίνειν μὲν αὐτόν φησι πλεῖστον. νήφειν δὲ καὶ τὰ συνήθη πράττειν. Ἀνοήτων. τῶν ἀφροδισίων. τῆς τοιαύτης λαγνείας. τὸ γὰρ ἀνοηταίνειν, μωραίνειν διὰ τὸ ἀφροδισιάζειν ἔλεγον. τῇ γλώττῃ πολεμίζων. τῇ γλώττῃ πολεμοῦσι τοὺς ἐναντίους οἱ ῥήτορες. ἐκ τούτων δὲ δείκνυσι τῶν τριῶν, ὡς οὗτος ἄριστος ἐν αἰθέρι τοῖς, ὃς ἐν τῷ πράξει καὶ βουλῇ καὶ λόγῳ τῶν ἄλλοις νικᾷ. τὸ δὲ δυσκολοκοίτου δυσκόλως κεῖσθαι ἐχούσης. τρυσιβίου δέ, κεκολασμένης καὶ καταπονούσης τὸν βίον. Θυμβρεπιδείπνου. θύμβρα δὲ ὅς λαχάνου. ἀφ᾽ οὗ δῆλον ὅτι λάχανα μόνον ἤσθιον. εὐτελῆ.

μήτε ῥιγῶν ἄχθει λίαν, μήτ᾽ ἀριστᾶν ἐπιθυμεῖς,
οἴνου τ᾽ ἀπέχει καὶ γυμνασίων, καὶ τῶν ἄλλων ἀνοήτων,
καὶ βέλτιστον τοῦτο νομίζεις, ὅπερ εἰκὸς δεξιὸν ἄνδρα,
νικᾶν πράττων καὶ βουλεύων, καὶ τῇ γλώττῃ πολεμίζων.

Στ. ἀλλ᾽ ἕνεκέν γε ψυχῆς στερρᾶς, δυσκολοκοίτου τε μερίμνης,
καὶ φειδωλοῦ καὶ τρυσιβίου γαστρὸς καὶ θυμβρεπιδείπνου,
ἀμέλει θαρρῶν ἕνεκα τούτων ἐπιχαλκεύειν παρέχοιμ᾽ ἄν.

Σω. ἄλλο τι δῆτ᾽ οὐ νομιεῖς εἶναι θεὸν οὐδένα, πλὴν ἅπερ ἡμεῖς,
τὸ χάος τουτὶ καὶ τὰς νεφέλας καὶ τὴν γλῶτταν, τρία ταυτί.

Στ. οὐδ᾽ ἂν διαλεχθείην ἀτεχνῶς τοῖς ἄλλοις οὐδ᾽ ἂν ἀπαντῶν,
οὐδ᾽ ἂν θύσαιμ᾽, οὐδ᾽ ἂν σπείσαιμ᾽, οὐδ᾽ ἐπιθείην λιβανωτόν.

Χο. λέγε νῦν ἡμῖν ὅ, τι σοι δρῶμεν θαρρῶν. ὡς οὐκ ἀτυχήσεις
ἡμᾶς τιμῶν καὶ θαυμάζων καὶ ζητῶν δεξιὸς εἶναι.

Στ. ὦ δέσποιναι, δέομαι τοίνυν ὑμῶν τουτὶ πάνυ μικρόν,
τῶν ἑλλήνων εἶναί με λέγειν ἑκατὸν σταδίοισιν ἄριστον.

Χο. ἀλλ᾽ ἔσται σοι τοῦτο παρ᾽ ἡμῶν. ὥστε τὸ λοιπόν γ᾽ ἀπὸ τουδὶ
ἐν τῷ δήμῳ γνώμας μεγάλας, οὐδεὶς νικήσει πλείονας ἢ σύ.

Στ. μή μοι λέγειν γνώμας μεγάλας. οὐ γὰρ τούτων ἐπιθυμῶ,
ἀλλ᾽ ὅσ᾽ ἐμαυτῷ στρεψοδικῆσαι, καὶ τοὺς χρήστας διολισθεῖν.

Χο. τεύξει τοίνυν γ᾽ ὧν ἱμείρεις. οὐ γὰρ μεγάλων ἐπιθυμεῖς.
ἀλλὰ σεαυτὸν παράδος θαρρῶν τοῖς ἡμετέροις προπόλοισιν.

Στ. δράσω ταῦθ᾽ ὑμῖν πιστεύσας. ἡ γὰρ ἀνάγκη με πιέζει.

Ἐν δὲ τῷ λαχαίου τούτου καλοῦμεν τὸν εὐτελῶς καὶ φειδωλῶς ζῶντα θυμβρεπιδείπνου. Ἐπιχαλκεύειν. ἐπιδέχεσθαι οἱονεὶ ἄκμων. Τὸ χάος τουτί. χάος λέγει τὸν ἀέρα. παρὰ τὸ κεχύσθαι. ἐτίμων δὲ καὶ τὴν γλῶτταν καὶ ἤσκουν τὴν πολυλογίαν. Οὐδ᾽ ἂν διαλεχθείην. ἀντὶ τοῦ οὐδὲ προσείποιμι. Οὐκ ἀτυχήσεις. οὐκ ἀποτεύξῃ. ἀντὶ τοῦ τεύξῃ ὧν ἐθέλεις. δεξιὸς δὲ ἀντὶ τοῦ πεπαιδευμένος. Γνώμας μεγάλας. δημηγορίας. Στρεψοδικῆσαι. στρέψαι τὰς δίκας. πρὸς ταύτην δὲ τὴν λέξιν καὶ τὸ ὄνομα πεποίηται τῷ γέροντι στρεψιάδης. τὸ δὲ τοὺς χρήστας διολισθεῖν. τοὺς δανειστὰς ἐκφυγεῖν. Προπόλοισι δὲ πρόσφυξι. καὶ ἱερατεῦσι. λέγει δὲ τοῖς φιλοσόφοις. πιέζει δέ, στενοχωρεῖ ἀναγκάζει.

Καὶ σούνιον ἄκρον ἀθηναίων. χάρις ἐστὶν ἐκ στίχου τοῦ ἀλλοτρίου ὡς ἔφη διονύσιος ὁ ἁλικαρνασσεὺς ἐν τῷ περὶ ἑρμηνείας. οὐκέτι γὰρ ὁ ζεὺς κωμῳδεῖσθαι δοκεῖ. ἀλλ' ὅμηρος. καὶ ὁ στίχος ὁμηρικός. Τὰς δρῦς γε τὰς μεγάλας. ἐπειδὴ τοῖς ὑψηλοῖς καὶ τοῖς δένδροις ἐμπίπτει ὁ κεραυνός. σημειωτέον δὲ ὅτι πελοποννήσιοι ἀρσενικῶς λέγουσι τοὺς δρῦς. Οὐκ οἶδ' ἀτάρ. ἐστενοχωρήθη ὑπὸ τῶν σωκράτους λόγων. Ξηρός. εὔδιος καὶ θερμὸς καὶ μηδεμίαν θερμασίαν ἔχων. φησὶ δὲ ὅτι ἄνεμος ἐμπεσὼν ταῖς νεφέλαις, καὶ ὑπὸ τῆς στενοχωρίας ἀναγκασθεὶς ἐλαυνόμενος, σφοδρότερον πνεύσας καὶ διαρρήξας, ἀπορρήγνυσιν ἔξω αὐτῶν τὸν κεραυνόν.

ἀλλὰ τὸν αὑτοῦ γε, νεὼν βάλλει. καὶ σούνιον ἄκρον ἀθηναίων.
καὶ τὰς δρῦς τὰς μεγάλας. τί παθών. οὐ γὰρ δὴ δρῦς ἐπιορκεῖ.
Στρ. οὐκ οἶδ' ἀτὰρ εὖ λέγειν φαίνει. τί γάρ ἐστι δῆθ' ὁ κεραυνός.
Σω. ὅταν εἰς αὐτὰς ἄνεμος μετεωρισθεὶς κατακλεισθῇ.
ἔνδοθεν αὐτὰς ὥσπερ κύστιν φυσᾷ. κᾆπειθ' ὑπ' ἀνάγκης
ῥήξας αὐτάς, ἔξω φέρεται σοβαρός, διὰ τὴν πυκνότητα.
ὑπὸ τοῦ ῥοίβδου καὶ τῆς ῥύμης, αὐτὸς ἑαυτὸν κατακαίων.
Στρ. νὴ δί'. ἐγὼ γοῦν ἀτεχνῶς ἔπαθον τουτί ποτε διασίοισιν.
ὀπτῶν γαστέρα τοῖς συγγενέσιν, κᾆτ' οὐκ ἔσχων ἀμελήσας.
ἡ δ' ἄρ' ἐφυσᾶτ' εἶτ' ἐξαίφνης διαλακήσασα πρὸς αὐτώ.
τὠφθαλμώ μου προσετίλησε. καὶ κατέκαυσεν τὸ πρόσωπον.

Σύστημα κατὰ περικοπὴν στίχων. η.

Ὦ τῆς μεγάλης σοφίας ἐπιθυμήσας ἄνθρωπε παρ' ἡμῶν.
ὡς εὐδαίμων ἐν ἀθηναίοις καὶ τοῖς ἕλλησι γενήσει,
εἰ μνήμων εἶ καὶ φροντιστὴς καὶ τὸ ταλαίπωρον ἔνεστιν
ἐν τῇ ψυχῇ καὶ μὴ κάμνεις. μήθ' ἑστὼς, μήτε βαδίζων.

Κατακλεισθῇ δὲ ἀντὶ τοῦ στενοχωρηθῇ συγχυθῇ. καὶ μεῖζον καὶ σφοδρότερον πνεύσῃ. ἐντεῦθεν δὲ δῆλον ὡς πυκνότατόν ἐστι τὸ τῶν νεφῶν σῶμα. εἰ γὰρ ἦν ἀραιόν, διεφορεῖτ' ἂν ὁ ἄνεμος κατ' ὀλίγον. Ὥσπερ κύστιν. τὴν κοιλίαν. τὴν φῦσαν. εἴρηται δὲ φῦσα ἀφ' οὗ πάσχειν πέφυκε. κύστις δὲ κοιλίας διενήνοχε. τὸ μὲν γὰρ τῆς ὑγρᾶς περιττώσεως δεκτικὸν μόριον, ὀνομάζεται κύστις. τὸ δὲ τῆς ξηρᾶς, κοιλία. ὡς ἀριστοτέλης περὶ ζώων ἱστορίας ᾱ. ῥήξας δὲ διασκεδάσας. διασκορπίσας. Διασίοισιν, ἀθήνησιν ἑορτὴ μειλιχίου διός. μηνὸς ἀνθεστηριῶνος φθίνοντος. ἀπολλώνιος δὲ ὁ ἀχαρνεὺς διακρίνει τὰ διάσια ἀπὸ τῆς τοῦ μειλιχίου διὸς ἑορτῆς ὀνομάζεσθαι λέγων. ὡς δέ τινες ἀπὸ τοῦ φυγεῖν αὐτοὺς ταῖς εὐχαῖς τὰς ἄτας. ἄλλως. ἑορτὴ διὸς τὰ διάσια ἀθήνησιν. ἐν ᾗ πανδημεὶ ἔξω τείχους συνιόντες, ἑορτάζουσιν. Κᾆτ' οὐκ ἔσχων. οὐκ ἔσχαζον. ἀττικῶς ἔκλινεν. οὐκ ἐκίνουν. οὐκ ἔσχισα. ποιοῦσι δὲ τοῦτο, ἵνα μὴ διαρραγῇ. ἄλλως. οὐκ ἔσχαζον. εἰώθασι δὲ κεντεῖν καὶ σχίζειν, δίοδον χαριζόμενοι τῷ πνεύματι. ἔστι δὲ ἀπὸ τοῦ σχάω σχῶ. ἐξ οὗ τὸ σχάζω, ὡς ἀπὸ τοῦ χλοῶ χλοάζω καὶ χνοῶ χνοάζω. Ἡ δ' ἄρ' ἐφυσᾶτο. ὠγκοῦτο ἐπαιρομένων τῶν ἀρτύσεων. διαλακήσασα ἢ διαρραγεῖσα. λακὶς γὰρ τὸ σχίσμα. Προσετίλησε προσερράπισεν. οἰκείως δὲ νῦν προσετίλησε χρῆται ὡς ἐπὶ κοιλίας.

Κρονίων ὄζων. οἷον ἀρχαϊκῆς εὐηθείας ὀζωδέης. ἔστι δὲ κρόνια παρὰ τοῖς ἕλλησιν ἑορ/τή. τὰ παρὰ ῥωμαίοις καλούμενα σατουρνάλια. ἢ ἀπατούρια. Βεκκεσέλη/νε. Σεσόγχωσις ὁ βασιλεὺς τῶν αἰγυπτίων κοσμοκράτωρ γεγονὼς, ἠθέλησε γνῶ/ναι τοὺς ἀρχαιοτέρους τῶν ἀνθρώπων. καὶ τροφόν τινα γλωττοτομήσας ἀπέκλει/σε μετὰ βρέφους. αὐξηθέντος οὖν καὶ βοῶντος βεκ, ἤκουσε καὶ ἔγνω ὁ βασιλεὺς, ὅτι ἀρχαιότεροι ἦσαν οἱ παφλαγόνες. παρ' αὐτοῖς δὲ ὁ ἄρτος βὲκ λέγεται. συνθέ/τως δὲ εἶπε τὴν λέξιν βεκκεσέληνε. ἐπεὶ καὶ οἱ ἀρκάδες προσέληνοι ἐλέγοντο.

σω. καὶ πῶς ὦ μῶρε σύ. καὶ κρονίων ὄζων. καὶ βεκκεσέληνε.
εἴπερ βάλλει τοὺς ἐπιόρκους πῶς δῆτ' οὐχὶ σίμων' ἐνέπρησεν
οὐδὲ κλεώνυμον. οὐδὲ θέωρον. καίτοι σφόδρα γ' εἴσ' ἐπίορκοι.

Ἀπολλώνιος ἀρκάδες οἱ καὶ προσθε σεληναίης ὑδέονται. τοῦτο δὲ τοῦτες οἱ περὶ τὸν λούκιλλον τὸν ταῤῥαῖον καὶ σοφόκλειον καὶ θέωνα ἑρ/μηνεύοντες τάδε φασίν. οἱ ἀρκάδες δοκοῦσι πρὸ τῆς σελήνης γεγονέναι ὡς καὶ εὔ/δοξος ἐν τῇ περιόδῳ. Θεόδωρος δ' ἐν τῇ εἰκοστῇ δευτέρᾳ, ὀλίγῳ πρότερόν φησι τοῦ πρὸς γίγαντας πολέμου ἡρακλέους τὴν σελήνην φανῆναι. καὶ ἀριστίας ὁ χῖος ἐν ταῖς θέσεσι. καὶ διονύσιος ὁ χαλκιδεὺς ἐν πρώτῳ κτίσεως. καὶ ἔθνος φησὶν ἀρκα/δίας, σεληνίτας εἶναι. Μνασέας δέ φησι προσέληνον ἀρκάδων βασιλεῦσαι. Ἀριστοτέλης δὲ ἐν τῇ τεγεατῶν πολιτείᾳ φησὶν ὅτι βάρβαροι τὴν ἀρκαδίαν ᾤκη/σαν. οἵτινες ἐξεβλήθησαν ὑπὸ τῶν νῦν ἀρκάδων πρὸ τοῦ ἐπιτεῖλαι τὴν σελήνην. διὸ καὶ προσωνομάσθησαν προσέληνοι. Δοῦρις δὲ ἐν δ' περὶ τῶν μακεδονικῶν ἀρκάδα φησὶν, ἀφ' οὗ ἡ ἀρκαδία καλεῖται, ὀρχομενοῦ υἱόν. διὸ καὶ ποταμὸν τῆς ἀρκαδίας ὀρχομενόν. τινὲς δέ φασιν ἐνδυμίωνα εὑρηκέναι τὰς περιόδους τῆς σελήνης. ὅθεν καὶ προσελήνους τοὺς ἀρκάδας κληθῆναι. ἔνιοι δὲ ὑπὸ τυφῶνος. ὑπὸ δὲ ἄτλαντος καὶ ξεναγόρας εἴρηκεν. ἄλλως. αἰτὶ τοῦ ἀρχαῖε καὶ μωρέ. τοὺς γὰρ μωροὺς ἀρχαίους ἐκάλουν ἀπὸ τῆς ἱστορίας. τοὺς ἀρκάδας κατὰ τοὺς πρὸ σελήνης χρόνους, ἐν ταῖς ἐρήμοις διάγειν ἢ ὑπὸ ταῖς ὕλαις καὶ ἐκ τῶν ἀποπιπτόντων καρπῶν διαζῆν. φιλονεικησάντων δὲ ποτὲ ἀρκάδων καὶ τῶν φρυγῶν καὶ περσῶν περὶ τῆς ἀρχαιότητος καὶ εἰς κρίσιν ἐλθόντων, ψαμμήτιχος ὁ βασιλεὺς αἰγύπτου λαβὼν δύο ἀρτίτοκα παιδία, ἔν τινι ἀπέκλεισε τόπῳ καὶ αἶγας ἐποίη/σε ταῦτα θηλάζειν. ἄλλοι δέ φασιν οὐκ αἶγας. ἀλλὰ τὰς ἑαυτῶν μητέρας, ἐκτε/μηθείσας τὰς αὐτῶν γλώττας ἵνα μὴ δύνωνται διδάσκεσθαι ὁμιλουσῶν ἀλλή/λαις τὰ παιδία. ἔπειτα μετὰ τριετῆ χρόνον ἐκέλευσε σιωπῶντα ἄνδρα εἰσελθεῖν πρὸς αὐτά. εἰσελθόντος δὲ αὐτοῦ προσεπήδησαν τὰ παιδία λέγοντα βέκ. ἔστι δὲ τοῦτο φρυγιστὶ, ἄρτος. ἐκ τούτου φρύγες ἐφάνησαν ἀρχαιότεροι. ἀπὸ ἱστορίας οὖν εἴρηται ἡ λέξις. ἔστι δὲ παρ' ἡροδότῳ ἔνθα περὶ ψαμμητίχου φησί. δέον δὲ εἰπεῖν προσέληνε, τὸ βὲκ παρέπλεξεν, ὅπερ ἐστὶ κατὰ φρύγας ἄρτος. οἷον σεληνόβλητε καὶ ἀπόπληκτε. Σφόδρα γ' εἴσ' ἐπίορκοι. οὕτως οὐ εἶπεν, ὡς ἐπίορκοι καὶ εἰς ἀλλήλους κακοὶ κωμῳδοῦνται.

μέσον ἐστὶ βαθὺ ποτήριον ὃ καλεῖται δῖνος. ὅπερ ἄνω εὐρύτερον ὄν, κάτω εἰς ὀξὺ λή/γει. τὸ γὰρ γελοῖον ἐκ τούτου εἰς τὴν τοῦ δῖνος παρείληφε διάνοιαν. Ἀπὸ σαυτοῦ 'γώ σε διδάξω. εἰς τὸ σαυτοῦ πλεῖον στικτέον. ἐπεὶ σύνθετόν ἐστι καὶ ἀμετάβατον γίνεται, ὑφ' ἓν λέγουσι. Ζωμοῦ παναθηναίοις. ἐν τοῖς παναθηναίοις αἱ ἀττικαὶ τοῖς ἀθη/ναίοις πόλεσιν ἔπεμπον βοῦς. ὅθεν ἤδη ἀφθονία τῶν κρεῶν. ἄλλως. ἤδη ποτ' ἐν τοῖς παναθηναίοις ἐκόρεσας σὺ ζωμοῦ τὴν γαστέρα. τὰ δὲ παναθήναια ἑορτὴν παρ' ἀθηναίοις εἶναι μεγίστην παρὰ πάντων ᾄδεται.

ΣΩ. ἥκιστ' ἀλλ' αἰθέριος δῖνος. ΣΤΡ. δῖνος, τουτί μ' ἐλελήθει·
ὁ Ζεὺς οὐκ ὢν, ἀλλ' ἀντ' αὐτοῦ δῖνος νυνὶ βασιλεύων.
ἀτὰρ οὐδέ πω περὶ τοῦ πατάγου καὶ τῆς βροντῆς μ' ἐδίδαξας.
ΣΩ. οὐκ ἤκουσάς μου; τὰς νεφέλας ὕδατος μεστὰς ὅτι φημὶ
ἐμπιπτούσας εἰς ἀλλήλας παταγεῖν διὰ τὴν πυκνότητα;
ΣΤΡ. φέρε τουτὶ τῷ χρὴ πιστεύειν; ΣΩ. ἀπὸ σαυτοῦ 'γώ σε διδάξω.
ἤδη ζωμοῦ παναθηναίοις ἐμπλησθεὶς, εἶτ' ἐταράχθης
τὴν γαστέρα, καὶ κλόνος ἐξαίφνης αὐτὴν διεκορκορύγησεν;
ΣΤΡ. νὴ τὸν Ἀπόλλω, καὶ δεινὰ ποιεῖ γ' εὐθύς μοι καὶ τετάρακται·
χὤσπερ βροντὴ τὸ ζωμίδιον παταγεῖ καὶ δεινὰ κέκραγεν.
ἀτρέμας πρῶτον παππάξ. κἄπειτ' ἐπάγει παπαπαππάξ.
χὤταν χέζω κομιδῇ βροντᾷ παπαπαππὰξ ὥσπερ ἐκεῖναι.
ΣΩ. σκέψαι τοίνυν ἀπὸ γαστριδίου τυννουτουὶ οἷα πέπορδας.
τὸν δ' ἀέρα τόνδ' ὄντ' ἀπέραντον, πῶς οὐκ εἰκὸς μέγα βροντᾶν;
ταῦτ' ἄρα καὶ τὠνόματ' ἀλλήλοιν, βροντὴ καὶ πορδὴ ὁμοίω.
ΣΤΡ. ἀλλ' ὁ κεραυνὸς πόθεν αὖ φέρεται λάμπων πυρί, τοῦτο δίδαξον,
καὶ καταφρύγει βάλλων ἡμᾶς, τοὺς δὲ ζῶντας περιφλύει.
τοῦτον γὰρ δὴ φανερῶς ὁ Ζεὺς ἵησ' ἐπὶ τοὺς ἐπιόρκους.

ἐπεὶ οὖν ἐν τοῖς παναθηναίοις πᾶσαι αἱ ἀπὸ τῶν ἀθη/νῶν ἀποικισθεῖσαι πόλεις βοῦν τυθησόμενον ἔπεμπον, συνέβαινεν ἄδειαν εἶναι τῶν κρεῶν ὥστε πληροῦσθαι πάντας καὶ παρὰ τὸ δέον ἐσθίοντας. διὰ τὴν ἀφθο/νίαν τῶν κρεῶν. Εἶτ' ἐταράχθης. εἶτα συνέβη κινηθῆναι καὶ διαταραχθῆναι τὴν γαστέρα. Καὶ κλόνος ἐξαίφνης. καὶ στρόφος τις καὶ εἴλιξ αὐτῇ συνέπεσε. διε/κορκορύγησε δὲ ἀντὶ τοῦ ἤχησε. κορκορυγεῖν γάρ ἐστι τὸ τὴν γαστέρα λαλεῖν μόνον. ἢ ἐμιμήσατο τῇ φωνῇ τῶν ἐντέρων τὸν ἦχον. Ἀπὸ γαστριδίου τυννου/τουὶ προσόν. συναγαγὼν δὲ τοὺς δακτύλους ὤρεξε. τυννὸν γὰρ τὸ μικρόν. ὅτι δὲ ἔλαβεν ὁμολογοῦντα τὸν πρεσβύτην, τότε προσάγειν αὐτὸν ἐπιχειρεῖ τῇ συγκρίσει. καί φησι θαυμάζεις εἰ βροντῶσιν αἱ νεφέλαι πάντα κατέχουσαι τὸν οὐρανόν. ὅτε ἀπὸ μικροῦ οὕτω τῆς σῆς οὔσης κοιλίας, τοσοῦτος ἦχος ἀπὸ τῆς πορδῶν γίνεται. Τὠνόματ' ἀλλήλοιν. διὰ τοῦτο καὶ τὰ τοιαῦτα ὀνόματα ἀλλήλοις ἐστί. δοκεῖ προσφερῆ καὶ ὅμοια τῆς βροντῆς καὶ τῆς πορδῆς. ἔπαιξε δὲ παρὰ τὸ ὁμοιοκατάληκτον. Καὶ καταφρύγει. λέγεται γὰρ ὅτι πολλάκις ὁ κεραυνὸς ἀψάμενος, οὐκ ἀναιρεῖ, ἀλλὰ περιφλέγει μόνον. ἄλλως. κα/ταφρύγει, καταίθει. περιφλύει δὲ περικαίει ἐπιπολῆς. τὸ δὲ ζῶντας, τινὲς ἀντὶ τοῦ πηγυτόους ἤκουσαν.

βάλλετο. Βρενθύει. ἀποσεμνύνεις σεαυτὸν ἐν τῷ σχήματι καὶ ταυρηδὸν ὁρᾷς. Καὶ τὠφθαλμώ. ἀπὸ τῶν ὀφθαλμῶν σεμνὴν τὴν ὄψιν ἔχεις. εἰσὶ γὰρ ἀνθρώπων τινὲς τοιοῦτοι σεμνοὶ μὲν φανῆναι. οὐ κατὰ τὴν ὄψιν δὲ ἔχοντες καὶ τὰ ἐπιτηδεύματα. οὕτω δὲ ἐβάδιζε σωκράτης καὶ πλατ. ἄλλως. σεμνύνῃ καὶ μέγα φρονεῖς. οἱ γὰρ ἐπιδεδωκότες αὑτοῖς. σοβαρῶς πεφύκασι βαδίζειν. ὡς τοῦ μὲν προδίκου ὄντος σοφοῦ. τοῦ δὲ σωκράτους κενὴν μόνον ἐπὶ σοφίᾳ δόξαν καρπουμένου.

ὅτι βρενθύει τ' ἐν ταῖσιν ὁδοῖς, καὶ τὠφθαλμὼ παραβάλλει
κἀνυπόδητος κακὰ πόλλ' ἀνέχει. κἀφ' ἡμῖν σεμνοπροσωπεῖς.
στ. ὦ γῆ τοῦ φθέγματος. ὡς ἱερὸν. καὶ σεμνὸν. καὶ τερατῶδες.
σω. αὗται γάρ τοι μόναι εἰσὶ θεαί. τἄλλα δὲ πάντ' ἐστὶ φλύαρος.
στ. ὁ ζεὺς δ' ἡμῖν φέρε πρὸς τῆς γῆς οὑλύμπιος οὐ θεός ἐστιν;
σω. ποῖος ζεύς, οὐ. μὴ ληρήσεις. οὐδ' ἔστι ζεύς. στ. τί λέγεις σύ
ἀλλὰ τίς ὕει, τουτὶ γὰρ ἔμοιγ' ἀπόφηναι πρῶτον ἁπάντων,
σω. αὗται δήπου. μεγάλοις δὲ σημείοις ἐγώ σ' αὐτὸ διδάξω.
φέρε. ποῦ γὰρ πώποτ' ἄνευ νεφελῶν ὕοντ' ἤδη τεθέασαι.
καί τοι χρῆν, αἰθρίας ὕειν αὐτόν. ταύτας δ' ἀποδημεῖν.
στ. νὴ τὸν ἀπόλλω, τοῦτό γέ τοι τῷ νυνὶ λόγῳ εὖ προσέφυσας.
καί τοι πρότερον τὸν δί'. ἀληθῶς ᾤμην διὰ κοσκίνου οὐρεῖν.
ἀλλ' ὅστις ὁ βροντῶν ἐστι, φράσον. τοῦτό με ποιεῖ τετρεμαίνειν.
σω. αὗται βροντῶσι κυλινδόμεναι. στ. τῷ τρόπῳ ὦ πάντα σὺ τολμῶν.
σω. ὅταν ἐμπλησθῶσ' ὕδατος πολλοῦ κἀναγκασθῶσι φέρεσθαι
κατακρημνάμεναι πλήρεις ὄμβρου δι' ἀνάγκην, εἶτα βαρεῖαι
εἰς ἀλλήλας ἐμπίπτουσαι, ῥήγνυνται καὶ παταγοῦσιν.
στ. ὁ δ' ἀναγκάζων ἐστὶ τίς αὐτὰς, οὐχ ὁ ζεὺς ὥστε φέρεσθαι.

Καί τοι χρῆν αἰθρίας οὔσης. εἰ τὸ βρέχειν ἦν φησιν ἐν τῇ τοῦ διὸς ἐξουσίᾳ, καὶ μὴ τῶν νεφελῶν ἦν τοῦτο τὸ ἔργον, ἐχρῆν αὐτὸν καθ' ἑαυτὸν ὕειν ἄνευ νεφελῶν. ἄλλως. δοκεῖ τῆς κατὰ μύσκελλον ἱστορίας ἔχεσθαι τὸ λεχθέν. μυσκέλλῳ γάρ φασι χρησμὸν δοθῆναι κτίζειν πόλιν, ὅπου ἂν αὐτὸν ἐξ αἰθρίας ὑετὸς λάβῃ. ὁ δὲ, ᾤετο οὐκ ἄν ποτε ὑπ' αὐτοῦ κτισθήσεσθαι πόλιν διὰ τὸ ἀδύνατον τοῦ χρησμοῦ. παραγεγενημένου δ' αὐτοῦ περὶ τὴν ἰταλίαν καὶ ἀμηχανοῦντος περὶ τὴν κτίσιν, παρακαθίσασα τὴν παλλακίδα δακρύειν ἐπ' αὐτῷ ὀδυρομένην. καὶ τέλος εἰληφέναι τὸ χρηστήριον. διὸ καὶ εὐθὺς ἔκτισε τὴν πόλιν. Τετρεμαίνειν. κατὰ ἀναδιπλασιασμὸν ἀντὶ τοῦ φρίττειν καὶ δεδιέναι. τὸ γὰρ τρέμειν καὶ πάλλεσθαι τὸ σῶμα τῶν ἄγαν εὐλαβουμένων. Κρημνάμεναι. κρεμάμεναι ἐκ τοῦ ἀέρος. οἷον ἐπικρεμάμεναι ἀλλήλαις καὶ ἐπιβαρούμεναι. περισσὸν δὲ τὸ εἶτα. Παταγοῦσιν ἠχοῦσιν, ὅμηρος. Πάταγος δὲ διὰ στόμα γίνετ' ὀδόντων. Αἰθέριος δῖνος. καὶ τοῦτο ἐθρυλλεῖτο παρὰ τοῖς φυσικοῖς. τουτέστι δίνησις ἡ αἰθερία. ταῦτα δὲ ἐκ τῶν ἀναξαγορείων λαμβάνει.

Δῖνος νυνὶ βασιλεύων. ἐπίθεν ἔλαβεν ἐκ τοῦ διός. ὥσπερ εἰ ἔλεγε μὴ βασιλεύειν τὸν δία. ἀλλὰ δῖνον. οὐχ ὅτι τὴν δίνησιν ὑποβάλλει, ἐκ τούτου δῖνος εἶπεν, ἀλλὰ κερα-

Κλεώνυμον. τοῦτον ὡς δειλὸν καὶ ἐπὶ τῆς παρατάξεως ῥίψαντα τὴν ἀσπίδα, οἵ τε ἄλλοι κωμῳδοὶ διαβάλλουσι πάντες. καὶ ἐν τοῖς σφηξὶν ὁ αὐτός. ὡς δειλὸς δὲ ἐν ἄλλοις κωμῳδεῖται. τὸ δὲ ἐχθὲς προσέθηκεν ὡς ὑπόγυον τοῦ κλεωνύμου ῥιψάσπιδος γεγενημένου. τῷ καιρῷ χρώμενος εἰς αἰσχύνην τοῦ δεδρακότος. πλείονα γὰρ τὴν συμφορὰν τὰ πταίσματα ἔχει τὰ ὑπόγυα. Καὶ νῦν ὅτι κλεισθένη. καὶ νῦν φησὶ διὰ τὸν κλεισθένη ἐγένοντο γυναῖκες. οὗτος δὲ ἐπὶ κιναιδείᾳ διαβάλλεται. τοῦ/

στρ	ταῦτ᾽ ἄρα, ταῦτα κλεώνυμον αὗται τὸν ῥίψασπιν χθὲς ἰδοῦσαι
	ὅτι δειλότατον τοῦτον ἑώρων, ἔλαφοι διὰ τοῦτ᾽ ἐγένοντο.
σω	καὶ νῦν ὅτι κλεισθένη εἶδον ὁρᾷς. διὰ τοῦτ᾽ ἐγένοντο γυναῖκες
στρ	χαίρετε τοίνυν ὦ δέσποιναι. καὶ νῦν εἴπερ τινὶ κἄλλῳ.
	οὐρανομήκη ῥήξατε κἀμοὶ φωνὴν, ὦ παμβασίλειαι.
	Σύστημα κατὰ περικοπὴν στίχων. ς΄.
χο	Χαῖρ᾽ ὦ πρεσβῦτα παλαιγενές. θηρατὰ λόγων φιλομούσων
	σύ τε λεπτοτάτων λήρων ἱερεῦ. φράζε πρὸς ἡμᾶς ὅ, τι χρῄζεις.
	οὐ γὰρ ἂν ἄλλῳ γ᾽ ὑπακούσαιμεν τῶν νῦν μετεωροσοφιστῶν.
	πλὴν ἢ προδίκῳ. τῷ μὲν, σοφίας, καὶ γνώμης οὕνεκα. σοὶ δὲ,

τον δὲ ὡς γυναικιζόμενον οὐκ ἀριστοφάνης διαβάλλει μόνον, ἀλλὰ καὶ κρατῖνος ἐν πυτίνῃ, λέγων οὕτως. ληρεῖς ἔχων. γράφ᾽ αὐτὶς ἐν ἐπεισοδίῳ. γελοῖος ἔσται κλεισθένης κυβεύων ἐν τῇ τοῦ κάλλους ἀκμῇ. τοῦτον ἰδοῦσαί φησιν αἱ νεφέλαι, εἰς γυναῖκας μετεμόρφωσαν ἑαυτάς. Χαῖρ᾽ ὦ πρεσβῦτα. νῦν οὐχ ὡς σεμνόν τινα προσηγόρευσαν διὰ τὸν χρόνον. ἀλλ᾽ ἀνόητον. τοὺς γὰρ δῆθεν ἀρχαίους, καὶ παλαιοὺς πρεσβύτας ἔλεγον. Θηρατά. ἀντὶ τοῦ ἰχνευτὰ λόγων ἢ ζηλωτὰ ἢ μετεώρων λόγους. Ὅ, τι χρῄζεις ὅ, τι βούλοιο. σωκράτει δὲ λέγουσι, τὸ δὲ λεπτοτάτων λήρων, ἀντὶ τοῦ συνετωτάτων. καὶ δυσπαρακολουθήτων λόγων. Πλὴν ἢ προδίκῳ. οὕτως ἡ ἀκολουθία εἶχε τοῦ λόγου. πλὴν ἢ προδίκῳ καὶ σοί. ὁ δὲ ἄλλως τὸν λόγον ἐσχημάτισε τὸ μὲν σοὶ κατ᾽ ἀρχὰς οὐκ εἰπὼν, ἔπειτα δὲ ἐπενεγκών. μέμνηται δὲ νῦν τοῦ προδίκου διασύρων ὅτι μεγίστην δόξαν εἶχε παρ᾽ αὐτοῦ. ὡς ὑπὲρ πάντας ὢν τῇ σοφίᾳ. σοφιστὴς δὲ ἦν ὁ πρόδικος χῖος τὸ γένος. ἤκμασε δὲ κατὰ τοὺς χρόνους Σωκράτους. πρῶτος δὲ οὗτος τὴν πεντηκοντόδραχμον ἐπίδειξιν ἐπεποιήσατο. μνημονεύει δ᾽ αὐτοῦ πλάτων ἐν τῷ πρωταγόρᾳ. καὶ ξενοφῶν ἐν τοῖς ἀπομνημονεύμασιν. αἰ μὴν ἀλλὰ καὶ ἀριστοφάνης ἐν ταγηνισταῖς. τὸν ἄνδρα τοῦτον ἢ βιβλίον διέφθειρεν ἢ πρόδικος ἢ τῶν ἀδολεσχῶν εἷς γέ τις. διαβάλλει δὲ αὐτὸν καὶ ἐν ὄρνισιν οὕτω. παρ᾽ ἐμοῦ προδίκῳ κλάειν εἴπητε τὸ λοιπόν. διδάσκαλος δὲ ἦν οὗτος τοῦ ἐπικαλουμένου κοθόρνου. ὃς τῆς τῶν τριάκοντα τυραννίδος συμμετέσχεν. κόθορνος δὲ ἐκαλεῖτο, ἐπεὶ καὶ τοῖς τριάκοντα συνέσπευδε. καὶ πλάττει τὸν ἡρακλέα τῇ ἀρετῇ καὶ τῇ κακίᾳ συντυγχάνοντα, καὶ καλουσῶν ἑκατέρων ἐπὶ τὰ ἤθη αὐτῶν, προκλῖναι τῇ ἀρετῇ τὸν ἡρακλέα. καὶ τοὺς ἐκείνης ἱδρῶτας προκρῖναι τῶν προσκαίρων τῆς κακίας ἡδονῶν. ἄλλως. ἐπὶ καθαιρέσει σωκράτους τὸν πρόδικον νῦν μέγαν ἀποφαίνει διαφερόντως. οὗτος γὰρ σοφιστὴς ἦν μετεωρολόγος. ἐπὶ κιναιδίᾳ γὰρ διε

τῶν γραφομένων. οὐδὲν γὰρ ἀξιόλογον ἐποίουν. φέρε ποῖαι γάρ τινες. δείκνυσιν ἐνταῦθα ὁ σωκράτης ὡς ἐν ὄψει τῷ τῆς βλέπει τὰς νεφέλας τοῦτο τὸ σχῆμα ἐχούσας, μὴ ταῖς γραφεῖς ὁμοίας ὁρᾷ. Αὗται δὲ ῥῖνας ἔχουσαι. εἰσεληλύθασιν οἱ χορευταὶ προσωπεῖα περικείμενοι μεγάλας ἔχοντα ῥῖνας, γελοῖα. καὶ ἀσχήμονα. διὸ παρ φησὶν εἰκὸς αὐτὰς μὴ ἑωρακέναι διὰ τὸ μὴ νεφελῶν ἀλλὰ γυναικῶν ὄψεις ἔχειν. ὃ τὴν ἄγνοιαν αὐτῷ παρεῖχε. δῆλον οὖν ὅτι ὁ τόπος ἐν τοῖς ἄνω λέλεκται χορικά.

οὐ γὰρ ἐκεῖναί γ' εἰσὶ τοιαῦται. σω. φέρε ποῖαι γάρ τινές εἰσιν.
στρ. οὐκ οἶδα σαφῶς. εἴξασιν οὖν ἐρίοισι πεπταμένοισιν.
κοὐχὶ γυναιξὶ μὰ δί' οὐδ' ὁτιοῦν. αὗται δὲ ῥῖνας ἔχουσιν.
σω. ἀπόκριναι νῦν ἅττ' ἂν σ' ἔρωμαι. στρ. λέγε ταχέως ὅ,τι βούλει.
σω. ἤδη ποτ' ἀναβλέψας εἶδες νεφέλην κενταύρῳ ὁμοίαν;
ἢ παρδάλει. ἢ λύκῳ. ἢ ταύρῳ; στρ. νὴ δί' ἔγωγ' εἶτα τί τοῦτο
σω. γίνονται πάνθ' ὅ,τι ἂν βούλωνται. κἂν μὲν ἴδωσι κομήτην
ἄγριόν τινα τῶν λασίων τούτων οἷόν περ τὸν ξενοφάντου,
σκώπτουσαι τὴν μανίαν αὐτοῦ, κενταύροις εἴκασαν αὐτάς.
στρ. τί γὰρ ἢν ἅρπαγα τῶν δημοσίων κατίδωσι σίμωνα, τί δρῶσιν;
σω. ἀποφαίνουσαι τὴν φύσιν αὐτοῦ λύκοι ἐξαίφνης ἐγένοντο.

οὐκ ἐπὶ τῆς σκηνῆς ὄντως λέλεκται τοῦ χοροῦ δὲ ἔξω ἑστῶτος καὶ κρυπτομένου, φωνὴ μόνη τοῖς ἔνδον ἐξηκούετο. οὐ γὰρ ἠδύναντο ἐν τῇ σκηνῇ εἶναι τῆς σκηνῆς ἂν μὴ καταπλᾶσαι μηδέπω. προειρήκαμεν δὲ τῶν νεφελῶν εἶναι. Κενταύρῳ ὁμοίαν. τὸ συμβαῖνον γίνεσθαι περὶ τὰς νεφέλας διηγεῖται. πολλάκις γάρ εἰσι νέφη παροιμοιούμενα ζώοις ἢ φυτοῖς ἢ ἀνθρώποις δὴ γιγνόμενα ἢ ἄλλην τινὰ τοιαύτης ὄψεως ἀποτελοῦντα εἰκόνα. φησὶν οὖν οὐ χρή σε θαυμάζειν εἰ αἱ νεφέλαι γυναικῶν ἔχουσι μορφάς. καὶ γὰρ ἐν τῷ οὐρανῷ πολλὰς ἔχουσιν εἰκόνας. τούτων δὲ ἐμνημόνευσεν, ἐκείνων ἕνεκα μόνον, δι' ὧν λοιδορῆσαί τινας τῶν πολιτευομένων βούλεται. Κομήτην, κλέπτην λέγει ὃς ἦν ἐπὶ κόμῃ σκωπτόμενος. ἀγρίους δὲ καὶ καλοπροσώπους ἐκάλουν τοὺς ἀπηγορευμένας πράξεις ποιοῦντας. τοὺς παιδεραστάς. Ἱερώνυμον δὲ λέγει τὸν διθυραμβοποιόν. ὃς ξενοφάντου μὲν ἦν παῖς. περὶ παῖδας δὲ ἀγανεπτόητο. λάσιον δὲ εἶχε τὸ σῶμα. ἐπεὶ οὖν καὶ οἱ ἱπποκένταυροι λάσιον εἶχον τοῦ σώματος τὸ τῶν ἵππων μέρος, ὥς τε καὶ ὁ πρὸς τοὺς λαπίθας πόλεμος δι' ἀκρασίαν ἔρωτος αὐτοῖς συνέστη, εὐλόγως τῶν ἐρωμανῶν τινα θεωμένας, ἐξομοιοῦν αὐτὰς τῇ τῶν κενταύρων ἰδέᾳ τὰς νεφέλας παρήγαγεν. Τί δ' ἢν ἅρπαγα. οὗτος κεκωμῴδηται παρὰ ἀριστοφάνει ὡς χρεωφιλέτης. τινί φησιν αἱ νεφέλαι ἑαυτὰς εἰκάσειαν, ἐὰν ἀφομοιώσασθαι θελήσωσιν ἑαυτὰς σίμωνι, διαρπάζοντι καὶ νοσφιζομένῳ τὰ κοινά. σοφιστὴς δὲ ὁ σίμων ἦν καὶ τῶν ἐν πολιτείᾳ διαπρεπόντων τότε. καὶ πάντως τῶν δημοσίων τι ἐνοσφίσατο χρημάτων. μνημονεύει δὲ αὐτοῦ καὶ εὔπολις ἐπὶ τοῖς αὐτοῖς διαβάλλων αὐτὸν ἐγκλήμασιν οὕτως. ἐξ ἡρακλείας ἀργύριον ὑφείλετο. κωμῳδεῖται δὲ νῦν, ἵν' ἢ παύσηται ἁρπάζων, ἢ ἀκούσαντες οἱ ἀθηναῖοι, εἰς δίκας ἀγάγωσιν ὧν κατεδίδοκε.

Τ αὐτ' ἄρ' ἐποίουν. λείπει ἡ διά. μιμεῖται δὲ τοὺς διθυράμβους. τὸ δὲ στρεπταίγλαν εἰς τὸ διεστραμμένον αὐτῶν. τὴν ἔμπροσθεν οὖσαν τῆς αἴγλης τοῦ ἡλίου καὶ σκο-τίζουσαν. νεφέλης γὰρ ἀντιτεθείσης τῷ ἡλίῳ, οὐκέτι τὰς ἀκτῖνας εἰς τὴν γῆν ἀφίη-σι. ταῦτα δὲ εἰς φιλόξενον τὸν διθυραμβοποιόν. τὸ γὰρ στρεπταίγλαν αὐτὸς εἶπεν. ἐπεὶ οὖν συνθέτοις καὶ πολυπλόκοις οἱ διθυραμβοποιοὶ χρῶνται λέξεσιν, κατὰ τὸν τῶν ἐκείνων ζῆλον. καὶ αὐτὸς τοιαύταις χρῆται. χρῆται δ' οὖν ἄντικρυς τῷ ἐξεστραμμένῳ.

Ρ ἑρμαινού-σας τε θυ-έλλας. του-τέστι συ-στροφὰς ἀνέμου. πρημαι-νούσας δὲ ἀντὶ τοῦ μαι-

ΣΤ. ταῦτ' ἄρ' ἐποίουν ὑγρᾶν νεφελᾶν στρεπταιγλᾶν δάϊον ὁρμάν.
πλοκάμους θ' ἑκατοντακέφαλα τυφῶ. πρημαινούσας τε θυέλ-(λας
εἶτ' ἀερίας διερὰς γαμψοὺς οἰωνοὺς ἀερονηχεῖς.
ὄμβρους θ' ὑδάτων δροσερᾶν νεφελᾶν. εἶτ' ἀντ' αὐτῶν κατέπινον
κεστρᾶν τεμάχη μεγαλᾶν ἀγαθᾶν. κρέα τορνίθεια κιχλᾶν.
διὰ μέντοι τάσδ' οὐχὶ δικαίως. ΣΩ. λέξον δή μοι τί παθοῦσαι,
εἴπερ νεφέλαι γ' εἰσὶν ἀληθῶς. θνηταῖς εἴξασι γυναιξίν.

νομένας καὶ λάβρως φυσώσας. πρῆσαι γὰρ τὸ φυσῆσαι. Γαμψοὺς οἰωνούς. ἤτοι τὰς καμπτούσας καὶ πλαγίους νεφέλας. ἢ τὰς ὀρνίθων ὄψεσιν εἰκασμένας. γαμψοὺς γὰρ ἐκάλουν τοὺς ὄρνιθας. αὐτίκα γοῦν καὶ αὐτὸς τῷ, γαμψοὺς, οἰω-νοὺς ἐπήγαγεν. ὅμηρος. οἰωνοῖσί τε πᾶσι. Ἀερονηχεῖς. τὰς ἐν τῷ ἀέρι νηχο-μένας. παρόσον ἐν αὐταῖς νήχεται τὰ ὄρνεα. ἢ δίκην ὀρνέων ἵπτανται αἱ νεφέλαι. ταῦτα δὲ πάντα ἔκ τινων ποιητῶν εἰσιν ἄλλο ἄλλου γράψαντος. καὶ τοῦ μὲν τοῦ-το τοῦ δὲ ἐκεῖνο. ἔστι δὲ ἡ γενικὴ τὸ ὑγρᾶν νεφελᾶν καὶ στρεπταιγλᾶν. εἴπερ οὕτω γρά-φεται οὐ πρός τι συνταττόμενον, ἀλλ' οὕτως ἦν ἐν τοῖς ποιήμασιν ἐκείνοις. διὸ καὶ αὐτὸς οὕτως ἔθηκεν. οἱ δὲ, πρὸς τὸ δάϊον ὁρμάν. τουτέστι ταχυτάτην, ἑνὸς τὸ πᾶν εἶναι φάσκοντες. τὸ αὐτὸ δὲ καὶ περὶ τοῦ δροσερᾶν νεφελᾶν. τὸ δὲ στρεπταίγλαν πρὸς τὸ ὑγρᾶν νεφελᾶν. Εἶτ' ἀντ' αὐτῶν. τουτέστιν ἀντὶ τούτων ὧν ἐποίουν εἰς τὰς νεφέλας, διὰ τοῦτο ἤσθιον τοὺς κεστρέας καὶ τὰ ὀρνίθεια κρέα. Κεστρᾶν τε-μάχη, ἰστέον ὅτι οὐχ οἱ αὐτοὶ τοῖς κεστρεῦσιν ἰχθύσιν αἱ κεστρέαι. ἄλλοι μὲν γὰρ τὰς μυραίνας ἀξιοῦσι καλεῖν. οἱ δὲ, ἄλλο τι διάφορον ἰχθύων γένος. νῦν μέντοι κεστρεῖς καλοῦμεν τοὺς κεφάλους. Τεμάχη μεγαλᾶν ἀγαθᾶν. τουτέστι τιμίων καὶ λαμπρῶν. ἐπὶ ἰχθύων τὸ τέμαχος. καὶ ἐπὶ πλακοῦντος. ἐπὶ δὲ κρεῶν οὐκέτι. ἐδώ-ρισε δὲ μιμούμενος τοὺς διθυράμβους. τὸ δὲ ὅλον τείνει πρός τε τοὺς παρὰ τοῖς χορηγοῖς ἑστιωμένους καὶ πρὸς τοὺς ἐν πρυτανείῳ ἀεὶ δειπνοῦντας. Κρέα τορνίθεια. καταχρηστικῶς ἐπὶ ὀρνέων κρέα εἶπεν, τούτων δὲ μέμνηται τῶν ᾀδο-μένων νεφέλαις ὑδάτων καὶ ὀρνέων. ταῦτα δέ φησιν ἐπεὶ ἐν πρυτανείῳ τινὲς αὐτῶν ἐσιτοῦντο καὶ τῶν χρησμολόγων καὶ τῶν μάντεων. βέλτιον μέντοι ὑφ' ἓν ἀνα-γινώσκειν κρεατορνίθεια. ἵνα ὁ ποιητὴς μνημονεύῃ τῶν ταῖς νεφέλαις προσᾳδο-μένων τῶν τε ἐνύγρων καὶ τῶν πτηνῶν. Διὰ μέντοι τάσδ' οὐχὶ δικαίως. οὐ δικαίως φησὶν ἠξιοῦντο τῆς τιμῆς καὶ τῶν δείπνων, διὰ ταῦτα τὰ εἰς τὰς νεφέλας ὑπ' αὐ-

ὅσοι τῶν φιλοσόφων ῥητορικῶς ἔγραψαν. ἐνταῦθα δὲ σοφιστὰς τοὺς διδασκάλους νόει. ὡς τοὺς ἄλλους σοφίζοντας. Θουριομάντεις. ἀπὸ τοῦ γενικοῦ ἐχώρησεν ἐπὶ τὸ κατ' εἶδος. εἰπὼν γὰρ ὅτι πάντας αἱ νεφέλαι τρέφουσι τοὺς σοφιστὰς, ἐπήγαγε τινὰς καὶ τίνας. θουριομάντεις δὲ, οὐ τοὺς ἀπὸ θουρίου μάντεις. ἀλλὰ τοὺς εἰς θούριον πεμφθέντας. ἐπὶ τὸ κτίσαι αὐτήν. ἐπέμφθησαν δὲ δέκα ἄνδρες. ὧν καὶ λάμπων ἦν ὁ μάντις. ὃν ἐξηγητὴν ἐκάλουν. ἦν δὲ καὶ τῶν πολιτευομένων πολλάκις λόγους δὲ συνεχῶς εἰσαγαγεῖ φαίνεται περὶ τῆς εἰς θουρί-

Θουριομάντεις. ἰατροτέχνας. σφραγιδονυχαργοκομήτας,
κυκλίων τε χορῶν ᾀσματοκάμπτας. ἄνδρας μετεωροφένακας.
οὐδὲν δρῶντας, βόσκουσ' ἀργοὺς ὅτι ταύτας μουσοποιοῦσιν.

ἀποικίας ἁλούσης γὰρ συβάρεως. θούριοι ἐκλήθησαν ἀπὸ κρήνης θουρίας. ὕστερον δὲ ἀπίαι. λέγεται καὶ θουρία καὶ θούριον. ὡς ἐν τῷ ἡροδότου ἐπιγράμματι. ἡρόδοτον λυξέω κρύπτει κόνις ἥδε θανόντα. Ἰάδος ἀρχαίης ἱστορικῆς πρύτανιν, δωριέων πάτρης βλαστόντ' ἄπο. τῶν γὰρ ἄπλητον μῶμον ὑπεκπροφυγὼν, θούριον ἔσχε πάτρην. τὸ ἐθνικὸν ὁμωνύμως θούριοι καὶ θουριακοί. καὶ θουρῖνος οἶνος ὡς στράβων. παυσανίας δὲ ἀθῆναν αὐτὴν καλεῖ. ἄλλως. πολλῶν γενομένων μαντειῶν ἐπὶ τῆς εἰς θουρίαν ἀποικίας τούτους δὲ ἔφη τρέφεσθαι ἐκ τῶν νεφελῶν, ὡς διὰ τῶν οἰωνῶν τῶν ἐν τῷ ἀέρι μαντευομένους, καὶ εἰς τὸν οὐρανὸν καὶ τὰ νέφη ἀποβλέποντας. Ἰατροτέχνας. καὶ ἰατροὶ περὶ ἀέρων καὶ ὕδατος συνέγραψαν. ὕδατα δέ εἰσι καὶ αἱ νεφέλαι. σύνταγμα δέ ἐστιν ἱπποκράτους περὶ ἀέρων τόπων καὶ ὑδάτων. Σφραγιδονυχαργοκομήτας τοὺς κόμην καὶ περὶ τοῖς δακτυλίοις τὰς χεῖρας κοσμουμένους μέχρι τῶν ὀνύχων. ὡς ὑπὸ τῶν δακτυλίων σκέπεσθαι. τῶν ὀνύχων ἐπιμελουμένους καὶ ὁσημέραι ξύοντας αὐτοὺς, ὑπὲρ τοῦ ἐκλάμπειν ἄγαν. ὃ πάσχουσιν οἱ τῷ καλλωπίζεσθαι σχολάζοντες μόνον. Κυκλίων τε. αἰνίττεται εἰς τοὺς περὶ κινησίαν καὶ φιλόξενον. καὶ κλεομένη. καὶ τούτους ἕνεκα τῶν σοφιστῶν βούλεται διθυραμβοποιοὺς χρηματίσαντας. τῶν γὰρ κυκλίων χορῶν εἰσὶν οὗτοι διδάσκαλοι. ᾀσματοκάμπτας δὲ, ὅτι διὰ τὸ ἐν ἁρμονίᾳ ὑποπίπτειν αὐτῶν τὰ συγγράμματα, καμπὰς ἔχουσι πλείονας, ἃς μουσικοὶ καλοῦσι στροφάς. καὶ ἀντιστρόφους, καὶ ἐπῳδούς. διὸ καὶ ἐν τραγῳδίαις τὰ χορικά. ἄλλως. οἱ παλαιοὶ διαφθορὰν μουσικῆς ἡγοῦντο εἶναι τοὺς διθυράμβους. καὶ προελθὼν αὐτῶν μᾶλλον καθάψεται λέγων. εἰ δέ τις αὐτῶν βωμολοχεύσαιτο ἢ κάμψειέ τινα καμπὴν, οἵας οἱ νῦν τὰς κατὰ φρύνιν ταύτας τὰς δυσκολοκάμπτους, ἐπετρίβετο τυπτόμενος πολλὰς ὡς τὰς μούσας ἀφανίζων. καλλίμαχος δὲ πρὸς αὐτοὺς ἀποτεινόμενος οὕτω περὶ αὐτῶν καθάπτεται. νόθοι δ' ἤνθησαν ἀοιδαί. Ἀσματοκάμπτας. οἱ λυρικοὶ ποιηταὶ χοροῖς καὶ αὐλοῖς καὶ λύραις τὰ ποιήματα ᾖδον. καὶ νῦν μὲν οἱ περὶ τῶν χορευταὶ ἐνταυθοῖ τὰς μετακλίσεις καὶ τὰς καμπὰς ἐποιοῦντο. νῦν δὲ ἐνταυθοῖ. ἀκολουθοῦντες τῷ ᾄσματι. λέγει οὖν τοὺς τοιούτους ποιητὰς ᾀσματοκάμπτας. Μετεωροφένακας. τοὺς διὰ τῶν μετεώρων ἀπατῶντας φενακίζειν γάρ ἐστι τὸ ἀπατᾶν. περὶ δὲ τῶν φιλοσόφων λέγει. Μουσοποιοῦσι ποιητικῇ ὑμνοῦσι.

Καὶ περὶ καπνοῦ. ἀντὶ τοῦ περὶ μηδενὸς καὶ κενῶν πραγμάτων. στενὸς γὰρ καὶ ἀμενηνὸς καὶ ἀσθενὴς ὁ καπνός. παρὰ τὸ μικρεσχολεσχεῖν δὲ τὸ στενολεσχεῖν εἴληπται καὶ τὸ μηδὲν καὶ τοῦτο δὲ τὸ λεπτολογεῖν διασυρμοῦ λέγει χάριν. ὡς ἴχνια τῶν φιλοσόφων ζητούντων, ζητήματα. ἢ ποικίλα καὶ λεπτὰ διεξέρχεσθαι ὡς εἰς στενὸν κομιδῇ τοὺς διαλεγομένους καθιστᾶν, μὴ ἔχοντας ὅτι ἀπολογήσονται.

Βλέπε, νυν. καθ' ὑπερβατόν. βλέπε νῦν δευρὶ πρὸς τὴν πάρνηθα ἡσύχως. ὁρῶ γὰρ ἤδη καπούσας αὐτάς. πάρνης ὄρος τῆς ἀττικῆς. τοῦτο καὶ ἀρσενικῶς λέγεται. ὡς τὸ, ἐς κόρακας ἥξω φόρμων τε δεῦρο τὸν πάρνηθα ὅλον. καὶ

καὶ λεπτολογεῖν ἤδη ζητεῖ, καὶ περὶ καπνοῦ στενολεσχεῖν.
καὶ γνώμῃ γνώμην νύξασ' ἑτέρῳ λόγῳ ἀντιλογῆσαι.
ὥστ' εἴπως ἐστὶν ἰδεῖν αὐτὰς ἤδη φανερῶς ἐπιθυμῶ.
σω. βλέπε νυν δευρὶ πρὸς τὴν πάρνηθ' ἤδη γὰρ ὁρῶ καπούσας
ἡσυχῇ αὐτάς. στρ. φέρε ποῦ δεῖξον. σω. χωροῦσ' αὗται πάνυ πολλαὶ
διὰ τῶν κοίλων καὶ τῶν δασέων αὗται πλάγιαι. στρ. τί τὸ χρῆμα, (αἰ.
ὡς οὐ καθορῶ. σω. παρὰ τὴν εἴσοδον. στρ. ἤδη νῦν μόλις ὁρῶ.
σω. νῦν γέ τοι ἤδη καθορᾷς αὐτὰς εἰ μὴ λημᾷς κολοκύνταις.
στρ. νὴ δί' ἔγωγ' ὦ πολυτίμητοι· πάντα γὰρ ἤδη κατέχουσι.
σω. ταύτας μέντοι σὺ θεὰς οὔσας, οὐκ ᾔδεις, οὐδ' ἐνόμιζες.
στρ. μὰ δί' ἀλλ' ὁμίχλην καὶ δρόσον αὐτὰς ἡγούμην καὶ σκιὰν εἶναι.
σω. οὐ γὰρ μὰ δί' οἶσθ' ὅτι πλείστους αὗται βόσκουσι σοφιστάς,

θηλυκῶς ὡς ἐνταῦθα. εἰκότως δὲ εἶπε πρὸς τὴν πάρνηθα κατέρχεσθαι αὐτάς. πᾶσαι γὰρ αἱ τῶν ὀρέων κορυφαὶ διὰ τὸ ὕψος ἀεὶ συννεφεῖς φαίνονται. Χωροῦσ' αὗται. τὸ χωροῦσι καθ' αὑτὸ ἀναγνωστέον. εἶτα ὡς τοῦ πρεσβύτου οὐχ ὁρᾶν λέγοντος προστίθησι πλέον ἐκείνων τὴν προφορὰν τοῦ λόγου, τὸ αὗται πάνυ πολλαί. εἶτα ὡς οὐδὲ οὕτως ὁρῶντος, πρὸς πλείονα γνῶσιν προστίθησι καὶ τὸ πόρον, τὴν δὲ τῶν λεγομένων ἐνάργειαν τῷ τῶν ὑποκρινομένων σχήματι δείκνυσι. δείκνυσι δὲ αὐτῷ ὄρος ἐν τῷ θεάτρῳ τὴν πάρνηθα, ἐξ οὗ κατήρχοντο. Εἰ μὴ λημᾷς. τῶν νεφελῶν πλῆθος οὐσῶν, ἐκεῖνος μὴ δ' οὕτως ὁρῶν, τοῦτο νῦν προσέθηκεν ἵν' ᾖ τὸ νοούμενον οὕτως. νῦν αὐτὰς ὁρᾷς εἰ μὴ λήμας ἔχεις ἐν τοῖς ὀφθαλμοῖς μεγάλας ὡς κολοκύντας. λήμη δέ ἐστι τὸ πεπηγὸς δάκρυον. δέον δὲ εἰπεῖν ἐγλήμαις ὁ δέ, κολοκύνταις εἶπε δεικνύων τὴν ὑπερβολὴν τῆς λημότητος. λείπει δὲ ἡ ἐν ἵν' ᾖ ἐν κολοκύνταις ὡς τὸ νοσεῖν ἐν φρενί. τισὶ δὲ ἀποδοκιμαστέοι δὲ οἱ νοοῦντες ἔξωθεν ὁμοίας. οὐκ ὀρθῶς γὰρ ἐοίκασι λέγειν. ὁ δὲ λουκιανὸς ἐν τῷ πρὸς ἀπαίδευτον καὶ πολλὰ βιβλία ὠνούμενον οὐκ ὤκνησεν εἰπεῖν, χύτραις λημῶντες. Νὴ δί' ἔγωγε. ἔξωθεν ὑπακούεται τὸ ὁρῶ ὡς ἀληθῶς. ἑώρα γὰρ πλῆθος οὐσῶν. Σοφιστὰς. ἐν ἄλλοις τοὺς πεπαιδευμένους. νῦν δὲ τοὺς μετεωρολέσχας λέγει. καὶ πάντας τοὺς ἀπὸ τῶν μαθηματικῶν ὁρμωμένοις. καὶ θαυμαστὸν οὐδὲν ὅπου μηδὲ τοὺς αὐλητὰς οὐδ' ἴσως ἀγρεύειν ὤκνησαν. πλάτων γὰρ ὁ κωμικὸς ἐν δράμασι σοφισταῖς, καὶ τὸν ὀπούντιον αὐλητὴν βακχυλίδην, εἰς τοὔνομα κατέταξε τῶν σοφιστῶν. καταχωρῶν δὲ νῦν πάσης ἐπιστήμης, παρέλαβε τὸ ὄνομα τῶν σοφιστῶν. Σοφισταὶ οἱ ῥήτορες καὶ οἱ ἀπατεῶνες. καὶ οἱ διδάσκαλοι. καὶ

δὲ προθύμως τοῖς κυκλίοις χοροῖς, εὐκελάδων δὲ τῶν εὐμούσων καὶ ἡδέων χορῶν. ὀρεβίσματα δὲ ἢ ψυγάμαλλαι ἢ ὄργανα μουσικά. τοῖς γὰρ διονυσίοις. τοὺς κυκλικοὺς χοροὺς ἵστασαν. καὶ ἠγωνίζοντο οἱ κωμικοὶ καὶ οἱ τραγικοὶ ποιηταί, ἀναγορεύοντες τὰ ὑπ' ἔργον αὐτοῖς πεποιημένα δράματα. Πρὸς τοῦ διός. ἔκθεσις διπλῆς ἀμοιβαίας καθόλου. ἐκ στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν. ρκε΄. ὧν τελευταῖος διὰ τοὺς ἵππους τοὺς κοππατίας καὶ τὸν γάμον, ὃς μετέτριψεν. καλεῖται δὲ τὸ μέτρον ἀριστοφάνειον ὡς εἴρηται. ἐπὶ τῷ τέλει

στρ. πρὸς τοῦ διὸς ἀντιβολῶ σε φράσον τίνες εἰσ' ὦ σώκρατες αὗται
αἱ φθεγξάμεναι τοῦτο τὸ σεμνόν· μῶν ἡρῷναί τινές εἰσιν;
σω. ἥκιστ' ἀλλ' οὐράνιαι νεφέλαι, μεγάλαι θεαὶ ἀνδράσιν ἀργοῖς,
αἵπερ γνώμην καὶ διάλεξιν, καὶ νοῦν ἡμῖν παρέχουσιν·
καὶ τερατείαν καὶ περίλεξιν, καὶ κροῦσιν καὶ κατάληψιν.
στρ. ταῦτ' ἄρ' ἀκούσασ' αὐτῶν τὸ φθέγμ' ἡ ψυχή μου πεπότηται.

διὰ τὴν ἔξω νενευκυῖαν. Τοῦτο τὸ σεμνόν. λεληθότως φασὶν ἑαυτὸν ἐπαινεῖ, σεμνὸν εἶναι λέγων τὸ μέλος. ἔστι γὰρ τοῦτο ἀληθές. ὁ δὲ τὸν ἔπαινον ἐπὶ τὰς νεφέλας τρέπων οὐκ οἴεται φορτικὸς εἶναι. Μῶν ἡρῷναι. ἀττικὴ ἡ σύνταξις τό, ἡρῷναι. ὡς αἱ θεοὶ ἢ θεαί. κατὰ δὲ τὸ ἀρχαῖον καὶ σύνηθες αὐτῷ, ἐνθάδε τρισυλλάβως προήνεγκε τὸ ἡρῷναι. Ἀνδράσιν ἀργοῖς. τοῖς φιλοσόφοις. διασύρει δὲ αὐτοὺς πάλιν. ὠφέλιμοί φησι τοῖς ἀνθρώποις ἀπράκτοις οἱ γὰρ ἀργοὶ κεχήνασιν εἰς τὰς νεφέλας. Αἵπερ γνώμην. αἵπερ σύνεσιν καὶ φρόνησιν ὡς τὰ δέοντα νοεῖν. καὶ διάλεξιν λόγων. ἐμπειρίαν. ὥστε τὰ νοηθέντα φράζειν δύνασθαι. Νοῦν σύνεσιν. Τερατείαν. ψευδολογίαν. Περίλεξιν. περιττολογίαν περίφρασιν. Κροῦσιν, ἀπάτην δοκιμασίαν. παραλογισμόν. κατάληψιν. εὕρεσιν. τὰ αὐτὰ δὲ καὶ διεξοδικώτερον ἑρμηνευτέον ἂν εἴη πάλιν ἐπαναλαβόντας. διάλεξιν τοίνυν λόγων ἐμπειρίαν ὡς ἔφαμεν. ὥστε τὰ νοηθέντα δύνασθαι ἑρμηνεύειν. διαφέρει δὲ διάλεκτος καὶ διάλεξις. διάλεκτος μὲν γάρ ἐστι φωνῆς χαρακτὴρ ἐθνικός. διάλεξις δὲ τῆς συνήθους φωνῆς ἐπὶ τὸ σεμνότερον ἐκτροπὴ καὶ ἐπὶ τὸ ἀγροικότερον. τερατείαν δέ. τερατολογεῖν καὶ ἀπίθανα διηγεῖσθαι. καὶ λέγειν πράγματα ἐπέκεινα τῶν ἀνθρωπίνων. περίλεξιν δὲ περιττῶς καὶ περιέργως περιτείνεσθαι διὰ λόγων καὶ δύνασθαι ἑρμηνεύειν τὸ νοηθέν. ὅπερ ἐστὶν λοιπὸν ἔργον τῆς ἐξηγήσεως τοῦ λόγου. δείκνυσι δὲ ἐξ ὅσων συνέστηκε ῥητορική. δεῖ γὰρ νοεῖν, εἶθ' ἑρμηνεύειν ὅπερ ἐστὶ λοιπὸν ἔργον τῆς ἐξηγήσεως τοῦ λόγου. ἢ τὸν παραλογισμὸν καὶ τὴν ἀπάτην. τὸ συναρπάσαι τὸν ἀκούοντα. ἢ δοκιμασίαν ἐπεὶ τὰ σαθρὰ κρουόμενα δοκιμάζεται, κατάληψιν. τὴν γνῶσιν αἴσθησιν καὶ τὴν τέχνην. οὕτω γὰρ ὁριζόμεθα τὴν τέχνην. οἷον σύστημα ἐκ καταλήψεων ἐγγεγυμνασμένων καὶ τὰ ἑξῆς. κατάληψιν δὲ εἰώθασιν οἱ μουσικοὶ λέγειν, ἐπειδὰν πλήξαντες τοῖς δακτύλοις ἢ τῷ πλήκτρῳ τὰς χορδὰς καταλάβωσι καὶ ἀποτείνωσι τὸν φθόγγον. Πεπότηται, ἀνέπτη καὶ ἀνεκουφίσθη. καὶ μετέωρα φρονεῖ ἤδη.

Ο ὗ σέβας. ὅπου σεβάσματά ἐστι καὶ ἄρρητα μυστήρια. ὅτι δὲ λίαν ἐσπούδαζον περὶ τὰ μυστήρια, δῆλον ἐκ τοῦ ψηφίσματος μεταγέων. ἄλλως. εἰκότως πρὸ πάντων σεμνολογοῦσι τὰ ἐλευσίνια. κοινωνίαν γὰρ ἔχουσι πρὸς τὰς θεὰς ὅσον ἐκ τῆς τοῦ ἔτους φορᾶς καὶ τῆς τῶν καρπῶν αὐξήσεως. αὗται δὲ τὸν ἴακχον ἐχόρευσαν ταῖς θεαῖς νεφέλαις μυστικαῖς ὡς ἡρόδοτος. φησὶ γὰρ ἐν τῇ περὶ σαλαμῖνα ναυμαχίᾳ, πολὺ λειπομένου τοῦ ἑλληνικοῦ πλήθους τῶν νεῶν τῶν περσικῶν, συμμαχῆσαι ἀθηναίοις τὰς θεάς. μέγιστον τῆς συμμαχίας ἐπιδειξαμένας καὶ ἐναργέστατον

Οὗ σέβας ἀρρήτων ἱερῶν ἵνα. μυστοδόκος δόμος.
ἐν τελεταῖς ἁγίαις ἀναδείκνυται. οὐρανίοις τε θεοῖς δωρήματα.
ναοί θ' ὑψερεφεῖς. καὶ ἀγάλματα. καὶ πρόσοδοι μακάρων ἱερώταται
εὐστέφανοί τε θεῶν θυσίαι, θαλίαι τε,
παντοδαπαῖσιν ἐν ὥραις. ἦρί τ' ἐπερχομένῳ, βρομία χάρις.
εὐκελάδων τε χορῶν ἐρεθίσματα. καὶ μοῦσα βαρύβρομος αὐλῶν.

τεκμήριον. μελλόντων γὰρ τῶν ἑλλήνων καὶ τῶν βαρβάρων εἰς χεῖρας ἥξειν, πρῶτον μὲν πλεῖστον ὅσον κονιορτὸν αἰρόμενον ἀπὸ ἐλευσῖνος ἐπὶ τὴν συμβολὴν, παντὶ τῷ στρατῷ δῆλον γενέσθαι. εἶτα τοῦτον εἰς οὐρανὸν ἀνιέντα καὶ νέφος γινόμενον, διὰ μέσου τοῦ στρατοπέδου χωροῦντα, τὸν ἴακχον βοᾶν. μυστικὸς δὲ ὁ λόγος ὁ περὶ τὰ ἀπόρρητα μυστήρια. λίαν γὰρ αὐτοῖς τὸ μὴ ἐξαγγέλλεσθαι ταῦτα ἐσπουδάζετο. Μυστοδόκος δόμος. τὴν ἐλευσῖνα λέγει μυστικὸς καὶ ἱερός. τοὺς μύστας ἀποδεχόμενος. ἔνθα τὰ δήμητρος καὶ κόρης ἐπιτελεῖται μυστήρια.

Ε ν τελεταῖς ἁγίαις. ἐν τελεσιουργίαις ὁσιωτάταις, τουτέστι μυστηρίοις. εἰκότως δὲ τὰς νεφέλας παρήγαγε. πρῶτον σεμνολογούσας περὶ τῶν μυστηρίων. ἐπεὶ ἔχουσί τινα πρός τι τὰς θεὰς αὐτὰς καὶ τοὺς διὰ ταύτας καρποὺς τελειουμένους οἰκειότητα. εἰ γὰρ τῶν νεφελῶν τὸ ὕειν, ἀδύνατον δὲ καρποὺς ἄνευ ὄμβρων γεωργεῖν, πῶς οὐκ οἰκεῖος ὁ περὶ τῶν θεῶν ταῖς νεφέλαις λόγος. Οὐρανίοις τε θεοῖς πρὸς ἀντιδιαστολὴν τῶν καταχθονίων, ὧν ἡ δημήτηρ καὶ κόρη. τὸ οὐρανίοις δὲ θεοῖς ἐπήγαγεν ὑποβαλλόντως εὐσεβῆ βουλόμενος ἀποδεῖξαι τὴν πόλιν. αἱ μὲν γὰρ ἄλλαι πόλεις ἑνὶ χαίρουσι θεῷ. αἱ δὲ ἀθῆναι πάντας ἀδιαφόρως τοὺς θεοὺς τιμῶσι. Καὶ πρόσοδοι. θρησκεῖαι περὶ τοὺς βωμοὺς πρόσοδοι τοῖς θεοῖς καὶ προσελεύσεις. Εὐστέφανοί τε. παρὰ τὸ ὁμηρικόν. ἐπεί τοι χαρίεντ' ἐπὶ νηὸν ἔρεψα. αὗται γάρ εἰσιν αἱ εὐστέφανοι θυσίαι κοσμεῖν μὲν καὶ στεφανοῦν τοὺς ναούς. πληροῦν δὲ τοὺς βωμοὺς ἱερῶν καὶ θυμιαμάτων. ἢ ἔτι στεφανηφοροῦντες τὰς θυσίας ἐτέλουν. Θαλίαι. εὐδαιμονίαι. εὐθηνίαι. ἀκμαί. εὐφροσύναι. πανηγύρεις.

Π αντοδαπαῖς ἐν ὥραις. διηνεκῶς. παντὶ καιρῷ, διὰ τὸ ἔθος εἶναι πάντας θεοὺς καὶ πανηγυρίζειν ἀεὶ, θύουσι διαπαντὸς καὶ διηνεκῶς. Ηρί τ' ἐπερχομένῳ. τὴν παροῦσαν ἑορτὴν λέγει. τουτέστι τὰ διονύσια. ἀρχομένου γὰρ τοῦ ἦρος, ἄρχεται καὶ ἡ πανήγυρις. βρομία δὲ χάρις οἱ διονυσιακοὶ ἀγῶνες, ἐν οἷς αἱ ἅμιλλαι τῶν χορῶν.

Ε ὐκελάδων τε χορῶν. προσηύλουν γὰρ τοῖς τραγικοῖς καὶ τοῖς κωμικοῖς. ἐπηύλουν

44.a

Οἱ τρυγοδαίμονες. οἱ ποιηταί. ἐπειδὴ τὴν τρύγα χριόμενοι ἵνα μὴ γνώριμοι γένωνται, οὕτω τὰ αὐτῶν ᾖδον ποιήματα κατὰ τὰς ὁδοὺς ἁμάξης ἐπικαθήμενοι. διὸ καὶ παροιμία ὡς ἐξ ἁμάξης λαλεῖ. ἢ γυμνῇ ἀναισχύντως ὑβρίζει. τοῦτο δὲ ἐποίουν οἱ κωμικοὶ ποιηταί. ἄλλως. οἱ κωμικοὶ παρὰ τὸ κακοδαίμονες. ἐπεὶ πολλοὶ τῇ αἰσχροποιίᾳ ἐχρῶντο. Κακοδαίμονας δέ, παρόσον ἀφέμενοι τῶν θείων, περὶ τὸ σκώπτειν τρέπονται. Σμῆνος ἀοιδαῖς. κυρίως μὲν τὸ σύστημα τῶν μελισσῶν. ὅμηρος δὲ κέχρηται τῇ τροπῇ ἐπὶ εὐγλωττίας ἐπαινῶν τὸν νέστορα· τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή. ὅπερ ἐστὶν ἑσμός, τουτέστι σμῆνος τῶν ἀριστοφάνους ᾠδῶν.

Σω. οὐ μὴ σκώψῃς· μηδὲ ποιήσῃς, ἅπερ οἱ τρυγοδαίμονες οὗτοι.
ἀλλ' εὐφήμει. μέγα γάρ τι θεῶν κινεῖται σμῆνος ἀοιδαῖς.

Ἀντῳδὴ ἀντιστροφῆς κώλων. ιϛ'.

Χο. παρθένοι ὀμβροφόροι ἔλθωμεν λιπαρὰν
χθόνα παλλάδος. εὔανδρον γᾶν κέκροπος ὀψόμεναι πολυήρατον.

Παρθένοι ὀμβροφόροι. ἡ ἀντῳδὴ αὕτη τοῦ χοροῦ. κώλων ἐστὶν ὁμοίων τῇ ᾠδῇ δεκαέξ. ὧν ὁ τελευταῖος, καὶ μοῦσα βαρύβρομος αὐλῶν. ἐπὶ τῷ τέλει δύο διπλαῖ. ἡ μὲν κατ' ἀρχὰς τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος. καὶ ἀμφότεραι, ἔξω νενευκυῖαι, δηλοῦσαι ὅτι τέλος ἔχει τὰ ἀποδιδόμενα. τινὲς δὲ εἰς τὸ, παρθένοι στίζουσι, τὸ παλίμβολον τῶν νεφελῶν παριστάντες. ἄμεινον δὲ εἰς τὸ ὀμβροφόροι στίζειν. ἄλλως. τοῦτο οὐχ ὑφ' ἓν ἀναγνωστέον. οὐδ' ὡς ἐπίθετον τῶν νεφελῶν, τὸ ὀμβροφόροι νῦν ἐκληπτέον. ἀλλ' ὡς αὐτὸ καθ' αὑτὸ πρᾶγμα δηλοῦν. ἢ καὶ ἄμεινον μὲν ἂν εἴη ὑποστίζειν εἰς τὸ παρθένοι. συζευγνῦναι δὲ τὸ, ὀμβροφόροι τῷ ἐπιφερομένῳ. ἵν' ᾖ νοούμενον ἔλθωμεν ἐπὶ τὴν ἀθηναίων γῆν ὄμβρου γέμουσαι. καὶ γὰρ ἐν ἀμφοτέροις ἡ ἔννοια σώζεσθαι δύναται. ἀλλ' εὐφημότερόν ἐστιν ὥσπερ προειρήκαμεν. αἱ νεφέλαι παρακελευόμεναί φασιν. ὅλαι ὀμβρίας πληρωθεῖσαι, τῇ τῶν ἀθηναίων ἐπιστῶμεν πόλει. ἡ δὲ τοιαύτη διαστολή, ὑπεναντία τοῖς ἄνω γενήσεται προειρημένοις ὑπὸ τοῦ ποιητοῦ. ὡς χρὴ τὰς νεφέλας τὸ λοιπὸν εὐδίους εἶναι. δι' ὧν ἔφη. ἀλλ' ἀποσεισάμεναι νέφος ὄμβριον. ἐκεῖνο δὲ πρὸς τοῦτο ἀντιθετέον. ὅτι τὸ συμβαῖνον περὶ τὰς νεφέλας αἰνιττόμενος ὁ ποιητής, παλίμβολόν τινα καὶ παλίντροφον ἐποίησε τὴν γνώμην αὐτῶν. ἐπεὶ καὶ ἐκ τοῦ χειμῶνος εἰς εὐδίαν χωρεῖν καὶ πάλιν ἐξ εὐδίας, χειμάζειν πεφύκασι. Λιπαρὰν χθόνα. λιπαρὰς ἀθήνας οὐκ ἀπεικότως καλοῦσι. μάλιστα μὲν καὶ διὰ τὸ δόξαι πλουτεῖν τὴν πόλιν. ἔπειτα δέ τοι καὶ διὰ τὴν τῶν ἡμέρων τροφῶν εὕρεσιν. παρ' οἷς ἔτι καὶ νῦν, τὸ λιπαρὸν τῆς ἐλαίας φυτὸν δείκνυται. ἄλλως. λιπαρὰν εὐθαλῆ. τὴν πᾶσι κομῶσαν. πίνδαρος. λιπαραὶ καὶ ἀοίδιμοι ἑλλάδος ἔρεισμα κλειναὶ ἀθῆναι. εὔανδρον δὲ τὴν ὑπὸ ἀρίστων ἀνδρῶν παροικουμένην. πολυήρατον δὲ πᾶσιν ἐράσμιον.

Σ ελαγεῖται ἀντὶ τοῦ καταλάμπεται. ἔοικε δὲ λέγειν τὸν ἥλιον. ἐπεὶ γὰρ οἱ τραγι-
κοὶ εἰώθασιν ὀφθαλμὸν ὀνομάζειν αὐτόν. τοιαύτη δόξα ἐστὶ παρὰ τοῖς φιλοσόφοις
ὄμμα αἰθέρος καλεῖν τὸν ἥλιον. Ἀθανάταις ἰδέαις ἐπεὶ καὶ γυναικοειδεῖς
εἰσιέναι μέλλουσι τοῦτο λέγουσιν. ἐμπαρασκευαζόμεναι τὴν εἴσοδον. ὡς ὅμοιαι
μὲν τοῖς ἄλλοις θεοῖς οὖσαι. περικείμεναι δὲ νέφος τινὰ φύσιν. ἄλλως. ἀθανάτοις
ἰδέας κεῖται καὶ ἔστιν ἑνικόν. ἐν γενικῇ πτώσει. μέλλει δὲ τὰς νεφέλας γυναικομόρ-
φους εἰσά-
γειν ἐσθῆ-
τι ποικίλῃ
χρωμένας
ἵνα τὰ τῶν σω-
οὐρανίων
φυλάττωστε
σχήμα-
τα. τὸ δ'
ἐπιδώμε-

ὄμμα γὰρ αἰθέρος ἀ- Κάματον σελαγεῖται.
μαρμαρέαισιν ἐν αὐγαῖς. ἀλλ' ἀποσεισάμεναι νέφος ὄμβριον
ἀθανάταις ἰδέαις ἐπιδώμεθα. τηλεσκόπῳ ὄμματι γαῖαν.
ὦ μέγα σεμναὶ νεφέλαι. φανερῶς ἠκούσατέ μου καλέσαντος.
ᾔσθου φωνῆς ἅμα καὶ βροντῆς μυκησαμένης, θεοσέπτου;
καὶ σέβομαί γ' ὦ πολυτίμητοι. καὶ βούλομαι ἀνταποπαρδεῖν.
πρὸς τὰς βροντάς. οὕτως αὐτὰς τετρεμαίνω καὶ πεφόβημαι.
κεἰ θέμις ἐστὶ νυνί γ' ἤδη, κεἰ μὴ θέμις ἐστί, χεσείω.

θα, ἀντὶ τοῦ ἐπιφανῶμεν. ἐπισκεψώμεθα ἵνα γυναῖκας εἰσαγάγῃ τὰς τοῦ χοροῦ.
ἐπιδῶμεν καὶ σκεψώμεθα. Ω μέγα σεμναί. τὸ μερικὸν τοῦτο ἀμοιβαῖον
σύστημα ἐκ στίχων ἐστὶν ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν ζ. ὡς ἐρρέ-
θη. λέγεται δὲ τοῦτο σύστημα κατὰ περικοπὴν ἀνομοιομερές, ὡς Ἡφαιστίων φησίν.
ἐπὶ δὲ τέλει παράγραφος. Ηισθου φωνῆς. ἐν ταῖς κωμῳδίαις τινὲς τὰ καλού-
μενα ἠχεῖα ὧν ὁ κτύπος σχηματίζεται εἰς βροντῆς ἀπήχησιν. ἔστι δὲ καὶ ἐν τῇ
σκηνῇ μηχάνημά τι ὃ καλεῖται βροντεῖον, ἀμφορεὺς μεστὸς ψηφίδων ἐμβαλ-
λομένων εἰς χαλκοῦν λέβητα. Καὶ σέβομαί γ' ὦ πολυτίμητοι. ἀντὶ τοῦ προσ-
κυνῶ. ἢ καταπέπληγμαι. δεῖ δὲ καὶ τοῖς τούτου σχήμασιν ἐνδείκνυσθαι τὸ δεδιττό-
μενον. καὶ ἐπὶ τῇ παρουσίᾳ τῶν νεφελῶν ἐκπεπληγμένον. σέβεται δὲ ὡς σεβα-
σμίας ὑπὸ θεῶν καὶ τιμωμένας. καὶ προσκυνῶν ἦν, ὅθεν ταῦτα λέγει.

Α νταποπαρδεῖν. ἀντὶ τοῦ κτυπῆσαι καὶ ἀντηχῆσαι. περὶ δὲ τὴν βροντὴν ἔπαιζεν,
ὁμοιῶν αὐτῇ τῆς πορδῆς τὸν ἦχον. Πρὸς τὰς βροντάς. μηχανή ἐστιν, ὃ καλεῖ-
ται βροντεῖον ὑπὸ τὴν σκηνήν. ὃ ἦν ἀμφορεύς, ἔχων ψηφίδας θαλασσίας. ἦν δὲ λέ-
βης χαλκοῦς. εἰς ὃν αἱ ψῆφοι κατήρχοντο. καὶ κυλιόμεναι, ἦχον ἀπετέλουν.

Τ ετρεμαίνω. τρέμω παραγώγως. ἐπὶ τὸ δὲ ἐς δὲ ἐξέτεινε τὴν λέξιν τερατευόμε-
νος. Κεἰ θέμις ἐστί. καὶ εἰ εὐσεβές ἐστι καὶ ὅσιον καὶ εἰ μὴ εὐσεβὲς ὡς ὑπὸ τοῦ
φόβου προειλημμένος καὶ μὴ δυνάμενος ἑαυτὸν ἀνέχειν ἔτι. ὁ γὰρ ἐπιστάμενος
ὅτι μὴ δέοντα ποιεῖ, εἶτα τοῦτο οὐδὲν ἧττον ποιῶν, ὑπὸ μείζονος ἀνάγκης ἐξαγό-
μενος, εἰς τὸ παρανομεῖν δείκνυσιν ἑαυτόν. Οὐ μὴ σκώψῃς τοῦτο ὁμοῦ μὲν
ὁ Σωκράτης καὶ ὡς περιφρονῶν τὰ ἀνθρώπινα ἐπιστῶς λέγει, καὶ τοὺς τῆς κωμῳ-
δίας ποιητάς, ἡγούμενος ἀθλίους. ὁμοῦ δὲ καὶ Ἀριστοφάνης αὐτὸς μὲν οὔ. τῶν δὲ ἄλ-
λων κωμῳδογράφων ἀπεχνούντων. ὡς καταλιπόντων μὲν τὴν τρίκσιν, τοῦ δὲ σκώ-
πτειν ἐχομένων.

Α ἐναοι νεφέλαι. ἡ ἐπείσοδος αὕτη στροφὴ καὶ ᾠδὴ τοῦ χοροῦ κώλων ἐστὶ ιϛ΄. ὧν, τὰ πρῶτα δύο, δακτυλικὰ πενθημιμερῆ· ἅ, καλεῖται ἀρχιλόχεια ὡς ἡφαιστίων φησί, διὰ τὸ τὸν ἀρχίλοχον τούτοις χρήσασθαι ἐν ἐπῳδῷ. ὡς τὸ ἐν δὲ βατουσιάδης. ἔχει δὲ τὸ πενθημιμερὲς ὡς εἴρηται πόδας δύο καὶ συλλαβήν. τὸ γ΄. ἀναπαιστικὸν ἐφθημιμερὲς ὃ καλεῖται ὡς εἴρηται, παροιμιακόν. ἔχει δὲ πόδας γ΄ καὶ συλλαβὴν ὡς εἴρηται. τὸ δ΄ δακτυλικὸν τετράμετρον ἀκατάληκτον. ὃ καλεῖται

Χο. ἀέναοι νεφέλαι. ἀρθῶμεν φανεραί.
δροσεραὶ φύσιν εὐάγητον. πατρὸς ἀπ' ὠκεανοῦ βαρυαχέος
ὑψηλῶν ὀρέων κορυφάς, ἔπι δενδροκόμους ἵνα
τηλεφανεῖς σκοπιὰς ἀφορώμεθα.
καρπούς τ' ἀρδομένην θ' ἱερὰν χθόνα.
καὶ ποταμῶν ζαθέων κελαδήματα.
καὶ πόντον κελάδοντα βαρύβρομον.

καὶ αὐτὸ ἀρχιλόχειον. καὶ τούτῳ γὰρ οὕτως ἐν ἐπῳδοῖς ἐχρήσατο ὡς ἡφαιστίων φησί. τετράμετρον δὲ εἴρηται, διότι κατὰ μονοποδίαν μετρεῖται τὰ δακτυλικά. τὸ ε΄. ὅμοιον. τὸ ἕκτον δίμετρον ἀκατάληκτον. τὸ ζ΄. ὅμοιον τῷ τετάρτῳ. τὸ η΄. τὸ θ΄. καὶ τὸ ι΄. ὅμοια. τὸ ια΄, ὅμοιον τῷ πρώτῳ. τὸ ιβ΄, ἀναπαιστικὸν πενθημιμερές. τὸ ιγ΄, δακτυλικὸν τρίμετρον κατὰ μονοποδίαν. τὸ ιδ΄, ὅμοιον τῷ δ΄. τὸ ιε΄, ὅμοιον τῷ ιϛ΄. τηλεσκόπῳ ὄμματι γαῖαν. ἀναπαιστικὸν ἐφθημιμερές. ὃ καλεῖται ὡς εἴρηται παροιμιακόν. ἔστι γὰρ κοινὴ συλλαβὴ τὸ πῳ, διὰ τὸ ἔχειν ἔμπροσθεν φωνῆεν. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλῆ ἔσω νενευκυῖα δηλοῦσα ἔχειν ἀνταπόδοσιν. ἄλλως. ἀέναοι νεφέλαι μετὰ τὴν τοῦ σωκράτους εὐχὴν αἱ νεφέλαι παρακελεύονται δῆθεν ἑαυταῖς πεισθῆναι τῇ ἐπικλήσει καὶ συναθροισθῆναι καὶ οὕτως ἐπιφανῆναι τῷ σωκράτει. ἐκ τούτων δὲ ὁ χορὸς συνέστηκεν αὐτῷ. διό περ καὶ τὴν ἐπιγραφὴν ταύτην ἔχει τὸ δρᾶμα νεφέλαι. ἅτε ἐξ ἀέρος καὶ πνεύματος οὐσία παχυνομένη σωματοειδής. ἀέναοι δέ, αἱ διαπαντὸς νάουσαι. ὡς ἀέναος, ποταμός, ὁ ἀδιαλείπτως ῥέων. τοῦ δὲ χοροῦ τὰς ἑκατέρωθεν λέγουσι παρόδους, οὔσας ιϛ΄ κώλων. τῶν δὲ ὑποκριτῶν μέσων ὄντων ἐκ στίχων, ζ΄ ἀναπαίστων τετραμέτρων καταληκτικῶν. καλῶς δὲ εἶπεν ἀέναοι. εἰσὶ γὰρ ὑδάτων μητέρες. ἀρθῶμεν δέ, ἀναπηδήσωμεν. φύσιν εὐάγητον πανταχοῦ φερομένου. ἢ λαμπραί. ὠκεανοῦ βαρυαχέος. ἀκολούθως τοῖς ὑπὸ τοῦ σωκράτους εἰρημένοις. εἴτ' ὠκεανοῦ πατρὸς ἐν κήποις ἀλλ' ὁ μὲν διὰ τὸ ἄδηλον, ἐκ διαφόρων αὐτὰς τόπων καὶ πηγῶν καλεῖ. ἵν' οὕτως τῆς ἀληθείας τυχεῖν δυνηθῇ. αἱ δέ, ἅτε τῆς ἑαυτῶν γενέσεως γινώσκουσαι τὸ ἀκριβές, εὐθὺς διώρισαν καὶ πόθεν αὐτὰς ἀρθῆναι δεήσει. ἄλλως βαρυαχέος, τοῦ μέγα ἠχοῦντος. οἱ γὰρ βαρεῖς ποταμοὶ ῥέοντες, μέγαν ἦχον ἀπεργάζονται. ἵνα τηλεφανεῖς. ὅθεν ἀφ' ὧν ἔστιν ἰδεῖν τὰ πόρρω. τοῖς γὰρ εἰς ὕψος οὖσι, καὶ τὰ μακρὰ καταφανῆ. τὸ δὲ ἵνα, ἀντὶ τοῦ ὅπου ἢ τὸ ἵνα ἀφορώμεθά ἐστιν, ἀντὶ τοῦ ὅθεν. κέχρηται δὲ ἐπιρρήματι τῷ ἐν τόπῳ ἀντὶ τοῦ ἐκ τίνος.

Βροντησικέραυνοι. ἀλλήλων γὰρ προσερχομένων τῶν νεφελῶν πῦρ ἐξάπτεται ἐκ τῆς πυκνῆς ἐκτρίψεως. ἰδίως δὲ καὶ ἐνταῦθα, τῷ συνθέτῳ τούτῳ κέχρηται. δοκοῦσι γάρ πως αἱ νεφέλαι προδεικνύναι καὶ προσημαίνειν ἡμῖν, τούς τε ὄμβρους καὶ τὰς χαλάζας τοῦ οὐρανοῦ, ὅτε βροντᾷ ἢ ἀστράπτει ἢ ὅτε σκηπτοὺς ἐπιπέμπει. ἐκ τῶν νεφελῶν. φησὶ τὴν ἀστραπὴν καὶ βροντὴν συγκρουομένας ἀποπέμπειν.

Ἄρθητε. φυσικώτερον ἐχρήσατο τούτῳ τῷ λόγῳ. ἄρθητε εἰπών. οἱονεί, ἐπάρθητε. φασὶ γὰρ τὰς νεφέλας εἰς ὕψος αἴρεσθαι κατ᾽ ὀλίγον ἀπὸ τῆς γῆς. ἢ τῆς θαλάσσης.

ἄρθητε, φάνητ᾽ ὦ δέσποιναι τῷ φροντιστῇ μετέωροι.
στρ μήπω, μήπω γε, πρὶν ἂν τουτὶ πτύξωμαι μὴ καταβρεχθῶ.
τὸ δὲ μὴ κυνῆν οἴκοθεν ἐλθεῖν ἐμὲ τὸν κακοδαίμον᾽ ἔχοντα,
σω ἔλθετε δῆτ᾽ ὦ πολυτίμητοι νεφέλαι τῷδ᾽ εἰς ἐπίδειξιν.
εἴτ᾽ ἐπ᾽ ὀλύμπου κορυφαῖς, ἱεραῖς χιονοβλήτοισι κάθησθε,
εἴτ᾽ ὠκεανοῦ πατρὸς ἐν κήποις ἱερὸν χορὸν ἵστατε νύμφαις.
εἴτ᾽ ἄρα νείλου προχοαῖς, ὑδάτων χρυσέοις ἀρύεσθε πρόχουσιν.
ἢ μαιῶτιν λίμνην ἔχετ᾽ ἢ σκόπελον νιφόεντα μίμαντος.
ἐπακούσατε δεξάμεναι θυσίαν. καὶ τοῖς ἱεροῖσι χαρεῖσαι.

Τῷ φροντιστῇ. δύναται καὶ ἐπὶ τοῦ σωκράτους καὶ ἐπὶ τοῦ πρεσβύτου νοεῖσθαι. ἐπὶ μὲν τοῦ σωκράτους ἵνα ᾖ παρακαλῶν αὐτῷ φανῆναι τὰς νεφέλας. ἐπὶ δὲ τοῦ γέροντος, ὡς ἤδη συγκαταριθμοῦντος αὐτὸν τοῦ σωκράτους τῷ τῶν φιλοσόφων συλλόγῳ. Μήπω γε μήπω γε. ἐπαναδίπλωσις καλεῖται τὸ τοιοῦτον σχῆμα. τὸ δὶς τοῖς αὐτοῖς ὀνόμασι χρῆσθαι ἐμφανῶς. ἔστι δὲ παρεπιγραφή. διπλασιάσας γὰρ τὸ ἱμάτιον περιβαλέσθαι φησὶν αὐτὸ θέλειν ὑπὸ τοῦ σκέπεσθαι καὶ ἧττον αὐτοῦ καθικέσθαι τὸν ὑετὸν τοῦ σώματος. ἡ γὰρ ἀρχὴ τῶν διονυσίων, χειμῶνος ἄγεται.

Τὸ δὲ μὴ κυνῆν. περικεφαλαίαν. ἀγροίκων φόρημα. οὕτω δὲ ἐκλήθη, ἐπειδὴ πρῶτον, ἀπὸ κυνείων δερμάτων ἦν. Ἔχοντα, οὐ μωρὸν δηλονότι, οὐκ ἀνόητον, ἐλλειπὲς γὰρ εἴρηται. Χιονοβλήτοισι κάθησθε. αἰτία παρατάττεται, ὁμήρῳ λέγοντι, οὔλυμπον δ᾽ ὅθι φασὶ θεῶν ἕδος ἔμμεναι. χιονόβλητα γὰρ τὰ ὑψηλὰ τῶν ὀρῶν. τηρεῖσθαί τε καὶ διατηρεῖν τὴν χιόνα πέφυκεν. εἰώθασι δὲ καὶ τὰ νέφη τούτοις ἐπικαθῆσθαι. Εἴτ᾽ ὠκεανοῦ πατρός. καὶ τοῦτο φυσικόν φησιν ἀπὸ τοῦ ὠκεανοῦ πάντα τὸν ἀέρα τὴν νοτίαν τὴν ἰκμάδα καὶ τὸν ὑετὸν τούτοις ἐπιχορηγεῖν. Νύμφαις λείπει ἡ σύν. ἤγουν, σὺν ταῖς νύμφαις.

Προχοαῖς λείπει ἡ ἐπί. ἤγουν ἐπὶ ταῖς προχοαῖς τοῦ νείλου. πρόχουσιν δὲ ἀγγείοις.

Μαιῶτιν λίμνην. περὶ ταύτης ἡρόδοτος μαρτυρεῖ, λίμνην εἶναι σκυθίας. ἀπὸ τῶν ποταμῶν δὲ ἀρύονται ὕδωρ, εἰς χρῆσιν διὰ δὲ τὸ ἄδηλον, ἐκ διαφόρων τόπων καλεῖ αὐτὰς ἵνα ἐπισταθῇ. Νιφόεντα μίμαντος. τὸν ἀεὶ νιφόμενον. ὄρος θρᾴκης, ὁ μίμας. καὶ ὅμηρος. παρ᾽ ἠνεμόεντα μίμαντα. Χαρεῖσαι. ἡσθεῖσαι. γράφεται δὲ φανεῖσαι.

τρίμμα μὲν τὴν ἀπὸ τούτων ἐκτρίβουσαι λατύπην. καλοῦμεν δὲ καὶ τῶν ἀνθρώπων τοὺς κατεντρεχεῖς καὶ μὴ ἁπλοῦς, τρίμματα καὶ πολυτρίμματα καὶ πολυκρότους. καὶ κρόταλα. ὅθεν καὶ τὸν πρῶτον στίχον ὀδυσσείας, οὕτως ἀξιοῦσι γράφειν τινές. ἄνδρα μοι ἔννεπε μοῦσα πολύκροτον. Κρόταλον. κυρίως ὁ σχιζόμενος κάλαμος. ὁ κατασκευαζόμενος ἐπίτηδες ὥστε ἠχεῖν εἴ τις αὐτὸν δονοίη ταῖς χερσί, καθάπερ κρότον ἀποτελῶν. τρανὸς οὖν ἔσῃ φησί. καὶ τὴν φωνὴν διηρθρωμένος, καθάπερ κρόταλον.

σω. λέγειν γενήσει, τρίμμα. κρόταλον. παιπάλη.
ἀλλ' ἔχ' ἀτρέμας. στρ. μὰ τὸν δί' οὐ ψεύσει γέ με.
καταπαττόμενος γὰρ παιπάλη γενήσομαι.

Σύστημα κατὰ περικοπὴν στίχων, ιβ'.

σω. Εὐφημεῖν χρὴ τὸν πρεσβύτην καὶ τῆς εὐχῆς ὑπακούειν.
ὦ δέσποτ' ἄναξ ἀμέτρητ' ἀήρ, ὃς ἔχεις τὴν γῆν μετέωρον.
λαμπρός τ' αἰθήρ. σεμναί τε θεαὶ νεφέλαι βροντησικέραυνοι.

χ' ἀτρέμας μένε ἐφ' ἡσυχίας. βαλλόμενος γὰρ ὁ πρεσβύτης τῇ παιπάλῃ ἀποσείεται. διὸ, παρακελεύει αὐτῷ μένειν. παιπάλη δὲ κυρίως τὸ λεπτομερὲς τοῦ ἀλεύρου. Οὐ ψεύσει γέ με. τουτέστιν ἀπατήσεις. ὅτι μηδὲν ὧν ἐπαγγέλλεται σωκράτης ψεύδεται. τιμηθεὶς γάρ φησι τούτων, λέγω δὴ τῶν τριμμάτων τῶν λίθων καὶ τῆς λατύπης ἣν ἔφαμεν παιπάλην καλεῖσθαι, γενήσομαι παιπάλη. ἄλλως. τῇ χιόνι πατούμενος, ἐὰν ἔλθωσιν αἱ νεφέλαι. λέγεται δὲ παιπάλη, τὸ λεπτότατον τοῦ ἀλεύρου. ἀφ' οὗ παλύνειν τὸ λευκαίνειν. ὡς τὸ πολλὰς δὲ χιὼν ἐπάλυνεν ἀρούρας. ἐπεὶ οὖν ἐκεῖνος εἶπε, γενήσῃ τρίμμα κρόταλον παιπάλη, αὐτὸς ἔπαιξε παρὰ τὴν παιπάλην τουτέστι τὸ ἄλευρον εἰπὼν καταπαττόμενος. Εὐφημεῖν χρή. ἡ συστηματικὴ αὕτη ἀμοιβαία τοῦ ὕμνου εἴσθεσίς ἐστιν, ἐκ στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν ιβ'. ὧν τελευταῖος, ἐπακούσατε δεξάμεναι θυσίαν. καὶ τοῖς ἱεροῖσι χαρεῖσαι. καλεῖται δὲ τὸ μέτρον τοῦτο ἀριστοφάνειον ὡς εἴπομεν. τὰ τοιαῦτα δὲ εἴδη καλεῖται ἑτερόστροφα. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἄλλως. εὐφημεῖν χρή. ταῦτα πρὸς τὸν στρεψιάδην. παρακελεύεται γὰρ αὐτὸν σιωπᾶν καὶ εὐφημεῖν, ἵνα εὔξηται. καὶ μηδὲν βλάσφημον εἰπεῖν. Ἀμέτρητ' ἀήρ. ἀκατάληπτε καὶ ἀναρίθμητε. τὸν δὲ ἀέρα προσεύχεται. ἐπεὶ αἱ νεφέλαι τούτου μερικοῖς φιλοσόφων λόγοις, ἀέρα βούλεται εἶναι τὸ πᾶν οἱ καὶ τὴν ἐν ἡμῖν ψυχὴν ἀέρα καὶ πνεῦμα ἐδογμάτισαν. Ὃς ἔχεις. ὃς παρείληφας τὴν γῆν καὶ βαστάζεις. δόξα γάρ τις ἐθρυλλεῖτο τῶν φυσικῶν, ὅτι πλατεῖα οὖσα ἡ γῆ, ὀχεῖται ἐν τῷ ἀέρι. Λαμπρός τ' αἰθήρ. ἰδίως τὸ τοῦ ἡλίου φῶς αἰθὴρ καλεῖται. ἀπὸ τοῦ αἴθειν ὅ ἐστι πυροῦν. θερμὸς γὰρ ὁ ἥλιος καὶ διάπυρος. διὸ καὶ εὐκαίρως ὁ ποιητὴς τῷ ἐπιθετικῷ ἐχρήσατο. αἰθέρα λαμπρὸν εἰπών. Σεμναί τε θεαί. οὐχ οὕτω λέγει τὰς νεφέλας σεμνὰς ὡς τὰς ἐριννύας. ἃς ἐντρεπόμενοι πάντως αἰ, ὀνομάσι λέγειν εὐμενίδας αὐτὰς καὶ σεμνὰς θεὰς προσηγόρευσαν. τὸ γὰρ σιωπηλὸν, σεμνὸν νενόμισται.

Ὥσπερ με τὸν ἀθάμανθ'. ἀθάμας ἐκ νεφέλης, δύο παῖδας ἔσχεν φρύξον καὶ ἕλλην. ἀφεὶς οὖν τὴν νεφέλην θεὰν οὖσαν, θνητῇ γυναικὶ ἐμίγη. ζηλοτυπήσασα οὖν ἡ νεφέλη, ἀπέπτη εἰς οὐρανόν. καὶ τὴν τοῦ ἀνδρὸς χώραν αὐχμῷ ἐκόλαζε. πέπομφεν οὖν θεωροὺς εἰς ἀπόλλωνα ἀθάμας, ἐρέσθαι περὶ τοῦ αὐχμοῦ. ἡ δὲ τούτου γυνὴ θέλουσα φρύξον καὶ ἕλλην ἀπολωλέναι, πέπεικε διὰ δώρων τοὺς θεωροὺς εἰπεῖν ἀθάμαντι, ὡς οὐκ ἂν ἄλλως παύσασθαι τὸν αὐχμὸν ἔχρησεν ἡ πυθία, εἰ μὴ τοὺς τῆς νεφέλης θύσαιεν παῖδας. ἀκούσας οὖν ἀθάμας, μεταπέμπεται τοὺς παῖδας ἐκ τῶν ποιμνίων. εἷς οὖν

ὥσπερ με τὸν ἀθάμανθ' ὅπως μὴ θύσετε.
σω. οὔκ. ἀλλὰ πάντα ταῦτα τοὺς τελουμένους
ἡμεῖς ποιοῦμεν. στρ. εἶτα δὴ τί κερδανῶ.

κριὸς ἀνθρωπίνῃ χρησάμενος φωνῇ, λέγει φρύξῳ καὶ ἕλλῃ τὰ περὶ τῆς σφαγῆς. φυγόντων οὖν τούτων μετὰ τοῦ κριοῦ, ἡ μὲν ἕλλη ἐν τῷ περαιοῦσθαι τὸν ἐν ἀβύδῳ πορθμὸν, ἀπεπνίγη πεσοῦσα ἀπὸ τοῦ κριοῦ. ὅθεν καὶ ἀπ' ἐκείνης ἑλλήσποντος κέκληται. φρύξος δὲ ἐποχούμενος τῷ κριῷ ἐς τὴν τῶν κόλχων γῆν περισώζεται. ἔνθα καὶ τὸν κριὸν, ὃς ὑπὸ τῶν θεῶν χρυσόμαλλος γέγονε, θύει τῷ ἄρει ἢ τῷ ἑρμῇ. καὶ κατοικήσας αὐτόθι, τοὔνομα καταλέλοιπε τῷ τόπῳ. ἐκ τούτου γὰρ ἡ φρυγία οὕτως ἐκλήθη. ἀθάμαντα δὲ ἡ νεφέλη δίκην αὐτῇ δώσειν διὰ τοὺς παῖδας πεποίηκε. προσαχθεὶς οὖν στεφανηφορῶν ἐν τῷ βωμῷ, τοῦ διὸς σφαγησόμενος, ὑπὸ ἡρακλέους σέσωσται. οὕτω γὰρ σοφοκλῆς ἐν δράματι πεποίηκε. ἄλλως. ἐν ἀθάμαντι σοφοκλέους, ὑπόκειται ἀθάμας στεφανηφορῶν ὥσπερ ἱερεῖον δίκας εἰσπραττόμενος παρὰ φρύξου. ἄλλως. τοῦτο πρὸς τὸν ἕτερον ἀθάμαντα σοφοκλέους ἀποτεινόμενος λέγει. ὁ γάρ τοι σοφοκλῆς πεποίηκε τὸν ἀθάμαντα ἐστεφανωμένον καὶ παρεστῶτα τῷ βωμῷ τοῦ διὸς σφαγιασθησόμενον. μέλλοντα δὲ ἀποσφάττεσθαι αὐτὸν, παραγενόμενον ἡρακλέα καὶ τοῦ θανάτου ῥυόμενον λέγοντα ὡς σώζοιτο ὁ φρύξος, δι' ὃν ἔμελλεν ἐκεῖνος τεθνήξεσθαι. ἐπειδὴ οὖν καὶ ὁ πρεσβύτης ἐστέπται ὥσπερ παραδείγματι τῷ κατ' ἐκεῖνον χρώμενος, δεδοικέναι φησὶν ἐκείνῳ παραπλήσια. Τοὺς τελουμένους. τοὺς μυουμένους. ἐνδόξοις δὲ μυστηρίοις παραβάλλει τὰ τῶν φιλοσόφων μαθήματα. ἵνα ἔτι μᾶλλον πείθῃ προσέχειν τὸν γέροντα, ὡς θειοτέρῳ τῷ πράγματι. Λέγειν γενήσει τρῖμμα. ἱκανὸς καὶ δεινὸς ἔσῃ λέγειν. καὶ δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου. ὡς ἰταμοῦ καὶ ἀναισχύντου ῥήτορος καθαπτόμενος αἰσχίνου, περίτριμμα ἀγορᾶς αὐτὸν καλεῖ. τρῖμμα δὲ τετριμμένος ἐν λόγοις. κρόταλος δὲ, εὔγλωττος. εὔστομος. ἡ μεταφορὰ ἐκ τοῦ κροτάλου. ταῦτα δὲ λέγων λίθους συγκρούει ἄνωθεν αὐτοῦ. τρῖμμα οὖν εἶπε, διὰ τὸ τρίβεσθαι τοὺς λίθους. κρόταλον δὲ, διὰ τὸ κρούεσθαι αὐτόν. παιπάλη δὲ, διὰ τὴν τραχύτητα. ἐπεὶ παίπαλα καλοῦνται τὰ δύσβατα. ἄλλως. ταῦτα λέγων ἅμα ὁ σωκράτης εἰς τὰ θύματα παρατρίβων ὀρθοὺς λίθους καὶ κρούων πρὸς ἀλλήλους, συναγαγὼν τὰ ἀπὸ τούτων θραύσματα, βάλλει τὸν πρεσβύτην, καθάπερ τὰ ἱερεῖα οἱ ταῖς οὐλαῖς θύοντες. καὶ διὰ τοῦτο παίζει τοῖς ὀνόμασι.

ΣΩ. ποίους θεοὺς ὀμεῖ σύ; πρῶτον γὰρ θεοὶ
ἡμῖν νόμισμ' οὐκ ἔστι. ΣΤΡ. τῷ γὰρ ὄμνυτ'; ἢ
σιδαρέοισιν, ὥσπερ ἐν Βυζαντίῳ;
ΣΩ. βούλει τὰ θεῖα πράγματ' εἰδέναι σαφῶς,
ἅττ' ἐστὶν ὀρθῶς; ΣΤΡ. νὴ Δί', εἴπερ ἐστί γε.
ΣΩ. καὶ ξυγγενέσθαι ταῖς νεφέλαισιν εἰς λόγους,
ταῖς ἡμετέραισι δαίμοσιν; ΣΤΡ. μάλιστά γε.
ΣΩ. κάθιζε τοίνυν ἐπὶ τὸν ἱερὸν σκίμποδα.
ΣΤΡ. ἰδοὺ κάθημαι. ΣΩ. τουτονὶ τοίνυν λαβὲ
τὸν στέφανον. ΣΤΡ. ἐπὶ τί στέφανον; οἴμοι σώκρατες

Ποίους θεούς. ταῦτα ἴσως ἐπιγίνεσθαι δύναται πρὸς τὴν διαβολὴν τοῦ σωκράτους, ἥν τινες διέβαλλον αὐτὸν ὡς ἠσέβει. λέγοντες περὶ τὸ θεῖον ὀμνύναι, νὴ τὸν ἀλεκτρυόνα καὶ τὴν πλάτανον. καὶ ἄλλα τοιαῦτα. ὡς ἐν τοῖς ἀπομνημονεύμασι ξενοφῶν ἱστορεῖ λέγων, οὕτως· πολλάκις ἐθαύμασα τίσι ποτὲ λόγοις ἔπεισαν ἀθηναίους οἱ γραψάμενοι σωκράτη ὡς ἄξιος εἴη θανάτου τῇ πόλει. εἶθ' ὑποβὰς ὀλίγον, ἀδικεῖ γάρ φησι σωκράτης τοὺς νέους διαφθείρων, καὶ ξένα δαιμόνια εἰσάγων. ἤτοι οὖν εἰς τέλεον ἀναιροῦντος αὐτοῦ θεούς, τὸν λόγον ἐκδεκτέον. ἢ ὡς πολυπραγμονοῦντος ποῖον ὁμόσει γένος θεῶν γεγενέναι. πρῶτον μέν, τοὺς κατὰ ὀφίωνα καὶ εὐρυνόμην. δεύτερον δὲ τοὺς κατὰ κρόνον καὶ ῥέαν. οὕς τινας ὅμηρος οὐρανίωνας. τρίτον δὲ διὰ τὴν ἀρχὴν καταλύσαντας τὴν ἐκείνων, οὓς ὀλυμπίους καλοῦμεν. ἄλλως· τοῦτό φησιν, ἐπεὶ ἐκεῖνος ὁ γέρων ἀσυναρτήτως εἶπεν, ὡς νομίσματα αὐτῷ καταθήσειν τοὺς θεούς, ἅμα ἀποφέρει, τὸ ποίους ὀμεῖ σὺ θεούς. οὐχ ὡς ἄλλοις αὐτὸς χρώμενος θεοῖς ἀλλ' ὅτι ὤμοσεν ὡς νόμισμα καταθήσειν τοὺς θεούς. Σιδαρέοισιν. τοῦ νομίσματος σημαίνοντος δύο· τό, τε νόμιμον ἔθος καὶ τὸ τύμμα τοῦ τετυπωμένου χαλκοῦ ἢ χρυσοῦ, ἐπὶ τοῦ χαλκοῦ ὁ στρεψιάδης ἐδέξατο. καὶ οὐ πρὸς τὸ ὑπὸ σωκράτους ῥηθὲν ἀπήντησεν. ἀλλ' ἔμιξεν ἀμφότερα. ἔδει γὰρ εἰπεῖν τίσιν ὄμνυτε θεοῖς. ἢ τίνι χρῆσθε νομίσματι. λεπτοῖς δὲ νομίσμασι φαίνονται κεχρῆσθαι βυζάντιοι. διὸ καὶ δωρικῶς εἶπεν. ἔνιοι δὲ κατὰ πολυμάθειαν δωρίζουσιν πλάτωνος πεισάνδρῳ· χαλεπῶς ἂν οἰκήσαιμεν ἐν βυζαντίοις· ὅπου σιδαρέοισι νομίσμασι χρῶνται. ἄλλως. ἐδόκει τὸ τῶν βυζαντίων νόμισμα, ἐλάχιστον εἶναι πάντων καὶ φαυλότατον. ἀπὸ σιδηροῦ ὑπάρχον ἢ ὅτι ἐκεῖ μέταλλον ἦν, ἐν ᾧ ὤμνυον. Βούλει τὰ θεῖα πράγματ'. οὐχ ὡς θεοὺς ἡγούμενος τοὺς παρὰ τοῖς ἄλλοις νομιζομένους τὰ θεῖα λέγει οὕτως, ἀλλ' οἷον, τὰ ἀξιοθέατα καὶ ὄντως μεγάλα καὶ τίμια. Δαίμοσιν. ὡς εἰ ἔλεγε τοῖς καπνοῖς. ταῖς σκιαῖς ταῖς ἡμετέραις θεαῖς. τὰ γὰρ μηδενὸς ἄξια καπνοὺς καὶ σκιὰς καὶ νεφέλας ὀνομάζομεν. εὔπολις ἐν αὐτολύκῳ, καπνοὺς ἀποφαίνει καὶ σκιάς. ἁρμοζόντως δὲ τῶν φιλοσόφων ἀπογράφει ταύτας εἶναι θεάς, ἐπειδὴ ὡς ἔφημεν, περὶ τὰ οὐράνια μᾶλλον ἐπόνηνται. Σκίμποδα. τὸν κράβατον σκίμποδα λέγουσιν ἀττικοί. οἱ δέ φασι σκιμπόδιον. ἰδίως δὲ λέγουσιν τὸν χωλὸν κράβατον. σκιμπάζειν γὰρ τὸ χωλαίνειν παρὰ τοῖς παλαιοῖς εἴρηται, παρὰ τὸ σκαμβοὺς ἔχειν τοὺς πόδας. Τουτονὶ τοίνυν λαβέ. καὶ τοῦτο παρεπιγραφή. καὶ γὰρ τὸν σωκράτη, περιθεῖναι δεῖ τὸν στέφανον αὐτῷ κἀκεῖνον λαβεῖν.

τὴν δ' ἄρος διαλεγόμενον παραγαγὼν τὸν σειληνὸν τῷ ὀλυμπίῳ, τοιούτους αὐτῷ περιέθηκε λόγους. ὦ τάλας ἐφήμερε νήπιε. βαδίζεις χρήματά μοι διαπομπεύων. ἅμα δὲ ὡς ὑπερηφανοῦντος τοῦ σωκράτους τὰ ἀνθρώπινα, καὶ ἐν θεοῖς ὄντος αὐτοῦ διότι μετεωρολέσχης ἦν, οὕτως ἐφήμερον ἐποίησεν αὐτὸν, καλοῦντα τὸν γέροντα. Ἀεροβατῶ καὶ περιφρονῶ τὸν ἥλιον. ἀντὶ τοῦ περιεργάζομαι τὸν ἥλιον. τὸν τούτου δρόμον. ἐπιβαίνω τῷ ἀέρι. διὰ τοῦτο γὰρ καὶ μετέωρον αὐτὸν ἐποίησε καθήμενον. ἔγκειται δὲ ἅμα καὶ τὸ τοῖς πολλοῖς ἀσεβὲς διὰ τῆς λέξεως. ἴσον γὰρ τῷ καταφρονῶ. ἄλλως. ὅτι περιφρονῶ εἶπε καὶ οὐ περισκοπῶ. ἵν' ἐπειδὴ τὸ περιφρονῶ, διπλοσήμαντόν ἐστι, καὶ ἀντὶ τοῦ περισκοπῶ καὶ ἀντὶ τοῦ περιφρονῶ, ἀμφότερα εἰς τὸν σωκράτην νοῶνται. ὅτι τε ἀέρα καὶ ἥλιον καὶ νεφέλας καὶ ὅσα τοιαῦτα ἐφρόντιζε καὶ ἐφιλοσόφει. καὶ ὅτι αἰθέριον ἑαυτὸν ἡγεῖτο. καὶ ὑπὲρ αὐτὸν μόνον οὐ τὸν ἥλιον. ὁ στρεψιάδης δὲ, ἀντὶ τοῦ καταφρονῶ μόνον ἐνόησεν. Ἔπειτ' ἀπὸ ταῤῥοῦ. ἀττικῶς τὰ ἐξ οἰσύων πλέγματα οὕτω καλεῖται. τοὺς γὰρ καλάθους τοὺς γεωργικοὺς, ταλάρους καλοῦσι. νῦν δὲ τὴν κρεμάθραν οὕτως ἐκάλεσεν, ἐφ' ἧς ὁ σωκράτης ἐκρέματο. ἄλλως. ταῤῥός. μετέωρόν τι ἰκρίον. ἐφ' ᾧ ἀλεκτρυόνες κοιμῶνται. ἔφη δὲ ὑπερφρονεῖς, ἀντὶ τοῦ εἰπεῖν περινοεῖς καὶ περισκοπεῖς. ἵνα διαβάλῃ τὸν σωκράτην ὑπερφρονοῦντα τῶν θεῶν. Ἀλλ' οὐκ ἀπὸ τῆς γῆς εἴπερ. ἀλλ' οὐκ ἀπὸ τῆς γῆς ἦν δυνατὸν ἄνθρωπον ὄντα διαγνῶναι τὰ θεῖα. Ἐξεῦρον ὀρθῶς. ἀκριβῶς. Τὰ μετέωρα. τὰ ὑψηλὰ καὶ οὐράνια. περὶ τούτων γὰρ τοῖς φιλοσόφοις τὰ ζητήματα ἐπὶ τῆς γῆς δηλαδὴ ἐπιβεβηκώς. ψυχρὰ δὲ ἡ αἰτία, ἣν ὁ σωκράτης λέγει.

Σω. ἀεροβατῶ καὶ περιφρονῶ τὸν ἥλιον.
Στρ. ἔπειτ' ἀπὸ ταῤῥοῦ τοὺς θεοὺς ὑπερφρονεῖς.
ἀλλ' οὐκ ἀπὸ τῆς γῆς εἴπερ. Σω. οὐ γὰρ ἄν ποτε
ἐξεῦρον ὀρθῶς τὰ μετέωρα πράγματα.
εἰ μὴ κρεμάσας τὸ νόημα καὶ τὴν φροντίδα,
λεπτὴν καταμίξας ἐς τὸν ὅμοιον ἀέρα.
εἰ δ' ὢν χαμαὶ, τἄνω κάτωθεν ἐσκόπουν,
οὐκ ἄν ποθ' ηὗρον. οὐ γὰρ ἀλλ' ἡ γῆ βίᾳ
ἕλκει πρὸς αὑτὴν τὴν ἰκμάδα τῆς φροντίδος.
πάσχει δὲ ταὐτὸ τοῦτο καὶ τὰ κάρδαμα.

Λεπτὴν καταμίξας εἰς τὸν ὅμοιον ἀέρα. ἀπολογεῖται πρὸς τὴν ἐρώτησιν τοῦ γέροντος ὁ σωκράτης. λέγων τὴν αἰτίαν δι' ἣν κρεμάμενος, ἀλλ' οὐκ ἀπὸ τῆς γῆς φησὶ περιθεῖν τὰ μετέωρα πράγματα. ὅμοιον δὲ εἶπε τὸν ἀέρα ἀντὶ τοῦ ὁμοιολεπτομερῆ. ψυχρὰν δὲ καὶ ματαίαν αὐτῇ πεποίηκε παρέχοντα λύσιν.

Οὐ γὰρ, ἀλλ' ἡ γῆ βίᾳ. ἀντὶ τοῦ καὶ γάρ. ἀττικῶς. Καλλίμαχος. ἀκούσαθ' ἱππώνακτος. οὐ γὰρ ἀλλ' ἥκω. ἀντὶ τοῦ καὶ γὰρ ἥκω. Τὴν ἰκμάδα, τουτέστι τὸ νοητικὸν καὶ γονιμώτατον τῆς ψυχῆς. φασὶ γὰρ οἱ φιλόσοφοι καὶ περὶ τὴν κράτησιν τῶν ἀέρων τὸ ὀξύτερον. ἢ τὸ ἀριστερὸν ἐπιβάλλειν τοῖς θείοις. διαπαίζει δὲ τὰ φιλοσόφων ἡ κωμῳδία. λόγος γὰρ παρ' ἐκείνοις. ὡς ὄντως ἀποσπᾶται εἰς ἑαυτὴν τὰς ὑποκειμένας οὐσίας ἡ γῆ.

αὐτὴν Ἀθηναῖοι μετὰ Περικλέους· καὶ μάλιστα Χαλκιδέας καὶ Ἐρετριέας. οὕτω πρὸς τὸ πολὺ τέταται ἐν ᾧ ἡ θέσις δηλοῦται καὶ αὐτὸ ἐπήνεγκε τὸ παρετάθη. ἴσον τῷ ἐξετρυχώθη καὶ κατεπονήθη. Περικλέους δὲ στρατηγοῦντος, καταστρέψασθαι αὐτὴν πᾶσάν φησι Φιλόχορος καὶ τὴν μὲν ἄλλην ἐπὶ ὁμολογίᾳ καταστῆναι. Περικλῆς γὰρ αὐτὴν ὑπὸ τοὺς Ἀθηναίους ἐποίησεν ἐν πολέμῳ νικήσας τοὺς ἀποστάντας διὸ παρετάθη τοῖς φόροις καὶ ἐπεφορτίσθη. ὡς τῶν Ἀθηναίων ἀποτεινάντων τοὺς φόρους αὐτῇ. ἄλλως·

ἀλλ' ἡ Λακεδαίμων ποῦ 'στιν. μα. ὅπου 'στιν, αὑτηΐ.
στρ. ὡς ἐγγὺς ἡμῶν. τοῦτο πάνυ φροντίζετε
ταύτην ἀφ' ἡμῶν ἀπαγαγεῖν πόρρω πάνυ.
μα. ἀλλ' οὐχ οἷόν τε νὴ Δί'. στρ. οἰμώξεσθ' ἄρα.
φέρε. τίς γὰρ οὗτος οὐπὶ τῆς κρεμάθρας ἀνήρ.
μα. αὐτός. στρ. τίς αὐτός. μα. Σωκράτης. στρ. Σώκρατες
ἴθ' οὗτος ἀναβόησον αὐτόν μοι μέγα.
μα. αὐτὸς μὲν οὖν σὺ κάλεσον. οὐ γάρ μοι σχολή.
στρ. ὦ Σώκρατες.
ὦ Σωκρατίδιον. σω. τί με καλεῖς ὦ 'φήμερε.
στρ. πρῶτον μὲν ὅ, τι δρᾷς ἀντιβολῶ κάτειπέ μοι.

τοῦτό φησιν ὁ Στρεψιάδης οὐ νοήσας τὸ παρὰ τοῦ μαθητοῦ λεγόμενον τὸ παρατέταται μακρὰ πόρρω πάνυ, ὅ, τι νοεῖ. ὁ μὲν γὰρ τοῦτο εἴρηκεν, ὅτι μακρὰ καὶ ἐπιμήκης ἡ Εὔβοια. ὁ δὲ ἐπὶ αὐξήσεως τοῦ φόρου ἐξέλαβε. παραστησάμενος γὰρ Περικλῆς τὴν Εὔβοιαν ἐξέτεινε τοὺς αὐτῆς φόρους ἐπὶ πολύ. τοῦτο ἔδοξε τῷ Στρεψιάδῃ νοεῖν τὸ παρατέταται μακρὰ πόρρω πάνυ. καὶ διὰ τοῦτό φησιν, οἶδα. ὑπὸ γὰρ ὑμῶν καὶ Περικλέους παρετάθη. Τοῦτο πάνυ φροντίζετε. τοῦτο λέγει. ὅτι προσέκειτο Ἀθηναίοις. γράφεται μέγα, ἀντὶ τοῦ μεγάλως. τὸ δὲ φροντίζετε, ἀντὶ τοῦ μετὰ βουλεύεσθε. ἐγγὺς δὲ ἡμῶν, διὰ τοῦτό φησι διὰ τὸ ἐν χωρογραφίᾳ συνεγγὺς παρεῖναι. ἐπεὶ οὐκ εἰσὶν οὗτοι ἀστυγείτονες. Φέρε τίς γὰρ οὗτος οὐπὶ τῆς κρεμάθρας. ἀντὶ τῆς ὑπό. ἀττικὴ δὲ ἡ σύνταξις. κατὰ δὲ διάνοιαν ἧς προτάσσεται, σημαίνει πλείονα τὸ φέρε. νῦν μὲν οὖν τὸ ἄγε δηλοῖ. ἐν ἄλλοις δὲ σημαίνει ἄλλο τι ὡς παρὰ Δημοσθένης. φέρε ἂν ἡμᾶς ἀπαιτήσωσιν οἱ Ἕλληνες ὧν νῦν παρήκασθε καιρῶν. ἐνταῦθα γὰρ βούλεται λέγειν· ὅτι ὑπερεθέμεθα. κρεμάθρα δὲ λέγεται, διὰ τὸ μετέωρον εἶναι αὐτὴν κρεμαμένην. ἔστι δὲ σκεῦος εἰς ὃ τὰ περιττεύοντα ὄψα εἰώθαμεν ἀποτίθεσθαι. ἄλλως. παρεγκύκλημα. δεῖ γὰρ κρεμᾶσθαι τὸν Σωκράτην ἐπὶ κρεμαστῇ καθήμενον. καὶ τοῦτον εἰσελθόντα καὶ θεασάμενον αὐτὸν, οὕτω πυθέσθαι. κρεμαστὴ δὲ λέγεται, διὰ τὸ οὕτως αὐτὴν ἀεὶ μετέωρον εἶναι κρεμαμένην. γελοίου δὲ χάριν, ἐν τῷ τοιούτῳ παρήγαγεν αὐτὸν σχήματι. Αὐτός. τιμῶν τὸν διδάσκαλον οὐκ εἶπε πρῶτον τὸ ὄνομα. Ἀναβόησον. τῷ μαθητῇ λέγει ὁ Στρεψιάδης καὶ τοῦτο. οἷον οὐκ ἤκουσέ μου αὐτὸς σὺ βόησον. Τί με καλεῖς ὦ 'φήμερε. ἀντὶ τοῦ ὦ θνητέ. ὦ ἐφήμερα φρονῶν. καὶ ὑπερφρονῶν τὰ τῶν ἀνθρώπων. ἄλλως. ὦ ἄνθρωπε. ἐλέγετο δὲ ὁ Σωκράτης τὴν ὄψιν, σειληνῷ παρεμφαίνειν. σιμός τε γὰρ καὶ φαλακρὸς ἦν. περιέθηκεν οὖν αὐτῷ. οἷον τοῦ παρὰ Πινδάρῳ Σειληνοῦ φωνήν. ὁ γὰρ πι

νος ἀλλ' ὦ γε μέγας θεός. καὶ παρὰ πυθαγορείοις τὸ αὐτὸς ἔφα, τουτέστιν ὁ πυθαγόρας. καὶ ἐν τοῖς ἑξῆς αὐτός. ἤγουν ὁ σωκράτης. Πρὸς τῶν θεῶν τί ταῦτα. εἰσελθὼν ὁ πρεσβύτης ὁρᾷ τὰ τῶν φιλοσόφων σκεύη. ἄβακα ἢ σφαῖραν. ἢ ζωγραφίαν καὶ ἐρωτᾷ τί ἐστι. τουτὶ δὲ τί. διαγράμματά τινα καὶ πίνακας δείκνυσιν ἀστρονομικῶν καὶ γεωμετρικῶν. Πότερα, τὴν κληρουχικήν. ὡς ἄγροικος ταῦτά φησι. τὴν ἰδιωτικὴν τὴν ὑπὸ κλήρου διδομένην. τὴν τελοῦσαν. ἐπειδὴ οἱ ἀθηναῖοι

στ. μήπω γε. μήπω γ'. ἀλλ' ἐπιμεινάτω, ἵνα.
αὐτοῖσι. κοινώσω τι πραγμάτιον ἐμόν.
μα. ἀλλ' οὐχ οἷόν τ' αὐτοῖσι πρὸς τὸν ἀέρα
ἔξω διατρίβειν πολὺν ἄγαν γ' ἐστὶ χρόνον.
στ. πρὸς τῶν θεῶν τί γὰρ τάδ' ἐστίν εἰπέ μοι.
μα. ἀστρονομία μὲν αὑτηί. στ. τουτὶ δὲ τί;
μα. γεωμετρία. στ. τοῦτ' οὖν τί ἐστι χρήσιμον;
μα. γῆν ἀναμετρεῖσθαι. στ. πότερα τὴν κληρουχικήν;
μα. οὔκ ἀλλὰ τὴν σύμπασαν. στ. ἀστεῖον λέγεις.
τὸ γὰρ σόφισμα δημοτικὸν καὶ χρήσιμον.
μα. αὕτη δέ σοι γῆς περίοδος πάσης. ὁρᾷς;
αἵδε μὲν ἀθῆναι. στ. τί σὺ λέγεις. οὐ πείθομαι.
ἐπεὶ δικαστὰς οὐχ ὁρῶ καθημένους.
μα. ὡς τοῦτ' ἀληθῶς ἀττικὸν τὸ χωρίον.
στ. καὶ ποῦ κικυνεῖς εἰσὶν οἱ μοὶ δημόται.
μα. ἐνταῦθ' ἔνεισιν. ἡ δέ γ' εὔβοι' ὡς ὁρᾷς
ἡδί. παρατέταται μακρὰ πόρρω πάνυ.
στ. οἶδ'. ὑπὸ γὰρ ὑμῶν παρετάθη καὶ περικλέους.

λαμβάνοντες πόλιν πολεμίαν, καὶ τοὺς ἐνοικοῦντας ἐκβάλλοντες, κλήρῳ τὴν γῆν αὐτοῖς διένεμον ἢ κληρουχικὴν ἐνταῦθα λέγει τὴν γεωργικήν. κληροῦχοι γὰρ οἱ γεωργοί, διὰ τὸ τοὺς αἰγυπτίους κλήρῳ μερίζειν τὴν αὐτῶν γεωργίαν. Τὸ γὰρ σόφισμα δημοτικόν. οἴεται τῶν πρὸς γεωργίαν εἶναι τοῦτο ἀβάκιον. ἢ τοιοῦτόν τι δημοφελὲς μάθημα τῷ δήμῳ συμφέρον. Αἵδε μὲν ἀθῆναι. χωρογραφίαν δείκνυσιν αὐτῷ. τινὲς ἔνθεν ἕως τοῦ, οἱ μοὶ δημόται, τοῦ γέροντός φασιν. ἔνιοι δὲ διαιροῦσι, καὶ κατ' ἐρώτησιν δὲ εἶναι τὸ τοῦ φιλοσόφου, καὶ ἐν ἀποφάσει δύναται. τὸ δὲ ἑξῆς, ὡς τοῦτ' ἀληθὲς ἐν ἐρωτήσει. ὡς τοῦτό σοι δοκεῖ ἀττικὸν χωρίον, ἐν ᾧ καθήμενοι δικάζουσιν. Ἐπεὶ δικαστὰς οὐχ ὁρῶ. κατηγορεῖ ἀθηναίων ἐνταῦθα, ὡς περὶ τὰ δικαστήρια μόνα ἠσχολημένων, καὶ τοῦ στρατεύειν ἀμελούντων. τοῦτο δὲ καὶ δημοσθένους ἐστὶν ὅτι ποιεῖ. Τὸ δὲ παρατέταται μακρὰ διὰ τὸ σχῆμα. λέγω δὲ τὸ ἐπίμηκες τῆς θέσεως. διὸ καὶ μάκρις ἐκλήθη. ἐπιμήκης γὰρ ἦν. κλίνεται δὲ ἡ μάκρις αὕτη διὰ καθαροῦ τοῦ ο. διὸ καὶ ὁ νησιώτης αὐτῆς μακριδύς. ἦν δὲ καὶ αἰγιαλὸς οὕτω λεγόμενος κλινόμενος δὲ διὰ τοῦ δ. ἐλέγετο δὲ μάκρις, καὶ τῶν κυκλάδων μία ἡ ἴκαρος. ἀφ' ἧς νομίζουσί τινες εἰρῆσθαι καὶ τὸ ἰκάριον πέλαγος. Ὑπὸ γὰρ ὑμῶν παρετάθη. εἰσφόρου ἐξετάθη, πλείονα φόρον παρέχουσα, δηλοῖ δὲ καὶ τὸ ἀπηγῶσθαι. ἐκληρούχησαν δὲ ἀθηναῖοι κρατήσαντες αὐτῆς. πρὸς τὸν χρόνον δὲ ἀπήντησε καὶ τὸ μῆκος τοῦ πολέμου τὸ σχῆμα τῆς λέξεως δεικνύντος αὐτῷ τοῦ φιλοσόφου. ἐπολιόρκησαν δὲ

Τ οῖς ἐκ πύλου ληφθεῖσι. πύλος, χωρίον τῆς λακωνικῆς. ἔνθα κλέων στρατηγήσας. ἔλαβεν αἰχμαλώτους προανύσαντος τὸν πόλεμον δημοσθένους καὶ νικίου. εἰκὸς οὖν τούτους καὶ διὰ τὸ αἰχμαλωτισμοῦ φόβον καὶ διὰ τὸ πολλαῖς μὲν ἡμέραις πεπολιορκῆσθαι ἐν ἐρήμῳ νήσῳ καὶ ἀφ' ἧς οὐδὲν τῶν ἐπιτηδείων ἦν λαβεῖν, πολλῷ δὲ καὶ μετὰ τὴν ἅλωσιν συγκλεῖσθαι χρόνῳ δεδεμένους ἐν ξύλῳ, ὠχρούς τε καὶ ἰσχνοὺς, καὶ δυσώδεις γεγονέναι. ἰστέον δὲ ὅτι τρεῖς ἐπωνυμίας εἶχε τό τε. πύλος. κορυφάσιον. σφακτηρία.

ἄλλως. πύλος. νῆσος πλησίον πελοποννήσου. ταύτην ἐν τῷ πελοποννησιακῷ πολέμῳ λάχης προκαταλαβὼν ὁ τῶν ἀθηναίων στρατηγὸς, φρούριον ᾠκοδόμησεν. ὅθεν ἐξορμώμενος, τὴν παραλίαν ἐδῄου τῆς λακωνικῆς. λακεδαιμόνιοι γοῦν καταλῦσαι

στρ. τοῖς ἐκ πύλου ληφθεῖσι τοῖς λακωνικοῖς.
ἀτὰρ τί ποτ' ἐς τὴν γῆν βλέπουσιν οὑτοιί.
μα. ζητοῦσιν οὗτοι τὰ κατὰ γῆς. στρ. βολβοὺς ἄρα
ζητοῦσι· μή νυν τουτί γε φροντίζετε.
ἐγὼ γὰρ οἶδ' ἵν' εἰσὶ μεγάλοι καὶ καλοί.
τί γὰρ οἵδε δρῶσιν οἱ σφόδρ' ἐγκεκυφότες.
μα. οὗτοι δ' ἐρεβοδιφῶσιν ὑπὸ τὸν τάρταρον.
στρ. τί δῆθ' ὁ πρωκτὸς ἐς τὸν οὐρανὸν βλέπει.
μα. αὐτὸς καθ' αὑτὸν ἀστρονομεῖν διδάσκεται.
ἀλλ' εἴσιθ' ἵνα μὴ κεῖνος ἡμῖν ἐπιτύχῃ.

τὸ φρούριον θέλοντες, ἐπέβησαν τῇ νήσῳ. καὶ παραστησάμενοι, ἄνδρας ἐπιλέκτους ἐντὸς τοῦ φρουρίου κατέλιπον. ἀθηναῖοι οὖν ἔπεμψαν πολλήν τινα στρατιὰν κατὰ τῶν ἀνδρῶν τούτων μετὰ κλέωνος στρατηγοῦ. ἐλθὼν οὖν ὁ κλέων, μετὰ τῆς στρατιᾶς, καὶ πλεῖστον χρόνον τούτους πολιορκήσας, ὕστερον παρεστήσατο. καὶ αἰχμαλώτους λαβὼν, ἀθήναζε ἤγαγεν. οἳ, διά τε τὸν πολὺν λιμὸν ὃν ὑπέστησαν διὰ τὴν πολιορκίας, καὶ διὰ τὸ κατακλεισθῆναι ἀθήνησιν εἰς εἱρκτὴν, πάνυ ὠχροὶ ἦσαν.

Α ταρ τί ποτε διὰ τί ἄρα. εἰσελθὼν δὲ, ἐπὶ συννοίᾳ κατέλαβε τοὺς περὶ Σωκράτην καθημένους. ἅτε φροντίζοντας περὶ τῆς ἐμπίδος. καὶ συγκεκυφότας εἰς γῆν.

Β ολβοὺς τὰ λεγόμενα ὕδνα. ἅτινα τὴν γῆν σκάπτοντες εὑρίσκουσιν οἱ ἄνθρωποι.

Ε γὼ γὰρ οἶδ'. ὡς ἀγροῖκος φησὶν εἰδέναι τῶν περὶ σωκράτην ἀκριβέστερον, ἔνθα οἱ βολβοὶ φύονται. Οἱ σφόδρ' ἐγκεκυφότες. τοιαῦτα γὰρ τὰ τῶν ἄγαν φροντιζόντων. καὶ περὶ τὴν διάνοιαν ἐχόντων σχήματα. ὅμηρος. στάσκεν ὑπαὶ δὲ ἴδεσκε κατὰ χθονὸς, ὄμματα πήξας. Ερεβοδιφῶσι. τὰ ὑπὸ ἔρεβος διφῶσι. τουτέστι τὰ ὑπὸ γῆν ζητοῦσι. ἐρευνῶσιν ἐξετάζουσι. τάρταρος δὲ ἐστὶν ὁ ὑπὸ γῆν κατώτατος τόπος. Τί δῆθ' ὁ πρωκτός. ἴσως ἐπύθεν τοῦτο εἴληφεν ἐκ τῆς ἐμπίδος. ἐπεὶ κἀκείνην διὰ τοῦ πρωκτοῦ, ἀστρονομεῖν διδάσκεσθαι λέγει. ἀνάγκη γὰρ συγκεκυφότων αὐτῶν καὶ εἰς γῆν ὁρώντων, αὐτὸν τὸν πρωκτὸν βλέπειν. Ἀλλ' εἴσιθ' ἵνα μὴ κεῖνος. κατὰ τὸ σιωπώμενον ἄλλων ἐξεληλυθότων ἐκ τοῦ φροντιστηρίου, τοῖς φιλοσόφοις φησὶν, ὅτι εἴσιτε ἀντὶ τοῦ εἰσέλθετε ἵνα μὴ ὁ σωκράτης εὕρῃ ἡμᾶς ἐνταῦθα διατρίβοντας. τὸ δ' ἐκεῖνος, κατ' ἐξοχήν. ἄλλως. τὸ ἐκεῖνος τὸ αὐτὸς, ἀντὶ ὀνομάτων παραλαμβάνουσι. καὶ ὅμηρος παράγει τὴν θέτιν λέγουσαν τὸ πέμ' ἐκεῖ

χαλῶνται, ἵνα ῥᾳδίως πόρρωθεν ἁρπάσωσιν ὃ βούλονται. Εἶτα διαβήτην λαβών. ὀργαλεῖον ὁ διαβήτης, πολλαῖς δὲ χρήσιμον τέχναις, τῷ λ στοιχείῳ παρεοικός. τούτου γὰρ ἐντιθέντες μόριον καὶ τὸ ἕτερον περιάγοντες καὶ χαράσσοντες τὸ ὑποκείμενον, τὸ ἴσον τηροῦσι διάστημα τοῦ κύκλου ἐκ τοῦ κέντρου. Ἐκ τῆς παλαίστρας. ὅμοιον τῷ ὑπὸ Εὐπόλιδος ῥηθέντι περὶ σωκράτους. στησιχόρου πρὸς τὴν λύραν οἰνοχόην ἔκλεψεν. ἐμφαίνεται δὲ διὰ τούτου ὅτι παίδων ἤρα ὁ σωκράτης.

κάμψας ὀβελίσκον, εἶτα διαβήτην λαβὼν,
ἐκ τῆς παλαίστρας θοἰμάτιον ὑφείλετο.
ςρ τί δῆτ' ἐκεῖνον τὸν θαλῆν θαυμάζομεν.
ἄνοιγ' ἄνοιγ' ἀνύσας τὸ φροντιστήριον
καὶ δεῖξον ὡς τάχιστά μοι τὸν σωκράτη.
μαθητιῶ γάρ, ἀλλ' ἄνοιγε τὴν θύραν.
ὦ ἡράκλεις. ταυτὶ ποδαπὰ τὰ θηρία.
μα τί ἐθαύμασας. τῷ σοι δοκοῦσιν ἐοικέναι.

ἐν ταῖς παλαίστραις γὰρ τὰ πολλὰ ἐξητάζοντο ἵνα αὐτοὺς ὁρῴη. ὑφείλετο. τοῦτο παρ' ὑπόνοιαν ἐπήγαγεν. ἔδει γὰρ αὐτὸν εἰπεῖν μεταβαλεῖν αὐτὸν εἰς τὰ ἄλφιτα. ἄλλως. δέον γὰρ αὐτὸν εἰπεῖν κατέγραψεν ὥς πως προσέχοντες οὐκ ἐπεινήσαμεν καὶ σχήματά τινα ἐπεποιήκει, ἀλλὰ παρὰ τῶν ἡμῶν ὁ νοῦς καθάπερ κεχηνὼς τροφῆς ἐπελάθετο, ἐπήνεγκεν ὅτι ἀπὸ τῆς παλαίστρας ἔλαβε τὸ ἱμάτιον. διαβάλλει δὲ αὐτὸν ὡς περὶ τὰς παλαίστρας τῶν παίδων ἕνεκα διατρίβοντα. ἐκεῖ γὰρ ἐφοίτα ὡς γυμνοὺς τοὺς παῖδας ὁρῴη. ἄλλως. ἐπειδὴ οἱ τὰ γεωμετρικὰ θεωρήματα διδάσκοντες διαβήταις γράφουσι ταῦτα, φησὶν ὅτι ὀβελίσκον κάμψας καὶ διαβήτου σχῆμα διαλαβὼν παρὰ τὰς πρὸς αὐτὸν ἐπαγόμενος, ὑφείλετο τὸ ἱμάτιον. Τί δῆτ' ἐκεῖνον τὸν θαλῆν. οὗτος ἐγένετο τῶν ἑπτὰ σοφῶν εἷς μιλήσιος. ὃς πρῶτος τὰ περὶ οὐρανὸν ἐξεῦρε. παρατηρητέον δέ, ὅτι ἀπ' εὐθείας τῆς ὁ θαλῆς ὡς ἑρμῆς, ἑρμῆν θαλῆν. καὶ ἑρμέας, ὡς θαλέας. διχῶς δὲ τοὔνομα ἐκφωνητέον. βαρύτονον μὲν, θάλης ὡς χρέμης οὗ, ἡ γενική, θάλητος ὡς χρέμητος. θάλητι. θάλητα. ὡς τὸ θάλητα χρημάτων ἐλεύθερον. εἰ δὲ καὶ περισπωμένως θαλῆς, ὡς ἑρμῆς. καὶ θαλοῦ, ὡς ἑρμοῦ. ἄλλως. ὁ θαλῆς οὗτος μιλήσιος ἦν, εἷς τῶν ἑπτὰ σοφῶν οὗτος ἄκρος μηχανικὸς ἦν. στρατεύσαντος γὰρ κροίσου πρὸς κῦρον, καὶ μὴ δυναμένης τῆς στρατιᾶς αὐτοῦ διαβῆναι τὸν ἅλυν ποταμὸν μέγιστον ὄντα, τοιόνδε τι μηχανᾶται. ἄνω τῆς στρατιᾶς ἰὼν τέμνει τὸν ποταμὸν ἑτέρωσε ῥεῖν. οὐ πάντα, ἀλλὰ τὸ ῥεῖθρον αὐτοῦ σχισθέν, τὸ μὲν ἐν εἰς τὴν ἀρχαίαν πορείαν ἐχώρει. θάτερον δὲ ὑπ' ἀσφαλὲς εἶχε τὴν στρατιάν. καὶ οὕτως ἐπεραιώθησαν. ἐποίησε δὲ τὴν εἰς δύο τομήν, ἵνα καὶ ἐπανιόντες περαιωθήσωνται. Μαθητιῶ δὲ αὐτὴ τοῦ μαθεῖν ἐπιθυμῶ. Ω ἡράκλεις. πεποίηκε γὰρ τὸ πρὸς τάχειν ὁ φιλόσοφος. καὶ ἀνέῳξε τὰς θύρας. ὁ δὲ εἰσελθὼν καὶ θεασάμενος αὐτοὺς ὠχροὺς καθειμένους, ὡς ἀνθρώπων μορφὰς μὴ ἔχοντας, τεθαύμακε. μὴ δὲ ὄψεις διὰ τὴν ὠχρότητα ἔχοντας. ὁρᾷ δὲ ὡς φιλοσόφους κομῶντας στραφέντος τοῦ ἐγκυκλήματος.

στενόν· διὰ λεπτοῦ δ' ὄντος αὐτοῦ τὴν πνοὴν
βίᾳ βαδίζειν εὐθὺ τοὐρροπυγίου·
ἔπειτα κοῖλον πρὸς στενῷ προσκείμενον,
— τὸν πρωκτὸν ἠχεῖν ὑπὸ βίας τοῦ πνεύματος.
στρ. σάλπιγξ ὁ πρωκτός ἐστιν ἄρα τῶν ἐμπίδων.
ὢ τρισμακάριος τοῦ διεντερεύματος.
ἦ ῥᾳδίως φεύγων ἂν ἀποφύγοι δίκην,
ὅστις δίοιδε τοὔντερον τῆς ἐμπίδος.
μα. πρώην δέ γε γνώμην μεγάλην ἀφῃρέθη,
ὑπ' ἀσκαλαβώτου. στρ. τίνα τρόπον; κάτειπέ μοι.
μα. ζητοῦντος αὐτοῦ τῆς σελήνης τὰς ὁδοὺς,
καὶ τὰς περιφοράς, εἶτ' ἄνω κεχηνότος,
ἀπὸ τῆς ὀροφῆς νύκτωρ γαλεώτης κατέχεσεν.
στρ. ἥσθην γαλεώτῃ καταχέσαντι Σωκράτους.
μα. ἐχθὲς δέ γ' ἡμῖν δεῖπνον οὐκ ἦν ἑσπέρας.
στρ. εἶεν. τί οὖν πρὸς τἄλφιτ' ἐπαλαμήσατο.
μα. κατὰ τῆς τραπέζης καταπάσας λεπτὴν τέφραν.

τὴν φωνὴν προΐεται. εἰ γὰρ τοῦτο λάβοιο, καὶ οὔτε φθέγξαιτο τὸ ἐγκέλαδον, οὔτε ὁ μουσικὸς καὶ καλὸς τέττιξ ἔτι προΐοι φωνήν. τῆς αὐτῆς γὰρ καὶ ὁ τέττιξ ἐστὶ φύσεως καὶ τὰ τοιαῦτα ζῶα, καλεῖται μὲν παρά τισι βομβύκια. καλεῖται δὲ καὶ ἔντομα, ὅτι κατὰ τὴν ῥάχιν ἐκτέτμηνται. ὡς ἔστιν ἰδεῖν ἐπὶ τῶν σφηκῶν καὶ κανθάρων καὶ ἐγκελάδων. καὶ τῶν τεττίγων, μάλιστα. διὸ καὶ φθέγγεσθαι ἀξιοῦσιν αὐτά. Σάλπιγξ ὁ πρωκτός. τοιαύτη γάρ. κατὰ μὲν τὸ ἀνώτατον καὶ πρὸς τὸ ἄκρον κοίλη ἡ σάλπιγξ. τὰ κάτω δὲ, στενή. διὸ καὶ ὀξὺ ᾄδει.

Τοῦ διεντερεύματος. τοῦ ἐρωτήματος τοῦ διὰ τοῦ ἐντέρου. τοῦ ἐπινοήματος. ἢ τῆς λύσεως, τοῦ μαθήματος τοῦ περὶ τοῦ ἐντέρου καὶ ἐμπίδος. ἐπειδὴ δὲ περὶ τῶν τῆς ἐμπίδος ἐντέρων λέγει, ἔπαιξε παρὰ τὸν ὑπὸ τοῦ Σωκράτους λόγον τὸν περὶ τῆς ἐμπίδος ἐντέρου. Γνώμην μεγάλην ἀφῃρέθη. δίου ἀπεστερήθη, ἐμποδισθεὶς ὑπὸ ἀσκαλαβώτου ὁ Σωκράτης. λέγεται δὲ καὶ ἀσκαλαβώτης καὶ γαλεώτης. Ἀπὸ τῆς ὀροφῆς. καὶ ἀρσενικῶς ὁ ὄροφος καὶ θηλυκῶς ἡ ὀροφή. ὡς τὸ πρὸς τὸν ὄροφον ἀνατείνω τὰ περσικά. καὶ ἐν Λυσιστράτῃ καὶ ἐν σφηξὶν ὀροφὴν θέασαι. Ἐχθὲς δέ γ' ἡμῖν. λεληθότως σκώπτει τὸν τῶν φιλοσόφων βίον, ὡς ἐπίπονον καὶ ταλαίπωρον, διὰ τοῦτο εἰς αὔξησιν καὶ τῷ καιρῷ συνεχρήσατο. εἴγε μέχρι τῆς ἑσπέρας ἀναμένοντες φαγεῖν, οὐδὲ τότε παρεσκευασμένον οὐδὲν εἶχον. Λεπτὴν τέφραν. ἰσχνὴν σποδόν. οὐχ ἁπλῶς δὲ τὸ λεπτὴν προσέθηκε πρὸς τὴν ὁμοίωσιν τῶν ἀλφίτων καὶ τὰ παραπλήσια. ἰσχνὴν δὲ τέφραν, τὴν ἐκ τῶν κεκαυμένων ξύλων κόνιν. οὐ ματαίως δὲ τὸ λεπτὴν προσέθηκε πρὸς τὸ ταύτην δεῖξαι παραπλήσιον τοῖς ἀλφίτοις. Κάμψας. καμπύλον ποιήσας. ὥσπερ ὀγκίνων εἴδει. ὀρθοὶ γὰρ οἱ ὀβελίσκοι. καὶ Ὅμηρος· αὐτὰρ ἐπεὶ ὤπτησε καὶ ἀμφ' ὀβελοῖσιν ἔπειρεν. ἀλλ' ἐπειδὴ ἔδεσμα ἦν οὐδέν, πρὸς τὸ ὀβελίσκου δεῖσθαι. πρὸς δὲ τὸ λαθεῖν, καὶ ἁρπάσαι τι καὶ καταχεῖν τὸ καμφθῆναι τοῦτον ἦν χρήσιμον. ἔτι δὲ μέλλων εἰπεῖν ὅτι ὑφείλετο ὀρθὸν ὄντα φησὶ τὸν ὀβελίσκον ἔκαμψεν ἵνα δι' αὐτοῦ δυνηθῇ κλέψαι τὸ ἱμάτιον. τοιαῦτα γὰρ οἱ κλέπται μη-

Ψύλλαν ὁπόσους ἅλλοιτο. ψύλλαν μὲν ἀττικῶς, ὃν ἡμεῖς ψύλλον καλοῦμεν. τὸ δὲ λεγόμενον τοιοῦτο. τὸ πήδημα τῆς ψύλλης διαμετρῆσαι τοῖς αὐτῆς τῆς ψύλλης ποσίν. ὁπόσους πόδας πηδήσειε. δῆλον δὲ, ὅτι ταῦτά φησι διασύρειν βουλόμενος τὰ τῶν φιλοσόφων ζητήματα, ὡς ἰχνά, καὶ λόγου μηδενὸς ἐχόμενα. διὸ καὶ τὰ ἑξῆς, γελοίου χάριν αὐτῷ λέλεκται. Τοῦ Χαιρεφῶντος τὴν ὀφρῦν. ἰστέον ὅτι, αὐτοπροσώπως εἰσῆγον τοὺς κωμῳδουμένους. καὶ ὅτι γελοίου χάριν παρείληφε τοῦτο. αὐτίκα γοῦν οὐδὲ ἄλλου τινὸς ἐμνημόνευσε μορίου τοῦ σώματος, ἢ τοῦ ἑνέκα τέρω γελοίου. ὁ μὲν γὰρ μεγάλας εἶχε τὰς ὀφρῦς ὁ Χαιρεφῶν. ὁ δὲ φαλακρὸς ἦν ὁ Σωκράτης.

ψύλλαν ὁπόσους ἅλλοιτο τοὺς αὐτῆς πόδας.
δακοῦσα γὰρ τοῦ Χαιρεφῶντος τὴν ὀφρῦν,
ἐπὶ τὴν κεφαλὴν τοῦ Σωκράτους ἀφήλατο.
στρ. πῶς δῆτα τοῦτ' ἐμέτρησε. μα. δεξιώτατα.
κηρὸν διατήξας εἶτα τὴν ψύλλαν λαβὼν,
ἐνέβαψεν εἰς τὸν κηρὸν αὐτῆς τὼ πόδε.
κᾆτα ψυγείσῃ περιέφυσαν περσικαί.
ταύτας ὑπολύσας, ἀνεμέτρει τὸ χωρίον.
στρ. ὦ Ζεῦ βασιλεῦ τῆς λεπτότητος τῶν φρενῶν.
μα. τί δῆτ' ἂν ἕτερον εἰ πύθοιο Σωκράτους
φρόντισμα. στρ. ποῖον ἀντιβολῶ κάτειπέ μοι.
μα. ἀνήρετ' αὐτὸν Χαιρεφῶν ὁ Σφήττιος,
ὁπότερα τὴν γνώμην ἔχοι. τὰς ἐμπίδας
κατὰ τὸ στόμ' ᾄδειν, ἢ κατὰ τοὐρροπύγιον.
στρ. τί δῆτ' ἐκεῖνος εἶπε περὶ τῆς ἐμπίδος.
μα. ἔφασκεν εἶναι τοὔντερον τῆς ἐμπίδος.

Τὼ πόδε. δυϊκὸν τὼ πόδε, ἐπὶ τῆς ψύλλης κακῶς. λέγεται γὰρ ἓξ ἔχειν πόδας. ψυγείσῃ δὲ ἀντὶ τοῦ θανούσῃ.

Περσικαί. εἶδος ὑποδήματος αἱ περσικαὶ, ὡς καὶ ἡρόδοτος. ἐπεὶ δὲ καὶ δένδρου ὄνομά ἐστι περσικαὶ, διὸ καὶ περιέφυσαν εἶπεν ὡς ἐπὶ δένδρου. ἔστι μὲν γὰρ καὶ δένδρον. ἔστι δὲ καὶ ὑποδημάτων εἶδος γυναικείων. διὸ ἐπιφέρει, ὑπολύσας. διὰ δὲ τὸ δένδρον, παίζων περιέφυσαν εἶπεν. Ταύτας ὑπολύσας, ἀδύνατον. οὔτε γὰρ ὑπόδημα δύναται φορέσαι ψύλλα, οὔτε ὑπολύσασθαι. οὔτε μετρῆσαι τῷ πρὸς τυπωθέντι κηρῷ τοῖς ποσὶ τὸ διάστημα τοῦ ὑποδήματος. ἀλλ' ἀδύνατον, ἀδυνάτῳ ἐπήγαγεν. οὔτε γὰρ τὰ ὑποδήματα ἐκ κηροῦ φῦναι φύσιν ἔχει, οὔτε τῶν τῆς ψύλλης ποδῶν ταῦτα δυνατὸν ἦν ἐξελεῖν καὶ διαμετρῆσαι τῷ τοῖς ποσὶν αὐτῆς πρὸς τυπωθέντι κηρῷ τὸ διάστημα τοῦ ὑποδήματος. Σφήττιος ἀπὸ δήμου τῆς ἀκαμαντίδος φυλῆς. Ὁπότερα τὴν γνώμην. ἀντὶ τοῦ πῶς διανοεῖται καὶ διαλογίζεται περὶ τῶν ἐμπίδων. τὸ δὲ ὁπότερα ἀντὶ τοῦ ὁποτέρως. ἐμπίδας δὲ, οὓς ἡμεῖς κώνωπας καλοῦμεν. οἱ δὲ, εἶδος κώνωπος παραποτάμιον ζώνην ἔχοντος. Κατὰ τὸ στόμ' ᾄδειν. ἀντὶ τοῦ διὰ τοῦ στόματος φθέγγεσθαι καὶ βοᾶν ἢ διὰ τοῦ ὀρροπυγίου. τὰ γὰρ τοιαῦτα τῶν ζώων, τροφὴν μὲν, λαμβάνει στόματι. φθέγγεται δ' αὐτῷ οὐκέτι. καὶ γάρ ἐστιν ἐκ τῶν τεττίγων τοῦτο καὶ τῶν ἐγκελάδων ἰδεῖν. ἃ καὶ οὕτω προσηγορεύθησαν, ἐπεὶ ἐν αὐτοῖς τὸν κέλαδον ἔχουσιν. οὕτω γὰρ καὶ τὰ τοιαῦτα ζῷα πάντα, διὰ τοῦ στήθους

Ε ἐξήμβλωκας. ἐξέωσας. ἐξέβαλες. ἐξαμβλῶσαι δὲ ἰδίως, ἐπὶ τῶν γυναικῶν λέγεται ἀπὸ τῶν τικτουσῶν θᾶττον ἢ κατὰ τὸν τῶν ὠδίνων καὶ τῆς κυοφορίας νόμον καὶ φάρμακον ἀμβλίσκειν τὰς γυναῖκας ποιοῦν. ἰδίως δὲ νῦν ἐπὶ φιλοσόφων τὴν φροντίδα. ἐπεὶ καὶ μεριμνοφροντιστὰς ἐκάλουν αὐτούς, ὡς προεῖπεν. τοῦ δὲ σωκράτους λέγοντος ὅτι τέχνην ἔχω τὴν μαιευτικήν, καὶ διὰ ταύτης ποιῶ τοὺς νέους ἀποτίκτειν τὰ νοήματα ἐν τῇ ἑαυτῶν ψυχῇ, τοῦτον νῦν κωμῳδεῖ ἀριστοφάνης διὰ τοῦ ἐξήμβλωκας.

καὶ φροντίδ' ἐξήμβλωκας ἐξευρημένην.
στρ. σύγγνωθί μοι. τηλοῦ γὰρ οἰκῶ τῶν ἀγρῶν.
ἀλλ' εἰπέ μοι τὸ πρᾶγμα τοὐξημβλωμένον.
μα. ἀλλ' οὐ θέμις πλὴν τοῖς μαθηταῖσι λέγειν.
στρ. λέγε νυν ἐμοὶ θαρρῶν. ἐγὼ γὰρ οὑτοσὶ
ἥκω μαθητὴς εἰς τὸ φροντιστήριον.
μα. λέξω. νομίσαι δέ σε ταῦτα χρὴ μυστήρια.
ἀνήρετ' ἄρτι χαιρεφῶντα σωκράτης,

Τηλοῦ γὰρ οἰκῶ τῶν ἀγρῶν, ἀντὶ τοῦ, ἐν τοῖς ἀγροῖς. πρὸς τὸ σχῆμα, ὅτι αὐτῷ χρῶνται πόρρω τῆς πόλεως. ἄδηλον δὲ πότερον λέγει. πόρρω τῶν ἀγροίκων αὐτὸς κατοικεῖν, ἢ τοῖς μακρὰν καὶ πολὺ τῆς πόλεως ἀπέχουσι. λέγεται γὰρ αὐτὸ παρὰ τὸ εὐριπίδιον. τηλοῦ γὰρ οἴκων, βιοτὴν ἐξιδρυσάμην. Ἀλλ' οὐ θέμις πλὴν τοῖς μαθηταῖσι λέγειν. ἀλλ' οὐ δυνατὸν δῆλον ὅτι. ἐπὶ διασυρμῷ καὶ διαβολῇ ταῦτα παρεισάγει λέγοντα τὸν θυρωρόν. ἀλλότριον γὰρ τῶν φιλοσόφων τὸ βασκαίνειν καὶ φθονεῖν. Ἀνήρετ' ἄρτι. ἐπύθετο. ἀνηρώτησεν ἄρτι δὲ ἀντὶ τοῦ ἐξ ὑπογύου, ἵνα αὐτοσχεδιάζειν δοκῶσι. διαβάλλει δὲ τοὺς φιλοσόφους ὡς εὐτελῆ ζητοῦντας. διὸ καὶ ταῦτα γελοίου χάριν λέγεται καὶ διὰ γελοίων τὴν σωκράτους παρίστησιν ἀκρίβειαν. Χαιρεφῶντα. τῶν πάνυ γνωρίμων σωκράτους ὁ χαιρεφῶν. οὐδὲν δὲ αὐτοῦ διασέσωσται τῶν συγγραμμάτων. δοκεῖ δὲ γενέσθαι περίθερμος καὶ σφόδρα ἐχθρεύσας τῷ ἀδελφῷ. καὶ φασὶ ξενοφῶντα σωκράτει ξυνάγοντι αὐτὸν λέγειν, ὡς οὐδὲν ὀφθαλμῶν ὄφελός τι, εἰ μὴ σωφρονοῖεν. οὐδὲ χειρῶν οὐδὲ ποδῶν. δήμου δὲ ἦν ὁ χαιρεφῶν σφήττιος. τούτῳ καὶ ἡ πυθὼ δοκεῖ τὸν περὶ τοῦ σωκράτους χρησμὸν εἰπεῖν. Σοφὸς σοφοκλῆς. σοφώτερος δ' εὐριπίδης. ἀνδρῶν δὲ πάντων, σωκράτης σοφώτατος. τοῦτον τὸν χρησμὸν ὁμολογῶν ἐν τῇ κατὰ φιλοσόφων, ψεύδεσθαί φησι τὴν πυθίαν. τοὺς γὰρ φυσικοὺς χρησμοὺς, ἑξαμέτρους εἶναι. καὶ ἔστι δὲ παρὰ κωμικῶν τινί. πῇ συγκεχωρῆσθαι τῷ χρησμῷ δύναται. ὅτι δὲ καὶ ἄλλοι διὰ τριμέτρων πλείους χρησμοί, οὐ μὴν ἀλλὰ καὶ πεζῷ λόγῳ λεχθέντες τῇ πυθίᾳ, τὸ μὲν καὶ ἐπ' ἐμοὶ μέχρι καὶ νῦν κεχρηκέναι τὸ πύθιον οὕτω, παρήσω λέγειν. ἀλλὰ τῶν ἀρχαίων παραδείγματος ἕνεκα χεῖρον οὐδὲν μνημονεῦσαι. τοῦτο μὲν γὰρ ἐπὶ τῷ φέρεται οὗτος ὁ χρησμὸς ἐξενεχθεὶς ὑπὸ τῆς πυθίας. ἐμοὶ μελήσει ταῦτα καὶ λευκαῖς κόραις. ἐν λέσβῳ δὲ γονναπαίου ἀπόλλωνος ὁ δοθεὶς πέλοπι αἰτοῦντος αὐτὸν ἀνάθημα τοῦ θεοῦ τὴν ἄγνα τὴν χρυσῆν ἐπὶ ῥα παρέχοντα κειμήλια. ἔστι δ' οὕτως. Ὃ βούλομαι δός. μὴ δίδου δ' ὃ μὴ θέλω. φέρει δὲ τὸν χρησμὸν τοῦτον ἀντικλείδης ἐν τοῖς νόστοις. καὶ ἑτέρους πλείστους ἄν τις ἔχοι λέγειν τοιούτῳ ἐξενεχθέντας μέτρῳ.

F ὡς οὖν γέρων ὤν. ταῦτα καθ' ἑαυτὸν λογίζεται ἐν τῷ ἀπιέναι. τὸ δὲ βραδύς, οὐκ ἐπὶ τῆς τοῦ σώματος κινήσεως παρείληφεν, ἀλλὰ τὸ μὴ ἀγχίνους εἶναι. ἄνωθεν δὲ, τὰ τῆς διανοίας δηλοῦν θέλει. Λόγων ἀκριβῶν σκινδαλμούς. λόγων ἰσχυρῶν λεπτολογίας. λεπτὰ γὰρ καὶ ἰσχνὰ τὰ τῶν λόγων ζητήματα. σκινδαλμοὺς δὲ, λεπτολογίας ἀπὸ τῆς σχίσεως τῶν καλάμων. ἐξήγησις δὲ καὶ ἐπεξεργασία τῶν ἀκριβῶν οἱ σκινδαλμοί. ἰδίως γὰρ σκινδαλμοὺς καλοῦμεν, τὰ λεπτότατα τῶν ξύλων. καὶ τὰ τῶν καλάμων ξύσματα. τοῦτο δὲ ἐπὶ τῆς εὐθείας, ὀξύνεται. ἐπὶ δὲ τῶν πλαγίων παροξύνεται.

πῶς οὖν γέρων ὢν κἀπιλήσμων καὶ βραδύς,
λόγων ἀκριβῶν σκινδαλμοὺς μαθήσομαι.
ἰτητέον. τί ταῦτ' ἔχων στραγγεύομαι.
ἀλλ' οὐχὶ κόπτω τὴν θύραν. παῖ παιδίον.
μα Βάλλ' ἐς κόρακας. τίς ἐσθ' ὁ κόψας τὴν θύραν.
στρ Φείδωνος υἱὸς στρεψιάδης κικυννόθεν.
μα Ἀμαθής γε νὴ δί' ὅστις οὑτωσὶ σφόδρα,
ἀπεριμερίμνως τὴν θύραν λελάκτικας.

T Ἰ ταῦτ' ἔχων στραγγεύομαι. διὰ τί ταῦτ' ἔχων κατὰ νοῦν, πιέζομαι καὶ συνθλίβομαι. στράγξ δέ ἐστιν, ὁ διὰ λεπτοτάτης ὀπῆς χολῆ κατιὼν σταλαγμός. Βάλλ' ἐς κόρακας. ἄπιθι ἐς κόρακας. ἔστι δὲ παροιμία ἐπὶ κατάρας λεγομένη. ἀντὶ τοῦ εἰς ἀπώλειαν καὶ εἰς φθοράν. Βοιωτοῖς γὰρ ἀναστάτοις ὑπὸ θρακῶν γενομένοις, ἀνεῖπεν ὁ θεὸς ἐκεῖ κατοικεῖν, ἔνθα ἂν ἴδωσι λευκοὺς κόρακας. οἱ δ' ἐν θετταλίᾳ παρὰ τὸν παγασητικὸν κόλπον ἰδόντες πρώτιστα νέους τοῦ ἡλίου ἱεροὺς κόρακας. οὓς παῖδες ἀφῆκαν γυψώσαντες ὑπὸ μέθης, καὶ πληροῦσθαι τὸν χρησμὸν φήσαντες, ἐνταῦθα κατῴκησαν. οἱ δὲ ἐκ τοῦ ζώου λέγεσθαι τὴν παροιμίαν. ἐν γὰρ τοῖς ἐρημοτέροις τόποις, ἐπιτηρεῖ τὰ πτώματα. Ζηνόδοτος δὲ ὁ τὰς ταρραίου καὶ διδύμου παροιμίας ἐπιτεμὼν, Βοιωτοῖς φησιν ἄρνην ποτὲ οἰκοῦσι προείρητο ὑπὸ τοῦ θεοῦ ἐκπεσεῖσθαι λευκῶν κοράκων φανέντων. νεανίσκοι δέ ποτε μεθυσθέντες, καὶ συλλαβόντες, κόρακας, γυψώσαντες ἀφῆκαν πέτεσθαι. ἰδόντες δὲ οἱ Βοιωτοὶ, ἐταράχθησαν, ὡς τῆς μαντείας λαβούσης τὸ τέλος, καὶ φοβηθέντες οἱ νεανίσκοι, τὸν θόρυβον φυγόντες, ᾤκησάν τινα τόπον, ὃν ἐκάλεσαν κόρακας. μετὰ δὲ ταῦτα, ἐκβαλόντες τοὺς Βοιωτοὺς οἱ αἰολεῖς, ἔσχον τὴν ἄρνην οἰκείαν οὖσαν. καὶ τοὺς ἁμαρτάνοντας μεθιστᾶσιν εἰς τοὺς κόρακας καλουμένους. Ἀλλ' οὐχὶ κόπτω τὴν θύραν. ἀλλ' οὐκ ἔρχομαι τῶν ἐγνωσμένων. τοῦτο δὲ παρεγκύκλημα. δεῖ γὰρ αὐτὸν ἐλθεῖν καὶ κόψαι τὴν θύραν σωκράτους. παρατηρητέον δὲ ὅτι ἐπὶ μὲν τῶν ἔξωθεν κρουόντων, κόπτειν λέγουσιν. ἐπὶ δὲ τῶν ἔσωθεν ψοφεῖν. ἱκανῶς δὲ διέστειλε μένανδρος. ἐπὶ μὲν τοῦ ἔξω, κόψω τὴν θύραν εἰπών. ἐπὶ δὲ τοῦ ἔσω, ἐψόφηκε τὴν θύραν ἐξιών. Κικυννόθεν. ἀπὸ δήμου τῆς ἀκαμαντίδος φυλῆς, κικύννα. ἔνθα ἄγεται καὶ τὰ ἀπολλώνεια. Ἀμαθής γε νὴ δία. ἰδιώτης καὶ ἀπαίδευτος. Ἀπεριμερίμνως. ἀμαθῶς καὶ ἀπείρως καὶ ἀνεπιστημόνως. τὸ δὲ λελάκτικας, σφοδρότητος καὶ βίας σημαντικόν. διὸ καὶ τὴν μέμψιν ἐπήγαγεν, οὐ τὸ κροῦσαι καὶ τὸ προσελθεῖν αἰτιώμενος. οὐ δὲ γὰρ πρὸς φιλοσόφων τὸ τοῖς δεομένοις μὴ παρέχειν τοῦ συγγενέσθαι ἐξουσίαν. τὸν δὲ τρόπον μεμφόμενος, ὅτι βιαιοτέρως ἔπαισε τὴν θύραν, ὡς διαταράξαι τοὺς ἐμφιλοσοφοῦντας.

εἴπερ τὸν ἕτερον. ἐβούλετο γὰρ ἀδικίαν μανθάνειν. Τοὺς ἱππέας τὸ χρῶμα. οἷον οὐχ ὑπομείναιμ' ἂν ὁραθῆναι ὑπὸ τῶν ἱππέων ὠχρὸς καὶ διεφθαρμένος. ἐκόμων γὰρ οἱ ἱππεῖς. οἱ δὲ φιλόσοφοι κάτω κείρονται. διακεκναισμένος δὲ, ἠμαυρωμένος. αἰσχρὸς. καὶ διεφθαρμένος γενόμενος. οἱ γὰρ ἱππεῖς ἐν γυμνασίοις καὶ παλαίστραις διέτριβον. οὐ γενοίμην φησὶν ὠχρὸς ὡς οἱ περὶ τὸν σωκράτη. καὶ ἀνυπόδυτος καὶ ῥυπῶν. οἱ γὰρ ἱππεῖς, εὔχροι καὶ ὑποδεδεμένοι καὶ ἐν γυμνασίοις ἐξεταζόμενοι. καὶ ἐν τοῖς ἱππεῦσί φησι. μὴ φθονεῖτω δ' ἡμῖν μηδ' ἀπεστλιγγισμένοις. τουτέστι λιπῶσι. τοῦτο οὖν ὁ νεανίσκος δεδοικέναι φησὶ τὸ ἀπέχεσθαι τοῖς περὶ τὴν ἱππικὴν ἔχουσιν. ἢ καταλιπὼν τὸ κοσμεῖν τὸ σῶμα καὶ μετιέναι τὰ τῶν ἱππέων ἐπιτηδεύματα, τὰ τῶν φιλοσόφων μετέλθοι. ὡς ἱππαζόμενον δὲ καὶ τοῦτον, μετὰ τῶν ἱππέων φησὶ τάττεσθαι.

ἃ νῦν ὀφείλω διὰ σὲ τούτων τῶν χρεῶν,
οὐκ ἂν ἀποδοίην οὐδ' ἂν ὀβολὸν οὐδενί.
φει. οὐκ ἂν πιθοίμην. οὐ γὰρ ἂν τλαίην ἰδεῖν,
τοὺς ἱππέας τὸ χρῶμα διακεκναισμένος.
στρ. οὐκ ἄρα μὰ τὴν Δήμητρα τῶν γ' ἐμῶν ἔδει.
οὔτ' αὐτὸς, οὔθ' ὁ ζύγιος, οὔθ' ὁ σαμφόρας.
ἀλλ' ἐξελῶ σ' ἐς κόρακας ἐκ τῆς οἰκίας.
φει. ἀλλ' οὐ περιόψεταί μ' ὁ θεῖος μεγακλέης
ἄνιππον. ἀλλ' εἴσειμι. σοῦ δ' οὐ φροντιῶ.
στρ. ἀλλ' οὐδ' ἐγὼ μέντοι πεσών γε κείσομαι.
ἀλλ' εὐξάμενος τοῖσι θεοῖς, διδάξομαι,
αὐτὸς βαδίζων εἰς τὸ φροντιστήριον.

Οὐκ ἄρα μὰ τὴν Δήμητρα. εἰκότως τὴν δήμητρα ὄμνυσιν, ἐπεὶ περὶ τροφῶν ὁ λόγος ἐστί. τούτων γὰρ ἡ θεὸς εὑρετίς. Οὔθ' ὁ ζύγιος, οὔθ' ὁ σαπφόρας. ζύγιοι ἵπποι καλοῦνται, οἱ ὑποβαλλόμενοι τῷ τοῦ ἅρματος ζυγῷ. τουτέστιν, ὁ μέσος δεξιός. καὶ ὁ μέσος ἀριστερός. σαπφόραι δὲ, οἱ σίγμα ἔχοντες περὶ τὸν μηρόν. καὶ διὰ τοῦ μ καὶ π γράφεται. Ἀλλ' ἐξελῶ σ' ἐς κόρακας. ἀλλ' ἐκβαλῶ σε καὶ διώξω σε τῆς οἰκίας τῆς ἐμῆς. ταχύτερον δὲ αὐτῷ διαλέγεται καὶ ἀπηνέστερον, τὴν ἐλπίδα τοῦ πεῖσαι αὐτὸν ἀπολωλεκώς. Ἀλλ' οὐ περιόψεταί με. εἰκὸς γὰρ ἦν καὶ τοῦτον σεμνυνόμενον ἐπὶ ταῖς τρισὶ νίκαις τοῦ πατρὸς, ἥδεσθαι τὸν νεανίσκον ὁρῶντα μετερχόμενον τὰ προγονικὰ ἐπιτηδεύματα. Ἀλλ' οὐδ' ἐγὼ μέντοι. ἀλλ' οὐδ' ἐγὼ μέντοι ἀθυμήσω διότι μὴ πέπεικα τὸν υἱόν. οὐδὲ τέλεον ἀφέξομαι τῆς γνώμης τῆς προκειμένης. οἷον, οὐ παραδώσω ἐμαυτὸν ταῖς λύπαις. Διδάξομαι. νῦν μὲν, παθητικὸν ἀποδεκτέον. διδάξομαι δὲ τὸν υἱὸν φιλοσοφεῖν κυριώτερον, ἢ διδάξω. διδάξω μὲν γὰρ, ὁ φιλόσοφος διδάσκαλος ἐρεῖ. διδάξομαι δὲ ὁ πατὴρ. καὶ παῖδα ὁ παραδιδοὺς ἕτερον μανθάνειν. δύναται οὖν καὶ νῦν εἶναι τὸ αὐτὸ, ἵν' ᾖ νοούμενον. ἐπεὶ οὐ τὸν υἱὸν, ἐμαυτὸν διδάξομαι ἔφη, ἅτε βαδίζων εἰς τὸ φροντιστήριον. τὸ δὲ ἐμαυτὸν λείπει τοῦ μέτρου οὐκ ἐπιτρέποντος. ἄλλως. ἀντὶ τοῦ διδασκάλῳ παραδώσω. ἐπεὶ μέσον ὂν τὸ διδάξομαι, πρὸς ἄμφω τὰς ἐνεργείας χωρεῖ.

Καὶ Χαιρεφῶν. ἑταῖρος Σωκράτους ὁ Χαιρεφῶν· ὃς ἐκαλεῖτο καὶ νυκτερὶς, διὰ τὸ μέλας εἶναι καὶ ἰσχνόφωνος. Μηδὲν εἴπῃς νήπιον· μηδὲν εὔηθες μηδὲ μειρακιῶδες μηδ' ἀνόητον εἴπῃς· ἀπὸ τοῦ, μηδὲ τὰ νήπια παιδία εἰδέναι τι. Ἀλλ' εἴ τι κήδει, ἤγουν φροντίζεις· πατρῴων δ' ἀλφίτων, ἀντὶ τοῦ τῶν χρημάτων· ἢ τῆς πατρῴας οὐσίας. τὸ δὲ χασάμενος, ἀντὶ τοῦ καταπαύσας· ἀπὸ μεταφορᾶς τῶν ἀποσχιζομένων καὶ διαχεομένων ὑδάτων. ἄλλως· καταλύσας· καταπαύσας·

ὧν ὁ κακοδαίμων Σωκράτης καὶ Χαιρεφῶν.
στρ. ἢ ἤ, σιώπα· μηδὲν εἴπῃς νήπιον.
ἀλλ' εἴ τι κήδει τῶν πατρῴων ἀλφίτων,
τούτων γενοῦ μοι, χασάμενος τὴν ἱππικήν.
φει. οὐκ ἂν μὰ τὸν Διόνυσον εἰ δοίης γέ μοι
τοὺς φασιανοὺς, οὓς τρέφει Λεωγόρας.
στρ. ἴθ' ἀντιβολῶ σ' ὦ φίλτατ' ἀνθρώπων ἐμοὶ,
ἐλθὼν διδάσκου. φει. καὶ τί σοι μαθήσομαι.
στρ. εἶναι παρ' αὐτοῖς φασιν ἄμφω τὼ λόγω·
τὸν κρείττον' ὅστις ἐστὶ καὶ τὸν ἥττονα.
τούτοιν τὸν ἕτερον τοῖν λόγοιν, τὸν ἥττονα,
νικᾶν λέγοντά φασι τἀδικώτατα.
ἢν οὖν μάθῃς μοι τὸν ἄδικον τοῦτον λόγον,

ἀποστὰς τούτου. ὡς διαστεῖλαι καὶ σχίσαι τὸ ὕδωρ τῇ κώπῃ ἐρέσσουσι. καὶ Πίνδαρος κώπαν ἤδη μοι χάσαι. καὶ Εὐριπίδης. χάσον δὲ δεινὸν ὄμμα. ἄλλως· στήσας καταπαύσας. χάσαι γὰρ τὸν κωπηλατοῦντα στῆσαι τὴν κώπην. Οὐκ ἂν μὰ τὸν Διόνυσον. εὐλόγως τὸν Διόνυσον ὄμνυσι. τούτῳ γὰρ ἐπετελεῖτο τὰ Διονύσια, οἷς ἠγωνίζοντο, οἵ τε τῆς τραγῳδίας καὶ τῆς ἀρχαίας κωμῳδίας ποιηταί. Τοὺς φασιανούς. οἱ μὲν ἵππους, οἱ δὲ ὄρνεα· ἔνιοι δ' ἵππους χάραγμα ἔχοντας φασιανοῦ ὡς ἀλεκτρυόνος. καὶ εἴπερ ἐστὶ τοῦτο μὴ κατεψευσμένον, οἰκεῖον ἂν εἴη τῇ τοῦ νεανίσκου σπουδῇ. οἱ δὲ περὶ Ἀρχίλοχον, ὀρνίθων γένος. οἱ δὲ ὅτι Φᾶσις ποταμός ἐστι Σκυθίας· ὅπου καλοὶ ἵπποι γίνονται. Λεωγόρας δὲ τρυφερός τις, ὁ Ἀνδοκίδου πατήρ. Πλάτων Περιαλγεῖ· ὦ θεῖε Μόρυχε. νῦν γὰρ εὐδαίμων ἔφυς καὶ Γλαυκέτης ἡ ψῆττα καὶ Λεωγόρας, οἳ ζῆτε τερπνὸν οὐδὲν ἐνθυμούμενοι. Εὔπολις ἐν Αὐτολύκῳ β'. ὡς καὶ διὰ Μυρρίνην ἑταίραν τὰ χρήματα ἀποβέβληκε φησίν. οἱ δὲ ἔχοντας τοῦ μηροῦ ἐγκεχαραγμένον φασιανόν. Λεωγόρας δὲ, ὄνομα κύριον ἑνὸς τῶν Ἀθήνησι πολιτευομένων τότε. πατὴρ δὲ οὗτος ἦν Ἀνδοκίδου τοῦ ῥήτορος. ἄδηλον δὲ εἰ καὶ ὄρνεα ἔτρεφεν ὁ Λεωγόρας. μέμνηται δὲ αὐτοῦ ὡς ἱπποτρόφου Ἀθήναιος. καὶ τὸ ἐν Νεφέλαις δὲ ἐπὶ τῶν ὀρνίθων ἔγωγε ἀκούω καὶ οὐκ ἐπὶ ἵππων ὡς οἱ πολλοί. τοὺς φασιανοὺς καὶ ἵππους τρέφειν. καὶ ὄρνεις φασιανούς. κωμῳδεῖται γὰρ ὁ Λεωγόρας ὡς γαστρίμαργος, ὑπὸ Πλάτωνος ἐν Περιαλγεῖ. Ἴθ' ἀντιβολῶ. πορεύου νῦν δὲ πείσθητί μοι. τὸ δὲ ἀντιβολῶ, παρακαλῶ Ἀττικῶς. Καὶ τί σοι μαθήσομαι. οὐ γὰρ ἑαυτῷ ἔμελλε μαθεῖν, ἤγουν δι' οἰκεῖον θέλημα. ἢ ὠφελῆσαι ἀλλὰ διὰ τὸ τοῦ πατρός· διὸ τὸ σοὶ λέγει. ἤγουν τί μαθήσομαι ὑπὲρ σοῦ. Ἄμφω τὼ λόγω. δυϊκῶς ἔκλινε. φησὶ δὲ ἀμφοτέρους τοὺς λόγους τοὺς περὶ Σωκράτην ἐκπαιδεύειν ἱκανῶς. Τὸν ἕτερον τοῖν λόγοιν. τὸ δίκαιον νικᾶν. ὡς ἀγνοῶν ὅτι τὸ δίκαι-

φροντιστήριον. οἱονεὶ, βουλευτήριον. ἢ συνοδός τις καὶ θᾶκος παλαιῶν ἔχων σοφῶν. θᾶκος δὲ καλεῖται, ὁ τόπος, ἀττικῶς ἔνθα πολλοὶ συνέρχονται σκεψόμενοι. φροντισταὶ δὲ ἐκαλοῦντο, οἱ περὶ τὸν σωκράτη, διὰ τὸ φροντίζειν ἀλλήλων. καὶ διὰ τοῦτο μηδέποτε παύεσθαι τῆς φροντίδος. Ὡς ἐστὶ πνιγεύς. πνιγεὺς, ἡ τῶν ἀνθράκων κάμινος. διὸ ἐπιλέγει, ἡμεῖς δ' ἄνθρακες διὰ τὸ ὑπὸ ἡλίου θερμαίνεσθαι. κυρίως δὲ πνιγεύς. ἔνθα οἱ ἄνθρακες ἔχονται καὶ πνίγονται. ταῦτα δὲ πρότερος Κρατῖνος ἐν πανόπταις δράματι

στρ. ψυχῶν σοφῶν τοῦτ' ἐστὶ φροντιστήριον.
ἐνταῦθ' ἐνοικοῦσ' ἄνδρες. οἳ τὸν οὐρανὸν
λέγοντες ἀναπείθουσιν, ὡς ἐστὶ πνιγεύς.
κἄστι περὶ ἡμᾶς οὗτος. ἡμεῖς δ' ἄνθρακες.
οὗτοι διδάσκουσ' ἀργύριον ἤν τις διδῷ,
λέγοντα νικᾶν καὶ δίκαια κἄδικα.
φει. εἰσὶ δὲ τινές. στρ. οὐκ οἶδ' ἀκριβῶς τοὔνομα.
μεριμνοφροντισταὶ. καλοί τε κἀγαθοί.
φει. αἰβοῖ. πονηροί γ' οἶδα. τοὺς ἀλαζόνας.
τοὺς ὠχριῶντας. τοὺς ἀνυποδήτους λέγεις.

περὶ ἵππωνος τοῦ φιλοσόφου κωμῳδῶν αὐτὸν λέγει. ἀστοχαζόμενοί τινές φασιν, ὅτι μὴ δι' ἣν ἔχθρας χάριν ἀριστοφάνης ἐκίνει ἐπὶ τὴν τῶν νεφελῶν ποίησιν. ὅς γε μήτε ἰδίοντι μήτε ἁρμόττον, ἀλλὰ μηδὲ πρὸς ἓν ἔγκλημα ἦλθε σωκράτους. δύο γὰρ κατ' αὐτοῦ ταῦτα προσθεὶς ἐγκλήματα, τὸ περὶ οὐρανοῦ ὅτι ἐστὶ πνιγεύς· καὶ ἴσως ἱκανός ἐστι τὸν ἥττω λόγον διδάσκειν καὶ τὸν κρείττονα, τὸ μὲν, κοινὸν τῶν φιλοσόφων ἁπάντων ἐπήγαγεν ἔγκλημα. φαίνεται δὲ καὶ ἐπὶ τούτων ὁ ἱππῶν κωμῳδηθῆναι φθάσας. τὸ δὲ τῶν ἐγκλημάτων, οὐδὲ τὸ σύνολον ἐπικοινωνεῖ φιλοσοφίᾳ. οὐ γὰρ τοῦτο ἐπαγγέλλονται οἱ φιλόσοφοι, δεινοὺς ποιήσειν λέγειν. ἴδιον δὲ τὸ τοιοῦτο μᾶλλον τῆς ῥητορικῆς. ὥστε ἐπ' ἀμφοτέροις τὸν φιλόσοφον καθαρεύειν. οἱ δ' ὅτι ὁλόκληρον εἰς αὐτὸν συνέταξε δρᾶμα, δι' ἔχθραν νομίζουσιν αὐτὸν πεποιηκέναι, οὐκ ὀρθῶς οἴονται. πρῶτον μὲν γὰρ δίφιλος εἰς βοίδαν τὸν φιλόσοφον, ὁλόκληρον συνέταξε ποίημα. διὸ οὐκ εἰς δουλείαν ἐρρυπαίνετο φιλόσοφος, οὐ διὰ τοῦτο δὲ ἐχθρὸς ἦν. ἔπειτα δὲ εὔπολις εἰ καὶ δι' ὀλίγων ἐμνήσθη σωκράτους, μᾶλλον ἢ ἀριστοφάνης ἐν ὅλαις ταῖς νεφέλαις αὐτοῦ καθήψατο. οὐδὲν δὲ χεῖρον ὑπομνησθῆναι τῶν εὐπόλιδος. δεξάμενος δὲ σωκράτης τὴν ἐπίδειξιν στησιχόρου οἰνοχόην ἔκλεψεν. οἷον δ' ἦν ὁρᾶν τὸν φιλόσοφον, τὸ ἐν φανερῷ μέγιστα σκεῦος κατακείμενον κλέπτοντα καὶ ὑφαιρούμενον. Οὗτοι διδάσκουσιν ἀργύριον ἤν τις διδῷ. καὶ τοῦτο ψεῦδος, διαβολῆς χάριν, οὐδεὶς γὰρ μισθὸν ἐτέλει σωκράτει. ἐπεὶ ἐκεῖνος ἔφασκε, μηδὲν εἰδέναι. διόπερ καὶ ὑπὸ πυθίου σοφὸς ἐκρίθη. τοῦτο γὰρ αὐτοῦ πρῶτον ἔκρινεν εἶναι σοφὸν τὸ γνωρίσαι, ὅτι μηδὲν οἶδε. πῶς ἂν οὖν μισθὸν ἐπράττετο παρὰ τῶν συνόντων, ὁ λέγων περὶ αὐτοῦ ὅτι οὐδὲν οἶδα. Ἀλαζόνας ἰδίως τοὺς ψεύστας ἐκάλουν. εἰκότως δὲ καὶ τοὺς φιλοσόφους, ἀλαζόνας καλεῖ. ἐπεὶ λέγειν ἐπαγγέλλονται, περὶ ὧν οὐκ ἴσασιν. ἢ ὅτι σεμνὰ ἔχοντες ἤθη, ἀλαζόνες δοκοῦσιν. ὠχριῶντες δὲ καὶ ἀνυπόδητοι, ἐπεὶ μόνης ἀρετῆς φροντίζοντες καὶ οὐ τρυφῆς, διώκουσι τὸ ἀπέριττον. πονηροὶ δὲ ἀντὶ τοῦ ἐπίπονοι. ἄθλιοι.

Καὶ χαιρεφῶν

Κύσον με καὶ τὴν χεῖρα δός. πρὸς τὸ ὁμηρικόν. χεῖρας τ' ἀλλήλων λαβέτην καὶ πιστώσαντο. φίλησον καὶ πρὸς τούτοις καὶ τὴν χεῖρα δὸς τὴν δεξιάν. ἔθος δ' ἐπὶ πίστει καὶ συνθήκαις βεβαίαις, τὰς δεξιὰς διδόναι ἀλλήλοις. Ἰδοὺ τί ἔστιν. τὸ ἀξιωθὲν παρὰ τοῦ πρεσβύτου ποιῶν ὁ νεανίσκος, τὴν δεξιὰν ὤρεξεν αὐτῷ. καὶ δῆλον ὅτι παρ' ὑπογραφὴ τὸ εἶδος. Νὴ τὸν ποσειδῶ τουτονί. ἅρμα δείξας, ὄμνυσιν ἢ ἄλλο ἡνιοχικὸν ἢ πολεμικὸν σκεῦος. κυρίως δὲ νῦν ὁ νεανίσκος ὄμνυσι τὸν ποσειδῶνα, θεὸν ἱππικὸν ὄντα, ἅτε καὶ αὐτὸς περὶ ἵππους ἐσπουδακώς. τουτονὶ δὲ, τῷ κοινῷ τῶν ἀνθρώπων ἔθει χρώμενοι αὐτὸν δεῖν νομίζειν δεικνύναι. ἐνίοτε εἰώθασι γὰρ ὀμνύντες λέγειν μὰ τοῦτον τὸν θεόν. μὰ τοῦτον τὸν ἀσκληπιόν. ἄλλοι δὲ ἀφίδρυμα ἔχοντα ποσειδῶνος. διὰ τοῦτο καὶ ὁ πρεσβύτης τῷ ὅρκῳ ἀκολούθως ἄχθεται. Μή μοί γε. μὴ εἴπῃς μοί φησι τὸν ἵππιον. οὐ γὰρ ἀνέχομαι τὸ τῶν ἵππων ἀκούειν ὄνομα δι' οὓς ἀπολώλεκα τὰ χρήματα. Ἔκστρεψον. ἀντὶ τοῦ μετάβαλε. ἀπὸ μεταφορᾶς τῶν ῥυπτομένων ἱματίων καὶ ἐκστρεφομένων. ἐκστρέψαι δὲ ἱμάτιον, τὸ ἀλλάξαι τὸ πρὸς τὸ ἔσω μέρος, ἔξω. ἄλλαξον οὖν φησι τοὺς τρόπους σου. καὶ μεταβαλοῦ μεταφορικῶς. τὸ γὰρ ὡς τάχιστα, κυρίως ἐπὶ ἁρματηλάτου. ταχινὰ γὰρ τὰ ἅρματα. Νὴ τὸν διόνυσον. ἐπεὶ οὐκ ἐπιτρέπει τὸν ποσειδῶνα ὀμνύναι, μεταβαλὼν, τὸν διόνυσον ὄμνυσιν. Καὶ τῴκίδιον. τὸ οἰκίδιον ὑποκοριστικῶς. διασύρει δὲ, καὶ τοῖς ὀνόμασιν αὐτοῖς τὸ εὐτελὲς τῆς φιλοσοφίας εἰς πάντα δεικνύς. τὸ δὲ δεῦρο, νῦν οὐ τοπικόν, ἀλλ' ἀντὶ τοῦ ἐλθέ. ἤγαγε δὲ δῆθεν αὐτὸν, ἐπὶ τὴν σωκράτους οἰκίαν. Ψυχῶν σοφῶν. ἤγουν, ἀνδρῶν φιλοσόφων. τοῦτο δὲ ἐπ' ἀμφοτέρων δύναται νοεῖσθαι. ἔστι γὰρ ἀμφίβολον καὶ ἄδηλον. πότερον τὰς ψυχὰς αὐτὰς λέγει σοφὰς ἢ τοὺς ἄνδρας σοφούς. τὰς δὲ ψυχὰς ἐκείνων, ἔνεστι τὸ φροντιστήριον. ἐὰν μὲν γὰρ ψυχῶν σοφῶν τοῦτ' ἐστὶ φροντιστήριον ἐνδέχεται τὸ αὐτὰς εἶναι τὰς ψυχὰς σοφάς. ἐὰν δὲ ψυχῶν, σοφῶν, ἀνδρῶν λέγει. δύναται δὲ καὶ σκώπτειν διὰ τούτου τὸν περὶ ψυχῆς σωκράτους λόγον. καὶ ἀσαφῶς ἐπί τινος εἰρηκέναι. ἐπεὶ καὶ σωκράτης ὁριζόμενος περὶ ψυχῆς, ἀσαφῶς ἔδοξε λέγειν. καὶ ὥς τινες νομίζουσιν ἀπεναντίας αὐτῷ, τὴν ἰδίαν ἀσθένειαν κατηγορίαν σωκράτους ποιούμενοι. ἃ δὲ περὶ ψυχῆς ὥρισε, ταῦτα. ψυχὴ πᾶσα ἀθάνατος. τὸ γὰρ ἀεικίνητον ἀθάνατον. τὸ δ' ἄλλο κινοῦν, ἢ ὑπ' ἄλλου κινούμενον, παῦλαν ἔχει κινήσεως καὶ ζωῆς.

ΣΤ. κύσον με καὶ τὴν χεῖρα δὸς τὴν δεξιάν.
ΦΕΙ. ἰδού, τί ἔστιν. ΣΤ. εἰπέ μοι φιλεῖς ἐμέ;
ΦΕΙ. νὴ τὸν ποσειδῶ τουτονὶ τὸν ἵππιον.
ΣΤ. μή μοί γε τοῦτον μηδαμῶς τὸν ἵππιον.
οὗτος γὰρ ὁ θεὸς αἴτιός μοι τῶν κακῶν.
ἀλλ' εἴπερ ἐκ τῆς καρδίας μ' ὄντως φιλεῖς
ὦ παῖ, πιθοῦ. ΦΕΙ. τί οὖν πιθοῦμαι δῆτά σοι.
ΣΤ. ἔκστρεψον ὡς τάχιστα τοὺς σαυτοῦ τρόπους.
καὶ μάνθαν' ἐλθὼν ἃν ἐγὼ παραινέσω.
ΦΕΙ. λέγε δή, τί κελεύεις. ΣΤ. καὶ τί, πείσει; ΦΕΙ. πείσομαι
νὴ τὸν διόνυσον. ΣΤ. δεῦρό νυν γ' ἀπόβλεπε.
ὁρᾷς τὸ θύριον τοῦτο καὶ τῴκίδιον;
ΦΕΙ. ὁρῶ. τί οὖν τοῦτ' ἐστὶν ἐτεὸν ὦ πάτερ.

Κοινῇ ξυνέβημεν. ἀντὶ τοῦ ὡμολογήσαμεν. ὅτι καὶ ἀμφοτέροις ἡμῖν ἔδοξε τοῦτο. ἢ διότι ἀφ' ἑκατέρων τῶν γενῶν τῷ ὀνόματι ἐπετίθη μόριος. Ἐκορίζετο. ἐκολάκευεν οἷα τοῖς παιδίοις συμβαίνει τοῖς μικροῖς. Ξυστίδ' ἔχων. ξυστίδα προσπαροξύνουσιν. ἤγουν πορφυρίδα. καὶ γὰρ μέχρι νῦν οἱ εἰσελαύνοντες ἀθληταὶ, τοιούτῳ κοσμηθέντες σχήματι καὶ ἅρματος ἐπιβαίνοντες, διὰ μέσης πομπεύουσι τῆς πόλεως. ᾧ καὶ οἱ βασιλεῖς χρῶνται. Ἄλλως. ξυστὶς λέγεται τὸ κροκωτὸν ἱμάτιον. ὃ οἱ ἡνίοχοι φοροῦσι μέχρι νῦν πομπεύοντες. χρῶνται δὲ αὐτῷ καὶ οἱ τραγικοὶ βασιλεῖς.

κοινῇ ξυνέβημεν, κἀθέμεθα Φειδιππίδην.
τοῦτον τὸν υἱὸν λαμβάνουσ' ἐκορίζετο.
ὅταν σὺ, μέγας ὢν ἅρμ' ἐλαύνῃς πρὸς πόλιν,
ὥσπερ Μεγακλέης ξυστίδ' ἔχων. ἐγὼ δ' ἔφην,
ὅταν μὲν οὖν τὰς αἶγας ἐκ τοῦ Φελλέως,
ὥσπερ ὁ πατήρ σου διφθέραν ἐνημμένος
ἀλλ' οὐκ ἐπείθετο τοῖς ἐμοῖς οὐδὲν λόγοις.
ἀλλ' ἵππερόν μου κατέχεε τῶν χρημάτων.
νῦν οὖν ὅλην τὴν νύκτα φροντίζων ὁδοῦ,
μίαν ηὗρον ἀτραπὸν δαιμονίως ὑπερφυᾶ.
ἣν, ἢν ἀναπείσω τουτονὶ, σωθήσομαι.
ἀλλ' ἐξεγεῖραι πρῶτον αὐτὸν βούλομαι.
πῶς δῆτ' ἂν ἥδιστ' αὐτὸν ἐπεγείραιμι. πῶς.
Φειδιππίδη, Φειδιππίδιον. ΦΕΙ. τί ὦ πάτερ.

Ἐκ τοῦ Φελλέως. τόπος οὕτω καλούμενος ἐν Ἀττικῇ. οὐ μὴν ἀλλὰ καὶ περὶ τὸν Διόνυσόν ἐστί τις ἑορτὴ τοῖς Ἀθηναίοις φέλλος καλουμένη. ἢ τις τῶν Διονυσίων ἀρχεῖ. Λουκιανὸς δὲ ἐν τῷ περὶ τῆς Συρίης θεοῦ φαλλούς φησιν Ἕλληνες τῷ Διονύσῳ ἐγείρουσιν ἐπὶ τῶν, καὶ τοιόνδε τι φέρουσιν. ἄνδρας μικροὺς ἐκ ξύλου πεποιημένους μεγάλα αἰδοῖα ἔχοντας. καλέεται δὲ τάδε νευρόσπαστα. καὶ παρὰ καὶ τῶνδε δὲ, ἐν τοῖς προπυλαίοις τοῦ Συρίης θεοῦ ναοῦ, φαλλοὶ ἑστᾶσιν, οὓς Διόνυσος ἐστήσατο. ἄλλως. τόπος τῆς Ἀττικῆς καλούμενος. ἐκ τούτου δὲ φελλεάτας λέγουσι Δωριεῖς, τοὺς κισσηρώδεις λίθους. αἱ δὲ αἶγες, πρὸς τὰ τραχύτερα διώκουσι. Διφθέραν ἐνημμένος. ἐνδεδυμένος. ποιμενικὸν δὲ περιβόλαιον ἡ διφθέρα. Ἀττικοὶ δὲ λέγουσιν ἣν νῦν ἰσάλην καλοῦμεν. ἔστι δὲ ἐκ δέρματος.

Ἀλλ' ἵππερόν μου κατέχεε. ἔπαιξε παρὰ τὸν ἴκτερον. νόσημα δὲ ὁ ἴκτερος. ὃς ἐπιχεῖται ταῖς ὄψεσι τῶν νοσούντων. διὸ καὶ τὸ κατέχεε κατὰ λόγον ἐπήγαγεν. οὕτω δὲ καὶ τοῖς χρήμασιν αὐτοῦ ἐπιβεβλῆσθαί φησιν ἱππερόν, οἱονεὶ ἱππικὸν ἔρωτα. νόσον ἱππικὴν, διὰ τὸ πολλὰ δεδαπανηκέναι. Τῶν χρημάτων, λείπεται τοῦτο καὶ ῥημάτων. ὥσπερ οὕτως εἴποις. ἀλλὰ κατέχεε τῶν ῥημάτων ἐμοῦ ἱππικὸν ἔρωτα. τουτέστιν ἐμοῦ, ὡς οὐδὲν δεῖ δαπανᾶν ἀφειδῶς λέγοντος, λῆρον ἡγησάμενος τοὺς λόγους, ἀντετίθη αὐτοῖς ὡς δραστής ἐστιν ἵππων, καὶ οὐδέποτε τούτου ἀπέστη. Φειδιππίδιον. τὸ ὑποκορίζεσθαι, φιλούντων ἔθος. κολακεύει δὲ νῦν τὸν υἱὸν καὶ προσποιεῖται φιλεῖν. ἵνα ἑτοιμότερον αὐτὸν πρὸς τὴν ἀξίωσιν ἑαυτοῦ πείθεσθαι παρασκευάσῃ.

λίαν παρεῖλες ἀπελθοῦσά μοι γενναῖος. σπαθᾷν δὲ, τὸ ἀφειδῶς καταναλίσκειν. καὶ παρὰ τοῖς ῥήτορσιν εὕρηται πολλάκις. οἰκείως δὲ νῦν τῇ λέξει χρῆται ἐπὶ γυναικός. καὶ γὰρ ἐπὶ τῶν ὑφαινομένων ἱματίων σπαθᾷν, τὸ ἄγαν κρούειν τὴν κρόκην. δύναται μὲν οὖν τὸ σπαθᾷν, ἐπ' ἀμφοτέρων νοεῖσθαι. ὅτι δὲ νῦν ἐπὶ τοῦ πολλοῦ παρείληπται, δῆλον ἐκ τοῦ ἐπιφερομένου. ἐγὼ δ' ἂν αὐτῇ θοἰμάτιον δεικνὺς τοδὶ, κατὰ πρόφασιν ἔφασκον ὦ γύναι λίαν σπαθᾷς. τοῦτο δὲ ἐπήνεγκε διττὸν ὄν, τό, τε ἀναλοῦν καὶ τὸ ὑφαίνειν.

ἐγὼ δ' ἂν αὐτῇ θοἰμάτιον δεικνὺς τοδὶ
πρόφασιν, ἔφασκον· ὦ γύναι λίαν σπαθᾷς.
ΘΕ. ἔλαιον ἡμῖν οὐκ ἔνεστ' ἐν τῷ λύχνῳ.
ΣΤ. οἴμοι τί γάρ μοι τὸν πότην ἧπτες λύχνον,
δεῦρ' ἔλθ' ἵνα κλάῃς. ΘΕ. διὰ τί δὴ κλαύσομαι.
ΣΤ. ὅτι τῶν παχειῶν ἐνετίθεις θρυαλλίδων.
μετὰ ταῦθ' ὅπως νῷν ἐγένεθ' υἱὸς, οὑτοσί.
ἐμοί τε δὴ καὶ τῇ γυναικὶ τἀγαθῇ,
περὶ τοὐνόματος δὴ ταῦτ' ἐλοιδορούμεθα.
ἡ μὲν γὰρ ἵππον προσετίθει πρὸς τοὔνομα.
ξάνθιππον. ἢ χάριππον, ἢ καλλιππίδην.
ἐγὼ δὲ τοῦ πάππου 'τιθέμην φειδωνίδην.
τέως μὲν οὖν ἐκρινόμεθ'. εἶτα τῷ χρόνῳ.

Λίαν σπαθᾷς, ὃ ἐργάζῃ. ἀλληγορικῶς καὶ τοῦτο. δεικνὺς γὰρ αὐτῇ τὸ ἱμάτιον παραρραγέν, ἔλεγε τοῦτο αὐτῇ. Πότην ἧπτες. πότης ἀπληστίας ὁ ταχέως ἀναλίσκων λύχνος. Θρυαλλίδων. ἀπὸ τοῦ θρύου τὸ παλαιὸν τὰ ἐλλύχνια. τὰ γὰρ παχέα ἐλλύχνια, πολὺ ἔλαιον δαπανῶσι. Μετὰ ταῦθ' ὅπως. μετὰ τὸ ἐπιτιμῆσαι τῷ οἰκέτῃ, ἐπὶ τὸ διήγημα πάλιν ἀνατρέχει τοῦ γάμου. οὐ μὴν συναπτέον πάντα τὸν στίχον. ἀλλ' ἀναπαυστέον μέχρι τοῦ υἱός. εἶτα διαστήσαντα, χρὴ μεθ' ὑποκρίσεως ἐπάγειν οὑτοσί, ὡς ἀχθόμενος αὐτοῦ τῇ γενέσει. Τἀγαθῇ. καὶ τοῦτο εἰρωνευόμενος λέγει. οὐ γὰρ ἀγαθὴν αὐτὴν παρίστησι σπαθαζόμενος ὥστε ὑπὸ τῆς φιλονεικίας καὶ εἰς λοιδορίαν ἐκτραπῆναι. Ξάνθιππον. ὁ ξάνθιππος, περικλέους ἦν πατήρ. ὃς ἦν τοῦ τῶν ἀλκμαιωνιδῶν γένους. ἐσεμνύνετο δὲ τὸ γύναιον θείῳ μεγακλεῖ, τρίτον νικήσαντι ὀλύμπια. καὶ διὰ ἱπποτροφίαν κατελθόντι ἐκ τῆς φυγῆς. ἐδίωξε γὰρ αὐτὸν ὁ πεισίστρατος. ὃν καὶ μετεπέμψατο παραχωρήσαντα αὐτῷ τὸ τῆς νίκης κήρυγμα. καλλίας δὲ ὁ δᾳδοῦχος, προσελθὼν ἐν τῇ ἱερᾷ στολῇ κατὰ περσῶν ἐν μαραθῶνι καὶ ἀριστεύσας κατὰ βαρβάρων, καὶ τρίτον ὀλύμπια νικήσας ἅρματι, τὸν υἱὸν ἱππόνικον ὠνόμασε. λέγεται δὲ τοῦτον νικῆσαι μάλιστα, αἰχμαλώτου τινὸς ἐν τῇ μάχῃ τῶν βαρβάρων, προσελθόντος αὐτῷ καὶ μηνύσαντος θησαυρόν. καὶ αὐτὸν ὕστερον ἀπέκτεινεν ὁ καλλίας. ξάνθιππος μὲν οὖν ἐγένετο περικλέους πατήρ. οὐδὲν δὲ νῦν πρὸς αὐτὸν ἐπικοινωνεῖ τὸ λεγόμενον. πλὴν εἰ μὴ ἄρα διὰ κοινὸν ὕβριν ἣν ἔφαμεν. δυναμένην οὖσαν μητέρα γενέσθαι τοῦ μεγακλέους, τὸ ὄνομα τὸ ξανθίππου εἰλήφει. παρῴδηται δὲ τὸ περικλέους μεγακλέους. ὡς ἂν δυνάμενος ἀμφότερα δηλοῦν. δριμέα γὰρ καὶ ἀστεῖα τὰ τῆς κωμῳδίας σκώμματα.

Ε γκεκοισυρωμένην. περιέργως. κεκοσμημένην. ἢ, ἔθνος ἡ κοισυρόπολις ὀνομάζεται πάνυ αἰσχρὸν καὶ μιαρόν. ἢ τὰ τῆς κοισύρας φρονοῦσαν. ἔστι δὲ ὀρετριακὸν τὸ ὄνομα. οὗτοι δὲ εἰς τρυφὴν διαβάλλονται. αὕτη δὲ ἐγαμήθη πεισιστράτῳ ἐπιχειρήσαντι τυραννεῖν. Ὄζων τρυγός. νέου οἴνου. ἢ τῆς ὑποστάθμης. τρασιὰ δὲ λέγεται ὁ τόπος ἢ ὅπου ψύχεται τὰ σῦκα καὶ ταριχεύεται. ἢ σανίς. τρία δὲ εἶπε τὰ αὐτοῦ. τρυγός. τρασιᾶς. ἀντὶ τοῦ σύκων καὶ ἐρίων περιουσίας. καὶ τὰ ἐκείνης δέ, ἔλεγκτικὸν δὲ τὸ τοιοῦτον σχῆμα.

Ἐρίων περιουσίας. ἀντὶ τοῦ πλούτου. τοιοῦτος δὲ ὁ γεωργικὸς βίος. ἀπὸ δὲ τοῦ καθόλου, ἐπὶ τὰ κατὰ μέρος ἦλθε. καθόλου γὰρ ἐν τοῖς ἐπάνω εἰπὼν τὴν εὐδαι-

σεμνήν. τρυφῶσαν. ἐγκεκοισυρωμένην.
ταύτην ὅτ' ἐγάμουν, συγκατεκλινόμην, ἐγὼ
ὄζων τρυγός. τρασιᾶς, ὀρίων περιουσίας.
ἡ δ' αὖ, μύρου. κρόκου. καταγλωττισμάτων.
δαπάνης. λαφυγμοῦ. κωλιάδος. γενετυλλίδος.
οὐ μὴν ἐρῶ γ' ὡς ἀργὸς ἦν, ἀλλ' ἐσπάθα.

μονίαν τὴν ἑαυτοῦ βρύων μελίτταις, καὶ προβάτοις, καὶ στεμφύλοις, πάλιν καταμερίζει αὐτά. ἀπὸ μὲν γὰρ τῶν προβάτων, τὰ ἔρια. ἀπὸ δὲ τῶν στεμφύλων, τρὺξ καὶ οἶνος. ἀπὸ δὲ τρασιᾶς, τὰ σῦκα. Καταγλωττισμάτων. αἰσχρῶν φιλημάτων περιεργότερον. ἢ εἶδος αἰσχροῦ φιλήματος τὸ καταγλώττισμα. κυρίως δὲ καταγλώττισμα, ὅταν ἐν τῷ καιρῷ τῆς συνουσίας ὁ ἀνὴρ τὴν γλῶτταν αὐτοῦ, τῷ τῆς γυναικὸς ἐμβάλλῃ στόματι. Λαφυγμοῦ. τῆς περὶ τὰ ἐδέσματα πολυτελείας. τουτέστιν ἀσωτίας. λαφυγμὸν γὰρ λέγει, τὸ ἀπλήστως ἐσθίειν. εὔπολις ἐν κόλαξι.

Α ἀρύεται λαφυγμὸν ἀνδρεῖον πάνυ. Ὅμηρος ἔγκατα πάντα λαφύσσει ἔστι γὰρ λάπτω καὶ λαφύσσω, τὸ ῥοφῶ, κυρίως ἐπὶ κυνῶν καὶ χοίρων. ὅθεν παράγεται καὶ ὁ λαφυγμός. εἰκότως δὲ ταῦτα καταλέγει. δηκνύς, ὅτι αἱ εὐγενεῖς γυναῖκες τοιαῦτα πράττουσιν ὑπὸ τῆς ἄγαν τρυφῆς. Κωλιάδος. οἱ μὲν κωλιάδα τὴν θεὸν καλοῦσι νεανίου ἀττικοῦ ἀποδράντος ἀπὸ λῃστῶν, συμμαχίᾳ τῆς θεοῦ καὶ οὕτως αὐτὴν ὀνομάσαντος, καθάπερ αὐτὸς δεθεὶς τῶν κώλων, ἀπελύθη ὑπὸ γυναικός. οἱ δὲ θυγατρὸς τοῦ ἀρχιλῃστοῦ δι' ἔρωτα. οἱ δέ, τὸν τόπον ἐοικότα κώλοις ἀνδρὸς ἔνθα ἡ θεὸς τιμᾶται. ἔνιοι δὲ ἴωνος θύοντος, κόρακα ἁρπάσαι κωλῆν καὶ ἐνεγκεῖν ἐν τῷ τόπῳ ἀποθέσθαι, ὅθεν οὕτως ὠνομάσθη. ἄλλως. Κωλιὰς ναός ἐστιν ἀφροδίτης οὕτω καλούμενος ἀπό τινος νεανίσκου ἀττικοῦ ἁλόντος ὑπὸ τυράννων καὶ δεθέντος τὰ κῶλα. εἶτα ἐρασθείσης αὐτοῦ τῆς θυγατρὸς τοῦ τυράννου καὶ λυσάσης, ἐπανελθὼν εἰς ἀθήνας, χαριστήριον τῇ ἀφροδίτῃ ναὸν ἱδρύσατο κωλιάδος, διὰ τὸ τὰ κῶλα λελύσθαι. Γενετυλλίδος. γενετυλλὶς ἡ τῆς γενέσεως ἔφορος ἀφροδίτη.

Ο ὐ μὴν ἐρῶ γ' ὡς ἀργὸς, ἀλλ' ἐσπάθα. πρὸς τὸ ἀργὸς, ἐσπάθα καὶ τοῦτο εἰρωνευόμενος. περὶ γυναικὸς δὲ λέγει, ἀντὶ τοῦ κατηνάλισκε. κατήσθιε καὶ διὰ τοῦτο οὐκ ἀργὸς ἦν. ἀττικοὶ δὲ ἐπὶ τῶν θηλυκῶν, ἀρσενικῶν ὀνομάτων κέχρηνται λέξεσιν ὡς ἐνταῦθα καὶ παρ' ὁμήρῳ κλυτὸς ἱπποδάμεια. καὶ εὐριπίδης ἐν ἑκάβῃ τὸ δ' αὖ

συγκαλυψάμενος καὶ στραφεὶς, πάλιν κοιμᾶται. Εἴθ' ὤφελ' ἡ. τὸ ὤφελε τινὲς ἐπιρρηματικῶς δέχονται ὡς τὸ ὤφελε μηδ' ἐγένοντο θοαὶ νέες. καὶ τὸ εὑριπίδου ἐν μηδείᾳ κατ' ἀρχὰς τοῦ δράματος. ἵν' ᾖ παράλληλον τὸ σχῆμα τοῦ πρεσβύτου συνεχέστερον ἀποδυρομένου τῇ προμνηστρίᾳ. ὁ δὲ ποιητὴς ῥῆμα αὐτὸ εἶδε. οὐκ ὄφελον τρώεσσι κοτεσσάμενος. καὶ μὴ ὄφελες λίσσεσθαι ἀμύμονα αἰακίδαο. τὸ φεῦ, ἰδίως. Η προμνήστρι' ἀπολέσθαι. ἡ προνοήσασα τῶν γάμων. προμνήστρια καλεῖται ἡ νῦν προξενήτρια.

φεῦ. εἴθ' ὤφελ' ἡ προμνήστρι' ἀπολέσθαι κακῶς,
ἥτις με γῆμ' ἐπῆρε τὴν σὴν μητέρα.
ἐμοὶ γὰρ ἦν ἄγροικος ἥδιστος βίος.
εὐρωτιῶν. ἀκόρητος. εἰκῆ κείμενος.
βρύων μελίτταις, καὶ προβάτοις καὶ στεμφύλοις.
ἔπειτ' ἔγημα μεγακλέους τοῦ μεγακλέους
ἀδελφιδῆν ἄγροικος ὢν ἐξ ἄστεος.

Γῆμ' ἐπῆρε. κυρίως τὸ ἀνεχαύνωσεν. ἀνεκούφισεν. ἐπαγγελλομένη προῖκα μεγάλην εἰσοίσειν τὴν γυναῖκα. καταχρηστικῶς δὲ ἀνέπεισεν.

Ευρωτιῶν. αἰτὶ τοῦ ἱδρῶν. ἑρμηνεύει δὲ τοῦτο διὰ τοῦ, εἰκῆ κείμενος εὐρωτιῶσι γὰρ τὰ εἰκῆ κείμενα. ὡς ὑπὸ νότιδος αὐτοῖς ἐπιγινομένοις καὶ σηπεδόνος, καὶ εὐρὼς ὁ σκώληξ ἐπεὶ τοῖς ἀμελῶς κειμένοις, ἱδρὼς προσίζει. τουτέστι, νοτίς. τοιοῦτος δὲ ὁ τῶν ἀγροίκων βίος. ὁ γὰρ αὐτῶν οἶκος πυρῶν καὶ δερμάτων μεστὸς ὢν, οὐδὲ μίαν ἔχει τῶν τοιούτων πραγμάτων εὐθετίσαν. ἀλλ' ἄλλο ἀλλαχῆ κεῖται ὡς ἔτυχε. τὸ δὲ ἀκόρητος, ἀκαλλώπιστος. κορεῖν γὰρ τὸ καλλωπίζειν. ὅθεν καὶ νεωκόρος. Καὶ προβάτοις καὶ στεμφύλοις. στέμφυλα κυρίως λέγεται, τὰ ἀποπιέσματα τῶν ἐλαιῶν. ὑποπιέσματα δὲ τὰ ἐκ τῶν σταφυλῶν ἀποπιεζόμενα. εὑρίσκεται δὲ καὶ ἀνάπαλιν τὰ στέμφυλα ἐπὶ τῶν σταφυλῶν. καὶ τὰ ὑποπιέσματα ἐπὶ τῶν ἐλαιῶν. Τοῦ μεγακλέους. ἐδιπλασίασε τὸ ὄνομα εἰρωνευόμενος. τοῦ ἀλκμαιωνιδῶν δὲ οὗτοί εἰσι γένους αὐτὸς δὲ διεβάλλετο ὡς δοῦλος. ὁ πρῶτος οὖν μεγακλῆς, κοισύρας ἦν υἱὸς ἥ τις ἦν ὑπερβαίνουσα γένει καὶ πλούτῳ. ἦν δὲ ἐξ ἐρετρίας. διὸ καὶ κοισυροῦσθαι τὸ μέγα φρονεῖν, παρ' ἐρετριεῦσιν. Αγροικος ὢν ἐξ ἄστεος. οὐκ ἀργῶς τῇ παραθέσει ταύτῃ ἐχρήσατο, οὐ γὰρ ὀνειδίσαι βουλόμενος ἑαυτὸν ἄγροικον καλεῖ, αὐτόκαιτον γὰρ καὶ ἄγροικον παντάπασι διαβάλλειν ἑαυτὸν, ἀλλὰ πρῶτον μὲν λεληθότως, διὰ τούτου τὴν εὐπορίαν δείκνυσι τὴν ἑαυτοῦ. οὐ γὰρ ἂν εἰ μὴ πάνυ ἦν πλούσιος, ἀπηξιώσατο ἂν αὐτοῦ ἡ γυνὴ, καὶ τῇ δόξῃ αὐχοῦσα τοῦ γένους καὶ τῇ ἐν ἄστει διατριβῇ. δοξάζειν γὰρ εἰώθασιν οἱ ἄνδρες ἔχειν οὐχ ἧττω τῶν γυναικῶν. ὁ δὲ τῇ αὐτῇ παραθέσει καὶ τοῦτο ἀπεστώσατο, φήσας αὐτὸν ἄγροικον εἶναι. τὴν δὲ γυναῖκα πολιτικήν. θαυμαστὸν γὰρ οὐδὲν, εἰ ἄνθρωπον ἰδιοπράγμονα καὶ μέτριον τοὺς τρόπους τῇ ἐπὶ τῆς ἀγροικίας διαίτῃ, γύναιον ὑπέταξε πολιτικὸν καὶ κατεδουλώσατο. Σεμνήν. οὐ τὴν σώφρονα. οὐ γὰρ ἐπαινεῖ αὐτὴν ἀλλ' ἀλαζόνα καὶ ὑπέρογκον καὶ σοβαρὰν τῷ εἴδει. τρυφῶσαν δὲ ἱματίοις καὶ τῇ ἄλλῃ δαπάνῃ.

Α παρὰ τὸ ἵππον ἐξαλίσας. καὶ τοῦτο ὀνειροπολούμενος ὁ νεανίσκος λέγει ἐξαλίσας δὲ, ἐκκυλισθῆναι ποιήσας. καὶ τὸν τόπον ἐν ᾧ τιθέντες ἑαυτοὺς οἱ ἵπποι τοῦτο ποιοῦσιν, ἀλινδήθραν ἐκάλουν ὥσπερ καὶ ἐν τοῖς βατράχοις ὁ αὐτὸς ποιητής. ἀλινδήθρας τε καὶ ἐγκυλίσματα. Αλλ' ὦ μέλ' ἐξήλικας. κατὰ ἀποκοπὴν τοῦ ε. ἀττικῶς. οὕτω ἐν τοῖς παλαιοῖς τῶν ἀντιγράφων εὕρηται γραφόμενον.

Ο τε καὶ δίκας ὦφληκα. ἢ γοῦν καὶ δίκας προσώφληκα. ἢ ὡς καὶ δίκας προσώφλον καθ' ὑπόστασιν δὲ χρῆται ταύτῃ, ὅτι πρὸς τῷ ζημιωθῆναι εἰς τὴν ἱπποτροφίαν, καὶ εἰς δίκας ἐμπέπτωκεν. ὑποτείνει γοῦν τὸ κακόν, ὅτι πρὸς τῷ ζημιοῦσθαί με, ἔτι καὶ δίκας ὀφείλω. καὶ γὰρ οὐ τοῦ δανείου χάριν, ἀλλὰ τοῦ τόκου ἐνεχυράσασθαι ἀπειλοῦσιν.

ΦΕΙ. ἄπαγε τὸν ἵππον ἐξαλίσας οἴκαδε.
ΣΤΡ. ἀλλ' ὦ μέλ' ἐξήλικας ἐμέ γ' ἐκ τῶν ἐμῶν.
ὅτε καὶ δίκας ὦφληκα. χἄτεροι τόκου
ἐνεχυράσασθαί φασιν. ΦΕΙ. ἐτεὸν ὦ πάτερ
τί δυσκολαίνεις, καὶ στρέφει τὴν νύχθ' ὅλην.
ΣΤΡ. δάκνει με δήμαρχός τις ἐκ τῶν στρωμάτων.
ΦΕΙ. ἔασον ὦ δαιμόνιε καταδαρθεῖν τί με.
ΣΤΡ. σὺ δ' οὖν κάθευδε. τὰ δὲ χρέα ταῦτ' ἴσθ' ὅτι
εἰς τὴν κεφαλὴν ἅπαντα τὴν σὴν τρέψεται.

Χ' ἄτεροι τόκου. ἀντὶ τοῦ καὶ ἄλλοι. ἀττικῶς εἶπε. λείπει ἡ ὑπὲρ. καὶ ἕτεροι ὑπὲρ τόκου ἐνέχυρα παρ' ἐμοῦ λήψεσθαί φασιν. μᾶλλον δὲ τὴν ὄχλησιν δείκνυσι τὴν κατ' αὐτοῦ. οὕς φησι τόκου χάριν ἐνεχυριάσειν αὐτὸν ἀπειλεῖν. Ετεὸν ὦ πάτερ ταῦτα οὐκέτι ὀνειροπολούμενος, ἀλλ' ἐγερθεὶς λέγει. ἑωρακὼς τὸν πατέρα ὀδυρόμενον. Τί δυσκολαίνεις καὶ στρέφῃ. τί περιστρέφῃ συνεχῶς. συμβαίνει δὲ τοῖς ἀγρυπνοῦσι τοῦτο πάσχειν τῇ δὲ κἀκεῖσε ῥίπτειν ἑαυτοὺς καὶ μεταβάλλειν.

Δάκνει με δήμαρχός τις. παίζων τὸν κόριν ἢ τὴν ψύλλαν καλεῖ. οἱ δὲ δήμαρχοι οὗτοι τὰς ὑπογραφὰς ἐποιοῦντο τῶν ἐν ἑκάστῳ δήμῳ χρεῶν. καὶ τὰ ληξιαρχικὰ γραμματεῖα παρ' αὐτοῖς ἦν. συνῆγόν τε τοὺς δημότας ὅτε δέοι. καὶ ψῆφον αὐτοῖς ἐπεδίδοσαν. καὶ ἐνεχυρίαζον. ἀριστοτέλης δὲ περὶ κλεισθένους φησί. κατέστησε καὶ δημάρχους τὴν αὐτὴν ἔχοντας ἐπιμέλειαν τοῖς πρότερον ναυκλάροις. καὶ γὰρ τοὺς δήμους ἀντὶ τῶν ναυκλαρίων ἐποίησεν. οἱ πρότερον, ναύκλαροι εἶτε ὑπὸ σόλωνος κατασταθέντες εἴτε καὶ πρῶτον. οὗτοι δὲ τὴν πομπὴν τῶν παναθηναίων ἐκόσμουν, Κλεισθένους καταστήσαντος ἀντὶ ναυκλάρων. ἔστι δὲ δήμαρχος ὁ τὴν ἐπώνυμον ἀρχὴν ἄρχων. καὶ Ἀσκληπιάδης ὁ ἀλεξανδρεὺς τοὺς κατὰ δῆμον ἄρχοντας φησί. Δημήτριος δὲ ὁ φαληρεὺς οὕτω φησί. καὶ Δημάρχους οἱ περὶ Σόλωνα καθίσταντο ἐν πολλῇ σπουδῇ ἵνα οἱ κατὰ δῆμον ἄρχοντες διδῶσι καὶ λαμβάνωσι τὰ δίκαια παρ' ἀλλήλων. ἔδει οὖν τὸν δήμαρχον ἀγαγεῖν εἰς τοὺς οἴκους τοὺς ἐνεχυριαζομένους. παίζει δὲ, ὡς εἰ ἔλεγε κόρις ἢ ψύλλα. ὄνομα δὲ πολιτείας οἱ δήμαρχοι. οἷς ἐχρῆν ἐνεχυριάζειν τοὺς ἀγνώμονας τῶν χρεωστῶν. τοῦτο δὲ, οὐκέτι καθεύδων, ἀλλ' ἐγερθείς. ἄλλως. Καταδαρθεῖν, οἱ ἀττικοὶ παροξύνουσι καταδάρθειν. κυρίως δὲ τὸ ἐπὶ δέρματος κοιμᾶσθαι. ταῦτα δὲ εἰπὼν ὁ νεανίσκος,

τοιαύτην αὐτοὺς ἔχειν, ἀλλὰ διὰ τὸ οὕτως ἐγκεχαράχθαι. ὡς καὶ ἀλεξάνδρου τοῦ μακεδόνος ὁ ἵππος ἦν. ὃς τελευτήσαντος τοῦ βουκεφάλου, ἀλεξάνδρειαν ἔκτισεν. ἐντάφιον αὐτῷ τῆς ἀρετῆς χαριζόμενος πόλιν. Εἴθ' ἐξεκόπην. ἔπαιξε τὸ ἐξεκόπην περὶ τὴν κοππατίαν. φησὶ δὲ ὄφελον πρὶν πρίασθαι τὸν ἵππον, τὸν ὀφθαλμὸν ἐκκεκόφθαι. πατάξας αὐτὸν λίθῳ. Φίλων ἀδικεῖς. ὁ νεανίσκος φειδιππίδης τοῦτο καθεύδων ὑποφθέγγεται, ὡς τινα συνηνιοχοῦντα μεμφόμενος. ὅτι δέον αὐτὸν ἐλαύνειν μὴ ὑποσκελίζοντα μηδ' ὑποθέοντα τὰς τῶν ἵππων ὁδοὺς, ὡς ἀνεπικωλύτως θέοιεν, ὁ δ' ὑποθέει καὶ ἐμποδίζει προλαμβανόμενος τῶν ἵππων τῶν ἐκείνου τὸν δρόμον. δεῖγμα δὲ τῆς περὶ τὴν ἱππικὴν αὐτοῦ σπουδῆς, τὸ φροντίζειν καὶ καθεύδοντα περὶ τούτων. τὸ δὲ φίλων οἱ μὲν φασὶν ἀναρμόστως καθ' ὕπνον εἰρηκέναι τὸν νεανίσκον, ἀντὶ τοῦ ὦ φίλε. οἱ δὲ κύριον ἡνιόχου.

εἴθ' ἐξεκόπην πρότερον τὸν ὀφθαλμὸν λίθῳ.
φει. φίλων ἀδικεῖς. ἔλαυνε τὸν σαυτοῦ δρόμον.
στρ. τοῦτ' ἔστι τοῦτο τὸ κακὸν, ὅ μ' ἀπολώλεκεν.
ὀνειροπολεῖ γὰρ καὶ καθεύδων ἱππικήν.
φει. πόσους δρόμους ἐλᾷ τὰ πολεμιστήρια.
στρ. ἐμὲ μὲν σὺ πολλοὺς τὸν πατέρ' ἐλαύνεις δρόμους,
ἀτὰρ τί χρέος ἔβα με μετὰ τὸν πασίαν.
τρεῖς μναῖ διφρίσκου, καὶ τροχοῖν ἀμυνίᾳ.

Π. ὅσους δρόμους. ὀνειρώττων εἶπε πόσους δρόμους. εἷς δ' ἐστὶν ἀπὸ τῆς ἀφετηρίας μέχρι τοῦ καμπτῆρος. οἱ δ' ἡνίοχοι, καθωπλισμένοι ἤλαυνον. τοῦτο δὲ εὗρεν ὁ θησσεύς. Πολεμιστήρια. κατά τινας, ἀγὼν ἀθήνησιν ἱππικοῦ δρόμου. ἕνα δὲ δρόμον ἐκεῖ τρέχουσιν. ὥστε τὰ ἁμαλλητήρια, πυνθυντικῶς εἶπεν ὁ νέος, σφαλλόμενος ἐκ τοῦ ὀνειροπολεῖν. πολεμιστήρια καλοῦνται καὶ τὰ πολεμικὰ ἅρματα, ἐφ' ὧν ὁ ὁπλίτης ἐπιβέβηκεν, ἅμα τῷ παραβάτῃ. ταῦτα δὲ ἔζευξεν ὁ θησεύς. ἁμαλλητήρια δὲ, τὰ ἀγωνίσματα. ἄλλως. δέον εἰπεῖν πόσους δρόμους ἐλαύνει τὰ ἁμαλλητήρια. ἀντὶ τοῦ πόσοι δρόμοι εἰσὶ τῆς ἁμίλλης, ὁ δὲ ἐπειδὴ καθ' ὕπνους τοῦτ' ἔλεγε, πολεμιστήρια εἶπεν. ὁ γὰρ νοῦς, τῶν ὀργανίων ἀργούντων τῷ ὕπνῳ εἰκῆ φέρεται.

Λ. ἀτὰρ τί. τί δὴ μετὰ ταῦτα ὄφλημά με κατέλαβεν. εὐριπίδης, τί χρέος ἔβα δῶμα. Τρεῖς μναῖ διφρίσκου. δίφρος καλεῖται τὸ σκεῦος, ἐν ᾧ οἱ ἡνίοχοι ἐφεστῶτες, ἐλαύνουσιν. ὑποκοριστικῶς δὲ εἶπε τοὺς διφρίσκους. διὰ τὸ μικροὺς, εἶναι καὶ κούφους τοῖς ἀγωνιζομένοις πρὸς τοὺς ἀγωνιστικούς. Καὶ τροχοῖν ἀμυνίᾳ. καὶ οὗτος τῶν ὑπὲρ ἵππους δαπανησάντων. μέμνηται δὲ αὐτοῦ καὶ ἐν τοῖς σφηξί. νῦν δὲ οὐκ ἐκείνου καθαπτόμενος μνημονεύει αὐτοῦ, ἀλλὰ τὸν ἄρχοντα διασύρειν βουλόμενος τῇ ἐκείνου προσηγορίᾳ ἐχρήσατο. τότε γὰρ ἦρχεν Αμυνίας προνάπου υἱός. ἐκεῖνον οὖν ἐπισκῶψαι θελήσας, παρέτρεψε τὸ ι εἰς τὸ υ καὶ παρεγραμμάτισε γελοίως. ἐπεὶ παρὰ τοῖς ἀθηναίοις ὁ νόμος, φανερῶς ἐκώλυε τὸν ἄρχοντα κωμῳδεῖν. ἀμυνίαν δὲ αὐτὸν εἶπεν, ἀντὶ τοῦ ἀμινίαν.

Ι παιδεύεται καὶ ξυνωρικεύεται. νῦν μὲν ἐπὶ κέλητος, νῦν δὲ ἐπὶ ξυνωρίδος ἅρματος
ὀχούμενος ἄνω καὶ κάτω βακχεύει. ξυνωρὶς δὲ, τὸ μὴ τέλειες ἅρμα, ἀλλ' ἐκ δυοῖν
ἵππων συνεστώς. ὃ νῦν δίφρον καλοῦμεν. τὸ δὲ ἱππεύεσθαι, οὐχ ἁπλῶς χρείαν περὶ
ἱππικὴν ἔχειν, ἀλλὰ τὸ ἐπὶ ἑνὸς ἵππου ὀχεῖσθαι καὶ οὕτως ἱππάζεσθαι. ὃ νῦν κέ-
λητα καλοῦσιν. Ὀνειροπολεῖ θ' ἵππους. καὶ τοῖς ὀνείροις ἵππους περινοεῖ. τοῦτ' ἔ-
στιν οὕτω προσέθηκε τῷ πράγματι, καὶ οὕτω περὶ ἵππους ἐσπούδακεν, ὥς τι καὶ
καθεύδων τὰ ὀνείρατα
περὶ ἵππων ὁρᾷ. τὸ ὀνει-
ροπολεῖ δὲ καὶ ὀνειρώτ-
τειν ταύτῃ διενήνο-
χεν. ὅτι τὸ μὲν ὀνειροπο-
λεῖν, ἐπὶ τῶν ἐνύπνιον
ὁρώντων. τὸ δὲ ὀνειρώτ-
τειν, ἐπὶ τῶν νυκτὸς αὐ-
τομάτως ἀφιέντων γό-
νον. ὅπερ τοῖς ἐρῶσιν ἐκ-
τόπως συμβαίνει, δόξα-
σι τοῖς παιδικοῖς συνεί-
γνυται.

ἱππάζεταί τι καὶ ξυνωρικεύεται.
ὀνειροπολεῖ θ' ἵππους. ἐγὼ δ' ἀπόλλυμαι,
ὁρῶν ἄγουσαν τὴν σελήνην εἰκάδας.
οἱ γὰρ τόκοι χωροῦσιν. ἅπτε παῖ λύχνον,
κἄκφερε τὸ γραμματεῖον. ἵν' ἀναγνῶ λαβὼν,
ὁπόσοις ὀφείλω, καὶ λογίσωμαι τοὺς τόκους.
φέρ' ἴδω τί ὀφείλω δώδεκα μνᾶς Πασίᾳ.
τοῦ, δώδεκα μνᾶς Πασίᾳ, τί ἐχρησάμην.
ὅτ' ἐπριάμην τὸν κοππατίαν. οἴμοι τάλας.

Ὁρῶν ἄγουσαν τὴν σελήνην εἰκάδας. ἢ ὅτι μετὰ εἰκάδα ὁ μὴν, καὶ προσεγ-
γίζει τῇ τριακάδι καὶ τῶν δανείων οἱ τόκοι αὔξονται, ἢ ὅτι αἱ μυστικαὶ δαπά-
ναι ὑπῆρχον. οἱ ἀττικοὶ δὲ τὰς εἰκάδας πληθυντικῶς λέγουσιν. ἄλλως. ἐπεὶ ἡ σε-
λήνη ἐν ἡμέραις εἰκοσιεννέα τελεῖται. τὰ δὲ κ΄ τῶν εἰκοσιεννέα ἐγγὺς, ἐδίδοντο δὲ
ἐν τῷ τέλει τῆς σελήνης οἱ τόκοι, διὰ τοῦτο εἰκάδας εἶπεν. ἢ γὰρ εἰκάδας μὴ νόει
διὰ μόνα τὰ εἴκοσιν, ἀλλὰ καὶ διὰ τὰ ἐφεξῆς. τούτου γὰρ ἕνεκα, πληθυντικῶς εἴρηται.
Α Ἅπτε παῖ λύχνον. ταῦτα πάντα παρεγκυκλήματά ἐστι. δεῖ γὰρ τὸν οἰκέτην τὰ
προσταχθέντα ποιῆσαι. ἅψασθαι τὸν λύχνον, καὶ δοῦναι τὸ βιβλίον. ἔπειτα καθο-
ρᾶν ἐν αὐτῷ. καὶ οὕτω λέγειν τοὺς δανειστάς. Δώδεκα μνᾶς Πασίᾳ. τοῦτον
ὡς ἱπποτρόφον καὶ διαπορθήσαντα τὴν οὐσίαν παρεισήγαγε. χαριέντως δὲ τού-
του νῦν μνημονεύει. ἐπεὶ καὶ αὐτὸς δι' ἱπποτροφίαν δοκεῖ δυστυχεῖν. Τοῦ δώδε-
κα μνᾶς. τοῦτο παρεγκύκλημα ἐφίστησιν, ὡς διαπορεῖν τοῦ δανείου τὴν αἰτίαν. εἶ-
τα ἀναμνησθεὶς, τὰ ἑξῆς ἐπάγει. τοῦ, δώδεκα μὴ λάβῃς εἰς τὸ τοῦ, ἔξωθεν τὸ ἕνε-
κα ὡς οἴονταί τινες. ἀλλ' ἔστιν ἡ τοιαύτη γενικὴ πρὸς τὸ μνᾶς. Τὸν κοππατίαν.
κοππατίας ἵππους ἐκάλουν, οἷς ἐγκεχάρακτο τὸ κ΄ στοιχεῖον. ὡς σαμφόρας, τοὺς
ἐγκεχαραγμένους τὸ σ΄, τὸ γὰρ σ΄ καὶ τὸ ν΄ χάραγμα ὅμοιον, σὰν ἔλεγον. αἱ δὲ χα-
ράξεις αὗται καὶ μέχρι τοῦ νῦν σώζονται ἐπὶ τοῖς ἵπποις. συνεζευγμένου γὰρ τοῦ
κ΄ καὶ σ΄, τὸ σχῆμα τοῦ ϛ΄ ἀριθμοῦ δύναται νοεῖσθαι, οὗ προηγεῖται τὸ κ΄. καὶ πα-
ρὰ γραμματικοῖς, οὕτω διδάσκεται. καὶ καλεῖται κόππα, ἐνενήκοντα. τινὲς δὲ
κοππατίαν ἐξηγήσαντο, τὸν κόπτοντα καὶ κοιλαίνοντα ταῖς ὁπλαῖς τὸ ἔδαφος,
οὐδὲν ὄντως ὑποτιθέμενοι. οὐ γὰρ βουκεφάλους ἵππους καλοῦμεν, διὰ τὸ μορφὴν

γασομένους ὡς ὑπὸ τὴν περὶ τὴν γεωργίαν ἀσχολίαν, μὴ δὲ ἔτως μηδὲ οὕτω βαθέως δύνασθαι καθεύδειν. Ἀπόλοιο δῆτ' ὦ πόλεμε. φασὶν ὡς ἀθηναῖοι λακεδαιμονίοις ἐν ἀργινούσαις ναυμαχήσειν μέλλοντες, προεῖπον τοῖς δούλοις, ὡς εἴ τις αὐτῶν συμπαρατάξεται τῇ ναυμαχίᾳ, τιμῆς εἰς τὸ λοιπὸν ἀπολαύσειν. βοηθησάντων οὖν τῶν δούλων, λακεδαιμονίους ἐνίκησαν καὶ ταῦτα μέν τινες. φάσκουσι. τὸ δ' ἀληθὲς, οὕτως ἔχει. ἀθηναίοις καὶ λακεδαιμονίοις, πόλεμος ἦν. οὐκ ἤθελον οὖν ἀθηναῖοι τοὺς δούλους κολάζειν ἐπιπαίσαιεν, διὰ τὸ ὅτι μὴ πρὸς λακεδαιμονίους αὐτομολήσωσι. τὸ δὲ ὅτι, ποτὲ μὲν μόνον χρόνον δηλοῖ. ποτὲ δὲ, καὶ χρόνον καὶ αἰτίαν, ὡς ἐστὶ καὶ ταῦτα. Ἀλλ' οὐδ' ὁ χρηστὸς οὗτοσί. νῦν, οὐκ ἐπαινῶν αὐτὸν χρηστὸν φησιν, ἀλλ' ἐν εἰρωνείᾳ. πῶς γὰρ δύναται θαυμάζειν, ὃν ἐπὶ ῥαθυμίᾳ μέμφεται.

ἀπόλοιο δῆτ' ὦ πόλεμε πολλῶν οὕνεκα,
ὅτ' οὐδὲ κολάσ' ἔξεστί μοι τοὺς οἰκέτας.
ἀλλ' οὐδ' ὁ χρηστὸς οὑτοσὶ νεανίας,
ἐγείρεται τῆς νυκτὸς ἀλλὰ πέρδεται
ἐν πέντε σισύραις ἐγκεκορδυλημένος.
ἀλλ' εἰ δοκεῖ ῥέγκωμεν ἐγκεκαλυμμένοι.
ἀλλ' οὐ δύναμαι δείλαιος εὕδειν, δακνόμενος
ὑπὸ τῆς δαπάνης. καὶ τῆς φάτνης. καὶ τῶν χρεῶν,
διὰ τουτονὶ τὸν υἱόν. ὁ δὲ, κόμην ἔχων,

Ἐν πέντε σισύραις. στερεὰ περιβλήματα παχέα τὰς νῦν καλουμένας ἐμφερῆ σύρας. ἔστι δὲ φαῦλα καὶ μακρὰ περιβλήματα. Ἀλλ' οὐ δύναμαι. ἀλλ' οὐκ ἐπειδή μοι ὕπνος. εὐθὺς δὲ καὶ τὴν αἰτίαν ἐπάγει τοῦ μὴ δύνασθαι καθεύδειν. Δείλαιος, ἄθλιος. κακοδαίμων. Ἐγκεκορδυλημένος. ἐγκεκρυμμένος. κορδύλην γὰρ οἱ κύπριοι λέγουσι τὸ περιείλημα τῆς κεφαλῆς. παρεπιγραφή. ποιήσας γὰρ ἀσχήμονα τὴν ὄψιν καὶ τὸ σχῆμα τοῦ νεανίσκου μιμησάμενος ὥσπερ ἐκεῖνος ἐκάθευδεν. ἀποστραφεὶς καὶ αὐτὸς, πειρᾶται δῆθεν καθεύδειν, ἐγκρύψας τὴν κεφαλὴν τοῖς περιειλύμασιν. Ἀλλ' εἰ δοκεῖ ῥέγκωμεν. ἰστέον ὅτι λήγοντος τοῦ χειμῶνος, ἀρχομένου δὲ τοῦ ἔαρος, γίνεται τὰ διονύσια. ὥστε διὰ τὸ κρύος αὐτοὺς εἰκὸς καθεύδειν, τοιούτῳ σχήματι τὴν κεφαλὴν περιβεβλημένους. ὥστε καὶ πέντε περιβόλαια περιβεβλῆσθαι τὸν υἱόν. Δακνόμενος. ἐνοχλούμενος ὑπὸ τῶν τῆς ἱπποτροφίας ἀναλωμάτων. δοκεῖ γὰρ δαπανηρὸν εἶναι, ἵππους τρέφειν. ὅπερ καὶ τῇ λακωνικῇ προσέζευκται κατάρᾳ. καὶ γὰρ δὴ καὶ τοῦτο οἱ λακεδαιμόνιοι ἐν κατάραις ἔθεσαν μοίρᾳ. τὸ δὲ δακνόμενος ἔλαβεν, ἀπὸ τοῦ αὐτὸν κατακεκλεῖσθαι εἴσω τῶν στρωμάτων καὶ τῶν περιβλημάτων. τὸ δὲ χρεῶν νῦν περισπαστέον. δηλοῖ γὰρ τῶν ὀφλημάτων. εἴρηκε δὲ ἀπὸ τῶν κόρεων. δαπάνην δὲ τουτέστι τὰ δεσμὰ τοῦ χόρτου. ἵνα ἑξῆς καὶ ἀκολούθως τῇ φάτνῃ λέγειν δοκῇ. Ὁ δὲ, κόμην ἔχων. ἐκόμων γὰρ οἱ περὶ ἱππικὴν ἔχοντες. καὶ τοῖς ἱππεῦσι. Μὴ φθονεῖθ' ἡμῖν κομῶσι μηδ' ἀπεστλεγγισμένοις.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΝΕΦΕΛΑΙ.

Στρεψιάδης ὁ προλογίζων.

Ἰοὺ ἰού.
Ὦ Ζεῦ βασιλεῦ τὸ χρῆμα
τῶν νυκτῶν, ὅσον
Ἀπέραντον. οὐδέποθ' ἡμέρα
γενήσεται;
Καὶ μὴν πάλαι γ' ἀλεκτρυό
νος ἤκουσ' ἐγώ.
οἱ δ' οἰκέται ῥέγκουσιν ἀλλ' οὐκ ἂν πρὸ τοῦ.

Ἰοὺ ἰού. σχετλιαστικὸν ἐπίρρημα. διὰ τὸ ἐγρηγορέναι καὶ ἀγρυπνεῖν, δυσφορῶν ἀναβοᾷ. συμβαίνει γὰρ τοῖς ἀγρυπνοῦσι, μάλιστα μεγάλας τὰς νύκτας νομίζειν. ἠγρύπνει δὲ ὁ Στρεψιάδης μὴ δυνάμενος ὑπνώττειν ὑπὸ τῆς τῶν χρεῶν φροντίδος. τὸ δὲ προοίμιον σχετλιαστικὸν ἐκ τοῦ πράγματος. Βασιλεῦ. οὐκ ἀργῶς χρὴ τοῦτο νομίζειν τὸν ποιητὴν εἰρηκέναι. ἔχεται γὰρ ἱστορίας τοιαύτης. τοῖς Ἀθηναίοις πυθοχρήστως ἐγένετο καταλῦσαι μὲν τὰς βασιλείας. προστήσασθαι δὲ δία βασιλέα. ὥστε τὸ λεχθὲν, τῆς ἱστορίας ταύτης ἔχεσθαι χρὴ νομίζειν. Τὸ χρῆμα τῶν νυκτῶν. τὸ μέγεθος. τὸ ἔκπαγμα. ἔθος δὲ τοῖς ἀττικοῖς ἐπαγωγῇ χρῆσθαι. οἷον, ἵππος σπουδαῖόν τι χρῆμα. καὶ γυνὴ, σπουδαῖόν τι χρῆμα. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. Ἀπέραντον. μέγα. οὗ πέρας οὐκ ἔστιν. οἱ δὲ ἀπέραντον μετὰ τοῦ ν γράφοντες, ἁμαρτάνουσι. Ζητεῖται δὲ πῶς τὰς νύκτας μεγάλας λέγει. διονυσιακοῦ γὰρ ὄντος τοῦ δράματος, συνεστάλθαι τὰς νύκτας ἀνάγκη, διὰ τὸ τοιούτῳ καιρῷ ὑποπίπτειν τὰ διονύσια. πλὴν εἰ μὴ τούτῳ μεγάλαι καταφαίνονται, διὰ τὸ φροντίζειν ὅπερ πάσχειν συμβαίνει τοὺς ἀγρυπνοῦντας. παρεπιγραφὴ δὲ συγκεκαλυμμένος καὶ καθεύδων, ὑποτίθεται ἐξανακαλυψάμενος καὶ ἔξω, τὴν κεφαλὴν ποιήσας τοῦ παραβλήματος.

Οἱ δ' οἰκέται ῥέγκουσιν. οὕτως ἀττικοὶ διὰ τοῦ κ. οἰκέτας δὲ νῦν οὐ τοὺς θεράποντας μόνον λέγει, ἀλλὰ πάντας τοὺς κατὰ τὴν οἰκίαν, καθεύδουσιν οὖν πάντες, ὡς τῶν ἄλλων μὲν ἀμεριμνούντων αὐτοῦ δὲ φροντίζοντος. διὰ τοῦτο, καὶ τὸ ῥέγκουσιν ἐπήγαγεν. ἵνα μᾶλλον αὐτοὺς δείξῃ πάσης ὄντας ἔξω φροντίδος. τῶν γὰρ βαθέων καθευδόντων, ἴδιον τὸ ῥέγκειν.

Ἀλλ' οὐκ ἂν πρὸ τοῦ. ἀλλ' οὐκ ἂν πρότερον. ἐν γὰρ τῇ εἰρήνῃ φησὶν ἐξὲν ἐπιτιμᾶν αὐτοὺς δρ

οὐδ' ὣ μανθάνειν, καὶ ἀπὸ κωμῳδῆ νέος, ἀρχόμενος ἀλλ' εἰς ἓν ἀφεωρακὼς μόνον ἐ-
κεῖνο, ἐὰν ἄρα οἷός τε γένηται τοὺς δανειστὰς διὰ πειθοῦς ἀποστερῆσαι τὰ χρήμα-
τα, αὐτὸς πρόσεισι τῷ σωκράτει. οὐκ ἔχων δὲ ὑπηρετοῦντα τῇ νοήσει τὸν νοῦν,
ἀλλὰ τοιοῦτος ὢν οἷς ἐμάνθανεν οἷος καὶ πρὶν τῆς παιδείας ἐφθάκει, αὐτὸς μὲν ἀ-
πέγνω παιδεύεσθαι. προσελθὼν δὲ τῷ παιδὶ καὶ αὖθις πολλαῖς περιῆκε ταῖς
δεήσεσιν ἵνα τῶν σωκράτους ὁμιλητῶν γεγενῆσθαι. ὁ δὲ, καὶ γέγονε καὶ μεμάθηκε.
Συνίσταται δὲ τὸ δρᾶμα ἐκ χοροῦ νεφελῶν. ἔχει δὲ κατηγορίαν τοῦ σωκράτους ὅ-
τι τοὺς συνήθεις θεοὺς ἀφεὶς καινὰ ἐνόμιζε δαιμόνια. ἀέρα. νεφέλας. καὶ τὰ τοιαῦτα.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

Στρεψιάδης. Φειδιππίδης. Θεράπων στρεψιάδου.
Μαθητὴς σωκράτους. Σωκράτης. Χορὸς νεφελῶν.
Δίκαιος λόγος. Ἄδικος λόγος. Δανειστὴς πασίας.
Μάρτυς. Ἕτερος δανειστὴς ἀμυνίας. Χαιρεφῶν.

Ἡ εἴσθεσις τοῦ δράματος ἄρχεται ἐκ συστηματικῆς περιόδου. καὶ ἑξῆς ἐκ προσώπων
ἀμοιβαίων. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι σμε΄. ὧν προτίθε-
ται ἐν ἀρχῇ τοῦ δράματος, κῶλον ἰαμβικὸν μονόμετρον ἀκατάληκτον. Ἐν εἰσ-
θέσει κῶλον ἰαμβικὸν μονόμετρον ἀκατάληκτον. καὶ μετὰ τὸν διακοσιοστὸν τρια-
κοστὸν τρίτον, ἕτερον κῶλον ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον. πλὴν
πάντων δὲ πάντων τούτων, οὗτος. καταπαττόμενος γὰρ παιπάλη γενήσομαι. ἐπὶ
ταῖς ἀποθέσεσι τῶν συστημάτων παράγραφος. ἐπὶ δὲ τῷ τέλει πάντων τῶν στί-
χων κορωνίς.

δίκαιον λόγον, καὶ περιλαβὼν αὐτὸν ὁ ἄδικος λόγος, ἐκδιδάσκει. κομισάμενος δὲ αὐτὸν ὁ πατὴρ ἐκτετεχνημένον, ἐπηρεάζει τοῖς χρήσταις. καὶ ὡς κατωρθωκότα εὐωχεῖ παραλαβών. γενομένης δὲ περὶ τὴν εὐωχίαν ἀντιλογίας, πληγὰς λαβὼν ὑπὸ τοῦ παιδὸς, βοὴν ἵστησι. καὶ προσκαταλαλούμενος ὑπὸ τοῦ παιδὸς. ὅτι δίκαιον τοὺς πατέρας ὑπὸ τῶν υἱῶν ἀντιτύπτεσθαι. ὑπεραλγῶν διὰ τὴν πρὸς τὸν υἱὸν σύγκρισιν ὁ γέρων, κατασκάπτει καὶ ἐμπίμπρησι τὸ φροντιστήριον τῶν σωκρατικῶν. Τὸ δὲ δρᾶμα, τῶν πάνυ δυνατῶς πεποιημένων. ἄλλως. διὰ στίχων.

Π ατὴρ τὸν υἱὸν σωκρατίζειν προτρέπεται. Καὶ τῆς περὶ αὐτὸν ψυχρολογίας διατριβή. Ἱκανή, λόγων ἀπόνοια πρὸς τοὐναντίον. Χορὸν δὲ νεφελῶν ὡς ἐπωφελῆ λέγων. Καὶ τὴν ἀσέβειαν σωκράτους διεξιών. Ἀλλ' αἱ θ' ὑπ' αἰθέρος κατηγορίαι πικραί. Καὶ τῶν μαθητῶν εἰς πατραλοίας ἐκτόπως. Εἶτ' ἐμπυρισμὸς τῆς σχολῆς τοῦ σωκράτους. τὸ δὲ δρᾶμα τοῦτο τῆς ὅλης ποιήσεως κάλλιστον εἶναί φησι, καὶ τεχνικώτατον. Αἱ πρῶται νεφέλαι ἐδιδάχθησαν ἐν ἄστει, ἐπὶ ἄρχοντος ἰσάρχου, ὅτε κρατῖνος μὲν ἐνίκα, πυτίνῃ. ἀμειψίας δὲ κόννῳ. διόπερ ἀριστοφάνης ἀπορριφεὶς παραλόγως, ᾠήθη δεῖν ἀναδιδάξας τὰς δευτέρας καταμέμφεσθαι τὸ θέατρον. ἀτυχῶν δὲ πολὺ μᾶλλον καὶ ἐν τοῖς ἔπειτα, οὐκέτι τὴν διασκευὴν εἰσήγαγεν. αἱ δὲ δεύτεραι νεφέλαι, ἐπὶ Ἀμεινίου ἄρχοντος. τοῦτο δὲ ταυτό ἐστι τῷ προτέρῳ. διεσκεύασται δὲ ἐπὶ μέρους, ὡς ἂν δὴ ἀναδιδάξαι μὲν αὐτὸ τοῦ ποιητοῦ προθυμηθέντος. οὐκέτι δὲ τοῦτο δι' ἣν ποτε αἰτίαν ποιήσαντος. καθόλου μὲν οὖν σχεδὸν παρὰ πᾶν μέρος γεγενημένη διόρθωσις. τὰ μὲν γὰρ περιῄρηται. τὰ δὲ πέπλεκται, καὶ ἐν τῇ τάξει. καὶ ἐν τῇ τῶν προσώπων διαλλαγῇ μετεσχημάτισται. ἃ δὲ ὁλοσχερῆ τῆς διασκευῆς, τοιαῦτα ὄντα τετύχηκεν. αὐτίκα ἡ παράβασις τοῦ χοροῦ ἤμειπται. καὶ ὅπου ὁ δίκαιος λόγος πρὸς τὸν ἄδικον λαλεῖ. καὶ τελευταῖον ὅπου καίεται ἡ διατριβὴ σωκράτους. Τὴν μὲν κωμῳδίαν, καθῆκε κατὰ σωκράτους, ὡς τοιαῦτα νομίζοντος. καὶ νεφέλας καὶ ἀέρα. καὶ τί γὰρ ἀλλ' ἢ ξένους εἰσάγοντος δαίμονας. χορῷ δὲ ἐχρήσατο νεφελῶν πρὸς τὴν τοῦ αἰθέρος κατηγορίαν, διὰ τοῦτο οὕτως ἐπεγράφη. διότι δὲ φέρονται νεφέλαι. οἱ δὲ κατηγορήσαντες σωκράτους, μέλιτος καὶ ἄνυτος.

Ἄλλως. Θωμᾶ τοῦ μαγίστρου.

Α νυτος καὶ μέλιτος σωκράτει τῷ σωφρονίσκου βασκήναντες, καὶ αὐτὸν μὴ δυνάμενοι βλάψαι, ἀργύριον ἱκανὸν ἀριστοφάνει δεδώκασιν ἵνα δρᾶμα κατ' αὐτοῦ συστήσηται. καὶ ὃς πεισθεὶς, γέροντά τινα στρεψιάδην καλούμενον ἐπλάσατο ὑπὸ χρεῶν πιεζόμενον. ἃ δὴ ἀνηλώκει περὶ τὴν τοῦ παιδὸς φειδιππίδου ἱπποτροφίαν. οὕτω δὲ τούτων ἐχόντων, μὴ ἔχων ὁ στρεψιάδης τί ποιήσει περὶ τὰ χρέα, βουλεύεται προσαγαγεῖν τῷ σωκράτει τὸν τούτου παῖδα ἵνα παρ' αὐτοῦ τὸν ἄδικον μάθῃ λόγον. καὶ οὕτω τοὺς δανειστὰς ἀποκρούσηται. φειδιππίδης μὲν οὖν πολλὰ δεηθέντος τοῦ πατρὸς, προσελθεῖν οὐκ ἐπείσθη. ἀποτυχὼν δὲ ὁ πρεσβύτης τῆς ἐπ' ἐκεῖνον ἐλπίδος, καὶ οὐκ ἔχων ὅστις καὶ γένηται, εἰς δεύτερον εἶδε πόρον. οὐδὲν γὰρ τῆς ἡλικίας φροντίσας, οὐδ' ἐνθυμηθεὶς ἔπεσιν ἄτοπος δόξειεν ἀνὴρ γήραος

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΝΕΦΕΛΩΝ, ΠΡΟΘΕΩΡΙΑ.

Τὸ δρᾶμα τὸ τῶν νεφελῶν κατὰ Σωκράτους γέγραπται τοῦ φιλοσόφου ἐπίτηδες, ὡς κακοδιδασκαλοῦντος τοὺς νέους ἀθήνησι. τῶν κωμικῶν πρὸς τοὺς φιλοσόφους ἐχόντων τινὰ ἀντιλογίαν. οὐχ ὥς τινες, δι' ἀρχέλαον τὸν μακεδόνων βασιλέα ὅτι προὔκρινεν αὐτὸν ἀριστοφάνους. Ὁ χορὸς δὲ ὁ κωμικὸς εἰσήρχετο ἐν τῇ ὀρχήστρᾳ, τῷ νῦν λεγομένῳ λογείῳ. καὶ ὅτε μὲν πρὸς τοὺς ὑποκριτὰς διελέγετο, εἰς τὴν σκηνὴν ἑώρα. ὅτε δὲ ἀπελθόντων τῶν ὑποκριτῶν, καὶ τοὺς ἀναπαίστους διεξῄει, καὶ πρὸς τὸν δῆμον ἀπεστρέφετο. καὶ τοῦτο ἐκαλεῖτο στροφή. ἦν δὲ τὰ ἰαμβεῖα τετράμετρα. εἶτα τὴν ἀντίστροφον ἀποδόντες, πάλιν τετράμετρον ἀπέλεγον ἴσων στίχων. ἦν δὲ περὶ τὸ μέτρον ις'. ἐκαλεῖτο δὲ ταῦτα ἐπιρρήματα. ἡ δὲ ὅλη πάροδος τοῦ χοροῦ, ἐκαλεῖτο παράβασις. ἀριστοφάνης ἐν ἱππεῦσιν. ἦν μέν τις ἀνὴρ τῶν ἀρχαίων κωμῳδιδάσκαλος. ὃς ἡμᾶς ἠνάγκαζε λέξοντας ἔπη πρὸς τὸ θέατρον παραβῆναι. ἄλλως. φασὶ τὸν ἀριστοφάνην γράψαι τὰς νεφέλας, ἀναγκασθέντα ὑπὸ Ἀνύτου καὶ Μελίτου, ἵνα προδιασκέψωνται, ποῖοί τινες εἶεν ἀθηναῖοι, ἀκούοντες κατὰ σωκράτους. ηὐλαβοῦντο γὰρ ὅτι πολλοὺς εἶχεν ἐραστάς, καὶ μάλιστα τοὺς περὶ Ἀλκιβιάδην. οἳ ἐπὶ τοῦ δράματος τούτου μηδὲ νικῆσαι ἐποίησαν τὸν ποιητήν. ὁ δὲ πρόλογός ἐστι τῶν νεφελῶν, ἁρμοδιώτατα καὶ δεξιώτατα συγκείμενος. πρεσβύτης γάρ ἐστιν ἀγροῖκος, ἀχθόμενος παιδὶ ἀστικοῦ φρονήματος γέμοντι. καὶ τῆς εὐγενείας εἰς πολυτέλειαν ἀπολελαυκότι. ἡ γὰρ τῶν ἀλκμαιονιδῶν οἰκία, ὅθεν ἦν τὸ πρὸς μητρὸς γένος, ἐξ ἀρχῆς ὥς φησιν Ἡρόδοτος, τεθριπποτρόφος ἦν, καὶ πολλὰς ᾑρημένη νίκας. τὰς μὲν, ὀλυμπίασι. τὰς δὲ πυθοῖ. ἐνίας δὲ ἰσθμοῖ, καὶ νεμέᾳ. καὶ ἐν ἄλλοις ἀγῶσιν. εὐδοκιμούσαις οὖν ὁρῶν ὁ νεανίσκος, ἀπέκλινε πρὸς τὸ ἦθος, τῶν πρὸς μητρὸς προγόνων. ἄλλως. Πρεσβύτης στρεψιάδης ὑπὸ δανείων καταπονούμενος, διὰ τὴν ἱπποτροφίαν τοῦ παιδός, δεῖται τούτου φοιτήσαντος ὡς τὸν Σωκράτη, μαθεῖν τὸν ἥττονα λόγον. μὴ πειθομένου δὲ τοῦ μειρακίου, αὐτὸς ἐλθὼν μανθάνειν, μαθητὴν Σωκράτους ἐκκαλέσας τινὰ διαλέγεται. ἐκλυθείσης δὲ τῆς διατριβῆς, οἵ τε μαθηταὶ κύκλῳ καθήμενοι, πιναροὶ συνορῶνται, καὶ αὐτὸς ὁ σωκράτης ἐπὶ κρεμάθρας αἰωρούμενος καὶ ἀποσκοπῶν τὰ μετέωρα θεωρεῖται. μετὰ ταῦτα πλεῖ παραλαβὼν τὸν πρεσβύτην. καὶ τοὺς νομιζομένους παρ' αὐτῷ θεοὺς ἀέρα προσέτι δὲ, αἰθέρα καὶ νεφέλας, καταχαλεῖται. πρὸς δὲ τὴν εὐχὴν, εἰσέρχονται νεφέλαι, ἐν σχήματι χοροῦ. καὶ φυσιολογήσαντος οὐκ ἀπιθάνως τοῦ σωκράτους, καταστᾶσαι πρὸς τοὺς θεατὰς περὶ πλειόνων διαλέγονται. μετὰ δὲ ταῦτα, ὁ μὲν πρεσβύτης διδασκόμενος ἐν τῷ φανερῷ τινὰ τῶν μαθημάτων γελωτοποιεῖ. καὶ ἐπειδὴ διὰ τὴν ἀμαθίαν ἐκ τοῦ φροντιστηρίου ἐκβάλλεται, διάγων πρὸς βίαν τὸν υἱὸν, συνίστησι τῷ Σωκράτει. τούτου δὲ ἐξάγοντος αὐτῷ ἐν τῷ θεάτρῳ τὸν ἄδικον καὶ τὸν δίκαιον λόγον, διαγωνισθεὶς ὁ ἄδικος πρὸς τὸν

Ε ἐπὶ τῆς κεφαλῆς. ἐπειδὴ, ὁπότε μέλλοιεν βωμοὺς ἀφιδρύειν ἢ ἄγαλμα θεῶν, ἕψοντες ὄσπρια, ἀπήρχοντο τούτων τοῖς ἀφιδρυμένοις εὐχαριστήρια ἀπονέμοντες τῆς πρώτης διαίτης. ὅθεν καὶ ἐν ταῖς Δαναΐσι. Μαρτύρομαι δὲ Ζηνὸς ἑρκίου χύτρας παρ' αἷς ὁ βωμὸς οὗτος ἱδρύθη ποτέ. Αὐτὴ ποικίλα. λείπει τὸ, ἱμάτια. ἵν' ᾖ ποικίλα ἱμάτια ἔχουσα σεμνῶς ἦλθες. πορφυροῖς γὰρ καὶ ποικίλοις ἱματίοις ἐπόμπευον. δεῖ δὲ ὑπονοεῖν ὅτι, ἡ γραῦς ἐβιάσατο καὶ συνεισῆλθε τῷ νεανίσκῳ. καὶ ὅτι ἡ γραῦς ποικίλα ἦλθεν ἔχουσα ἱμάτια. Ἡ γραῦς ἐπέστ' ἀνωτάτω, ἐν τῷ ὑπερζεῖν τὰ μαγειρευόμενα ὄσπρια. γραῦς γὰρ καλεῖται ὁ ἀφρὸς ὁ ἀνωτάτω ἢ τὸ πηγνύμενον ἐλαιῶδες τοῦ ζωμοῦ. ἢ ἐπιφάνεια τῆς ἀθάρης. τὸ δὲ οὐκ ἔτι τοίνυν καὶ τὰ ἐφεξῆς ἐκ τοῦ ποιητοῦ διὰ τοῦ χοροῦ.

ἱδρυσόμεθα, λαβοῦσ' ἐπὶ τῆς κεφαλῆς φόρει
σεμνῶς. ἔχουσα δ' ἦλθες αὐτὴ ποικίλα.

γρ. ὧν δ' οὕνεκ' ἦλθον. καρ. πάντα σοι πεπράξεται.
ἥξει γὰρ ὁ νεανίσκος ὥς σ' εἰς ἑσπέραν.

γρ. ἀλλ' εἴ γε μήν τοι νὴ δί', ἐγγυᾷ σύ μοι
ἥξειν ἐκεῖνον ὡς ἔμ', οἴσω τὰς χύτρας.

καρ. καὶ μὴν πολὺ τῶν ἄλλων χυτρῶν τἀναντία
αὗται ποιοῦσι. ταῖς μὲν ἄλλαις γὰρ χύτραις,
ἡ γραῦς ἐπέστ' ἀνωτάτω. ταύτης δὲ νῦν
τῆς γραὸς, ἐπιπολῆς ἔνεισιν αἱ χύτραι.

χο. οὐκ ἔτι τοίνυν γ' εἰκὸς μέλλειν οὐδ' ἡμᾶς, ἀλλ' ἀναχωρεῖν
εἰς τοὔπισθεν. δεῖ γὰρ κατόπιν τούτων ᾄδοντας ἕπεσθαι.

ΤΕΛΟΣ.

E ἔθυσεν ἱερεῖον τισωθείς. ἀντὶ τοῦ, τὰ τῆς θυσίας ἀπετέλει. οὐ ἐξιλεοῦντο τὸ θεῖον ἐπὶ τοῖς μέλλουσι. μετεκάλει δ' ἔτι τὸν ἱερέα, ἐπειδὴ νόμος ἐστί, τὰ ὑπολειπόμενα τῆς θυσίας, τὸν ἱερέα λαμβάνειν. οὔκουν τὰ νομιζόμενα. τῶν ἀφοσιωμάτων παίζων, τοῦτο δὲ δέον εἰπεῖν, τὸ δέρμα καὶ τὰς κωλᾶς. ἐπειδὴ νόμος ἦν τὰ ὑπολειπόμενα τῆς θυσίας τὸν ἱερέα λαμβάνειν. ἄλλως. τὰ ἔθιμα τῶν παρεχομένων τοῖς ἱερεῦσι δέρματα καὶ κῶλα, φησὶν οὖν, ὅτι καὶ τῆς κόπρου τὰ νομιζόμενα λαμβάνεις. τὰ ἔθη σκώπτων.

ἔθυσεν ἱερεῖον τισωθείς. ὁ δέ τις αὖ
δίκην ἀποφυγών. ὁ δ' ἂν ἐκαλλιερεῖτό τις.
κἀμέ γε ἐκάλει τὸν ἱερέα. νῦν δ' οὐδὲ εἷς.
θύει τὸ παράπαν οὐδὲν οὐδ' εἰσέρχεται.
πλὴν ἀποπατησόμενοί γε πλεῖν ἢ μύριοι,
κα. οὔκουν τὰ νομιζόμενα σὺ τούτων λαμβάνεις.
ἱερ. τὸν οὖν Δία τὸν σωτῆρα καὐτός μοι δοκῶ
χαίρειν ἐάσας, ἐνθάδ' αὐτοῦ καταμένειν.
κα. θάρρει. καλῶς ἔσται γὰρ ἢν θεὸς θέλῃ.
ὁ Ζεὺς ὁ σωτὴρ γὰρ πάρεστιν ἐνθάδε,
αὐτόματος ἥκων. ἱερ. πάντ' ἀγαθὰ τοίνυν λέγεις.
κα. ἱδρυσόμεθ' οὖν αὐτίκα μάλα, περίμενε,
τὸν πλοῦτον οὗπερ πρότερον ἦν ἱδρυμένος,
τὸν ὀπισθόδομον ἀεὶ φυλάττων τῆς θεοῦ.
ἀλλ' ἐκδότω τις δεῦρο δᾷδας ἡμμένας
ἵν' ἔχων προηγῇ τῷ θεῷ σύ. ἱερ. πάνυ μὲν οὖν
δρᾶν ταῦτα χρή. κα. τὸν πλοῦτον ἔξω τις καλεῖ.
γρ. ἐγὼ δὲ τί ποιῶ; καρ. τὰς χύτρας αἷς τὸν θεὸν

T τὸν ὀπισθόδομον ἀεὶ φυλάττων. ὄπισθεν τοῦ νεὼ διπλοῦς τοῖχος τῆς καλουμένης πολιάδος ἀθηνᾶς. ἔχων θύραν, ὅπου ἦν θησαυροφυλάκιον. ἐπεὶ δὴ τὰ χρήματα ἐν τῷ ὀπισθοδόμῳ ἀπέκειτο. μέσον δ' ἐστὶ τῆς ἀκροπόλεως ἔνθα ἦν ταμεῖον, ὄπισθεν τοῦ τῆς ἀθηνᾶς ναοῦ. τοῦτο δὲ εἶπεν, ὡς μέλλοντος προσεῖναι τοῦ πλούτου.

A ἀλλ' ἐκδότω τις δεῦρο. ὅτι ὁ λυκόφρων ὡς ἐρατοσθένης φησίν, ᾤηθη πρῶτον τοῦτο δᾷδας εἶναι. τετρίηκε δέ, καὶ ἐν ἐκκλησιαζούσαις αὐτό. ἀλλά γε στράτις πρὸ ἀμφοτέρων τούτων τοὺς πρώτους διδάσκων εἰς φυλλίον ἀναφέρει τὸ πρᾶγμα. ὑμεῖς τε πάντες ἔξιτ' ἐπὶ τὸ πύθιον ὅσοι πάρεστε μὴ λαβόντες λαμπάδας. μηδ' ἄλλο μηδὲν ἐχόμενον φυλλίον. ἵνα ἔχων προηγῇ τῷ θεῷ. τῆς ἀθηνᾶς εἰς τὴν ἀκρόπολιν ἀνέφερον τὰ χρήματα. κἀνταῦθα ἐφυλάττοντο καθὰ καὶ θουκυδίδης φησὶν ἐν τῇ δευτέρᾳ οὕτως. ὑπαρχόντων δὲ ἐν τῇ ἀκροπόλει ἀπὸ τε ἀργυρίου ἐπισήμου, ἑξακισχιλίων ταλάντων. τὰ γὰρ πλεῖστα τριακοσίων ἀποδέοντα μύρια ἐγένετο. ἀφ' ὧν τε τὰ προπύλαια τῆς ἀκροπόλεως καὶ ἐς τἆλλα οἰκοδομήματα, καὶ εἰς ποτίδαιαν ἐπανηλώθη. τὰς χύτρας αἷς τὸν θεόν. ἔθος γὰρ ἦν, ἐν ταῖς ἱδρύσεσι τῶν ἀγαλμάτων, ὀσπρίων ἑψημένων χύτρας περιπομπεύεσθαι ὑπὸ γυναικῶν ποικίλως ἠμφιεσμένων. καὶ τούτων ἀπήρχοντο χαριστήρια τοῖς θεοῖς ἀπονέμοντες.

ερ. ἀλλ' ἡγεμόνιον. καρ. ἀλλ' ὁ θεὸς ἤδη βλέπει.
ὥσθ' ἡγεμόνος οὐδὲν δεησόμεσθ' ἔτι.
ερ. ἐναγώνιος τοίνυν γ' ἔσομαι. καὶ τί ἔτ' ἐρεῖς;
πλούτῳ γάρ ἐστι τοῦτο συμφορώτατον.
ποιεῖν ἀγῶνας μουσικοὺς καὶ γυμνικούς.
καρ. ὡς ἀγαθόν ἐστ' ἐπωνυμίας πολλὰς ἔχειν,
οὗτος γὰρ ἐξεύρηκεν αὑτῷ βίοτον.
οὐκ ἐτὸς ἅπαντες οἱ δικάζοντες, θαμὰ
σπεύδουσιν ἐν πολλοῖς γεγράφθαι γράμμασιν.
ερ. οὐκοῦν ἐπὶ τούτοις εἰσίω; καρ. καὶ πλῦνέ γε
αὐτὸς προσελθὼν πρὸς τὸ φρέαρ τὰς κοιλίας
ἵν' εὐθέως διακονικὸς εἶναί μοι δοκῇς.
ιερ. τίς ἂν φράσειε ποῦ 'στι χρεμύλος μοι σαφῶς.
καρ. τί δ' ἔστιν ὦ βέλτιστε. ιερ. τί γὰρ ἀλλ' ἢ κακῶς
ἀφ' οὗ γὰρ ὁ πλοῦτος οὗτος ἤρξατο βλέπειν,
ἀπόλωλ' ὑπὸ λιμοῦ. καταφαγεῖν γὰρ οὐκ ἔχω.
καὶ ταῦτα τοῦ σωτῆρος ἱερεὺς ὢν διός.
καρ. ἡ δ' αἰτία τίς ἐστιν ὦ πρὸς τῶν θεῶν.
ιερ. θύειν ἔτ' οὐδεὶς ἀξιοῖ. καρ. τίνος οὕνεκα
ιερ. ὅτι πάντες εἰσὶ πλούσιοι. καίτοι τότε
ὅτ' εἶχον οὐδέν, ὁ μὲν ἂν ἥκων ἔμπορος,

ἐν τῇ χώρᾳ ἐν ᾗ ἠγόρασεν. ἔμπορος δὲ ὁ ἀγοράζων καὶ ἐπὶ ξένης πωλῶν. ἢ ἀπὸ τοῦ αὐτοπώλου ἢ ἀπὸ τοῦ καπήλου. παλιγκάπηλος, ὁ ἀπὸ τοῦ ἐμπόρου ἀγοράζων καὶ πωλῶν. μεταβολεύς, ὁ κατὰ τὴν κοτύλην πωλῶν ὥσπερ οἱ νῦν λεγόμενοι κάπηλοι. εἴρηται δὲ παρὰ τὸ συνεχὲς μεταβάλλειν. καὶ αὗται μέν εἰσιν αἱ σημασίαι κυρίως τῶν πωλούντων. καταχρηστικῶς δὲ πᾶς ὁ πωλῶν, κάπηλος λέγεται.

A Ἀλλ' ἡγεμόνιον. κατὰ χρησμὸν οἱ ἀθηναῖοι. ἡγεμόνιον ἑρμῆν ἱδρύσαντο, παρὰ τὸ τοῖς τυφλοῖς τοὺς βλέποντας ἡγεῖσθαι. ἐπήνεγκε δὲ ἐπὶ τοῦ πλούτου, φάσκων αὐτὸν ἤδη βλέπειν, καὶ μὴ δεῖσθαι ὁδηγοῦ. Οὗτος γὰρ ἐξεύρηκεν. ἐποίουν γὰρ τοῦτο οἱ δικάζοντες, ἵνα ἐὰν ἀποτύχωσιν ἑνὸς εἰς ἄλλο δικαστήριον δικάσωσιν. Οὐκ ἐτὸς ἅπαντες ὡς ἀνωτέρω ἔλεγεν, οὐ ματαίως ἄρα σπεύδουσι πολλὰ ὀνόματα ἔχειν. ἵνα ἐὰν ἀποτύχωσιν ἑνός, εἰς ἄλλο δικαστήριον δικάσωσιν. ὁ δὲ τούτων νοῦς, ἐκ τῶν προειρημένων δῆλος περὶ κληρώσεως τῶν γραμμάτων καὶ τῶν δικαστηρίων. ἐποιοῦντο δὲ τοῦτο οἱ δικάζοντες, ἵνα ἐὰν ἀποληφθῶσιν ἑνὸς ἐν τῷ ἄλλῳ δικάσωσι τὸν πεσσόν. καὶ εἰς τόδε καὶ εἰς τόδε ἐμβάλλοντες τῶν δικαστηρίων. Γεγράφθαι. ἀντὶ τοῦ ὀνομάσθαι ὥς τε καὶ ἡλιαστὰς εἶναι. καὶ πανταχοῦ αὐτοὺς ἐγγραφῆναι σπουδάζοντες. βούλονται γὰρ καὶ ἐν ἀρείῳ πάγῳ. βούλονται δὲ καὶ ἐν ἄλλῳ δικαστηρίῳ ἀναγράφεσθαι, διὰ τὸ μὴ ἀργεῖν ὅλως. Τίς ἂν φράσειε. κορωνὶς ἑτέρα ὁμοία ἐν ἐκθέσει τοῦ δράματος. οἱ δὲ στίχοι, ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. λζ΄. ὧν τελευταῖος, καὶ γραὸς ἀπὸ πολλῆς ἔνεισιν αἱ χύτραι, ἑξῆς δὲ τούτων καὶ τελευταῖοι παντὸς τοῦ δράματος στίχοι ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ β΄. ἑξῆς δ' αὖ τούτων, ἡ κορωνίς, ἡ καὶ τὸ δρᾶμα περατοῦσα. Τοῦ σωτῆρος. ἐν ἄστει σωτῆρα δία τιμῶσιν, ἔνθα καὶ σωτῆρος διός ἐστιν ἱερόν. τὸν αὐτὸν δὲ ἔνιοι καὶ ἐλευθέριον φασί.

Εἰ σὺ φυλὴν κατέλαβες. ὅτι μετὰ τὸ κατελθεῖν τοὺς μετὰ Θρασυβούλου, φυλὴν καταλαβόντας καὶ νικήσαντας ἐν πειραιεῖ, τοὺς τριάκοντα ψηφίσασθαι ἔδοξε μὴ μνησικακῆσαι ἀλλήλοις καθάπαξ τοὺς πολίτας. ἀλλὰ ταῦτά γε οὔπω ἐπέπρακτο οὐδὲ τὸ ἐπὶ τριάκοντα ἤδη ἦν. ἀλλὰ καὶ ὡς φιλόχορος, πέμπτῳ ἔτει ὕστερον μάχεται μετὰ Θρασυβούλου γενομένου ὁ κρατίας ἐν πειραιεῖ τελευτᾷ. τοῦτο οὖν, ἔοικέ τις ἐκ τοῦ δευτέρου πλούτου μετενεγκὼν ἐνθάδε, ὀλιγωρῆσαι τῆς ἀλογίας ταύτης. ἢ καὶ αὐτὸς ὁ ποιητής, ὕστερον ἐνθεῖναι ἀπὸ τῶν συνθηκῶν τῶν ἀθήνησι γενομένων πρὸς τοὺς καταλαβόντας. φυλὴν δὲ, τὸν δῆμον, ἀφ' οὗ φυλάσιος. ἄλλως. ὁ Θρασύβουλος βουλόμενος καταλῦσαι τοὺς λ. καταλαβὼν φυλὴν τόπον τινά, κἀκεῖσε συμμάχους λαβών, κατέλυσε. καὶ ἐπεὶ ἀλαζονικὸν ἐφθέγξατο, ἤκουσε μὴ μνησικακῆσαι καὶ ἐγένετο παροιμιακόν.

ἑρ. μὴ μνησικακήσῃς, εἰ σὺ φυλὴν κατέλαβες.
ἀλλ' οὖν σύνοικον πρὸς θεῶν δέξασθέ με.
κα. ἔπειτ' ἀπολιπὼν τοὺς θεοὺς ἐνθάδε μενεῖς;
ἑρ. τὰ γὰρ παρ' ὑμῖν ἐστι βελτίω πολύ.
κα. τί δέ γ' αὐτομολεῖν ἀστεῖον εἶναί σοι δοκεῖ;
ἑρ. πατρὶς γάρ ἐστι πᾶσ' ἵν' ἂν πράττῃ τις εὖ.
κα. τί δῆτ' ἂν εἴης ὄφελος ἡμῖν ἐνθάδ' ὤν.
ἑρ. παρὰ τὴν θύραν στροφαῖον ἱδρύσασθέ με.
κα. στροφαῖον, ἀλλ' οὐκ ἔργον ἔστ' οὐδὲν στροφῶν.
ἑρ. ἀλλ' ἐμπολαῖον. κα. ἀλλὰ πλουτοῦμεν. τί οὖν
ἑρμῆν παλιγκάπηλον ἡμᾶς δεῖ τρέφειν.
ἑρ. ἀλλὰ δόλιον τοίνυν. καρ. δόλιον; ἥκιστά γε
οὐ γὰρ δόλου νῦν ἔργον. ἀλλ' ἁπλῶν τρόπων.

φυλὴ δὲ, δῆμος τῆς ἀττικῆς. καὶ οἱ ἐνοικοῦντες, φυλάσιοι. τὸ δὲ εἰ σὺ φυλὴν κατέλαβες, ἀντὶ τοῦ εἰ ἐπλούτησας. εἰ μέγας γέγονας, φυλὴν καταλαβόμενος καὶ τοὺς λ τυράννους μεταχειρισάμενος. φυλὴ γάρ τόπος οὕτω καλούμενος. περὶ δὲ Θρασυβούλου εἴρηται διὰ τὸ ἐπαινεῖσθαι ὅτι ἐκεῖ ἐφόνευσε τοὺς λ τυράννους. Στροφαῖον. ἐπὶ ἀποτροπῇ τῶν ἄλλων κλεπτῶν. στροφαῖος, παρὰ τὸ στρέφεσθαι καὶ πανουργεῖν. λέγεται δὲ ὁ ἑρμῆς, στροφαῖος. ἐμπολαῖος. κερδῷος. δόλιος. ἡγεμόνιος. ἐναγώνιος. διάκονος. ἄλλως. στροφὸν, ἐπεὶ στροφοὶ λέγονται καὶ οἱ συμπεπλεγμένοι καὶ δολεροὶ λόγοι. στροφαῖον δὲ ἐκάλουν, ἱδρυμένον παρὰ τῇ θύρᾳ τὸν δαίμονα. ἅμα δὲ παρὰ τὸ στρέφειν τὰ πράγματα. οἱ δὲ τοῦτο ποιοῦντες, πανοῦργοι. ἐπωνυμία δὲ τοῦτο ἑρμοῦ, παρὰ τὸ ταῖς θύραις ἱδρῦσθαι ἐπὶ φυλακῇ τῶν ἄλλων κλεπτῶν. οὗτοι γὰρ ὀπίσω τῶν θυρῶν εἰώθασι καὶ ἀναδύεσθαι, καὶ ὅλως πανουργεύεσθαι. Ἀλλ' ἐμπολαῖον. πραγματευτὴν ἢ ἀγοραῖον. καὶ τῆς καπηλείας προεστῶτα. παλιγκάπηλοι δὲ λέγονται. οἱ τὰ αὐτὰ πωλοῦντες καὶ ἀγοράζοντες. πέντε δ' εἰσὶν αἱ διαφοραὶ τῶν πωλούντων. αὐτοπώλης. κάπηλος. ἔμπορος. παλιγκάπηλος. μεταβολεύς. καὶ ἔστιν αὐτοπώλης μὲν, ὁ ἐν τῇ ἰδίᾳ χώρᾳ πωλῶν τὴν ἑαυτοῦ πρόσοδον. κάπηλος δὲ, ὁ ἀγοράζων ἀπὸ τοῦ αὐτοπώλου, καὶ πωλῶν.

φορήσω, ἴσον οὖν ἐπιπεῖσαί σοι τράγε θυομένων. ἀσκωλίαζε δὲ, ἀντὶ τοῦ ἅλλου. κυρίως δὲ ἀσκωλιάζειν ἔλεγον, τὸ ἐπὶ τῶν ἀσκῶν ἅλλεσθαι, ἕνεκα τοῦ γέλωτα ποιεῖν. ἐν μέσῳ δὲ τοῦ θεάτρου ἐτίθεντο ἀσκοὺς πεφυσημένους, καὶ ἀληλιμμένους. εἰς οὓς ἐναλλόμενοι, ἐνωλίσθαινον καθάπερ εὔβουλός φησι. καὶ πρός γε τοῦτο ἀσκὸν εἰς μέσον καταθέντες, εἰσάλλεσθε, καὶ καγχάζετε ἐπὶ τοῖς καταρρέουσιν. οὕτω καὶ δίδυμος. ἄλλως. ἀσκωλιάζειν ἔλεγον, τὸ ἐνάλλεσθαι τοῖς ἀσκοῖς, ἢ τὸ ἐπὶ ἑνὸς ποδὸς ἅλλεσθαι.

ἄλλως. ἀσκώλια ἑορτὴ διονύσου. ἀσκὸν γὰρ οἴνου πληροῦντες, ἐνὶ ποδὶ τοῦτον ἐπήδων. καὶ ὁ πηδήσας, ἆθλον εἶχε τὸν οἶνον. Ὀδύνη σε πρὸς τὰ σπλάγχνα. ἐπεὶ γὰρ πνεῦμα δι' ἐντέρων ὑποδύη, τὸ τοιοῦτον γίνεται. δέον πνεῦμα εἰπεῖν ὀδύνην εἶπεν. πρὸς τὰ σπλάγχνα δὲ, ἀντὶ τοῦ ἐπὶ κωλῇ καὶ τοῖς σπλάγχνοις. Ἴσον ἴσῳ κεκραμένης. οἴνου καὶ ὕδατος. ζωρότερον γὰρ τὸ τοιοῦτο κρᾶμα. παίζει δὲ πρὸς τοῖς καπήλοις.

ερ. σπλάγχνων τε θερμῶν, ὧν ἐγὼ κατήσθιον.
κα. ὀδύνη σε πρὸς τὰ σπλάγχν' ἔοικ' ἐπιστρέφειν.
ερ. οἴμοι δὲ κύλικος, ἴσον ἴσῳ κεκραμένης;
κα. ταύτην ἐπιπιὼν, ἀποτρέχων οὐκ ἂν φθάνοις.
ερ. ἆρ' ὠφελήσαις ἄν τι τὸν σαυτοῦ φίλον;
κα. εἴ του δέει γ' ὧν δυνατός εἰμί σ' ὠφελεῖν.
ερ. εἴ μοι πορίσας ἄρτον τιν' εὖ πεπεμμένον,
δοίης καταφαγεῖν καὶ κρέας νεανικὸν,
ὧν θύεθ' ὑμεῖς ἔνδον. κα. ἀλλ' οὐκ ἔκφορα.
ερ. καὶ μὴν ὁπότε τι σκευάριον τοῦ δεσπότου,
ὑφεῖλου, ἐγώ σε λανθάνειν ἐποίουν ἀεί.
κα. ἐφ' ᾧτε μετέχειν αὐτὸς, ὦ τοιχωρύχε.
ἧκε γὰρ ἄν σοι ναστὸς εὖ πεπεμμένος.
ερ. ἔπειτα τοῦτόν γ' αὐτὸς ἂν κατήσθιες.
κα. οὐ γὰρ μετεῖχες τὰς ἴσας πληγὰς ἐμοί.
ὁπότε τι ληφθείην πανουργήσας ἐγώ.

Ζητεῖται δὲ, διὰ τί τοῖς μὲν ἄλλοις θεοῖς δίδοται ἄκρατος σπονδή. τῷ δὲ ἑρμῇ κεκραμένη. Καί φαμεν, ὅτι καὶ τῶν ζώντων καὶ τῶν τετελευτηκότων ἄρχει, καὶ παρ' ἀμφοτέρων τιμὰς δέχεται. Ταύτην ἐπιπιὼν, ἀποτρέχων οὐκ ἂν φθάνοις. οὐκ ἂν πέρας σχοίης τῶν κακῶν. οὐκ ἂν ἀναβάλλοιο. Τὸν σαυτοῦ φίλον. τοῦτο λέγει, ἢ διότι καὶ αὐτὸς διάκονος καὶ ὑπηρέτης ἦν τῶν θεῶν ὥσπερ οὗτος χρεμύλου, ἢ διὰ τὰς βοηθείας ἃς, προϊὼν δρᾷ. εἰώθαμεν γὰρ οἱ ἄνθρωποι ὅταν εἰς ἀνάγκην ἐμπέσωμεν, εὔνοιαν πρὸς τοῦτον πλάττεσθαι, ἀφ' οὗ ἂν ἡμῖν ἔσται ὠφέλεια.

Ἀλλ' οὐκ ἔκφορα. ὡς ἐνίαις θυσίαις λεγομένου τούτου καὶ χρῶνται αὐτῷ οὐ κατ' οὐδέτερον πληθυντικὸν, ἀλλ' ἑνικῶς κατὰ θηλυκόν. ὡς θεόπομπος. Εἴσω δραμὼν ἄπιστον ἀλλ' οὐκ ἐκφορά, καὶ εἰ μὲν οὐδέτερον εἴη πληθυντικὸν, προπαροξύνουσιν. εἰ δὲ θηλυκὸν, ὀξύνουσιν. Οὐ γὰρ μετεῖχες τὰς ἴσας πληγάς. οὐ μόνον μετέχω τοῦδε, ἀλλὰ καὶ μετέχω τόδε φαμὲν καὶ εὕροις ἂν τοῦτο, οὐ μόνον παρὰ ποιηταῖς, ἀλλὰ καὶ λογοποιοῖς.

ὅπερ ὅμοιόν ἐστι τῷ εἰς μάτην αἱ γλῶτται θύονται τῷ τὰ τοιαῦτα κηρύσσοντι. οὕτως εὐστάθιος ογ΄. ἀθήναιος δὲ εἰπών. ὅτι αἱ γλῶσσαι τέμνονται τῷ ἑρμῇ διὰ τὴν ἑρμηνείαν. καὶ ὅτι ἔσπενδον οἱ παλαιοὶ ἀπὸ τῶν δείπνων ἀναλύοντες. προσιστορεῖ καὶ ὅτι τὰς τελευταίας σπονδὰς ἐποιοῦντο τῷ ἑρμῇ. καὶ οὐχ ὡς οἱ ὕστερον διὶ τελείῳ. δοκεῖ γὰρ ἑρμῆς ὕπνου προστάτης εἶναι. Σωφρονεῖς. ἀντὶ τοῦ μόλις ἐπεστράφης. ἢ καλῶς καὶ ἀληθῆ λέγεις. Οἰνοῦτταν. οὕτω τὴν οἴνῳ πεφυραμένην μᾶζαν. τινὲς δὲ οἰνοῦτταν, εἶδος πλακοῦντος μετ' οἴνου καὶ μέλιτος γινόμενον.

ὁ πλοῦτος, οὐδεὶς οὐ λιβανωτὸν, οὐ δάφνην
οὐ ψαιστὸν, οὐχ ἱερεῖον, οὐκ ἄλλ' οὐδὲ ἕν,
ἡμῖν ἐπιθύει τοῖς θεοῖς. καρ. μὰ δί'. οὐδ' ἔτι
θύσει. κακῶς γὰρ ἐπεμελεῖσθ' ἡμῶν τότε.
ἑρ. καὶ τῶν μὲν ἄλλων μοι θεῶν ἧττον, μέλει.
ἐγὼ δ' ἀπόλωλα κἀπιτέτριμμαι. κ. σωφρονεῖς.
ἑρ. πρότερον γὰρ εἶχον μὲν παρὰ ταῖς καπηλίσιν
πάντ' ἀγάθ' ἕωθεν εὐθὺς. οἰνοῦτταν. μέλι.
ἰσχάδας. ὅσ' εἰκός ἐστιν ἑρμῆν ἐσθίειν
νυνὶ δὲ πεινῶν, ἀναβάδην ἀναπαύομαι.
καρ. οὐκοῦν δικαίως, ὅστις ἐποίεις ζημίαν
ἐνίοτε, τοιαῦτ' ἀγάθ' ἔχων. ἑρ. οἴμοι τάλας
οἴμοι πλακοῦντος τοῦ 'ν τετράδι πεπεμμένου.
καρ. ποθεῖς τὸν οὐ παρόντα καὶ μάτην καλεῖς.
ἑρ. οἴμοι δὲ κωλῆς ἣν ἐγὼ κατήσθιον.
καρ. ἀσκωλίαζ' ἐνταῦθα πρὸς τὴν αἰθρίαν.

Αναβάδην. ἀντὶ τοῦ κάθημαι πεινῶν, ἄνω φησὶν ἔχω τοὺς πόδας κοιμώμενος. οἱ γὰρ διάκονοι τοὺς πόδας ἄνω εἶχον πρὸς τὸ μὴ βαρεῖσθαι ὑπὸ τοῦ δρόμου. Οὐκοῦν δικαίως ὅστις ἐποίεις ζημίαν. ἀντὶ τοῦ ἐποίεις ζημιοῦσθαι τοὺς ταῦτα τὰ ἀγαθά σοι παρέχοντας. ὁ γὰρ ἑρμῆς, τοιαῦτα ποιεῖ καὶ ὁ αἴσωπος γὰρ ἐν τοῖς μύθοις τὰ αὐτὰ λέγει.

Τοῦ 'ν τετράδι πεπεμμένου. ἡ τετρὰς ἐνομίζετο ἑρμοῦ, καὶ καθ' ἕκαστον μῆνα ταύτῃ τῇ ἡμέρᾳ ἀπετίθεντο τῷ ἑρμῇ. ἔξω γὰρ τῶν ἑορτῶν, ἱεραί τινες τοῦ μηνὸς ἡμέραι νομίζονται ἀθήνησι, θεοῖς τισίν. οἷον, νουμηνία καὶ ἑβδόμη, ἀπόλλωνι. τετράς, ἑρμῇ. καὶ ὀγδόη θησεῖ. Ποθεῖς τὸν οὐ παρόντα καὶ μάτην καλεῖς. ἡρακλῆς πλέων μετὰ τῶν ἀργοναυτῶν εἰς κόλχους σὺν ἰάσονι ἐν κίῳ τῇ νήσῳ ἐξελθὼν καὶ πέμψας τὸν ἐρώμενον αὐτοῦ ὕλλαν ὕδωρ ἀντλῆσαι, περιέμενεν αὐτόν. τοῦ δὲ ὑπὸ νυμφῶν ἁρπασθέντος, ἡρακλῆς πολὺν χρόνον ἐζήτει. ὕστερον δὲ ὑπό τινος αἰθερίας φωνῆς, ἤκουσε ποθεῖς τὸν οὐ παρόντα καὶ μάτην καλεῖς. ἐλείφθη οὖν τοῦτο εἰς παροιμίαν ἐπὶ τῶν μάτην προσδοκούντων. Οἴμοι δὲ κωλῆς. τοῦ κώληκος λεγομένου. κῶλα δὲ τὰ ἐμπρόσθια μέρη τῶν ἱερείων. ἔστι δὲ ἱερὸν ἑρμοῦ, ὁ βραχίων τῶν ἀλόγων ζώων. ἄλλως. τὰ ἐμπρόσθια μέρη τῶν ἱερείων τὰς ἀγκύλας, ὀστώδεις. διαβάλλει οὖν ὡς ὀστέα τοῖς θεοῖς προσφέροντας. Ασκωλίαζ' ἐνταῦθα. ἑορτὴν οἱ ἀθηναῖοι ἦγον τὰ ἀσκώλια. ἐν ᾗ ἥλλοντο ἐπ' ἀσκοῖς αἰγείοις εἰς τιμὴν τοῦ διονύσου. δοκεῖ δὲ ἐχθρὸν εἶναι ἀμπέλῳ τὸ ζῶον. ἀμέλει καὶ ἐπίγραμμα φέρεται τῆς ἀμπέλου πρὸς τὴν αἶγα, οὕτω λέγον. κἤν με φάγῃς ἐπὶ ῥίζαν ὅμως ἔτι καρπο

Ο ὐ γὰρ βιάσεται. ὃ ποιοῦσιν οἱ ἄνδρες, τοῦτο ἐπὶ τῆς γραὸς φησι. οὐ γὰρ βιάσεταί σε ἡ γραῦς. Ὑπεπίττουν χρόνον. διονυσέλγουν, ἀντὶ τοῦ κατεφίλουν. πιττοῦν δ' ἐστὶ κυρίως, τὸ τὰς πλατείας ναῦς πίσσῃ χρίειν. ἔνθεν οὖν μετήνεγκε τὴν λέξιν. ἢ ἀντὶ τοῦ ἐκίνουν. συνῆλθον. Ὥσπερ λεπάς. λεπὰς κογχύλιον ἐφιζάνον ταῖς πέτραις. ὅ τ' αὐταῖς προσπήγνυται, δυσαποσπάστως ἔχον, ἐπειδάν τις αὐτοῦ βουληθείη λαβεῖν. εὐεπίφορος δ' ἐστὶν εἰς τὸ λεπὰς ὁ ἀριστοφάνης. παρ' ὑπόνοιαν δέ, ὥσπερ λεπὰς τῷ μειρακίῳ. λεπὰς δέ ἐστιν εἶδος ὀστρέου.

οὐ γὰρ βιάσεται. νε. πάνυ καλῶς πίνειν λέγεις.
ἱκανὸν γὰρ αὐτὴν πρότερον ὑπεπίττουν χρόνον.
γρ. βάδιζ'. ἐγὼ δέ σου κατόπιν εἰσέρχομαι.
χρ. ὡς εὐτόνως ὦ Ζεῦ βασιλεῦ τὸ γρᾴδιον,
ὥσπερ λεπὰς τῷ μειρακίῳ προσέχεται.

ΧΟΡΟΥ.

καρ. τίς ἔσθ' ὁ κόπτων τὴν θύραν. τουτὶ τί ἦν
οὐδεὶς ἔοικεν. ἀλλὰ δῆτα τὸ θύριον
φθεγγόμενον ἄλλως κλαυσιᾷ. ἑρ. σέ τοι σέ τοι
λέγω Καρίων ἀνάμεινον. καρ. οὗτος εἰπέ μοι,
σὺ τὴν θύραν ἔκοπτες οὑτωσὶ σφόδρα;
ἑρ. μὰ Δί'. ἀλλ' ἔμελλον. εἶτ' ἀνέῳξάς με φθάσας.
ἀλλ' ἐκκάλει τὸν δεσπότην τρέχων ταχύ.
ἔπειτα τὴν γυναῖκα καὶ τὰ παιδία.
ἔπειτα τοὺς θεράποντας. εἶτα τὴν κύνα.
ἔπειτα σαυτόν. εἶτα τὴν ὗν. καρ. εἰπέ μοι
τί δ' ἔστιν. ἑρ. ὁ Ζεύς ὦ πόνηρε βούλεται
ἐς ταυτὸν ὑμᾶς συγκυκήσας τρυβλίον,
ἁπαξάπαντας εἰς τὸ βάραθρον ἐμβαλεῖν.
καρ. ἡ γλῶττα τῷ κήρυκι τούτων τέμνεται.
ἀτὰρ διατί γε ταῦτ' ἐπιβουλεύει ποιεῖν.
ἡμᾶς. ἑρ. ὅτι δεινότατα πάντων πραγμάτων
εἴργασθ'. ἀφ' οὗ γὰρ ἤρξατ' ἐξ ἀρχῆς βλέπειν

Τ ίς ἔσθ' ὁ κόπτων. κορωνὶς ἐνταῦθα ὁμοία. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ὅσ' ὧν τελευταῖος, ἵν' ᾖ θέως διακονικὸς εἶναι μοι δοκῆς. ἐπὶ τῷ τέλει κορωνίς. Τουτὶ τί ἦν. ὁ ἑρμῆς ἔκοψε. καὶ ἐξελθὼν ὁ καρίων οὐδένα εὗρε. τὸ θύριον καὶ οὐ θυρίον. τὰ γὰρ εἰς ον, οὐδέτερα ἀπὸ βραχέος ἀρχόμενα προπαροξύνονται. ἴδιον ἔριον. θύριον. ὄρειον. καὶ ἕτερα.

Η γλῶττα τῷ κήρυκι. διχῶς νοεῖται. ἡ γλῶττα τῶν θυομένων, τῷ ἑρμῇ δίδοται. ἐπειδὴ τῶν θυομένων δεσπότης ἐστίν. ἢ τῶν καταρωμένων ἀπ' αὐτοῦ ἡ ἀρχή. Καλλίστρατος δὲ τῶν θυομένων φησὶ τὰς γλώσσας τοῖς κήρυξιν ἀπονέμεσθαι. διὸ καὶ τὸν ποιητὴν ποιεῖν τῷ ἑρμῇ τεμνομένας αὐτάς. καὶ τοῦτο δὲ πρὸς τὸν ἑρμῆν λέγει ἥκοντα παρὰ διός. κολακεύων δὲ αὐτόν φησιν, ὅτι τῶν ἱερείων ἡ γλῶττα τῷ ἑρμῇ δίδοται ἐν ταῖς δημοτελέσι θυσίαις. ἄλλως. εἰρωνικῶς ὡσεὶ ἔλεγε κακὰ συλλέγει. καὶ ἡμεῖς ἀδίκως αὐτῷ θύομεν τὰς γλώσσας. ὅμηρος ὅδ' ἐν πυρὶ βάλε γλώττας. πρὸς δὲ τὸ λεγόμενον ἔπαιξεν ἡ γλῶττα τῷ κήρυκι, ὅτι τὰς γλώσσας ἑρμῇ ἔθυον ὡς τοῦ λέγειν ἐφόρῳ. διὸ καὶ ὁ κωμικὸς δυσφημήσαντος τοῦ ἑρμοῦ εἰπόντος, ἐξονειδίζει λέγων. ἡ γλῶττα τῷ κήρυκι τούτων, τέμνεται.

Τὸ τί. ὅποι χαλεπαίνοντες τὸ συνουσιάζειν οὕτως ἔλεγον τὸ τί. Ὁ δ' ἐπιτρέψων. ἀντὶ τοῦ τίς αὐτὸν ἐάσει ἀναχωρῆσαι ἢ αὐτὸς ὁ χρεμύλος. ὅτι οὐ συγχωρῶ σοι ἐᾶσαι αὐτήν. δύναται δὲ τὸ ὁ δ' ἐπιτρέψων τοῦ νεανίσκου εἶναι. ἵν' ἢ τίς μοι ἐπιτρέψῃ, συνεῖναι αὐτῇ εἶτα ὡς παραιτούμενος ἀποφέρει ὅτι οὐκ ἂν αὐτῇ διαλεχθείην διεσπεκλωμένῃ ἤγουν ἐξηραμμένῃ γαμηθείσῃ ἐν τῇ συνουσίᾳ κατατετριμμένῃ. ἢ ἀχρήστῳ πρὸς συνουσίαν διὰ τὸ γῆρας. σπεκλοῦν γὰρ τὸ συνουσιάζειν παρὰ τὸ πήκεσθαι. σπέκλωμα γὰρ ὁ ἦχος τῆς συνουσίας ἢ διαλελυμένῃ κυρίως ὡς ἐπὶ χοινίων τῶν πλακέντων, εἶτα διαλυθέντων ἐν χρόνῳ ἢ ὑποπεπληνισμένῃ κατὰ διεσπεκλωμένῃ πρὸς συνουσίαν ἀχρήστῳ γινομένῃ καὶ πεπαλαιωμένῃ. καὶ ὑπὸ πολλῶν ἐν συνουσίᾳ τετριμμένῃ. τὸ δὲ σπεκλοῦν, ἐπὶ τοῦ συνουσιάζειν τάσσουσιν οὐχ ὡς προηγουμένως τοῦτο σημαῖνον, ἀλλ' ὅμοιον πολλοῖς συμβολικοῖς ὀνόμασι ποιοῦντες. καὶ μάλιστα ἐφ' ὧν τὸ δυσρημονεῖν ἴσατο.

εἰ δ' ἐκπλυνεῖται τοῦτο τὸ ψιμύθιον,
ὄψει κατάδηλα τοῦ προσώπου γε τὰ ῥάκη.
γρ. γέρων ἀνὴρ ὢν, οὐχ ὑγιαίνειν μοι δοκεῖς.
νε. πειρᾷ μὲν οὖν ἴσως σε. καὶ τῶν τιτθίων
ἐφάπτεταί σου λανθάνειν δοκῶν ἐμέ.
γρ. μὰ τὴν ἀφροδίτην οὐκ ἐμοῦ γ' ὦ βδελυρὲ σύ.
χρ. μὰ τὴν ἑκάτην οὐ δῆτα. μαινοίμην γὰρ ἄν.
ἀλλ' ὦ νεανίσκ' οὐκ ἐῶ τὴν μείρακα
μισεῖν σε ταύτην. νε. ἀλλ' ἔγωγ' ὑπερφιλῶ.
χρ. καὶ μὴν κατηγορεῖ γέ σου. νε. τί κατηγορεῖ,
χρ. εἶναί σ' ὑβριστήν φησι καὶ λέγειν ὅτι,
πάλαι ποτ' ἦσαν ἄλκιμοι μιλήσιοι.
νε. ἐγὼ περὶ ταύτης οὐ μαχοῦμαί σοι. χρ. τὸ τί.
νε. αἰσχυνόμενος τὴν ἡλικίαν τὴν σήν. ἐπεὶ
οὐκ ἄν ποτ' ἄλλῳ τοῦτ' ἐπέτρεπον ποιεῖν.
νῦν δ' ἄπιθι χαίρων, συλλαβὼν τὴν μείρακα.
χρ. οἶδ' οἶδα τὸν νοῦν. οὐκέτ' ἀξιοῖς ἴσως
εἶναι μετ' αὐτῆς. γρ. ὁ δ' ἐπιτρέψων ἐστὶ τίς.
νε. οὐκ ἂν διαλεχθείην διεσπεκλωμένῃ
ὑπὸ μυρίων ἐτῶν γε καὶ τρισχιλίων.
χρ. ὅμως δ' ἐπειδὴ καὶ τὸν οἶνον ἠξίους
πίνειν, συνεκποτέ' ἐστί σοι καὶ τὴν τρύγα.
νε. ἀλλ' ἔστι κομιδῇ τρὺξ παλαιὰ καὶ σαπρά.
χρ. οὐκοῦν τρύγοιπος ταῦτα πάντ' ἰάσεται.
νε. ἀλλ' εἴσιθ' εἴσω. τῷ θεῷ γὰρ βούλομαι
ἐλθὼν ἀναθεῖναι τοὺς στεφάνους τούσδ' οὓς ἔχω.
γρ. ἐγὼ δέ γ' αὐτῷ καὶ φράσαι τι βούλομαι.
νε. ἐγὼ δέ γ' οὐκ εἴσειμι. χρ. θάρρει. μὴ φοβοῦ.

Υπὸ μυρίων ἐτῶν. δέον εἰπεῖν αἰσχρῶν, ἐτῶν εἶπε, σκώπτων αὐτὴν ὡς γραῦν.

Και τὴν τρύγα σε. πολλάκις καὶ τὸν νέον οἶνον τρύγα ἐκάλουν. νῦν δὲ οὐχ οὕτως ἀλλ' ὡς ἡμεῖς τὴν ὑποστάθμην.

Ουκοῦν τρύγοιπος. ὁ ὑλιστὴρ ὁ σάκκινος. πρὸς ἃ εἶπεν ὁ νεανίσκος, ἀπήντησεν ὁ γέρων.

ὥς περ παλαιὰ εἰρεσιώνη καύσεται.
ΝΕ. βούλει διὰ χρόνου πρός με παῖσαι. ΓΡ. τί, τάλαν;
ΝΕ. αὐτοῦ λαβοῦσα κάρυα. ΓΡ. παιδιὰν τίνα;
ΝΕ. πόσους ἔχεις ὀδόντας. ΧΡ. ἀλλὰ γνώσομαι,
κἄγωγ᾽. ἔχει γὰρ τρεῖς ἴσως ἢ τέτταρας.
ΝΕ. ἀπότισον. ἕνα γὰρ γόμφιον μόνον φορεῖ.
ΓΡ. ταλάντατ᾽ ἀνδρῶν, οὐχ ὑγιαίνειν μοι δοκεῖς.
πλυνόν με ποιῶν ἐν τοσούτοις ἀνδράσιν.
ΝΕ. ὄναιο μέν γ᾽ ἄν, εἴ τις ἐκπλύνειέ σε.
ΧΡ. οὐ δῆτ᾽, ἐπεὶ νῦν μὲν καπηλικῶς ἔχει.

Ὥσπερ παλαιὰ εἰρεσιώνη. εἰρεσιώνη στέμματα πρὸ τῶν πυλῶν περιειλημμένα τοῖς ἀκρουστικοῖς τοῖς κολύροις καὶ ἄλλοις τοῖς τοιουτοτρόποις τοῖς τε ὡραίοις καρποῖς, καὶ ἐλαίῳ ἀποκεκραμένα. λιμοῦ γὰρ ἐνσκήψαντος, ἀνεῖλεν ὁ θεὸς τὰς εἰρεσιώνας πρὸ τῶν θυρῶν κρεμάσαι. εἰρεσιώνη δὲ θαλλὸς ἐλαίας ἢ δάφνης ἐξ ἐρίων καὶ θαλλοῦ συμπεπλεγμένος, ἔχων ἄρτον ἐξηρτημένον καὶ κοτύλην. ἔστι δὲ μέτρον ὃ νῦν καλοῦμεν ἡμίξεστον. καὶ σῦκα καὶ πάντα τὰ ἀγαθά. ταύτην δὲ τὴν εἰρεσιώνην πρὸ τῶν οἰκημάτων ἐτίθεντο οἱ Ἀθηναῖοι. καὶ κατ᾽ ἔτος ἠλλάττον. εἰώθει δὲ παῖς ἀμφιθαλὴς ἀμφ᾽ αὐτῇ ταῦτα λέγειν. Εἰρεσιώνη σῦκα φέρει καὶ πίονας ἄρτους καὶ μέλι ἐν κοτύλῃ. καὶ ἔλαιον ὑποψήσασθαι. Καὶ κύλικ᾽ εὔζωρον, ὡς ἂν μεθύουσα καθεύδῃς. ἄλλως. κλάδος ἦν ἐλαίας ἐρίοις πεπλεγμένος. ἐξήρτητο δὲ αὐτοῦ τὰ ὡραῖα πάντα. ἵστασαν δὲ αὐτὸν πρὸ τῶν θυρῶν κατὰ τὸ παλαιὸν χρηστήριον. οἱ μὲν γάρ φασιν, ὡς λιμοῦ πᾶσαν τὴν γῆν κατασχόντος, ὁ θεὸς εἶπε προσειρεσίαν ὑπὲρ ἁπάντων θῦσαι θυσίαν Ἀθηναίους. οὗ ἕνεκα χαριστήρια πανταχόθεν ἐκπέμπουσιν Ἀθήναζε τῶν καρπῶν τὰς ἀπαρχάς. ἄλλως. πυανεψίοις καὶ θαργηλίοις ὥραις θύουσιν Ἀθηναῖοι. φέρουσι δὲ οἱ παῖδες τὰ προκατειλεγμένα ἀκρόδρυα. καὶ ταῦτα πρὸ τῶν θυρῶν κρεμῶσι. κατά τι δὲ χρηστήριον πρὸς ἀποτροπὴν λιμοῦ ταῦτα ἐποίουν. Τί, τάλαν. τὸ τί σκωπτικόν. δηλοῖ γὰρ ἀκολασίας τὸ τὴν ζητούσης. Παιδιὰν τίνα. οὕτως Ἀττικοὶ βραχυκαταλήκτως καὶ ὀξυτόνως ἐπὶ τοῦ παιγνίου. Πόσους ἔχεις ὀδόντας. δέον εἰπεῖν κάρυα εἶπεν ὀδόντας ὡς πρὸς γραῦν. τοῦτο παρ᾽ ὑπόνοιαν εἶπε κωμῳδῶν αὐτὴν ὡς πάνυ γραῖαν. ἔδει γὰρ εἰπεῖν πόσα ἐν χερσὶν ἔχω ὥσπερ εἰώθασι λέγειν οἱ τὰ ἄρτια καὶ περισσὰ παίζοντες. ἄλλως κάρυα, εἶπεν ἀντὶ τοῦ πόσα ἔχεις κάρυα. παιδιὰ γάρ ἐστι τοιαύτη. δραξάμενός τις καρύων καὶ ἐκτείνας τὴν χεῖρα ἐρωτᾷ, πόσα. καὶ ἐὰν ἐπιτύχῃ λαμβάνει ὅσα ἔχει ἐν τῇ χειρί. ἐὰν δὲ ἁμάρτῃ κατὰ τὴν ἀπόκρισιν, ἀποτίνει ὅσα ἂν ὁ ἐρωτήσας εὑρεθείη ἔχων. Πλυνόν με ποιῶν. ἐφύβριστον πλῦμα. πλυνὸς δὲ ὀξυτόνως τὸ ἀγγεῖον αὐτό. παροξυτόνως δὲ τὸ πλυνόμενον. Καπηλικῶς ἔχει. πανουργικῶς. ἐπεὶ οἱ κάπηλοι χρίειν καὶ αἰαπτειν τὰ ἱμάτια εἰώθασι, καὶ τὸν οἶνον δὲ νοθεύουσι. συμμιγνύντες αὐτῷ σαπρόν. ἄλλως. κομμωτικῶς καὶ ἐψιμμυθισμένως ἔχει. καὶ οὐ τὴν κατὰ φύσιν χροιάν. ἀλλὰ νόθον καὶ ξένην.

ος τοσοῦτον ἔχει τρύπημα, ὡς δοκεῖν εἶναι ἐν τηλίᾳ τὸ τρύπημα. ἄλλως· τηλία σανὶς ἡ λεγομένη κάρδοπος. τηλία δὲ ἡ στηλία. ὡς παρὰ τὸ σήμερον, τήμερον. καὶ δὴ καὶ ἰδίως ἐκαλεῖτο τηλία περίφραγμα σανίδων ἐν τῇ ἀγορᾷ ἐν ᾧ ἄλφιτα ἐπιπράσκοντο. καὶ ὀρτυγοτρόφοι τοὺς ὄρτυγας συνέβαλλον ἐν τούτῳ. Καὶ μὴν τὸ μειράκιον. πρόεισιν ὁ παῖς στεφάνους κομίζων παρὰ τοῦ Πλούτου. διὰ τὸ πεπλουτηκέναι. Ἀσπάζομαι. ὡς διὰ χρόνου αὐτὴν ἀσπαζόμενός φησι. μεθύων δὲ οὐ λέγει χαῖρε. ἢ δὲ διὰ τὸ ἄτοπον δοκοῦν τῆς προσρήσεως ὡς ἐν ἔρωτι, τί φησιν. Ἀσπάζομαι. κορωνὶς ἑτέρα ὁμοία. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι πεντήκοντα ἕξ. ὧν τελευταῖος, ὥσπερ λεπὰς τῷ μειρακίῳ προσίσχεται. μετὰ δὲ τὸν δέκατον στίχον, κῶλον ἰαμβικὸν μονόμετρον. βραχυκατάληκτον. ἔστι γὰρ βραχυκατάληκτον ὡς εἴρηται τὸ λεῖπον ὅλου ποδὸς πρὸς ἀπαρτισμὸν τῆς συζυγίας τῶν ποδῶν. ἢ τοῦ μονομέτρου τυχὸν ἢ τοῦ διμέτρου. ἐπὶ δὲ τέλει κορωνίς. καὶ ἑξῆς

ΝΕ	ἀσπάζομαι. ΓΡ. τί φησιν. ΝΕ. ἀρχαία φίλη	
	πολιὰ γεγένησαι ταχύ γε νὴ τὸν οὐρανόν.	
ΓΡ	τάλαιν' ἐγώ. τῆς ὕβρεος ἧς ὑβρίζομαι.	
ΧΡ	ἔοικε διὰ πολλοῦ χρόνου σ' ἑωρακέναι	
ΓΡ	ποίου χρόνου ταλάνταθ', ὃς παρ' ἐμοὶ χθὲς ἦν.	
ΧΡ	τοὐναντίον πέπονθε τοῖς πολλοῖς ἄρα	
	μεθύων γὰρ ὡς ἔοικεν, ὀξύτερον βλέπει.	
ΓΡ	οὔκ. ἀλλ' ἀκόλαστός ἐστιν ἀεὶ τοὺς τρόπους.	
ΝΕ	ὦ ποντοπόσειδον καὶ θεοὶ πρεσβυτικοὶ	
	ἐν τῷ προσώπῳ, τῶν ῥυτίδων ὅσας ἔχει.	
ΓΡ	ἆ. ἆ.	
	τὴν δᾷδα μή μοι πρόσφερ'. ΧΡ. εὖ μέντοι λέγει.	
	ἐὰν γὰρ αὐτὴν εἷς μόνος σπινθὴρ λάβῃ,	

τὸ χοροῦ αὖθις. ἐχρῆν γὰρ καὶ ταῦτα θεῖναι χορὸν εἰσιόντων ἐντὸς τῶν ὑποκριτῶν, ἄχρις αὖ τις ἕτερος ἐπέλθοι ὑποκριτής. Μεθύων γὰρ ὡς ἔοικεν ὀξύτερον βλέπει. οἱ γὰρ μεθύοντες οὐχ ὁρῶσι. παίζει οὖν ὅτι ὀξέως ἐθεάσατο τὰς πολιὰς αὐτῆς ὁ νέος, ἀμαυροῦσθαι ὀφείλων τὴν ὄψιν ἐκ τῆς μέθης. μεθύων δὲ ἐστιν· ἐπειδὴ ἐπὶ κῶμον ἀπῄει ὥς φησι. τοὐναντίον δὲ εἶπε τοῖς ἄλλοις πέπονθεν. ἐπειδὴ νήφων οὐκ ἔγνω, ἀλλὰ μεθύων γνωρίζει αὐτήν. Ὦ ποντοπόσειδον. ὦ πόντιε πόσειδον. θεοὶ δὲ πρεσβυτικοί, οἱ τοῖς πρεσβύταις ἐφιστάμενοι θεοί. ἐπειδὴ καὶ ὁ Ποσειδῶν τῶν πρεσβυτέρων θεῶν. καὶ οὐχ ὅμοιός ἐστι Διονύσῳ ἢ Ἀπόλλωνι. τὸ δὲ ποντοπόσειδον ἀπὸ τοῦ πόντου. ὦ μέγιστε πόσειδον. καὶ Σώφρων γάρ φησι, Γόντος ἀγαθῶν, πλῆθος καὶ μέγεθος θέλων σημαίνειν. ἄλλως. ἐπεὶ γραῦς ἐστιν, ὡς τοῦ ὅρκου τούτου πρεσβυτικοῦ ὄντος. ἢ οὐ πάντως. ἀλλ' ἐν παιδιᾷ μετ' ἐκπλήξεως φαίνεται καὶ μεγάλης τινὸς ἐμφάσεως χρῆσθαι τούτῳ.

Ἆ ἆ. ὡς τοῦ νεανίσκου προσφέροντος τὴν δᾷδα αὐτῇ, τοῦτο λέγει. ἔστι δὲ ἐπίρρημα ἐκπλήξεως καὶ κελεύσεως.

38 b

[illegible]

Ε ἰ θάσιον, ἐνέχεις. ἐπεὶ ἐν θάσῳ φύει σταφυλὸς ὁ ὀρώμενος Διονύσου. διαφόρει γὰρ ὁ θάσιος οἶνος. ἐνέχεις δὲ ἀντὶ τοῦ ἐκίρνας. Γραὸς καπρώσης τἀφόδια. ἐρωτομανοῦς. μαχλώσης. ὀρεγομένης συνουσίας, τὰ ἀναλώματα. τὴν οὐσίαν. ἔφοδος θηλυκῶς, ἡ ἐπέλευσις τινός. ἐφόδιον δὲ οὐδετέρως. καὶ ἐφόδια πληθυντικῶς, τὰ ἐν τῇ ὁδῷ κυρίως γινόμενα ἀναλώματα. ἐνταῦθα δὲ ἁπλῶς λέγει τὰ ἀναλώματα. φάσκων βοηθεῖν. καὶ παρὰ ἀναλογὸν βοηθεῖν τοῖς ἀδικουμένοις, τοὐναντίον ποιεῖ, ἐκείνου τοῦ ἀδικοῦντός με προϊστάμενος. ἐπειδὴ τοῖς δικαίοις ὡς ἀδικουμένοις προσεκλήθη. Ἢ μηδ' ὁτιοῦν δίκαιον. ἢ δίκαιόν ἐστι μηδ' ὁτιοῦν ἀγαθὸν ἔχειν τὸν νεανίσκον. Ἀλλὰ κατασέσηπας. ὑπὸ τοῦ γήρως καὶ τοῦ χρόνου γελοίου δὲ χάριν, οὐ κατατέτηκας εἶπεν, ἀλλὰ κατασέσηπας. Ὢν τηλία. κοσκίνου κύκλος ἢ σανὶς πραγματεία ἐφ' ἧς ἄλφιτα πωλοῦσιν. ἐν δὲ τῷ ὑπομνήματι οὕτως. τοῦτο τί ἐστιν οὐκ οἶδα. ὅτι δὲ συμβάλλεται ἐν μαρικᾷ εὐπόλιδος, οἶδα. κἀκεῖ γὰρ τὴν ὑπερβόλου μητέρα τηλίᾳ εἰκάζει τῇ πραγματείᾳ σανίδι. τινὲς δὲ τηλίαν, ξύλον φασὶ πλατύ, εἰς ὃ οἱ ἀρτοκόποι τοὺς ἄρτους ἀποξηραίνουσιν. ἄλλοι δὲ τηλίαν τὸ τῆς καπνοδόχης πῶμα ὅ ἐστι περιφερές. φησὶν οὖν ὅτι διὰ δακτυλίου ἑλκυσθείης, ἐὰν ᾖ ὁ δακτύλιος τηλία. τοῦτο δὲ ὡς παχείας αὐτῆς οὔσης, καὶ μὴ δυναμένης διὰ δακτυλίου ἑλκυσθῆναι ἀλλὰ διὰ τηλίας. ἄλλως. τηλία. ἔχει μέν τι καθ' ἑαυτὸ ἄπορον. ἐὰν δὲ τὸ ἐν Μαρικᾷ προσιδῇ ἔνθα εἰς τηλίαν φησὶ τὰ τοῦ ὑπερβόλου ὀστᾶ ἐμβεβλῆσθαι, ἀπορώτερον ἔσται ζητητέον οὖν. τηλία μὲν γάρ ἐστιν, ἡ ἀτρύπητος σανίς. ἐὰν δὲ τρυπηθῇ, ἀψὶς γίνεται. λέγει οὖν ὅτι εἰ μὴ ὁ δακτύλι-

ΧΡ. εἰ θάσιον ἐνέχεις, εἰκότως γε νὴ Δία.
ΓΡ. τὸ βλέμμα θ' ὡς ἔχοιμι μαλακὸν καὶ καλόν.
ΧΡ. οὐ σκαιὸς ἦν ἄνθρωπος, ἀλλ' ἠπίστατο,
γραὸς καπρώσης τἀφόδια κατεσθίειν.
ΓΡ. ταῦτ' οὖν ὁ θεὸς ὦ φίλ' ἄνερ οὐκ ὀρθῶς ποιεῖ,
φάσκων βοηθεῖν τοῖς ἀδικουμένοις ἀεί.
ΧΡ. τί γὰρ ποιήσει φράζε καὶ πεπράξεται.
ΓΡ. ἀναγκάσαι δίκαιόν ἐστι νὴ Δία,
τὸν εὖ παθόνθ' ὑπ' ἐμοῦ, πάλιν μ' ἀντευποιεῖν.
ἢ μηδ' ὁτιοῦν δίκαιον ἀγαθὸν ἐστ' ἔχειν.
ΧΡ. οὐκοῦν καθ' ἑκάστην ἀπεδίδου τὴν νύκτα σοι,
ΓΡ. ἀλλ' οὐδέποτέ με ζῶσαν ἀπολείψειν ἔφη.
ΧΡ. ὀρθῶς γε. νῦν δέ γ' οὐκ ἔτι ζῆν σ' οἴεται.
ΓΡ. ὑπὸ τοῦ γὰρ ἄλγους κατατέτηκ' ὦ φίλτατε.
ΧΡ. οὔκ, ἀλλὰ κατασέσηπας ὥς γέ μοι δοκεῖς.
ΓΡ. διὰ δακτυλίου μὲν οὖν ἔμε γ' ἂν διελκύσαις
ΧΡ. εἰ τυγχάνει γ' ὁ δακτύλιος ὢν τηλία.
ΓΡ. καὶ μὴν τὸ μειράκιον τοδὶ προσέρχεται,
οὗ περ πάλαι κατηγοροῦσα τυγχάνω.
ἔοικε δ' ἐπὶ κῶμον βαδίζειν. ΧΡ. φαίνεται.
στέφανόν γέ τοι καὶ δᾷδ' ἔχων πορεύεται.

θεν ὑπὸ τῶν μηδιζόντων πανδημεὶ τοῖς Κᾶρσι βοηθῆσαί τις καὶ τοῖς Πέρσαις μετ᾽ ἐκείνων συμβαλόντες, σχεδὸν πάντες ἀπέθανον. τὸν δὲ χρησμὸν διὰ τὴν ἀλήθειαν εἰς παροιμίαν ἐλθεῖν. ἄλλως. ἰσχυροί ποτ᾽ ἦσαν οἱ Μιλήσιοι ὡς καὶ Ἀνακρέων. πολεμουμένους δὲ Κᾶρας ὑπὸ Δαρείου τοῦ Ὑστάσπου, τοῦτον λαβεῖν τὸν χρησμόν. πυνθανομένους εἰ προσλάβοιεν συμμάχους Μιλησίους. ὁ δὲ νοῦς τοῦ λεγομένου τοιοῦτος. ἀντὶ τοῦ πάλαι συνῆν σοι. νῦν δὲ οὔ. εἴρηται δὲ ἡ παροιμία, ἐπὶ τῶν πρότερον μὲν εὐδαιμονούντων, νῦν δὲ ἀτυχούντων.

ἔπειτα πλουτῶν, οὐκ ἔθ᾽ ἥδεται φακῇ·
πρὸ τοῦ δ᾽ ὑπὸ τῆς πενίας ἅπαντα κατήσθιεν.
γρ. καὶ μὴν πρὸ τοῦ γ᾽ ὁσημέραι, νὴ τὼ θεώ,
ἐπὶ τὴν θύραν ἐβάδιζεν ἀεὶ τὴν ἐμήν.
χρ. ἐπ᾽ ἐκφοράν. γρ. μὰ Δί᾽, ἀλλὰ τῆς φωνῆς μόνον
ἐρῶν ἀκοῦσαι. χρ. τοῦ λαβεῖν μὲν οὖν χάριν.
γρ. καὶ νὴ Δί᾽. εἰ λυπουμένην γ᾽ αἴσθοιτό με,
νιτάριον αὖ καὶ βάτιον ὑπεκορίζετο.
χρ. ἔπειτ᾽ ἴσως ᾔτησεν ἄν σ᾽ ὑποδήματα.
γρ. μυστηρίοις δὲ τοῖς μεγάλοις ὀχουμένην
ἐπὶ τῆς ἁμάξης, ὅτι προσέβλεψέ μέ τις,
ἐτυπτόμην διὰ τοῦθ᾽ ὅλην τὴν ἡμέραν·
οὕτω σφόδρα ζηλότυπος ὁ νεανίσκος ἦν.
χρ. μόνος γὰρ ἥδεθ᾽ ὡς ἔοικεν ἐσθίων.
γρ. καὶ τάς γε χεῖρας, παγκάλους ἔχειν μ᾽ ἔφη.
χρ. ὁπότε προτείνοιέν γε δραχμὰς εἴκοσιν.
γρ. ὄζειν τε τῆς χροιᾶς ἔφασκεν ἡδύ μου.

Ἥδεται φακῇ. εἰκότως παρεικάζει φακῇ τὴν γραῦν. διά τε τὸ τοῦ ὀσπρίου χαῦνον. ῥικνοῦται γὰρ καὶ αἱ γρᾶες. καὶ διὰ τὸ ἐσθίειν φακῆν τὰς γραῦς οὐκ ἐχούσας ὀδόντας. Νιτάριον αὖ καὶ βάτιον. Σύμμαχός φησι, νίταρος πολὺς ἐπὶ μαλακίᾳ. ὀνειδιζόμενος ἐν τοῖς ἑξῆς δράμασι καὶ βάτος. καὶ τὰς μακρὰς δὲ θηλείας, βατύλους ἔλεγον. καὶ Θεοπόμπου δρᾶμα ἐστὶ Βατύλη. τινὲς δὲ νιτάριον καὶ βάτου εἴδη φυτῶν. θέλει οὖν εἰπεῖν ὅτι ὡς αὐτὴν με εἶχε. Δίδυμος δέ φησιν ὑποκορίσματα πρὸς γυναῖκας. νιτάριον δέ, νεόττιον. οἱονεὶ κοράσιον. ἄλλως. φιλοφρονητικὴ ἡ προσφώνησις. βάταλον δὲ τὴν ἕδραν παρὸ καὶ τὸ βάτιον. τὸ δὲ συνεσταλμένως ἀναγινώσκειν, ἀνόητον. ἢ δύναται βάτον ἀντὶ τοῦ τρυφερὸν καὶ μαλακόν, οἷος ὁ βάτος τὸ ἰχθύδιον. Μυστηρίοις τοῖς μεγάλοις. ἐπεὶ ἔστι καὶ μικρὰ μυστήρια γινόμενα δι᾽ Ἡρακλέα. Ἡρακλῆς γὰρ ἐπιστάς, ἠξίου μυεῖσθαι. ἔθος δὲ ἦν τοῖς Ἀθηναίοις ξένον μὴ μυεῖν. μὴ βουλόμενοι δὲ λῦσαι τὸ ἔθος, μὴ δὲ ἀπῶσαι τὸν εὐεργέτην Ἡρακλέα, ἐπενόησαν μυστήρια [illegible]. Ὀχουμένην. ὄχος ποιητικῶς τὸ ἅρμα τὸ ἐκ τῆς ἁμάξης κατεσκευασμένον καὶ ὑπὸ τῶν ἵππων κινούμενον καὶ ὀχούμενον, καὶ ὀχοῦμαι, τὸ ἐπὶ ἅρματος τοιούτου φέρομαι. Ἐπὶ τῆς ἁμάξης. αἱ γὰρ τῶν Ἀθηναίων γυναῖκες ἐπὶ ἁμαξῶν ὀχούμεναι εἰς τὰ μεγάλα Ἐλευσίνια ἀπήρχοντο. ὡς ἐπὶ ἁμαξῶν οὖν ὀχουμένων αὐτῶν ἐπειδὴ εἰς Ἐλευσίνια ἐβάδιζον εἰς τὰ μεγάλα μυστήρια. καὶ λοιδοροῦσιν ἀλλήλαις ἐν τῇ ὁδῷ τοῦτο εἶπεν. ἔθος γὰρ ἦν αὐταῖς τοῦτο.

Ε κνομίως· ἀντὶ τοῦ ὑπερφυῶς, ὑπερβαλλόντως· μεγάλως. κυρίως δὲ τὸ ὑπὲρ τὸ νενομισμένον. Οὐχ ἕνεκεν μισητίας. πορνείας. οἱονεὶ μισγητίας· παρὰ τὸ μίσγεσθαι. καὶ ἐν τούτοις μισητίαν φησὶ, τὸ εἰς τὰς συνουσίας ἐπίφορον. οὐχ ἕνεκα φησὶ τοῦ ὑπηρετεῖν μου τῇ ἀσελγείᾳ. Τουτονί. εἰκότως εἶπε τουτονί. ἔφερε γὰρ ἐν ταῖς χερσὶν διὰ τὸ πέμψαι μὲν αὐτὴν ἐκείνῳ, μὴ δέξασθαι δὲ αὐτὸν, ἀλλ' ἀποπέμψαι πάλιν αὐτῇ. Ἀμητά τι προσέπεμψεν. εἶδος πλακοῦντος γαλακτώδους. οὐ μόνον ὅτι οὐκ ἐδέξατο τὰ δῶρά μου, ἀλλὰ καὶ οἴκοθεν ἔπεμψέ μοι ἄλλο πλακούντιον· ὡς ἂν λέγων, μηκέτι ἐκεῖσε πατῆσαι. Πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοί. τινὲς φασιν, ὅτι ἐν τοῖς παλαιοῖς χρόνοις, ἰσχυρότατοι ἦσαν οἱ Μιλήσιοι. καὶ ὅπου προσετίθεντο, πάντως ἐνίκων. Γ Πολυκράτης οὖν ὁ Σάμιος συγκροτῶν πρός τινα πόλεμον, ἠθέλησε λαβεῖν αὐτοὺς εἰς συμμαχίαν. καὶ εἰς τὸ μαντεῖον ἀπῆλθεν ἐρωτήσων περὶ τούτου. ὁ δὲ θεὸς ἔχρησεν, πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι. ἄλλως περὶ τῆς παροιμίας ταύτης Δάμων οὕτω φησί. τῶν Καρῶν περὶ τοῦ πολέμου πρὸς τοὺς Ἀμβρακιώτας βουλευσαμένων, ἀλκιμωτάτους ὄντας τῶν ἐν πολέμῳ γειτόνων τίνας χρὴ ποιεῖσθαι συμμάχους, οἱ μὲν τοὺς Μιλησίους ᾤοντο δεῖν παρακαλεῖν. καὶ γὰρ εὐημεροῦν τότε μάλιστα τῶν περιοίκων. καὶ διὰ τὸ γειτνιᾶν τῇ Καρίᾳ τὴν τούτων χώραν. οἱ δὲ διαλύσασθαι πρὸς τοὺς Πέρσας συνεβούλευον, τὴν τούτων ἀρχὴν μεγίστην γεγενῆσθαι φάσκοντες. καὶ πάντων ἀλκιμωτάτους εἶναι, κρατοῦντας τῆς Ἀσίας. ἔδοξεν οὖν τοῖς Καρσὶν ἐρωτῆσαι τὸν Ἀπόλλωνα. τὸν δὲ θεὸν ἀποκρίνεσθαι, πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι. τοῦ δὲ χρησμοῦ διαδοθέντος εἰς τὰς ἄλλας πόλεις, οἱ μὲν Μιλήσιοι τὴν προφῆτιν αἰτιασάμενοι διεφθάρθαι χρήμα-

ΓΡ. οὐ πολλά· καὶ γὰρ ἐκνομίως μ' ᾐσχύνετο.
ἀλλ' ἀργυρίου δραχμὰς ἂν ᾔτησ' εἴκοσιν
εἰς ἱμάτιον, ὀκτὼ δ' ἂν εἰς ὑποδήματα.
καὶ ταῖς ἀδελφαῖς ἀγοράσαι χιτώνιον
ἐκέλευσεν ἂν, τῇ μητρί θ' ἱματίδιον.
πυρῶν τ' ἂν ἐδεήθη μεδίμνων τεττάρων.
ΧΡ. οὐ πολλὰ τοίνυν μὰ τὸν Ἀπόλλω ταῦτά γε
εἴρηκας, ἀλλὰ δῆλον, ὅτι σ' ᾐσχύνετο.
ΓΡ. καὶ ταῦτα τοίνυν οὐχ ἕνεκεν μισητίας
αἰτεῖν μ' ἔφασκεν, ἀλλὰ φιλίας οὕνεκα.
ἵνα τοὐμὸν ἱμάτιον φορῶν, μεμνῇτό μου.
ΧΡ. λέγεις ἐρῶντ' ἄνθρωπον ἐκνομιώτατα.
ΓΡ. ἀλλ' οὐχὶ νυνί γ' ὁ βδελυρὸς τὸν νοῦν ἔχει,
τὸν αὐτὸν. ἀλλὰ πολὺ μεθέστηκε πάνυ.
ἐμοῦ γὰρ αὐτῷ τὸν πλακοῦντα τουτονί
καὶ τἄλλα τἀπὶ τοῦ πίνακος τραγήματα
ἐπόντα πεμψάσης, ὑπειπούσης θ' ὅτι
εἰς ἑσπέραν ἥξοιμι. ΧΡ. τί σ' ἔδρασ' εἰπέ μοι.
ΓΡ. ἀμητά τι προσέπεμψεν ἡμῖν τουτονὶ
ἐφ' ᾧτ' ἐκεῖσε μηδέποτέ μ' ἐλθεῖν ἔτι,
καὶ πρὸς ἐπὶ τούτοις, εἶπεν ἀποπέμπων, ὅτι,
πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι.
ΧΡ. δῆλον, ὅτι τοὺς τρόπους τις οὐ μοχθηρὸς ἦν.

Ω μειρακίσκη. προσπαίζουσι τῇ πρεσβύτιδι οἱ γέροντες. καὶ μειρακίσκην μὲν, διὰ τὸ τεθρυμμένον τοῦ ὡραϊσμοῦ. ὡρικῶς δὲ ἢ εὐπρεπῶς, ἢ κατὰ καιρόν.

Τί δ' ἐστιν, ἦ που καὶ σὺ συκοφάντρια. ἐπειδὴ εἶδε τοὺς πενιχροὺς τῶν ἀνδρῶν ἀτυχήσαντας βλέψαντος τοῦ πλούτου φησίν. ἆρα καὶ σὺ ἐν ταῖς γυναιξὶ πονηρὰ εἶ. ὥσπερ δὲ πανδοκεύτρια, οὕτω καὶ συκοφάντρια. Ἀλλ' οὐ λαχοῦσ' ἔπινες. παρ' ὑπόνοιαν, ἀντὶ τοῦ ἐδίκαζες. ὅτι δὲ κατὰ γράμματα ἐκληροῦντο, προείρηται. οὐ μὴν ἀλλὰ καὶ ἐβουλεύοντο οὕτοι τῷ πρὸ τούτου ἔτει ἀρξάμενοι. φησὶ γὰρ ὁ φιλόχορος, ἐπὶ γλαυκίππου, καὶ ἡ βουλὴ καὶ τὸ γράμμα τὸ τότε πρῶτον ἐκαθέζετο. καὶ ἔτι νῦν ὀμνύουσιν ἀπ' ἐκείνου καθεδεῖσθαι ἐν τῷ γραμματείῳ ᾧ ἂν λάχωσι. τοῦτο δὲ ἀφ' ἑτέρου ἐστὶν ἑρμηνεῦσαι. ἀθηναῖοι γὰρ ἀπὸ τῶν φυλῶν ἐποίουν τοὺς δικαστὰς κατὰ τὰ γράμματα. οἷον ἡ πρώτη τὸ α ἔσχε σημεῖον. καὶ ἡ δευτέρα τὸ β' καὶ αἱ ἄλλαι ὁμοίως ἕως τοῦ κ. δέκα γὰρ οὐσῶν φυλῶν, δέκα ἐγράφοντο δικασταί. ὁ οὖν λαχὼν τὸ α πρῶτος ἐδίκαζε. καὶ ἄλλοι ὁμοίως. ἐν τῷ γράμματι οὖν εἶπεν, ὡς ἐπὶ τῶν ῥητόρων. οἱ γὰρ λαχόντες μόνον ῥητορεύουσι. λέγει οὖν ὅτι, ἆρα ὁ κλῆρός σου οὐκ ἀνῆλθεν. ἄλλως. ἐκληροῦντο γὰρ πρὸς τὸ γράμμα καὶ οὕτως ἐδίκαζον. τάχα οὖν σύ φησι λαχοῦσα οὐκ ἐδίκαζες, ἔπινες δὲ παίζων πρὸς τὸ τῶν γυναικῶν φῦλον ἐρωτηματικῶς οὖν. ἐπειδὴ δὲ καὶ γέροντές εἰσιν οἱ δικάζοντες, διὸ εἶπε πρὸς τὴν γραῦν, ἀλλ' οὐ λαχοῦσ' ἔπινες ἐν τῷ γράμματι. Τὸν κνισμὸν τίνα. ἀντὶ τοῦ κατακνισμόν. ἐπί τισι δὲ κατερῶσαι σκώπτει τὴν γραῦν. ἄλλως. κνισμός ἐστι κυρίως ἡ πρὸς τὴν μίξιν βακχεία καὶ πύρωσις. ἐνταῦθα οὖν κατακέκνισμαι, ἀντὶ τοῦ ὑπ' ἔρωτος πάσχω.

ἀφίγμεθ' ὀρθῶς τοῦ νέου τούτου θεοῦ
ἢ τῆς ὁδοῦ τὸ παράπαν ἡμαρτήκαμεν.
χρ. ἀλλ' ἴσθ' ἐπ' αὐτὰς τὰς θύρας ἀφιγμένη.
ὦ μειρακίσκη, πυνθάνει γὰρ ὡρικῶς.
γρ. φέρε νῦν ἐγὼ τῶν ἔνδοθι καλέσω τινά;
χρ. μὴ δῆτ'· ἐγὼ γὰρ αὐτὸς ἐξελήλυθα.
ἀλλ' ὅ τι μάλιστ' ἐλήλυθας, λέγειν ἐχρῆν.
γρ. πέπονθα δεινὰ καὶ παράνομ' ὦ φίλτατε.
ἀφ' οὗ γὰρ ὁ θεὸς οὗτος ἤρξατο βλέπειν.
ἀβίωτον εἶναί μοι πεποίηκε τὸν βίον.
χρ. τί δ' ἐστιν. ἦ που καὶ σὺ συκοφάντρια
ἐν ταῖς γυναιξὶν ἦσθα; γρ. μὰ δί' ἐγὼ μὲν οὔ.
χρ. ἀλλ' οὐ λαχοῦσ' ἔπινες ἐν τῷ γράμματι;
γρ. σκώπτεις. ἐγὼ δὲ κατακέκνισμαι δειλάκρα.
χρ. οὔκουν φράσεις ἀνύσασα τὸν κνισμὸν τίνα;
γρ. ἄκουέ νυν. ἦν δή μοι τι μειράκιον φίλον.
πενιχρὸν μέν. ἄλλως δ' εὐπρόσωπον καὶ καλόν.
καὶ χρηστόν. εἰ γάρ του δεηθείην ἐγὼ,
ἅπαντ' ἐποίει κοσμίως μοι καὶ καλῶς
ἐγὼ δ' ἐκείνῳ πάντα ταῦθ' ὑπηρέτουν.
χρ. τί δ' ἦν ὅ τι σου μάλιστ' ἐδεῖθ' ἑκάστοτε.

Ωσπερ κοτίνῳ προσπατταλεύσω. ὅτι ἐπὶ τῶν κοτίνων καὶ ἄλλων δένδρων πανταχοῦ ἐν τοῖς ἱεροῖς προσπατταλεύουσι τὰ ἀναθήματα. ἄλλως. εἰώθασι τοῖς δένδροις κῶλα καὶ κρανία προσπατταλεύειν πρὸς ἀποτροπὴν βασκανίας οἱ γεωργοὶ πρὸς τὸ μὴ ξηρανθῆναι αὐτά. ἄλλως. ἔθος ἦν τοὺς θηρῶντας τινὰ ἄγραν, μέρος τι τοῦ θηρωμένου κεφαλὴν ἢ πόδα προσηλοῦν πασσάλῳ ἐπί τινος δένδρου εἰς αὐτὴν τὴν ὕλην, πρὸς τιμὴν τῆς Ἀρτέμιδος. Καὶ σύκινον. ἴσον, τὸν ἀσθενέστατον. τὸ γὰρ ξύλον τῆς συκῆς ἀσθενὲς καὶ χαῦνον. ὅθεν καὶ συκίνη ἐπικουρία ἀντὶ τοῦ ἀσθενὴς καὶ ἀνωφελής. ἢ σύκινον τὸν συκοφάντην κεκαλυμμένως λέγει ἀπὸ τῆς συκῆς σχηματίσας τὸ ὄνομα. Οὔτε τὴν βουλὴν πιθών. ἀντὶ τοῦ πείσας. ὅσα γὰρ τῇ βουλῇ δόξει, ταῦτα ἐπὶ τὸν δῆμον ἀναφέρεται. καὶ ἐκ τοῦ ἐναντίου. τὰ ὑπὸ τοῦ δήμου ψηφιζόμενα ὑπὸ τῆς βουλῆς κυροῦται. Ἐπειδὴ τὴν πανοπλίαν. ἀντὶ τοῦ ἐπειδὴ ἐγένου κατ' ἐμὲ ὅτι ἤμην πένης. λόγοις δὲ συκοφαντου μιμεῖται.

ὥσπερ κοτίνῳ προσπατταλεύσω τουτῳί.
συ. ἄπειμι. γινώσκω γὰρ ἥττων ὢν πολὺ
ὑμῶν. ἐὰν δὲ σύζυγον λάβω τινὰ
καὶ σύκινον τὸν ἰσχυρὸν τοῦτον θεόν.
ἐγὼ ποιήσω τήμερον δοῦναι δίκην.
ὅτι καταλύει περιφανῶς εἷς ὢν μόνος,
τὴν δημοκρατίαν· οὔτε τὴν βουλὴν πιθών,
τὴν τῶν πολιτῶν, οὔτε τὴν ἐκκλησίαν.
δι. καὶ μὴν ἐπειδὴ τὴν πανοπλίαν τὴν ἐμὴν
ἔχων βαδίζεις, εἰς τὸ βαλανεῖον τρέχε.
ἔπειτ' ἐκεῖ κορυφαῖος ἑστηκὼς, θόρου.
κἀγὼ γὰρ εἶχον τὴν στάσιν ταύτην ποτέ.
καρ. ἀλλ' ὁ βαλανεὺς ἕλξει θύραζ' αὐτὸν, λαβὼν
τῶν ὀρχιπέδων. ἰδὼν γὰρ αὐτὸν, γνώσεται
ὅτ' ἔστ' ἐκείνου τοῦ πονηροῦ κόμματος.
νὼ δ' εἰσίωμεν ἵνα προσεύξῃ τὸν θεόν.

ΧΟΡΟΥ.

γε. ἄρ' ὦ φίλοι γέροντες, ἐπὶ τὴν οἰκίαν

Κορυφαῖος. ἔπειτα περιίστασο περὶ τὸ πῦρ, ὥσπερ χορὸς ἐν τοῖς βαλανείοις. οὐκ ἐξῆν δὲ ξένον χορεύειν ἐν τῷ ἀστικῷ χορῷ. παρὰ τοῦτο πέπαιχεν, ἐν δὲ τῷ Ληναίῳ ἐξῆν· ἐπεὶ καὶ μέτοικοι ἐχορήγουν. κορυφαῖος δὲ ὁ ἐν βουλῇ πρῶτος. τὸ δὲ θόρου, ἀντὶ τοῦ θερμαίνητι· ὥσπερ ἀνδριὰς ἐπὶ κεφαλήν.

Ἀλλ' ὁ βαλανεύς. λέγουσιν ὅτι οἱ πολλοὶ ἐλαττοῦσι τὸν ἀέρα τῶν λουτρῶν, ἐς ἴσω τοὺς αὐτὸν ἕλκοντες. 32.a. Τοῦ πονηροῦ κόμματος. ὡς ἐπὶ νομίσματος εἶπεν, ἀπὸ μεταφορᾶς τῶν νομισμάτων τῶν φαύλως διακεκομμένων.

Ἄρ' ὦ φίλοι γέροντες. κορωνὶς ἑτέρα ὁμοία. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι πδ'. 36.b. ὧν τελευταῖος, στέφανόν γ' ἔτι καὶ δᾷδ' ἔχων πορεύεται. ἐπὶ τῷ τέλει κορωνίς. ἄλλως. Ἄρ' ὦ φίλοι γέροντες. γραῦς ἐστί τις. ἥτις πρώην ἐμισθώσατο νεανίσκον δίκαιον, ἐπὶ τῷ γαμεῖν αὐτήν. οὗτος δὲ πλουτήσας νῦν ὡς δίκαιος, ἔασεν αὐτήν. διὸ καὶ καταβοᾷ τοῦ πλούτου.

Προβατίου βίον. μωροῦ καὶ ἀνοήτου. διὰ τὸ ἀδρανὲς τῆς διανομῆς τῶν πραγμάτων ἢ ὅτι τὰ πρόβατα μηδὲν ἐργαζόμενα ζῇ. Διατριβή τις τῷ βίῳ. ἀντὶ τοῦ ἄθυρμα. ἀσχόλημα. δίαιτα. διαγωγή. πρόφασις. ἀφ' ἧς μέλλομεν περὶ τὰ πράγματα διατρίβειν. Οὐδ' ἂν μεταμάθοις. ἀντὶ τοῦ ἀναπαύσοιο. κυρίως δὲ μεταμαθεῖν ἔλεγον, τὸ μετὰ ταῦτα ἕτερόν τι μαθεῖν ἀφιεμένου τοῦ πρώτου. Καὶ τὸ Βάττου σίλφιον. Βάττος Κυρήνην ἔκτισεν ἐλθὼν ἀπὸ Θήρας τῆς κατὰ Κρήτην νήσου. ὅν, τιμήσαντες Λίβυες, ἐχαρίσαντο αὐτῷ τὸ κάλλιστον τῶν λαχάνων τὸ σίλφιον. καὶ ἐν νομίσματι αὐτὸ ἐχάραξαν. τῇ μὲν, βασιλέα· τῇ δὲ, σίλφιον παρὰ τῆς πόλεως δεχόμενον. ὡς Ἀριστοτέλης ἐν τῇ Κυρηναίων πολιτείᾳ. ἔνθεν καὶ ἡ παροιμία ἐπὶ τῶν διαφόρους καὶ ἐξόχους τιμὰς δεχομένων. ἄλλως. σίλφιον βοτάνη πολυτίμητος. ἡ δὲ αἰτία τοιαύτη ἐστί. Βάττος ὡς Ἀριστοτέλης ἐν Λιβύῃ Κυρήνην λεγομένην ἔκτισε κατὰ τὸν δοθέντα αὐτῷ παρὰ τῷ Ἀπόλλωνι χρησμόν. καὶ οἱ πολῖται οἱ Κυρηναῖοι ἀνταπόδοσιν τῆς εὐεργεσίας βουλόμενοι χαρίσασθαι τῷ βασιλεῖ, ἐποίησαν εἰκόνα. ὡς δέ τινες δακτύλιον. ἐν ᾧ ἡ πόλις αὐτῶν προσφέρει τῷ βασιλεῖ τὸ σίλφιον. καὶ τὸ φύλλον δὲ αὐτοῦ καὶ ὁ καρπὸς καὶ ὁ κλάδος καὶ ὁ ὀπός, καὶ ἁπλῶς τὸ πᾶν αὐτοῦ, πολλῆς τιμῆς ἄξιόν ἐστιν. καὶ οἱ Ἀμπελιῶται δὲ ἔθνος Λιβύης, εἰς Δελφοὺς ἀνέθεσαν καυλὸν σιλφίου, ὡς φησιν Ἀλεξανδρίδης.

Οὐκοῦν ἐκεῖνος εἴμ' ἐγώ. ἐκεῖνός εἰμι ἐγώ φησιν ὁ μέλλων σοι προσελθεῖν. τοῦτο ὁ θεράπων ἀποσκώπτων λέγει. ἅμα δὲ καὶ μιμεῖται τὰ παρ' αὐτοῦ ἄνω εἰρημένα. ἐν ὅσῳ δὲ λέγουσιν, ἀπέδυσεν. Μεθ' ἡμέραν. ἀντὶ τοῦ ἐν ἡμέρᾳ. Ἀττικὸν τὸ σχῆμα. μεθ' ἡμέραν γάρ φασιν, οὐκ ἐν ἡμέρᾳ. Ἱερὸν γάρ ἐστιν. ἱερὸν λέγουσι τὸ πᾶν ἀνατιθέμενον τοῖς θεοῖς.

ζῆν ἀργός; συ. ἀλλὰ προβατίου βίον λέγεις.
εἰ μὴ φανεῖται διατριβή τις τῷ βίῳ.
δι. οὐδ' ἂν μεταμάθοις; συ. οὐδ' ἂν εἰ δοίης γέ μοι
τὸν Πλοῦτον αὐτόν, καὶ τὸ Βάττου σίλφιον.
δι. κατάθου ταχέως θοἰμάτιον. καρ. οὗτος, σοὶ λέγει.
δι. ἔπειθ' ὑπόλυσαι. καρ. πάντα ταῦτα σοὶ λέγει.
συ. καὶ μὴν προσελθέτω πρὸς ἔμ' ὑμῶν ἐνθαδί,
ὁ βουλόμενος. καρ. οὐκοῦν ἐκεῖνος εἴμ' ἐγώ.
συ. οἴμοι τάλας. ἀποδύομαι μεθ' ἡμέραν.
κα. σὺ γὰρ ἀξιοῖς τἀλλότρια πράττων ἐσθίειν.
συ. ὁρᾷς ἃ ποιεῖ; ταῦτ' ἐγὼ μαρτύρομαι.
κα. ἀλλ' οἴχεται φεύγων ὃν ἦγες μάρτυρα.
συ. οἴμοι. περιείλημμαι μόνος. κα. νυνὶ βοᾷς;
συ. οἴμοι μάλ' αὖθις. καρ. δὸς σύ μοι τὸ τριβώνιον
ἵν' ἀμφιέσω τὸν συκοφάντην τουτονί.
δι. μὴ δῆθ'· ἱερὸν γάρ ἐστι τοῦ Πλούτου πάλαι.
κα. ἔπειτα ποῦ κάλλιον ἀνατεθήσεται.
ἢ περὶ πονηρὸν ἄνδρα καὶ τοιχωρύχον.
Πλοῦτον δὲ κοσμεῖν ἱματίοις σεμνοῖς πρέπει.
δι. τοῖς δ' ἐμβαδίοις τί χρήσεταί τις εἰπέ μοι.
κα. καὶ ταῦτα πρὸς τὸ μέτωπον αὐτίκα δὴ μάλα

Σ σκήπτομαι γ' ὅταν τύχω. τινὲς τῶν πολιτῶν ἡνίκα χρημάτων ἦν εἰσφορὰ πρὸς τὴν πόλιν, τὴν ἐμπορίαν ἐπροφασίζοντο, τὴν εἰσφορὰν βουλόμενοι φυγεῖν. ἀζήμιοι γὰρ οὗτοι διεφυλάττοντο ὥς φησιν Εὐφρόνιος, ὡς τὴν πόλιν ὠφελοῦντες πλεῖστα, διὰ τῆς αὐτῶν ἐμπορίας. διὸ καὶ ὁ συκοφάντης λέγει, ὅτι ὅταν γένηταί τις καιρὸς πολέμου, καὶ εἰσφορᾶς, ἔμπορον ἐμαυτὸν ἀποκαλῶ. ἄλλως. ὅταν φησὶν ἀνάγκη γένηται πράγματος, σκήπτομαι τό τι ἔμπορος εἶναι. προφασίζομαί φασιν, ὅτι ἐμπορεύομαι εἰς τὸν πόλεμον. τῶν τῆς πόλεως εἰμὶ τῶν δημοσίων πραγμάτων φροντιστής. οἷον χορηγίας. τριηραρχίας καὶ τῶν τοιούτων. ἰδίων δὲ, τῶν καθ' ἕκαστον. οἷον εἰ ἀδικοῖτό τις καὶ δικάζοιτο πρός τινα, αὐτὸς ἐφρόντιζεν. ὅτι δὲ λέγει τῶν ἰδιωτικῶν, καὶ Εὐριπίδης ἐν Βάκχαις. Εἰ μὴ γὰρ ἴδιον ἔλαβον εἰς χεῖρας μύσος. Πῶς οὖν ἄν. ὁ νοῦς. πῶς ἂν εἴης χρηστὸς σύ, ὁ λυπούμενος καὶ ἀγανακτῶν ὡς μηδέν σοι διαφόρον.

E ἴσοι προσῆκον μηδέν. εἰ διὰ τῶν πραγμάτων τῶν σοὶ μηδὲν διαφερόντων ἀπεχθάνῃ τοῖς ἀνθρώποις. διὰ τὸ ἐπιχειρεῖν ἀλλοτρίοις πράγμασιν. ὁ γὰρ ἀλλοτρίων προϊστάμενος μισεῖται. Ω κέπφε. ὦ εὐτελέστατε καὶ λάλε. φασὶ γὰρ τὸν κέπφον εὐτελέστατον καὶ λάλον. ὄρνεον γὰρ ἀφρόν. ὅπερ φιλεῖ ἀφρὸν θαλάττιον ἐσθίειν. τοῦτο βουλόμενοι οἱ τῶν ἁλιέων παῖδες χειροῦσθαι, ῥίπτουσι τὸ πρῶτον πόρρωθεν ἀφρόν. εἶτα ἐγγύτατα. εἶτα φέρουσι τοῦτο ἐν ταῖς χερσίν. καὶ οὕτω κατὰ μικρὸν ἀπατῶντες, εὐχερῶς ἀγρεύουσι τοῦτο ἐμπεσὸν εἰς τὰς χεῖρας αὐτῶν. εἴληπται οὖν εἰς παροιμίαν, ἐπὶ τῶν ἀλογίστων ἀνθρώπων καὶ ἀνοήτων. καλεῖται δὲ κοινῶς λάρος. Ἐξεπίτηδες. ἐξ ἀνάγκης. ἢ μάτην. οὕτως Ἀττικοί. ἀργῶς καὶ μάτην. κοινότερον δὲ, καὶ τὰς τοιαύτας ψιλὰς ἐπιστασίας καὶ λειτουργίας, ἀρχὰς ἔλεγον. καὶ τὸ βουλεῦσαι, ἄρξαι. γράφεται δὲ καὶ ἐν σχήματι ἀποφατικῷ οὐκοῦν. τὸ δὲ ὁ βουλόμενος ἀντὶ τοῦ ὁ ἐπιμελητὴς ὁ κατήγορος ὁ προϊστάμενος.

δι ἀλλ' ἔμπορος; συ. ναὶ σκήπτομαί γ' ὅταν τύχω.
δι ἢ δαί. τέχνην τιν' ἔμαθες; συ οὐ μὰ τὸν Δία.
δι πῶς οὖν διέζης. ἢ πόθεν μηδὲν ποιῶν.
συ τῶν τῆς πόλεώς εἰμ' ἐπιμελητὴς πραγμάτων
καὶ τῶν ἰδίων πάντων. δι. σύ; τί μαθών. συ. βούλομαι
δι πῶς οὖν ἂν εἴης χρηστὸς ὦ τοιχωρύχε,
εἴ σοι προσῆκον μηδὲν, εἶτ' ἀπεχθάνει
συ οὐ γὰρ προσήκει τὴν ἐμαυτοῦ μοι πόλιν
εὐεργετεῖν ὦ κέπφε καθ' ὅσον ἂν σθένω;
δι εὐεργετεῖν οὖν ἐστι τὸ πολυπραγμονεῖν;
συ τὸ μὲν οὖν βοηθεῖν τοῖς νόμοις τοῖς κειμένοις
καὶ μὴ 'πιτρέπειν ἐάν τις ἐξαμαρτάνῃ.
δι οὔκουν δικαστὰς ἐξεπίτηδες ἡ πόλις
ἄρχειν καθίστησιν. συ κατηγορεῖ δὲ τίς;
δι ὁ βουλόμενος. συ. οὐκοῦν ἐκεῖνός εἰμ' ἐγώ.
ὥστ' εἰς ἔμ' ἥκει τῆς πόλεως τὰ πράγματα.
δι νὴ Δία πονηρόν γ' ἆρα προστάτην ἔχει.
ἐκεῖνο δ' οὐ βούλοι' ἄν, ἡσυχίαν ἔχων

τὸν δακτύλιον τονδί. ἀλεξιτήριον τῶν δηκτηρίων δείκνυσιν αὐτῷ καὶ βασκανίας ἀποτρεπτικὸν δακτύλιον, ὃν καλοῦσι φαρμακίτην, πρὸς ὃ θεράπων, καὶ ἔχεις φαρμακίτην δακτύλιον, ἀλλ' οὐ πρὸς δῆγμα συκοφάντου. ὡς τούτων χειρόνων ὄντων καὶ θηρίων, πρὸς ἃ ὁ δακτύλιος πεποίηται. ἀλλ' οὐκ ἰσχύει φησὶν οὗτος ὁ δακτύλιος πρὸς τὸ δῆγμα τοῦ συκοφάντου. τοῦτο δὲ ὁ ἕτερος πρεσβύτης λέγει ὁ τὸν τρίβωνα κομίσας. οἱ γὰρ δύο τὸν συκοφάντην ἐκφλυαροῦσι. λέγει δὲ ἐν ἤθει ὅτι οὐκ ἔστι τις ἐν τῷ δακτυλίῳ ἐπῳδὴ ἢ φάρμακον πρὸς δῆγμα τοῦ συκοφάντου. ἐπεὶ εἰώθασι λέγειν οἱ τὰ ποικίλα πωλοῦντες, ὅτι χρησιμεύει τόδε πρὸς τόδε. λέγει οὖν ἀλλὰ τοῦτο τὸ ἄκος καὶ ἡ αὐτοπάθεια οὐδὲν ἰσχύει πρὸς δῆγμα συκοφάντου. τὸ δὲ δῆγμα, σκληρὰ λέξις ἀπὸ τῶν ἑρπετῶν εἰρημένη. ἄλλως. μὴ λάβῃς εἰς τὸ δήγματος ἔξωθεν τὸ ἀποτρεπτικὸς, ὡς οἴονταί τινες. ἀλλ' ἔστιν ἡ γενικὴ πρὸς τὸ δακτύλιος, οὕτως. ἀλλ' οὐκ ἔστιν ὁ δακτύλιος δήγματος συκοφάντου. τουτέστιν, οὐκ ἔχει ἰσχὺν πρὸς τοὺς συκοφάντας. ὡς γὰρ εἰς τὰ τῶν ὄφεων δήγματα. Οὔκουν τῷ γε σῷ. ἀγαθῷ δηλονότι. Ὥς γ' ἐπαληθείᾳ, λείπει, δειπνεῖς. Μετὰ τοῦ μάρτυρος. κλήτορα γὰρ ἦγε τὸ ἵνα αὐτοὺς εἰς δίκην καλέσῃ. ἄλλως. τῷ συκοφάντῃ ἕπεταί τις ὥστε μαρτυρεῖν. ὡς ἀγνοχότος οὖν τοῦ συκοφάντου καὶ μάρτυρα ἵνα εἰς δίκην καλέσηται τοῦτό φησι. ὗ ὗ. διὰ τῶν ψιλῶν τούτων ὗ δείκνυσι ὅτι χοιρείων κρεῶν ὀσμῆς ᾔσθετο. ἄλλως. ὗ ὗ ἐπίρρημα θαυμαστικόν. ἢ ὀσφραινόμενος τοῦτό φησι. Τοῦ ψύχους γ' ἴσως. ἐπεὶ τὰ ζῷα ἐσομένου ψύχους αἰσθανόμενα πολλάκις ὀσφραίνονται. φιλόπολις. τὸ μὲν φιλόπολις κοινόν. ἀττικὸν δὲ τὸ φιλόπατρις. Μελαγχολᾶν μ' οὕτως οἴει, ὥσπερ οἱ μαινόμενοι τὴν ἐν τοῖς πλήθεσι διατριβὴν ἀπαναινόμενοι. ἐν ἐρημίαις φέρονται, διὰ τοῦ καὶ τὴν τῶν γεωργῶν διατριβὴν μελαγχολίαν ὠνόμασεν ὡς ἐν ἀγροῖς γινομένην.

τὸν δακτύλιον τονδὶ παρ' Εὐδάμου, δραχμῆς.
κα. ἀλλ' οὐκ ἔνεστι συκοφάντου δήγματος.
συ. ἆρ' οὐχ ὕβρις πολλὴ ταῦτ' ἐστί; σκώπτετον·
ὅ,τι δὲ ποιεῖτον ἐνθάδ' οὐκ εἰρήκατον.
οὐκ ἐπ' ἀγαθῷ γὰρ ἐνθάδ' ἐστὸν οὐδενί.
κα. μὰ τὸν Δί' οὔκουν τῷ γε σῷ σάφ' ἴσθ' ὅτι.
συ. ἀπὸ τῶν ἐμῶν γὰρ ναὶ μὰ Δία δειπνήσετον.
δι. ὡς δὴ 'παληθείᾳ σὺ μετὰ τοῦ μάρτυρος
διαρραγείης, μηδενός γ' ἐμπεπλησμένος.
συ. ἀρνεῖσθον; ἔνδον ἐστὶν ὦ μιαρωτάτω
πολὺ χρῆμά τεμαχῶν καὶ κρεῶν ὠπτημένων.
ὗ ὗ. ὗ ὗ. ὗ ὗ. ὗ ὗ. ὗ ὗ. ὗ ὗ.
καρ. κακόδαιμον· ὀσφραίνει τι. δι. τοῦ ψύχους γ' ἴσως,
ἐπεὶ τοιοῦτον ἀμπέχεται τριβώνιον.
συ. ταῦτ' οὖν ἀνασχετ' ἐστὶν ὦ Ζεῦ καὶ θεοὶ
τούτους ὑβρίζειν εἰς ἔμ'. οἴμ' ὡς ἄχθομαι
ὅτι χρηστὸς ὢν καὶ φιλόπολις, πάσχω κακῶς.
δι. σὺ φιλόπολις καὶ χρηστός; συ. ὡς οὐδεὶς ἀνήρ.
δι. καὶ μὴν ἐπερωτηθεὶς ἀπόκριναί μοι. συ. τὸ τί.
δι. γεωργὸς εἶ. συ. μελαγχολᾶν μ' οὕτως οἴει;

Ως σοβαρὸς ὦ δάματερ. σεσοβημένος. κατακωμῳδοῦνται δὲ τῶν δωριέων τὸ, ὦ δά/ματερ λέγουσιν. ὁ δὲ νοῦς, πῶς ὑπηρμένος καὶ μέγα φρονῶν καθ' ἡμῶν εἰσῆλθεν.

Ο συκοφάντης οὐ δικαίως τοὔνομα, ἐν τοῖσι μοχθηροῖσιν ἐστὶ κείμενον, ἔδει γὰρ ὅστις χρηστὸς ἦν ἠδ' ὑς τ' ἄλλ' ἐρ τὰ σῦκα πρὸς πιεῖν τὰ δηλοῦν τὸν τρόπον. νυνὶ δὲ πρὸς μοχθηρὸν ἦ δ' ὑ πρὸς πιεῖν, ἀποστρέψαι πεποίηκε διά τι τοῦθ' οὕτως ἔχει. Ο συκοφάντης. οὕτω καλοῦνται οἱ ἐπηρεάζοντες. ἀπὸ τοιαύτης αἰτίας. τὸ παλαιὸν ἀπηγορευμένον ἦν σῦκα ἐξάγειν ἐκ τῆς ἀττικῆς. τοῦ φυτοῦ κατ' ἀρχὰς θαυμαζομένου. τοὺς ἀμαρτάνοντας οὖν δὲ ἐλέγχοντας τὸ τοιοῦτον, οὕτως ὀνομασθῆναι λέγουσιν ἀπὸ τῆς ὀπώρας. παραχθεῖν οὖν καὶ τοῖς ὁπωσοῦν μάταιν ἐγκαλοῦσι τοὔνομα σώματα καὶ τὸ φαίνειν τὸ ἐγκαλεῖν. ἢ εἰς δίκην ἀπάγειν δηλοῦντος. ὅτι δὲ ἀπὸ τούτων γέγονεν, ἐκ τῶνδε δῆλον. συκάς γὰρ τοὺς φιλεγκλήμονας καὶ συκοβίους. καὶ συκωρούς. καὶ συκολόγους. καὶ φιλοσύκους καὶ συκώδεις. καὶ συκοπαίδας. ἴσως ἀπὸ τοῦ παίτας ἐγκλήματα ἐφέλκεσθαι.

Συ. μὰ δί' οὐ μέντοι γ' ἔσθ' ὑγιὲς ὑμῶν οὐδενὸς
κοὐκ ἔσθ' ὅπως οὐκ ἔχετέ μου τὰ χρήματα.
Καρ. ὡς σοβαρὸς, ὦ δάματερ, εἰσελήλυθεν
ὁ συκοφάντης. δῆλον ὅτι βουλιμιᾷ.
Συ. σὺ μὲν εἰς ἀγορὰν ἰὼν ταχέως, οὐκ ἂν φθάνοις.
ἐπὶ τοῦ τροχοῦ γὰρ δεῖ σ' ἐκεῖ στρεβλούμενον
εἰπεῖν ἃ πεπανούργηκας. Καρ. οἴμωζ' ἄρα σύ.
Δι. νὴ τὸν δία τὸν σωτῆρα πολλοῦ γ' ἄξιος
ἅπασι τοῖς ἕλλησιν ὁ θεὸς ἔσθ' οὑτοσὶ,
εἰ τοὺς συκοφάντας ἐξολεῖ κακοὺς κακῶς.
Συ. οἴμοι τάλας. μῶν καὶ σὺ μετέχων καταγελᾷς;
ἐπεὶ πόθεν θοἰμάτιον εἴληφας τοδί.
ἐχθὲς δ' ἔχοντ' εἶδόν σ' ἐγὼ τριβώνιον.
Δι. οὐδὲν προτιμῶ σου. φορῶ γὰρ πριάμενος

Βουλιμιᾷ. πάνυ λιμώττει. καὶ πεινᾷ λίαν. ἀπὸ τοῦ βοῦ ἐπιρρήματος ὅπερ ἐπιτάσεώς ἐστι δηλωτικὸν, ἀντὶ τοῦ λίαν. ὥσπερ καὶ ἐν τῷ, βούπεινα. μεγάλη πεῖνα. καὶ βουγάϊος. καὶ βούγλωσσας. τινὲς δὲ εἶδος νόσου φασὶν. ἐν ᾗ πολλὰ ἐσθίοντες, οὐ πληροῦνται. τῶν γὰρ συκοφαντῶν, τοιοῦτος ὁ τρόπος. Γαληνὸς δὲ ἐν τοῖς ἀφορισμοῖς κατάπτωσις δυνάμεως ὑπὸ τῆς ἔξωθεν ψύξεως ὁ βούλιμος. ἀρξάμενος μὲν ἀπὸ πείνης. οὐκέτι δὲ ἔχων αὐτὴν συνοῦσαν. Σὺ μὲν εἰς ἀγοράν. τοῦτο πρὸς τὸν θεράποντα. τὸ δὲ οὐκ ἂν φθάνοις, ἀντὶ τοῦ οὐκ ἂν θύρας χοίνης τῶν κακῶν.

Επὶ τοῦ τροχοῦ, τροχός τις ἦν. ἐν ᾧ δεσμούμενοι οἱ οἰκέται, ἐκολάζοντο. τοῦτο δὲ λέγει ὁ δίκαιος πρὸς τὸν θεράποντα. Οὐδὲν προτιμῶ σου. οὐ φροντίζω σου. εἴρηται δὲ τὸ προτιμᾶν ἐπὶ τοῦ λόγον ἔχειν καὶ ἐπιστρέφεσθαι. λέγει οὖν, οὐ φοβοῦμαί σε ἔχων φυσικὸν δακτύλιον. δακτύλιον δὲ τὸν λεγόμενον φαρμακίτην. εὔπολις βάπταις μέμνηται. ὁ δ' εὔδαμος φαρμακοπώλης καὶ ἀμεινίας ἢ χρυσοπώλης, τετελεσμένου; δακτυλίους πωλῶν. φιλόσοφος δὲ ἦν οὗτος ὁ εὔδαμος φυσικοὺς δακτυλίους ποιῶν πρὸς δαίμονα καὶ ὄφεις καὶ τὰ τοιαῦτα. ἐθεράπευον γὰρ τοὺς ὀφιοδήκτους. μᾶλλον δὲ τὴν ἀρχὴν οὐκ εἴων ὑπ' ὄφεων δάκνεσθαι.

τὴν καὶ ὅτι φίλος τε ἦν τῆς πόλεως καὶ υἱὸς τοῦ Διός, ἐποίησαν μικρὰ μυστήρια ἐν οἷς αὐτὸν ἐμύησαν. ἦσαν δὲ τὰ μὲν μεγάλα τῆς Δήμητρος· τὰ δὲ μικρά, Περσεφόνης τῆς αὐτῆς θυγατρός. ὁ δὲ μυούμενος, τὸ ἱμάτιον ὃ ἐφόρει ἐν τῇ μυήσει, οὐδέποτε ἀπεδύετο, μέχρις ἂν τελέως ἀφανισθῇ διαρρυέν. ὅπερ δὲ πρὸς Ἡρακλέα, τοῦτο καὶ πρὸς Διοσκούρους ἐποίησαν. Οἴμοι κακοδαίμων. κορωνὶς ἑτέρα. ὁμοία. οἱ δὲ στίχοι, ἰαμβικοὶ τρίμετροι ρθ'. ὧν τελευταῖος νῷ δ' εἰσίωμεν ἵνα προσεύξῃ τὸν θεόν. ἐπὶ τῷ τέλει κορωνὶς καὶ ἑξῆς χοροῦ αὖθις. ἐχρῆν γὰρ καὶ ἐνταῦθα θεῖναι χοροῦ, εἰσιόντων τῶν ὑποκριτῶν ἐντός, ἄχρις αὖ τις ἐπέλθῃ ὑποκριτὴς ἕτερος.

Δι. οὐχ. ἀλλ' ἐνερρίγων σ' ἔτη τριακαίδεκα.
Καρ. τὰ δ' ἐμβάδια. Δι. καὶ ταῦτα συνεχειμάζετο.
Καρ. καὶ ταῦτ' ἀναθήσων ἔφερες οὖν; Δι. νὴ τὸν Δία.
Καρ. χαρίεντά γ' ἥκεις δῶρα τῷ θεῷ φέρων.
Συ. οἴμοι κακοδαίμων. ὡς ἀπόλωλα δείλαιος.
καὶ τρισκακοδαίμων, καὶ τετράκις καὶ πεντάκις
καὶ δωδεκάκις. καὶ μυριάκις. ἰοὺ ἰού.
οὕτω πολυφόρῳ συγκέκραμαι δαίμονι.
Κα. ἄπολλον ἀποτρόπαιε. καὶ θεοὶ φίλοι.
τί ποτ' ἐστὶν ὅ, τι πέπονθεν ἄνθρωπος κακόν.
Συ. οὐ γὰρ σχέτλια πέπονθα νυνὶ πράγματα,
ἀπολωλεκὼς ἅπαντα τἀκ τῆς οἰκίας
διὰ τὸν θεὸν τοῦτον τὸν ἐσόμενον τυφλὸν
πάλιν αὖθις, ἢν γὰρ μὴ λίπωσιν αἱ δίκαι;
Δι. ἐγὼ σχεδὸν τὸ πρᾶγμα γινώσκειν δοκῶ.
προσέρχεται γάρ τις κακῶς πράττων ἀνὴρ
ἔοικε δ' εἶναι τοῦ πονηροῦ κόμματος.
Καρ. νὴ Δία καλῶς τοίνυν ποιῶν, ἀπόλλυται.
Συ. ποῦ ποῦ 'σθ' ὁ μόνος ἅπαντας ἡμᾶς πλουσίους
ὑποσχόμενος οὗτος ποιήσειν εὐθέως,
εἰ πάλιν ἀναβλέψειεν ἐξ ἀρχῆς. ὁ δέ,
πολὺ μᾶλλον ἐνίους ἐστὶν ἐξολωλεκώς.
Κα. καὶ τίνα δέδρακε δῆτα ταῦτ'. Συ. ἐμὲ τουτονί.
Κα. ἦ τῶν πονηρῶν ἦσθα καὶ τοιχωρύχων.

Οὕτω πολυφόρῳ. πολλά μοι κακὰ ὑφ' ἕνα καιρὸν ἄγοντι ἢ ποικίλα. εἴρηται δὲ ἀπὸ τοῦ πολὺ ὕδωρ ἀνεχομένου οἴνου ἤγουν ἀκράτῳ καὶ ἰσχυρῷ πρὸς τὸ κακόν. εἴρηται δέ, ὅτι πολύφορον μὲν ἔλεγον τὸν πολλὴν κρᾶσιν δεχόμενον. ὀλιγόφορον δέ, τὸν ὀλίγην. ἢ μεταφορικῶς, ἀπὸ τῶν πολυκάρπων χωρίων· ἢ πολυανθῶν δένδρων. ἄλλως. συγκέκραμαι. μεταφορικῶς ὡς ἀπὸ οἴνου καὶ ὕδατος τῆς συγκράσεως γινομένης.

Ἢν γὰρ μὴ λίπωσιν αἱ δίκαι. ἀντὶ τοῦ ἐὰν τὸ δίκαιον, παραμένῃ. σκώπτει δὲ πάλιν, ὡς βιαίως οὕτω τὴν ἐν δικαστηρίοις κρίσιν. Εἶναι τοῦ πονηροῦ κόμματος. κόμμα, εἶδος φαύλου νομίσματος. ἀντὶ δὲ τοῦ εἰπεῖν φαύλου συστήματος, πονηροῦ κόμματος εἶπεν. ἐπειδὴ καὶ περὶ πλούτου ὁ λόγος. εἴρηται ἀπὸ μεταφορᾶς τῶν κιβδήλων νομισμάτων διὰ τὸ, ὀλίγον μὲν ἔχειν χρυσόν· πλείονα δὲ χαλκόν. ἐπισημήνατο δὲ τὴν λέξιν συνήθως τὸ χ. ἐπειδὴ μὴ ἐπὶ νομισμάτων τὸ κόμμα εἴρηκεν. ἀττικὸν δὲ τὸ ἐξολωλεκώς.

Ἕπου μετ' ἐμοῦ παιδάριον. κορωνὶς ἑτέρα εἰσιόντων ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι κζ'. ὧν τελευταῖος, χαρίεντα γ' ἥκεις δῶρα τῷ θεῷ φέρων. ἐπὶ τῷ τέλει κορωνίς. Ἕπου μετ' ἐμοῦ. πλάτων μενεξένῳ· ἀλλ' εἰ μὴ πάνυ σπεύδεις ἀκολούθει μετ' ἐμοῦ. Ἀνὴρ πρότερον μὲν ἄθλιος. δίκαιος ἀνὴρ πρότερον πενόμενος ὢν διαλέγεται ἢ ὁ χρεμύλος ἢ ὁ οἰκέτης. τὸ δὲ κομιδῇ μὲν οὖν, ἀντὶ τοῦ παντάπασι μὲν οὖν. Αὐχμὸς γὰρ ὤν. τὸ ἑξῆς ἀπώλεσέ με ὁ ὢν αὐχμὸς τῶν σκευαρίων. ἢ τὸ ὢν ἀντὶ τοῦ δή. ἀττικῶς δὲ εἶπεν ἀντὶ τοῦ ξηρὸς γενόμενος ὑπὸ πενίας ἀπώλεσε τὰ σκευάρια. ἄλλως. μετωνυμικῶς ἀπολέσαι με, τὰ σκευάρια ἐποίησεν. ἄλλως. ἀντὶ τοῦ ἀπώλεια. μεταφέρεται δὲ ἀπὸ τῶν σίτων. ὅταν γὰρ αὐχμὸς ᾖ γένηται ἤδη τῶν σταχύων ἀδρυνομένων, ἀφανίζεται ὁ σῖτος καὶ κατακαίεται. εἴρηται δὲ παρ' ὑπόνοιαν ὅμοιον πυρῶν καὶ κριθῶν. Τὸ τριβώνιον δὲ, τὸ παλαιὸν ἱμάτιον. τοῦτο γὰρ ὁ οἰκέτης ἐβάσταζεν. Μῶν οὖν ἐμυήθης. παίζει παρὰ τὸν ἐλευσίνιον νόμον. ἔθος γὰρ ἦν ἐν οἷς τις ἱματίοις μυηθείη, ἃς θεοῦ τινος ταῦτα ἀνατιθέναι ὥσπερ δηλοῖ καὶ μελάνθιος ἐν τῷ περὶ μυστηρίων. πάτριον δὲ ταῖς θεαῖς ἀνιεροῦν καὶ τὰς στολὰς τοῖς μύσταις ἐν αἷς τύχοιεν μυηθέντες. μυστήρια δὲ δύο τελεῖται τοῦ ἐνιαυτοῦ δήμητρι καὶ κόρῃ τὰ μικρὰ καὶ τὰ μεγάλα. καὶ ἔστι τὰ μικρὰ, ὥσπερ προκάθαρσις καὶ προάγνευσις τῶν μεγάλων. ἄλλως. σκώπτων ὡς τὰ ἱμάτια τοῦτό φησιν ὅτι ῥυπαρὰ ἦν. ἔνιοι δὲ τὰς τοιαύτας στολὰς εἰς τέκνων σπάργανα φυλάττουσι. καθαραὶ δὲ πάνυ ὑπάρχουσι καὶ νέαι. ἄλλως μεγάλα καὶ μικρὰ μυστήρια ἐτελοῦντο ἐν ἐλευσῖνι τῆς ἀττικῆς. μὴ ὄντων δὲ πρότερον μικρῶν, ἐλθόντος ἡρακλέους καὶ θέλοντος μυηθῆναι, ἐπειδὴ νόμος ἦν ἀθηναίοις μηδένα ξένον μυεῖν, αἰδεσθέντες τὴν αὐτοῦ ἀρε-

δι. ἕπου μετ' ἐμοῦ παιδάριον ἵνα πρὸς τὸν θεὸν
ἴωμεν. καρ. ἔα τίς ἔσθ' ὁ προσιὼν οὑτοσί;
δι. ἀνὴρ πρότερον μὲν ἄθλιος, νῦν δ' εὐτυχής.
καρ. δῆλον ὅτι τῶν χρηστῶν τις ὡς ἔοικας εἶ.
δι. μάλιστ'. καρ. ἔπειτα τοῦ δέει; δι. πρὸς τὸν θεὸν
ἥκω. μεγάλων γάρ μοὐστὶν ἀγαθῶν αἴτιος.
ἐγὼ γὰρ ἱκανὴν οὐσίαν παρὰ τοῦ πατρὸς
λαβὼν, ἐπήρκουν τοῖς δεομένοις τῶν φίλων,
εἶναι νομίζων χρήσιμον πρὸς τὸν βίον.
κα. ἦ πού σε ταχέως ἐπέλιπε τὰ χρήματα.
δι. κομιδῇ μὲν οὖν. κα. οὐκοῦν μετὰ ταῦτ' ἦσθ' ἄθλιος;
δι. κομιδῇ μὲν οὖν. κἀγὼ μὲν ᾤμην οὓς τέως
εὐηργέτησα δεομένους, ἕξειν φίλους
ὄντως βεβαίους, εἰ δεηθείην ποτέ.
οἱ δ' ἐξετρέποντο, κοὐκ ἐδόκουν ὁρᾶν μ' ἔτι.
κα. καὶ κατεγέλων γ' εὖ οἶδ' ὅτι. δι. κομιδῇ μὲν οὖν.
αὐχμὸς γὰρ ὢν τῶν σκευαρίων μ' ἀπώλεσεν.
κα. ἀλλ' οὐχὶ νῦν. δι. ἀνθ' ὧν ἐγὼ πρὸς τὸν θεὸν,
προσευξόμενος ἥκω δικαίως ἐνθάδε.
κα. τὸ τριβώνιον δὲ, τί δύναται πρὸς τῶν θεῶν,
ὃ φορεῖ μετὰ σοῦ τὸ παιδάριον τουτί; φράσον.
δι. καὶ τοῦτ' ἀναθήσων ἔρχομαι πρὸς τὸν θεόν.
κα. μῶν οὖν ἐμυήθης δῆτ' ἐν αὐτῷ τὰ μεγάλα,

Μέλανος ἀνθοσμίου. μέλανος ἐρυθροῦ. Ὅμηρος· μέλανος οἴνοιο. ἀνθοσμίου ἢ ἡδέος. εὐόσμου. ὡς παρὰ τὰ ἄνθη. ἢ ὡς ἀπὸ τόπου ἀνθοσμίας. ἢ ὡς ἀπὸ εἴδους ἀμπέλου. ἢ τοῦ ἡδέος καὶ περιόσμου. καὶ αἰθηροῦ. τὸν δὲ χυδαῖον οἶνον καρυεαρίτην εἶπεν.

Τὸ φρέαρ δ' ἐλαίου μεστόν. παραπαίζει πρὸς τὴν ἐναντίαν τῆς τύχης μεταβολήν. λήκυθοι δὲ τὰ ἐλαιοδόχα ἀγγεῖα. Ὀξὶς δὲ πᾶσα. ὀξὶς ἀγγεῖον ὄξους δεκτικόν. λοπὰς δὲ εἶδος ἀγγείου πάν, εἰς ὀξὺ λῆγον. ἰχθυηροὺς δὲ πινακίσκους τοὺς ἐπιτηδείους, ἰχθῦν χωρῆσαι.

οἱ δ' ἀμφορῆς, οἴνου μέλανος ἀνθοσμίου.
ἅπαντα δ' ἡμῖν ἀργυρίου καὶ χρυσίου,
τὰ σκευάρια πλήρη 'στίν, ὥστε θαυμάσαι.
τὸ φρέαρ δ' ἐλαίου μεστόν. αἱ δὲ λήκυθοι,
Μύρου γέμουσι. τὸ δ' ὑπερῷον, ἰσχάδων.
Ὀξὶς δὲ πᾶσα καὶ λοπάδιον καὶ χύτρα,
χαλκῆ γέγονε. τοὺς δὲ πινακίσκους τοὺς σαπροὺς
τοὺς ἰχθυηρούς, ἀργυροῦς πάρεσθ' ὁρᾶν.
ὁ δ' ἰπνὸς ἡμῖν ἐξαπίνης ἐλεφάντινος.
στατῆρσι δ' οἱ θεράποντες ἀρτιάζομεν,
χρυσοῖς. ἀποψώμεσθα δ' οὐ λίθοις ἔτι.
ἀλλὰ σκοροδίοις ὑπὸ τρυφῆς ἑκάστοτε.
καὶ νῦν ὁ δεσπότης μὲν ἔνδον βουθυτεῖ,
ὗν καὶ τράγον καὶ κριὸν ἐστεφανωμένος.
ἐμὲ δ' ἐξέπεμψεν ὁ καπνός. οὐχ οἷός τε γὰρ
ἔνδον μένειν ἦν. ἔδακνε γὰρ τὰ βλέφαρά μου.

Ὁ δ' ἰπνός. τὸ μαγειρεῖον. ἢ ἡ καπνοδόχη. ἢ ὁ φανὸς ὡς τὸ ἔν τε τοῖς ἰπνοῖσι πῦρ. Στατῆρσι δ' οἱ θεράποντες ἀρτιάζομεν. εἶδος νομίσματος ὁ στατήρ. οἱ οἰκέται οἵῳ φησὶ νομίσμασιν ἀρτιάζομεν. ἤγουν παίζομεν ἄρτια ἢ περισσά. παιδιὰ δέ τις ἦν καθ' ἣν ἐγίνετο πεῦσις τε τοῦ καταχοῦντος καὶ ἀπόκρισις τοῦ προσπαίζοντος. ἀρτιάζειν δὲ λέγουσι τὸ ἁρπαγῇ παίζειν ἀπὸ τοῦ ἑταίρου. ἴσως δὲ τὸ σφαιρίζειν. ἢ ὅπερ ἐν τῇ συνηθείᾳ ζυγὰ ἢ ἄζυγα λέγομεν. Σκοροδίοις ὑπὸ τρυφῆς. γελοίως ἀντὶ τοῦ σαβαίοις. ἐπειδὴ δὲ ἤσθιον ἑκάστοτε σκόροδα, τοῦτο λέγει. ὅτι ὡς πλουτήσαντες καταφρονῆσαι τῆς παλαιᾶς διαίτης. μήποτε δὲ τοῦ σκορόδου λέγει τὸν καυλόν. ἔστι δὲ ἀσφοδέλῳ ὅμοιος. κἀκεῖνος ἐπιτήδειος εἰς τοῦτο. εἰ δ' ἄρα δηκτικόν τι ἔχει, τάχα ἂν εἴη παρὰ τὴν ὑπόνοιαν εἰρημένον. εἴρηται δὲ σκόροδον, ἴσως, σκαιόν τι ῥόδον ὄν, παρὰ τὸ σκαιὸν ὄζειν. τινὲς δὲ σκοροδίοις, τοῖς τῶν σκορόδων καυλοῖς. λιμῷ δὲ περιπεσόντες οἱ Ἀθηναῖοι τούτοις ἐχρήσαντο. ἄλλως. οὐχ ἁπλῶς τοῦτο. ἀλλ' ἵνα δείξῃ ὅτι τοσαύτῃ μεταβολῇ κεχρήμεθα, ὥστε ἃ πρότερον ἠσθίομεν ἀγαπητῶς, τούτοις νῦν ἀφοδεύοντες ἀποματτόμεθα. Βουθυτεῖ. καταχρηστικῶς εἴρηται ἡ βουθυσία. δηλοῦσα τόν τε ὄγκον τοῦ μεγέθους καὶ τὸ ἐντελὲς τῆς θυσίας, ἣν ἑκατόμβην καλοῦσιν. ἐντελὴς δὲ ἡ θυσία, ἡ ἐξ ὑὸς ταύρου τράγου καὶ κριοῦ. ἣν καλοῦσι τριττύν. τριττὺς δὲ παρ' Ἀθηναίοις ἡ ἐξ ὑὸς καὶ κριοῦ καὶ τράγου θυσία.

Ἔδακνε γὰρ τὰ βλέφαρά μου. μεταβολὴ παντός. εἰ ὁ μὲν δεσπότης ὑποφέρει τὸν καπνόν, ὁ δοῦλος δ' οὔ.

ἐμοῦ γὰρ εἰσιόντος εἰς τὴν οἰκίαν
πρώτιστα, καὶ βλέψαντος, οὐδὲν ἐκφέρειν
πρεπῶδές ἐστιν, ἀλλὰ μᾶλλον εἰσφέρειν.
γυ. εἶτ' οὐχὶ δέξῃ ταῦτα τὰ καταχύσματα;
τη. ἔνδον γε παρὰ τὴν ἑστίαν ὥσπερ νόμος.
ἔπειτα καὶ τὸν φόρτον ἐκφύγοιμεν ἄν.
οὐ γὰρ πρεπῶδές ἐστι τῷ διδασκάλῳ,
ἰσχάδια καὶ τρωγάλια τοῖς θεωμένοις
προβαλόντ', ἐπὶ τούτοισιν ἐπαναγκάζειν γελᾶν.
γυ. εὖ πάνυ λέγεις. ὡς δὲ ξένικος οὑτοσί,
ἀνίσταθ' ὡς ἁρπασόμενος τὰς ἰσχάδας.

ΧΟΡΟΥ.

καρ. ὡς ἡδὺ πράττειν ὦνδρες ἐστ' εὐδαιμόνως.
καὶ ταῦτα μηδὲν ἐξενεγκόντ' οἴκοθεν.
ἡμῖν γὰρ ἀγαθῶν σωρὸς εἰς τὴν οἰκίαν,
ἐπεισπέπαικεν οὐδὲν ἠδικηκόσιν.
οὕτω τὸ πλουτεῖν ἐστιν ἡδὺ πρᾶγμά τι.
ἡ μὲν σιπύη, μεστή 'στι λευκῶν ἀλφίτων.

Ε μοῦ γὰρ πιθανῶς ἵνα μὴ ἐν φανερῷ καταχέῃ τὰ πράγματα διὸ καὶ ἀποφορά. Ε πειτα καὶ τὸν φόρτον ἐκφύγοιμεν ἄν. τουτέστι τὸν φορτικὸν γέλωτα ἵνα μὴ γελασθῶμεν. Παρὰ τὴν ἑστίαν. πρὸς τὸ ἔθος ὅτι παρὰ τὴν ἑστίαν ἐποίουν τὰ καταχύσματα. Ου γὰρ πρεπῶδες. ἔμφασις τοῦ ἀριστοφανείου προσώπου. ὁ δὲ λόγος πρὸς τοὺς ἀντιτέχνους πρὸς διασυρμόν. οἳ διὰ τὸν αὐτῶν ὀβολὸν, ἐπειρῶντο τὸν δῆμον πρὸς ἑαυτοὺς ἐπάγειν. καὶ ἐν τοῖς σφηξὶ δὲ ἐσεμνύνετο ὅτι οὐκ εἰσὶ παρ' αὐτῷ κάρυα ἐκ φορμίδος. φαίνεται μέντοι τὸ τοιοῦτον οὐ διὰ τῶν χορηγῶν γίνεσθαι, ἀλλὰ δι' αὐτῶν τῶν διδασκάλων. ὡς καὶ ὁ ῥαπαθένης σημαίνεται.

Ως δὲ ξένικος. οὗτος πένης ἦν καὶ κωμῳδεῖται ὡς τὰ ὄψα ἁρπάζων. καὶ λίχνος. τινὲς δὲ καὶ στρατηγὸν φασὶν αὐτόν.

Ως ἡδὺ πράττειν ὦνδρες. εἴσθεσις συστηματικῆς περιόδου, ἐκ στίχων ὁμοίων κβ'. ὧν πλουταῖος, ἔνδον μένειν ἦν. ἔδακνε γὰρ τὰ βλέφαρά μου. ἐπὶ τῷ τέλει παράγραφος. ἐχρῆν καὶ ἐνταῦθα μετὰ τὴν περίοδον τοῦ παρόντος συστήματος κομμάτιόν τι θεῖναι χοροῦ. ἄχρις ἂν θύσας ὁ χρεμύλος ἐξέλθοι. ὁ δὲ ἱκανὸν εἶναι τὸν καιρὸν λογισάμενος ὥστε θῦσαι αὐτὸν, ἐν ὅσῳ τοὺς λόγους τούτους ὁ καρίων διέξεισιν ἐξάγει εὐθὺς αὐτόν. εὐτυχεῖν ὥς μέν τινες τῷ δικαίῳ ἄτοπον γάρ εἶναί φασι καὶ ἀπρεπὲς, ἀγαθὸν ἄνδρα καὶ δίκαιον ὁμιλεῖν μετὰ δούλου. ὡς δ' ἐν τοῖς παλαιοῖς τῶν ἀντιγράφων εὕρηται, τῇ γραΐ.

Ως ἡδύ. ἡδὺ τὸ εὐτυχεῖν. καὶ μάλιστα δίχα ἀναλωμάτων γινόμενον. Ηδικηκόσιν. παίζων τοῦτό φησιν, ὡς τῶν πολλῶν, μάλιστα τῶν ἀθηναίων, ἐξ ἀδικίας πλουτούντων. τὸ δὲ ἐπεισπέπαικεν, εἰσεπήδησεν. εἰσῆλθε, κυρίως δὲ ἐπὶ στρατείας πολεμίων. διὸ παίζων ἐπήνεγκεν, οὐδὲν ἠδικηκόσιν. Οὕτω τὸ πλουτεῖν ἐστιν ἡδὺ. ἀδιανόητος ὁ ἴαμβος. ἢ πρὸς τὰ ἄνω. Καὶ ταῦτα μηδὲν ἐξενεγκόντα οἴκοθεν. οὕτω γὰρ ἡδύ τι τὸ πρᾶγμα τὸ πλουτεῖν. Η μὲν σιπύη. ἐκ τῆς τῶν ἀναγκαίων εὐπορίας ἤρξατο. σιπύη δὲ ἡ ἀρτοθήκη. ταῦτα δὲ ἐξ ἰνὰ χρυσοφοκλέους. ὅτι τοῦ θεοῦ εἰσελθόντος, πάντα μεστὰ ἀγαθῶν ἐγένετο. προέχει δὲ τὰ λευκὰ τῶν ἀλφίτων.

31. a.

ράγραφος. ἔστι δὲ τῷ τέλει τῶν στίχων κορωνὶς καὶ ἑξῆς τὸ χοροῦ αὖθις. κἀνταῦθα γὰρ χορὸν ὤφειλε θεῖναι καὶ διατρίψαι μικρὸν ἄχρις ἂν ἐξέλθοντες ἀπαγγέλλων ὅπως εἰσιόντος τοῦ πλούτου, πάντα τὰ τούτων πρὸς τὸ βέλτιον μεταβέβληται.

Χ ὥραι τε πᾶσαι κέκροπος. παίζει πρὸς ἀθηναίους, φιλεγκωμίους ὄντας. κέκροψ δὲ αἰγύπτιος ὢν τὸ γένος, ᾤκησε τὰς ἀθήνας. ὅθεν οἱ ἀθηναῖοι κεκροπίδαι. τινὲς δέ φασι τοῦτον καὶ διφυῆ γενέσθαι. οἱ μὲν ὅτι τὰ ἄνω ἀνδρὸς εἶχε τὰ δὲ κάτω θηρίου· ἕτεροι δὲ ὅτι νόμους πολλοὺς ἐφεῦρε τοῖς ἀνθρώποις. καὶ ἀπὸ ἀγριότητος εἰς ἡμερότητα ἤγαγεν. ἄλλοι δὲ, ὅτι τῶν ἀνδρῶν ὡς ἔτυχε μισγομένων ταῖς γυναιξὶν καὶ ἐκ τούτου μὴ γινωσκομένου ἢ τοῦ παιδὸς παρὰ τοῦ πατρὸς, ἢ τοῦ πατρὸς παρὰ τοῦ παιδὸς, αὐτὸς νόμους θέμενος ὥστε φανερῶς συνίστασθαι αὐταῖς, καὶ μιᾶς τυχεῖν, καὶ σχεδὸν εὑρὼν, τὰς δύο φύσεις τοῦ, τε πατρὸς, καὶ τῆς μητρὸς τούτου χάριν διφυὴς ἐκλήθη.

χώραι τε πᾶσαι κέκροπος, ἥ μ' ἐδέξατο.
αἰσχύνομαι δὲ τὰς ἐμαυτοῦ ξυμφοράς,
οἵοις ἄρ' ἀνθρώποις ξυνὼν, ἐλάνθανον.
τοὺς ἀξίους δὲ τῆς ἐμῆς ὁμιλίας,
ἔφευγον, εἰδὼς οὐδὲν ὁ τλήμων ἐγώ.
ὡς οὐδ' ἐκεῖν' ἄρ' οὐδὲ ταῦθ' ὀρθῶς ἔδρων.
ἀλλ' αὖ τὰ πάντα πάλιν ἀναστρέψας ἐγὼ,
δείξω τὸ λοιπὸν πᾶσιν ἀνθρώποις ὅτι,
ἄκων ἐμαυτὸν τοῖς πονηροῖς ἐνεδίδουν.
Χρ βάλλ' ἐς κόρακας. ὡς χαλεπόν εἰσιν οἱ φίλοι
οἱ φαινόμενοι παραχρῆμ' ὅταν πράττῃ τις εὖ.
νύττουσι γὰρ καὶ φλῶσι τἀντικνήμια
ἐνδεικνύμενοι ἕκαστος εὔνοιάν τινα.
ἐμὲ γὰρ τίς οὐ προσεῖπε· ποῖος οὐκ ὄχλος
περιεστεφάνωσεν ἐν ἀγορᾷ πρεσβυτικός.
Γυ ὦ φίλτατ' ἀνδρῶν. καὶ σὺ καὶ σὺ χαίρετε.
φέρε νῦν, νόμος γάρ ἐστι, τὰ καταχύσματα
ταυτὶ καταχέω σου λαβοῦσα, ἐγ. μηδαμῶς.

Α ἰσχύνομαι δὲ τὰς ἐμαυτοῦ ξυμφοράς. τὰ συμβάντα μοι φησὶν αἰσχύνομαι. εἰς γνῶσιν δὲ ἐλθὼν καὶ αἴσθησιν ὧν ἔπραττεν, αἰδεῖται ὡς μετὰ ἀδίκων ἦν. Οὐδ' ἐκεῖν' ἄρ' οὐδὲ ταῦτα. οὔτε φεύγων τοὺς ἀγαθοὺς οὔτε μεταδιώκων τοὺς φαύλους. οὔτε τοὺς κακοὺς πλουτίζων οὔτε τοὺς ἀγαθοὺς ἀφαιρούμενος τὸν πλοῦτον. Ἀναστρέψας. ἱκανὴ γὰρ ἀπόδειξις ἀκουσίου ἁμαρτήματος, ἡ διόρθωσις. Βάλλ' ἐς κόρακας. ὁ χρεμύλος ἀγανακτεῖ. πολλῶν αὐτὸν ἀσπαζομένων καὶ περιεχόντων. οἵτινες πρὸ τοῦ οὐδὲ ἑώρων αὐτὸν πένητα ὄντα νυνὶ πλουτήσαντα κολακεύουσιν. ἔστι δὲ τὸ βάλλ' ἐς κόρακας παρ' ὑπόνοιαν παραποιηθὲν, ἐκ τοῦ βάλλ' ἐς μακαρίαν. περὶ οὗ ἀλλαχοῦ δεδήλωται. δηλοῖ δὲ τὸ ῥίψον ἑαυτὸν εἰς φθοράν. τοιοῦτον γάρ τι τὸ ἐς κόρακας. τὸ δὲ παραχρῆμα νῦν ἀντὶ τοῦ κατ' αὐτὸ τὸ πρᾶγμα. καὶ ὡς εἰπεῖν παραυτίκα. οὐ μὴν πρὸ τοῦ πράγματος. διὸ ἑρμηνεύων ἐπήγαγεν. ὅταν πράττῃ τις εὖ. ἤγουν ἐν αὐτῇ τῇ εὐπραγίᾳ οὐ πρὸ αὐτῆς.

E ἐδεξιοῦνθ' ἅπαντες. ἤγουν τοὺς δεξιοὺς ἠσπάζοντο. ὅμηρος. δεξιῇ ἠσπάζοντο ἔπεσσί τε μειλιχίοισιν. Ἐν κριβανωτῶν ὁρμαθῷ. ἐπεὶ ἐκεῖνος εἶπεν ὅτι οὐκέτι ἔσται σπάνις ἄρτων, ἀλλ' εὐπορία, διὰ τοῦτο αὐτὸν ἄρτοις ἀναδῆσαι βούλεται καὶ στεφανῶσαι. κριβανωτῶν δὲ ὁρμαθῷ, ἀντὶ τοῦ ἄρτων δεσμῇ, ἐν κριβανίῳ ὠπτημένων. δέον δ' εἰπεῖν στεφανίῳ. κρίβανος δὲ παρὰ τὸ κρῖ καὶ τὸ βαῦνος. παίζει δὲ διὰ τὸ ἀδηφάγον αὐτοῦ. γράφεται δὲ καὶ ἐκ κριβανωτῶν ὁρμαθῶν. Φέρε νῦν ἰοῦσα. πρὸς τὸ ἔθος παρ' αὐτοῖς. τῶν γὰρ νεωνήτων δούλων τῶν πρῶτον εἰσιόντων εἰς τὴν οἰκίαν, ἢ ἁπλῶς τῶν ἐφ' ὧν οἰωνίσασθαί τι ἀγαθὸν ἐβούλοντο ὡς καὶ ἐπὶ τοῦ νυμφίου, περὶ τὴν ἑστίαν τὰ τραγήματα κατέχεον εἰς σημεῖον εὐπορίας. ὡς καὶ θεόπομπος φησιν ἐν ἡδυχάρει. φέρε σὺ τὰ καταχύσματα ταχέως κατάχει τοῦ νυμφίου καὶ τῆς κόρης. ἐπεὶ οὖν καὶ ὁ πλοῦτος ἐν πρώτοις εἰσέρχεται τοῦτό φησι. σύγκειται δὲ τὰ καταχύσματα ἀπὸ φοινίκων. κολλύβων. τρωγαλίων, ἰσχάδων, καὶ καρύων ἅπερ ἥρπαζον οἱ σύνδουλοι. κυρίως δὲ ἐλέγοντο ὅταν δούλους ἠγόραζον. ἔφερον γὰρ αὐτὸν ἐπὶ τὴν ἑστίαν. καὶ καθίζοντες, κατὰ τῆς κεφαλῆς κατέχεον. κόλλυβα καὶ ἰσχάδας. καὶ φοίνικας. καὶ τρωγάλια ἄλλα καὶ τραγήματα. καὶ οἱ σύνδουλοι ταῦτα ἥρπαζον. ἐλέγοντο οὖν ταῦτα καταχύσματα. τοὺς οὖν ὀφθαλμοὺς τοῦ πλούτου διὰ τὸ νεωστὶ βλέψαι ὑπὸ χρεμύλου, ὡς ἐπὶ δούλου νεωνήτου ἀλη φὼς, τὰ καταχύσματα εἶπεν. ὥσπερ νεωνήτοισιν ὀφθαλμοῖς, δέον εἰπεῖν δούλοις ὀφθαλμοῖς εἶπεν, διὰ τὸ ἀναβλέψαι τὸν πλοῦτον. Καὶ προσκυνῶ γε. κορωνὶς ἑτέρα εἰσιόντων ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λα'. ὧν τελευταῖος ἀνίσταθ' ὡς ἁρπασόμενος τὰς ἰσχάδας. ἐφ' ἑκάστου συστήματος πα

ἐδεξιοῦνθ' ἅπαντες ὑπὸ τῆς ἡδονῆς.
ὅσοι δ' ἐπλούτουν οὐσίαν τ' εἶχον συχνὴν,
οὐκ ἐκ δικαίου τὸν βίον κεκτημένοι,
ὀφρῦς συνῆγον. ἐσκυθρώπαζόν θ' ἅμα.
οἱ δ' ἠκολούθουν κατόπιν, ἐστεφανωμένοι
γελῶντες εὐφημοῦντες. ἐκτυπεῖτο δὲ,
ἐμβὰς γερόντων, εὐρύθμοις προβήμασιν.
ἀλλ' εἶ' ἅπαξ ἅπαντες ἐξ ἑνὸς λόγου
ὀρχεῖσθε. καὶ σκιρτᾶτε, καὶ χορεύετε.
οὐδεὶς γὰρ ἡμῖν εἰσιοῦσιν ἀγγελεῖ,
ὡς ἄλφιτ' οὐκ ἔνεστιν ἐν τῷ θυλάκῳ.
γυ. νὴ τὴν ἑκάτην. κἀγὼ γ' ἀναδῆσαι βούλομαι
εὐαγγέλιά σ' ἐν κριβανωτῶν ὁρμαθῷ
τοιαῦτ' ἀπαγγείλαντα. καρ. μή νυν μέλλ' ἔτι.
ὡς ἄνδρες ἐγγύς εἰσιν ἤδη τῶν θυρῶν.
γυ. φέρε νῦν ἰοῦσ' εἴσω, κομίσω καταχύσματα.
ὥσπερ νεωνήτοισιν ὀφθαλμοῖς ἐγώ.
καρ. ἐγὼ δ' ἀπαντῆσαί γ' ἐκείνοις βούλομαι.

ΚΟΜΜΑΤΙΟΝ ΧΟΡΟΥ.

πλ. καὶ προσκυνῶ γε πρῶτα μὲν τὸν ἥλιον
ἔπειτα σεμνῆς παλλάδος κλεινὸν πέδον.

τοὺς γὰρ αὐτὸν τῷ πλούτωνι τὸν ᾅδην νομίζουσι. καὶ γὰρ ἡσίοδός φησιν. εὔχεσθαι δὲ διὶ χθονίῳ δημήτερί θ' ἁγνῇ. ἐκτελέα βρίθειν δημήτερος ἱερὸν ἀκτήν.

Ἡμιτύβιον. αὐτὸ τοῦ σουδάριον. ῥάκος ἡμιτριβές. λινοῦν τι, οἷον ἐκμαγεῖον. καὶ σαπφώ, ἡμιτύβιον σταλάσσων. ἢ δίχρωστον φακιόλιον. Ἐπώπτυσεν. ἐσύριζεν. εἶτα οἱ δράκοντες ἐξῆλθον δηλονότι. Ἐξηξάτην οὖν δύο δράκοντες. κοινῶς μὲν πᾶσι τοῖς ἥρωσι δράκοντες παρετίθεντο. ἐξαιρέτως δὲ τῷ ἀσκληπιῷ. δράκοντες δὲ λέγονται ἀπὸ τοῦ δέρκω. ὅ ἐστι βλέπω. ὀξυδερκὲς γὰρ τὸ ζῷον. ἀνιέρωται δὲ τῷ ἀσκληπιῷ, ἐπειδὴ τὸ γῆρας ἀποβάλλει. καὶ ἡ ἰατρικὴ δὲ φυλάττει φύσει τὸ νέον ἐξωθοῦσα τὰ νοσήματα.

καρ. μετὰ τοῦτο, τῷ πλούτωνι παρεκαθέζετο.
καὶ πρῶτα μὲν δὴ τῆς κεφαλῆς ἐφήψατο.
ἔπειτα καθαρὸν ἡμιτύβιον λαβὼν,
τὰ βλέφαρα περιέψησεν. ἡ πανάκεια δὲ,
κατεπέτασ' αὐτοῦ τὴν κεφαλὴν φοινικίδι.
καὶ πᾶν τὸ πρόσωπον. εἶθ' ὁ θεὸς ἐπόππυσεν.
ἐξηξάτην οὖν δύο δράκοντ' ἐκ τοῦ νεὼ,
ὑπερφυεῖς τὸ μέγεθος. γυ. ὦ φίλοι θεοί.
καρ. τούτω δ' ὑπὸ τὴν φοινικίδ' ὑποδύνθ' ἡσυχῇ,
τὰ βλέφαρα περιέλειχον, ὥς γέ μοι δοκεῖν.
καὶ πρίν σε κοτύλας ἐκπιεῖν οἴνου δέκα,
ὁ πλοῦτος ὦ δέσποιν' ἀνεστήκει βλέπων.
ἐγὼ δὲ τὼ χεῖρ' ἀνεκρότησ' ὑφ' ἡδονῆς.
τὸν δεσπότην τ' ἤγειρον. ὁ θεὸς δ' εὐθέως
ἠφάνισεν αὑτὸν οἵ τ' ὄφεις, εἰς τὸν νεών.
οἱ δ' ἐγκατακείμενοι παρ' αὐτῷ, πῶς δοκεῖς
τὸν πλοῦτον ἠσπάζοντο. καὶ τὴν νύχθ' ὅλην
ἐγρηγόρεσαν. ἕως διέλαμψεν ἡμέρα.
ἐγὼ δ' ἐπῄνουν τὸν θεὸν πάνυ σφόδρα.
ὅτι βλέπειν ἐποίησε τὸν πλοῦτον ταχὺ
τὸν δὲ νεοκλείδην μᾶλλον ἐποίησε τυφλόν.
γυ. ὅσην ἔχεις τὴν δύναμιν ὦναξ δέσποτα.
ἀτὰρ φράσον μοι ποῦ 'σθ' ὁ πλοῦτος. καρ. ἔρχεται.
ἀλλ' ἦν περὶ αὐτὸν ὄχλος ὑπερφυὴς ὅσος.
οἱ γὰρ δίκαιοι πρότερον ὄντες, καὶ βίον
ἔχοντες ὀλίγον, αὐτὸν ἠσπάζοντο. καὶ

Ὥστε μοι δοκεῖν. καλῶς τὸ ἐμοὶ δοκεῖν. οὐδὲ γὰρ ἑώρα αὐτοὺς ἔσω τῆς φοινικίδος ὄντας.

Καὶ πρίν σε κοτύλας. ὡς εἰ ἔλεγεν. πρὶν πιεῖν σε κοτύλας. κοτύλη δὲ εἶδος μέτρου, ὃ νῦν καλεῖται ἡμιξέστιον. ἄλλως σκώπτει τὰς γυναῖκας ὡς μεθυούσας. δέον οὖν εἰπεῖν, πρὶν εἰπεῖν σε λόγον ἕνα, εἶπε πρὶν ἐκπιεῖν κοτύλας οἴνου δέκα.

Ἠφάνισεν αὐτόν. ἀφανῆ ἑαυτὸν ἐποίησεν ἐμοῦ συγκροτήσαντος.

Τὸν πλοῦτον ἠσπάζοντο. ἐφιλοφρονοῦντο. κυρίως δὲ ἀσπάσασθαί ἐστι τὸ περιπλέκεσθαί τινα διὰ τὸ ἄγαν σπᾶσθαι εἰς ἑαυτὸν τὸν ἕτερον. καὶ περιβάλλειν τὰς χεῖρας ἐν τῷ φιλοφρονεῖσθαι. Πάνυ σφόδρα ἐκ παραλλήλου τὸ αὐτό. ἐπικὸν δὲ τὸ ἐπῄνουν ἐπὶ τοῦ θεοῦ, κυρίως γὰρ ἐπὶ αἴνου.

Ὅσην ἔχεις τὴν δύναμιν. ταῦτα ἡ γυνὴ τοῦ χρεμύλου θαυμάζουσα τὸν θεόν.

Τ ρεῖς τηνίων, ὅτι ἐν τῇ τήνῳ μετὰ τῶν κυκλάδων νήσων ὄφεις καὶ σκορπίοι δεινοὶ ἐγίνοντο, ἢ ὅτι ἡ τῆνος δριμύτατα σκόροδα φέρει. ἡ τῆνος δὲ αὕτη θηριώδης δοκεῖ εἶναι, καὶ δὴ πόλις πολίτου τῆνος δ' αὐτὴ πολλοὺς ἔχουσα σκορπίους. καλλίστρατος δὲ ἐπὶ τὸ σαφὲς κατηνέχθη. ὡς σκοροδοφόρου τῆς γῆς οὔσης. διὸ καὶ τὸ παρὰ αὐτῇ μάχεσθαι τήνου τὸ ὀφιοῦσσα μὴ οὐ καλῶς ἔχειν δοκεῖ. Καὶ σχῖνον. σχῖνον νῦν φησὶ τὴν σκίλλαν. δηκτικὰ γὰρ βούλεται πάντα εἶναι. ἐν δὲ τοῖς ἑξῆς ἀφίκεται ἐκ τοῦ θεοφράστου, ὅτι ἕτερόν τι,

ἡ σκίλλα καὶ σχῖνος παρὰ τὸ σχίζεσθαι καὶ δακρύειν. ἡ αὐτὴ γὰρ τῇ μαστίχῃ. Ὄξει διέμενος. διυγράνας. οὐ νῦν χυματίζειν φασί. σφηττίῳ δὲ τῷ δριμυτάτῳ ἀπὸ δήμου. πικροὶ γὰρ οἱ σφήττιοι καὶ συκοφάνται. ἢ γυ παρὰ τὸ σφῆκας. θυμικοί γάρ. ἢ ὅτι δριμὺ ὄξος παρὰ σφηττίοις ἐγίνετο.

σκορόδων κεφαλὰς τρεῖς τηνίων. ἔπειτ' ἔφλα.
ἐν τῇ θυείᾳ συμπαραμιγνύων ὀπόν.
καὶ σχῖνον. εἶτ' ὄξει διέμενος σφηττίῳ,
κατέπλασεν αὐτοῦ τὰ βλέφαρ' ἐκστρέψας ἵνα
ὀδυνῷτο μᾶλλον. ὁ δὲ κεκραγὼς καὶ βοῶν,
ἔφευγ' ἀναΐξας. ὁ δ' ὁ θεὸς γελάσας ἔφη.
ἐνταῦθα νῦν κάθησο καταπεπλασμένος.
ἵν' ἐπομνύμενον παύσω σε τῆς ἐκκλησίας.
ὡς φιλόπολίς τις ἐσθ' ὁ δαίμων καὶ σοφός

Ἵν' ἐπομνύμενον. ἀντὶ τοῦ ἐκκαλούμενον. ἐπωμοσία δέ ἐστιν ἣν ἀποδίδωσιν ὁ βουλόμενος αἰτεῖσθαι ψηφίσματι εἰς φερομένῳ. ἐκκαλοῦνται δὲ εἰς τὸ δικαστήριον πολλάκις. Σαλούστιος δέ φησιν ὡς μέλλοντές τις εἰς τινα δημοτικὴν ἀποστέλλεσθαι χρείαν παρὰ τοῦ δήμου, πολλάκις ἐπώμνυον τὸ μὴ δύνασθαι αὐτὸ ποιεῖν, ἵνα συκοφαντῶσιν οἴκοι μένοντες. ἄλλως. ἐπωμοσία ἐστὶν ἀπόδοσις αἰτίας δι' ἣν οὐχ ὑπαντᾷ τις πρὸς τὴν δίκην. Ὑπερίδης καὶ ἐμοὶ μὲν συμβάσης ἀρρωστίας καὶ ὑπομωσθείσης ταύτης τῆς γραφῆς αἰεβλήθη ὁ ἀγών. οὕτως ὁ Τήλεφος. ἐπωμοσία ἐστὶν ὄνομα δίκης, καθ' ἣν οἱ μέλλοντες ἡττᾶσθαι νοσεῖν προφασιζόμενοι, τὴν κυρίαν ἀνεβάλλοντο καὶ πάλιν ἐξ ἀρχῆς ἐδικάζοντο. τινὲς δὲ ἐπομνύμενόν φασι τὸ ὀμόσαι μὴ δικάσασθαι. καὶ παραβάντα τοὺς ὅρκους δικάσασθαι ὕστερον. ἐκκλησίας ἤγουν ἀντὶ τοῦ ταῖς ἐκκλησίαις. ταῦτα δέ φησιν ὡς τοῦ νεοκλείδου διὰ κακουργίαν ταῦτα ποιοῦντος. ἄλλως. ἐπομνύμενον μὲν ἀντὶ τοῦ ἐφεδρεύοντα ταῖς ἐκκλησίαις καὶ συκοφαντοῦντα ὑπὲρ τοῦ κερδαίνειν. ἢ ὑποφθείροντα. ἵνα συνέλθωσιν οἱ δικασταὶ καὶ βοηθήσωσιν οἷς αὐτὸς βούλεται. ἢ κακουργοῦντα. οἱ γὰρ συνωμόται, ἐπὶ κακῷ ὤμνυον. ἄλλως. ἐπωμοσία ἐστὶν ἡ δευτέρα κρίσις τοῦ δικαστηρίου λεγομένη μετὰ τὴν τῶν ἀποκλήρων παρουσίαν. Ὡς φιλόπολις. καθό τὸν λυμεῶνα τῆς πόλεως ἠμύνατο.

Τ ῷ πλούτωνι. τὸν πλοῦτον, πλούτωνα εἶπε παίζων. ἢ ὅτι καὶ πλούτωνα αὐτὸν ὑποκοριστικῶς ἐκάλεσεν. ὡς σοφοκλῆς ἰνάχῳ. πλούτωνος δ' ἐπείσοδος. καὶ πάλιν. ποιεῖν δ' ἐμὸν πλούτων' ἀμεμφίας χάριν. ἄλλως. τὸν πλοῦτον οὕτω λέγουσι. καὶ ἐκ

E βδελύττετο. ἐμίσησεν. χαριέντως τὸ ἐβδελύττετο πρὸς τὸ ἀπέπαρδον παρὰ τὸ βδέειν. Ἀλλ' Ἰασὼ μέν τις. οὐκ ἐῴκει διότι προσῆκε τῷ ἀσκληπιῷ ἡ Ἰασὼ παρὰ τὴν ἴασιν ὠνομασμένη. ἀλλὰ καὶ θυγατέρα τοῦ ἀμφιαράου αὐτὴν εἶπεν ἐν ἐκείνοις. ἀλλ' ὦ θύγατερ ἔλεξά σοι προθυμενής. εἰ καὶ τὴν ἰασὼ ἀσκληπιοῦ θυγατέρα ὡς τοῦ ἀμφιαράου, ἄξιον ἀπορεῖν. ἐπεὶ καὶ ἕρμιππος ἐν τῷ πρώτῳ ἰάμβῳ τῶν τριμέτρων ἀσκληπιοῦ καὶ λαμπετίας τῆς ἡλίου λέγει μαχάονα καὶ ποδαλείριον. καὶ ἰασὼ καὶ πανάκειαν καὶ αἴγλην νεωτάτην. ἄλλοι δὲ προστιθέασιν ἰανίσκον καὶ ἀλεξήνορα. ἔστι δὲ καὶ ἀμφιαράου θυγάτηρ ἰασώ. Οὐ λιβανωτὸν γὰρ βδέω. ἄλλο λίβανος καὶ ἄλλο λιβανωτός. λίβανος μὲν γὰρ αὐτὸ τὸ δένδρον. λιβανωτὸς δὲ ὁ καρπὸς τοῦ λιβάνου. ἔστι δὲ καὶ ὄρος λίβανος καλούμενον. Ἀλλὰ σκατοφάγον. αἰαῖ θήπου. εἴρηται δὲ ἀπὸ τοῦ παρὰ βοιωτοῖς βοᾶν. οἱ διὰ πολλὴν αἴσθησιν σκατὰ ἤσθιον. ἐπρόκλητος δὲ ἐστὶν ἡ σκατὸς γενική, ἀπὸ εὐθείας τῆς σκώρ.

γυ. ἦ πού σε διὰ τοῦτ' εὐθὺς ἐβδελύττετο.
κα. οὔκ. ἀλλ' ἰασὼ μέν τις ἀκολουθοῦσ' ἅμα,
ὑπηρυθρίασε. χ' ἡ πανάκει' ἀπεστράφη,
τὴν ῥῖν' ἐπιλαβοῦσ' οὐ λιβανωτὸν γὰρ βδέω.
γυ. αὐτὸς δ' ἐκεῖνος. καρ. οὐ μὰ δί' οὐδ' ἐφρόντισεν.
γυ. λέγεις ἄγροικον ἄρα σύ γ' εἶναι τὸν θεόν;
κα. μὰ δί' οὐκ ἔγωγ'. ἀλλὰ σκατοφάγον. γυ. αἶ τάλαν.
κα. μετὰ ταῦτα γ', εὐθὺς ἐγὼ μὲν συνεκαλυψάμην
δείσας. ἐκεῖνος δ' ἐν κύκλῳ τὰ νοσήματα
σκοπῶν περιῄειν πάντα κοσμίως πάνυ.
ἔπειτα παῖς αὐτῷ λίθινον θυείδιον
παρέθηκε καὶ δοίδυκα καὶ κιβώτιον.
γυ. λίθινον; καρ. μὰ δί'. οὐ δῆτ' οὐχὶ τό γε κιβώτιον.
γυ. σὺ δὲ πῶς ἑώρας ὦ κάκιστ' ἀπολούμενε,
ὃς ἐγκεκαλύφθαι φῄς. καρ. διὰ τοῦ τριβωνίου
ὀπὰς γὰρ εἶχεν οὐκ ὀλίγας, μὰ τὸν δία.
πρῶτον δὲ πάντων τῷ νεοκλείδῃ φάρμακον.
καταπλαστὸν ἐνεχείρησε τρίβειν, ἐμβαλὼν,

Οὐ δῆτ' οὐχὶ τό γε κιβώτιον. παίζων πρὸς τὸ πρῶτον ἀπήντησεν. οὐχὶ δὲ κιβώτιον. εἰπὼν γὰρ ὅτι κιβώτιον λίθινον ἦν ὡς παρ' ἑαυτοῦ λήθην ἐπανορθούμενός φησι. μὰ δί' οὐκ ἦν λίθινον τὸ κιβώτιον. Διὰ τοῦ τριβωνίου. νῦν τοῦ παλαιοῦ καὶ τετριμμένου ἱματίου. τὸ γὰρ τρίβακον ἱμάτιον οὕτω καλοῦσιν, ἀττικοί. ὀπὰς δὲ τὰς τρώγλας. ἔνθεν καὶ ὦπες οἱ ὀφθαλμοί. αἰνίγματα γάρ ἐστι. Καταπλαστόν. τῶν φαρμάκων, τὰ μέν ἐστι καταπλαστά. τὰ δέ, χριστά, τὰ δὲ ποτά. τινὲς δὲ προπαροξύνουσι κατάπλαστα λέγοντες. ἔστιν οὖν παστὸν τὸ πασσόμενον. πλαστὸν τὸ πλαττόμενον. ὃ καὶ καταπλαστὸν λέγεται. καὶ πιστόν, τὸ πινόμενον. Ενεχείρησεν οἱ γράφοντες ἐνεχείρισε τρίβειν διὰ τοῦ ι ἀμαθεῖς. οὐ γὰρ ἐμφανῶς ἐθεράπευεν ὁ ἀσκληπιός. ἵνα καὶ τῷ νεοκλείδῃ ἐγχειρίσαι αὐτὸ λέγωμεν τρίβειν τὸ φάρμακον, ἀλλ' ἀφανῶς κατὰ τὴν νύκτα ἔχει δὲ οὕτως ἐνεχείρησε πρῶτον πάντων τρίβειν τῷ νεοκλείδῃ φάρμακον καταπλαστόν. καὶ ἔστιν ἡ δοτικὴ αὕτη πρὸς τὸ τρίβειν περὶ ποιητικῶς ἡ γὰρ τρίψις ἐκείνῳ ἦν τουτέστι δι' ἐκεῖνον ἐγίνετο.

ἀντὶ τοῦ ἁγίως ἀπετίθετο. παίζει δὲ τοῦτο ὡς ἐπὶ ἱερέων. ἀρσενικῶς δὲ ὁ σάκτας ὡς αἱ χρήσεις διδάσκουσιν. Κἀγὼ νομίσας πολλὴν ὁσίαν. ὅσια μέν, τὰ πρὸς ἀνθρώπους ὧν ἔξεστι θίγειν. δόξας φησὶν ὅσιον εἶναι τὸ λαμβάνειν τι ἀπὸ τῶν ἐν τῷ ἱερῷ ἐπεὶ καὶ ὁ ἱερεὺς ἐλάμβανεν. Μὴ φθάσειέ με βαδίσας ἐπὶ τὸν βωμὸν δηλονότι. διαβάλλει δὲ τὸν θεὸν ὡς κλέπτην καὶ λαίμαργον. ἐφοβούμην οὖν μὴ καὶ αὐτὸς ἐλθὼν κλέψαι τὴν χύτραν φθάσειέ με. ἄλλως πάνυ καλὸν καὶ σεβάσμιον τὸ πρᾶγμα ὁ ἐκεῖνος

Κἀγὼ νομίσας πολλὴν ὁσίαν τοῦ πράγματος,
ἐπὶ τὴν χύτραν τὴν τῆς ἀθάρης ἀνίσταμαι.
γυ. ταλαίπατ' ἀνδρῶν, οὐκ ἐδεδίεις τὸν θεόν;
κα. νὴ τοὺς θεοὺς ἔγωγε μὴ φθάσειέ με,
ἐπὶ τὴν χύτραν ἐλθὼν ἔχων τὰ στέμματα.
ὁ γὰρ ἱερεὺς αὐτοῦ με προὐδιδάξατο.
τὸ γραΐδιον δ' ὡς ᾔσθετο δή μου τὸν ψόφον,
τὴν χεῖρ' ὑφῄρει. κᾆτα συρίξας ἐγώ,
ὀδὰξ ἐλαβόμην ὡς παρείας ὢν ὄφις.
ἡ δ' εὐθέως τὴν χεῖρα πάλιν ἀνέσπασεν.
κατέκειτο δ' αὑτὴν ἐντυλίξασ' ἡσυχῇ.
ὑπὸ τοῦ δέους βδέουσα δριμύτερον γαλῆς.
κἀγὼ τότ' ἤδη τῆς ἀθάρης πολλὴν ἔφλων.
ἔπειτ' ἐπειδὴ μεστὸς ἦν ἀνεπαυόμην.
γυ. ὁ δὲ θεὸς ὑμῖν οὐ προσῄειν; κα. οὐδέπω.
μετὰ τοῦτο δ' ἤδη, καὶ γέλοιον δῆτά τι
ἐποίησα. προσιόντος γὰρ αὐτοῦ, μέγα πάνυ
ἀπέπαρδον. ἡ γαστὴρ γὰρ ἐπεφύσητό μου.

ἐποίει ἡγησάμενος καὶ οὐκ ἀσεβὲς κρίνας αὐτὸ ἔστιν καὶ αὐτὸς ἐπὶ τὴν χύτραν τῆς ἀθάρας. ἐν τούτῳ δὲ δεικνύει ὡς ἀεὶ οἱ δοῦλοι περὶ τὸ φαγεῖν τὸν νοῦν ἔχουσι. τὸ δὲ ἔχων τὰ στέμματα λέγει διὰ τὸ γράφειν τὸν ἀσκληπιὸν ἀεὶ στεφανηφοροῦντα ὡς ὑγίας αἴτιον. Τὴν χεῖρ' ὑφῄρει. ἐξέτεινε κατὰ τῆς χύτρας ἵνα μηδεὶς αὐτὴν λάβῃ. ἢ ἐξέτεινε. καὶ μένανδρος, ἐξάραντες ἐπικροτήσατε. Κᾆτα συρίξας ἐγὼ ὅμοιόν φασιν ἀττικοὶ καὶ συρικτὸς καὶ σύριγμα ἀκόλουθον δὲ τῷ ἑρπύσαι, τὸ συρίξαι. ἕκαστον γὰρ τῶν ζώων ἰδίαν φωνὴν ἔχει. ὡς αἶξ τὸ μηκάζειν. βοῦς, τὸ μυκᾶσθαι. κορώνη τὸ κρώζειν. καὶ τἆλλα ὁμοίως οὕτω καὶ ὄφις τὸ συρίζειν. Ὀδὰξ ἐλαβόμην ἀντὶ τοῦ τοῖς ὀδοῦσιν αὐτὴν ἔλαβον. ἀντὶ τοῦ ἔδακον αὐτήν. Ὡς παρείας ὢν ὄφις. εἶδος δὲ ὄφεως ὁ παρείας παρὰ τὸ ἐπῆρθαι τὰς παρειάς. φασὶ δὲ αὐτὸν μὴ δάκνειν. ἢ καὶ δάκνοντα μὴ λυπεῖν. μέμνηται δὲ αὐτοῦ καὶ δημοσθένης τοὺς ὄφεις τοὺς παρείας φάσκων. καὶ λυκοῦργος ἐν τῷ κατὰ δημάδου λόγῳ. ἔστι δὲ τὸ τοιοῦτον εἶδος καὶ ἐν τῇ ἀλεξανδρείᾳ. τὸ δὲ τοιοῦτον εἶδος εὑρίσκεται ἐν τοῖς ἱεροῖς τοῦ διονύσου. Ἔφλων. ἤσθιον. λείπει δὲ τροφήν. φλᾶν δὲ νῦν, τὸ μετὰ ψόφου ἐσθίειν. καὶ γὰρ φλᾶν, τὸ θλᾶν. ὡς φησὶν ὀρεσκῴοισιν. Ὁ δὲ θεὸς ὑμῖν οὐ προσῄειν. ἰωνικῶς ὡς καὶ παρ' ὁμήρῳ ἤσκειν ἔρια καλά. ἀντὶ τοῦ ἤσκεε. τρίτου γὰρ ἐστὶ προσώπου. Ἀπέπαρδον. διὰ τὴν ἀθρόαν τῶν πνευμάτων ἐκπνοιῶν. ὅθεν καὶ πάρδος. ὁρμητικὸν γὰρ τὸ ζῶον. Ἐπεφύσητό μου ὑπὸ τῆς ἀθάρης δηλονότι. ποιεῖ γὰρ αὕτη πνεύματα τῇ γαστρί.

Καθωσιώθη πέλανος. τοῖς καθήκουσι νόμοις ἀφιερώθη. καθηγνίσθη ἢ ὁσίως ἀνετέθη. ἐπειδὴ δὲ ὁ πέλανος τῇ ἡφαίστου φλογὶ καθωσιώθη καὶ τὰ πόπανα καὶ τὰ προθύματα δὲ τουτέστιν ἢ τὰς ὀλύρας παρὰ τὸ προθύεσθαι τῶν ἱερείων ἢ κριθὰς ἢ λιβανωτόν. τὸ δὲ ἑξῆς. ἐπεὶ δὲ βωμῷ προθύματα καθωσιώθη ἡφαίστου φλογί, καὶ πόπανα καὶ πέλανος. ἄλλως. δέον εἰπεῖν καὶ πέλανος. ὁ δὲ ἀσυνδέτως πέλανος εἶπεν. ἰστέον δὲ ὅτι τὸν μὲν πέλανον ἐν τῷ πυρὶ ἔρριπτον. τὰ δὲ πόπανα καὶ τοὺς πλακοῦντας καὶ τἄλλα, ἐν μέρει τοῦ βωμοῦ ἐτίθεσαν. ἢ τὸ πέλανος ἑρμηνεία δὲ τοῦ προθύματα οὕτως. ἐπεὶ δὲ τῷ βωμῷ καθωσιώθη τὰ πόπανα, καὶ τὰ προθύματα καθωσιώθη τῇ φλογὶ τοῦ ἡφαίστου, ὁ πέλανος λέγω ὅ ἐστι καὶ κρεῖττον.

καθωσιώθη, πέλανος ἡφαίστου φλογί,
κατεκλίνομεν τὸν πλοῦτον ὥσπερ εἰκὸς ἦν
ἡμῶν δ' ἕκαστος στιβάδα παρεκαττύετο.
ΓΥ. ἦσαν δέ τινες κἄλλοι δεόμενοι τοῦ θεοῦ;
ΚΑΡ. εἷς μέν γε νεοκλείδης, ὅς ἐστι μὲν τυφλός.
κλέπτων δὲ τοὺς βλέποντας ὑπερηκόντισεν.
ἕτεροί τε πολλοὶ παντοδαπὰ νοσήματα
ἔχοντες. ὡς δὲ τοὺς λύχνους ἀποσβέσας,
ἡμῖν παρήγγειλε καθεύδειν, τοῦ θεοῦ
ὁ πρόπολος, εἰπὼν ἤν τις αἴσθηται ψόφου,
σιγᾶν ἅπαντες κοσμίως κατεκείμεθα.
κἀγὼ καθεύδειν οὐκ ἐδυνάμην. ἀλλά με
ἀθάρης χύτρα τις ἐξέπληττε κειμένη.
ὀλίγον ἄπωθεν τῆς κεφαλῆς τοῦ γρᾳδίου.
ἐφ' ἣν ἐπεθύμουν δαιμονίως ἐφερπύσαι
ἔπειτ' ἀναβλέψας ὁρῶ τὸν ἱερέα.
τοὺς φθοῖς ἀφαρπάζοντα, καὶ τὰς ἰσχάδας,
ἀπὸ τῆς τραπέζης τῆς ἱερᾶς. μετὰ τοῦτο δὲ
περιῆλθε τοὺς βωμοὺς ἅπαντας ἐν κύκλῳ.
εἴ που πόπανον εἴη τι καταλελειμμένον.
ἔπειτα ταῦθ' ἥγιζεν εἰς σάκταν τινά.

Παρεκαττύετο. ἐκ συλλογῆς συνετίθετο ἀπὸ τῶν καττυμάτων. Καττύματα δὲ λέγονται οἱ μακροὶ ἱμάντες. οἱ ἐπὶ τῆς κόπρου ἐρριμμένοι. λέγει οὖν ἐκ πολλῶν καὶ μακρῶν τὴν στιβάδα ηὐτρεπίζομεν. Εἷς μέν γε, νεοκλείδης. εἰς πολλὰ κεκωμῴδηται. εἰς ῥήτορα καὶ τὰ δημόσια κλέπτοντα καὶ ξένον καὶ τὰς ὄψεις λελωβημένον. εἴρηται δὲ καὶ ἐν πελαργοῖς περὶ αὐτοῦ ὅτι ῥήτωρ καὶ συκοφάντης. Ἀθάρης χύτρα τις. ἀθάρα, μόνη ἡ σεμίδαλις. ἀττικοὶ δὲ διὰ τοῦ η ἀθάρης. αἰολεῖς ἀθήρας. ἡ δὲ κοινὴ διὰ τοῦ α. ἀθάρας. Ἐφ' ἣν ἐπεθύμουν δαιμονίως ἐφερπύσαι. περισσὴ ἡ μία ἐπί. ὡς εἰς τῶν ἱερῶν ὄφεων δηλονότι. ἐφερπύσαι δέ, βαδίσαι. ἀπὸ μεταφορᾶς τῶν ἑρπετῶν. ἐκ τούτου δὲ τὴν ἥσυχον κλοπήν, τὴν ἐπὶ τὴν χύτραν δηλοῖ. Τοὺς φθοῖς. ἀττικοὶ μὲν μονοσυλλάβως οἱ φθοῖς. ὁ δὲ καλλίμαχος φθοίας ἀντὶ τοῦ πλακοῦντας. πέμματα. Ἀπὸ τῆς τραπέζης τῆς ἱερᾶς. εἰσὶ γὰρ τράπεζαι ἐν τοῖς ἱεροῖς, ἐν αἷς τιθέασι τὰ ἀποφερόμενα. Εἰς σάκταν τινά. γράφεται εἰς σάκκον ὅ ἐστιν ὁ θύλακον ἀπὸ τοῦ σάττεσθαι. δέον δ' εἰπεῖν εἰς τὸν βωμὸν ἥγιζε φησὶν εἰς τὸν σάκκον. ἥγιζε δὲ ἀντὶ τοῦ ἔβαλλεν εἰς δέρματος σακκίον. ὅπερ θύλακον λέγομεν τινὲς δὲ

Τίς ἡ βοή ποτ' ἐστί. κορωνὶς εἰσιόντων ὑποκριτῶν. οἱ δὲ στίχοι, ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, ρκθ'. ὧν τελευταῖος, ἐγὼ δ' ἀπαντῆσαί γ' ἐκείνοις βούλομαι. ἐπὶ τέλει ἑκάστου συστήματος, παράγραφος. ἐπὶ δὲ τῷ τέλει πάντων τῶν στίχων κορωνὶς καὶ ἑξῆς τὸ κομμάτιον τοῦ χοροῦ. κἀνταῦθα γὰρ χοροῦ τι μέρος ὤφειλε θεῖναι καὶ διατρῖψαι μικρόν, ἄχρις οὗ ὁ Καρίων ἐκείνοις συμμίξειν. Ταχέως ταχέως φέρ' οἶνον. ἡνίκα, ἦν ἀπαγγελία, ἔθος ἦν πίνειν οἶνον. Ὡς ἐγὼ τὰ πράγματα ἐκ τῶν ποδῶν εἰς τὴν κεφαλήν σοι. τὸ μὲν φαινόμενον ἐστὶ τοῦτο. τὸ ἐξ ἀρχῆς μέχρι τέλους ἐρῶ τὰ πράγματα. νοεῖται δὲ καὶ ἕτερόν τι πάνυ αἰσχρὸν καὶ ἄξιον τῆς τῶν δούλων ἀσελγείας καὶ μοχθηρίας. ἡ γυνὴ δὲ πράγματα τὰς ὀχλήσεις ἐνόησε καὶ διὰ τοῦ λέγειν μὴ δῆτ' ἔμοιγ' ἐς τὴν κεφαλήν. Μὴ μὲν οὖν τὰ πράγματα. ὅτι ἐπὶ κακῶν ἔλεγον οἱ ἀθηναῖοι τὰ πράγματα. Ἰδοὺ δὲ ἐσάφησεν. καὶ μένανδρος δὲ ἐν γεωργῷ. ἐν πράγμασιν. ἐν μάχαις ἐν ἤθει δὲ ἀναγνωστέον. Ἐπὶ θάλατταν ἤγομεν. ἤθισται γὰρ τοῖς ἀρχαίοις ἐκεῖ καθαίρειν τοὺς ἀφωσιωμένους, ὅμηρος καὶ εἰς ἅλα λύματ' ἔβαλλον. Νῦν δ' εἴ τιν' ἄλλον. δέον εἴπερ τις ἄλλος εἰπεῖν εἴπερ τιν' ἄλλον εἶπε πρὸς τὴν ὄπισθεν αἰτιατικήν. Ἔπειτ' ἐλοῦμεν. ἀπὸ τοῦ λούω. ἢ ἀπὸ τοῦ ἐλούομεν κατὰ συγκοπήν. Νὴ Δί' εὐδαίμων. ἐν εἰρωνείᾳ, ἀντὶ τοῦ κακοδαίμων. τὸ γὰρ εὐ ἀντὶ τοῦ δυς μορίου. τὸ δὲ ψυχρᾷ θαλάττῃ, διὰ τὸ τῆς οὐσίας ψυχρὸν τῶν γερόντων. τὸ δὲ ᾖμεν ἀντὶ τοῦ ἐπορευόμεθα. διὸ μετὰ τοῦ ι ἀπὸ τοῦ εἴω. Ἐπεὶ δὲ βωμῷ. ἀντὶ τοῦ ὁσιωθείσης τῆς θυσίας καὶ τῶν ἀπαργμάτων ἐπὶ τῶν βωμῶν τιθέντων, ἅπτονται τοῦ βωμοῦ ἢ τοῦ κανοῦ. καὶ ἀποφθέγγονται ὅσια καὶ τότε ἔξεστι τοῖς ἀπὸ τῆς θυσίας ἀδεῶς χρῆσθαι. Καὶ προθύματα. γράφεται καὶ θυλήματα. σημαίνει δὲ τὰ προκατάργματα ἢ τὰ πρὸ τῆς θυσίας γενόμενα θυμιάματα, ἢ πλακούντια.

γυ. τίς ἡ βοή ποτ' ἐστίν; ἆρ' ἀγγέλλει
χρηστόν τι; τοῦτο γὰρ ποθοῦσ' ἐγὼ πάλαι,
ἔνδον κάθημαι περιμένουσα τουτονί.
καρ. ταχέως ταχέως φέρ' οἶνον ὦ δέσποιν' ἵνα
καὐτὴ πίῃς. φιλεῖς δὲ δρῶσ' αὐτὸ σφόδρα.
ὡς ἀγαθὰ συλλήβδην ἅπαντά σοι φέρω.
γυ. καὶ ποῦ 'στιν. καρ. ἐν τοῖς λεγομένοις εἴσει τάχα.
γυ. πέραινε τοίνυν ὅ, τι λέγεις ἀνύσας ποτέ.
καρ. ἄκουε τοίνυν. ὡς ἐγὼ τὰ πράγματα,
ἐκ τῶν ποδῶν εἰς τὴν κεφαλήν σοι πάντ' ἐρῶ.
γυ. μὴ δῆτ' ἔμοιγ' ἐς τὴν κεφαλήν. καρ. μὴ τἀγαθὰ
ἃ νῦν γεγένηται; γυ. μὴ μὲν οὖν τὰ πράγματα.
καρ. ὡς γὰρ τάχιστ' ἀφικόμεθα πρὸς τὸν θεόν,
ἄγοντες ἄνδρα, τότε μὲν ἀθλιώτατον.
νῦν δ' εἴ τιν' ἄλλον μακάριον κεὐδαίμονα
πρῶτον μὲν αὐτὸν ἐπὶ θάλατταν ἤγομεν.
ἔπειτ' ἐλοῦμεν. γυ. νὴ Δί' εὐδαίμων ἄρ' ἦν
ἀνὴρ γέρων ψυχρᾷ θαλάττῃ λούμενος.
καρ. ἔπειτα πρὸς τὸ τέμενος ᾖμεν τοῦ θεοῦ.
ἐπεὶ δὲ βωμῷ πόπανα καὶ προθύματα

ὀλίγον ἄρτον ἀναλίσκον. ἢ τῷ ζωμῷ σχολάζοντες καὶ ὑπὸ τούτου κορεννύμενοι.

Τ Τί δ' ἐστὶν ὦ βέλτιστε τῶν σαυτοῦ φίλων ἀντὶ τοῦ περὶ τῶν σαυτοῦ φίλους. οἷον τῶν ὁμομαστιγιῶν. οἱονεὶ οὐκ ἄλλων τινῶν. ἀλλὰ τῶν ὁμοίων σοι μαστιγιῶν. ἢ τρόπων. οὕτως. ὦ βέλτιστε τί τῶν σαυτοῦ τρόπων ἐστίν. ἀντὶ τοῦ τί ἀγαθὸν ἡμῖν ἀγγέλλεις εἰκὸς γάρ σε καλλίστοις χρώμενον τρόποις πρὸς τοὺς τρόπους, καὶ τὰς ἀγγελίας περιεῖσθαι. Ἐξωμμάτωται ἐκ φινέως σοφοκλέους ὁ στίχος ὅρα δὲ πῶς τοῖς σπουδαίοις γελοῖα δὴ καταμίξας, λανθάνει. εἰρηκὼς ἐξωμμάτωται καὶ λελάμπρυνται. ἡ δὲ λέξις, ἀντὶ τοῦ ἀναπεπταμένως ὁρᾷ. ἢ γὰρ ἐξ ἐναντίας δηλοῖ. ὡς τὸ ἐκ βυθοῦ φίλει) ἢ μᾶλλον παίζων, ἐπὶ στερήσεως λέγει. ἄλλως. δέον εἰπεῖν ἀνέβλεψε καὶ καθαροὺς ἔχει τοὺς ὀφθαλμοὺς ἐξωμμάτωται εἶπε καὶ λελάμπρυνται. παίζων γὰρ

Χρ. τί δ' ἐστὶν ὦ βέλτιστε, τῶν σαυτοῦ φίλων.
φαίνει γὰρ ἥκειν ἄγγελος χρηστοῦ τινος.

Καρ. ὁ δεσπότης πέπραγεν εὐτυχέστατα
μᾶλλον δ' ὁ πλοῦτος αὐτός. ἀντὶ γὰρ τυφλοῦ
ἐξωμμάτωται καὶ λελάμπρυνται κόρας,
ἀσκληπιοῦ παιῶνος εὐμενοῦς τυχών.

Χρ. λέγεις μοι χαράν. λέγεις μοι βοάν.

Καρ. πάρεστι χαίρειν, ἥν τε βούληθ' ἥν τε μή.

Χρ. ἀναβοάσομαι τὸν εὔπαιδα καὶ
μέγα βροτοῖσι φέγγος ἀσκληπιόν.

ἐπαμφοτεριζούσας λέξεις ἔθηκεν, ἐξωμμάτωται γὰρ καὶ ἀντὶ τοῦ ἐκκέκοπται τοὺς ὀφθαλμοὺς δύναται νοεῖσθαι καὶ ἀντὶ τοῦ ἐκ τῶν ὀφθαλμῶν ἀφῃρέθη τὸ κάλυμμα. ὁμοίως δὲ καὶ τὸ λελάμπρυνται. καὶ ἀντὶ τοῦ καθαροὺς ἔχει τοὺς ὀφθαλμοὺς καὶ ἀντὶ τοῦ λεύκωμα ἐν αὐτοῖς ἔχει. ἔχει δὲ τὸ λελάμπρυνται τρίτον πρόσωπον τῶν ἑνικῶν. ὁμόφωνον τῷ τρίτῳ τῶν πληθυντικῶν. ὡς τὸ ἐξήρανται καὶ κατήχυνται καὶ ὅσα τοιαῦτα.

Λ Λέγεις μοι χαράν. τινὰ γέλα τῶν τραγικῶν ἀπαγγέλλεις μοι φησὶ χαρᾶς ἄξιον. ὥστε καὶ βοᾶν χαρᾷ νικώμενον. Λέγεις μοι χαράν. τὸ συστήματος τοῦτο κώλων ἐστί. δ'. τὸ α' τρίμετρον βραχυκατάληκτον ἐξ ἀντισπάστου ἐπιτρίτου δευτέρου καὶ δύο συλλαβῶν ἡμίσεως ποδὸς οὐσῶν. τὸ β' ἰαμβικὸν τρίμετρον ἀκατάληκτον. τὸ τρίτον καὶ τὸ τέταρτον τρίμετρα καταληκτικὰ ἐκ παιώνων, δ' δύο καὶ συλλαβῶν τριῶν λειπουσῶν μιᾶς συλλαβῆς εἰς ἀναπλήρωσιν τελείου ποδός. Ἀσκληπιοῦ παιῶνος. παιὰν μὲν ὕμνος ἐστὶν εἰς ἀπόλλωνα ἐπὶ παύσει λοιμοῦ. ᾀδόμενος, ἀλλὰ καὶ ἐπὶ παύσει πολέμου πολλάκις δὲ καὶ προσδοκωμένου δεινοῦ καὶ παιανίζειν ῥῆμα ἀπὸ τούτου τὸ παιᾶνα ᾄδειν. καὶ γίνεται ἀπὸ τοῦ παύω παυᾶν καὶ παιάν. παιὼν δὲ ὁ καὶ παιήων ὁ ἰατρὸς καὶ θεραπευτὴς τῶν νοσημάτων. καὶ γίνεται ἐκ τοῦ παίω τὸ θεραπεύω παίων καὶ παιάων ὡς μαχέων καὶ κατὰ τροπὴν τοῦ α εἰς η. παιήων καὶ αὖθις κατὰ συγκοπὴν παιών. Ἀναβοάσομαι ἐξ ἠλέκτρας εὐριπίδου ἀνυμνήσω φησὶ τὸν ἀσκληπιὸν μέγα φῶς ὄντα τοῖς ἀνθρώποις. πολλοὶ δὲ παῖδες τοῦ ἀσκληπιοῦ. ποδαλείριος μαχάων ἰασώ. πανάκεια. ὑγεία. ἀλλὰ πέπλασται δὲ τὰ ὀνόματα παρὰ τὸ ἰᾶσθαι καὶ πάντα ἀκεῖσθαι καὶ παρὰ τὸ ὑγείαν παρέχειν. εὔπαιδα δὲ ὅτι καλοὺς ἔχοντα παῖδας, ἢ τὸν καλὸν παῖδα. ἐπαμφοτερίζει γὰρ διὰ τῆς χρήσεως ἐπί τε τοῦ καλοῦ παιδὸς καὶ τοῦ καλοὺς παῖδας ἔχοντος ἢ τοῦ καλοῦ πατρὸς παῖδα. ὁ δὲ νοῦς πέπαικται εἰς τραγῳδίαν. ὁ γὰρ χαρακτὴρ τραγικὸς ὡς ἐν ὀρέστῃ. ἀναβοάσομαι περὶ τάνταλον.

τοῦ στίχοι, ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. ἑνδέκατος, ἀντισπαστικὸς τρίμετρος βραχυκατάληκτος, ἐπιμεμιγμένος ἐπὶ τρίτῳ β΄. ὁ δωδέκατος ἰαμβικὸς τρίμετρος. οἱ ἑξῆς δύο, ἀντισπαστικοὶ τρίμετροι βραχυκατάληκτοι τοῦ πρώτου ποδὸς πεντασυλλάβου τουτέστι διτροχαίου. αἱ γὰρ βραχεῖαι κατ' ἀρχὰς συλλαβαί, ἀντὶ μιᾶς μακρᾶς λογιζέσθωσαν. τοῦ δὲ δευτέρου, ἐπὶ τρίτου δευτέρου. ἐπὶ δὲ τέλει παράγραφος, σημείωσαι ἐνταῦθα, ὅτι δέον χορὸν διὰ μέσου θεῖναι μέχρις ἂν ἐκεῖνοι ἐς ἀσκληπιοῦ ἐλθόντες ἀναβλέψαιεν τὸν πλοῦτον, ὁ δὲ παραχρῆμα τὸν καρίωνα εἰσφέρει εὐαγγελίζοντα τοῖς γέρουσι περὶ τῆς τοῦ πλούτου ἀναβλέψεως.

γέροντες ἄνδρες, ἐπ' ὀλιγίστοις ἀλφίτοις.
ὡς εὐτυχεῖθ' ὡς μακαρίως πεπράγατε
ἄλλοι θ' ὅσοις μέτεστι τοῦ χρηστοῦ τρόπου.

ἐπρίησε δὲ τοῦτο οὐκ ἀλόγως. ἀλλὰ τῇ τε τῆς νέας κωμῳδίας συνηθείᾳ, ἐν ᾗ αἱ παραβάσεις ἐπαύσαντο ὡς προείρηται. καὶ ἅμα δεῖξαι βουλόμενος, ὡς ἄρα τάχιστα πάνυ ὁ πλοῦτος ἀνέβλεψεν. Ὦ πλεῖστα θησείοις μεμιστυλημένοι. ὁ θεράπων ἔρχεται ἀπαγγέλλων τὸν πλοῦτον ἀναβλέψαντα. μετὰ δὲ τὸ χαρίσασθαι τὴν δημοκρατίαν τοῖς ἀθηναίοις τὸν θησέα λύκος τις συκοφαντήσας, ἐπρίησεν ἐξοστρακισθῆναι τὸν ἥρωα. ὁ δὲ παραγενόμενος εἰς σκῦρον διῆγεν παρὰ λυκομήδει τῷ δυνάστῃ τῆς νήσου. ὃς ζηλοτυπήσας, ἀναιρεῖ αὐτὸν δόλῳ. ἀθηναῖοι δὲ λιμώξαντες καὶ κελευσθέντες ἐκδικῆσαι τῷ θησεῖ, τὸν μὲν λυκομήδη ἀνεῖλον. τὰ δὲ ὀστᾶ μεταστειλάμενοι, καὶ θησεῖον οἰκοδομήσαντες, ἰσοθέους οὕτω τιμὰς νέμουσι. διανομαὶ δὲ καὶ δοχίαι τοῖς θησείοις γίγνονται. τὰς δὲ ὀγδόας τὰ θησεῖα ἤγετο. ἑορτὴ δὲ αὐτῷ ἐπετελεῖτο, ἐπειδὴ αὐτὸς συνήγαγε τὴν ἀττικήν, πρότερον σποράδην καὶ κατὰ κώμας οἰκουμένην. Μεμιστυλημένοι, ἤγουν εὐωχημένοι. ζωμὸν ἀρυσάμενοι, ἄρτοις κοίλοις καὶ μυστηρίοις μαμούμενοι. ὅθεν καὶ τὸ ὄνομα τοῖς μυστρίοις. οἱονεὶ μυστιλίου τι ὄν. ἐν ταύτῃ δὲ τῇ ἑορτῇ πάντες προῖκα ἤσθιον ἀθάρας καὶ ἄλλα τινά. ἄλλως ὁ κοῖλος ἄρτος μιστύλη καλεῖται, ἤγουν ἀθάρα. ἐν γὰρ τοῖς θησείοις, ἀθάραν ἤσθιον. ὁ δὲ νοῦς, ὦ πολλὰ ταλαιπωρήσαντες καὶ εἰς οὐδὲν ἐστιαθέντες. νῦν δὲ εὐτυχήσαντες. ἄλλως. τὸ θησείοις. εἰ μὲν διὰ τῆς οι διφθόγγου γράψεις, τὴν ἑορτὴν τοῦ θησέως δηλοῖς. εἰ δὲ ἡ, ἀντὶ τοῦ μετ' ἀργίας γονῆς δέ. τὸ δὲ μεμιστυλλημένοι ἀντὶ τοῦ τετραμμένοι καὶ ζωμὸν ῥοφήσαντες μιστύλλαν. γὰρ παρὰ τοῖς ἀττικοῖς δευτέρας συζυγίας τῶν περισπωμένων, τὸ διὰ μιστύλλης (ὅ ἐστι, ἄρτου κοίλου δίκην ἰδίου κοχλιαρίου) ζωμὸν ἀρύεσθαι. γίνεται δὲ παρὰ τὸ μεῖστον ὅ ἐστι τὸ σμικρότατον ἀλλὰ τὸ μὲν μεῖστον διὰ διφθόγγου γράφεται ὡς ἀπὸ τοῦ μεῖον γενόμενον. καὶ γὰρ ἐκεῖνο διὰ διφθόγγου, τὸ δὲ μιστύλλα διὰ τοῦ ι. οὐδὲν οὖν καινὸν εἰ τὸ μὲν μεῖστον διὰ διφθόγγου γράφεται, τοῦτο δὲ διὰ τοῦ ι. ὅπου γε καὶ ἐπὶ τοῦ χερείων χείριστος, ἀρείων ἄριστος τοῦτο γέγονε. Ἐπ' ὀλιγίστοις ἀλφίτοις. οἱ τοῖς κοίλοις ἄρτοις τοὺς ζωμοὺς ἀρυόμενοι ταχέως κορέννυνται δι' ἔνδειαν ἄρτων. ὀγδόῃ δὲ τὰ θησεῖα ἦγον. καὶ πᾶσαν τὴν ἡμέραν ἐπανηγύριζον εἰς τιμὴν τοῦ ἥρωος. πεποίηται δὲ ἡ λέξις, λέγω δὲ ἡ μιστύλη, παρὰ τὴν μάστακα. ἄλλως. ἢ διὰ τὸ πλῆθος τῶν ὄψων

ἐκ τῶν Πλατωνίου περὶ διαφορᾶς κωμῳδιῶν.

Ἀλλ' αὐαίνειν. αὐαίνω τὸ πλεῖω· αὔω καὶ τὴν ὁδὸν ἤτοι σπουδαίως βαδίζω. Τὸ τί νοστήσεις. ὅτι μετὰ πέμψόμεθα ἐν ἤθει δὲ καὶ τοῦτο. Κλάειν μακρὰ τὴν κεφαλὴν λείπει τὴν ἔχουσαν. ἢ οὐδὲν λέγειν. ἀλλὰ κατακλαίειν ὅλον τὸ σῶμα καὶ σεαυτήν. ἀττικὸν τὸ σχῆμα. Τὸ λιπαρός. ἢ ἀντὶ τοῦ τρυφηλὸς νοητέον. ἢ διότι ἔθος ἦν τοῖς παλαιοῖς μετὰ τὸ λελοῦσθαι, ἐλαίῳ δι' ὅλου τοῦ σώματος ἀλείφεσθαι. ἵνα οἱ πόροι ὑπὸ θέρμης ἀνεῳχθέντες, κλείωνται ὑπὸ τοῦ ἐλαίου ἐμπλαστικοῦ ὄντος, καὶ μὴ δέξωνται ἀέρα ἔκτοθεν. Αὕτη μὲν ἡμῖν. σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ὀκτώ. ἐπὶ τῷ τέλει παράγραφος. καὶ ἑξῆς τὸ χοροῦ. κἂν ταῦθα γὰρ χορὸν ὤφειλε θεῖναι καὶ διατρίψαι μικρὸν ἄχρις αὖτις ἐξ ἀσκληπιοῦ ἀναστρέψαντες τὴν τοῦ πλούτου ἀπαγγέλλων ἀνάβλεψιν. Ἄγωμεν εἰς. ἄγειν τὸ ἐξάγειν στράτευμα ὅθεν καὶ ἀγὸς ποιητικῶς ὁ ἡγεμὼν καὶ πᾶσαι τὰ πράγματα, ἄγει τις ἤτοι διευθετεῖ, ἄγειν τὸ νομίζειν καὶ ἡγεῖσθαι ὡς παρὰ συνεσίῳ ἡμέρα μὲν οὖν ἣν ἥντινα ἄγουσι ἰουδαῖοι παρασκευήν, ἄγειν καὶ τὸ φέρειν ἐπὶ ἐμψύχων ὡς τὸ ἄγει τὸν νέον εἰς τὸ διδασκαλεῖον ἄγειν καὶ τὸ συντρίβειν ἀφ' οὗ τὸ κατάγει καὶ καταγὼς καὶ παρ' ἰατροῖς κάταγμα τὸ τῶν ὀστῶν σύντριμμα. Εἰς ἀσκληπιοῦ. τὸ ἐν ἄστει λέγει ἀσκληπιεῖον. δύο γάρ εἰσιν. ὁ μὲν ἐν ἄστει. ὁ δὲ ἐν πειραιεῖ. ἢ ἐν ἀχάρναις ὥς φασι. Αὐτόν τ' ἄγειν τὸν πλοῦτον. τοῦτο ὡς διὰ μέσου εἴρηκεν οὐ γὰρ τὸν πλοῦτον ἔμελλεν ὁ καρίων ἀγαγεῖν, ἀλλὰ τὰ στρώματα καὶ τὰ ἄλλα ὅσα αὐτοῖς εἰς τὴν χρείαν παρεσκεύασο. τὸ δὲ ὡς νομίζεται ἢ πρὸς τὸ ἐκφέρειν συντακτέον ἵν' ᾖ ὡς νομίζεται καὶ νόμιμόν ἐστι τοῖς δούλοις ποιεῖν. ἢ πρὸς τὸ ἄγειν, ἵν' ᾖ ὡς νομίζεται ποιεῖν τοὺς ἄγοντας ἀσθενῆ εἰς ἀσκληπιοῦ ἢ καὶ τὸ ἄγειν αὐτὸν τὸν πλοῦτον πρὸς τὸν καρίωνα, ἤγουν μετὰ τῶν ἄλλων καὶ τοῦτον ἐξένεγκε. Ὦ πλεῖστα θησείοις. ἕτερον σύστημα ἀμοιβαῖον τῶν ὑποκριτῶν. εἰσὶ δὲ οἱ πρῶ-

χρυσὸν ἀλλ' αὐαίνειν.
πε. ἢ μὴν ὑμεῖς γ' ἔτι μ' ἐνταυθοῖ
μεταπέμψεσθον.
Χρ. τὸ τί νοστήσεις. νῦν δὲ φθείρου.
Κρεῖττον γάρ μοι πλουτεῖν ἐστιν
σὲ δ' ἐᾶν κλάειν μακρὰ τὴν κεφαλήν.
Βλ. νὴ δί' ἔγωγ' οὖν ἐθέλω πλουτῶν
εὐωχεῖσθαι μετὰ τῶν παίδων
τῆς τε γυναικὸς καὶ λουσάμενος,
λιπαρὸς χωρῶν ἐκ βαλανείου,
τῶν χειροτεχνῶν
καὶ τῆς πενίας καταπαρδεῖν.
Χρ. αὕτη μὲν ἡμῖν ἡ 'πίτριπτος οἴχεται.
ἐγὼ δὲ καὶ σύ γ' ὡς τάχιστα τὸν θεὸν
ἐγκατακλινοῦντ' ἄγωμεν εἰς ἀσκληπιοῦ.
Βλ. καὶ μὴ διατρίβωμέν γε. μὴ πάλιν τις αὖ
ἐλθὼν διακωλύσῃ τι τῶν προὔργου ποιεῖν.
Χρ. ὦ παῖ καρίων τὰ στρώματ' ἐκφέρειν ἐχρῆν.
αὐτόν τ' ἄγειν τὸν πλοῦτον ὡς νομίζεται.
καὶ τἄλλ' ὅσ' ἐστὶν ἔνδον ηὐτρεπισμένα. ΧΟΡΟΥ
Καρ. ὦ πλεῖστα θησείοις μεμαστυλλημένοι

ἐπιστᾶται τινὲς παρέχουσιν αὐτῇ δεῖπνα. ἄλλως. ἔθος ἦν ἄρτους καὶ ἄλλα τινὰ κατὰ μῆνα τιθέναι τῇ ἑκάτῃ τοὺς πλουσίους. λαμβάνειν δ' ἐξ αὐτῶν τοὺς πένητας. ἀπὸ τῶν ἱερῶν γὰρ οἱ πτωχοὶ ζῶσιν. Ἀλλὰ φθείρου καὶ μὴ γρύζης. ἔκθεσις δὲ τῆς διπλῆς ἐκ κώλων ὁμοίων ἀναπαιστικῶν κα'. ὧν τὸ πρῶτον δίμετρον ἀκατάληκτον. τὸ δεύτερον μονόμετρον ἀκατάληκτον. τὸ γ' ὅμοιον τῷ πρώτῳ. τὸ δ', καὶ τὸ πέμπτον ὅμοια. τὸ ς' ὅμοιον τῷ δευτέρῳ. τὸ ἕβδομον ὅμοιον τῷ α'. τὸ η'. ὅμοιον τῷ δευτέρῳ. τὸ ἔννατον ὅμοιον τῷ α'. τὸ δέκατον ὅμοιον τῷ δευτέρῳ. τὸ ια' ὅμοιον τῷ πρώτῳ. τὸ ιβ' ὅμοιον τῷ β'. τὸ ιγ'. τὸ ιδ'. τὸ ιε'. τὸ ις'. τὸ ιζ', τὸ ιη'. τὸ ιθ'. ὅμοια τῷ πρώτῳ. ἤτοι δίμετρα ἀκατάληκτα. τὸ κ'. ὅμοιον τῷ β'. ἀναπαιστικὴ βάσις ἤτοι μονόμετρον. ὃ καὶ παρατέλευτον ὀνομάζεται. τὸ

ἀλλὰ φθείρου καὶ μὴ γρύζης
ἔτι μηδ' ὁτιοῦν.
οὐ γὰρ πείσεις, οὐδ' ἢν πείσῃς.
ΠΕ. ὦ πόλις ἄργους. κλύεθ' οἷα λέγει;
ΧΡ. παύσωνα κάλει τὸν ξύσσιτον.
ΠΕ. τί πάθω τλήμων.
ΧΡ. ἔρρ' ἐς κόρακας θᾶττον ἀφ' ἡμῶν.
ΠΕ. εἶμι δὲ ποῖ γῆς.
ΧΡ. ἐς τὸν κύφων'. ἀλλ' οὐ μέλλειν

κα' καὶ τῆς πενίας καταπαρδεῖν δίμετρον καταληκτικὸν εἰς συλλαβὴν ἤτοι ἑφθημιμερές. ὅμοιον τῷ κρατίνου ἐν ὀδυσσεῦσιν Σιγᾶν νῦν ἅπας ἔχε σιγάν. καλεῖται δὲ καὶ παροιμιακὸν διὰ τὸ πολλὰς παροιμίας τούτῳ περιῆφθαι τῷ μέτρῳ. ἄλλως. παροιμία ἐπὶ τῶν ἀκριβῶς εἰδότων τι. Καὶ πάντα λόγον τάχα πεύσῃ. Ἡμῖν δ' ἰθάκη πατρίς ἐστι. Πλεόμεθα δ' ἅμ' ὀδυσσεῖ θείῳ. καλεῖται γὰρ παροιμιακὸν ὡς ἡφαιστίων φησί, διὰ τὸ παροιμίας τινὰς ἐν τούτῳ τῷ μέτρῳ εἶναι. οὐκ εἰκότως δέ. εἰσὶ γὰρ παροιμίαι ἔπη καὶ καὶ ἰαμβικαὶ καὶ οὐ τούτου μόνου τοῦ μέτρου. εἶτα δύο διπλαῖ. ἡ μὲν ἐν ἀρχῇ τοῦ τελευταίου κώλου. ἡ δὲ κατὰ τὸ τέλος ἀμφότεραι ἔξω νενευκυῖαι. Καὶ μὴ γρύζης. μὴ φθέγγῃ. κυρίως γὰρ γρύζειν ἐστὶ, τὸ τοὺς μικροὺς χοίρους φωνὴν προΐεσθαι.

Οὐδ' ἢν πείσῃς. ἐν ὑπερβολῇ λέγει ὅτι καὶ πείσῃς οὐχ ἕξεις ἡμᾶς πειθομένους σοι οὐ γὰρ ἐὰν πιθανῶς διαλεχθείης, πείσεις ἡμᾶς συνθέσθαι σοι καὶ τὸν πλοῦτον καταλιπεῖν. Ὦ πόλις ἄργους ταῦτά φασιν ἐκ τηλέφου εὐριπίδου τραγικεύεται. μετείληπται δὲ ὁ στίχος ἐκ φοινισσῶν εὐριπίδου πολυνείκους λέγοντος. οὐδὲ γὰρ ἀκολούθως καλεῖ ἐν ἀθήναις οὖσα. διαβάλλει δὲ τοὺς ἀργείους ὡς πένητας.

Παύσωνα κάλει τὸν ξύσσιτον. σύντροφον καὶ διαιτητήν. ὁ παύσων δὲ ἐπὶ πενίᾳ κωμῳδεῖται ζωγράφος ὤν. Ἐς τὸν κύφωνα. κύφων ὁ ξύλινος δεσμός. ἐν ᾧ δεσμεύονται οἱ ἐν τῇ φρουρᾷ. ὃν καὶ κυφῶνα περισπωμένως λέγουσι. τινὲς δὲ κύριόν φασιν ὄνομα τὸν κύφωνα πτωχοῦ τινος. οἱ δὲ κρημνὸν οὕτω καλούμενον. Ἀλλ' οὐ μέλλειν. ἀλλ' οὐ χρή σε φησὶ βραδύνειν, ἀλλ' ἐπείγεσθαι εἰς ὄλεθρον.

Ἀλλ' ἀΰειν.

ὃς καὶ ἀνάδεσμη λέγεται. ἔχει δὲ ἀπεναντίον πρὸς τὸ ἀναδεῖν· τὸ ὑποδεῖν. ἐξ οὗ καὶ τὸ ὑπόδημα. τὸ μέντοι διάδημα ἐπὶ κόσμου βασιλικοῦ τοῦ περιδουμένου δι' ὅλου σώματος. Ζητεῖς αὐτῷ περιάψαι, ἴσον ἐστὶ τῷ προσάψαι· λέγεται δὲ τὸ αὐτὸ καὶ ἀνάψαι, ὡς παρ' Ὁμήρῳ ἐν τῷ, ἐθέλεις δέ κε μῶμον ἀνάψαι. ἔστι δέ τι καὶ ἄλλο σημαινόμενον τοῦ περιάπτω ἐξ οὗ τὰ γοητευτικὰ περίαπτα. δηλοῖ δὲ ἀπαιώρησίν τινα ἡ λέξις. ὅθεν καὶ τὰ ῥηθέντα περίαπτα. ὧν ἀπαιωρουμένων τοῦ σώματος δοκοῦσιν οἱ φαῦλοι δυ

Πε. πολὺ τῆς πενίας πρᾶγμ' αἴσχιον ζητεῖς αὐτῷ περιάψαι.
εἰ πλούσιος ὤν, ἀνελεύθερος ἔσθ' οὑτωσὶ καὶ φιλοκερδής.
Χρ. ἀλλὰ σέ γ' ὁ Ζεὺς ἐξολέσειε, κοτίνου στεφάνῳ στεφανώσας.
Πε. τὸ γὰρ ἀντιλέγειν τολμᾶν ὑμᾶς ὡς οὐ πάντ' ἔστ' ἀγάθ' ὑμῖν
διὰ τὴν πενίαν; Χρ. παρὰ τῆς Ἑκάτης ἔξεστιν τοῦτο πυθέσθαι
εἴτε τὸ πλουτεῖν εἴτε τὸ πεινῆν βέλτιον. φησὶ γὰρ αὕτη,
τοὺς μὲν ἔχοντας καὶ πλουτοῦντας, δεῖπνον κατὰ μῆνα προπέμπειν.
τοὺς δὲ πένητας τῶν ἀνθρώπων ἁρπάζειν πρὶν καταθεῖναι.

ἔχειν τοῦ ζῆν δι' αὐτά· ὡς εἶναι μᾶλλον αὐτοὺς ἀπαιωρουμένους τῶν τοιούτων. οἷς ἐλπίζουσιν ἐπ' αὐτά. ὁ δὲ ἀνελεύθερος κακίᾳ παρωνόμασται τῇ ἀνελευθεριότητι. ἔστι δὲ κατ' ἀρετὴν μὲν ἄριστος ὁ ἐλεύθερος· ὃς ἀντιθέτως τῷ φειδωλῷ, δαπανᾷ δεόντως. ἀνελεύθερος δὲ ὁ μὴ τοιοῦτος· ἀλλὰ κατὰ τοὺς κίμβικας καὶ σκνιφοὺς διακείμενος. ὁ δὲ φιλοκερδής, εἰς ταυτὸν ἥκει τῷ ἀνελευθέρῳ. εἰκὸς γὰρ τὸν φιλοκερδῆ καὶ σμικρολόγον εἶναι εἴτ' οὖν ἀνελεύθερον. τὸ δὲ κοτίνου στεφάνῳ στεφανώσας, παιγνιωδῶς διαπολογεῖται. κεῖται γὰρ καὶ ἀνωτέρω. ἔθος δὲ τῷ κωμικῷ πολλαχοῦ διαπολογεῖν ἐπὶ γέλωτι. Ἀλλὰ σέ γ' ὁ Ζεύς. τοῦτο εἴρηκεν ὁ Χρεμύλος ἀποστομωθεὶς παρὰ τῆς πενίας. καὶ μὴ δυνάμενος ἀντιλέγειν εἰς κατάρας τὸν λόγον ἔτρεψε. Τὸ γὰρ ἀντιλέγειν. ὅτι σχῆμα κεῖται καινὸν ἐλλειπτικὸν ἐνταῦθα τόδε. τὸ γὰρ λέγειν τολμᾶν ὑμᾶς ὡς οὐ πάντ' ἐστὶ τἀγαθ' ὑμῖν διὰ τὴν πενίαν. λείπει γὰρ φανερῶς ἐνταῦθα, ἔννοιά τις ἀκεραία τοιαύτη. τίς ἂν ἀκούων ἀνάσχοιτο. ἤ, πῶς οὐκ ἂν εἴη φορτικόν. ἢ πῶς οὐκ ἀντιλέγοιτο. ἢ τοιοῦτόν τι. ἵνα λέγῃ ἡ πενία ὅτι τὸ γὰρ τολμᾶν ὑμᾶς λέγειν ὡς οὐ δι' ἐμὲ ὑμῖν τὰ ἀγαθά, πῶς ἂν εἴη φορητὸν ἀκούεσθαι. καὶ σημείωσαι τὸ τοιοῦτον εἶδος τῆς ἐλλείψεως ἐνδεικτικὸν ὂν θυμικοῦ ἤθους καὶ ἐγκοπτομένης τῆς τελείας φράσεως διὰ τὸ πολὺ τῆς ὀργῆς. ἄλλως· αὕτη ἡ κατασκευὴ πρὸς τὸν τοῦ Χρεμύλου λόγον ἐστίν· ὡς ἀπὸ τῆς πενίας αὐτῆς λεγούσης, ὅτι οὐδὲν δυσχεραίνειν πρὸς τοὺς ἐμοὺς λόγους· δεινὸν γὰρ τὸ τολμᾶν ὑμᾶς ἀντιλέγειν ἐμοὶ ὡς οὐ πάντ' ἐστὶ τἀγαθὰ ὑμῖν διὰ τὴν πενίαν. ἡ γὰρ ἀντιλογία ὑμῶν, εἰς τούτους ὑμᾶς τοὺς ἀσεβεῖς λόγους καὶ ἄκοντας ὤθησεν. ἀσεβὲς γάρ ἐστι τὸ λέγειν τὸν Δία φαῦλον καὶ τὰ τούτῳ ἑπόμενα. Παρὰ τῆς Ἑκάτης ἔξεστι. τὴν Ἑκάτην ἐν ταῖς τριόδοις ἐτίμων οἱ παλαιοί, διὰ τὸ τὴν αὐτὴν σελήνην καὶ Ἄρτεμιν καὶ Ἑκάτην καλεῖσθαι. κατὰ δὲ νουμηνίαν οἱ πλούσιοι, δεῖπνον ἑσπέρας ὡς θυσίαν τῇ Ἑκάτῃ προσάγοντες ἐπὶ ταῖς τριόδοις ἐτίθουν· οἱ δὲ πένητες ἤρχοντο πεινῶντες καὶ ἤσθιον αὐτά, καὶ ἔλεγον ὅτι ἡ Ἑκάτη ἔφαγεν αὐτά. λείπει δὲ παρὰ τῆς Ἑκάτης μάθωμεν τῆς ἐπισταμένης τί καλόν, πενία, ἢ πλοῦτος. αὕτη γὰρ

καλλιστέφανος. ταύτης δὲ ἔμπαλιν τὰ φύλλα, ταῖς λοιπαῖς ἐλαίαις πέφυκεν. ἀφίησί τε τοὺς πτόρθους ὡς περ ἡ μύρτος, εἰς τοὺς στεφάνους συμμέτρους. ἀπὸ ταύτης λαβὼν ἡρακλῆς ἐφύτευσεν ὀλυμπίασιν. ἀφ' ἧς οἱ στέφανοι τοῖς ἀθληταῖς δίδονται. ἔστι δὲ αὕτη περὶ τὸν ἰλισσὸν ποταμόν. σταδίους ξ' τοῦ ποταμοῦ ἀπέχουσα. περιῳκοδόμηται δὲ, καὶ ζημία μεγάλη τῷ θίγοντι αὐτῆς ἐστιν ἀπὸ ταύτης ἔφερον λαβόντες ἠλεῖοι τῶν ἀθλητῶν ἐν ὀλυμπίᾳ τοὺς στεφάνους. τῷ δὲ κωμικῷ φασὶν ἥρμοσεν ἐκ φαυλίζοντι τὸ πρᾶγμα, λέγειν ὡς ἐκκοτίνου ἐστεφανοῦντο. ὃ δηλοῖ

Χρ. οὐκοῦν τούτῳ δή που δηλοῖ, τιμῶν τὸν πλοῦτον ἐκεῖνος.
φειδόμενος γὰρ καὶ βουλόμενος τούτου μηδὲν δαπανᾶσθαι
λήροις ἀναδῶν τοὺς νικῶντας, τὸν πλοῦτον ἐᾷ παρ' ἑαυτῷ.

τὴν ἀγριέλαιον καὶ ἅμα διότι καὶ χρήσιμος αὐτῷ ἡ λέξις ἐν τοῖς ἑξῆς. καταῤῥητορεύσει γὰρ ὁ χρεμύλος καὶ ἡ πληθεὶς ἐρεῖ. ἀλλ' ἄσ' ὁ ζεὺς ἐξολέσειε κοτίνου στεφάνῳ στεφανώσας. τουτέστι κότου σοι θέμενος περὶ τὴν κεφαλήν. παρῆκται γὰρ ὁ κότινος τῷ κότῳ διὸ οὗ δηλοῦται μεγάλη ὀργή. ἀπὸ δὲ τοῦ τοιούτου κοτίνου τοῦ φυτοῦ δηλαδὴ, καὶ νῆσος κοτινοῦσα τὰ γάδειρα, διὰ τὸ τοιούτοις ἐνδυθηνεῖσθαι φυτοῖς. ὡς καὶ ὁ περιηγητὴς δηλοῖ. ὡς δὲ καὶ ἕτεροι τόποι ἀπὸ φυτῶν τὴν κλῆσιν ἔχον, τιθρύλλητο καὶ αὐτό. μυῤῥινοῦς γοῦν δῆμος ἐν ἀττικῇ μυῤῥίνας ἔχων. ὅθεν αὐτὸς μυῤῥινόεις καὶ κατὰ συναίρεσιν μυῤῥινοῦς. ὡς περ ἕτερος ῥαμνοῦς. ἀπὸ τῶν ἐκεῖ φυομένων ῥάμνων ὧν οἱ δημόται μυῤῥινούσιος καὶ ῥαμνούσιος καὶ ἡ ἐρικοῦσα λέγεται διὰ τὰς ἐν αὐτῇ ἐρείκας. καὶ ἡ ποντικὴ δὲ κερασοῦς ἀπὸ τῶν φυτῶν τῶν κεράσων κέκληται. καὶ πιτυοῦσα ἡ μίλητός ποτε διὰ τὸ πολλὰς ἔχειν πίτυας ἐκλήθη. οὕτω καί τις πιτυούσιος ἀπὸ τόπου ἑτέρου πολλὰς ἔχοντος πίτυας, ἐξ ὧν ἐκεῖνος καὶ παρωνόμασται. τὸ δ' αὐτὸ καὶ ἄλλοι τόποι πεπόνθασιν. ἰστέον δὲ ὡς εἰ καὶ κρατεῖ παρὰ τοῖς ἀπειροτέροις κότινον στέφανον εἶναι, ἀλλ' αὐτὸς μὲν φυτὸν ὡς ἐῤῥέθη κλητῶς ἐστιν. ὁ δὲ κωμικὸς ἐδήλωσεν εὐτελὲς καὶ σαφὲς εἶναι τὸ μὴ κότινον, τὸ τοιοῦτον λέγεσθαι στέφανον. ἀλλ' ἐκκοτίνου στέφανον. οὕτω δὲ καὶ ταινία οὐχ ἁπλῶς οὕτω στέφανος ἀλλ' ἡ ἐκ ταινίας περιείλησις ἐν τῇ κεφαλῇ. ταινία δὲ, στενόν τι καὶ ἐπίμηκες ὕφασμα. κοινότερον δὲ εἰπεῖν φασκία. Λήροις ἀναδῶν. εὐτελίζει τὸν ὀλυμπιακὸν στέφανον. ὡς μὴ σπουδαῖον. λῆρον δέ πως ὄντα καὶ οἷον ἐκφλυαρίζεσθαι καθά τις ἔφη τῶν παλαιῶν τουτέστι περιφρονεῖσθαι. εἰσὶ δὲ οἱ καὶ παίζειν φασὶ τὸν κωμικὸν πρὸς ὁμοιότητα ἦχου τοῦ κατά τι τὸν λῆρον τὸν διὰ τοῦ η γραφόμενον καὶ τὸ παρὰ τὸ λείριον ὃ γράφεται μὲν διὰ διφθόγγου κατὰ τὴν ἀρχουσαν σημαίνει δέ τι ἄνθος ἀφ' οὗ καὶ φωνὴ λειριόεσσα ἡ αἰθηρά. καὶ κύριον, ποδαλείριος. οἱονεὶ αἰθηρότερος ἢ διατρίβων ἰατρικῶς περὶ τὰ λείρια. περὶ οὗ καὶ ἐν τῇ ἰλιάδι. ἵνα ἐν τῷ λέγειν λήροις ἀναδῶν τοὺς νικῶντας, δοκῇ διχῶς νοεῖν. ἢ ὅτι αἰθηρῷ στεφάνῳ στεφανοῖ. ὡς οἷον λειριόεντι ἢ ὅτι λήρῳ τῷ κατὰ φλυαρίαν. τοιοῦτόν τι παίζει καὶ περὶ κειρύλου ἐν ὄρνισι. ἔνθα καὶ διὰ τοῦ η νοεῖται ἡ λέξις ὡς ἐπὶ ὄρνιθος οὕτω λεγομένου. καὶ διὰ διφθόγγου δὲ διά τινα κουρέα ὡς ἀπὸ τοῦ κείρω. τὸ δὲ ἀναδεῖν, ταυτόν ἐστιν ἐνταῦθα τῷ στεφανοῦν. ἐξ οὗ καὶ ἀνάδετος γυναικεῖος κόσμος.

A γὰρ οὐχ ἧττον. ὅμως φησὶν εἰ καὶ ἀληθεύεις μὴ μέγα φρονήσῃς. οὐδὲν γὰρ ἧττον ταῦτα πείσῃ. κομήσῃς δὲ ἀντὶ τοῦ ὑπερηφανήσῃς. παρὰ τοὺς κομῶντας ἢ ἀπὸ μεταφορᾶς τῶν δένδρων, ἃ τὴν κόμην ὑψοῦ ἔχουσι. τοιοῦτοι δὲ καὶ οἱ ὑπέρφρονες ὑψοῦ τὴν γνώμην αἴροντες. τοῦτο δὲ διὰ μέσου εἴρηται καὶ ἔστι τὸ ὅτι ζητεῖς τὸ πρὸς τὸ κλαύσει. Καὶ πτερυγίζεις. κοῦφα καὶ μάταια διαλέγῃ. ἀπὸ τῶν νεοσσῶν. ἃ πειράζουσι μὲν τὰς πτέρυγας. ἵπτασθαι δὲ οὐ δύνανται. οὕτω καὶ σὺ θέλεις μὲν εἰπεῖν καὶ πειράζεις. οὐδὲν δὲ αἰνεῖς. ἄλλως ἀλλὰ φλυαρεῖς διὰ λόγων. τὸ γὰρ πτερὸν ἠχῶδες καὶ θορυβητικόν. ἢ κοῦφα λαλεῖς. ἢ ματαιοπτερεῖς. ἀπὸ μεταφορᾶς τῶν ὀρνέων τῶν μὴ δυναμένων πέτεσθαι διὰ τὸ βραχὺ τῆς ἡλικίας. ἄλλως. ἀντὶ τοῦ πειράζεις πολλὰς ἀνηνύτους ὁρμάς. καθάπερ

ἀτὰρ οὐχ ἧττόν γ' οὐδὲν κλαύσει. μηδὲν ταύτῃ γε κομήσῃς
ὅτι γε ζητεῖς τοῦτ' ἀναπείσειν ἡμᾶς, ὡς ἔστιν ἀμείνων
πενία πλούτου. πε. καὶ σύ γ' ἐλέγξαι μ' οὔπω δύνασαι περὶ τούτου,
ἀλλὰ φλυαρεῖς καὶ πτερυγίζεις. χρ. καὶ πῶς φεύγουσί σ' ἅπαντες.
πε ὅτι βελτίους αὐτοὺς ποιῶ. σκέψασθαι δ' ἔστι μάλιστα
ἀπὸ τῶν παίδων. τοὺς γὰρ πατέρας φεύγουσι, φρονοῦντας ἄριστα
αὐτοῖς. οὕτω διαγιγνώσκειν χαλεπὸν πρᾶγμ' ἐστὶ, δίκαιον.
χρ τὸν δία φήσεις ἆρ' οὐκ ὀρθῶς διαγιγνώσκειν τὸ κράτιστον;
κἀκεῖνος γὰρ τὸν πλοῦτον ἔχει. ταύτην δ' ἡμῖν ἀποπέμπει.
πε ἀλλ' ὦ κρονικαῖς γνώμαις ὄντως λημῶντες τὰς φρένας ἄμφω.
ὁ ζεὺς δήπου πένεται. καὶ τοῦτ' ἤδη φανερῶς σε διδάξω.
εἰ γὰρ ἐπλούτει, πῶς ποιῶν αὐτὸς τὸν ὀλυμπικὸν ἀγῶνα,
ἵνα τοὺς ἕλληνας ἅπαντας ἀεὶ δι' ἔτους πέμπτου ξυναγείρει,
ἀνεκήρυττεν τῶν ἀθλητῶν τοὺς νικῶντας, στεφανώσας
κοτίνῳ στεφάνῳ. καί τοι χρυσῷ μᾶλλον ἐχρῆν, εἴπερ ἐπλούτει.

καὶ οἱ νεοττοὶ πειράζοντες τὴν πτέρυγα καὶ γυμνάζοντες ἀπέρακτον ἔχουσι τὴν τῆς πτήσεως φοράν. Ἀπὸ τῶν παίδων. δυσχερές ἐστι μαθεῖν τὸ δίκαιον. εἴγε καὶ οἱ παῖδες διὰ τοῦτο μισοῦσι τοὺς πατέρας. Τὸν δία φήσεις. τὸ μὲν φήσεις λέγεται πρὸς τὴν πενίαν. τὸ δὲ ταύτην δ' ἡμῖν ἀποπέμπει πρὸς τὸν βλεψίδημον. ἢ καὶ φήσεις πρὸς τὸν βλεψίδημον ἤγουν εἴποις κατὰ τὸν αὐτῆς λόγον. Ἀλλ' ὦ κρονικαῖς γνώμαις. ἤγουν ἀρχαίαις μωρίαις ἐσκοτισμένοι τὸ φρονεῖν, παροιμία δέ ἐστιν ἐπὶ τῶν ἀμβλυωπούντων. ἥτις εἴρηται καὶ ἐν νεφέλαις. ἀντὶ δὲ τοῦ γνώμαις, γράφεται λήμαις. λήμη δέ ἐστι τὸ πεπηγὸς δάκρυον. ὅπερ ἐπικαθεζόμενον βλάπτει τοὺς ὀφθαλμούς. τὸ γὰρ τῶν γερόντων δάκρυον παχὺ ὄν, λήμας μεγάλας ποιεῖ. σημαίνει οὖν τὸ τετυφλωμένοι τὰς φρένας, ὥσπερ οἱ τὰς λήμας ἔχοντες τῶν ὀφθαλμῶν ἐμποδίζονται τὰς ὄψεις. Κοτίνου στεφάνῳ. κοτίνου στεφάνῳ στεφανώσας ἀνεκήρυττε τοὺς νικῶντας. οὐ κοτίνῳ δὲ ἐστέφοντο. ἀλλὰ τῷ τῆς καλλιστεφάνου ἐλαίας κλάδῳ ἐστεφανοῦντο. οὐκ ἀκριβῶς οὖν. καλλιστέφανος γὰρ ἡ ἐλαία λέγεται. ταύτης δὲ τὰ φύλλα ἔμπαλιν ταῖς λοιπαῖς ἐλαίαις. ἔξω γὰρ ἀλλ' οὐκ ἐντὸς ἔχει τὰ λευκά. τούτῳ δὲ ἥρμοττεν ἐκφαυλίζοντι, λέγειν κοτίνου. καὶ ἀριστοτέλης δὲ οὕτω φησὶ κατὰ λέξιν περὶ αὐτῆς, ἐν τῷ Πανθείῳ ἐστὶν ἐλαία. καλεῖται δὲ

Σφηκώδεις λεπτοὶ κατὰ τὸ μέσον ὡς σφῆκες. ἢ πικροὶ ἐπεὶ καὶ τὸ ζῶον πικρόν ἐστι σφόδρα. ἅμα μὲν ὅτι καὶ δριμύτεροι. ἅμα δὲ ὅτι καὶ ἰσχνότεροι γίνονται οἱ λιμώττοντες, ὡς σφῆκες. ἄλλως σκληροὶ ἢ λεπτοί. μάλιστα τὰ κάτω τῶν γαστρῶν διὰ τὸ γοργὸν καὶ εὐκίνητον. τοιοῦτοι γὰρ οἱ σφῆκες τὸ μέσον. Τοῖς ἐχθροῖς ἀνιαροί. ὁ γὰρ ταῖς σαρξὶ μὴ βαρυνόμενος, ἀλλὰ κούφως ἔχων τοῦ σώματος ῥᾷστ' ἂν καὶ πρὸς τοὺς ἐχθροὺς ἀντιπαρατάξηται. τοιοῦτοι δὲ οἱ πένητες διὰ τὸ μὴ εὐπαρκεῖν ἀπορίᾳ τροφῶν.

ΧΡ. ὑπὸ τοῦ λιμοῦ γὰρ ἴσως αὐτοῖς τὸ σφηκῶδες σὺ πορίζεις.
ΠΕ. περὶ σωφροσύνης ἤδη τοίνυν περανῶ σφῷν. κἀναδιδάξω
ὅτι κοσμιότης οἰκεῖ μετ' ἐμοῦ. τοῦ πλούτου δ' ἐστὶν ὑβρίζειν.
ΧΡ. πάνυ γοῦν κλέπτειν κόσμιόν ἐστιν καὶ τοὺς τοίχους διορύττειν;
ΒΛ. νὴ τὸν δί' εἴγε δεῖ λαθεῖν αὐτόν, πῶς οὐχὶ κόσμιόν ἐστι.
ΠΕ. σκέψαι τοίνυν γ' ἐν ταῖς πόλεσι τοὺς ῥήτορας. ὡς ὁπόταν μὲν
ὦσι πένητες, περὶ τὸν δῆμον καὶ τὴν πόλιν εἰσὶ δίκαιοι.
πλουτήσαντες δ' ἀπὸ τῶν κοινῶν, παραχρῆμ' ἄδικοι γεγένηνται.
ἐπιβουλεύουσί τε τῷ πλήθει, καὶ τῷ δήμῳ πολεμοῦσιν.
ΧΡ. ἀλλ' οὐ ψεύδει τούτων γ' οὐδὲν καίπερ σφόδρα βάσκανος οὖσα.

Περὶ σωφροσύνης ἤδη καταλέξασα τὰ ἀγαθὰ ἃ δι' αὐτὴν ἀνθρώποις γίνονται, νῦν βούλεται, ἀποδεῖξαι, ὅτι καὶ σωφροσύνης αἰτία ἐστίν, ὡσπερ ὁ πλοῦτος αὖ τοὐναντίον. εἰκότως δὲ εἶπε τὸ ἀναδιδάξω. καὶ γὰρ ὅτε γαστρώδεις ἔλεγε τοὺς ἀνθρώπους ἐκ τοῦ πλούτου γίνεσθαι. καὶ ἀσελγεῖς ἔλεγεν. οἱ γὰρ πλεῖστα ἐσθίοντες καὶ πρὸς τοῦτο κατάφοροί εἰσιν. Συμπεραίνω τὸ συλλογίζομαι ἀφ' οὗ καὶ συμπέρασμα παρὰ φιλοσόφοις, τὸ ἐκ τῶν προτάσεων συναγόμενον τὸ γὰρ κύριον μέρος τοῦ συλλογισμοῦ οὐδὲν ἐστιν ἕτερον ἄλλο ἢ τὸ συμπέρασμα σύγκειται γὰρ ὁ συλλογισμὸς ἐκ δύο προτάσεων καὶ συμπεράσματος καὶ ἔστι τὸ συμπέρασμα ἀπόδειξις τοῦ ζητουμένου. ἀντὶ ῥητῶς ἡ πενία γοῦν καταλέξασα τὰ ἀγαθὰ ἃ δι' αὐτὴν ἀνθρώποις γίνεται νῦν βούλεται ἀποδεῖξαι ὅτι καὶ σωφροσύνης αἰτία ἐστίν, ὡσπερ ὁ πλοῦτος τοὐναντίον, εἰκότως δὲ εἶπε τὸ ἀναδιδάξω καὶ γὰρ ὅτε γαστρώδεις ἔλεγε τοὺς ἀνθρώπους ἤγουν ἀσελγεῖς ὑπὸ τοῦ πλούτου ἔλεγε γίνεσθαι οἱ γὰρ πλεῖστα ἐσθίοντες καὶ εἰς τοῦτο κατάφοροι. Πάνυ γοῦν. ἐν εἰρωνείᾳ. ἐπεὶ οἱ πένητες κλέπτουσι διὰ ἀπορίαν. Πῶς οὐχὶ κόσμιον. τὸ πειρᾶσθαι λαθεῖν. τοῦτο δὲ ὁ ἕτερος πρεσβύτης λέγει πειράζων καὶ χλευάζων ἢ ὅτι τὸ παλαιὸν οὐ διεβέβλητο ἡ κλοπὴ εἰ μὴ φωραθεὶς κλέπτης ὑπῆρχεν. ἄλλως. εἴγε ὁ κλέπτης λανθάνει ψυχρὸν δὲ τὸ ἐνθύμημα. Ἐπιβουλεύουσί τε. διαβάλλει τοὺς ῥήτορας ὡς δῶρα λαμβάνοντας παρὰ τῶν πολεμίων ἀσύμφορα τῇ πόλει συμβουλεύουσιν οὐκ ἐῶντας αὐτήν. τούτους ἀμύνασθαι. Καίπερ σφόδρα. συνάγει διισχυριζόμενος τὸ κατὰ τῶν ῥητόρων πρᾶγμα διασύρειν. τὸ δὲ βάσκανος ἅπως ἐπὶ λοιδορίᾳ τεθέασιν.

κας, καὶ διότι κατέλυσε τὴν τῶν λ΄ τυραννίδα. εὔπορος γὰρ ὢν καὶ ἐξ αὐτῶν ἐκπεσών, μετὰ ταῦτα φυλὴν καταλαβών, καθεῖλεν αὐτούς. ἄλλως. μή ποτε ἀξιωματικὸς καὶ αὐθάδης. ὡς στράτις ἐν τῷ κινησίᾳ. διονύσιος δὲ ὁ μέν τις φαίνεται μαινόμενος. ὁ δὲ ὡς ἔοικεν ἰχθυοπώλος. μή ποτε δὲ καὶ ἐπὶ τὴν ὄψιν περισκώπτει ὡς ὁμοιοῦντων σφόδρα ἀνομοίως, μᾶλλον δὲ ἄν τις ὑπονοήσειεν ἕτερον διονύσιον θρασυβούλου τοῦ κωλυττέως ἀδελφὸν ἔπιστα συγγενείας εἶναι. καὶ ἐν τῇ ἰλιάδι σαφέστερον οἶδεν ἢ κατὰ δίδυμον. ὡς εἴ τις λέγοι διονύσιον τὸν ἐξώλη τύραννον ἐοικέναι θρασυβούλῳ τῷ λύκου, ἀνδρὶ φιλοπόλιδι καὶ παντὸς κρείττονι λόγου. διότι κατέλυσε τὴν τῶν λ΄ τυραννίδα. ἄλλως. οἱ λακεδαιμόνιοι κρατήσαντες

πτωχοῦ μὲν γὰρ βίος ὃν σὺ λέγεις, ζῆν ἐστι μηδὲν ἔχοντα.
τοῦ δὲ πένητος, ζῆν φειδόμενον, καὶ τοῖς ἔργοις προσέχοντα.
περιγίγνεσθαι δ' αὐτῷ μηδέν, μὴ μέντοι μηδ' ἐπιλείπειν.
Χρ. ὡς μακαρίτην, ὦ δάματερ, τὸν βίον αὐτοῦ κατέλεξας,
εἰ φεισάμενος καὶ μοχθήσας, καταλείψει μηδὲ ταφῆναι.
Πε. σκώπτειν πειρᾷ καὶ κωμῳδεῖν, τοῦ σπουδάζειν ἀμελήσας,
οὐ γιγνώσκων, ὅτι τοῦ πλούτου παρέχω βελτίονας ἄνδρας
καὶ τὴν γνώμην καὶ τὴν ἰδέαν. παρ' αὐτῷ μὲν γὰρ ποδαλγοῦντες,
καὶ γαστρώδεις. καὶ παχύκνημοι. καὶ πίονές εἰσιν ἀσελγῶς.
παρ' ἐμοὶ δ' ἰσχνοί, καὶ σφηκώδεις, καὶ τοῖς ἐχθροῖς ἀνιαροί.

τῶν ἀθηναίων ἔπαξαν λ΄ τυράννους ἀπὸ τῆς πόλεως ἐν ἀθήναις διατρίβειν. ὁ οὖν θρασύβουλος ἐραστὴς ὢν τῆς δημοκρατίας κατέλαβε φυλὴν τῆς ἀττικῆς μετά τινων ἄλλων. μεθ' ἧς κατέλυσε τοὺς λ΄. διονύσιος δὲ τύραννος ὠμὸς ἐν σικελίᾳ. ἄλλως. ὁ μὲν διονύσιος, ἐμμανής. ὁ δὲ θρασύβουλος αἴδους. ἢ διονύσιος, τύραννος. ὁ δὲ θρασύβουλος ἁπλῆς καὶ πένης πλὴν θρασύς. ἄλλως. ἡ πενία φησὶν ἐν τῷ πρὸς τὸν χρεμύλον ὅτι τὰ μὴ ὅμοια ὅμοια λέγεις εἶναι ὥσπερ ἂν εἰ τὸν σικελίας τύραννον διονύσιον ὅμοιον εἶναι τῷ θρασυβούλῳ ἀνδρὶ χρηστῷ καὶ κοσμίῳ. Περιγίνεσθαι δ' αὐτῷ. περιγίνεσθαι σημαίνει μὲν καὶ τὸ νικᾶν. σημαίνει δὲ καὶ τὸ περιττεύειν ὡς ἐνταῦθα. Ὡς μακαρίτην ὦ δάματερ. ὅτι ἀήθως καὶ ἀσυνήθως κατεχρήσατο ἀντὶ τοῦ μακάριον εἰ μὴ ἄρα παίζει. οἷον νεκρόβιον. ἄλλως. ὥσπερ εἰώθασιν ἕλληνες ἐπειδάν τι παράδοξον ἀκούσωσι σχετλιάζειν καὶ βοᾶν ἡράκλεις. ἢ ἄπολλον. ἢ ὦ ζεῦ, οὕτω καὶ οὗτος ἀκούσας τῆς πενίας τοιαῦτα λεγούσης, ὥσπερ σχετλιάζων βοᾷ, ὦ δάματερ. εἰκότως δὲ πρὸς τὴν γῆν ποιεῖται τὸν λόγον ὡς γεωργός. Ποδαγρῶντες. τοιοῦτοι γὰρ οἱ πλούσιοι γίνονται ὑπὸ τῆς τρυφῆς ὅπερ ἀσελγείας καὶ φαυλότητος δηλωτικόν ἐστι. γράφεται δὲ καὶ ποδαλγοῦντες. καὶ ποδαγρῶντες ὅτι καὶ αὐτὸ τὸ πάθος. καὶ ποδάγρα λέγεται καὶ ποδαλγία.

152. — Ἀντὶ δὲ θράνους. θρᾶνος, ὑποπόδιον. ὃ καὶ θρῆνυς ἴσως παρὰ τῷ ποιητῇ. καὶ νηὸς θρά-
νος. ἔνθεν καὶ θρανίτης ὑποκοριστικῶς ὡς πολίχνης. ἐτυμολογεῖται δὲ παρὰ τὸ θο-
ρεῖν ἄνω, ἢ παρὰ τὸ θρῆναι ὅ ἐστι καθῆσαι. τὸ δὲ στάμνου, δοκεῖ ἀρσενικῶς εἰρῆσθαι
ὡς δηλοῖ τὸ, κατεαγότος οὗ τὸ θέμα ἄγω τὸ κλῶ. παρακείμενος ἦχα ὁ μέσος ἦ-
γα καὶ ἐν διαλύσει ἔαγα. ὅθεν μετοχὴ ὁ ἐαγὼς καὶ τὰ ἐξ αὐτοῦ. ὅρα δὲ ὅτι
στάμνου κεφαλὴν λέγει μεταφορικῶς τὸ ἄνω, πρὸς τῷ στόματι. οὕτω δὲ καὶ πι-
θάκνης

πλευρὰ τὸ
ταύτης
ἀγγείου·
εἰ δὲ στάμ-
νου κεφα-
λὴν λέξει,
εἶναι αὐ-
τὸ σύμ-
φωνον ἐστὶ,
πίθου κρή-

ἀντὶ δὲ θράνους, στάμνου κεφαλὴν κατεαγότος. ἀντὶ δὲ μάκτρας,
πιθάκνης πλευρὰν ἐρρωγυῖαν καὶ ταύτην. ἆρά γε πολλῶν
ἀγαθῶν πᾶσι τοῖς ἀνθρώποις ἀποφαίνω σ' αἰτίαν οὖσαν;
ΠΕ. σὺ μὲν οὐ τὸν ἐμὸν βίον εἴρηκας. τὸν πτωχῶν δ' ὑπεκρούσω.
ΧΡ. οὐκοῦν δήπου τῆς πτωχείας πενίαν φαμὲν εἶναι ἀδελφήν.
ΠΕ. ὑμεῖς γ' οἵπερ καὶ θρασυβούλῳ διονύσιον φάθ' ὅμοιον.
ἀλλ' οὐχ οὑμὸς τοῦτο πέπονθε βίος· οὐ μὰ δί' οὐδέ γε μέλλει.

δεμνον παρὰ τῷ ποιητῇ. κεφαλῆς γὰρ φόρημα τὸ κρήδεμνον. ὅτι δὲ ἀπὸ τῆς
στάμνου ἢ τοῦ στάμνου καὶ ζεῦς λέγεται στάμνιος, δηλώσει που καὶ ὁ κωμικός. τι-
νὰ δὲ τῶν ἀντιγράφων, ἀντὶ στάμνου κεραμίου γράφεται. Ἀντὶ δὲ μάκτρας. μά-
κτρα κατὰ τοὺς παλαιοὺς θυεία ἐπιμήκης ἐν ᾗ μάττουσι τὰ ἄλευρα, ὅθεν καὶ γί-
νεται. παρὰ τὸ μάσσω γὰρ ἡ μάκτρα. ὅθεν καὶ μεμαγμένου προσέχηται. καὶ ἡ μᾶ-
ζα γίνεται. πενίας δὲ πάντως δῶρον καὶ ἡ τοιαύτη μάκτρα ἡ ἐκ πιθάκνης καὶ οὐδὲ
αὐτῆς διόλου σώας οὔσης, ἀλλὰ διερρωγυίας τὴν πλευρὰν ἐν ᾗ τὸ μάγμα γίνεται.
ὑποκοριστικῶς δὲ λέγεται ἡ πιθάκνη. κατὰ τὸ, πολίχνη. ὅρα δ' ἐν τοῖς προεκτιθει-
μένοις καὶ σχῆμα κάλλους ἐπαναφορικὸν διὰ τῆς ἀντὶ προθέσεως, τοιοῦτον γὰρ
τὸ ἀνθ' ἱματίου ἀντὶ τάπητος. ἀντὶ προσκεφαλαίου. ἀντὶ ἄρτου. ἀντὶ μάζης. ἀντὶ
θράνους. ἀντὶ μάκτρας ἔχει δ' ἔτι καὶ ἐπιμονῆς τὸ τοιοῦτον σχῆμα. ἀστείως δὲ ὁ χρε-
μύλος καὶ πρὸς τὴν κλίνην ἣν ἡ πενία εἶπε καὶ τοὺς τάπητας καὶ τὰ μύρα καὶ
τὰ νυμφικὰ ἱμάτια, τὴν ῥιθεῖσαν στιβάδα καὶ τὸν φορμὸν ἀντίθετο καὶ τοὺς κα-
κῶς ὀδῶσδύτας κόρις καὶ τὸ ῥάκος. προσθεὶς τὰ λοιπὰ ἐπέκεινα εἰς ἐπαύξησιν
τῶν τῆς πενίας κακῶν. Ὑπεκρούσω. ἐφθέγξω ἀνεκρούσω. ἀπὸ μεταφορᾶς τῶν
κιθάρων ἤ τινος ἄλλου τοιούτου ὀργάνου. διενήνοχε δὲ πτωχεία πενίας. ὅτι ἡ μὲν
πενία, μεμετρημένη ἐστὶν ἔνδεια πόνῳ τὰ χρειώδη θηρῶσα. παρὰ δὲ τὸ πένεσθαι ὅ
ἐστιν ἐνεργεῖν, εἴρηται. καὶ ἐκ τούτου πορίζειν τὰ χρειώδη. ὁ δὲ πτωχός. παρὰ τὸ
πτώσσειν πάντας. Οἵπερ καὶ θρασυβούλῳ. τὰ μὴ ὅμοιά φησιν. ὡς εἴ τις λέγει
διονύσιον τὸν ἐξώλη τύραννον, ἐοικέναι θρασυβούλῳ τῷ λύκου ἀνδρὶ φιλοπόλιδι
καὶ παντὸς κρείττονι λόγου διά τε τὰς ἐπιφανεῖς αὐτοῦ κατὰ τῶν πολεμίων δί-

Μύροισι μυρίσαι στακτοῖς. τοῖς ὑγροῖς καὶ χρησίμοις, πρὸς ἀντιδιαστολὴν τῶν ξηρῶν.
Οὔθ' ἱματίων βαπτῶν. βαπτὰ γὰρ ἱμάτια φοροῦσιν οἱ νυμφίοι, πρὸς τὸ φαίνεσθαι τεκμήριον οἶμαι τῆς βαφῆς. οὐκ ἔσται οὖν σοί φησι ποικίλα ἱμάτια ἐπὶ τῷ κοσμῆσαι τὴν νύμφην. Καίτοι τί πλέον πλουτεῖν. τίς χρεία δὲ τοῦ πλουτεῖν· ὅτι ἀπορεῖτε, ὧν χρήζετε. Πλὴν φῴδων ἐκ βαλανείου. φλυκταινῶν. ἐκ βαλανείου δὲ, διὰ τὸ τοὺς πένητας ἀποροῦντας ἐνδυμάτων, διὰ τὸ ψῦχος ἐν βαλανείοις καθεύδειν. καὶ ἐκ θέρμης ἢ ἀέρος αὐτοὺς ἐξιόντας παραχρῆμα προσβάλοντος φλυκταίνας ποιεῖν. ἀπολλόδωρος τὰ ἐκ τοῦ πυρὸς ὀρυθήματα, ἢ ἐκ ψύχους ἢ τοὺς τύλους καὶ τὰ ἐγκαύ-

οὔτε μύροισι μυρίσαι στακτοῖς, ὁπόταν νύμφην ἀγάγησθον
οὔθ' ἱματίων βαπτῶν δαπάναις κοσμῆσαι ποικιλομόρφων
καίτοι τί πλέον πλουτεῖν ἐστι, πάντων τούτων ἀποροῦντας.
παρ' ἐμοῦ δ' ἔστιν ταῦτ' εὔπορα πάνθ' ὑμῖν ὧν δεῖσθον. ἐγὼ γὰρ
τὸν χειροτέχνην ὥσπερ δέσποιν' ἐπαναγκάζουσα κάθημαι
διὰ τὴν χρείαν καὶ τὴν πενίαν, ζητεῖν ὁπόθεν βίον ἕξει.
Χρ. σὺ γὰρ ἂν πορίσαι τί δύναι' ἀγαθὸν, πλὴν φῴδων ἐκ βαλανείου,
Καὶ παιδαρίων ὑποπεινώντων, καὶ γραϊδίων κολοσυρτὸν
φθειρῶν τ' ἀριθμὸν· καὶ κωνώπων· καὶ ψυλλῶν. οὐδὲ λέγω σοι
ὑπὸ τοῦ πλήθους. αἳ βομβοῦσαι περὶ τὴν κεφαλὴν ἀνιῶσιν
ἐπεγείρουσαι καὶ φράζουσαι, πεινήσεις. ἀλλ' ἐπανίστω.
πρὸς δέ γε τούτοις, ἀνθ' ἱματίου μὲν ἔχειν ῥάκος. ἀντὶ δὲ κλίνης,
στιβάδα σχοίνων, κόρεων μεστὴν, ἣ τοὺς εὕδοντας ἐγείρει.
καὶ φορμὸν ἔχειν ἀντὶ τάπητος σαπρὸν, ἀντὶ δὲ προσκεφαλαίου
λίθον εὐμεγέθη πρὸς τῇ κεφαλῇ. σιτεῖσθαι δ' ἀντὶ μὲν ἄρτων
μαλάχης πτόρθους. ἀντὶ δὲ μάζης, φυλλεῖ' ἰσχνῶν ῥαφανίδων.

ματα τὰ ἐκ τοῦ πυρὸς, ὡς τῶν πενήτων διὰ τὸ αὐτουργεῖν τοῦτο παθόντων. τὸ δὲ πλὴν οὐκ ἐνταῦθα ἀντὶ τοῦ χωρὶς ἀλλ' ἀντὶ τοῦ εἰ μὴ πρὸς τὸ, κολοσυρτόν. ὅς ἐστιν ἦχος φρυγανίων συρομένων. Αἳ βομβοῦσαι. ἰδίως τὰς ψύλλας ἀφώνους οὔσας, βομβεῖν φησι. κωνώπων γὰρ μᾶλλον τοῦτο ἴδιον. ἐντεῦθεν παραπλανηθέντες τινὲς θηλυκῶς εἰρῆσθαι ᾠήθησαν τὰς κώνωπας. ληροῦσι δέ. ἀρσενικῶς γὰρ λέγονται, οἱ δὲ δωριεῖς, ἀρσενικῶς λέγουσι τὸν ψύλλον. θηλυκῶς δέ τινες τὴν κώνωπα κατὰ τοὺς ἀττικούς. ἠχοῦσαι φησὶν αἱ κώνωπες. καὶ γὰρ ἠχοῦσα πεποίηται. ἢ πεποίηται. οὐκ ἔστι δὲ ἀλλὰ πρὸς τὰς ψύλλας ἀπέδωκεν. ἰδίως δὲ εἶπε τὴν ψύλλαν βομβεῖν. οὐ γὰρ προΐεται φωνήν. κώνωπας δὲ λέγει τὰς ἐμπίδας.
Φορμόν. φορμὸς πᾶν πλεκτὸν, ἐνταῦθα δὲ τὸ ψίαθιον. Ἀντὶ μὲν ἄρτων. διενήνοχεν ἄρτος καὶ μᾶζα ὅτι ὁ μὲν ἄρτος πάλαι μεμάλακται. ἡ δὲ μᾶζα νῦν. μάκτρα δὲ θυεία ἐστὶ μήκης ἐν ᾗ μάττουσι τὰ ἄλευρα. Ἰσχνῶν ῥαφανίδων. ἀττικῶς ῥαφανίδα, ἣν ἡμεῖς ῥάφανον. πάλιν δὲ ῥάφανον ἣν ἡμεῖς κράμβην. εἴρηται δὲ ῥαφανὶς παρὰ τὸ ῥαδίως φαίνεσθαι. λόγος γὰρ ὡς σπειρομένη θᾶττον ἄνεισιν.

Δ Δηοῦς θερίσασθαι. ἀντὶ τοῦ γεωργοὺς ἐπιμελεῖσθαι. ἤδη τὸ ἔπος τοῦτο τῆς μέσης κωμῳδίας ὄζει. Ἐξῇ ζῆν ἀργοῖς. πρὸς τὸ ἀνώτερον· τίς ἐθελήσει τέχνην μετελθεῖν, ἐὰν ἔξεστιν ὑμῖν ἀργοῖς ζῆν τούτων ἀμελοῦσιν. ἄλλως τὸ ἐξῇ ζῆν, πρὸς τὸ ἐθελήσει τις, ἔχει τὴν δύναμιν. διότι δὲ μετὰ ταῦτα μὲν τίθεται· τὴν δὲ τῶν τεχνῶν ἀπαρίθμησιν προέταξε διὰ τοῦτο εἶπε τὸ τούτων. οἱ δὲ ἀπ᾽ ἄλλης ἀρχῆς τὸ ἢν ἐξῇ λέγοντες καὶ σκοπεῖν τι, ἔξωθεν λαμβάνοντες οὐκ ὀρθῶς οἴονται. Λῆρον ληρεῖς. ἀντὶ τοῦ κατὰ λῆρον. ἀττικὴ ἡ φράσις καὶ τὸ σχῆμα. ὡς τὸ μανίαν μαίνῃ. καὶ φυγὴν φεύγεις. καὶ ὅλως ἐφ᾽ ὧν τῷ πράγματι ἐπάγεται τὸ ἀπὸ τοῦ πράγματος ῥῆμα ὡς τὸ ὕβριν ὑβρίζεις. καὶ φυγὴν φεύγεις.

ἢ γῆς ἀρότροις ῥήξας δάπεδον, καρπὸν Δηοῦς θερίσασθαι.
ἢν ἐξῇ ζῆν ἀργοῖς ὑμῖν. τούτων πάντων ἀμελοῦσιν;
Χρ. λῆρον ληρεῖς. ταῦτα γὰρ ἡμῖν πάνθ᾽ ὅσα νυνὶ κατέλεξας,
οἱ θεράποντες μοχθήσουσι. Πε. πόθεν οὖν ἕξεις θεράποντας.
Χρ. ὠνησόμεθ᾽ ἀργυρίου δήπου. Πε. τίς δ᾽ ἔσται πρῶτον ὁ πωλῶν
ὅταν ἀργύριον κἀκεῖνος ἔχῃ. Χρ. κερδαίνειν βουλόμενός τις
ἔμπορος ἥκων ἐκ Θετταλίας παρὰ πλείστων ἀνδραποδιστῶν.
Πε. ἀλλ᾽ οὐδ᾽ ἔσται πρῶτον ἁπάντων οὐδεὶς, οὐδ᾽ ἀνδραποδιστής.
κατὰ τὸν λόγον ὃν σὺ λέγεις δήπου. τίς γὰρ πλουτῶν, ἐθελήσει
κινδυνεύων περὶ τῆς ψυχῆς τῆς αὑτοῦ τοῦτο ποιῆσαι.
ὥστ᾽ αὐτὸς ἀροῦν ἐπαναγκασθεὶς καὶ σκάπτειν τἄλλά τε μοχθεῖν
ὀδυνηρότερον τρίψεις βίοτον πολὺ τοῦ νῦν. Χρ. εἰς κεφαλήν σοι.
Πε. ἔτι δ᾽ οὐχ ἕξεις οὔτ᾽ ἐν κλίνῃ καταδαρθεῖν. οὐ γὰρ ἔσονται,
οὔτ᾽ ἐν τάπησιν. τίς γὰρ ὑφαίνειν ἐθελήσει χρυσίου γ᾽ ὄντος.

Ἔμπορος ἥκων. ἔμπορος ὁ πραγματευτὴς ἄνθρωπος. κυρίως δὲ ὁ πλέων θάλασσαν παρὰ τὸ πόρος. πόρος δὲ κυρίως ἐπὶ ὑγρῶν λέγεται. καὶ εὔπορος ὁ ἔχων ἀεὶ τὸν ἀπορρέοντα πλοῦτον ἐκ μεταφορᾶς τοῦ ὑδατικοῦ πόρου. διαβάλλονται δὲ οἱ Θετταλοί, ὡς ἀνδραποδισταὶ καὶ ἄπιστοι. ἀεὶ γὰρ τὰ Θετταλῶν ἄπιστα, ἡ παροιμία φησίν. Εὐριπίδης. πολλοὶ παρῆσαν, ἀλλ᾽ ἄπιστοι Θετταλοί. δῆλον δὲ καὶ ἀπὸ Ἰάσονος ὃς ἠνδραπόδισε τὴν Μήδειαν. ἀνδράποδον δὲ εἴρηται ὁ πούς ὁ ἐν ἀνδράσιν. ἀπὸ τοῦ ὑποκειμένου μορίου τῷ ὅλῳ. ὑπόκειται γὰρ ὁ οἰκέτης τῷ δεσπότῃ. καθάπερ ὁ πούς τῷ ὅλῳ σώματι.

Γ Παρὰ πλείστων ἀνδραποδιστῶν. καὶ αὐτὸς παρὰ ἀνδραποδιστῶν λαβών. εἴρηται δὲ ἀνδραποδιστὴς παρὰ τὸ ἄνδρας ἀποδίδοσθαι, τουτέστι πωλεῖν. ἄλλως. ἀνδραποδιστὴς οὐ μόνον τοὺς ἐλευθέρους δι᾽ ἀπάτης ἀπάγων εἰς δουλείαν, ἀλλὰ καὶ ὁ τοὺς δούλους ἀπὸ τῶν δεσποτῶν ἀποσπῶν εἰς ἑαυτὸν ἐπὶ τῷ ἀπαγαγεῖν ἀλλαχοῦ καὶ διαπωλῆσαι. διεβάλλοντο γοῦν οἱ Θετταλοὶ ὡς οὐ μόνον τούτοις χαίροντες ἀλλὰ καὶ λῃστείαις. Κινδυνεύων περὶ τῆς ψυχῆς. ψυχὴ ἡ λογικὴ καὶ ἡ ἐν τοῖς ἀλόγοις ζώοις ψυχὴ καὶ ἡ φύσις ὡς παρ᾽ Εὐριπίδει ὅστις τῆς ἐμῆς ψυχῆς γεγὼς ἤγουν τῆς ἐμῆς φύσεως. ψυχὴ καὶ ἡ ἐν τοῖς φυτοῖς καὶ ἀψύχοις ἡ ζωή. Καταδαρθεῖν. καταδαρθεῖν κοιμηθῆναι. κυρίως δὲ καταδαρθεῖν, τὸ ἐν δέρμασι κοιμηθῆναι.

ταῦθα ὁ βλεψίδημος ποιεῖ. δεδιὼς γὰρ μή ποτε ἡ πενία πρὸς τὴν τοῦ χρεμύλου ἀπαντήσῃ ἐρώτησιν, ἀποκρίνεται αὐτὸς τὸ δοκοῦν τῷ χρεμύλῳ. ἐν δὲ τῷ κακοδαιμονίαν τ' ἔτι μᾶλλον, δοκεῖ χεῖρον μανίας ἡ κακοδαιμονία εἶναι. ἴσως δὲ καὶ ἀπὸ διορθωτικῶς αὐτὸ εἴρηται ὡς τῶν κατὰ βίον ἀταξιῶν, μανίᾳ μὲν οὐκ ἂν ἐοικυιῶν, δυσδαιμονίᾳ δὲ μάλιστα. Οὐκοῦν εἶναί φημ'. ὁ νοῦς οὐκοῦν ἀπολύσει ταῦτα ὁ πλοῦτος ἤν ποτε βλέψῃ, φημὶ εἶναι ὁδὸν ἥν τιν' ἰὼν τοῖς ἀνθρώποις ἀγαθὰ ἂν μείζω πορίσειε.

καίτοι τούτου τοῖς ἀνθρώποις τίς ἂν ἐξεύροι ποτ' ἄμεινον;

Βλ. οὐδεὶς ἂν ἐγώ σοι τούτου μάρτυς· μὴ ταύτην γ' ἀνερώτα.

Χρ. ὡς μὲν γὰρ νῦν ἡμῖν ὁ βίος τοῖς ἀνθρώποις διάκειται,

τίς ἂν οὐχ ἡγοῖτ' εἶναι μανίαν· κακοδαιμονίαν τ' ἔτι μᾶλλον.

πολλοὶ μὲν γὰρ τῶν ἀνθρώπων ὄντες πλουτοῦσι πονηροί,

ἀδίκως αὐτὰ ξυλλεξάμενοι. πολλοὶ δ' ὄντες πάνυ χρηστοί,

πράττουσι κακῶς καὶ πεινῶσι μετὰ σοῦ τε τὰ πλεῖστα σύνεισιν.

οὔκουν εἶναί φημ' ἢ παύσει ταῦτ', ἢν βλέψῃ ποθ' ὁ πλοῦτος.

ὁδόν. ἥν τιν' ἰὼν, τοῖς ἀνθρώποις ἀγάθ' ἂν, μείζω πορίσειεν.

Πε. ἀλλ' ὦ πάντων ῥᾷστ' ἀνθρώπων ἀναπεισθέντ' οὐχ ὑγιαίνειν

δύο πρεσβύτα ξυνθιασώτα τοῦ ληρεῖν καὶ παραπαίειν.

εἰ τοῦτο γένοιθ' ὃ ποθεῖθ' ὑμεῖς, οὔ φημ' ἂν λυσιτελεῖν σφῷν.

εἰ γὰρ ὁ πλοῦτος βλέψειε πάλιν διανείμειέ τ' ἴσον ἑαυτόν,

οὔτε τέχνην ἂν τῶν ἀνθρώπων, οὔτε σοφίαν μελετῴη

οὐδείς. ἀμφοῖν δ' ὑμῖν τούτοιν ἀφανισθέντοιν, ἐθελήσει

τίς χαλκεύειν. ἢ ναυπηγεῖν. ἢ ῥάπτειν. ἢ τροχοποιεῖν.

ἢ σκυτοτομεῖν. ἢ πλινθουργεῖν. ἢ πλύνειν. ἢ σκυτοδεψεῖν.

κακόμετρος ὁ στίχος. ἐν ἐνίοις δὲ καὶ ἄμετρος. ὁ δὲ νοῦς δῆλος. οὐκοῦν εἶναί φημι ὁδὸν ἑτέραν, ἣν βαδίσας τις ἀγαθόν τι τοῖς ἀνθρώποις ἐργάσεται. λείπει δὲ ὅτι δεῖ τὸν πλοῦτον ἀναβλέψαι ποιῆσαι. ἐὰν δέ τις προσθείη τὸν καὶ, ἴσαται ἡ φράσις. οὐκοῦν. ἢν βλέψῃ ποτὲ ὁ πλοῦτος, φημὶ εἶναι ὁδὸν ἥν τινα ἰὼν, παύσει ταῦτα καὶ τοῖς ἀνθρώποις ἀγαθὰ μείζω πορίσειεν. ἄλλως. τὸ οὐκοῦν, ἀποφαντικόν ἐστιν ὅτι ἐὰν βλέψῃ ὁ πλοῦτος, καὶ παύσῃ τὴν πενίαν, οὐκέτι κακοδαιμονία εἴη. τὸ δὲ ἑξῆς. οὐκοῦν εἶναί φημ' ὁδὸν ἥν τινα ἰὼν ὁ πλοῦτος βλάψει ταύτην. καὶ τὰ ἀγαθὰ μείζω πορίσειε τοῖς ἀνθρώποις. ἄλλως. οἱ γράφοντες φημὶ δίχα τοῦ ἄρθρου τοῦ ἡ, σχάζεσθαι τῶν μέτρων δοκοῦσιν οὐ μάλα ἀκριβῶς. τὸ γὰρ ἑξῆς οὕτως ἔχει. οὐκοῦν εἶναί φημ' ὁδὸν ἥ τις παύσει ταῦτα ἣν βαδίσας τις ἀγαθὸν τοῖς ἀνθρώποις, πορίσειεν. ἡ δέ ἐστιν, ἢν βλέψῃ ποθ' ὁ πλοῦτος. οἱ πολλοὶ δὲ λαμβάνουσιν ἔξωθεν γὰρ πρὸς τὸ, φημί. οὐκοῦν παύσει ταῦτά ποτε ὁ πλοῦτος ἢν βλέψῃ. φημὶ γὰρ εἶναι ὁδὸν, ἥν τινα ἰὼν πορίσειε τοῖς αὐτοῖς μείζω ἀγαθά. Εἰ τοῦτο γένοιθ'. εἰ γὰρ ὁ πλοῦτος βλέψειε πάλιν. διανείμειέ τ' ἴσον ἑαυτὸν πᾶσι δηλονότι. οὐχ οἶδεν ἡ πενία τὴν χρεμύλου γνώμην καὶ τὴν τοῦ πλούτου. ὅτι πρὸς μόνους τοὺς δικαίους ἥξει. Σοφίαν μελετῴη. σοφίαν ἐνταῦθα καλεῖ τὴν περὶ τὰς τέχνας πανουργίαν καὶ μηχανήν, τέχνην δὲ τὴν μετὰ χεῖρας αὐτὴν καὶ ἐνέργειαν.

κατὰ πάσας χώρας ἀνάπαιστον. σπονδεῖον καὶ δάκτυλον παρὰ τοῖς δραματοποιοῖς. σπανίως δὲ καὶ προκελευσματικόν. ἄλλως. ἀλλ' ἤδη χρῆν τι λέγειν. εἴσθεσις διπλῆς ἀμοιβαίας ἐκ στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν ὧν τελευταῖος, τοὺς δὲ πένητας τῶν ἀνθρώπων ἁρπάζειν πρὶν καὶ καταθεῖναι. καλεῖται δὲ τοῦτο τὸ μέτρον ἀριστοφάνειον, διὰ τὸ κατακόρως αὐτὸν τούτῳ χρήσασθαι, οὐ μὴν εὑρηκέναι πρῶτον· ἐπεὶ καὶ παρὰ κρατίνῳ καὶ πρὸ τούτου παρ' ἐπιχάρμῳ

ἐν τοῖσι λόγοις ἀντιλέγοντες. μαλακὸν δ' ἐνδώσετε μηδέν
Χρ. φανερὸν μὲν ἔγωγ' οἶμαι γνῶναι τοῦτ' εἶναι πᾶσιν ὁμοίως.
ὅτι τοὺς χρηστοὺς τῶν ἀνθρώπων εὖ πράττειν, ἐστὶ δίκαιον.
τοὺς δὲ πονηροὺς καὶ τοὺς ἀθέους, τούτων τἀναντία δήπου.
τοῦτ' οὖν ἡμεῖς ἐπιθυμοῦντες, μόλις εὕρομεν ὥστε γενέσθαι.
βούλημα καλὸν καὶ γενναῖον καὶ χρήσιμον εἰς ἅπαν ἔργον.
ἢν γὰρ ὁ πλοῦτος νυνὶ βλέψῃ, καὶ μὴ τυφλὸς ὢν περινοστῇ,
ὡς τοὺς ἀγαθοὺς τῶν ἀνθρώπων βαδιεῖται. κοὐκ ἀπολείψει.
τοὺς δὲ πονηροὺς καὶ τοὺς ἀθέους φευξεῖται. κᾆτα ποιήσει
πάντας χρηστοὺς καὶ πλουτοῦντας δήπου τά, τε θεῖα σέβοντας

καὶ ἀριστοξένῳ τῷ σελλινουντίῳ ἐπιχάρμου πρεσβυτέρῳ ὡς ἡφαιστίων φησί τούτῳ τινὰ τῷ μέτρῳ μνημονεύεται γεγραμμένα. ἐπὶ ταῖς ἀποθέσεσι τῶν συστημάτων, παράγραφος. ἐπὶ δὲ τῷ τέλει τῶν στίχων διπλῆ ἔξω νενευκυῖα. Μαλακὸν δ' ἐνδώσετε μηδέν. ἡρόδοτος. ἐν θαλείᾳ. τὰς δὲ θηλείας ἀναμιμνησκομένας ὧν ἔλιπον τέκνων, ἐνδιδόναι μαλακὸν οὐδέν. Βούλημα καλόν. βούλευμα μὲν τὸ ἴδιον. βούλημα δὲ τοῦ δημοσίου ἡ γνώμη, καίτοι ἐν τοῖς παλαιοῖς τῶν σοφοκλείων ἀντιγράφων ἡ καὶ τὸ βούλημ' ὡς ἐπ' ἀργείοις τὸ δ' ἦν, εὕρηται, οὐχὶ βούλευμα. ἐν δὲ τῷ ὥστε γενέσθαι, παραπληρωματικὸν κεῖται τὸ τε. ὡς καὶ ἐν τῷ οἷόν τε. τὸ δὲ βλέψῃ καὶ μὴ τυφλὸς ὢν περινοστῇ, δηλοῖ ἐκ παραλλήλου ταὐτὸν σημαίνειν. τὸ δὲ βαδιεῖται καὶ φευξεῖται οὐ μόνον αἰολικὰ ἔτι δωρικά, ἀλλ' ἤδη καὶ ἀττικά. τὸ δὲ δήπου βεβαιωτικόν. τὸ δὲ τοὺς δὲ πονηροὺς καὶ τοὺς ἀθέους, δὶς ἐνταῦθα εἴρηται διὰ τὸ καίριον. κεῖται δὲ καὶ μετ' ὀλίγα. τὸ δὲ τούτων εἰ μὲν ἀρσενικὸν τῶν χρηστῶν ἀνθρώπων. εἰ δὲ οὐδέτερον, ὧν εὖ πάσχουσιν οἱ χρηστοί, τοὺς δὲ τὰ θεῖα σέβοντας, ὡς ἐναντίους τοῖς ἀθέοις ἔθετο. ἐνταῦθα δὲ ὅρα τὸ σέβοντας, νῦν μὲν λεχθὲν ἐνεργητικῶς. παρὰ δὲ τοῖς ὕστερον τὰ πλείω παθητικῶς. τὸ δὲ πάντας χρηστοὺς ὅτι οἱ πονηροὶ τοὺς ἀγαθοὺς ἰδόντες διὰ τοῦτο εὖ πράττοντας, ἐθελήσουσι τὸν πρότερον ἀφέντες βίον μεταπεσεῖν ἐπὶ τὰ ἀμείνω, ἵνα δι' αὐτὸ τοῦτο εὖ πράττωσιν. τὸ δὲ καίτοι τούτου τίς ἂν ἐξεύροι πότ' ἄμεινον, ἀποκριτικόν ἐστι σχῆμα δι' ἐρωτήσεως ἀναντιρρήτως βεβαιούμενον. ἐν ᾧ τὸ, τίς, ἴσον ἐστὶ τῷ οὐδείς. ὡς καὶ ἐν ἄλλοις μυρίοις φαίνεται. τὸ δὲ ἀνερώτα, ἢ περιττὴν ἔχει τὴν πρόθεσιν, ἢ δηλωτικόν ἐστι τοῦ πολλάκις ἐρωτᾶν. ἐνταῦθα δὲ σημαίνει ὅτι ἔθος τοῖς ποιηταῖς ἐν ταῖς ἐρωτήσεσι καθ' ἃς οἴεταί τις ἀντιλογίαν εὑρεῖν ποθεν, παράγειν πρόσωπον φιλικὸν ἀποκρινόμενον τὸ ἀρέσκον τῷ ἐρωτῶντι. ὡς καὶ ἐν

Ω τύμπανα. τοῦτό φησιν ὡς τῆς πενίας τῶν πιουτ ἀξίας οὔσης. τύμπανα ξύλα, ἐφ' οἷς ἐτυμπάνιζον, ἐχρῶντο γὰρ ταύτῃ τῇ τιμωρίᾳ. ἢ βάκλα παρὰ τὸ τύπτειν. ἤγουν ξύλα οἷς τύπτονται ἐν τοῖς δικαστηρίοις οἱ τιμωρούμενοι. κύφων δὲ δεσμός ἐστι ξύλινος. ὃν οἱ μὲν κλοιὸν ὀνομάζουσιν. οἱ δὲ καλιόν. ἔνθεν καὶ ὁ πονηρὸς αὐτὸς κύφων. λέγεται δὲ καὶ ἐπὶ παντὸς τοῦ δυσχερῶν καὶ ὀλεθρίων, καὶ κυφωνισμὸς ἐπὶ τῶν τιμωριῶν. ἀρχίλοχος δέ, ἀντὶ τοῦ κακὸς καὶ ὀλέθριος. εἴρηται δὲ κύφων παρὰ τὸ τοὺς δεσμίους ἀναγκάζειν κύφειν, δηλονότι ἅμα κολαζομένοις. τῇ πιέσει τοῦ τραχήλου πιέσθαι. καὶ τῷ μηδαμῶς ἀναδύεσθαι δύνασθαι. ἢ ἄλλως ξύλα ἐστὶν ἐπιτιθέμενα εἰς τοὺς πίονας τῶν καταδίκων ἵνα μὴ δύνωνται ἀνακύψαι. καὶ γὰρ τὸν κρινόμενον ποιοῦσι κύφειν. Τί δῆτα σοι τίμημα. ἐπέβαλλον γὰρ ἐνίοτε ζημίαν τοῖς ἁλοῦσιν ἢ χρήματα καταθέσθαι, ἢ τι ποιοῦν. τῇ δίκῃ δὲ τιμωρίᾳ. εἴθισται γὰρ τὸ τῆς ἥττης ἤδη πρόστιμον, ὁριούμενον ὑπὸ τῶν κρινομένων.

βλ ὦ τύμπανα καὶ κύφωνες οὐκ ἀρήξετε;
πε οὐδ' εἰ σχετλιάζειν καὶ βοᾶν πρὶν ἂν μάθῃς.
βλ καὶ τίς δύναιτ' ἂν μὴ βοᾶν ἰοὺ ἰού,
τοιαῦτ' ἀκούων; πε. ὅστις ἐστὶν εὖ φρονῶν.
χρ τί δῆτά σοι τίμημ' ἐπιγράψω τῇ δίκῃ,
ἐὰν γ' ἁλῷς. πε. ὅ, τι σοι δοκεῖ. βλ. καλῶς λέγεις.
πε τὸ γὰρ αὐτό γ' ἐὰν ἡττᾶσθε καὶ σφῷ δεῖ παθεῖν.
βλ ἱκανοὺς νομίζεις δῆτα θανάτους εἴκοσιν;
χρ ταύτῃ γε. νῷν δὲ, δύ' ἀποχρήσουσιν μόνω.
πε οὐκ ἂν φθάνοιτον τοῦτο πράττοντ'. ἢ τί γ' ἂν
ἔχοι τις ἂν δίκαιον ἀντειπεῖν ἔτι.
χρ ἀλλ' ἤδη χρῆν τι λέγειν ὑμᾶς σοφὸν, ᾧ νικήσετε τηνδί,

Τ ἢ δίκῃ. ἤγουν τῇ κρίσει ἢ τῇ ὀφειλομένῃ σοι τιμωρίᾳ ἤγουν ἐπειδὴ ὀφειλόμενόν ἐστι δίκην δοῦναί σε ἐὰν ἡττηθῇς τινὰ κόλασιν ὑπέχῃς, ἔθος δὲ ἦν πάλαι τοῖς δικαζομένοις γράφειν πρὸς τῆς κρίσεως ὡς τιμωρίαν ἡττηθεὶς δοίη, εἶτα δὲ ἐπιγράφειν, τουτέστιν, ἐπὶ τῇ προτέρᾳ γραφῇ καὶ τοῦτο γράφειν ὡς καὶ ποιάνδε τιμωρίαν ἢ βίου τυχὸν ἀφαίρεσιν ἢ κεφαλῆς. Τὸ γὰρ αὐτὸ ἐὰν ἡττᾶσθε, ἀντὶ τοῦ, τὴν αὐτὴν προστιμίαν τοῦτο δὲ θέλει εἰπεῖν ὅ ποτ' ἂν προορίσητε πρόστιμον ἐὰν ἡττηθῶ, τοῦτο ὁριστέον ὑμῶν ἡττημένων. Ικανοὺς νομίζεις. ἀντὶ τοῦ ἀρκοῦντας. ὁ γὰρ ἱκανῶν ὅ ἐστι παραγινόμενος ἤρκεσε πρὸς τὴν ὁδόν. Αποχρήσουσι. ἀπόχρη ἐπὶ ἐνεστῶτος ἀντὶ τοῦ ἀρκετόν ἐστι, καὶ ἀποχρῶσα δίκη. ἐπὶ θηλυκοῦ ἀντὶ τοῦ ἀρκετὴ ὑπάρχει, καὶ ἐπὶ μέλλοντος ἀποχρήσει ἀντὶ τοῦ ἀρκετὴν γενήσεται. Τοῦτο πράττοντες. ἀντὶ τοῦ ἀποθανόντες. οὐκ ἂν φησὶν ἀναβάλοισθε ἀποθανόντες. ἀντὶ τοῦ ταχέως ἀπελθόντες τελευτήσαιτε. εἰ γὰρ νικήσετε, οὐκέτι δίκαιόν ἐστιν. ἄλλως. οὐκ ἂν μέ φησι νικήσετε. ἐὰν δὲ νικήσητε οὐχ ὑπάρχει δίκαιον.

Α λλ' ἤδη χρῆν τι λέγειν, κομμάτιόν ἐστι δύο στίχων ἢ τριῶν. οὐδέ ποτε δὲ ὑπερβάλλει εἰς τὸ τέταρτον. τὸ δὲ ἑξῆς, χρὴ λέγειν ὑμᾶς ἀντιλέγοντας. τὸ δὲ μέτρον ἀναπαιστικὸν τετράμετρον καταληκτικὸν εἰς συλλαβήν. δέχεται δὲ τὸ ἀναπαιστικὸν

Ω καθάρματε. καθάρματα ἐλέγοντο οἱ ἐπὶ καθάρσει λιμοῦ τινος ἢ τινος ἑτέρας νόσου θυόμενοι τοῖς θεοῖς. τουτὶ δὲ τὸ ἔθος καὶ παρὰ ῥωμαίοις ἐπεκράτησε. λέγεται δὲ καὶ καθαρισμός. Τί λοιδορεῖ. τὸ λοιδοροῦμαι παθητικῶς, δοτικῇ συντάσσεται. ἐνεργητικῶς δὲ αἰτιατικῇ. εἰ καί τινες ἀγνοοῦντες λοιδορεῖς ἐνταῦθα γράφουσιν τὸ ἡμῖν πρὸς τὸ προσελθοῦσα συνάπτοντες. Δρᾶν μέλλοντες. ἀντὶ τοῦ ἡ μέλλοντες ἐκβαλεῖν σε ἐπιλαθοίμεθα μέγα κακὸν πράττομεν τότε εἰ τοῦτο δρᾶν μέλλοντες, τὸ ἐκβαλεῖν σε, ἐπιλαθοίμεθα. ἄλλως. ἐκ παραδόξου εἴρηκεν. ὥς φησι δράσαιμεν κακὸν ἀντὶ καλοῦ. ἢ εἰκῇ ἡ ἀπόκρισις.

Τὸ πρῶτον αὐτοῦ. τὸ αὐτοῦ ἐπιρρηματικῶς ἀντὶ τοῦ ἐνταῦθα. ἢ συνάπτεται τῷ τούτου ἵν' ᾖ περὶ αὐτοῦ τούτου ἐκ παραλλήλου τὸ αὐτό. Οὖσαν αἰτίαν ἐμέ. Ιστέον ὅτι ἡ ἀπὸ κοινοῦ ἔλλειψις ἤτοι ἐν ἀρχῇ γίνεται ὡς τὸ ὅπως μὴ ποιήσῃς τόδε, νοουμένου ἔξωθεν τοῦ σκόπει. ἢ ἐν τῷ τέλει ὡς ἔχει τὸ
„ ἐννεφέλας. τὸ δὲ μὴ κυ
„ νῆν οἴκοθεν ἐλθεῖν ἐμὲ
„ τὸν κακοδαίμον' ἔχοντα. κακεῖ γὰρ νοεῖται ἔξωθεν τὸ οὐ σκαιόν; ἢ ἐν τῇ μέσῃ ὡς τὸ παρ' ὁμήρῳ.
„ ἀλλ' εἰ μὲν δώσουσι γέρας μεγάθυμοι ἀχαιοί, λείπει γὰρ τὸ παύσομαι ἢ ἡσυχάσω. καὶ θουκυδίδῃ κατ' ἀρχὰς τοῦ τρίτου τῆς συγγραφῆς. καὶ εἰ μὲν συμβῇ ἡ πεῖρα. εἰ δὲ μή, μιτυληναίοις εἰπεῖν ναῦς τε παραδοῦναι καὶ τείχη καθελεῖν. τὸ δὲ σχῆμα καλεῖται ἀνταπόδοτον. ᾧ καὶ νῦν ἀριστοφάνης ἐχρήσατο. οὐ γὰρ ἀπέδωκε τὴν σύνταξιν ἐνταῦθα. ἔδει γὰρ εἰπεῖν, καὶ μὲν ἀποφήνω μόνην ἐμὲ ἀγαθῶν οὖσαν αἰτίαν, ἐάσατε. εἰ δὲ μή, ποιεῖτον ὅ,τι ἂν ὑμῖν δοκῇ.

πε. γρύζειν δὲ καὶ τολμᾶτον ὦ καθάρματε
ἐπ' αὐτοφώρῳ δεινὰ δρῶντ' εἰλημμένω;
χρ. σὺ δ' ὦ κάκιστ' ἀπολουμένη τί λοιδορεῖ
ἡμῖν προσελθοῦσ' οὐδ' ὁτιοῦν ἀδικουμένη.
πε. οὐδὲν γὰρ ὦ πρὸς τῶν θεῶν νομίζετον
ἀδικεῖν με, τὸν πλοῦτον ποιεῖν πειρωμένω
βλέψαι πάλιν; χρ. τί οὖν ἀδικοῦμεν τοῦτό σε,
εἰ πᾶσιν ἀνθρώποις πορίζομεν ἀγαθόν.
πε. τί δ' ἂν ὑμεῖς ἀγαθὸν ἐξεύροιθ'. χρ. ὅ,τι;
σὲ πρῶτον ἐκβαλόντες ἐκ τῆς ἑλλάδος.
πε. ἔμ' ἐκβαλόντες; καὶ τί ἂν νομίζετον
κακὸν ἐργάσασθαι μεῖζον ἀνθρώπους. χρ. ὅ,τι;
εἰ τοῦτο δρᾶν μέλλοντες ἐπιλαθοίμεθα.
πε. καὶ μὴν περὶ τούτου σφῷν ἐθέλω δοῦναι λόγον
τὸ πρῶτον αὐτοῦ. κἂν μὲν ἀποφήνω μόνην
ἀγαθῶν ἁπάντων οὖσαν αἰτίαν ἐμὲ
ὑμῖν, δι' ἐμέ τε ζῶντας ὑμᾶς. εἰ δὲ μή,
ποιεῖτον ἤδη τοῦθ' ὅ,τι γ' ἂν ὑμῖν δοκῇ.
χρ. ταυτὶ σὺ τολμᾷς ὦ μιαρωτάτη λέγειν.
πε. καὶ σύ γε διδάσκου. πάνυ γὰρ οἶμαι ῥᾳδίως
ἅπανθ' ἁμαρτάνοντά σ' ἀποδείξειν ἐγώ,
εἰ τοὺς δικαίους φῂς ποιήσειν πλουσίους.

ὡς τοῦ βλεψιδήμου πεπωκότος καὶ δεδωκότος ἀργύριον. κοτύλη δέ ἐστιν εἶδος μέτρου ὃ λέγομεν ἡμεῖς, ἡμίξεστον. Αναξ ἄπολλον. ἰδίως τὸν ἀπόλλωνα, ἤτοι ὡς ἀλεξίκακον καὶ χρησμοὺς παρέχοντα πρὸς ἀποτροπὴν τῶν δεινῶν, ἢ ὡς πατρῷον θεόν. Ηκιστα πάντων. ὥσπερ φαμὲν μάλιστα πάντων, καί ἐστι τὸ μάλιστα ἐπίτασις ὑπερθετική, οὕτω καὶ ἥκιστα πάντων. καί ἐστιν ἀπαγόρευσις ὑπερθετική. Εξωλέστερον. ἀπολέσθαι ὀφεῖλον ἢ ἐξολοθρευτικώτερον. ἢ μᾶλλον ἐξολέσαι δυνάμενον. Παρὰ πολύ. κατὰ πολύ. σφόδρα. ὡς παρὰ θουκυδίδῃ. ἐν πρώτῳ. καὶ ἐνίκησαν κερκυραῖοι παρὰ πολύ. Ερημον. ἔρημος κυρίως ἡ μονωθεῖσα τῶν ἐνοικούντων γῆ παρὰ τὴν ἔραν ὃ σημαίνει τὴν γῆν. Απολιπόν τέ ποι. τὸ ποῖ ἐνταῦθα, οὐκ ἔστιν ἐρωτηματικόν. ἀλλ' ἀόριστον. ἐπὶ μὲν γὰρ κινήσεως μόνον τὸ ποι διὰ τῆς οι καὶ τοῦ διφθόγγου γράφεται. διὰ δὲ τοῦ η γραφόμενον καὶ ἐπὶ στάσεως καὶ κινήσεως τίθεται. καὶ δῆλον ἐκ τοῦ πᾶ βῶ. πᾶ στῶ. παρ' εὐριπίδῃ. εἰ δέ που καὶ διὰ διφθόγγου εὕρηται ἐπὶ στάσεως κατὰ παράχρησίν ἐστιν.

ΠΕ. πενία μὲν οὖν, ἥ σφῷν ξυνοικῶ πόλλ' ἔτη.
ΒΛ. ἄναξ ἄπολλον. καὶ θεοί. ποῖ τις οὖν φύγοι.
ΧΡ. οὗτος, τί δρᾷς ὦ δειλότατον σὺ θηρίον
οὐ παραμενεῖς; ΒΛ. ἥκιστα πάντων. ΧΡ. οὐ μενεῖς;
ἀλλ' ἄνδρε δύο γυναῖκα φεύγομεν μίαν;
ΒΛ. πενία γάρ ἐστιν ὦ πόνηρ'. ἧς οὐδαμοῦ
οὐδὲν πέφυκε ζῷον ἐξωλέστερον.
ΧΡ. στῆθ'. ἀντιβολῶ σε στῆθι. ΒΛ. μὰ δί'. ἐγὼ μὲν οὔ.
ΧΡ. καὶ μὴν λέγω δεινότατον ἔργον παρὰ πολὺ
ἔργων ἁπάντων ἐργασόμεθ'. εἰ τὸν θεὸν
ἔρημον ἀπολιπόν τί ποι φευξούμεθον.
τηνδὶ δεδιότε. μὴ δὲ διαμαχούμεθα.
ΒΛ. ποίοισιν ὅπλοις. ἢ δυνάμει πεποιθότε.
ποῖον γὰρ οὐ θώρακα. ποίαν δ' ἀσπίδα,
οὐκ ἐνέχυρον τίθησιν ἡ μιαρωτάτη.
ΧΡ. θάρρει. μόνος γὰρ οὗτος οἶδ' ὁ θεὸς, ὅτι,
τροπαῖον ἀν στήσαιτο τῶν ταύτης τρόπων.

Ουκ ἐνέχυρον. δῆλον ὡς οὐ μόνον ἐνέχυρά φασιν, ἀλλὰ καὶ ἐνέχυρον. φαίνεται δὲ καὶ ἀπηγορευμένον εἶναι μὴ θεῖναι τὰ ὅπλα ἐνέχυρα. λέγει οὖν ὅτι αὕτη τῇ ἑαυτῆς βίᾳ ἀναγκάζει καὶ τοὺς νόμους παραβαίνειν τοὺς θεσπίσαντας ὅπλα, ἐνέχυρα μὴ τιθέναι. δέον γὰρ εἰπεῖν ὅτι οὐ τιτρώσκει ὡς ἐπὶ τῶν ὄντων ἐν πολέμοις, εἶπεν ἐνέχυρον τίθησιν. εἰκότως δὲ τίθησι καὶ οὐ τέθεικε. δεικνὺς τὸ ἀεὶ οὕτω ταῦτα γίνεσθαι ἐν τοῖς πένησιν. ἀεὶ γὰρ ἀποροῦντες ἐνέχυρα τιθέασιν.

Τροπαῖον. οἱ παλαιοὶ ἀττικοὶ προπερισπῶσιν. οἱ δὲ νεώτεροι προπαροξύνουσιν. ὡς παρὰ τουτωῒ τῷ ποιητῇ ἐν θεσμοφοριαζούσαις. γυναῖκες οὐκ ἀρήξετ' οὐ πολλὴν βοήν.

Στήσασθε καὶ τροπαῖον; καὶ οἶμαι κατ' ἀναλογίαν τοῦτο μᾶλλον παρὰ σφίσι τοῦτο προφέρεσθαι ὡς ἀπὸ τοῦ τρίτη τὸ τριταῖον καὶ ἀπὸ τοῦ οὐρὰ τὸ οὐραῖον. ἔστι δὲ τρόπαιον ὃ ἐν ταῖς νίκαις οἱ παλαιοὶ ἐποίουν, τοῖχον ἢ λίθον μέγαν ἱστάντες. καὶ γράφοντες ἐν τούτῳ ἃ κατὰ τῶν ἀντιπάλων ἔργα δεδράκασιν. ἐκαλεῖτο δὲ τρόπαιον διὰ τὸ ἐπὶ τῇ τροπῇ τῶν ἐχθρῶν γεγενῆσθαι.

σως ὅτ' ἐρινύς ἐστι. ἀποσκώπτει τὴν διὰ τῶν ἐρινύων αἰσχύλου ὑπόθεσιν· παρεισάγονται δὲ μετὰ λαμπάδων δεινοπαθοῦσαι ὡς εὐριπίδης· γοργῶπες νερτέρων ἱέρειαι δειναὶ θεαί. ἢ ἄλλως εἰώθασιν οἱ τραγῳδοὶ ἐρινύας εἰσφέρειν μετὰ λαμπάδων. καὶ γὰρ τὰ ἀποτρόπαια τῶν φαντασμάτων, τραγῳδοῖς μᾶλλον ἁρμόττει. Βλέπει γέ τοι. τὸ γέ τοι, ἢ ἀντὶ τοῦ δέ, ἢ ἀντὶ τοῦ γάρ. ὃ καὶ κρεῖττον. εὕρηται δὲ καὶ ἐν πολλοῖς τῶν λογοποιῶν ὡς ἐξετάζων εὑρήσεις. Τραγῳδικόν. θρηνῶδες. καὶ οἷον, ἐν ταῖς τραγῳδίαις οἱ ποιηταὶ εἰσά-

ΒΛ. ἴσως ἐρινύς ἐστιν ἐκ τραγῳδίας·
βλέπει γέ τοι μανικόν τι καὶ τραγῳδικόν.
ΧΡ. ἀλλ' οὐκ ἔχει γὰρ δᾷδας. ΒΛ. οὐκοῦν κλαύσεται.
ΠΕ. οἴεσθε δ' εἶναι τίνα με. ΧΡ. πανδοκεύτριαν.
ἢ λεκιθόπωλιν. οὐ γὰρ ἂν τοσουτονὶ
ἐνέκραγες ἡμῖν οὐδὲν ἠδικημένη.
ΠΕ. ἄληθες; οὐ γὰρ δεινότατα δεδράκατον
ζητοῦντες ἐκ πάσης με χώρας ἐκβαλεῖν;
ΧΡ. οὐκοῦν ὑπόλοιπόν σοι τὸ βάραθρον γίνεται.
ἀλλ' ἥτις εἶ, λέγειν ἐχρῆν σ' αὐτίκα μάλα.
ΠΕ. ἣ σφὼ ποιήσω τήμερον δοῦναι δίκην
ἀνθ' ὧν ἐμὲ ζητεῖτον ἐνθένδ' ἀφανίσαι.
ΒΛ. ἆρ' ἐστὶν ἡ καπηλὶς ἡ 'κ τῶν γειτόνων,
ἡ ταῖς κοτύλαις ἀεί με διαλυμαίνεται;

γουσι. Ἀλλ' οὐκ ἔχει γὰρ δᾷδας. ἐπειδὴ παρὰ τὸ σχῆμα ἦλθε. καὶ γὰρ ἐν ταῖς τραγῳδίαις μετὰ λαμπάδων εἰσήγοντο αἱ ἐρινύες. τὸ δὲ γάρ, ἀργὸν ὡς ὑποτασσόμενον τοῦ ἀλλά. Οὐκοῦν κλαύσεται. ἀντὶ τοῦ οἰμώξεται. ὡς μὴ οὖσα κατὰ φύσιν φοβερά, ἀλλὰ μάτην ἀπατῶσα ἡμᾶς. Πανδοκεύτριαν. ἀντὶ τῆς κάπηλιν. ἀπὸ τοῦ δέχεσθαι πάντας. εἴρηται δὲ κάπηλις, παρὰ τὸ κακύνειν τὸν πηλόν. πηλὸς δὲ ὁ οἶνος. ὅθεν καὶ ἄμπελος, οἱονεὶ ἔμπηλος οὖσα. ἡ ἐν αὐτῇ ἔχουσα τὸν πηλόν. Ἢ λεκιθόπωλιν. ἀπὸ τοῦ χρυσίζοντος ὠοῦ. ὠόπωλιν. λέκιθος δὲ κυρίως, τὸ ξανθὸν τοῦ ὠοῦ, διὰ τὸ τῷ λέπει κρύβεσθαι. ἔστι δὲ καὶ εἶδος ὀσπρίου, ὃ καλεῖται πίσον. ὅτι ἐν πίσᾳ τῆς ἤλιδος κατακόρως φύεται, διὰ τὸ ἐοικέναι τὴν χροιὰν λεκίθῳ ὠοῦ. ἀπὸ μέρους οὖν τὴν ὀσπριόπωλιν δηλοῖ. καὶ ἐν λυ-
» σιστράτῃ νῦν δ' ἴδ' ἔγωγ' οἶδ' ἄνδρα κομήτην φιλαρχοῦντα εἶτ' ἐφ' ἵππῳ εἰς τὸν
» χαλκοῦν ἐμβαλλόμενον πῖλον, λέκιθον παρὰ γραός. Τὸ βάραθρον. χάσμα τι φρεατῶδες καὶ σκοτεινόν, ἐν τῇ ἀττικῇ, ἐν ᾧ τοὺς κακούργους ἔβαλλον, ἐν δὲ τῷ χάσματι τούτῳ ὑπῆρχον ὀγκῖνοι. οἱ μὲν ἄνω, οἱ δὲ κάτω, ἐνταῦθα τὸν φρύγα τὸν τῆς μητρὸς τῶν θεῶν ἐνέβαλλον ὡς μεμηνότα. ἐπειδὴ προέλεγεν ὅτι ἔρχεται ἡ μήτηρ εἰς ἐπιζήτησιν τῆς κόρης. ἡ δὲ θεὸς ὀργισθεῖσα, ἀκαρπίας ἔπεμψε τῇ χώρᾳ. καὶ γνόντες τὴν αἰτίαν διὰ χρησμῶν, τὸ μὲν χάσμα, κατέχωσαν. τὴν δὲ θεὸν ἵλεων ταῖς θυσίαις ἐποίησαν. Καπηλίς. κάπηλις προπαροξυτόνως ἡ τὸν οἶνον πιπράσκουσα δηλοῖ ἀπὸ τοῦ κακύνειν ὅ ἐστι πλοῦν τὸν πηλὸν ἤτοι τὸν οἶνον, καπηλὶς δὲ ὀξυτόνως ὑποκοριστικῶς, ἡ ταύτης ὑπηρέτις τῆς καπήλεως. Ἡ ταῖς κοτύλαις. ἀντὶ τοῦ παρακλέπτουσά με ταῖς κοτύλαις. ἤ τις φησὶ μακρομετροῦσά με βλάπτει. οἷον ταῖς μεταφοραῖς τῶν μέτρων ἀπατῶσά με ἢ μετὰ ὕδατος μιγνύουσα δίδωσιν

Πρὸς τῆς Ἑστίας. ἡ Ἑστία θυγάτηρ ἦν Κρόνου, κατ' ἀρχὰς τὴν οἰκίαν εὑροῦσα, ἣν ἐντὸς τῶν οἴκων ἔγραφον ἵνα τούτους συνέχει καὶ τῶν οἰκούντων εἴη φύλαξ. οὕτω καὶ ἐφέστιον Δία καλοῦσιν εἰς ὃν φυλακὴν τῶν οἴκων γράφουσιν. Καὶ πρὸς ἡμᾶς τοὺς φίλους. ὅτι οὐ μετεπέστειλας τὸν Βλεψίδημον· ἀκηκοὼς δὲ ἦλθε. Βλέψαι ποιῆσαι νώ. ὅτι τὸ νώ, ἀντὶ τοῦ αὐτόν. ἢ ἀντὶ τοῦ δι' ἡμᾶς ποιῆσαι αὐτὸν βλέψαι.

Οὐκ ἐτός. οὐκ ἀλόγως ἀλλὰ δικαίως ἤ, ἀντὶ τοῦ οὐκ ἀληθῶς. ἐπιρρηματικὸν γάρ ἐστιν ἀντὶ τοῦ ἐτῶς ἀπὸ τοῦ ἐτεῶς συνῃρημένου.

ΒΛ. λέγεις ἀληθῆ; ΧΡ. φημί. ΒΛ. πρὸς τῆς ἑστίας;
ΧΡ. νὴ τὸν Ποσειδῶ. ΒΛ. τὸν θαλάσσιον λέγεις;
ΧΡ. εἰ δ' ἔστιν ἕτερός τις Ποσειδῶν, τὸν ἕτερον.
ΒΛ. εἶτ' οὐ διαπέμπεις καὶ πρὸς ἡμᾶς τοὺς φίλους;
ΧΡ. οὐκ ἔστι πω τὰ πράγματ' ἐν τούτῳ. ΒΛ. τί φῄς,
οὐ τῷ μεταδοῦναι; ΧΡ. μὰ Δία. δεῖ γὰρ πρῶτα. ΒΛ. τί;
ΧΡ. βλέψαι ποιῆσαι νώ. ΒΛ. τίνα βλέψαι φράσον.
ΧΡ. τὸν Πλοῦτον ὥσπερ πρότερον ἑνί γέ τῳ τρόπῳ.
ΒΛ. τυφλὸς γὰρ ὄντως ἐστί; ΧΡ. νὴ τὸν οὐρανόν.
ΒΛ. οὐκ ἐτὸς ἄρ' ὡς ἔμ' ἦλθεν οὐδεπώποτε.
ΧΡ. ἀλλ' ἢν θεοὶ θέλωσι, νῦν ἀφίξεται.
ΒΛ. οὔκουν ἰατρὸν εἰσαγαγεῖν ἐχρῆν τινα.
ΧΡ. τίς δῆτ' ἰατρός ἐστι νῦν ἐν τῇ πόλει;
οὔτε γὰρ ὁ μισθὸς οὐδέν ἐστ'. οὔθ' ἡ τέχνη.
ΒΛ. σκοπῶμεν. ΧΡ. ἀλλ' οὐκ ἔστιν. ΒΛ. οὐδ' ἐμοὶ δοκεῖ.
ΧΡ. μὰ Δί' ἀλλ' ὅπερ πάλαι παρεσκευαζόμην
ἐγώ, κατακλίνειν αὐτὸν εἰς Ἀσκληπιοῦ,
κράτιστόν ἐστι. ΒΛ. πολὺ μὲν οὖν νὴ τοὺς θεούς.
μή νυν διάτριβ'. ἀλλ' ἄνυε πράττων ἕν γέ τι.
ΧΡ. καὶ δὴ βαδίζω. ΒΛ. σπεῦδέ νυν. ΧΡ. τοῦτ' αὐτὸ δρῶ.
ΠΕ. ὦ θερμὸν ἔργον κἀνόσιον καὶ παράνομον
τολμῶντε δρᾶν ἀνθρωπαρίω κακοδαίμονε.
ποῖ ποῖ; τί φεύγετ'; οὐ μενεῖτον; ΧΡ. Ἡράκλεις.
ΠΕ. ἐγὼ γὰρ ὑμᾶς ἐξολῶ κακοὺς κακῶς.
τόλμημα γὰρ τολμᾶτον οὐκ ἀνασχετόν.
ἀλλ' οἷον οὐδεὶς ἄλλος οὐδεπώποτε,
οὔτε θεὸς οὔτ' ἄνθρωπος. ὥστ' ἀπολώλατον.
ΧΡ. σὺ δ' εἶ τίς; ὠχρὰ μὲν γὰρ εἶναί μοι δοκεῖς.

Τίς δῆτ' ἰατρός ἐστι. διασύρει καὶ διαβάλλει τοὺς ἰατροὺς ὡς ἀμαθεῖς καὶ τοὺς διδόντας ὡς μικρολόγους. Μὰ Δί' ἀλλ' ὅπερ πάλαι. τὸ ἑξῆς ἀλλ' οὐκ ἔστι μὰ Δία ἀλλ' ἐκεῖνο κράτιστόν ἐστιν ὅπερ πάλαι παρεσκευαζόμην κατακλῖναι αὐτόν. Σπεῦδέ νυν. τοῦτο τὸ νῦν καθ' ὁμαλισμὸν, ἀναγνωστέον. ἵν' εἴη ἀντὶ τοῦ δή. ἐγκλίνεται γὰρ ἀεί. καὶ βραχύ ἐστι, φωνήεντος ἐπιφερομένου. ὡς τὸ, σῖγά νυν ἑστὼς καὶ μένων ὡς κυρεῖς ἔχων, παρὰ Σοφοκλεῖ. τὸ δ' εἰ σε νῦν τὸ περισπώμενον, ἐπίρρημά ἐστι χρονικὸν καὶ μακρὸν ἀεὶ εὑρίσκεται. διὸ καὶ περισπᾶται. Ὦ θερμὸν ἔργον. κορωνίς ἐστι ἑτέρα ὁμοία. οἱ δὲ στίχοι ὡς οἱ προσβαίνοντες ἰαμβικοί εἰσι τρίμετροι ἀκατάληκτοι ογ. ὧν τελευταῖος, ἔχοι τις ἂν δίκαιον ἀντειπεῖν ἔτι. ἐπὶ τῷ τέλει κορωνίς. Θερμὸν ἔργον. παράδοξον ἢ τολμηρόν. ἢ δυσκίνητον. ἡ πενία δὲ ἐντεῦθεν παρελθοῦσα μάχεται πρὸς Χρεμύλον καὶ Βλεψίδημον.

Τῶν Παμφίλου. Πάμφιλος ζωγράφος ἦν. ὅστις τοὺς Ἡρακλείδας ἔγραψεν, ἱκετεύοντας τὸν τῶν Ἀθηναίων δῆμον. μετὰ γὰρ θάνατον Ἡρακλέους, Εὐρυσθεὺς διώκει τοὺς Ἡρακλείδας, διὰ τὸ πρὸς τὸν Ἡρακλέα τὸν ἐκείνων πατέρα ἔμφυλιον μῖσος. ταύτην τὴν ἱστορίαν ἔγραψε Πάμφιλος τραγικός. κατὰ δέ τινας ζωγράφος ἦν. ὃς τὴν τῶν Ἡρακλειδῶν τύχην χαρακτῆρι ὑφηγήσατο. Καλλίστρατος δὲ καὶ Εὐφρόνιος, τραγῳδιῶν ποιητήν φασι καὶ διδάξαι Ἡρακλείδας. τὰ δὲ λίαν ἐπιτετμημένα ὑπομνήματα, διστάζει, πρότερον τραγικὸς ποιητὴς ἢ ζωγράφος. οὐ καθηγήσασθαι φασὶν Ἀπελλῆ. περικλυτὸς δὲ ζωγράφος ὁ Ἀπελλῆς. ἐν μέντοι ταῖς διδασκαλίαις πρὸ τούτων τῶν χρόνων Πάμφιλος οὐδεὶς φέρεται τραγικός. γραφὴ μέντοι ἐστὶν οἱ Ἡρακλεῖδαι καὶ Ἀλκμήνη καὶ Ἡρακλέους θυγάτηρ Ἀθηναίους ἱκετεύοντες Εὐρυσθέα δεδιότες.

Τῶν Ἡρακλειδῶν οὐδ' ὁτιοῦν, τῶν Παμφίλου.
Χρ. οὔκ, ὦ κακόδαιμον· ἀλλὰ τοὺς χρηστοὺς μόνους
ἔγωγε καὶ τοὺς δεξιοὺς καὶ σώφρονας
ἀπαρτὶ πλουτῆσαι ποιήσω. Βλ. τί σὺ λέγεις·
οὕτω πάνυ πολλὰ κέκλοφας; Χρ. οἴμοι τῶν κακῶν
ἀπολεῖς. Βλ. σὺ μὲν οὖν σεαυτόν ὥς γ' ἐμοὶ δοκεῖς,
Χρ. οὐδ' ἦτ'. ἐπεὶ τὸν πλοῦτον ὦ μόχθηρε σὺ
ἔχω. Βλ. σὺ πλοῦτον; ὁποῖον. Χρ. αὐτὸν τὸν θεόν
Β. καὶ ποῦ 'στιν. Χ. ἔνδον. Β. ποῦ. Χρ. παρ' ἐμοί. Β. παρὰ σοί; Χ. πάνυ.
Β. οὐκ ἐς κόρακας. πλοῦτος παρὰ σοί; Χρ. νὴ τοὺς θεούς.

ἥτις Παμφίλου οὐκ ἔστιν ὥς φασιν ἀλλ' Ἀπολλοδώρου. ὁ δὲ Πάμφιλος ὡς ἔοικε καὶ νεώτερος ἦν Ἀριστοφάνους. ἄλλως. οὗτος τραγῳδοποιός. ἔγραψε δὲ τοὺς Ἡρακλείδας ἱκετηρίαν ἔχοντας, ὅτε Εὐρυσθεὺς μετὰ θάνατον Ἡρακλέους τοὺς Ἡρακλείδας ἐδίωξε. καὶ οὗτοι μετὰ τῆς Ἀλκμήνης παρεκάλεσαν τοὺς Ἀθηναίους βοηθῆσαι αὐτοῖς· ὅπερ καὶ ἐγένετο. τὰ οὖν συμβάντα αὐτοῖς ζωγράφος τις Πάμφιλος Ἀθηναῖος εἰς τὴν στοὰν τῶν Ἀθηναίων ἔγραψε καὶ αὐτοὺς ἱκετεύοντας. τοῦτο οὖν λέγει, ὅτι οἱ καταδικαζόμενοι μετὰ τῶν παίδων καὶ τῶν γυναικῶν παρακολουθουσῶν λόγον ὑπεῖχον τῷ ἐγκλήματι. ἄλλως. ὁ Πάμφιλος οὗτος εἷς ἦν τῶν Ἡρακλειδῶν, υἱὸς μὲν Αἰγιμίου, ἀδελφὸς δὲ Δυμάνου καὶ Δώρου ἀφ' ὧν φυλαὶ ἐν Λακεδαίμονι, Παμφιλεῖς, καὶ Δυμανεῖς καὶ Δωρεῖς, ἀφ' ἧς οἱ Δωριεῖς οἵτινες οἰκοῦντες πρότερον τὴν Πίνδον μίαν οὖσαν τῆς Τετραπόλεως, τῆς ἐπ' Εὐβοίᾳ. ἀφικνοῦνται εἰς τὴν μεταξὺ ἥτις καὶ Παρνασοῦ Δωρίδα ἑξάπολιν οὖσαν, ἔστι δὲ Ἐρινεόν, Κύτινον, Βοιόν, Λίλαιον, Κάρφαια, Δρυόπη. ἐκ δὲ τούτων σὺν τοῖς Ἡρακλείδαις ἀναχωροῦσιν ὁμοῦ ἐκ τῆς Ἀττικῆς εἰς Λακεδαίμονα ὡς Πίνδαρός φησι. θέλοντι δὲ Παμφίλου. Οὔκ, ὦ κακόδαιμον. εἰ γὰρ ὡς φὴς ἐκεκλόφειν, φαῦλος ἦν ἂν τὸν τρόπον. φαῦλος δὲ ὤν, οὐκ ἂν παρεῖχον ἄν, ἀλλ' ᾧ τινι. νυνὶ δὲ τοῖς χρηστοῖς προῃρημένος δοῦναι, δῆλον ὅτι ἀγαθός εἰμι. εἰ δὲ ἀγαθός, οὐ κέκλοφα. Ἀπαρτί. ἀπηρτισμένως. ἐπίρρημα δέ ἐστιν ὡς ἀμογητί. παρὰ τὸ ἀπηρτισμένον καὶ πλῆρες. κέχρηται αὐτῷ Ἡρόδοτος λέγων. ἀπὸ τούτου εἰσὶ στάδια δύο ἀπαρτί. καὶ Φερεκράτης ἐν Κραπατάλοις φράσον μοι ἀπαρτὶ δεῖ που προλαβεῖν. συνωνυμεῖ δὲ ἡ λέξις ἔσθ' ὅτε γὰρ καὶ χρονικὸν ἐπίρρημα δηλοῖ, ὡς καὶ Καλλίμαχος.

Πρὸς ἀνδρός. ἡ πρὸς ἐνταῦθα οὔτε πρῶτον ἐστὶν ὡς οἴονταί τινες οὔτε αἰτιατικῆς [?] κεῖται. ἀλλὰ τὸ καθῆκον σημαίνει. ὡς καὶ παρὰ σοφοκλεῖ· οὐ πρὸς ἰατροῦ σοφοῦ θρηνεῖν ἐπῳδάς. Ἀποτρόπαιε. ὡς ἐξαρνήσει εἴληφε τὴν τοῦ θεοῦ ἐπίκλησιν. Υγιές ἐστιν οὐδενός. ὅτι οὐδεὶς ὃς δοκεῖ ἔχειν πλεονέκτημα ἀρετῆς ὑγιῶς ἔχει. Φεῦ. ἀποδυσπετεῖ ὡς εἰρημένου χρεμύλου τὸ κακούργημα. Υγιές ἐστιν οὐδενός. πάντων φαύλων. πλουτῶν δὴ θαμὰ προσκρούων, μισεῖ τι καὶ πάντας ἡγεῖται οὐδενὸς οὐδὲν εἶναι τὸ παράπαν. Υγιαίνειν μοι δοκεῖς. ἐπεὶ ταῦτα κατ' ἐμοῦ ὑποπτεύεις. Μεθέστηχ' ὧν πρότερον. πρώην χρηστὸς ὤν, νῦν πανοῦργος γέγονεν. Ἐπίδηλόν τι. ἀλλ' ἴστε τὸ βλέμμα αὐτοῦ ὅμοιον πεπανουργηκότι βλέμματι.

Βλ. πρὸς ἀνδρὸς οὐδὲν ὑγιὲς ἐστ' εἰργασμένου.
Χρ. πῶς δ' οὐδὲν ὑγιές; Βλ. εἴ τι κεκλοφὼς νὴ δία
ἐκεῖθεν ἥκεις, ἀργύριον ἢ χρυσίον
παρὰ τοῦ θεοῦ. κἄπειτ' ἴσως σοι μεταμέλει.
Χρ. ἄπολλον ἀποτρόπαιε. μὰ δί'. ἐγὼ μὲν οὔ.
Βλ. παῦσαι φλυαρῶν ὦγαθ'. οἶδα γὰρ σαφῶς.
Χρ. σὺ μηδὲν εἰς ἔμ' ὑπονόει τοιοῦτο. Βλ. φεῦ.
ὡς οὐδὲν ἀτεχνῶς ὑγιές ἐστιν οὐδενός.
ἀλλ' εἰσὶ τοῦ κέρδους ἅπαντες ἥττονες.
Χρ. οὔτοι μὰ τὴν δήμητρ' ὑγιαίνειν μοι δοκεῖς.
Βλ. ὡς πολὺ μεθέστηχ' ὧν πρότερον εἶχε τρόπων.
Χρ. μελαγχολᾷς ὤνθρωπε νὴ τὸν οὐρανόν.
Βλ. ἀλλ' οὐδὲ τὸ βλέμμ' αὐτὸ κατὰ χώραν ἔχει.
ἀλλ' ἐστὶν ἐπίδηλόν τι πεπανουργηκότι.
Χρ. σὺ μὲν οἶδ' ὃ κρώζεις. ὡς ἐμοῦ τι κεκλοφότος,
ζητεῖς μεταλαβεῖν. Βλ. μεταλαβεῖν ζητῶ; τίνος;
Χρ. τὸ δ' ἐστὶν οὐ τοιοῦτον, ἀλλ' ἑτέρως ἔχον.
Βλ. μῶν οὐ κέκλοφας, ἀλλ' ἥρπακας; Χρ. κακοδαιμονᾷς.
Βλ. ἀλλ' οὐδὲ μὴν ἀπεστέρηκάς γ' οὐδένα;
Χρ. οὐ δῆτ' ἔγωγ'. Βλ. ὦ ἡράκλεις. φέρε. ποῖ τις ὤν
τράποιτο. τἀληθὲς γὰρ οὐκ ἐθέλεις φράσαι.
Χρ. κατηγορεῖς γὰρ πρὶν μαθεῖν τὸ πρᾶγμά μου.
Βλ. ὦ τᾶν. ἐγώ σοι τοῦτ' ἀπὸ σμικροῦ πάνυ
ἐθέλω διαπρᾶξαι πρὶν πυθέσθαι τὴν πόλιν,
τὸ στόμ' ἐπιβύσας κέρμασι τῶν ῥητόρων.
Χρ. καὶ μὴν φίλως γ' ἄν μοι δοκῆς νὴ τοὺς θεούς,
τρεῖς μνᾶς ἀναλώσας λογίσασθαι δώδεκα.
Βλ. ὁρῶ τιν' ἐπὶ τοῦ βήματος καθεδούμενον.
ἱκετηρίαν ἔχοντα μετὰ τῶν παιδίων
καὶ τῆς γυναικός. κοὐ διοίσοντ' ἄντικρυς

Οἶδ' ὃ κρώζεις. παροιμία ἐπὶ τῶν θρυλλούντων ὡς αἱ κορῶναι. αὐτὴ τοῦ σὺ ἄνω καὶ κάτω περὶ τοῦ κεκλοφέναι μοι διαλέγῃ. Ὡς ἐμοῦ τι κεκλοφότος. τὸ ὡς οὐκ ἔστιν εἰ [?] αἰτία ὅτι ὡς οἴονταί τινες. οὐ γὰρ ἐστὶ πρὸς τὸ ζητεῖς, ἀλλὰ πρὸς τὸ κεκλοφότος. καὶ ἔστιν αἰτιατικὴ [?] πρὸς τὸ κρώζεις, τολοιπὸν λέγε κομματικῶς. Ἀπεστέρηκας. ἀποστερῶ ἐστιν ὅταν παρακαταθήκην τινὸς λαβὼν διαβολὴν χωρήσω, καὶ οὐκ ἐθέλω διδόναι αὐτῷ ἣν ἔλαβον. Ἐγώ σοι τοῦτ' ἀπὸ σμικροῦ. ὡς πρὸς δωροδόκους ἡ διάλεξις. χρὴ δὲ τῇ πηλικότητι αὐτὴ προσότητος. Τὸ στόμ' ἐπιβύσας. λέγεται πρὸς τοὺς ῥήτορας. ἐπειδὴ εἰώθασι τοῖς ἑρμαίοις κεκληρωμένοις ἐπιφορτίζεσθαι ὡς κοινωφελεῖς. Ἱκετηρίαν ἔχοντα. ἱκετηρία ἐστὶ κλάδος ἐλαίας ἐρίῳ πεπλεγμένος. οἱ γὰρ ἱκετεύοντες ἐλαίας κατεῖχον κλάδον.

κατὰ καιρὸν μετέβαλλον. τοῦτο δὲ λέγει, ὥς τινων ἐκ τοῦ δικαστῶν ὄντων.

Ω στιζόμεσθ'. ὠθούμεθα. καὶ ῥωμαῖοι ὤστια τὰς θύρας φασὶ παρὰ τὸ ἐξωθεῖν τὸν ἐπαρχό[illegible]ιον. ἐν τῇ ἐκκλησίᾳ δὲ οὐδεὶς ἐδίκαζεν εἰ μὴ ἐπέβαινε τῶν ξ' ἐνιαυτῶν. ὅσοι δὲ τελείας ἡλικίας ἦσαν, εἰσήρχοντο μὲν εἰς τὴν ἐκκλησίαν, οὐκ ἐδίκαζον δέ, τούτοις οὖν τοὺς ἐκκλησιαστὰς ἐτείησαν φανερόν τι λαμβάνειν ἀπὸ τῆς τῆς πόλεως προσόδων οἱ δημαγωγοὶ πείσαντες τὴν πόλιν. ὕστερον δὲ ὁ κλέων ἐποίησεν αὐτὸ τριώβολον. ἀφῆλιξ δὲ εἰς τὴν ἐκκλησίαν οὐκ εἰσήρχετο.

Ὠστιζόμεσθ' ἑκάστοτ' ἐν τῇ ἐκκλησίᾳ.
αὐτὸν δὲ τὸν πλοῦτον παρέμην τῷ λαβεῖν.
ΧΡ. καὶ μὴν ὁρῶ καὶ Βλεψίδημον τουτονὶ
προσιόντα. δῆλος δ' ἐστὶν ὅτι τοῦ πράγματος
ἀκήκοέν τι τῇ βαδίσει καὶ τῷ τάχει.
ΒΛ. τί ἂν οὖν τὸ πρᾶγμ' εἴη. πόθεν. καὶ τίνι τρόπῳ
χρεμύλος πεπλούτηκ' ἐξαπίνης; οὐ πείθομαι.
καίτοι λόγος γ' ἦν, νὴ τὸν ἡρακλέα πολύς,
ἐπὶ τοῖσι κουρείοισι τῶν καθημένων,
ὡς ἐξαπίνης ἀνὴρ γεγένηται πλούσιος.
ἔστιν δέ μοι τοῦτ' αὐτὸ θαυμαστόν, χ' ὅπως,
χρηστόν τι πράττων, τοὺς φίλους μεταπέμπεται.
οὔκουν ἐπιχώριόν τι πρᾶγμ' ἐργάζεται.
ΧΡ. ἀλλ' οὐδὲν ἀποκρύψας, ἐρῶ μὰ τοὺς θεοὺς
ὦ Βλεψίδημ' ἄμεινον ἢ χθὲς πράττομεν.
ὥστε μετέχειν ἔξεστιν. εἶ γὰρ τῶν φίλων.
ΒΛ. γέγονας δ' ἀληθῶς ὡς λέγουσι πλούσιος;
ΧΡ. ἔσομαι μὲν οὖν αὐτίκα μάλ' ἢν θεὸς θέλῃ.
ἔνι γάρ τις ἔνι κίνδυνος ἐν τῷ πράγματι.
ΒΛ. ποῖός τις. χρ. οἷος. βλ. λέγ' ἀνύσας ὅ, τι φῂς ποτε.
ΧΡ. ἢν μὲν κατορθώσωμεν, εὖ πράττειν ἀεί.
ἢν δὲ σφαλῶμεν, ἐπιτετρῖφθαι τὸ παράπαν.
ΒΛ. τουτὶ πονηρὸν φαίνεται τὸ φορτίον
καί μ' οὐκ ἀρέσκει. τό, τε γὰρ ἐξαίφνης ἄγαν
οὕτως ὑπερπλουτεῖν. τό, τ' αὖ δεδοικέναι,

Βλεψίδημος. ὁ πρὸς τὸν δῆμον βλέπων κἀκ τούτου τὰ πρὸς ζωὴν ποριζόμενος. ὑπηρέτης γὰρ ἦν τῶν τὰ δημόσια ἐνεργούντων. Ἐξαπίνης. καὶ ἐξάπινα. γίνεται παρὰ τὸ ἀφανὴς ἄφνια καὶ ἄπινα.

Ἐπὶ τοῖσι κουρείοισι. διαβάλλει τοὺς ἀθηναίους ὡς διημερεύοντας ἐπὶ τῶν κουρείων ἀργῶς. καὶ οὐκ ἐν τοῖς ἰατρείοις ποιουμένους τὰς συντυχίας. Κουρεῖα δὲ ἦσαν ἐργαστήρια ἐν οἷς οἱ βουλόμενοι κείρειν τὰς τρίχας τῆς κεφαλῆς καὶ τοῦ πώγωνος ἀπιόντες ἐκείροντο, ὁπότε ἐκβαῖεν τοῦ μέτρου.

Οὔκουν ἐπιχώριόν τι. σκώπτει πάλιν τοὺς ἀθηναίους ὡς ἐπιφθόνους. οὐκ ἀκολουθεῖ φησὶ τῇ ἀθηναίων διαγωγῇ. καὶ ἰαμαχοῦ. ἐπὶ τοῦ προσώπου γάρ ἐστιν ἀττικὸν βλέπος, Λέγ' ἀνύσας. οἱ λέγοντες τὸ ἀνύσας ἀντὶ τοῦ ἄνυσον, καὶ τὸ λέξας ἀντὶ τοῦ λέξον οὐ καλῶς λέγουσιν, ἔχει δὲ οὕτως λέγε ὅτι φῂς ποτε ἀνύσας καὶ τελέσας τοῦτο. τουτέστιν εἰς τέλος καὶ διασάφησιν ἀγαγὼν τὸν σὸν λόγον. Ἐπιτετρῖφθαι. τοῦτο εἶπε φοβούμενος μὴ ἀποτυχὼν ἐγείρῃ τὸν δία πρὸς ὀργὴν καὶ ἐπιτρίψῃ αὐτούς. Τὸ παράπαν. ἀντὶ τοῦ παντελῶς κατὰ πάντα τρόπον. ἐξ ὁλοκλήρου ἀττικὸν δὲ τὸ καί μ' οὐκ ἀρέσκει ὡς προείρηται.

Α ἀλλ' εἶα. τῆς τρίτης περιόδου στίχοι καὶ κῶλα ιζ΄. ὧν τὸ μὲν πρῶτον καὶ τελευταῖον τετράμετρα καταληκτικά. τὰ δὲ μεταξὺ δίμετρα ἀκατάληκτα ἐπὶ τῷ τέλει διπλαῖ ἔξω νενευκυῖαι. ἡ μὲν ἐν τῇ ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος. Ἐγὼ δ' ἰών. δείκνυσιν ἐντεῦθεν ὡς τοιαῦτα οἱ δοῦλοι ποιεῖν εἰώθασιν. Τῷ κόπῳ τῇ περὶ τὸν πλοῦτον ἐπιμελείᾳ. ἀπὸ θέματος δὲ τοῦ μασῶ δευτέρας συζυγίας, τὸ μασώμενος. ὡς κλώμενος. Χαίρειν μὲν ὑμᾶς. κορωνὶς ὅτι εἰσίασιν οἱ ὑποκριταί. οἱ δὲ στί-

Ἐπῳδὴ κώλων ϛ΄.

Καρ. ἀλλ' εἶα νῦν τῶν σκωμμάτων ἀπαλλαγέντες ἤδη
ὑμεῖς, ἐπ' ἄλλ' εἶδος τρέπε
σθ'. ἐγὼ δ' ἰὼν ἤδη, λάθρα
βουλήσομαι. τοῦ δεσπότου,
λαβών τιν' ἄρτον καὶ κρέας
μασώμενος τὸ λοιπὸν, οὕτω τῷ κόπῳ ξυνεῖναι.
Χρ. χαίρειν μὲν ὑμᾶς ἐστιν ὦνδρες δημόται,
ἀρχαῖον ἤδη προσαγορεύειν, καὶ σαπρόν.
ἀσπάζομαι δ' ὁτιὴ προθύμως ἥκετε
καὶ συντεταγμένως κοὐ καταβεβλακευμένως.
ὅπως δέ μοι καὶ τἄλλα συμπαραστάται
ἔσεσθε, καὶ σωτῆρες ὄντως τοῦ θεοῦ.
Χο. θάρρει βλέπειν γὰρ ἄντικρυς δόξεις μ' ἄρην,
δεινὸν γὰρ εἰ τριωβόλου μὲν εἵνεκα,

χοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ιγ΄. ὧν ὁ τελευταῖος. καὶ δὴ βαδίζω. ἐπειδὴ ἐν νῦν τοῦτ' αὐτὸ δρῶ. ὁ δὲ Χρεμύλος ὡς καινισθεὶς τῇ τύχῃ, καινοτέραν προσηγορίαν ἐπινοεῖ. τὸ γὰρ χαίρειν, παλαιόν ἐστι. περὶ δὲ τοῦ ἐν τῇ συνηθείᾳ χαίρειν, τοῦτο ἐν ταῖς ἐπιστολαῖς γέγραπται Διονυσίῳ μονόβιβλον περὶ αὐτοῦ. καὶ λέγει μὲν ὑπὸ Κλέωνος πρῶτον αὐτὸ τετάχθαι. γράφοντος πρὸς Ἀθηναίους ὡς εἷλοιτο ἐν Σφακτηρίᾳ. Κλέων Ἀθηναίων τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν. λέγει δὲ αὐτὸ κεῖσθαι περιττὸν καὶ περὶ τὴν σύνταξιν ἀσύστατον. ἐκ δὲ τῆς συντάξεως τοῦ λόγου φασὶν ἀσύστατον εἰ μή τις αὐτὸ λάβοι ἀπαρέμφατον ἀντὶ προστακτικοῦ ὡς καὶ παρὰ τῷ ποιητῇ πειρᾶν δ' ὥς κεν Τρῶες ὑπερκύδαντας Ἀχαιούς. Ἐμφαίνεται ἐντεῦθεν, ὡς οἱ ἐξαίφνης καὶ παρ' ἐλπίδα εὐτυχήσαντες, ἑτεροῖοι τοῖς τρόποις γίνονται καὶ πρὸς ὑπερηφανίαν χωροῦσι. καὶ γὰρ οὐκ ἔστι τὸ χαίρειν κακόν. ἀλλὰ διότι πένης ὢν πρώην πρὸς τοὺς συνήθεις τοῦτο ἐχρῆτο, διὰ τοῦτο ἀτιμάζει αὐτό. θέλων μετὰ τοῦ βίου καὶ τὰ προσρήματα μεταβαλεῖν. σιωπᾶται δὲ τὸ ἐστὶ πρὸς τὸ ἀρχαῖον.

Α Ἀσπάζομαι. ἀσπάζομαί φησιν, ἅτε καινότερον παρὰ τὴν ὑπόνοιαν δέ. εἰπὼν γὰρ μὴ ὀρθὸν χαίρειν, ἀσπάζομαί φησιν. Καὶ συντεταγμένως. καθωπλισμένως μετὰ τάξεως. καὶ σπουδαίως καὶ γοργῶς. καὶ μετὰ συγκροτήματός τινος. καταβεβλακευμένως δέ, ἀντὶ τοῦ βραδέως καὶ τρυφερῶς. βλὰξ γάρ ἐστιν ὁ μαλθακευόμενος ἐν ὑποκρίσει τὸ σῶμα. καὶ βλακεία, ἡ μεθ' ὑποψίας ὁμιλία. Δόξεις μ' ἄρη. ὡς ἑαυτοὶ τὸν ἄρεα τὸν θεόν, ἕξεις σύμμαχον. δόξεις μέ φησι τὸν ἄρεα ὁρᾶν. ἀντὶ τοῦ κατορθωτικὸν καὶ πρακτικόν. ἄκρως καὶ ἀπειλητικῶς φησὶν ἐλέγετο πρὸς τοὺς βιαζομένους. ἄλλως. παροιμία ἐπὶ τῶν ὑπισχνουμένων παντὶ σθένει συμπράττειν καὶ συναίρεσθαι εἰς βοήθειαν. Εἰ τριωβόλου. ὅτι οὐχ ἥσσατο τοῦ δικαστικοῦ μισθοῦ ἀλλὰ

τῷ ἑρμῇ καὶ παρ' αὐτοῦ μαθὼν τὰ περὶ τῶν ἑταίρων, καὶ λαβὼν παρ' αὐτοῦ τὸ μῶλυ ἥτις ἐστὶν ἀντιφάρμακος βοτάνη, τὸν τῆς κίρκης οἶκον κατέλαβε· ἐπιχειρησάσης οὖν καὶ αὐτῷ, τὰ ὅμοια δρᾶσαι, τὸ ξίφος κατ' αὐτῆς ἀνέτεινεν. ὅθεν αὕτη φοβηθεῖσα, τούς τε ἑταίρους αὐτοῦ πρὸς τὴν ἀρχαίαν μορφὴν ἀποκατέστησε, καὶ πρὸς μίξιν αὐτῷ συνελθεῖν ἐπεθύμησεν. ὁ δὲ καὶ ἐμίγη. καὶ παῖδα ἔσχεν ἐξ αὐτῆς τὸν τηλέγονον. ὑφ' οὗ καὶ ὕστερον κατ' ἄγνοιαν ἀνῃρέθη κέντρῳ τρυγόνος. θέλων οὖν ὁ ποιητὴς σκῶψαι τὸν φιλωνίδην ὅτι αὐτοῦ ἤρα λαΐς, αὐτὴ τοῦ εἰπεῖν τοὺς ἑταίρους τοῦ ὀδυσσέως, φιλωνίδην εἶπεν· αὐτὴ δὲ τοῦ εἰπεῖν ἐν τῇ νήσῳ τῶν λαιστρυγόνων, ἐν κορίνθῳ εἴρηκεν, ὡς ἐκεῖ τῆς λαΐδος οἰκούσης.

Ο ὐκοῦν σε τὴν κίρκην. τοῦ δευτέρου συστήματος στίχοι καὶ κῶλα ἑπτά. ἔχουσι δ' ὁμοίως τῇ προφθάσῃ περιόδῳ καθ' ἕκαστον.

Ἀντίστροφος κώλων. ζ'.

ΧΟ. οὐκοῦν σε τὴν κίρκην γε τὴν τὰ φάρμακ' ἀνακυκῶσαν,
καὶ μαγγανεύουσαν μολύνουσάν τε τοὺς ἑταίρους, (σαν
λαβόντες ὑπὸ φιληδίας.
τὸν λαέρτου μιμούμενοι, τῶν ὄρχεων κρεμῶμεν.
μινθώσομέν θ', ὥσπερ τράγου,
τὴν ῥῖνα. σὺ δ' ἀρίστυλλος ὑποχάσκων ἐρεῖς,
ἕπεσθε μητρὶ χοῖροι

Λαβόντες. οὕτω καὶ τοῖς παλαιοῖς τῶν ἀντιγράφων εὕρηται ἵν' ᾖ ὅμοιον τῷ ἄνω τρίτῳ κώλῳ. τὸ δὲ ἢν λάβωμεν οὐ πάνυ δόκιμον.

Τ ῶν ὄρχεων κρεμῶμεν. δέον εἰπεῖν ὅτι ξίφος ἀποφέρωμέν σοι καθὰ καὶ ὀδυσσεὺς τῇ κίρκῃ. ὃ δὲ συμβέβηκε τῷ ὀδυσσεῖ κατὰ τὴν ἐρινεοῦ ἐποχὴν ἐν τῷ στομίῳ τῆς χαρύβδεως, ἐπὶ τὴν κίρκην μετήγαγεν. ἢ ὡς ἐκεῖνος μελάνθιον ἐκρέμασεν.

Μ ινθώσομεν. μίνθον οἱ μὲν, τὸν ἡδύοσμον. οἱ δὲ τὴν ἴυγγα. ὡς κεῖται ἐν τῇ κωμικῇ λέξει. οἱ δὲ εἶδος ἄλλους ἐν τῇ κόπρῳ φυομένου. ᾧ χαίρουσιν οἱ τράγοι. ἢ καὶ ἄλλως. μίνθος λέγεται ἡ κόπρος τῶν αἰγῶν. ἐπειδὰν γὰρ οἱ τράγοι ψυγμῷ περιπέσωσιν, εἰώθασιν οἱ αἰπόλοι λαμβάνειν τὴν κόπρον αὐτῶν καὶ χρίειν αὐτῶν τοὺς μυκτῆρας καὶ οὕτω τῇ δυσωδίᾳ πταρμὸν κινεῖν. τούτῳ δὲ τῷ τρόπῳ λύειν τὸ πάθος. ὁ γὰρ πταρμὸς θεραπεύει τὸ πάθος. ἐκ τούτου οὖν φησὶν ὅτι ἀηδίσομέν σε, ἐπεὶ καὶ αἱ αἶγες ἐκ τῆς κόπρου ἀηδίζονται. ἄλλως κοπρώσομεν. μίνθος γὰρ ἄνθος ἐν τῇ κόπρῳ φυόμενον. ᾧ χαίρουσιν οἱ τράγοι οἱ δὲ μίνθον φασὶ τὴν ἀνθρωπίνην κόπρον. ᾗ χρῶνται παρατρίβοντες οἱ ποιμένες τῷ δυσριγεῖ τῶν τράγων πταρμῷ. Σὺ δ' ἀρίστυλλος. ὁ ἀρίστυλλος αἰσχρός. καὶ ἐν ἐκκλησιαζούσαις μέμνηται αὐτοῦ ὡς αἰσχροποιοῦ. λείπει δὲ τὸ ὡς ὁ ἀρίστυλλος αἰσχρουργίαις κεχηνώς. αἰσχρουργὸν γὰρ αὐτόν φησι ποιητήν. ὃς διὰ τὴν αἰσχρουργίαν αὐτοῦ, ἀεὶ ἐκεχήνει. τοῦτο οὖν φησὶν ὥσπερ ὁ ἀρίστυλλος κεχηνὼς ἐρεῖς, ἕπεσθε μητρὶ χοῖροι. ἀντὶ τοῦ ἐμοί. τοῦτο δὲ παροιμιῶδες εἶναί φασιν. οἱ γὰρ παῖδες τοῦτο εἰώθασι λέγειν, ἕπεσθε μητρὶ χοῖροι. παροιμιακὸν οὖν ἐστὶ καὶ ἐπὶ τῶν ἀπαιδεύτων φασὶ λέγεσθαι.

Ἠμμένον σφηκίσκον. ἀπὸ τοῦ τῆς δ' αὐτῆς ἡ λέξις παρὰ τὸν σφῆκα. τὰ γὰρ μικρὰ τῶν ξύλων καὶ εἰς ὀξὺ συνηγμένα, σφηκίσκους καλοῦσιν. ἐπεὶ καὶ οἱ σφῆκες τὴν κοιλίαν ἀπὸ συνεσταλμένην ἔχουσιν ἰσχνοὶ ὄντες ὄπισθεν. καὶ τοὺς λαγαροὺς δὲ τοῖς σώμασιν ἀνθρώπους καὶ μὴ προκοιλίους, σφηκώδεις φασίν. ἄλλως. σφηκίσκον. ὀξὺ ἠμμένον ξύλον. ἐπεὶ καὶ ὁ σφὴξ, ὀξὺς ἐκ τοῦ ὄπισθεν. ἐκτυφλῶσαί σέ φησιν ὡς τὸν κύκλωπα ὃν μιμῇ. Ἐγὼ δὲ τὴν κίρκην. ἔκθεσις τῆς διπλῆς συστηματικῶν στίχων καὶ κώλων ὀκτώ.

μέγαν λαβόντες ἡμμένον σφηκίσκον ἐκτυφλῶσαι.
Στροφὴ κώλων. ϛ'.
ΚΑΡ. ἐγὼ δὲ τὴν κίρκην γε τὴν τὰ φάρμακ' ἀνακυκῶσαν.
ἣ τοὺς ἑταίρους τοῦ φιλωνίδου ποτ' ἐν κορίνθῳ.
ἔπεισεν ὡς ὄντας κάπρους.
μεμαγμένον σκῶρ ἐσθίειν. αὐτὴ δ' ἔματτεν αὐτοῖς
μιμήσομαι πάντα τρόπον.
ὑμεῖς δὲ γρυλλίζοντες ὑπὸ φιληδίας
ἕπεσθε μητρὶ χοῖροι.

εἰσὶ δὲ τοῦ πρώτου συστήματος στίχων καὶ κώλων ἑπτά. τούτων ὁ πρῶτος τετράμετρος ἀκατάληκτος. οἷον τὸ τοῦ ἀλκαίου. δέξαι με κωμάζοντα δέξαι λίσσομαί σε λίσσομαι. ὁ δεύτερος τετράμετρος καταληκτικὸς ὡς τὰ πρὸ τούτου. ὁ δὲ τρίτος δίμετρος ἀκατάληκτος. ὁ δὲ τέταρτος τετράμετρος καταληκτικὸς ὁμοίως τῷ δευτέρῳ. ὁ δὲ πέμπτος ὁμοίως τῷ τρίτῳ. ὁ ἕκτος τρίμετρος ἀκατάληκτος. ὁ δὲ ἕβδομος τρίμετρος καταληκτικός. ὡς ἐκεῖνα τοῦ ἀνακρέοντος. ὁ μὲν θέλων μάχεσθαι. ἄλλως. ἐνταῦθα ὁ ποιητὴς παιγνιωδῶς ἀναφέρει τὰ τοῦ φιλοξένου εἰπόντος πήραν βαστάζειν τὸν κύκλωπα, καὶ λάχανα ἐσθίειν, οὕτω γὰρ πεποίηκε τὸν τοῦ κύκλωπος ὑποκριτὴν εἰς τὴν σκηνὴν εἰσερχόμενον. ἐμνήσθη δὲ καὶ τῆς τυφλώσεως ὡς οὔσης ἐν τῷ ποιήματι, ταῦτα δὲ πάντα διασύρων τὸν φιλόξενον εἶπεν, ὡς μὴ ἀληθεύοντα. ὁ γὰρ κύκλωψ, ὥς φησιν ὅμηρος κρέα ἤσθιε καὶ οὐ λάχανα, ἅπερ ἔφησεν ἐκεῖ ὁ φιλόξενος. ταῦτα ὁ χορὸς εἰς τὸ μέσον ἀναφέρει. Πάρεστι γὰρ μάχεσθαι. ἑφθημιμερῆ δὲ τὰ τοιαῦτα καλεῖται. ὡς τρεῖς ἔχοντα πόδας, καὶ συλλαβὴν. ἐπὶ δὲ τῷ τέλει παράγραφος. Ἑταίρους τοῦ φιλωνίδου. δέον εἰπεῖν ὀδυσσέως. ὁ δὲ φιλωνίδου εἶπε. κωμῳδεῖ δὲ αὐτὸν ὡς πλούσιον. καὶ παρασίτους ἔχοντα καὶ διὰ τῆς λαΐδος ἔρωτα ἐν κορίνθῳ διάγοντα. κωμῳδεῖται δὲ καὶ ὡς συνὼν τοῖς ἑταίροις αὐτοῦ. οὓς κάπρους εἶπε. τὴν δὲ λαΐδα κίρκην εἶπε. ἐπεὶ τοὺς ἐραστὰς ἐφαρμάκευεν. ἄλλως. ὥσπερ καὶ κίρκην φησὶ παίζων τὴν λαΐδα φαρμάσσουσαν τοὺς ἐρῶντας. τροπικῶς δὲ παίζει διὰ ταύτην ἐκεῖθεν ἄγων τὴν ἱστορίαν. δῆλον δὲ ἐκ τούτου τὸ φιλωνίδου διειληφέναι. κάπρους δέ φησι τοὺς ἑταίρους τοῦ φιλωνίδου. διὰ τὸ ἄλογον ἦθος. καὶ ταύτην δὲ διὰ φιλωνίδην τὸν μελιτέα. ὡς οὐ μόνον μείζων, ἀλλὰ καὶ ἀμαθὴ καὶ ὑώδη καὶ νικόχαρις ἐν γαλατείᾳ. ἠδὲ τ' ἀπαιδευτότερος τοῦ φιλωνίδου τοῦ μελιτέως. ἄλλως ἐν τῇ νήσῳ τῶν λαιστρυγόνων ἡ κίρκη ἦν, πάσας γυναῖκας παρελθοῦσα μαγείαις. προσέσχεν δὲ ὀδυσσεὺς ἐν τῇ νήσῳ μετὰ τὸ φυγεῖν τὸν κύκλωπα, καὶ πέμψας τινὰς τῶν αὐτοῦ ἰδεῖν, τίς ἂν εἴη ἐνταῦθα, ἔρημος γὰρ ἦν ὁ χῶρος, ἔπειτα ἀπελθόντες οὗτοι καὶ τὴν κίρκην εὑρόντες χοῖροι ὑπ' αὐτῆς διά τινος ποτοῦ γεγόνασιν, αὐτὸς ἐς τὴν τούτων ἀφίκετο ζήτησιν ἐντυχὼν οὖν ἐν τῷ μέσῳ τῆς ὁδοῦ

μετεωρίζοντες, ἀμαθεῖς. τοῦτο δὲ ἐκ κύκλωπος φιλοξένου ἐστί. πεποίηκε γὰρ οὗτος τὸν κύκλωπα κιθαρίζοντα ἄλλως τε καὶ τὸ μέτρον συστέλλειν θέλει τὴν λοι συλλαβήν. διὰ δὲ τοῦ εἰπεῖν καὶ τοῖν ποδοῖν ὧδι παρενσαλεύων, ἔδειξεν ὅτι πρὸς τὴν πυγὴν αὐτοὺς τῷ ποδὶ ἔτυψεν. τὸ δὲ ἑξῆς, καὶ μὴν ἐγὼ βουλήσομαι ὑμᾶς ἄγειν. διασύρει δὲ φιλόξενον τὸν τραγικόν. ὃς εἰσήγαγε κιθαρίζοντα τὸν πολύφημον. τὸ δὲ θρεττανελό, μέλος καὶ κρουματιόν ἐστι. τὸ δὲ ἀλλ' εἶα τέκεα θαμίν' ἐπαναβοῶντες·

ὑμᾶς ἄγειν. ἀλλ' εἶα τέκεα θαμίν' ἐπαναβοῶντες
βληχώμενοί τε προβατίων
αἰγῶν τε κιναβρώντων, μέλη,
ἕπεσθ' ἀπεψωλημένοι. τράγοι δ' ἀκρατιεῖσθε.
ΧΟ. ἡμεῖς δέ γ' αὖ ζητήσομεν, θρεττανελὸ τὸν κύκλωπα
βληχώμενοι σὲ τουτονὶ πεινῶντα καταλαβόντες,
πήραν ἔχοντα. λάχανά τ' ἄγρια δροσερά. καὶ κραι-
(παλῶντα
ἡγούμενον τοῖς προβατίοις.
εἰκῇ δ' ἐκαταδαρθέντα που

ἐκ τοῦ κύκλωπος φιλοξένου ἐστί. Θρεττανελό. τὸν κιθαρῳδόν, ἡ γὰρ κιθάρα κρουομένη τοιοῦτο μέλος ποιεῖ. θρεττανελό. θρεττανελό. ἄλλως. φιλόξενον τὸν διθυραμβοποιὸν ἢ τραγῳδιδάσκαλον διασύρει. ὃς ἔγραψε τὸν ἔρωτα τοῦ κύκλωπος τὸν ἐπὶ γαλατείᾳ. εἶτα κιθάρας ἦχον μιμούμενος ἐν τῷ συγγράμματι, τοῦτό φησι τὸ ῥῆμα θρεττανελό. ἐκεῖ γὰρ εἰσάγει τὸν κύκλωπα κιθαρίζοντα τὴν γαλάτειαν ἐπεὶ οὖν ἔφη ὁ χορός, ἥδομαι καὶ βούλομαι χορεῦσαι, ὁ οἰκέτης φησί, καὶ ἐγὼ βουλήσομαι χορεύειν. καὶ ἅμα ἀναφωνεῖ τὸ μέλος ἐκεῖνο. φιλόξενος δὲ ὁ διθυραμβοποιὸς ἐν σικελίᾳ ἦν παρὰ διονυσίῳ. λέγουσι δὲ ὅτι περὶ γαλατείᾳ τινὶ παλλακίδι διονυσίου προσέβαλε. καὶ μαθὼν διονύσιος, ἐξώρισεν αὐτὸν εἰς λατομίαν. φυγὼν δὲ ἐκεῖθεν, ἦλθεν εἰς τὰ μέρη κυθήρων. καὶ ἐκεῖ δρᾶμα τὴν γαλάτειαν ἐποίησεν, ἐν ᾧ εἰσήνεγκε τὸν κύκλωπα ἐρῶντα τῆς γαλατείας. τοῦτο δὲ αἰνιττόμενος εἰς διονύσιον. ἀπείκασε γὰρ αὐτὸν τῷ κύκλωπι, ἐπεὶ καὶ αὐτὸς ὁ διονύσιος οὐκ ὠξυδόρκει.

Βληχώμενοι, ποιᾷ φωνῇ χρώμενοι. βληχᾶσθαι γάρ τοι τὰ πρόβατα ποιᾷ φωνῇ χρῆσθαι. τὸ δὲ ἑξῆς, βληχώμενοι μέλη. κινάβρα δέ, ἡ δυσωδία τῶν μασχαλῶν. ἢ τῶν αἰγῶν. κιναβρώντων οὖν κακὴν δυσωδίαν ἐχόντων ἢ τὴν δυσοσμίαν ποιούντων ἐκ τῶν μασχαλῶν. κινάβρα δὲ κυρίως, ἡ τῶν κυνῶν βρῶσις. κυνοβορά τις οὖσα. ἀντὶ τοῦ τὴν ἐγράφετ' αἰδία τοῦ ψιλοῦ. Τράγοι δ' ἀκρατιεῖσθε. τὸ ἑξῆς, τράγοι δ' ἀπεψωλημένοι ἀκρατιεῖσθε. λείπει τὸ ὡς. ὡς τράγοι. τὸ δὲ ἀκρατιεῖσθε ἀντὶ τοῦ φάγοιτε. ἀκρατισμὸς γὰρ λέγεται τὸ πρωϊνὸν φαγεῖν. ἢ ἀκρατῆ πράσσετε. ἐπειδὴ μετὰ τὴν συνουσίαν οἱ τράγοι λείχουσι τὰ ἑαυτῶν αἰδοῖα. ἢ λείχετε τὸ ἄκρον τοῦ αἰδοίου. Πήραν ἔχοντα καὶ γὰρ παρὰ τῷ φιλοξένῳ πήραν ἔχων εἰσήλθε. ταῦτα δέ φησι καὶ τὰ ἑξῆς ὡς καὶ τῆς τυφλώσεως αὐτοῦ ἐν ποιήματι οὔσης. Καὶ κραιπαλῶντα. ἀντὶ τοῦ ἐκ μέθης ἀτακτοῦντα μεθύοντα ἀπὸ τῶν καιρίων σφάλλεσθαι. Εἰκῇ. μάτην. καὶ ὡς ἔτυχεν. ἢ ἀκαίρως ὅθεν καὶ εἰκαῖος ὁ μάταιος. Καταδαρθέντα. ὡς ἔοικε κατακοιμηθέντα πρώως τὸν κύκλωπα ὃν μιμεῖται. τοῦ δὲ οἰκέτου μνησθέντος τοῦ κύκλωπος, οἱ γέροντες ἐπάγουσιν ἃ ἔπαθε παρὰ τοῦ ὀδυσσέως ὁ κύκλωψ.

Π ολλῶν θύμων. τὸ πολλῶν θύμων ῥίζας διεκπερῶντες τοιοῦτον ἔχει τὸν νοῦν. οἱ τὴν ἀττικὴν οἰκοῦντες πένητες ἐπεὶ μὴ εἶχον τὰς ἐκ τῶν σπερμάτων τροφάς, ἀλλ' ἐπεὶ τὸ δεινὸς γὰρ ὁ τόπος ἦν εἰς γεωργίαν κατάξηρος ὤν, ἤσθιον θύμους, οὓς οἱ κοινοὶ βολβοὺς ἢ ἀγριοκρόμμυα φασίν, λέγει γοῦν ὁ χορὸς τῶν πενήτων ὅτι ἡμεῖς πολλὰ κοπιάσαντες, καὶ ταῦτα οὐκ οὔσης ἀδείας ἡμῖν ἤλθομεν μετὰ προθυμίας ὧδε.

Δ ιεκπερῶντες. ἀντὶ τοῦ παρορῶντες καὶ παρατρέχοντες ἀπὸ τῆς ἄγαν σπουδῆς, καὶ αὐτὰς δὴ τὰς τῶν θύμων ῥίζας πολλῶν ὄντων, ἃς ἐξ ἔθους εἴχομεν συλλέγειν. ἄγων ὁ δεσπότης, ἄγω τὸ φέρω τὸ ὁδηγῶ ἄγω νομίζω τὸ θυμῶ καὶ τὸ συντρίβω, ἀφ' οὗ τὸ κατάξαι ἀντὶ τοῦ τὸ συντρῖψαι. Μίδας μὲν οὖν. μίδας βασιλεὺς ὢν φρυγίας πλουσιώτατος. ὦτα ὄνου ἔχει. τοῦτο οὖν παροιμιωδῶς ἐλέγετο

ὅστις φενακίζεις. φράσαι δ' οὔπω τί τληκας ἡμῖν.
ὅτου χάριν με ὁ δεσπότης ὁ σὸς κέκληκε δεῦρο.
οἳ πολλὰ μοχθήσαντες, οὐκ οὔσης σχολῆς προθύμως
δεῦρ' ἤλθομεν, πολλῶν θύμων ῥίζας διεκπερῶντες.

καρ. ἀλλ' οὐκ ἔτ' ἂν κρύψαιμι. τὸν πλοῦτον γὰρ ὦνδρες ἥκει
ἄγων ὁ δεσπότης. ὃς ὑμᾶς πλουσίους ποιήσει.

χο. ὄντως γάρ ἐστι πλουσίοις ἅπασιν ἡμῖν εἶναι;

καρ. νὴ τοὺς θεοὺς, μίδαις μὲν οὖν, ἢν ὦτ' ὄνου λάβητε.

χο. ὡς ἥδομαι καὶ τέρπομαι καὶ βούλομαι χορεῦσαι.
ὑφ' ἡδονῆς, εἴπερ λέγεις ὄντως σὺ ταῦτ' ἀληθῆ.

καρ. καὶ μὴν ἐγὼ βουλήσομαι. θρεττανελὸ τὸν κύκλωπα
μιμούμενος, καὶ τοῖν ποδοῖν ὡδὶ παρενσαλεύων,

ἐπὶ τούτου ἤτοι ὅτι πολλοὺς ὠτακουστὰς εἶχεν, ἢ ὅτι κώμην φρυγίας κατεῖχεν ἥτις ὦτα ὄνου ἐλέγετο. λέγεται δὲ τούτῳ τὸν πακτωλὸν χρυσὸν ῥεῦσαι. λέγεται δὲ αὐτὸν πάλιν εὔξασθαι ὥστε πάντα γενέσθαι χρυσὸν ὧν ἂν ἅψαιτο. ἢ ἐπεὶ ὄνος μᾶλλον ἀκούει τῶν ἄλλων ζώων πλὴν μυός. καὶ μίδας δὲ πολλοὺς ὠτακουστὰς εἶχεν. οἱ δέ φασιν, ὅτι ψέξας ποτὲ τὸν διόνυσον ὁ μίδας, μετεβλήθη εἰς ὄνον. ἢ ὅτι ὄνοις τοῦ διονύσου παριὼν, ἠδίκησε. διὸ ὀργισθεὶς ὁ θεὸς, ὦτα ὄνου αὐτῷ προσῆψεν. οἱ δὲ, ὅτι ὦτα μεγάλα φύσει εἶχεν. ἄλλως. οὗτος ὁ μίδας, σφόδρα πλούσιος ἦν. ᾔτησε γὰρ ὥς φασι τοὺς θεοὺς, ὅτι ἂν εἰς χεῖρας λάβῃ χρυσὸν γίνεσθαι. καὶ τυχὼν τῆς εὐχῆς, λιμαγχονηθεὶς ἀπέθανεν. ὅσα γὰρ ἐλάμβανεν εἰς τροφὴν εἰς χρυσὸν μετεβάλλετο. μυθεύονται δὲ αὐτὸν καὶ ὦτα ὄνου ἔχειν, ὅτι τὰ τῆς ἀκοῆς αἰσθητήρια μέγιστα εἶχεν, οἷα περ ὄνος. τὸ δ' ἀληθὲς, ὅτι πολλοὺς εἶχεν ὠτακουστὰς, ὡς πάντα ἔχειν γινώσκειν, τὰ ἐν τῇ ὑπ' αὐτὸν χώρᾳ λεγόμενά τε καὶ πραττόμενα. τὸ δὲ μὲν οὖν, ἀντὶ τοῦ δέ. ἐμφαίνει δὲ ἐντεῦθεν, ὡς οὐχ ἁπλῶς πλουσίους ποιήσει. μίδας δὲ, οἱονεὶ ὑπερβολικῶς πλουσίους, οἷος ὁ μίδας. Θρεττανελὸ τὸν κύκλωπα. ἡ τοῦ κύκλωπος ἱστορία δήλη. ὅτι ποιμὴν ὢν καὶ λύραν κατέχων, ἡγεῖτο τοῖς αὐτοῦ θρέμμασι καὶ ὅτι αὐτὸν ὀδυσσεὺς ἐτύφλωσεν. ὥσπερ οὖν ἐκεῖνος, οὕτω καὶ οὗτος ἦν πρὸς τοὺς γέροντας, ᾄδων καὶ προοδοιπόρος μετ' αὐτῶν. ἔστι δὲ τὸ θρεττανελὸ τῆς λύρας ἀπήχημα. καὶ οὐ συνάπτεται πρὸς τὴν σύνταξιν. ἀλλὰ διότι καὶ αὐτὸς ᾖδε, τούτου χάριν ἐνέθηκεν. οἱ δὲ λέγοντες τὸν θρεττανελὸ κύκλωπα, ἤγουν τὸν ᾄδοντα τὸ θρεττανελὸ, καὶ διὰ τοῦτο καὶ τὸ λῶ

καὶ τοῦτο προσφέροντες λαμβάνοιεν τὸν δικαστικὸν μισθόν. εἰ πῶς οὖν σορὸν, ἐ/
πήγαγε Χάρων. δέον δὲ εἰπεῖν ὁ ἄρχων τὸ σύμβολον δίδωσιν, ὅς ἐστιν ὁ μισθὸς
ὁ δικαστικὸς, εἶπεν ὁ Χάρων ὡς γερόντων αὐτῶν καὶ μελλοθανάτων. ἄλλως. δέον οὕ/
τως εἰπεῖν ὅτι καιρὸς ἦλθεν ὑμᾶς πλουσίους γενέσθαι, ὑμεῖς δὲ μέλλετε, ὁ δὲ οὐχ οὕ/
τως εἶπεν, ἀλλ᾽ ἠθέλησεν αὐτοὺς σκῶψαι ὡς γέροντας ὄντας καὶ ἐγγὺς τοῦ θανάτου
σκώπτει δὲ οὐ καθαρῶς ἀλλὰ διὰ τοῦ ἔθους ὃ ἀθηναῖοι εἶχον περὶ τὰς δίκας, ἦν δὲ
τοιοῦτο. δέκα δικα/
στήρια ἦσαν παρ᾽ ἀθη/
ναίοις, τὸ μὲν φόνου, τὸ
δὲ μοιχείας, τὸ δὲ ἑτέ/
ρου τινός. οὐσῶν δὲ καὶ

> σὺ δ᾽ οὐ βαδίζεις. ὁ δὲ Χάρων τὸ ξύμβολον δίδωσιν
>
> Χο. διαρραγείης, ὡς μόθων εἶ καὶ φύσει κόβαλος,

ιδ᾽ φυλῶν, ἐξελέγοντο ἐξ ἑκάστης φυλῆς ἕνα ἄνδρα καὶ ἔταττον αὐτοὺς εἰς τὰ τοι
αῦτα δικαστήρια κριτὰς εἶναι, πλὴν ἔγραφον πρότερον τὰ τῶν ἀνδρῶν ὀνόμα
τα, καὶ κλήρου γινομένου. ὁ μὲν εἰς τοῦτο, ὁ δὲ εἰς ἐκεῖνο δικάζειν ἐλάμβανεν,
ἐδίδου δὲ ὁ κῆρυξ αὐτοῖς ῥάβδον ἥτις ἦν σύμβολον τοῦ δικάζειν ἵνα ἕκαστος καθ᾽
ἑσπέραν ἀποδιδοὺς τῷ πρυτάνει τὴν ῥάβδον τριώβολον λαμβάνει μισθὸν τῆς
δικάσεως ἀντὶ τοῦ εἰπεῖν ἐν τῷ δικαστηρίῳ τὸ γράμμα σου λαχὼν δικάζειν, καὶ
διὰ τοῦτο καὶ ὁ κῆρυξ δίδωσί σοι τὸ σύμβολον ὁ δὲ σκώπτων αὐτοὺς ὡς γέροντας
καὶ ἐγγὺς θανάτου ὄντας φασὶν ἐν τῷ σορῷ καὶ ὁ Χάρων. ἔστι δὲ ἡ σύνταξις σολοικο
φανὴς, λαχόντος γὰρ τοῦ γράμματός σου ὤφειλεν εἰπεῖν. ὁ δὲ δοτικὴν ἔθηκεν ἀντὶ γε
νικῆς. ἀττικῷ ἔθει χρησάμενος. ἔθος γὰρ τοῖς ἀττικοῖς οὕτω ποιεῖν, ἐπὶ μὲν τῶν οὐδε
τέρων μετοχῶν. ἔστι οὖν ἡ σύνταξις καὶ ἡ διάνοια τούτου αὕτη. λαχόντος τοῦ γράμ
ματός σου δικάζειν σε ἐν τῇ σορῷ, ἤγουν ἐν τῷ δικαστηρίῳ, σὺ οὐ βαδίζεις, ὁ δὲ
Χάρων, ἤγουν ὁ κῆρυξ δίδωσί σοι τὸ σύμβολον τοῦ κριτὴν εἶναι τουτέστι τὴν ῥάβδον
πάνυ δὲ ἀστείως καὶ τὸν κήρυκα Χάρων ὠνόμασεν, ὁ γὰρ Χάρων κατὰ ἀναγραμ/
ματισμὸν ἄρχων λέγεται. Ὁ δὲ Χάρων τὸ ξύμβολον. περὶ τοῦ παραδιδομένου
τοῖς εἰσιοῦσιν εἰς τὸ δικαστήριον συμβόλου, ἀριστοτέλης ἐν τῇ ἀθηναίων πολιτείᾳ
οὕτω γράφει. τοῖς γὰρ δικαστηρίοις χρῶμα ἐπιγέγραπται ἐφ᾽ ἑκάστῳ ἐπὶ τῷ σφη/
νίσκῳ τῆς εἰσόδου. ὁ δὲ λαβὼν τὴν βακτηρίαν βαδίζει εἰς δικαστήριον τὸ ὁμό/
χρουν μὲν τῇ βακτηρίᾳ, ἔχον δὲ τὸ αὐτὸ γράμμα ὅπερ ἐν τῇ βαλανίῳ ἐπειδὰν δὲ
εἰσέλθῃ παραλαμβάνει σύμβολον δημοσίᾳ παρὰ τοῦ εἰληχότος ταύτην τὴν ἀρ
χὴν ἀντὶ δὲ τοῦ εἰπεῖν ὁ κῆρυξ ἢ ὁ δῆμος, ἀπήντησε πρὸς τὴν σορόν. Μόθων. εἶ/
δος αἰσχρᾶς καὶ δουλοπρεποῦς ὀρχήσεως. οἱ δὲ λάκωνες τοὺς παρατρεφομέ/
νους τοῖς ἐλευθέροις παῖδας μόθωνας καλοῦσιν. ἄλλως. μόθων φλύαρος φορ/
τικὸς ἄτιμος. αἰσχρός. λέγουσι γὰρ τοὺς ἀθηναίους χειρωσαμένους τοὺς μόθωνας
δουλικῇ καὶ ἀγεραστῷ παραστῆσαι τύχῃ. ὅθεν καὶ ἀττικοὶ μόθωνες. ἢ ἀπὸ μόθω/
νός τινος αἰσχροποιοῦντος καὶ ἀεὶ ἐν τοῖς πότοις ὀρχουμένου, ἢ ἀντὶ τοῦ αἰσχυντος.
ἄλλοι δὲ λέγουσι. δουλοπρεπεῖς. σπερμολόγους. Κόβαλος. κόβαλοι δαίμο/
νές εἰσί τινες σκληροὶ περὶ τὸν διόνυσον ἀπατεῶνες.

δες, πέδαι τινές εἰσιν, χοῖνιξ δὲ πᾶν περιφερές. διὸ καὶ τὸ μέτρον χοῖνιξ καλεῖται.
Ε ν τῇ σορῷ νυνὶ λαχόν. παρὰ τοῖς ἀθηναίοις δέκα ἦσαν φυλαί. ἔθος οὖν ἀπὸ πασῶν τῶν φυλῶν, δικαστὰς καθίζειν. εἶτα ἀπὸ μιᾶς ἑκάστης ἐλάμβανον ἄνδρας πέντε τοὺς ἀποτιμοτέρους. καὶ πάλιν ἐκ τῶν πέντε τὸν ἔνατον κλήρῳ λαχόντα ἐπῄουν δικάζειν. ἀντὶ τοῦ εἰπεῖν οὖν ἐν τῷ δικαστηρίῳ κληρωθὲν τὸ γράμμα καὶ τὸ ψήφισμα, ὅ ἐστιν ὁ κλῆρος δικάζειν σε καὶ δικαστὴν καθίζεσθαι, ὡς πρὸς γέροντα παρ᾽ ὑπόνοιαν παίζει. ἄλλως.

Ιού, ἰού. τὰς χοίνικας καὶ τὰς πέδας ποθοῦσαι.
Καρ. ἐν τῇ σορῷ νυνὶ λαχὸν τὸ γράμμα σου δικάζειν,

ἐν ταῖς ἀθήναις πολλὰ ἦν δικαστήρια. καὶ ἔν τισι μέν, ἐδίκαζον περὶ φονικῶν πραγμάτων. ἔν τισι δὲ περὶ δημοτικῶν. καὶ ἕκαστον δὲ τούτων, εἶχεν ἕν τι τῶν στοιχείων εἰδικὸν ὄνομα. οἷον, ἦν τι τῶν δικαστηρίων λεγόμενον ἄλφα. ὁμοίως ἄλλο λεγόμενον βῆτα ἄλλο γάμμα. καὶ ἑξῆς τὸ δ' καὶ τὸ ε. καὶ ἕως τοῦ κ. δέκα γὰρ ἦν τὰ δικαστήρια ἐν ἀθήναις. καὶ πρὸ θυρῶν δὲ ἑκάστου δικαστηρίου ἐγέγραπτο πυρρῷ βάμματι τὸ στοιχεῖον, ᾧ τινι τὸ δικαστήριον ὠνομάζετο. ὅσοι δὲ δικασταὶ ἦσαν ἐν ἀθήναις, ἕκαστος καθ᾽ ἕκαστον δικαστήριον εἶχε δέλτον. τουτέστι πινακίδιον, ἐν ᾧ ἐπεγεγραμμένον ἦν τὸ ὄνομα αὐτοῦ καὶ τοῦ δικαστηρίου. εἶχε δὲ καὶ ῥάβδον ἅμα τῷ πινακιδίῳ. καὶ ἐν αὐτῇ δὲ τῇ ῥάβδῳ ἦν τὸ ὄνομα τοῦ δικαστηρίου ἐγγεγραμμένον. ὅτε οὖν συνέβαινε καιρὸς τοῦ δικάζειν, ἤρχοντο πάντες οἱ δικασταὶ εἰς τὴν ἀγοράν. κἀκεῖ κλήρους ἔβαλλον. καὶ ὅστις ἂν ἐκληροῦτο κλῆρον ἔχοντα τὸ α, ἀπήρχετο εἰς τὸ α δικαστήριον. ὁμοίως εἰς τὸ β καὶ τὰ ἐφεξῆς. ἀπήρχοντο δὲ καὶ πρῶτον μὲν ἐδείκνυε τῷ κήρυκι τοῦ δικαστηρίου τὸν κλῆρον τοῦ στοιχείου. ὁ δὲ κῆρυξ λοιπὸν ἐδίδου αὐτῷ τὸ πινάκιον αὐτοῦ καὶ τὴν ῥάβδον. εἶτα οὕτως ἐδίκαζεν. εἰ δέ τις δικαστὴς εἰσῄει μὴ κληρωθεὶς εἰς τὸ δικαστήριον, διαφόρως ἐζημιοῦτο. ἄλλως. ἔρχεται ἕκαστος εἰς τὸ πινάκιον ἔχων ἐπιγεγραμμένον τὸ ὄνομα αὐτοῦ, καὶ πατρόθεν καὶ τοῦ δήμου. καὶ γράμμα ἕν τι μέχρι τοῦ κ. διὰ τὸ πάλαι δέκα φυλὰς εἶναι ἀθήνησι. διῄρηντο γὰρ κατὰ φυλάς. εἶτα οἱ θεσμοθέται κατὰ φυλὴν ἕκαστος. καὶ ὁ δέκατος ὁ γραμματεὺς ἐκλήρουν τὰ γράμματα μέχρι τοῦ κ. καὶ τὸν λαχόντα ἴσα τῷ ἀριθμῷ τοῖς μέλλουσι κληροῦσθαι δικαστηρίοις ὑπηρέτης φέρων ἐτίθει καθ᾽ ἕκαστον δικαστήριον ἕν. εἶτα πάλιν ἀπεκληροῦντο οἱ τὰ εἰληχότα γράμματα ἔχοντες, τίνες δικάσουσι καὶ τίνες οὔ. τοῦτο οὖν ἐστιν ὃ λέγει ἀμείψας, τοῦ γελοίου χάριν αὐτὸ. ὑπήλλαξε γὰρ δὲ ποιῶν ἐν τῇ σορῷ, δέον ἐν τῇ ἡλιαίᾳ. ἐγράφοντο δέ, ὅτι ἐπεὶ ἦν πέντε δικαστήρια ἐκληροῦντο πέντε γραμματεῖς ἀπὸ τοῦ α ἕως τοῦ ε. εἶτα τὸ πρῶτον ἀνενεχθὲν, ἐπὶ τοῦ α προετίθετο δικαστηρίου, ὡς ἂν ἔτυχεν καὶ οἱ δικάζοντες ἐκληροῦντο εἰς οἷον ἕκαστος λάχῃ δικάσαι. τοῦτο δὲ ἐγίνετο ἵνα μὴ διαφθείρῃ τις τὸ δικαστήριον ἀκρίτως ὀρχομένων τινῶν χωρὶς κλήρου εἰς τὸ δικαστήριον δικάσαι. τὸ δὲ, ὁ χάρων τὸ ξύμβολον δίδωσι, τοιοῦτόν ἐστι. τοῖς λαχοῦσι δικάσαι εἰσελθοῦσιν ἑκάστῳ σύμβολα δίδοται δημόσια παρὰ τῶν ἐπὶ τούτων εἰληχυίας ἀρχῆς. ἵνα ἐξιόντες

Ψυχροῦ βίου ἢ ζῆν ταλαιπώρου ἢ ἐπιμεμφόμενος τὸ γῆρας. ταῦτά φησιν ἀντὶ τοῦ εὐτελοῦς. τὸ δὲ ἑξῆς, ὑμᾶς ἅπαντας ἀπαλλαγέντας ψυχροῦ καὶ δυσκόλου βίου ζήσειν. Ῥυπῶντα, αὐχμοῦ μεστόν. ἔστι καὶ ῥυπόω, ῶ. καὶ ῥυπάω. ὡς ἐνταῦθα καὶ ῥυπαίνω. Μυδῶντα. γράφεται καὶ μυδῶντα καὶ μαδῶντα. καὶ μυδῶντα μὲν ἀντὶ τοῦ δυσώδη ἀποπέμποντα. μαδῶντα δὲ ἀντὶ τοῦ κόμην μὴ ἔχοντα.
Κυφόν. κυρτόν. ῥυσὸν δὲ, ῥυτίδας ἔχοντα. νωδὸν δὲ ὀδόντας μὴ ἔχοντα διὰ τὸ γῆρας.

ψυχροῦ βίου καὶ δυσκόλου, ζήσειν ἀπαλλαγέντας.
χο. ἔστιν δὲ δὴ τί. καὶ πόθεν τὸ πρᾶγμα τοῦθ' ὅ φησιν.
καρ. ἔχων ἀφῖκται δεῦρο πρεσβύτην τιν' ὦ πόνηροι,
ῥυπῶντα. κυφόν. ἄθλιον. ῥυσσόν. μαδῶντα. νωδόν.
οἶμαι δὲ νὴ τὸν οὐρανὸν, καὶ ψωλὸν αὐτὸν εἶναι.
χο. ὦ χρυσὸν ἀγγείλας ἐπῶν. πῶς φῄς, πάλιν φράσον μοι.
δηλοῖς γὰρ αὐτὸν σωρὸν ἥκειν χρημάτων ἔχοντα.
καρ. πρεσβυτικῶν μὲν οὖν κακῶν ἔγωγ' ἔχοντα σωρόν.
χο. μῶν ἀξιοῖς φενακίσας ἡμᾶς ἀπαλλαγῆναι
ἀζήμιος, καὶ ταῦτ' ἐμοῦ βακτηρίαν ἔχοντος;
καρ. πάντως γὰρ ἄνθρωπον φύσει τοιοῦτον εἰς τὰ πάντα
ἡγεῖσθέ μ' εἶναι, κοὐδὲν ἂν νομίζεθ' ὑγιὲς εἰπεῖν;
χο. ὡς σεμνὸς οὑπίτριπτος. αἱ κνῆμαι δέ σου βοῶσιν

οὐ γὰρ δὴ ἄφωνον. αὐδᾷ γὰρ ὁ πλοῦτος. ψωλὸν δὲ ἀσχήμονα κατὰ παρέκτασιν τοῦ μορίου. μαδῶντα δὲ, φαλακρόν. καθόλου τρίχας μὴ ἔχοντα. Ὦ χρυσὸν ἀγγείλας ἐπῶν. ἀντὶ καὶ ἡ σύνταξις. ἀντὶ τοῦ ὦ πλοῦτον ἐκ τῶν ἐπῶν ἀγγείλας, ἢ ἀντὶ τοῦ ὦ τιμιώτατον εἰπὼν λόγον. Δηλοῖς γὰρ αὐτὸν σωρὸν ἥκειν χρημάτων ἔχοντα. ὡς πολύπειροι συνῆκαν τὴν τοῦ πλούτου ἐν μύθοις οὕτως ἔχουσαν ἀπογραφήν. κυρίως δὲ σωρὸς, τὸ ἐκ μακρῶν σπερμάτων συναγόμενον πλῆθος. παρὰ τὸ σῶ. ὅ ἐστι σώζω. συνάγω. καλῶς οὖν ἀπὸ τῶν καρπῶν φαίνονται εἰρηκότες. οἱ γὰρ [illegible], καὶ πλούσιοι εἰσίν. ἢ ὡς γεωργοί, ταύτῃ κέχρηνται τῇ παραβολῇ. Πρεσβυτικῶν μὲν οὖν. διὰ τὸ τὸ γῆρας ἕπεσθαι ταῦτα τὰ συμπτώματα ἀπὸ κοινοῦ δὲ τὸ δηλῶ. σορὸς δὲ θηλυκῶς ἐπὶ τοῦ τάφου καὶ διὰ τοῦ ο μικροῦ. ἐπὶ δὲ τῶν καρπῶν, ἀρσενικῶς διὰ τοῦ ω μεγάλου. Φενακίσας. φενάκη τὸ προκόμιον οἷον, τοῦ φαινομένου κρανίου τὸ ἄκος. καὶ σκέπη. ἄλλως δὲ κεφαλῆς τριχῶν πενομένης ἄκος. φενάκη δὲ κυρίως ἡ προσθετὴ καὶ ἐπιτηδευτὴ κόμη. ἀπὸ τῶν κατερρυηκυιῶν γυναικῶν, καὶ οὕτως ἀπατουσῶν. διὰ τὸ ἐπείσακτον τῆς κόμης. Ἀζήμιος. ἀβλαβής. κυρίως δὲ ζημία ἡ τῆς ζωῆς μείωσις. βακτηρία δὲ ἤτοι ἡ τὴν βάσιν ποιοῦσα ἑδραίαν. ἢ βακτηρία τίς ἐστιν. οἱονεὶ βάσ[illegible]ιπα. καὶ ἐν πλεονασμῷ τοῦ κ. πάντες γὰρ οἱ γέροντες ἐν ταῖς ἀθήναις δύο βακτηρίας ἐβάσταζον. ἦν δὲ πρωτηρηκὼς ἀσθενεῖς γέροντας ἤδη. εἶχον δὲ ἢ διὰ τὸ ἐπερείδεσθαι αὐτῇ. ἢ διὰ τὸ ἀμύνεσθαι ταύτῃ μὴ δυναμένους χερσί. Πάντως γάρ. ἀληθῶς γὰρ νομίζετέ με τοιοῦτον ἄνθρωπον φύσει εἰς ἅπαντα καὶ οὐδὲν ὑγιὲς εἰπεῖν.

Τὰς χοίνικας καὶ τὰς πέδας ἐν τῷ εἰδικῷ καὶ τὸ γενικὸν ἐπήγαγεν, αἱ γὰρ χοινικί/

διὰ τὸ μετὰ τὴν συμπλήρωσιν τούτων, τὸ σημεῖον τῆς κορωνίδος τίθεσθαι. ὅπερ γραμμή τίς ἐστι βραχεῖα, καμπήν τινα ὑποκάτω ἔχουσα. ἧς ἑξῆς ἀεὶ τίθεται κορωνὶς ἑτέρα χοροῦ, ἀποσφραγίζουσα οἷον τὰ ῥηθέντα. ἐν δὲ ταῖς στροφαῖς καὶ ἀντιστροφαῖς, καὶ τῇ μεταξὺ τούτων τῶν ὑποκριτῶν περιόδῳ, παράγραφος τίθεται, ὡς Ἡφαιστίων φησίν. ἧς τὸ σχῆμα, γραμμή τίς ἐστι βραχεῖα. ὥσπερ τινὰ στιγμὴν ἐν τῷ ἄκρῳ ἔχουσα. δῆλα δέ ἐστι τὰ τοιαῦτα σχήματα, καὶ ἐν τῷ βιβλίῳ κείμενα. μεθ' ὧν ἐστι καὶ ὁ ἀστερίσκος· οὗ τὸ σχῆμα ἀστέρι ἔοικεν. Ἡφαιστίων δέ φησιν ὅτι κατὰ τὴν ἀριστοφάνειον ἔκδοσιν ὁ ἀστερίσκος ἐπὶ ἑτερομετρίας ἐτίθετο μόνης. χρῶνται μέντοι, φησίν, τῇ κορωνίδι ἐν τοῖς δράμασιν κατὰ τρόπους τρεῖς· ἢ ποιόταν τῶν

ἴτ' ἐγκονεῖτε, σπεύδεθ', ὡς ὁ καιρὸς οὐχὶ μέλλειν,
ἀλλ' ἔστ' ἐπ' αὐτῆς τῆς ἀκμῆς, ᾗ δεῖ παρόντας ἀμύνειν.
Χο. οὐκοῦν ὁρᾷς ὁρμωμένους ἡμᾶς πάλαι προθύμως,
ὡς εἰκός ἐστιν ἀσθενεῖς γέροντας ἄνδρας ἤδη.
σὺ δ' ἀξιοῖς ἴσως με θεῖν, πρὶν ταῦτα καὶ φράσαι μοι,
ὅτου χάριν γ' ὁ δεσπότης ὁ σὸς κέκληκεν ἡμᾶς.
Καρ. οὔκουν πάλαι δήπου λέγω; σὺ δ' αὐτὸς οὐκ ἀκούεις.
ὁ δεσπότης γάρ φησιν, ὑμᾶς ἡδέως ἅπαντας,

ὑποκριτῶν εἰσιόντων τινὰ καὶ ἀπαλλαγέντων καταλείπηται ὁ χορός. ἢ ἔμπαλιν. ἢ ὅταν μεταβάσεις ἀπὸ τόπου εἰς τόπον γίνεσθαι δοκῇ τῆς σκηνῆς. τῇ δὲ παραγράφῳ, κατὰ πρόσωπα ἀμοιβαῖα, ἔν τε τοῖς ἰαμβικοῖς καὶ τοῖς χορικοῖς, μεταξὺ τῆς τε στροφῆς καὶ τῆς ἀντιστρόφου. ἐὰν μέντοι ἡ στροφὴ ἐξ ἀμοιβαίων τυγχάνῃ συγκειμένη, οὐκ ἐξαρκεῖ πρὸς τὸ δηλῶσαι ὅτι πεπλήρωται ἡ στροφή, ἡ παράγραφος, ἀποφερομένης ἄλλης στροφῆς. ἐπεὶ καὶ ἐφ' ἑκάστου κώλου οὐδὲν ἧττον τίθεται. ἀλλὰ κεῖται καὶ ἡ ἔσω νενευκυῖα διπλῆ. τοῦτο δὲ ἐὰν ἀντίστροφος ἀποφέρηται, ὡς ἐάν γε μεταβολὴ μόνον ᾖ στροφῶν, ἡ ἔξω βλέπουσα τίθεται. Τοῦ θύμου. ἀντὶ τῆς αὐτῆς πενίας μετέχοντες. θύμον γάρ ἐστιν εἶδος βοτάνης εὐτελοῦς. τινὲς δέ φασιν ὅτι παρῴδηται ἐκ τοῦ Ἡσιόδου. οὐδ' ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ' ὄνειαρ. ἀντὶ τοῦ, ὦ δίκαια καὶ εὐτελῆ θέλοντες ἐσθίειν διὰ τὸ μὴ ἐθέλειν ἀδικεῖν. ἅμα δὲ καὶ τὸ τραχὺ τῆς γῆς διαβάλλει. οὐδὲ τέως δὲ τὸ θύμον λέγεται. καὶ βραχυπαραλήκτως. καὶ βαρυτόνως. ἐκτεινόμενον γὰρ καὶ ὀξυνόμενον καὶ ἀρσενικῶς κλινόμενον, δηλοῖ τὴν ψυχήν. Ἴτ' ἐγκονεῖτε. ἀντὶ τοῦ ἐνεργεῖτε. ταχύνατε. ἐπεὶ οἱ τρέχοντες κόνεως πληροῦνται. ἢ ἀπὸ τῶν ἀθλητῶν. ἐν κόνει γὰρ ἐκείνων τὸ ἔργον. ἢ ὅτι πρὸ τοῦ τῆς κόνεως ἅψασθαι νικῶσιν. Ὁ καιρὸς οὐχὶ μέλλειν. οὐ τοῦ μέλλειν καὶ ἀναβάλλεσθαι καιρός ἐστιν, ἀλλὰ τοῦ σπεύδειν καὶ κόνιν πέμπειν. Πάλαι προθύμως. συντόμως δεικτικῶς. τὸ δὲ πάλαι, οὐ μόνον βραδυτῆτος ἐστὶν εἴρημα, ἀλλὰ καὶ ταχυτῆτος. Ἴσως με θεῖν. ἐξίσου με τρέχειν. τὸ δὲ λοιπὸν, ἐν ὑπερβατῷ. καίτοι ἐξῆν εἰπεῖν καὶ ταῦτα πρὶν φράσαι μοι. Οὔκουν πάλαι δήπου. σύνδεσμος ἀποδεικτικός. τοὺς γέροντας δὲ παίζει μηδὲν εἰπὼν καὶ ὑποκρίνεται εἰρηκέναι διὰ τὸ αὐτῶν τὰ ὦτα γήρᾳ πεπηρῶσθαι. ἐπιγελᾷ οὖν τῇ ἀμυδρότητι τῆς αἰσθήσεως διὰ τὸ γῆρας. ἄλλως. δέον ἔλεξα εἰπεῖν πρὸς τὸ πάλαι. ὁ δὲ λέγω εἶπε, δεικνὺς ὡς οὐχ ἅπαξ ἀλλὰ πάλαι καὶ νῦν λέγει. παίζων δὲ ὁ θεράπων τοῦτό φησιν· οὐ γὰρ προεῖπεν αὐτοῖς τίνος χάριν αὐτοὺς καλεῖ.

E ἐν ἀκαρεῖ. περιῄρηται παρὰ τὸ ἄτμητον τοῦ χρόνου. ὡς καὶ τὸ κείρομαι τρίχας. ἀκαρὲς τὸ ἄτμητον. ἄλλως. τῷ ἐλαχίστῳ, ὃ οὐχ οἷόν τε διακόψαι διὰ τὸ βραχύτατον τοῦ χρόνου. περιῄρηται δὲ ἀπὸ τῶν μακρῶν τριχῶν τῶν διὰ βραχύτητα μὴ δυναμένων καρῆναι. ἄλλως. ἐπίρρημα τὸ ἀκαρῶς. ἀφ᾽ οὗ τὸ ἀκαρὲς ἐπιρρηματικὸν ὄνομα. ὅπερ δὲ πάσχουσιν ἐκεῖνοι δι᾽ ἀσωτίαν γυμνούμενοι, τοῦτο εἰς ἑαυτὸν ἐπήγαγε. Μετρίου γὰρ ἀνδρός. τουτέστι ταῦτα πάσχεις. ἐπεὶ οὐδέποτε μετρίου ἀνδρὸς ἔτυχες. Πῶς εἰμ᾽ ἀεί. τὸ πῶς, θαυμαστικόν ἐστι. θαυμάζει γὰρ αὐτὸν ὡς ἀεὶ τὸ πᾶσι σύμμετρον ὄντα. μετρίου δὲ λέγει ἀνδρὸς, τοῦ διαμετροῦντος ἑαυτῷ τὸ ζῆν φειδομένου, ἀρετῆς γὰρ αὐτὸ τῷ δέοντι καιρῷ ἁρμοζομένως, καὶ φείδεσθαι καὶ δαπανᾶν. Ηνίκ᾽ ἂν τούτου δέῃ. τὸ ἡνίκ᾽ ἂν τούτου δέῃ κοινῶς λάμβανε, καὶ πρὸς τὸ ἀναλῶν καὶ τὸ φειδόμενος. Ως ἰδεῖν σε βούλομαι. οὐχ ἵνα ὁ πλοῦτος ἴδῃ τὴν γυναῖκα καὶ τὸν υἱὸν, ἀλλ᾽ ἵνα ἐκεῖνοι τὸν πλοῦτον ἴδωσιν. οὕτω γὰρ πρέπει. ἀττικὸν δὲ τὸ πλεονάζειν τοῖς ἄρθροις. Πείθομαι. χαριέντως τοῦτο. οἶδα γάρ φησιν, ὅτι καὶ τέκνων προτιμᾷς τὸν πλοῦτον. Τί γὰρ ἄν τις. ἡ κατασκευὴ αὕτη· ἤτι γὰρ ἄν τις πρὸς τὸ ὃν ἐγὼ φιλῶ μάλιστα μετὰ σέ, τὸ δὲ πείθομαι διὰ μέσου τῷ πλούτῳ εἴρηται. Ω πολλὰ δὴ τῷ δεσπότῃ. εἴσθεσις διπλῆς ἀμοιβαίας ἐκ στίχων ἰαμβικῶν ἐννέα πρὸς τοῖς τεσσαράκοντα, ἄχρι τοῦ, ἐγὼ δὲ τὴν κίρκην. ὧν οἱ μὲν μὴ τετράμετροί εἰσι καταληκτικοί. οἱ δὲ, βληχώμενοί τε προβατίων καὶ αἰγῶν τε κιναβρώτων μέλη, ἔτι δὲ ἡγούμενον τοῖς προβατίοις καὶ εἰκῇ δὲ καταδαρθέντα που, τέσσαρες ὄντες, δίμετροί εἰσιν ἀκατάληκτοι. καὶ τὸ μὲν τετράμετρον ἱππωνάκτειον καλεῖται διὰ τὸ κατακόρως αὐτῷ τοῦτο χρήσασθαι. οἷόν ἐστι καὶ τὸ, εἴ μοι γένοιτο παρθένος καλή τε καὶ τέρεινα. τὸ δὲ δίμετρον ἀνακρεόντειον οἷόν ἐστι τὸ, καὶ μαίνομαι κοὐ μαίνομαι. ἐφ᾽ ἑκάστῳ συστήματι παράγραφος. ἐπὶ δὲ τῷ τέλει τῶν στίχων, διπλῆ ἔξω νενευκυῖα. ἰστέον ὅτι, ὅτε τίθενται ἐν τοῖς ἀμοιβαίοις τῶν ὑποκριτῶν προσώποις ἐν ἐκθέσει κῶλά τινα μετὰ τὴν περίοδον τῶν στίχων τοῦ αὐτοῦ μέτρου ὄντα, ἢ καὶ ἑτέρου, εὕρηται γὰρ καὶ οὕτως, ὁ τοιοῦτος σχηματισμὸς, καλεῖται διπλῆ, διὰ τὸ μετὰ τὴν συμπλήρωσιν τούτου τὸ σημεῖον ἐκτὸς τίθεσθαι τῆς διπλῆς. ὅπερ τριγώνου πλαγίου σχήματι ἔοικεν τῆς βάσεως μόνης λιπούσης. μετ᾽ αὐτὴν, οὐδὲ χοροῦ πάροδος ἀεὶ γίνεται, ἀλλὰ σπανίως. ὅτε δὲ οὐ τίθεται κῶλα τοιαῦτα, ἀλλ᾽ ἐν οἷς ἤρξαντο στίχος, ἐν τούτοις οἱ ὑποκριταὶ παύονται, τὸ τοιοῦτο καλεῖται κορωνίς,

γυμνὸς θύραζ᾽ ἐξέπεσον ἐν ἀκαρεῖ χρόνῳ.
ΧΡ. μετρίου γὰρ ἀνδρὸς οὐκ ἐπέτυχες πώποτε.
ἐγὼ δὲ τούτου τοῦ τρόπου πῶς εἰμ᾽ ἀεί·
χαίρω τε γὰρ φειδόμενος, ὡς οὐδεὶς ἀνήρ,
πάλιν τ᾽ ἀναλῶν, ἡνίκ᾽ ἂν τούτου δέῃ.
ἀλλ᾽ εἰσίωμεν, ὡς ἰδεῖν σε βούλομαι
καὶ τὴν γυναῖκα καὶ τὸν υἱὸν τὸν μόνον,
ὃν ἐγὼ φιλῶ μάλιστα μετὰ σέ. ΠΛ. πείθομαι.
ΧΡ. τί γὰρ ἄν τις οὐχὶ πρὸς σὲ τἀληθῆ λέγοι;
ΚΑΡ. ὦ πολλὰ δὴ τῷ δεσπότῃ ταυτὸν θύμον φαγόντες,
ἄνδρες φίλοι καὶ δημόται καὶ τοῦ πονεῖν ἐρασταί.

Π άλιν· ὡς καὶ πρώην. Ἀλλ' ἴθι. τὸ ἴθι ῥῆμα μὲν οὖν μετὰ μέλλοντος μετοχικοῦ συντάσσεται, οἷον ἴθι πρήσων τόδε, ἐπίρρημα δὲ παρακελευσματικόν, ὥσπερ τὸ ἄγε, μετὰ προστακτικοῦ οἷον ἴθι πρῆσον τόδε. Τοὺς ξυγγεώργους. ξυγγεώργους βαρυτόνως· σύνθετον γάρ, ὡς πάγκαλος πάνσοφος. τὰ γὰρ εἰς ος ὀξύτονα, συντιθέμενα βαρύνεται. Ἡμῖν μεταλάχῃ. ὥσπερ μεταλαμβάνω τούτου καὶ τοῦτο φαμέν, οὕτω καὶ τὸ μετέχω διπλῶς συντάσσεται καὶ ὅτε μὲν ἐστι γενικῇ τὸ μετὰ ἔχει τὴν δύναμιν. ὅτε δὲ αἰτιατικῇ τὸ ἔχω ἢ τὸ λαμβάνω.

ἀλλ' ἴθι σὺ μὲν ταχέως μολὼν. καρ. τί δρῶ λέγε.
Χρ. τοὺς ξυγγεώργους κάλεσον. εὑρήσεις δ' ἴσως
ἐν τοῖς ἀγροῖς αὐτοὺς ταλαιπωρουμένους·
ὅπως ἂν ἴσον ἕκαστος ἐνταυθοῖ παρὼν.
ἡμῖν μεταλάχῃ τοῦδε τοῦ πλούτου μέρος.
Καρ. καὶ δὴ βαδίζω τοῦτο δὲ τὸ κρεάδιον,
τῶν ἔνδοθέν τις εἰσενεγκάτω λαβών.
Χρ. ἐμοὶ μελήσει τοῦτό γ'. ἀλλ' ἀνύσας τρέχε.
σὺ δ' ὦ κράτιστε πλοῦτε πάντων δαιμόνων.
εἴσω μετ' ἐμοῦ δεῦρ' εἴσιθ'. ἡ γὰρ οἰκία.
αὕτη 'στὶν, ἣν δεῖ χρημάτων σε τήμερον
μεστὴν ποιῆσαι. καὶ δικαίως κἀδίκως.
Πλ. ἀλλ' ἄχθομαι μὲν εἰσιὼν νὴ τοὺς θεοὺς,
εἰς οἰκίαν ἑκάστοτ' ἀλλοτρίαν πάνυ.
ἀγαθὸν γὰρ ἀπέλαυσ' οὐδὲν αὐτοῦ πώποτε.
ἢν μὲν γὰρ ὡς φειδωλὸν εἰσελθὼν τύχω,
εὐθὺς κατώρυξέν με κατὰ τῆς γῆς κάτω.
κἄν τις προσέλθῃ χρηστὸς ἄνθρωπος φίλος,
αἰτῶν λαβεῖν τι μικρὸν ἀργυρίδιον,
ἔξαρνός ἐστι, μηδ' ἰδεῖν με πώποτε.
ἢν δ' ὡς παραπλῆγ' ἄνθρωπον εἰσελθὼν τύχω,
πόρναισι καὶ κύβοισι παραβεβλημένος.

Τ οῦτο τὸ κρεάδιον, ὃ ἔρχεται ἀπὸ τῆς θυσίας ἔχων τῶν δελφῶν. οἱ γὰρ ἐκ θυσίας ἰόντες, ἔφερον ἐξ αὐτῆς τῆς θυσίας τοῖς οἰκείοις κατὰ νόμον τινά. Ἄλλως. ὅπερ εἶχον ἄγοντες λειφθὲν ἀπὸ τῆς θυσίας. ἔνιοι δὲ, τὸ λεβήτιον. Ἐμοὶ μελήσει. τοῦ εἰσενέγκαι φησὶ τὸ κρεάδιον. τὸ δὲ ἀνύσας, ἀντὶ τοῦ ἄνυσον. Σὺ δ' ὦ κράτιστε. τὸ κράτιστε ἤτοι ἐγκωμιάζων φησὶν, ἢ ὅτι προεδίδαξεν ὡς καὶ θεῶν ὁ Ζεὺς δι' αὐτὸν βασιλεύει ἄλλως. παρεπιγραφὴ, ὅτι ἤδη εἰς τὴν οἰκίαν ἔφθασαν. τοὺς δὲ λόγους πάντας ἐκείνους ἐρχόμενοι ἐν τῇ ὁδῷ ἔλεγον. Καὶ δικαίως κἀδίκως. τὸ ἀδίκως ἁπλῶς εἴρηται. οἷον ἁπάσῃ τέχνῃ. οὐ γὰρ ὑπόκειται αὐτῷ, ἄδικος οὕτως. οὐκ ἀπειλητικῶς δὲ, ἀλλὰ μειλικτικῶς προσαγγέλλει. ἄλλως. ἀντὶ τοῦ παντὶ τρόπῳ. οὕτως ἀττικοί. φειδωλός τις ὁ φειδόμενος τοῦ δοῦναι, παρὰ τὸ φείδομαι καὶ τὸ δοῦναι. φειδωδός τις ὤν. καὶ τροπῇ τοῦ δ' εἰς λ', φειδωλός. Κἄν τις προσέλθῃ χρηστός. ἵνα τὴν ὑπερβολὴν τῆς φιλαργυρίας σημαίνῃ προκεκριμένης καὶ τῶν χρηστῶν φίλων. Παραπλῆγα. ἄφρονα. μωρὸν ἀπὸ τῶν κρουμάτων τῶν διαπεπτωκότων τοῦ ἐναρμονίου λυρισμοῦ. ἀληθῶς, γὰρ ἡ ἀσωτία παραπεπηγμένη ἐστὶ δίαιτα.

A παξάπαντα. ἀντὶ τοῦ πλέον. τὸ δὲ ἑξῆς, εἶτα εὑρὼν ἀπαξάπαντα κατακεκλεισμένα. Ἀνὴρ πρόθυμος ἐὰν προθυμηθῇς, καλῶς μετέλθεις ταῦτα τὰ πράγματα ὡς τοῖς μὲν δικαίοις συνεῖναι, τοῖς δὲ πονηροῖς μηδαμῶς. Ὀξύτερον τοῦ Λυγκέως. Λυγκεὺς ὡς αὐτὸς ἐν Δαναΐσι φησὶν, υἱὸς Αἰγύπτου. ὁρῶμεν δ' ἐκεῖ τὰ περὶ αὐτοῦ. ἐπειδὴ δοκεῖ παρ' ἱστορίαν λέγειν. τοσοῦτον δὲ ὀξυωπέστατος ἦν, ὡς καὶ διελαύνοντος ἰδεῖν κάστορα δολοφονήσαντα τὸν ἀδελφὸν, ὡς φησι Πίνδαρος. Ἀπολλώνιος δέ φησι περὶ αὐτοῦ ἐν τοῖς Ἀργοναυτικοῖς. Εἰ ἐτεόν γε πέλει κλέος ἀνέρα κεῖνον ῥηϊδίως καὶ νέρθεν ὑπὸ χθονὸς αὐγάζεσθαι. γεγόνασι δὲ Λυγκῆς διάφοροι. εἷς ὁ παῖς Αἰγύπτου. καὶ ἄλλος Ἀφαρέως παῖς ὁ Λάκων, λέγεται Λυγκεύς. οὗ μέμνηται καὶ Θεόκριτος ἐν τῷ εἰς Διοσκούρους ὕμνῳ. τὼ μὲν ἀναρπάξαντε δύω φερέτην Διὸς υἱὼ, Δοιὰς Λευκίπποιο κόρας. δοιὼ δ' ἄρα τώγε, Ἐσσυμένως ἐδίωκον ἀδελφεὼ υἷ' Ἀφαρῆος. Γαμβρὼ μελλογάμω Λυγκεὺς καὶ ὁ καρτερὸς Ἴδας. ὃς ἐλέγετο εἶναι πάνυ ὀξυδερκέστατος ὥστε καὶ τὰ ὑπὸ γῆν ὁρᾶν. οὕτω μὲν μυθολογοῦσι. πρὸς δὲ τὸ πιθανὸν τοῦ λόγου ἐπινενόηται, ὅτι πρῶτος οὗτος εὗρε μέταλλα χρυσοῦ καὶ σιδήρου καὶ τῶν ἄλλων. ἐν δὲ τῇ μεταλλεύσει λύχνους μεταφέρων ὑπὸ τὴν γῆν, τοὺς μὲν κατέλιπεν ἐκεῖσε. αὐτὸς δὲ ἀνέφερε τὸν χαλκὸν καὶ τὸν σίδηρον καὶ τὰ λοιπά. ἔλεγον οὖν οἱ ἄνθρωποι, ὅτι Λυγκεὺς καὶ τὰ ὑπὸ γῆν ὁρᾷ. καὶ καταδύνων, ἀργύριον περιφορεῖ.

Εὑρὼν ἀπαξάπαντα κατακεκλεισμένα.
Εἶτ' ὠνόμασε μου τὴν πρόνοιαν, δειλίαν.
Χρ. Μή νυν μελέτω σοι μηδέν. ὡς ἐὰν γένῃ
ἀνὴρ πρόθυμος αὐτὸς εἰς τὰ πράγματα,
βλέποντ' ἀποδείξω σ' ὀξύτερον τοῦ Λυγκέως.
Πλ. Πῶς οὖν δυνήσει τοῦτο δρᾶσαι θνητὸς ὤν.
Χρ. Ἔχω τιν' ἀγαθὴν ἐλπίδ' ἐξ ὧν εἶπέ μοι
ὁ Φοῖβος αὐτὸς, πυθικὴν σείσας δάφνην.
Πλ. Κἀκεῖνος οὖν ξύνοιδε ταῦτα; Χρ. Φήμ' ἐγώ.
Πλ. Ὁρᾶτε. Χρ. Μὴ φρόντιζε μηδὲν ὦγαθέ.
ἐγὼ γὰρ, εὖ τοῦτ' ἴσθι, κἂν δέῃ μ' ἀποθανεῖν,
αὐτὸς διαπράξω ταῦτα. Καρ. Κἂν βούλῃ γ' ἐγώ.
Χρ. Πολλοὶ δ' ἔσονται χἄτεροι νῷν ξύμμαχοι,
ὅσοις δικαίοις οὖσιν, οὐκ ἦν ἄλφιτα.
Πλ. Παπαῖ. πονηρούς γ' εἶπας ἡμῖν ξυμμάχους;
Χρ. Οὔκ, ἤν γε πλουτήσωσιν ἐξ ἀρχῆς πάλιν.

Γ Πυθικὴν σείσας δάφνην. φασὶν ὡς πλησίον τοῦ τρίποδος δάφνη ἵστατο, ἣν ἡ Πυθία ἡνίκα ἐχρησμῴδει ἔσειεν. Οὐκ ἦν ἄλφιτα. ἀντὶ τοῦ οὐκ ἦν χρήματα. ἀπὸ μέρους τὸ πᾶν. ἀπὸ γὰρ τῶν ἀλφίτων τὴν περιουσίαν δηλοῖ ἢ ἀπὸ τοῦ προηγουμένου τὸ ἑπόμενον. Παπαῖ πονηρούς εἶπας. τὸ παπαῖ σχετλιαστικὸν ἐνταῦθα. πονηροὺς δὲ, ἐπιπόνους ἀτυχεῖς ἀθλίους. ἢ τοὺς πόνου φροντίζοντας. ἴσον τῷ ἀσθενεῖς ἀπράκτους. ὡς φαμὲν πονήρως ἔχει τὰ πράγματα ἡμῖν. στικτέον δὲ εἰς τὸ πονηρούς. σημαίνει γὰρ νῦν, τὸ ἐπιπόνους. Οὔκ, ἤν γε πλουτήσωσιν οὐκ ἔσονταί φησι πονηροὶ καὶ ἐπίπονοι ἅπαξ πλουτήσαντες. Πλουτῶ ἀμεταβάτως, ἀντὶ τοῦ πλοῦτον ἔχω, καὶ πλουτῶ μεταβατικῶς πρὸς αἰτιατικὴν, οἷον πλουτῶ ἀρετὴν, καὶ πλουτῶ μεταβατικῶς πρὸς γενικὴν ὡς παρὰ Λιβανίῳ. πλουτῶ ῥήματος ἤγουν ἕνεκα τοῦ ῥήματος.

Τῶν μὲν γὰρ ἄλλων ἐστί. παρὰ τὸ ὁμηρικὸν πάντων μὲν κόρος ἐστὶ καὶ ὕπνου, καὶ φιλότητος. Ἔρωτος. ὁ δοῦλος λέγει τὰ πρὸς τὴν γαστέρα, πρὸς τὸ θυμῆρες τῆς κωμῳδίας ταῦτα τοῖς ὑπὸ τοῦ δεσπότου λεγομένοις σπουδαίοις παραπλέξας. Τραγημάτων. τὰ μετὰ τὴν εὐωχίαν τῇ τραπέζῃ τιθέμενα, καλοῦσι τραγήματα, ὅθεν καὶ παροιμία, ἐκ τραγημάτων τὴν εὐωχίαν, λέγεται δὲ ἡ παροιμία ἐπὶ τῶν ἀπὸ τῶν ἐλαττόνων τὸ μείζω θαυμαζόντων. Φακῆς, φακός ἐστιν ὁ ἄεψητος. φακῆ δὲ ἡ ἑψημένη. περισπᾶται δὲ ὥσπερ τὸ συκῆ ἀμυγδαλῆ καὶ τὰ τοιαῦτα. " Θεόκριτος. κάλλιον ὦ " 'πιμελητὰ φιλάργυρε " τὸν φακὸν ἕψειν.

Τῶν μὲν γὰρ ἄλλων ἐστὶ πάντων πλησμονή·
ἔρωτος. καρ. ἄρτων. χρ. μουσικῆς. καρ. τραγημάτων.
χρ. τιμῆς. καρ. πλακούντων. χρ. ἀνδραγαθίας. καρ. ἰσχάδων.
χρ. φιλοτιμίας. καρ. μάζης. χρ. στρατηγίας. καρ. φακῆς.
χρ. σοῦ δ᾽ ἐγένετ᾽ οὐδεὶς μεστὸς οὐδεπώποτε.
ἀλλ᾽ ἢν τάλαντά τις λάβῃ τριακαίδεκα,
πολὺ μᾶλλον ἐπιθυμεῖ λαβεῖν ἑκκαίδεκα.
κἂν ταῦτ᾽ ἀνύσῃ, τετταράκοντα βούλεται,
ἤ φησιν, οὐκ εἶναι βιωτὸν αὐτῷ τὸν βίον.
πλ. Εὖ τοι λέγειν ἔμοιγε, φαίνεσθον πάνυ.
πλὴν ἓν μόνον δέδοικα. χρ. φράζε τοῦ πέρι.
πλ. ὅπως ἐγὼ τὴν δύναμιν ἣν ὑμεῖς φατὲ,
ἔχειν με, ταύτης δεσπότης γενήσομαι.
χρ. νὴ τὸν Δί᾽. ἀλλὰ καὶ λέγουσι πάντες ὡς
δειλότατόν ἐσθ᾽ ὁ πλοῦτος. πλ. ἥκιστ᾽ ἀλλά με
Τοιχωρύχος τις διέβαλλ᾽. εἰσδὺς γάρ ποτε,
οὐκ εἶχεν εἰς τὴν οἰκίαν, οὐδὲν λαβεῖν,

Ἑκκαίδεκα. οἱ γράφοντες ἐξκαίδεκα καὶ φάσκοντες οὕτω κάλλιον γράφειν, ἐπεὶ οὐκ ἔστιν ἐξ πρόθεσις ἵνα συμφώνου ἐπαγομένου ἐκ γένηται, οὐ καλῶς οἴονται λέγουσι. καὶ δῆλον ἀπό τε τοῦ ἕκτου καὶ τοῦ ἐκτὸς. καὶ ἀπὸ τοῦ ἐκτικοῦ λεγομένου πυρετοῦ. οὐ γὰρ μόνον ἐν τῇ προθέσει τὸ ξ τρέπεται, ἀλλὰ καὶ ἐν ἑτέροις, ὡς δηλοῖ τὰ εἰρημένα. τὸ γὰρ ἑκτικὸν, ἐκ τῆς ἕξεως γέγονε. καὶ τὸ ἐκτὸς, ἐκ τοῦ ἔξω. καὶ τὸ ἕκτον ἀπὸ τοῦ ἕξ. Πλὴν ἓν μόνον δέδοικα. τυφλὸς γὰρ ὢν οὐ δύναμαι ἐπελθεῖν, εἰ καί μοι τοσαύτη δύναμίς ἐστι. δέον οὖν ἐστιν ἀναβλέψαι με. καὶ δέδοικα μὲν ἐγὼ ἀμεταβάτως, δεδίττω δὲ ἕτερον πρὸς αὐτὰ τὴν συνταττόμενον. Νὴ τὸν Δί᾽ ἀλλὰ καὶ λέγουσιν. οὐ σὺ μόνος λέγεις σαυτὸν δειλὸν, ἀλλὰ καὶ πάντες. τοῦτο δὲ εἶπεν, ἐπειδὴ ὁ πλοῦτος εἶπεν, ἓν μόνον δέδοικα. τὸ δὲ νὴ δία, κατωμοτικῶς ἀντὶ τοῦ ἔσῃ κύριος τῆς δυνάμεως. Δειλότατον. ἔσθ᾽ ὁ πλοῦτος λέγεται περὶ τῶν πλουσίων ὅτι δειλοὶ, διὰ τὸ ἀγωνιᾶν περὶ τῶν χρημάτων. αἰνίττεται δὲ εἰς Εὐριπίδην. ἐκεῖνος γάρ φησι. δειλὸν δ᾽ ὁ πλοῦτος καὶ φιλόψυχον κακόν. ἀναφέρεται δὲ ἐπὶ θεῶν ἡ τῶν χρωμένων κατηγορία. Τοιχωρύχος. περὶ πολλοῦ ποιοῦνται τὴν ἀσφάλειαν οἱ πλούσιοι. καί τις τῶν κωμικῶν φησι. τί πρῶτ᾽ " ἐστὶ χλωρὸν αὐτὶ βολῶ τὸ χρυσίον. δέδοικ᾽ ἐπιβουλευόμενον ὑπὸ πάντων ἀεί. οἱ γὰρ εὔποροι τῷ φόβῳ τοῦ μὴ ληφθῆναι τὰ χρήματα, δειλότεροι γίνονται τὸ ἐπ᾽ ἐκείνων οὖν μετήνεγκεν ἐπὶ τὸν πλοῦτον.

τῇ πόλει. δόξειε δ' ἂν ἐρᾶσθαι τῆς Λαΐδος, ἐκείνης ἐπαγομένης αὐτόν. οὐ γὰρ ἐκείνου ἠράσθη Λαΐς, ἣν Διογένης ὁ φιλόσοφος ἐπιγράφει τῆς ἑλληνικῆς ἀκρασίας τὸ τρόπαιον. Φιλωνίδης δὲ πλούσιος ἐν Κορίνθῳ. τούτου δὲ προσεποιεῖτο ἐρᾶν διὰ τὸν πλοῦτον Λαΐς. αὕτη δὲ θυγάτηρ ἦν Ἐπιμάνδρας. ἥτις ἐκ Καρῶν τῆς Σικελίας ἦν. ταύτην δὲ Φιλοξένῳ τῷ διθυραμβοποιῷ, δέδωκε Διονύσιος ὁ ἐν Σικελίᾳ τύραννος. εἰς Κόρινθον οὖν ἦλθεν ἅμα Φιλοξένῳ, καὶ ἐπίσημος ἐκεῖ ἐγένετο καὶ ἐφιλήθη ὑπὸ πάντων καὶ περιβόητος

Χρ. ὁ Τιμοθέου δὲ πύργος; Καρ. ἐμπέσοι γέ σοι.
Χρ. τὰ δὲ πράγματ' οὐχὶ διὰ σὲ πάντα πράττεται;
μονώτατος γὰρ εἶ σὺ πάντων αἴτιος,
καὶ τῶν κακῶν καὶ τῶν ἀγαθῶν, εὖ ἴσθ' ὅτι
Καρ. κρατοῦσι γοῦν κἀν τοῖς πολέμοις ἑκάστοτε,
ἐφ' οἷς ἂν οὗτος ἐπικαθίζηται μόνος.
Πλ. ἐγὼ τοσαῦτα δυνατός εἰμ' εἷς ὢν ποιεῖν;
Χρ. καὶ ναὶ μὰ Δία τούτων γε πολλῷ πλείονα.
ὥστ' οὐδὲ μεστὸς σου γέγον' οὐδεὶς πώποτε.

ἦν ἑταιρίς. λέγουσι δὲ ὅτι ἅμα Ἀλεξάνδρῳ ἀπεδήμησεν εἰς Πέρσας ἐκ Κορίνθου. ἡ δὲ Λαΐς ἐπιστημοτέρα γέγονε τῆς μητρὸς ἐν Κορίνθῳ. ὕστερον δὲ καὶ αὐτὴ ἀπεδήμησεν εἰς Θεσσαλίαν. ἔνθα Εὐρυλόχου τινὸς ἢ Ἀριστονίκου ἠράσθη. παρ' ᾧ καὶ ἐβίωσε τὸν λοιπὸν χρόνον. αὐτῆς δὲ πολλοὶ τῶν Θετταλῶν ἠράσθησαν. καὶ τῷ ἔρωτι τὰ πρόθυρα αὐτῆς οἴνῳ ἔβρεχον. καὶ φασὶν ὅτι ζηλοτυποῦσαι αἱ Θετταλαὶ γυναῖκες, ἐφόνευσαν αὐτὴν ξυλίναις χελώναις τύπτουσαι ἐν τῷ ἱερῷ τῆς Ἀφροδίτης, πανηγύρεως οὔσης, ἐν ᾗ ἄνδρες οὐ παρεγίνοντο. διὸ τούτου ἕνεκα λοιμὸς κατέλαβε τὴν Θετταλίαν. ἕως ὕστερον ἱερὸν ἐποίησαν ἀνοσίας Ἀφροδίτης, ἐπειδὴ αἱ γυναῖκες ἐν τῷ ἱερῷ, ἀνόσιον τετολμήκασι φόνον. Ὁ Τιμοθέου δὲ πύργος. οὗτος εἰς τοσοῦτον ἤρθη τῆς τύχης, ὥστε καὶ ἐν ὄψει τούτου τὴν δαίμονα φαίνεσθαι. κατασκευάσας δὲ πύργον, οὐκ ἀπὸ τύχης ἔφη κατεσκευακέναι. ἀλλ' ἀπ' ἀνδρείας. ὀργισθεῖσα δὲ ἡ τύχη πένητα ἐποίησεν. οὐκ εἴασε δὲ εἰπεῖν διὰ τὸ πλοῦτον ἐγένετο. ἀλλ' ἐπήγαγε παρ' ὑπόνοιαν. ἄλλως. ὁ Τιμόθεος πλούσιος ἅμα δὲ καὶ ὄλβιος ἀνὴρ στρατηγὸς Ἀθηναίων, τεῖχος οἰκοδομήσας εἰς τοσοῦτον ἤρθη τῆς τύχης, ὡς τὴν δαίμονα ὄψει φαίνεσθαι τούτῳ. καὶ ἐν Ἀθήναις ἐν εἰκόσιν ἐποίουν αὐτὸν κοιμώμενον οἱ ζωγράφοι, καὶ τὰς τύχας φερούσας αὐτῷ εἰς δίκτυα πόλεις καὶ πρεσβεύοντας αὐτάς, αἰνιττόμενοι τὴν εὐδαιμονίαν αὐτοῦ. ὃς ὑψηλὸν πάνυ πύργον ἐποίησεν ὡς πλούσιος. Ἐμπέσοι γέ σοι, παρ' ὑπόνοιαν τοῦτό φησι. δέον εἰπεῖν θαυμαστὸς καὶ μέγας. ἀλαζονευόμενος δὲ ἐπὶ τῇ εὐτυχίᾳ ὁ Τιμόθεος ἔφη μᾶλλον αὐτοῦ εἶναι ἢ τῆς τύχης τὰ πραττόμενα. διὸ καὶ ἠτύχηκεν ὕστερον, νεμεσησάσης αὐτῷ τῆς τύχης. πολλοὶ δὲ Τιμόθεοι κωμῳδοῦνται. νῦν δὲ τοῦ στρατηγοῦ μέμνηται.

Μονώτατος γὰρ εἶ σύ. Λυκοῦργος κατὰ Λεωκράτους. τοιγαροῦν μονώτατοι ἐπώνυμοι τῆς χώρας εἰσί. Κρατοῦσι γοῦν. χρήμασι γὰρ ἐπικτῶνται συμμάχους καὶ περιγίνονται. Ἐπικαθέζηται, ἀπὸ μεταφορᾶς τῶν ζυγῶν. καθέζεσθαι γὰρ τὸ βαροῦν λέγεται. Ναὶ μὰ Δία. ὅτι καὶ ἐπὶ καταμοτικοῦ τὸ μὰ Δία, ὅταν αὐτοῦ προτάσσηται τὸ ναί.

Τὸν μὲν

καὶ τέρδας ἀφιέναι. καὶ εἰς θρασύτητα ἢ τὸν ἀργύριον κωμῳδοῦσι. πέρδεται δὲ, τρυφῶν ἐπὶ τῷ πλουτεῖν. Φιλέψιος, οὗτος πένης ὢν λέγων ἱστορίας ἐτρέφετο. περαιτέρω δὲ ὅτι καὶ λάλος διαβάλλεται. ὡς ὁ πλάτων ὁ κωμικός. Η ξυμμαχία. ἐπὶ ἀμάσιδος αἰγυπτίων βασιλέως ἐν ἀποδείᾳ ὄντες οἱ ἀθηναῖοι, ἔπεμψαν πρὸς αὐτὸν αἰτοῦντες σῖτον. καὶ ἔπεμψεν αὐτοῖς ἱκανόν. ἐκ τούτου ἀθηναῖοι ἔπεμψαν τοῖς αἰγυπτίοις συμμαχίαν εἰς τὸν τῶν περσῶν πόλεμον. καὶ εἶχον φιλίαν καὶ συμμαχίαν πρὸς ἀλλήλους. ὕστερον μέντοι ἐλύθη καὶ συνεμάχησαν οἱ ἀθηναῖοι τοῖς βασιλέως στρατηγοῖς κατὰ τῶν αἰγυπτίων ἰφικράτους ἡγουμένου. ἦσαν γὰρ

Χρ. Αργύριος δ' οὐχὶ διὰ τοῦτον πέρδεται;
Καρ. Φιλέψιος δ' οὐχ ἕνεκά σου μύθους λέγει;
Χρ. Η ξυμμαχία δ' οὐχὶ διὰ σὲ τοῖς αἰγυπτίοις;
Καρ. Ερᾷ δ' ἡ λαῒς οὐ διὰ σὲ φιλωνίδου;

ἄμφω αὐτοῖς φίλοι. διὸ καὶ ψαμμίτιχος λέγεται πέμψαι πυρῶν μυριάδας τρεῖς. ἄλλως. ψαμμίτιχος χαλεπὸς αἰγυπτίων τύραννος, καὶ σκαιότατος, Βούσιριν ὑπερηκοντικώς. οὗ καταψηφισάμενοι οἱ ἀρχόμενοι, πρεσβεύουσι πρὸς ἀθηναίους διὰ σίτου ἀποπομπῆς ἀμοιβαῖον αἰτοῦντες καὶ ἀμείλικτον ἄρχοντα, τοῦτον ἐκβαλόντες. ἄλλως. ὅτε ξέρξης, ἐπ' αἰγυπτίους ἐστράτευσε, οἱ ἀθηναῖοι συμμαχίαν αὐτοῖς ἀπέστειλαν. ἄλλως. Ιναρως ὁ τῶν αἰγυπτίων βασιλεὺς ἀποστὰς τοῦ βασιλέως ξέρξου μοῖραν τινὰ τῆς αἰγύπτου καὶ χρήματα πέμψας τοῖς ἀθηναίοις ἔλαβε συμμάχους οἵτινες καὶ διαπεράσαντες εἰς τὴν αἴγυπτον καὶ ἔν τινι τῶν τοῦ νείλου στομάτων ἀναπλεύσαντες, προσέσχον τοῖς ἕλλησι. μεγάβαζος δὲ ὁ τοῦ βασιλέως περσῶν στρατηγὸς τὸν ποταμὸν διακόψας, καὶ ἀλλαχόσε τρέψας εἷλεν ἐκείνους ἐπὶ ξηρᾶς καὶ ἀπέκτεινεν.

Ερᾷ δ' ἡ λαῒς. ὅτι Αριστοφάνης οὐ λέγει σύμφωνα κατὰ τοὺς χρόνους. ληφθῆναι γάρ φασιν αὐτὴν ἐν σικελίᾳ πολιχνίου τινὸς ἁλόντος ὑπὸ Νικίου ἑπταέτη. ὠνηθῆναι δὲ ὑπό κορινθίου τινὸς, καὶ πεμφθῆναι δῶρον τῇ γυναικὶ εἰς κόρινθον. ἵνα δὴ ἐπὶ χαβρίου τις ταῦτα γενέσθαι δῷ ὅτε εὖ ἔπραττον ἀθηναῖοι ἐν σικελίᾳ. ἔστι δὲ ἕως διοκλέους ἔτη ιδ'. ὥστε ἄλογον διὰ ὀνόματος αὐτὴν ἐπαίρειν. ἐμφαίνει δὲ καὶ πλάτων ἐν τῷ φαίδρῳ ἑπτακαιδεκάτῳ ἔτει ὕστερον διδαχθῆναι ἐπὶ διοκλέους ὡς μηκέτι αὐτῆς οὔσης. δύναται μέντοι καὶ αὐτῆς ζώσης λέγεσθαι. φιλωνίδην δὲ οὐ τὸν ποιητήν φησι τὸν ἐν τοῖς ἀριστοφανείοις ἐγγεγραμμένον δράμασιν. ὡς οἱ περὶ καλλίστρατον ἐν τῇ ὁμωνυμίᾳ πλανηθέντες. ἀλλὰ πάσης ἕνεκεν τὸν αἴσχιστον καὶ ἀπαίδευτον. κωμῳδεῖται δὲ ὡς εὔπορος καὶ ὡς μέγας τῷ σώματι, καὶ ἠλίθιος. Νικοχάρης γαλατείᾳ. ἡ δὲ τ' ἀπαιδευτότερος εἶ φιλωνίδου τοῦ μελιτέως. περὶ δὲ τοῦ μεγέθους, φύλλιος φησίν. ἥτις κάμηλος ἔτεκε τὸν φιλωνίδην. καὶ πλάτων δὲ, λαῒ φησιν οὐχ ὁρᾷς ὅτι φιλωνίδην τρίτοκεν ἡ μήτηρ, ἀνόητον μελιτέα, καὶ οὐκ ἔπαθεν οὐδὲν. καὶ θεόπομπος ἀφροδισίοις. ὄνος μὲν ὄγκαθ' ὁ μελίτου φιλωνίδης. ὄνῳ μιγείσης μητρὸς ἔβλαστε

Μέγας δὲ βασιλεύς. τὸν τῶν Περσῶν λέγει. οὕτω γὰρ ἔλεγον αὐτὸν διὰ τὸ πλείονι δυνάμει χρῆσθαι. Περσικῇ κομᾷ δὲ εἶπεν, τουτέστι σεμνύνεται τῇ περιουσίᾳ τῆς ἀρχῆς. ἀπὸ τῶν μέγα φρονούντων τῇ κόμῃ. Ἐκκλησία δέ, ἵνα πόρον εὕρῃ χρημάτων. ἐκκλησιάζομεν γὰρ ἢ τῶν ἰδίων τι σῶσαι βουλόμενοι ἢ τῶν ἀλλοτρίων σφετερίσασθαι. διαβάλλει δὲ τὸ ἐπὶ φιλονεικίᾳ τῶν Ἀθηναίων τριώβολον. Τὰς τριήρεις. οἱ γὰρ εὔποροι τῶν τριηράρχων, πλείονας ναύτας ἔτρεφον. καὶ διὰ τοῦτο ἐπλήρουν τὰς ναῦς. οἱ δὲ πένητες οὐδαμοῦ.

χρ μέγας δὲ βασιλεὺς οὐχὶ διὰ τοῦτον κομᾷ;
καρ ἐκκλησία δ' οὐχὶ διὰ τοῦτον γίγνεται;
χρ τί δέ. τὰς τριήρεις οὐ σὺ συμπληροῖς εἰπέ μοι;
καρ τὸ δ' ἐν Κορίνθῳ ξενικὸν οὐχ οὗτος τρέφει;
χρ ὁ Γάμφιλος δ' οὐχὶ διὰ τοῦτον κλαύσεται;
καρ ὁ Βελονοπώλης δ' οὐχὶ μετὰ τοῦ Γαμφίλου,

Τὸ δ' ἐν Κορίνθῳ. ὡς τῶν Ἀθηναίων δι' ἑαυτῶν μὴ βουλομένων πολεμεῖν πρὸς Κορινθίους διὰ τὸν κίνδυνον. μισθουμένων δὲ ξένους εἰς τὸν πόλεμον καὶ τρεφόντων αὐτούς. τοῦτο δὲ ἐν τοῖς πολλοῖς τῶν πολέμων διεπράττοντο. ἄλλως. ὡς ἀεὶ ξενικόν τι ἐχόντων Κορινθίων καὶ οὐχ ὡς ἰδίως κατὰ τὸν καιρὸν τοῦτον. δῆλον δὲ ἐκ τοῦ ἐν δευτέρῳ φέρεσθαι. ὁ ἔσχατος ἐδιδάχθη ὑπ' αὐτοῦ εἰκοστῷ ἔτει ὕστερον. εἰ μὴ ὅπερ εἰκὸς ἐκ τοῦ δευτέρου τοῦτο μετήνεγκε. ἐκεῖ γὰρ ὀρθῶς ἔχει. ἤδη γὰρ ὁ Κορινθιακὸς πόλεμος συνέστη τρισὶν ἢ τέτρασιν ἔτεσι πρότερον τοῦ Ἀντιπάτρου ὑφ' οὗ ἐδιδάχθη. καὶ τὸ συμμαχικὸν ἐπαναθροισθὲν ἐν Κορίνθῳ. τὸ δὲ Λακεδαιμονικὸν ἐν Σικυῶνι. ἄλλως. μετὰ τὸν πόλεμον τὸν Πελοποννησιακόν, αὐτοὶ οἱ σύμμαχοι τῶν Λακεδαιμονίων, ἐκρότησαν πόλεμον κατ' αὐτῶν. συνέβαλον δὲ αὐτοῖς Ἀθηναῖοι καὶ ἔσχον τὴν Κόρινθον ὁρμητήριον. εἰς ἣν ἔπεμψαν ξενικὸν στράτευμα καὶ αὐτοὶ ἔτρεφον αὐτό. τοῦ δὲ στρατεύματος ἦρχεν Ἰφικράτης ὁ στρατηγός. τινὲς δέ φασι Κορινθίοις ἀδικουμένοις ὑπὸ Λακεδαιμονίων συμμάχους πέμψαι Ἀθηναίους, καὶ ἔτρεφον Κορίνθιοι. φασὶ δὲ αὐτοὺς ὑφορωμένους Ἀθηναίους ξενικὸν τρέφειν συμμαχίας χάριν. ἣν δὲ καταστήσας τοὺς ξένους ἐν Κορίνθῳ, Κόνων ὁ Ἀθηναίων στρατηγὸς καθελὼν Λακεδαιμονίους, ὅπως φυλάττοι τὴν ἔφοδον αὐτῶν. ἄλλως. διττῶς ᾄδεται ἡ ἱστορία. ἢ ὅτι Κορίνθιοι Λακεδαιμονίους ὑφορώμενοι ἐμισθοῦντό τινας τῶν Ἀθηναίων εἰς τὴν αὐτῶν φυλακήν. ἢ Ἀθηναίους ἐφοβοῦντο, ἵνα μὴ ὑπ' αὐτῶν δουλαγωγηθεῖεν. καὶ διὰ τοῦτο ξένους τινὰς ἐν Κορίνθῳ ἔτρεφον. ἀσφαλείας ἕνεκα.

Ὁ Γάμφιλος δέ, ὁ Πάμφιλος οὗτος καὶ ὁ βελονοπώλης, ἀμφότεροι δ' ἀκεισταὶ Ἀθήνησιν. ἀντὶ τοῦ εἰπεῖν πλουτοῦσιν, εἶπεν οὐχὶ κλαύσονται. ὁ Πάμφιλος δὲ δημαγωγὸς ἦν οἱονεὶ πολιτευόμενος. καὶ ἔκλεπτε τὰ τοῦ δήμου. ὡς καὶ Πλάτων φησὶν Ἀμφιαράῳ. καὶ νὴ Δί' εἰ Πάμφιλόν γε φαίης κλέπτειν τὰ κοινά, ἅμα τι συκοφαντῶν. οὗτος οὖν ἁλοὺς ἐπὶ κλοπῇ τῶν δημοσίων χρημάτων, ἀθρόως ἐξέπεσε δημευθείς, ταύτην δίκην πεπονθώς. τινὲς δὲ τὸν βελονοπώλην παράσιτόν φασι τοῦ Παμφίλου, δυστυχοῦντος οὖν τοῦ Παμφίλου ἀνάγκη καὶ αὐτὸν συνδυστυχεῖν αὐτῷ. Ἀργύριος δὲ Ἀθηναῖος οὗτος ἐπὶ μαλακίᾳ τοσοῦτον διαβάλλεται, ὡς

οὐ τῶν ἐραστῶν, ἀλλὰ τἀργυρίου χάριν.

Χρ. οὔ τούς γε χρηστούς, ἀλλὰ τοὺς πόρνους· ἐπεὶ
αἰτοῦσιν οὐκ ἀργύριον οἱ χρηστοί. Καρ. τί δαί.

Χρ. ὁ μὲν ἵππον ἀγαθόν· ὁ δὲ, κύνας θηρευτικάς.

Καρ. αἰσχυνόμενοι γὰρ ἀργύριον αἰτεῖν ἴσως.
ὀνόματι περιπέττουσι τὴν μοχθηρίαν.

Χρ. τέχναι δὲ πᾶσαι διὰ σὲ καὶ σοφίσματα.
ἐν τοῖσιν ἀνθρώποισιν ἔσθ' εὑρημένα.
ὁ μὲν γὰρ αὐτῶν, σκυτοτομεῖ καθήμενος.
ἕτερος δὲ χαλκεύει τις. ὁ δὲ, τεκταίνεται.
ὁ δὲ, χρυσοχοεῖ γε, χρυσίον παρὰ σοῦ λαβών.
ὁ δὲ, λωποδυτεῖ γε νὴ δί'. ὁ δὲ, τοιχωρυχεῖ.
ὁ δὲ, κναφεύει τις. ὁ δὲ, πλύνει κώδια.
ὁ δὲ, βυρσοδεψεῖ γ'. ὁ δέ γε πωλεῖ κρόμμυα.
ὁ δ' ἁλούς γε μοιχὸς, διὰ σέ που παρατίλλεται.

Πλ. οἴμοι τάλας· ταυτί μ' ἐλάνθανε πάλαι.

Αἰτοῦσιν. αἰτῶ καὶ αἰτοῦμαι τὸ αὐτὸ ὡς περιποιῶ καὶ ποιοῦμαι, πλὴν ὅτι τὸ μὲν αἰτῶ τὸ ἁπλῶς ζητῶ, τὸ δὲ αἰτοῦμαι τὸ μεθ' ἱκεσίας. Τί δαί. σύνδεσμος ἐρωτηματικός. διὰ δὲ τὴν ἔκτασιν δίφθογγον γράφεται. Περιπέττουσι, διὰ τὸ τῶν προσθέτων κοσμεῖσθαι κόσμῳ. ὁ αὐτὸς θεσμοφόροις. ὃς ἦν περίεργος αὐταῖσι τοῖς φορήμασι, ὅσαι ἔτι περιπέττουσιν ἑαυτὰς προσθέτοις ἢ περιπέττουσιν ἀντὶ τοῦ περικαλύπτουσιν τὴν ἀσέλγειαν. μοχθηρίαν δὲ τὴν τοῦ ἀργυρίου ἐπιθυμίαν. ἢ τὴν τῆς αἰτήσεως τοῦ ἀργυρίου. τὸ δὲ περιπέττειν, ἤτοι ἀπὸ τοῦ παραπετάσματος εἴρηται, ἢ ἀπὸ τῶν ζύμῃ τὰ ἄλφιτα περιλαμβανόντων. καὶ τούτοις περικαλυπτόντων τινά. εἰώθασι γὰρ τὰ καταλιμπανόμενα ἀφ' ἑκάστου ἄρτου μαγνῦντες ποιεῖν ἄρτον. δοκεῖ οὖν ὅτι. εἰώθασι καταχρῆσθαι τῷ ὀνόματι τοῦ ἵππου εἰς τὴν μοχθηρίαν. Τέχναι δὲ πᾶσαι διὰ σέ. οἷον μηχαναὶ πλοίων κατασκευαί. τέχναι λέγονται τὰ τῶν ἀνθρώπων σοφίσματα οἷον χαλκευτική, τεκτονικὴ καὶ ὅσαι ἄλλαι τοιαῦται. τέχνη λέγεται καὶ ἡ μηχανὴ καὶ ὁ δόλος ἀφ' ἧς καὶ τεχνάζομαι ἀντὶ τοῦ δολιεύομαι καὶ μηχανῶμαι. σοφίσματα δὲ τὰ διὰ λόγων μαθήματα. Ἔσθ' εὑρημένα. τὴν σύνταξιν πρὸς τὸ οὐδέτερον πληθυντικὸν ἀπέδωκε. λέγε δὴ τὸ εὑρημένα πρὸς τὸ σοφίσματα. Κναφεύει. ἀττικὸν μὲν τὸ διὰ τοῦ κ. κοινὸν δὲ τὸ διὰ τοῦ γ. οἱ παλαιοὶ δὲ ἀττικοὶ διὰ τοῦ κ, κνάφος. ἔστι δὲ ἄκανθα δέ τι, ᾧ ξαίνουσι τὰ ἱμάτια. οἱ δὲ νεώτεροι διὰ τοῦ γ παρὰ τὴν γνάψιν. κναφεὺς δὲ παρὰ τὸ κνῶ. ὃ σημαίνει τὸ ξύω. ὅμηρος. ἐπὶ δ' αἴγειον κνῆ τυρὸν καὶ κνήστι χαλκείῃ παρὰ τὴν τοῦ φάρους γνάψιν. ἤ τις ἐστὶ παρὰ τὸ γάνος τὸ λαμπρόν.

Παρατίλλεται ἔθος ἦν τὸν ἁλόντα μοιχείας παρατίλλεσθαι ἵνα δοὺς ἀργύριον τῆς ποινῆς, λυθῇ. παρατίλλεται οὖν, διασείεται. τὰς τρίχας τοῦ πρωκτοῦ τίλλεται. αὕτη γὰρ ὡρισμένη δίκη τοῖς μοιχοῖς πένησιν. ἀποραφανίδωσις καὶ παρατιλμός. οἱ γὰρ πλούσιοι χρήματα παρέχοντες ἀπελύοντο. παρατίλλεται οὖν φησι διὰ τὸ μὴ δύνασθαι χρήμασι λυτροῦσθαι τὴν φυγήν. δημοσίᾳ γὰρ ταῦτα ἔπασχον.

φ φῆμ' ἐγώ. ὅτι ἀναβιβάζεται ἡ ὀξεῖα, πάλιν ὀξεῖα ὀφείλει τίθεσθαι. οὐ μὴν περισπωμένη. ἄτοπον γὰρ ὥσπερ ἐνταῦθα τὸ φῆμ' ἐγώ. καὶ τὸ χρῆσθ' ἔδρασε. καὶ τὸ δεῖν' ἄττα. καὶ τὰ τοιαῦτα. ἀλλὰ καὶ ὅτι περισπωμένη ἔν τινι λέξει κεῖται μονοσυλλάβως, εἰ μὲν πρὸ δύο συλλαβῶν ἐστὶ τόνος, ἐγκλινέσθω. οἷον οὔτοι περισπουδὴν ποιεῖς. οὐκ ἔστι πω τὰ πράγματα ἐν τούτῳ. εἰ δὲ πρὸ τριῶν συλλαβῶν ἐστὶν ὁ τόνος, ἄτοπον τὴν περισπωμένην ἀναβιβάζειν καὶ ὀξεῖαν ποιεῖν. ὡς ἐν τῷ ἕνεκα σοῦ μύθους λέγει. καὶ τοῖς τοιούτοις. χρὴ γὰρ ἀκίνητον τηρεῖν τὴν περισπωμένην. καὶ μὴ διὰ τὸν πρὸς τὴν ἀνάγνωσιν κρότον, ἄτοπά τινα καὶ ἀνάρμοστα πάνυ καινοτομεῖν. ἔνθα δὲ ἀνάγκη τις ἐστὶ καὶ οὐκ ἂν ἄλλως ἔχῃ ῥηθῆναι, οὐ καινόν ἐστι καινοτομῆσαί τι. οἷον, ἐπὶ τοῦ μέμνηταί μου. καὶ τῶν τοιούτων. ἄνευ δ' ἀνάγκης τοιαῦτα καινοτομεῖν, οὔ μοι δοκεῖ λόγον ἔχειν.

ΠΛ. τί λέγεις; δι' ἐμὲ θύουσιν αὐτῷ; ΧΡ. φῆμ' ἐγώ.
καὶ νὴ Δί' εἴ τί γ' ἔστι λαμπρὸν καὶ καλὸν,
ἢ χάριεν ἀνθρώποισι, διὰ σὲ γίγνεται.
ἅπαντα τῷ πλουτεῖν γάρ ἐσθ' ὑπήκοα.
ΚΑΡ. ἔγωγέ τοι διὰ σμικρὸν γ' ἀργυρίδιον,
δοῦλος γεγένημαι. διὰ τὸ μὴ πλουτεῖν ἴσως.
ΧΡ. καὶ τάς γ' ἑταίρας φασὶ τὰς κορινθίας,
ὅταν μὲν αὐτάς τις πένης πειρῶν τύχῃ,
οὐδὲ προσέχειν τὸν νοῦν. ἐὰν δὲ πλούσιος,
τὸν πρωκτὸν αὐτὰς εὐθὺς ὡς τοῦτον τρέπειν.
ΚΑΡ. καὶ τούς γε παῖδάς φασι ταὐτὸ τοῦτο δρᾶν.

Διὰ μικρὸν ἀργυρίδιον. καλῶς τὸ μικρόν. οὔτε γὰρ πολυτίμητοι οὔτε ἀξιόπιστοι οἱ δοῦλοι. ἐξηυτέλισε δὲ ἑαυτὸν πρὸς τὸ ἐπιτυχεῖν τοῦ σκοποῦ. διαφέρει δὲ ἡ ἔγωγε τοῦ ἐγώ, ὅτι τὴν μὲν ἔγωγε ἐπὶ ἀρχῆς μόνον τίθεσθαι καὶ ἔστιν ἀττική. τὴν δὲ ἐγώ, καὶ ἐν τῇ ἀρχῇ καὶ μεταξύ. καὶ ἔστι κοινή. τὸ δὲ ἴσως ἢ διαστατικὸν ἢ ἐπίσης τοῖς ἄλλοις. τὸ δὲ γέ τοι ἢ ἀντὶ τοῦ δέ, ἢ ἀντὶ τοῦ γάρ, ὃ καὶ κρεῖττον. εὕρηται δὲ καὶ ἐν πολλοῖς τῶν λογογράφων, ὡς ἐξετάζων εὑρήσεις. λιβάνιος γάρ φησι. „σὺ δὲ οὕτω „πικρὸς ὥστε καιροῦ παραπεσόντος ἐτιμωρήσω. ἰούλιός γέ τοι τῶν μὲν ἄλλων γράμματα ἐκόμισε, παρὰ σοῦ δὲ σιγῆς αἰτίαν. Καὶ τάς γ' ἑταίρας. ἐπίσημοι ἐν Κορίνθῳ ἑταῖραι μνημονεύονται. λαΐς. κυρήνη. λέαινα. σινώπη. πυρρίνη. σικυώνη. στράβων δὲ ἐν ὀγδόῳ τῶν γεωγραφουμένων εἶναί φησιν ἐν Κορίνθῳ ἀφροδίτης ἱερὸν ἐν ᾧ πλεῖν ἢ χιλίας ἑταιρίδας ἀφωσιωμένας τῇ θεᾷ, προκεῖσθαι τοῖς βουλομένοις. ἑκάστην τῶν ἀφικνουμένων ὑπαγαγούσας. μηδένα μέντοι τῶν μὴ βίῳ διαφερόντων προσιεμένας. ὅθεν τὸ λεγόμενον πεπαροιμιάσθαι, οὐ παντὸς ἀνδρὸς ἐς Κόρινθον ἔσθ' ὁ πλοῦς. φωκίων δὲ ὁ περιπατητικὸς, ἐν τῷ κόρακι τῆς ἀμαλθείας, δημοσθένην ἱστορεῖ λαΐδος αὐτὸν μυρίας δραχμὰς αἰτησαμένης εἰς μισθὸν παννυχίδος, οὐχ ὠνοῦμαι φάναι μυρίων δραχμῶν μεταμέλειαν. περὶ δὲ λαΐδος ἐν τοῖς ἑξῆς ἀκριβέστερον εἰρήσεται. Οὐδὲ προσέχειν τὸν νοῦν. οὐ μόνον ὅτι οὐ προσδιαλέγονται, ἀλλ' οὐδὲ ὁρῶσι σχεδόν. Τὸν πρωκτὸν αὐτάς. πρὸς τὸ ἐρεθίζειν αὐτούς. ἄτοπον δὲ τὴν γυναῖκα τὸ ἔμπροσθεν μόριον ἐπισείειν. σφόδρα δὲ ἄσημον ἐγκρούειν τῷ πρωκτῷ.

κυρίως μὲν ἡ ἀπὸ ἀποδημίας οἴκαδε ἄφιξις. καταχρηστικῶς δὲ ἡ ἀπὸ τόπου εἰς τόπον μετάβασις καὶ πορεία. Ὀρρωδῶ πάνυ, φοβοῦμαι. ἀπὸ τοῦ ὄρρου. ὅ ἐστι μέσον τοῦ ὀρροπυγίου τῆς περιστερᾶς. ἔστι γὰρ τρομερὸν τὸ μέρος. καὶ κυρίως μὲν ἐπὶ τῶν ἀλόγων δέους. περιττὸν ἢ παρὰ τὸ σείοντα τὴν οὐρὰν δηλοῦν τὸ δέος. ἢ παρὰ τὸ ἐγκρύπτειν τούτῳ τῷ μέρει τὰ αἰδοῖα κατὰ τὴν τοῦ δέους διάθεσιν. ἢ ὅτι τῶν φοβουμένων εἴωθεν ὁ ὄρρος ἤτοι ὁ πρωκτός. Ὄρρος δέ ἐστιν τὸ ἔπαιον τῆς πυγῆς ὀστοῦν, ἐξ οὗ ἡ οὐρὰ τῶν ζώων φύεται.

ΠΛ. οὐκ οἶδ᾽· ἐγὼ δ᾽ ἐκεῖνον ὀρρωδῶ πάνυ.
ΧΡ. ἄληθες; ὦ δειλότατε πάντων δαιμόνων.
οἴει γὰρ εἶναι τὴν Διὸς τυραννίδα,
καὶ τοὺς κεραυνοὺς, ἀξίους τριωβόλου.
ἐὰν ἀναβλέψῃς σὺ, κἂν μικρὸν χρόνον;
ΠΛ. ἆ. μὴ λέγ᾽ ὦ πονηρὲ ταῦτ᾽. ΧΡ. ἔχ᾽ ἥσυχος.
ἐγὼ γὰρ ἀποδείξω σε τοῦ Διὸς πολὺ
μεῖζω δυνάμενον. ΠΛ. ἐμὲ σύ; ΧΡ. νὴ τὸν οὐρανόν.
αὐτίκα γάρ. ἄρχει διὰ τίν᾽ ὁ Ζεὺς τῶν θεῶν;
ΚΑΡ. διὰ τἀργύριον. πλεῖστον γάρ ἐστ᾽ αὐτῷ. ΧΡ. φέρε.
τίς οὖν ὁ παρέχων ἐστὶν αὐτῷ τοῦθ᾽. ΚΑΡ. ὁδί.
ΧΡ. θύουσι δ᾽ αὐτῷ διὰ τίν᾽. οὐ διὰ τουτονί;
ΚΑΡ. καὶ νὴ Δί᾽. εὔχονταί γε πλουτεῖν ἄντικρυς.
ΧΡ. οὔκουν, ὅδ᾽ ἐστὶν αἴτιος καὶ ῥᾳδίως
παύσειεν εἰ βούλοιτο ταῦτ᾽ ἄν. ΠΛ. ὅτι τί δή.
ΧΡ. ὅτ᾽ οὐδ᾽ ἂν εἷς θύσειεν ἀνθρώπων ἔτι,
οὐ βοῦν ἄν, οὐχὶ ψαιστόν. οὐκ ἄλλ᾽ οὐδὲ ἕν.
μὴ βουλομένου σοῦ. ΠΛ. πῶς ΧΡ. ὅπως; οὐκ ἔσθ᾽ ὅπως
ὠνήσεται δήπουθεν, ἢν σὺ μὴ παρὼν
αὐτὸς διδῷς τἀργύριον. ὥστε τοῦ Διὸς
τὴν δύναμιν ἢν λυπῇ τι, καταλύσεις μόνος.

Ἄληθες. ἴσον τῷ ὄντως. ἀξιοῦσι τὸ ὀξύνειν τὴν πρώτην ὅταν τὸ δηλῇ. ἔστι δὲ ἐπίρρημα θαυμαστικὸν καὶ προπαροξύτονον ἀττικῶς. Τοὺς κεραυνούς. τὰ μέγιστα ἀμυντήρια τοῦ Διός. ἐκ δὲ τούτου τὴν δύναμιν αὐτοῦ λέγει. Κἂν μακρὸν χρόνον. τὸ κἂν δηλοῖ τὸ καὶ ἐάν. νῦν δὲ ἐπὶ τῆς συνηθείας ὃ σπανίως εὕρηται. Ἆ μὴ λέγ᾽. ἐπίρρημα ἐπιτιμητικόν. πονηρὲ δὲ ἤγουν ταλαίπωρε ἢ ἄθλιε. εὕρηται γὰρ καὶ οὕτω μετατιθεμένου τοῦ τόνου ἀττικῶς. Θύουσι δ᾽ αὐτῷ. ἅπερ ἐπὶ τῶν δυναστευόντων ἀεὶ συμβαίνει, ταῦτα ἐπὶ τοῦ Διὸς μετήγαγεν.

Ἄντικρυς. δι᾽ ἐναντίας φανερῶς. ὁ δὲ ποιητὴς ἐκτεταμένως λέγει δίχα τοῦ σ ἄντικρυ δηλονότι. Ὅτι τί δή. ἤγουν πῶς ἂν τὸ τιμᾶσθαι τὸν Δία καὶ βασιλεύειν τὸν θεὸν παύσω, ἤγουν πῶς ἄρα ἢ διὰ τί, ἃ πρότερον τοῦτ᾽ ἔλεξας. Θύσειεν. ὅτι ἐπὶ τοῦ θυμιᾶσαι τὸ θύειν. ἐπὶ μέντοι τοῦ βοὸς σφάξειεν. ἐπὶ δὲ τοῦ ψαιστοῦ θυμιάσειεν, κυρίως δὲ ψαιστὸν, ἄλευρον ἐλαίῳ δεδευμένον. καταχρηστικῶς δὲ καὶ τὸ πόπανον. Ὅπως. οὐκ ἔσθ᾽ ὅπως. τὸ πρῶτον ὅπως εἰ μὲν μετὰ ὑποστιγμῆς νοεῖς, ἀντὶ τοῦ πῶς νοήσεις. εἰ δὲ κατὰ ἀπόφασιν ἀντὶ τοῦ ὅτι. Καταλύσεις. καταλύω τὸ ἀφανίζω καὶ διαλύω. ὃ καὶ μεταβαίνει συντασσόμενον μετὰ αἰτιατικῆς ὡς κἀνταῦθα, καὶ ὁ Φάλαρις ἐβούλεσθε τὸν πρὸς ὑμᾶς καταλῦσαι πόλεμον. καταλύω καὶ τὸ ἀναπαύομαι ἀμεταβάτως, ἀφ᾽ οὗ καὶ κατάλυμα, ἡ ἀνάπαυσις.

τὸ σημαινόμενον. τὴν ἀπὸ τῆς τέχνης στέρησιν, καὶ τὸ ἀδιάφορον τῆς χρήσεως. ἀτεχνῶς οἱο-
νεὶ ἀτενῶς μετὰ προσῳδίας τοῦ χ. ἄλλως. ἀτεχνῶς ἄνευ τέχνης. ἀπὸ μεταφορᾶς τῶν ἀθλη-
τῶν τῶν μὴ τεχνικῶν, ἀλλὰ δυνάμει ἢ καθάπαξ. ἢ ἁπλῶς. ἐὰν δέ τις παρὰ τὴν
τέχνην λέγῃ τι ἢ μή, οὐκ ἔστι προπαροξυτόνως, ἀλλὰ βαρυτόνως. ἀτέχνως ποιεῖς, ἀτέ-
χνως λέγεις. ὁ δὲ νοῦς καὶ φύσει τις ᾖ χρηστὸς ἐπὶ τὸ χεῖρον μεθίσταται ὑπὸ τῶν χρη-
μάτων. Μὰ τὸν Δία. τὸ μὰ τὸν Δία ἢ πρὸς τὸ ἐπίθεν συναπτέον ἢ μόνον λέγε, ἵνα ᾖ βε-
βαιωτικὸν τοῦ οὐχ εὑρήσεις, ἢ πρὸς τὸ ἐπαγόμενον συναπτέον.

ΠΛ. μὰ τὸν Δί', οὐ γὰρ ἔστιν ἄλλος πλὴν ἐγώ.
ταυτὶ λέγουσι πάντες· ἡνίκ' ἂν δ' ἐμοῦ
τύχωσ' ἀληθῶς καὶ γένωνται πλούσιοι,
ἀτεχνῶς ὑπερβάλλουσι τῇ μοχθηρίᾳ.
ΧΡ. ἔχει μὲν οὕτως. εἰσὶ δ' οὐ πάντες κακοί.
ΠΛ. μὰ Δί', ἀλλ' ἅπαξ ἅπαντες. ΚΑΡ. οἰμώξει μακρά.
ΧΡ. σὺ δ' ὡς ἂν εἰδῇς, ὅσα παρ' ἡμῖν ἢν μένῃς
γενήσετ' ἀγαθά, πρόσεχε τὸν νοῦν, ἵνα πύθῃ.
οἶμαι γάρ, οἶμαι, ξὺν θεῷ δ' εἰρήσεται,
ταύτης ἀπαλλάξειν σε τῆς ὀφθαλμίας,
βλέψαι ποιήσας. ΠΛ. μηδαμῶς τοῦτ' ἐργάσῃ.
οὐ βούλομαι γὰρ πάλιν ἀναβλέψαι. ΧΡ. τί φῄς;
ΚΑΡ. ἄνθρωπος οὗτός ἐστιν ἄθλιος φύσει.
ΠΛ. ὁ Ζεὺς μὲν οὖν εἰδὼς τὰ τούτων μῶρ', ἔμ' εἰ
πύθοιτ' ἂν ἐπιτρίψειε. ΧΡ. νῦν δ' οὐ τοῦτο δρᾷ,
ὅστις σε προσπταίοντα περινοστεῖν ἐᾷ;

Υπερβάλλουσιν. ὑπερβάλλω καὶ ὑπερβάλλομαι τὸ αὐτό, ὡς ποιῶ καὶ ποιοῦμαι κατ' ἐπίτασιν συντάσσεται πρὸς μὲν τὸ πρόσωπον αἰτιατικῇ, πρὸς δὲ τὸ πρᾶγμα δοτικῇ, οἷον ὑπερβάλλω τὸν δεῖνα λόγῳ, ὑπερβάλλω δὲ λόγοις ἀντὶ τοῦ ὑπερτίθημι. ὅθεν καὶ τὸ ὑπερβλήδην παρ' Ὁμήρῳ. καὶ ὑπερβάλλω βέλος ὅθεν καὶ τὸ ὑπερβολιμαῖος, καὶ ὑπερβάλλομαι παθητικῶς ἀντὶ τοῦ ὑπόκειμαι καὶ ὑπερβάλλεται ἡ θεμέλη τῷ τοίχῳ ἀντὶ τοῦ ὑποτίθεται, καὶ ὑπερβάλλεται ὁ χόρτος τῇ στρωμνῇ. προβάλλω τὸ εἰς τοὔμπροσθεν τίθημι, ἀφ' οὗ πρόβολοι. προβάλλομαι δὲ μάρτυρα. Υπερβάλλουσι τῇ μοχθηρίᾳ. τῇ κακίᾳ ἐπὶ τὸ χεῖρον μεθίστανται ὑπὸ τῶν χρημάτων. Ἀλλ' ἅπαξ ἅπαντες, ὑπὸ μορφὴν τοῦ λόγου τὸ ἅπαξ ἅπαντες, οὐ φησὶ πάντες ἀλλ' ὁμοῦ πάντες. τὸ γὰρ ἅπαξ ἅπαντες ἐπὶ ἐπιτάσεως λαμβάνεται. ὑφ' ἓν δὲ ταῦτα τάττει. καὶ προφέροντες δηλαδή, ἀπαξαπαντῶς. Τῆς ὀφθαλμίας. τῆς πηρώσεως. ἰδίως δὲ ὀφθαλμίαν τὴν πήρωσίν φασι, διὸ καὶ ἐν τῷ δευτέρῳ, μεταπεποίηται τῆς συμφορᾶς ταύτης σε παύσειν, ἧς ἔχεις. ἄλλως. ὀφθαλμία κυρίως ἡ κατὰ τοὺς ὀφθαλμοὺς ἀπὸ νοσήματός τινος γινομένη βλάβη, ἥτις καὶ ἰάσιμός ἐστιν, ἐνταῦθα δὲ ἀντὶ τῆς τυφλώσεως παρείληπται, τύφλωσις γάρ ἐστιν ἡ παντελὴς τῆς ὁράσεως στέρησις. Ὁ Ζεὺς μὲν οὖν εἰδώς. τὰ τούτων τῶν ἀνθρώπων πάντα εἰδώς. ἐπεὶ οὐδὲν αὐτὸν λανθάνει. μεταπεποίηται δὲ καὶ τοῦτο ἐν τῷ δευτέρῳ. τὸ δὲ μῶρα μετὰ ξυ. ἄλλως. ἡ μὲν γραφὴ μῶρ' ἔμ' εἰ, οὕτω συντακτέον, ὁ Ζεὺς μὲν εἰδὼς τὰ τούτων μῶρα ἔπη, εἰ πύθοιτο ἐμὲ ἀναβλέψαντα ἐπιτρίψεταί με, εἰ δὲ μῶρ' ἔπη, τὸ πύθοιτ' ἂν διὰ μέσου ἔσται. τουτέστι γνοίη ἂν ταῦτα καὶ οὐδὲν αὐτὸν λήσεται. Περινοστεῖν ἐᾷ.

ἐγὼ γὰρ ὢν μειράκιον, ἠπείλησ' ὅτι
ὡς τοὺς δικαίους καὶ σοφοὺς καὶ κοσμίους
μόνους βαδιοίμην· ὁ δέ μ' ἐποίησε τυφλόν,
ἵνα μὴ διαγιγνώσκοιμι τούτων μηδένα.
οὕτως ἐκεῖνος τοῖσι χρηστοῖσι φθονεῖ.
Χρ. καὶ μὴν διὰ τοὺς χρηστούς γε τιμᾶται μόνους,
καὶ τοὺς δικαίους. Πλ. ὁμολογῶ σοι. Χρ. φέρε, τί οὖν;
εἰ πάλιν ἀναβλέψειας ὥσπερ καὶ πρὸ τοῦ,
φεύγοις ἂν ἤδη τοὺς πονηρούς; Πλ. φήμ' ἐγώ.
Χρ. ὡς τοὺς δικαίους δ' ἂν βαδίζοις; Πλ. πάνυ μὲν οὖν,
πολλοῦ γὰρ αὐτοὺς οὐχ ἑώρακα χρόνου.
Χρ. καὶ θαῦμά γ' οὐδέν. οὐδ' ἐγὼ γὰρ ὁ βλέπων.
Πλ. ἄφετόν με νῦν. ἴστον γὰρ ἤδη τἀπ' ἐμοῦ.
Χρ. μὰ Δί'. ἀλλὰ πολλῷ μᾶλλον ἑξόμεθά σου.
Πλ. οὐκ ἠγόρευον, ὅτι παρέξειν πράγματα
ἐμέλλετόν μοι. Χρ. καὶ σύ γ' ἀντιβολῶ. πιθοῦ.
καὶ μή μ' ἀπολίπῃς. οὐ γὰρ εὑρήσεις ἐμοῦ
ζητῶν ἔτ' ἄνδρα τοὺς τρόπους βελτίονα.

ἀνενέγκῃ καὶ ἐπὶ τὸ ἐξημμένον. καὶ δόξῃ συγγνώμην ἔχειν ἡ ἁμαρτία. ὅτι μειράκιον ἠπείλησε. καὶ μὴν οὐκ ἔστιν ἁμάρτημα τὸ τοὺς μὲν φαύλους καταλείπειν ὁμολογοῦσι, καταλαβεῖν δὲ τοὺς χρηστούς. πῶς οὖν νοούμενος ὁ Ζεὺς εἰς τὸ πρῶτον αἴτιον καὶ μᾶλλον βουλόμενος τοὺς ἀγαθοὺς εὖ πράττειν, ἐτύφλωσε τὸν πλοῦτον εἴπερ ταῦτα. λεγόμενον οὖν ὅτι εἰ πάντως ἀγαθοῖς, καὶ τοῖς ἀρετὴν ἀσκοῦσι παρείπετο τὸ πλουτεῖν, πάντες ἂν διὰ τὸ πλουτεῖν μετῆλθον τὴν ἀρετήν. ὁ δὲ Ζεὺς βουλόμενος τοὺς ἀνθρώπους οὐ διά τι χρῆσθαι μὲν καὶ ἐπωφελὲς τὴν ἀρετὴν μετιέναι, ἀλλὰ δι' αὐτὴν τὴν ἀρετήν, τοῖς ταύτην ἀσκοῦσι καὶ ἀποτυχίαν χρημάτων, ἔσθ' ὅτε δίδωσιν ἐν τῷ βίῳ. ἵνα ἕκαστος ἐφίηται τῆς ἀρετῆς δι' αὐτὴν τὴν ἀρετήν. οὐ μὴν διὰ τὸ ἐλπίζειν ὅτι πάντως διὰ τῆς ἀρετῆς εὐπορήσει χρημάτων. Ὁ δέ μ' ἐποίησε τυφλόν. παρῳδεῖται ἐκ τοῦ ἡσιόδου. κρύψαντες γὰρ ἔχουσι θεοὶ βίον ἀνθρώποισιν. ἢ ὅτι ἀνόσιος ὁ διὰ τῆς ἀρετῆς τοῦ πλούτου φόρτος τοῖς δικαίοις. εἰ χαίνωθεῖεν ἐκ περιουσίας. Διὰ τοὺς χρηστούς γε. ἰστέον ὅτι ἡ διὰ πρόθεσις, οὐ μόνον γενικῇ συντάσσεται ὅταν δηλοῖ ἐνέργειαν, ἀλλὰ καὶ αἰτιατικῇ, ὡς ἐνταῦθα. εὑρήσεις δὲ τοῦτο καὶ ἐν πολλοῖς τῶν λογογράφων. καὶ μὴν ὅταν δηλοῖ αἰτίαν, αἰτιατικῇ μὲν ὡς ἐπὶ τὸ πολὺ συντάσσεται. ἀλλὰ καὶ πρὸς γενικὴν εὑρίσκεται σπανίως. Ὁμολογῶ σοι συμφωνῶ σοι. ὅμοια σοὶ λέγω ἐν τούτῳ. εὑρίσκεται δὲ καὶ πρὸς αἰτιατικήν. Πολλοῦ γὰρ αὐτούς. διὰ τὸν ἐπιχώριον τρόπον. ταῦτα γὰρ εἰς τὴν τῶν ἀθηναίων φησὶ πολιτείαν. ἀποσκώπτων αὐτοὺς ὡς πονηρούς. Καὶ θαῦμά γ' οὐδέν. οὐδὲν φησὶ παράδοξον εἰ τυφλὸς ὢν οὐχ ἑώρακας. Καὶ σύ γ' ἀντιβολῶ. πεποίηται παρὰ τὸ ἄντομαι καὶ βάλλω. ἔχει δὲ τὴν ὁρμὴν πρὸς τό, ἀλλὰ πολλῷ μᾶλλον ἑξόμεθά σου. τὸ δὲ οὐκ ἠγόρευον, ὡς περ διὰ μέσου. τὸ δὲ πιθοῦ περισπᾶται. ἔστι γὰρ β' ἀόριστος. τοῦτον δὲ οἱ ἀττικοὶ περισπῶσι καὶ ἡ χρῆσις ἠκολούθησε τῇ διαλέκτῳ. ἡ γὰρ ἀναλογία βαρύνει ὥς φησιν Ἀπολλώνιος. ἀτεχνῶς. ἀντὶ τοῦ ἁπλῶς καθάπαξ. ὅ ἐστιν ἐνὶ λόγῳ ἀληθῶς. τέχνη γὰρ ὁ δόλος παρὰ τοῖς ἀττικοῖς, τὸ δὲ μὴ δολοῦ ἀληθές. ὁ γὰρ τόνος διαστέλλει

Ε ἐὰν βούλῃ γε σύ. τοῦτο δηλῶς νοητέον· νὴ τοὺς θεοὺς ἀφήσομέν σε ἐὰν βούλῃ γε σὺ εἰπεῖν ὅστις εἶ. ἢ οὐκ ἀφήσομεν ἐὰν βούλῃ σὺ μὴ εἰπεῖν ὅστις εἶ. Ἦ παρεσκευασμένος. τὸ ἦ ἀντὶ τοῦ ἦν αὐτὶ τοῦ ἤμην. οἱ γὰρ ἀττικοὶ τὸ ἦν καὶ ὑπῆρχον ἐγὼ ἦ φασιν οὕτως. ἀπὸ τοῦ εἰμὶ τὸ ὑπάρχω· γίνεται ὁ παρατατικὸς ἦν διὰ διφθόγγου· καὶ διαλύσει ἰωνικῇ τῆς ει διφθόγγου εἰς ε καὶ α γίνεται ἔα. ὡς καὶ τὸ ᾔδειν ᾔδεα. καὶ τὸ τιθεῖσι τιθέασιν. ἡ χρῆσις δὲ παρ' ὁμήρῳ ὡς τὸ οὐ γὰρ ἀμενηνὸς ἔα. εἶτα κιρνῶντες τὸ ε καὶ α εἰς η, ἦ φασιν. ὡς καὶ ἐνταῦθα καὶ ἐν τοῖς ἑξῆς εὑρήσεις.

ΧΡ. νὴ τοὺς θεοὺς ὑμεῖς γ' ἐὰν βούλῃ γε σύ.
ΠΛ. μέθεσθέ νύν μου πρῶτον. ΧΡ. ἢν ἰδοὺ μεθίεμεν.
ΠΛ. ἀκούετον δή· δεῖ γὰρ ὡς ἔοικέ με
λέγειν ἃ κρύπτειν ἦ παρεσκευασμένος.
ἐγὼ γάρ εἰμι πλοῦτος. ΧΡ. ὦ μιαρώτατε
ἀνδρῶν ἁπάντων· εἶτ' ἐσίγας πλοῦτος ὤν;
ΚΑΡ. σὺ πλοῦτος, οὕτως ἀθλίως διακείμενος;
ὦ φοῖβ' ἄπολλον καὶ θεοὶ καὶ δαίμονες·
καὶ ζεῦ, τί φῄς; ἐκεῖνος ὄντως εἶ σύ; ΠΛ. ναί.
ΧΡ. ἐκεῖνος αὐτός; ΠΛ. αὐτότατος. ΧΡ. πόθεν οὖν φράσον,
αὐχμῶν βαδίζεις. ΠΛ. ἐκ πατροκλέους ἔρχομαι·
ὃς οὐκ ἐλούσατ' ἐξ ὅτουπερ ἐγένετο.
ΧΡ. τουτὶ δὲ τὸ κακὸν πῶς ἔπαθες; κάτειπέ μοι.
ΠΛ. ὁ ζεύς με ταῦτ' ἔδρασεν ἀνθρώποις φθονῶν.

Α νδρῶν ἁπάντων. περιφυλαγμένως ποιεῖται τὴν πρὸς τοὺς θεοὺς ὑπέρθεσιν· ἵνα μὴ θεῶν ὑπερτιθεὶς, κἀκείνους πάθει ὑποτάξῃ, ἢ ὅτι ἐν σχήματι ἀνδρὸς ἐφάνη ὁ πλοῦτος. δεῖ δὲ ἐννοεῖν τὸν πλοῦτον, ῥυπῶντα καὶ ταπεινὸν ὄντα τὸ σχῆμα. Εἶτ' ἐσίγας. εἰ μὲν οὕτω τὴν σύνταξιν τρέψεις, τὸ εἶτα ἀργὸν ὄψεις, καθὼς ἐν ταῖς ἀποδόσεσι τῶν μετοχῶν ποιεῖν εἰώθαμεν. ὦ μιαρώτατε ἀνδρῶν ἁπάντων ὢν πλοῦτος, εἶτα ἐσίγας. εἰ δὲ τὸ εἶτα ἐν ἀρχῇ θήσεις, οὐκ ἀργὸν νοήσεις. εἰώθαμεν γὰρ ἐν τοῖς τῆς βαρύτητος σχήμασιν ἐν ἀρχαῖς πολλάκις τιθέναι τὸ, εἶτα. οὕτως. εἶτα ὦ μιαρώτατε ἀνδρῶν ἁπάντων ὢν πλοῦτος ἐσίγας; Αὐτότατος. ἢ αὐτότατος ἀντωνυμία πέπαικται κωμικῶς. τὰ γὰρ ἀόριστα τῶν πραγμάτων, ἀνεπίτατα. εἰ οὖν ἡ ἀντωνυμία ἐπὶ οὐσίας παραλαμβάνεται, κατὰ τοῦτο ἐπίτασιν οὐ δέχεται ὡς τὰ ἄλλα μόρια. ἄλλως. ἔπαιξεν αὐτότατος ὑπερθετικῶς εἰπών· ἵνα δείξῃ ὡς ἀληθῶς αὐτός ἐστιν· ὥσπερ καὶ τὸ μονώτατος. ἰστέον δὲ ὅτι τὸ μὲν μονώτατος εὕρηται ἐν τοῖς λογικοῖς· τὸ δὲ αὐτότατος οὔ. Ἐκ πατροκλέους ἔρχομαι. εἷς ἦν τῶν τὸν λακωνικὸν βίον ζηλούντων ἀθηναίων. πλούσιος μὲν, σφόδρα. ἄλλως δὲ, κακόβιός τις καὶ φιλοχρήματος, καὶ σκνιφὸς κωμῳδεῖται, ὡς ἐν πελαργοῖς εἴρηται περὶ τούτου ὅστις ἕνεκεν τῆς φειδωλίας, οὐδένα προσίεσθαι εἴα φυλακῆς ἕνεκα τῶν χρημάτων καὶ γλίσχρου βίου. Φθονῶν. φθόνος παρὰ τοῖς φιλοσόφοις, ἡ ἐπ' ἀλλοτρίοις ἀγαθοῖς λύπη, ἤτοι ἡ ζηλοτυπία ὡς ἐνταῦθα, παρὰ δὲ τοῖς ῥήτορσιν ἡ μέμψις ὡς εὐριπίδης. Ἀπεκτείνειν φθόνος γυναῖκας. Ε γὼ γὰρ ὢν μειράκιον. τοῦτό φησιν ἵνα τὸ προπετὲς τῆς κρίσεως ἐπὶ τὴν ἡλικίαν

καὶ παρὰ τῶν νόμων ἢ. τὸ δὲ νόμον ἡμῶν ὅτι νοεῖ περὶ τὰ τοιαῦτα οὐδὲν μὲ ἐξετάζειν δεῖ.
Η τἀπὶ τούτοις. τὰ ἐπὶ τῇ ἀπειλῇ. καὶ γὰρ ἡ πρώτοις ἄλλω ἀπειλητική. λέγει δὲ βέλτιόν σοι ἐστὶν ἐξειπεῖν λόγω πεισθέντα ἢ βιασθέντα. ἢ ὡς μὴ λέγοντός σου, βίαν ὅ τι διαπράξομαι. ἄλλως. Η τἀπὶ τούτοις. ἤγουν τὰ ἀκόλουθα τοῖς μὴ ἐθέλουσιν ἑαυτοὺς ἐκφαίνειν. τὰ δὲ ἐστι, πληγαὶ καὶ τραύματα. Λέγειν χρή. τὸ λέγειν, ἐπὶ τοῦ προφορικοῦ λόγου λέγεται, καὶ ἀπὸ τούτου ἐπὶ τοῦ ὀνομάζειν καὶ ἐπὶ τοῦ φράζειν.

ἤ, τἀπὶ τούτοις δρῶ. Χρ. λέγειν χρὴ ταχὺ πάνυ.
Πλ. ἐγὼ μὲν οἰμώζειν λέγω σοι. Καρ. μανθάνεις
ὅς φησιν εἶναι; Χρ. σοὶ λέγει τοῦτ' οὐκ ἐμοί.
σκαιῶς γὰρ αὐτοῦ καὶ χαλεπῶς ἐκπυνθάνει.
ἀλλ' εἴ τι χαίρεις ἀνδρὸς εὐόρκου τρόποις,
ἐμοὶ φράσον. Πλ. κλάειν ἔγωγέ σοι λέγω.
Καρ. δέχου τὸν ἄνδρα καὶ τὸν ὄρνιν τοῦ θεοῦ.
Χρ. οὔτοι μὰ τὴν Δήμητρα χαιρήσεις ἔτι.
εἰ μὴ φράσεις γάρ, ἀπό σ' ὀλῶ κακὸν κακῶς.
Πλ. ὦ τᾶν ἀπαλλάχθητον ἀπ' ἐμοῦ. Χρ. πώμαλα.
Καρ. καὶ μὴν ὃ λέγω, βέλτιστόν ἐστι δέσποτα.
ἀπολῶ τὸν ἄνθρωπον κάκιστα τουτονί.
ἀναθεὶς γὰρ ἐπὶ κρημνόν τιν' αὐτόν, καταλιπὼν.
ἄπειμ' ἵν' ἐκεῖθεν ἐκτραχηλισθῇ πεσών.
Χρ. ἀλλ' αἶρε ταχέως. Πλ. μηδαμῶς. Χρ. οὔκουν ἐρεῖς;
Πλ. ἀλλ' ἢν πύθησθέ μ' ὅστις εἴμ', εὖ οἶδ' ὅτι
κακόν τί μ' ἐργάσεσθε. κοὐκ ἀφήσετε.

Δέχου τὸν ἄνδρα καὶ τὸν ὄρνιν. τὴν κληδόνα τὴν μαντείαν καὶ τὸ σύμβολον. οὕτως ὁ Ῥόδιος Απολλώνιος. μηδ' ὄρνις ἀεικελίη πέλει νηΐ. κοινῶς γὰρ πᾶν σύμβολον ἐκφαντικὸν ἢ προτρεπτικόν, ὄρνιν καλοῦσιν. ὄρνις, ἀπὸ φώνησις. πταρμός, καὶ τὰ ὅμοια. ὡς αὐτὸς ἐν ὄρνισι δεδήλωκεν. ἄλλως. τὴν μαντείαν τοῦ Ἀπόλλωνος, ὄρνιν λέγει. ἐπεὶ δὴ γὰρ οἱ παλαιοί, οὐ μόνον διὰ τῶν ἄλλων, ἀλλὰ καὶ δι' ὀρνίθων ἐμαντεύοντο. καὶ ὅτι οἱ παλαιοὶ πᾶν τὸ ἐπὶ σημείῳ καὶ τεκμηρίῳ τινὶ παραλαμβανόμενον ὄρνιν ἐκάλουν ἀπὸ μεταφορᾶς καὶ τὸ μάντευμα καὶ τὸ σύμβολον. Μὰ τὴν Δήμητρα. εἰκότως ταύτην εἰς ὅρκον λαμβάνει ὡς γεωργός. ἡ γὰρ Δημήτηρ τῆς γῆς ἔφορος. Ω τᾶν. ὦ ἑταῖρε. ὅτι οὐ πρὸς ἕνα μόνον τὸ ὦ τᾶν, ἀλλὰ καὶ πρὸς δύο, καὶ Κρατῖνος ἀραγε ὦ τᾶν ἐθελήσετε. ἄλλως. ὦ τᾶν. ὦ φίλοι, πληθυντικῶς νοητέον. ἢ ἀντὶ τοῦ ὦ φίλε. ἵν' ᾖ τὸ μὲν ὦ φίλε, πρὸς μόνον τὸν Χρεμύλον. οὗτος γὰρ αὐτῷ ἠπείλει. τὸ δὲ ἀπαλλάχθητον, πρὸς ἀμφοτέρους. ἐπειδὴ καὶ ἀμφω τούτω ἠνώχλουν. ὃ καὶ κρεῖττον. εἰώθαμεν γὰρ ἐν τῇ κοινῇ συνηθείᾳ ἔστιν ὅτε τῶν λόγων οὕτω ποιεῖσθαι. Πώμαλα. οὐδαμῶς. ἔστι δὲ ἀττικόν. ἔστι γὰρ ἐπίρρημα ἀρνήσεως. Και μὴν ὃ λέγω. τινὲς ἐν προσώπῳ αὐτὸ εἶναι λέγουσι τοῦ δούλου. ἀπὸ τοῦ πώμαλα. ἕως τοῦ ἐκτραχηλισθῇ πεσών. Επὶ κρημνόν τινα. οὕτω τὴν αἰτιατικήν, ἀντὶ γενικῆς. καὶ ἀντὶ δοτικῆς, ἀττικοὶ λέγουσιν ὡς Θουκυδίδης. εἰ σοῦ τί σε
›› τούτων ἀρέσκει πέμπε ἄνδρα ἐπὶ γῆν ἐπὶ θάλατταν. καὶ Σοφοκλῆς. οὐ γάρ μ' ἀρέ
›› σκει γλῶσσά σου πεπληγμένη. ἀντὶ τοῦ οὐ γάρ με τὸ δ' ἀναθεὶς ὡς ἐπὶ ἀψύχου. ἢ διὰ τὸ τυφλὸν αὐτὸν εἶναι. Εκτραχηλισθῇ. τὸν τράχηλον κατακλασθῇ ἢ ἐκσπονδυλισθῇ.

μορίων, καὶ οὔπω μανίας πληρουμένη, καὶ τὰς τρίχας λύουσα, καὶ ἀφρὸν ἐκ τοῦ στόματος ἀποπέμπουσα καὶ τἆλλα πάντα ποιοῦσα ὅσα οἱ μαινόμενοι ποιεῖν εἰώθασιν, ἐκ τῆς μαντείας ἢ μᾶλλον μανίας, ἐφθέγγετο ῥήματα. ἢ καὶ δαίμων τις ἦν οὕτω καλούμενος πύθων ἀφ' οὗ ἡ πυθία παρωνομάζετο, ἢ καὶ αὐτὸς ὁ ἀπόλλων πύθιος ὀνομαζόμενος· διὰ τὸ τοῖς πυνθανομένοις χρησμοὺς διδόναι περὶ ὧν ἂν βούλοιντο.

Πεύσει οἱ ἀττικοὶ τὰ τῶν παθητικῶν χρόνων δεύτερα πρόσωπα, ἀεὶ διὰ διφθόγγου γράφουσιν ὡς καὶ ἐνταῦθα καὶ ἐν τοῖς ἑξῆς εὑρήσεις· οὗτος γὰρ εἴπερ τις, τῇ ἀττικῇ διαλέκτῳ χρῆται. ἡ δὲ κοινὴ διάλεκτος μόνου τοῦ βούλει καὶ ὄψει. καὶ οἶδα τὰ ἐνεργητικὰ μὴ ἐν χρήσει εὑροῦσα, τῇ ἀττικῇ ἑπομένη συνηθείᾳ ἀεὶ διὰ διφθόγγου τὰ γ' ταῦτα ἐκφέρει. ἀπαγορευτικοῦ δὲ ἢ ἀπολογικοῦ μορίου τεθέντος, οἱ ἀττικοὶ οὐχ οὕτω τὰ δεύτερα πρόσωπα ἐκφέρουσιν ὡς εἴρηται, ἀλλ' ὑποτακτικῶς.

χρ. πεύσει. σαφῶς γὰρ ὁ θεὸς εἶπέ μοι τοδί.
ὅτῳ ξυναντήσαιμι πρῶτον ἐξιὼν,
ἐκέλευσε τούτου μὴ μεθίεσθαί μ' ἔτι.
πείθειν δ' ἐμαυτῷ ξυνακολουθεῖν οἴκαδε.
καρ. καὶ τῷ ξυναντᾷς δῆτα πρώτῳ. χρ. τουτῳΐ.
καρ. εἶτ' οὐ ξυνίης τὴν ἐπίνοιαν τοῦ θεοῦ,
φράζουσαν ὦ σκαιότατέ σοι σαφέστατα,
ἀσκεῖν τὸν υἱὸν τὸν ἐπιχώριον τρόπον;
χρ. τῷ τοῦτο κρίνεις. καρ. δῆλον ὁτιὴ καὶ τυφλῷ,
γνῶναι δοκεῖ τοῦθ'. ὡς σφόδρ' ἐστὶ συμφέρον
τὸ μηδὲν ἀσκεῖν ὑγιὲς ἐν τῷ νῦν χρόνῳ.
χρ. οὐκ ἔσθ' ὅπως, ὁ χρησμὸς εἰς τοῦτο ῥέπει.
ἀλλ' εἰς ἕτερόν τι μεῖζον. ἢν δ' ἡμῖν φράσῃ,
ὅστις ποτ' ἐστὶν οὑτοσὶ, καὶ τοῦ χάριν,
καὶ τοῦ, δεόμενος ἦλθε μετὰ νῷν ἐνθαδί,
πυθοίμεθ' ἂν τὸν χρησμὸν ἡμῶν, ὅ τι νοεῖ.
καρ. ἄγε δὴ σὺ πρότερον σαυτὸν ὅστις εἶ, φράσον.

Τὸν ἐπιχώριον τρόπον. κατὰ ἐπιχώριον τὴν πολιτείαν τῶν ἀθηναίων. αἰνίττεται δὲ, τὸ τῆς πολιτείας ἰταμόν τε καὶ δυσκίνητον διδάσκειν. Μὴ μεθίεσθαι μ' ἔτι. τὸ μεθίημι ἐνεργητικῶς πρὸς αἰτιατικὴν συντάσσεται ὡς Συνέσιος· μεθῆκε τὸ πηδάλιον ἐκ τῶν χειρῶν. παθητικῶς δὲ πρὸς γενικὴν ὡς ἐνταῦθα. Καὶ τυφλῷ. ἤγουν πρὸς τὸν πλοῦτον αἰνιττόμενος, ἢ τὸν πηρὸν τῷ νῷ. νοῦς γὰρ ὁρᾷ καὶ νοῦς ἀκούει. καὶ καθάπερ ὁ τυφλὸς τὴν πορείαν εὐθεῖαν οὐ ποιεῖται πρὸς τὸ ὁμηρικὸν δέ. Καί κ' ἀλαός τοι ξεῖνε διακρίνειε τὸ σῆμα. τυφλῷ δὲ οὐχὶ ὀφθαλμοὺς ἀλλὰ τὴν καρδίαν. τουτέστιν ἀνοήτῳ. παροιμία δ' ἐστὶ, τυφλῷ δῆλα τὰ μαρτύρια. τὸ δὲ ἑξῆς, ὅτι σφόδρα ἐστὶ τοῦτο συμφόρον, τὸ μηδὲν ὑγιὲς ἀσκεῖν. Ἄλλως. παροιμία ἐστὶ τὸ τυφλῷ δῆλον ἐπὶ τῶν πάνυ σαφεστάτων λεγομένη, τὰ γὰρ τοῖς τυφλοῖς τὸ βλέπουσι σαφέστατα σφόδρα. λέγει δὲ ὡς ὁ κελεύσας σε τυφλῷ ἀνδρὶ ἐπακολουθεῖν δῆλόν σοι ἐντεῦθεν καθίστησιν, ὡς καὶ τυφλὸς ἂν γνοίη τοῦτο, ὡς ὃ πάντες μετέρχονται, τοῦτο δεῖ καὶ τὸ σὸν υἱὸν μετελθεῖν, ἢ ὅτι ἐπειδὴ πάντες τὴν ἄδικον πολιτείαν μετέρχονται, εἶπέ σοι ὁ ἀπόλλων, ὡς ᾧ ἂν ἐντύχοις πάντως τοιοῦτος ἔσται. καὶ ἀκολούθει αὐτῷ, ἤγουν τὴν αὐτὴν αὐτῷ καὶ σὺ μετέρχου ὁδόν.

Ῥέπει φέρεται ἀποβλέπει, ἐκ μεταφορᾶς τοῦ ζυγοῦ. Τὸν χρησμὸν ἡμῶν, ὅ, τι νοεῖ.

Ἱερόσυλοι. ῥήτορες. τινὲς οὐ στίζουσιν εἰς τὸ ἱερόσυλοι. καὶ ῥήτορες γὰρ ὡς φαῦλοι διεβάλλοντο. διὸ εἶπεν, ἱερόσυλοι ῥήτορες. Καὶ συκοφάνται. λοιμοῦ γενομένου ἐν τῇ ἀττικῇ, ὅτι λάθρα τὰς συκᾶς τὰς ἀφιερωμένας τοῖς θεοῖς ἐκαρποῦντο· μετὰ δὲ ταῦτα εὐθηνίας γενομένης, κατηγόρουν τούτων τινὲς καὶ ἐκεῖθεν συκοφάνται λέγονται. ἄλλως. ἀπείρητο ἀθήνησι μὴ ἐξάγειν ἐντεῦθεν ἀλλαχόσε τὰ σῦκα. βουλομένων δέ τινων ἐξενεγκεῖν, ἱστάμενοι ἐν ταῖς τῶν πυλῶν ἐξόδοις ἄνδρες πανοῦργοι, τὸ τούτων ἐξήλεγχον τέχνασμα, ὃ πρὸς τὴν ἐξαγωγὴν ἐπορίουν. ἐκαλοῦντο οὖν συκοφάνται, ὡς τὰ σῦκα φαίνοντες. ἐπεκράτησεν οὖν ἐξ ἐκείνου τοὔνομα πρὸς πάντας τοὺς πανούργους. Ἐπερησόμενος οὖν. ἐπερωτήσων τὸν ἀπόλλωνα. ὡς τὸν θεὸν δὲ, πρὸς τὸν θεόν. τὸ δὲ ἑξῆς ᾠχόμην δὲ πρὸς τὸν θεόν. ἐπερησόμενος, καὶ ἐρωτήσων νομίζων τὸν βίον μὲν ἐμοῦ αὐτοῦ τοῦ ταλαιπώρου σχεδὸν ἀπαρτὶ ἐκτετοξεῦσθαι καὶ κεκενῶσθαι. πευσόμενος δὲ καὶ ἐρωτήσων εἰ χρὴ μεταβαλόντα τοὺς τρόπους τὸν υἱὸν, ὃς μόνος μοι τυγχάνει. Εἶναι πανοῦργον καὶ ἄδικον, μηδὲν ὑγιές. ὁ γὰρ ἄδικος καὶ ἅρπαξ, οὐχ ὑγιαίνει τῇ ψυχῇ. ὡς νομίσας τοῦτο αὐτὸ συμφέρειν ἐν τῷ παρόντι βίῳ. εἶπε δὲ τὸ πευσόμενος κατ᾽ ἐπανάληψιν. ἐπειδὴ ἐπερησόμενος προειπὼν, ἔθηκε διὰ μέσου τὸν ἐμὸν μὲν, μέχρι τοῦ, βίον. Τὸν ἐμὸν μὲν αὐτοῦ. ἀντὶ τοῦ ἐμοῦ αὐτοῦ ἀττικῶς. Τοῦ ταλαιπώρου. τοῦ τλητικοῦ ἢ τοῦ τετληκότος. ταλαίπωρος δὲ παρὰ τὸ τλῆναι τὸν πῶρον. ὅ ἐστι πένθος. ὅτι δὲ πῶρος πένθος ἐστὶ, καὶ ἀντίμαχός φησι·

» πῶρός τι ἀλόχοισι καὶ
» οἷς τεκέεσσιν ἕκαστος.

Ἐκτετοξεῦσθαι. πεπληρῶσθαι, ἀνηλῶσθαι, ἐκ μεταφορᾶς τῶν τοξευόντων, ὅταν τὴν φαρέτραν κενώσωσιν. Ἔλακεν ἐκ τῶν στεμμάτων. τραγικώτερον ἀπεφήνατο προσδιασύρων, ὥς φασιν εὐριπίδην. ὁ δὲ νοῦς, τί ἐφθέγξατο ἐκ τῶν στεφανῶν τῆς προφήτιδος. ἐστεφανηφόρει γὰρ ἡ πυθία. ἐπεὶ οἱ τρίποδες δάφνῃ ἦσαν ἐστεμμένοι. τὸ δὲ ἐκ τῶν στεμμάτων, ἐπεὶ οἱ μαντευόμενοι, ἐνέγραφον ἀνακοινώσει πρὸς τὸν θεὸν τὰς πεύσεις ἐποιοῦντο γράφοντες ἐν πινακίῳ τὸ κατὰ προαίρεσιν αὐτοῖς κείμενον. στεφάνῳ τε ἀμφιστάντες ἀθρόως, τῷ μαντείῳ ἐνεχείριζον. ὁ δὲ ἐντυχὼν σύμφωνον τὴν ἀπόκρισιν τοῖς προτεινομένοις ἐποιεῖτο. οἱ δὲ ὅτι ἐν μέσῳ τῶν στεφανῶν καθημένη ἔλεγεν ἡ πυθία. ἢ ὅτι στεφάνῃ ἔστεπτο ὁ τρίπους ἐφ᾽ οὗ καθῆστο ἡ πυθία. καὶ ἀλλαχοῦ· ἴαχεν ἀστοῖσι διὰ τριπόδων ὀριτίμων. Ἄλλως, στέφανοι ἐπὶ τοῦ τρίποδος ἔκειντο, οὓς ἡ πυθία ἐν τῇ κεφαλῇ φοροῦσα ἐμαντεύετο, ἣν δὲ ἡ πυθία γυνὴ ἥτις ὥς φασιν ἐπικαθημένη τῷ τρίποδι τοῦ ἀπόλλωνος καὶ διαιροῦσα τὰ σκέλη ψυχρὸν κάτωθεν ἀναδιδόμενον πνεῦμα διὰ τῶν γεννητικῶν ἐδέχετο

Χρ. ἕτεροι δ᾽ ἐπλούτουν ἱερόσυλοι, ῥήτορες,
καὶ συκοφάνται καὶ πονηροί. Καρ. πείθομαι.
Χρ. ἐπερησόμενος οὖν ᾠχόμην ὡς τὸν θεόν,
τὸν ἐμὸν μὲν αὐτοῦ τοῦ ταλαιπώρου σχεδὸν
ἤδη νομίζων ἐκτετοξεῦσθαι βίον.
τὸν δ᾽ υἱὸν, ὅσπερ ὢν μόνος μοι τυγχάνει,
πευσόμενος εἰ χρὴ μεταβαλόντα τοὺς τρόπους,
εἶναι πανοῦργον, ἄδικον, ὑγιὲς μηδὲ ἕν,
ὡς τῷ βίῳ τοῦτ᾽ αὐτὸ νομίσας ξυμφέρειν.
Καρ. τί δῆτ᾽. ὁ φοῖβος ἔλακεν ἐκ τῶν στεμμάτων.

Ὅπως σιγήσομαι. τὸ ὅπως μεταληπτικῶς, ἀντὶ τοῦ ὅτι. ἔστι μὲν γὰρ τὸ ὅπως ἀντὶ τοῦ ὡς, τὸ δὲ ὡς ἀντὶ τοῦ ὅτι. ἀντὶ τοῦ οὐδαμῶς σιωπήσω κατὰ περίφρασιν ἀττικήν. Πράγματα παρέξω. ὀχλήσεις φησὶν ἐκ μεταφορᾶς τῶν πολυκτημόνων ἀνθρώπων ὡς ὄχλον διὰ τούτων ἐχόντων. Οὐ γάρ με τυπτήσεις. ἔθος τοὺς εἰς θεοὺς ἀπιόντας στεφανοῦσθαι καὶ ἀκίνδυνον εἶναι. πρὸς τὸ ἔθος οὖν ἀνακομιζόμενοι ἐκ τοῦ μαντείου ἐστεφανηφόρουν. ἄλλως ἡ στεφανηφορία τοῖς εἰς θεὸν ἀπιοῦσι δούλοις τε καὶ ἐλευθέροις ἰσοτίμως ἐδίδοτο.

ἐγὼ μὲν οὖν οὐκ ἔσθ' ὅπως σιγήσομαι,
ἢν μὴ φράσῃς ὅτι τῷδ' ἀκολουθοῦμέν ποτε,
ὦ δέσποτ'. ἀλλά σοι παρέξω πράγματα.
οὐ γάρ με τυπτήσεις, στέφανον ἔχοντά γε.
Χρ. μὰ Δί', ἀλλ' ἀφελὼν τὸν στέφανον, ἢν λυπῇς τί με,
ἵνα μᾶλλον ἀλγῇς. Καρ. λῆρος· οὐ γὰρ παύσομαι
πρὶν ἂν φράσῃς μοι, τίς ποτ' ἐστὶν οὑτοσί.
εὔνους γὰρ ὤν σοι πυνθάνομαι πάνυ σφόδρα.
Χρ. ἀλλ' οὔ σε κρύψω. τῶν ἐμῶν γὰρ οἰκετῶν
πιστότατον ἡγοῦμαί σε καὶ κλεπτίστατον.
ἐγὼ θεοσεβὴς καὶ δίκαιος ὢν ἀνήρ,
κακῶς ἔπραττον καὶ πένης ἦν. Καρ. οἶδά τι

οὐδὲν πλεονέκτημα τὸ τεκμήριον ἐλευθέροις δεδομένη. οὐδὲ μὴν δούλοις ὀνειδίζουσα τὸ τῆς τύχης ὑποδεές. ἔπαιξε δὲ ἅμα χαριέντως καὶ δυσωπητικῶς ὁ Καρίων. καὶ ὡς στέφανον ἔχων παρρησιάζεται καὶ τοῦτό φησι. τὸ δὲ τυπτήσεις ἀττικόν ἐστιν ἀπὸ τοῦ τυπτέω ἀχρήστου θέματος. Λῆρος, οὐ γὰρ παύσομαι. εἰ μὲν ἐμφανῶς τὸ λῆρος πρὸς τὸν δεσπότην εἶπεν ἀντὶ τοῦ φλυαρολογία, νοήσεις. εἰ δὲ καθ' ἑαυτὸν εἶπε τὸ λῆρος, ἤγουν ἡσύχως ὥστε μὴ ἀκουσθῆναι, τὸ οὐ γὰρ παύσομαι πρὶν ἂν φράσῃς μοι, εἰς ἐπήκοον αὐτῷ εἶπεν. τὸ δὲ λῆρος καθ' ἑαυτό, οὕτως εἴποις· λῆρος καὶ φλύαρος εἶ, ταῦτα λέγων. τινὲς δέ φασιν ἐσχηματισμένως εἰρῆσθαι, ἀντὶ τοῦ λῆρος, ἤγουν μαντικός. Πάνυ σφόδρα. ὅτι σύνηθες ἀττικοῖς παράλληλα τιθέναι τὰ ἰσοδυναμοῦντα. δηλοῦται δὲ ἕν τι ἐξ ἀμφοτέρων. οὕτως ἔχει καὶ τό, τυχὸν ἴσως. ἄλλως. εἶπε ἀμφότερα καὶ τὸ πάνυ καὶ τὸ σφόδρα δηλῶν τὴν ὑπερβολὴν τῆς εὐνοίας. τὸ δὲ πυνθάνομαι, τὸ ὁρῶ τε καὶ τὸ ἀκούω ὧν τὸ μὲν πρὸς γενικὴν συντάσσεται, τὸ δὲ ἀκούω πρὸς ἀπαρέμφατον ἢ πρὸς αἰτιατικήν. Κλεπτίστατον. τὸ σχῆμα παρ' ὑπόνοιαν ἀντὶ τοῦ εἰπεῖν εὐνούστατον, παίζων κωμικῶς ἅμα καὶ χαριεντιζόμενος διὰ τὸ τῆς κωμῳδίας μειδιαστικόν. ἅμα δὲ καὶ τὸν οἰκέτην ποιεῖ ἀποδοχῆς τε τυγχάνοντα καὶ χλεύης ἐκ τοῦ δεσπότου. ἦν γὰρ ἐλπὶς, συμφώνως τῷ πρώτῳ λεχθήσεσθαι τὸ δεύτερον, ἢ ἀντὶ τοῦ κερδαλέον καὶ συνετόν. ὅμηρος κλέπτε νόῳ. ἀντὶ τοῦ παραλογίζου. εἰώθαμεν δὲ καὶ ἐν τῇ κοινῇ συνηθείᾳ κλέπτην τὸν φρόνιμον λέγειν. ἢ μυστηριακώτατον. τὰ γὰρ μυστήρια κρυφίως γίνονται. ἄλλως. δέον οὕτως εἰπεῖν πιστότατον ἡγοῦμαί σε καὶ εὐνούστατον, ὁ δὲ παρ' ὑπόνοιαν κλεπτίστατον εἶπεν, ἀεὶ γὰρ οἱ δοῦλοι λάθρα τὸ τῶν δεσποτῶν ὑφαιροῦνται. Καὶ δίκαιος ὢν ἀνήρ. ἕπεται τῷ θεοσεβεῖ τὸ δίκαιον εἶναι, γνώρισμα γὰρ αὐτοῦ τοῦτο. ὁ γὰρ θεοσεβὴς ἃ τῷ θεῷ ἐστὶ φίλα ταῦτα πράττει.

ὄν. καὶ πολλῶν ἀφανιζομένων διὰ τὸν ἐνθουσιασμόν, προφῆτιν μίαν καταστῆσαι. ταύτῃ δὲ κατασκευασθῆναι μηχανὴν ἐφ᾽ ἣν ἀναβαίνουσαν ἀσφαλῶς μαντεύεσθαι, ἔχουσαν τρεῖς βάσεις· ἀφ᾽ ὧν αὐτὴν τρίποδα κληθῆναι. θεσπιῳδεῖν δὲ τὸ ἀρχαῖον παρθένον λέγεται διὰ τὸ ἁγνόν. ὕστερον δέ, Ἐχεκράτη τῆς χρησμολογούσης ἐρασθῆναι διὰ τὸ κάλλος, καὶ συναρπάσαντα βιάσασθαι, τοὺς Δελφούς. διὸ νομοθετῆσαι γυναῖκα ὑπὲρ τὰ πεντήκοντα ἐτῶν παρθενικὴν σκευὴν χρηστηριάζειν, καθάπερ ὑπόμνημα τῆς παλαιᾶς προφήτιδος.

μέμψιν δικαίαν μέμφομαι ταύτην, ὅτι
ἰατρὸς ὢν καὶ μάντις ὥς φασι σοφός.
μελαγχολῶντ᾽ ἀπέπεμψέ μου τὸν δεσπότην.
ὅστις ἀκολουθεῖ κατόπιν ἀνθρώπου τυφλοῦ
τοὐναντίον δρῶν, ἢ προσῆκ᾽ αὐτῷ ποιεῖν.
οἱ γὰρ βλέποντες τοῖς τυφλοῖς ἡγούμεθα.
οὗτος δ᾽ ἀκολουθεῖ, κἀμὲ προσβιάζεται.
καὶ ταῦτ᾽ ἀποκρινομένου τὸ παράπαν, οὐδὲ γρῦ.

Ὅτι ἰατρὸς ὢν καὶ μάντις. τῆς δ᾽ ὑπὲρ ἀρετῆς τοῦ θεοῦ μέμνηται κατὰ τὸ παρὸν θεσπεσίας τε καὶ τῆς κατὰ τὴν ἰατρικὴν ἐπιστήμης. εὐκαίρως δὲ τούτων τὴν μνήμην ἐποιήσατο. ἰατρικῆς μέν, ὅτι ἀνίατον ἔπεμψε τὸν δεσπότην, καὶ τὴν μὴ προσοῦσαν προσῆψε μελαγχολίαν· θεσπεσίας δέ, διὰ τὸ προσεχὲς τῆς ἐκεῖθεν ἐξόδου. τριῶν δὲ οὐσῶν τεχνῶν ὧν μετεῖχεν ὁ θεός, νῦν μέμνηται μαντείας καὶ ἰατρικῆς. παρῆκε δὲ τὴν μουσικὴν ὡς ἐκτὸς τοῦ παρόντος, μὴ χρείαν αὐτῆς ἔχων. ἢ διὰ τοῦ σοφός, τὴν μουσικὴν αἰνίττεται πρὸς τὸ χαρίεν. οὖν διαβάλλει τὸν θεόν, ὅτι τὸν ἄλλον ἰατρὸς ὤν, οὐκ ἰάτρευσεν αὐτόν. ἐξέπεμψε δὲ πρὸς τούτῳ, καὶ τῆς προσούσης αὐτῷ συνέσεώς τε καὶ σοφίας ἀπεστέρησεν ἐκταράξας διὰ τῆς μαντείας. τοῦτο οὖν ἔοικε λέγειν. ὅτι διὰ τῆς ἑαυτοῦ μᾶλλον ἀρετῆς, ἔβλαψε τὸν δεσπότην, ἤπερ ὠφέλησεν. καὶ διὰ μὲν τῆς μαντείας ἐτάραξεν. διὰ δὲ τῆς ἰατρικῆς, μελαγχολᾶν ἐποίησεν, διὰ δὲ τῆς σοφίας ὅ ἐστι φρονήσεως καὶ τὸ φρονεῖν αὐτοῦ ἀφείλετο. τοῦ δὲ ποιεῖν ἡ παραλήγουσα κοινή, καὶ οὐ χρὴ ποεῖν γράφειν. Μελαγχολῶντα. χολᾶν παρὰ τοῖς Ἀττικοῖς τὸ μαίνεσθαι. παρὰ δὲ τοῖς κοινοῖς τὸ θυμοῦσθαι. Ἡγούμεθα. ἡγοῦμαι τὸ προοδοποιῶ πρὸς δοτικὴν ἀποδιδόμενον δοκεῖ κατὰ τὴν σύνταξιν ἐλλειπῶς ἔχειν. εἰ γὰρ κατὰ τὸ πλῆρες λεχθείη γενικῇ ἂν καὶ αὐτὸ συνταχθείη. οἷον, ἡγοῦμαί σοι τῆς ὁδοῦ.
Κἀμὲ προσβιάζεται. ἤγουν σὺν αὐτῷ ἀκολουθεῖν αὐτῷ τῷ τυφλῷ. κἀμὲ τοῦτο ποιεῖν ἀναγκάζει. Οἱ γὰρ βλέποντες. τὸ εὔηθες καὶ μανικὸν κατηγορεῖ τοῦ δεσπότου ἐκ τοῦ παράπαν ἐναντίου. ἡγεῖσθαι γὰρ προσήκει, οὐχ ἕπεσθαι τυφλῷ. Οὐδὲ γρῦ. βραχύ. ἔστι δὲ ὄνυχος ῥύπος. τινὲς δὲ παρὰ τὸν γρυλισμόν, τουτέστι τὴν φωνὴν τῶν χοίρων. ἢ εἶδος μικροῦ νομίσματος. γρῦ γὰρ τὸ μικρὸν καὶ βραχύτατον. ὅθεν καὶ γρύτη, τὰ λεπτὰ σκεύη. καὶ γρυτοπώλης, ὅπερ οὐκ εἴρηται παρὰ τοῖς παλαιοῖς, ἀλλ᾽ ἀντὶ τούτου, ῥωποπώλης καὶ γρυτάρης. κέχρηται δὲ τῇ λέξει. ἐπιτείνων τὸ στενὸν τῆς ἀποκρίσεως ἀπὸ τοῦ πρὸς τοὺς ὄνυχας ῥύπου. ὃς μικρὸς καὶ εὐτελής. ὅταν δὲ θέλωμεν ἐκφαυλίσαι τινά, φαμὲν οὐδὲ γρῦ φθέγγεται, ἀντὶ τοῦ, οὐδὲ τὸ τυχόν. οὐδὲ γὰρ ἔχει τινὰ σύστασιν ὁ τοῦ ὄνυχος ῥύπος πλὴν ὅσον ἀπὸ τῆς θέας μόνον δοκεῖ τι. εἴρηται δὲ ἀπὸ μεταφορᾶς τῶν πολυκτημόνων ἀνθρώπων ὡς ὄχλον διὰ τοῦτο ἐχόντων. τὸ δὲ σχῆμα παρ᾽ ὑπόνοιαν.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΠΛΟΥΤΟΣ.

Καρίων οἰκέτης προλογίζει.

Ὡς ἀργαλέον. ὁ θεράπων δυσφορεῖ τοῦ δεσπότου ἑπομένου τυφλῷ ἀνδρί. τοῦ δὲ ὦς, περισπᾶται ἡ διάνοια, ἐκ τοῦ θαύματος καὶ σχετλιασμοῦ. τὸ γὰρ ὡς ἐπίρρημα, ἐπαμφοτερίζει. ἡ ἐνταῦθα εἴληπται, ἀπὸ τάσεως δηλωτικόν. ἀπαυδᾷ δὲ οὐ διὰ τὴν μάχην, ἀλλὰ διὰ τὸ ἐπαχθὲς τῆς ἐν δεσποτῶν. τὸ δὲ ἀργαλέον, χαλεπόν. δύσκολον. δυσχερές. εἴρηται δὲ παρὰ τὸ ἄλγος, ἀλγαλέον. καὶ κατὰ τροπὴν τοῦ λ εἰς ρ. ὡς τὸ ἀλγία τὸ ἀργία. ἢ ἔργον παρὰ τοῖς παλαιοῖς, τὸ δυσχερές. ἐκ τούτου παράγωγον ἀργαλέον. ὡς ἀπὸ τοῦ ἔπω ἀπύω.

Ὡς ἀργαλέον πρᾶγμ' ἐστὶν ὦ Ζεῦ καὶ θεοί
Δοῦλον γενέσθαι παραφρονοῦντος δεσπότου.
Ἢν γὰρ τὰ βέλτισθ' ὁ θεράπων λέξας τύχῃ,
Δόξῃ δὲ μὴ δρᾶν ταῦτα τῷ κεκτημένῳ,
Μετέχειν ἀνάγκη τὸν θεράποντα τῶν κακῶν.

Ὦ Ζεῦ τὸν Δία παρέλαβε κατ' ἐξοχὴν τῶν ἄλλων θεῶν. ὡς τὸ, Ζεὺς δ' ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα νηυσὶ πέλασσε. κἀκεῖ γὰρ τὸν Ἕκτορα ὀνομάζων, κατ' ἐξοχὴν παρείληφε. Δοῦλον γενέσθαι. χαλεποῦ ὄντος φύσει τοῦ δουλεύειν, χαλεπώτερον γίνεται, ἐὰν καὶ ἀνοήτῳ τις δεσπότῃ ὑπηρετῇ. Παραφρονοῦντος. ἤγουν μαινομένου οὐκ εἰδότος τί δεῖ ποιεῖν, ἤτοι ἀνοηταίνοντος καὶ μωροῦ, παρὰ τὸ εἰκὸς φρονοῦντος, ἡ γὰρ παρὰ ἐνταῦθα τὴν ἔξω σχέσιν δηλοῖ. Λέξας τύχῃ περιφραστικῶς, ἀντὶ τοῦ λέξῃ. Μὴ δρᾶν ταῦτα. οἱ γράφοντες ταυτὰ, οὐ καλῶς γράφουσιν. εὕρηται γὰρ ἐν πολλοῖς τῶν παλαιῶν ἀντιγράφων τὸ ταῦτα. καὶ ἔστι κρεῖττον ἐκείνου. Μετέχειν ἀνάγκη. πρὸς τὸ ποιητικόν. Ἥμισυ γάρ τ' ἀρετῆς ἀποαίνυται εὐρύοπα Ζεὺς ἀνδρὸς, εὖτ' ἂν μιν κατὰ δούλιον ἦμαρ ἕλῃσι. τί γὰρ κακώτερον τοῦ τὰ ἐναντία ἑαυτῷ διαπράττεσθαί τινα, ἐν τῷ μὴ ποιεῖν ἃ βούλεται, καὶ τῆς τῶν ἄλλων ἀφροσύνης ἀνέχεσθαι. Τῶν κακῶν. τῶν ἀφροσυνῶν ὧν ὁ δεσπότης ἔχει, ἤγουν τῶν πληγῶν, ἃς τοῖς ἀπειθοῦσι πρὸς τοὺς δεσπότας ὀφείλονται. εἰώθασι δὲ οἱ Ἀττικοὶ τὰ ἄρθρα πλεονάζειν. ὥσπερ οὖν ἐν τῷ, τὰ βέλτιστα, πλεονάζει ἀττικῶς τὸ ἄρθρον, οὕτω κἀνταῦθα τὸ τῶν. καὶ ἐν τοῖς ἑξῆς τὸ, τῷ ὡς ἐν τῷ

Ἐπίγραμμα εἰς Ἀριστοφάνη.

Βίβλοι Ἀριστοφάνευς θεῖος πόνος. αἷσιν Ἀχαρνεὺς
Κισσὸς ἐπὶ χλοερὴν πουλὺς ἔσεισε κόμην.
Ἠνίδ' ὅσον Διόνυσον ἔχει σελίς. οἷα δὲ μῦθοι.
Ἠχεῦσι, φοβερῶν πλῆθο μοι χαρίτων.
Ὦ καὶ θυμὸν ἄριστε καὶ Ἑλλάδος ἤθεσιν ἶσα
Κωμικὲ, καὶ στύξας ἄξια καὶ γελάσας.

Σεβαστιανοῦ τοῦ Δυκκίου ἐπίγραμμα.

Πρῶτος ὁ Μουσοῦρος δῶκεν ποτὲ πολλὰ μογήσας
Χαλκοτύποις σελίσιν βίβλον Ἀριστοφάνους.
Δεύτερος αὖ Φράγκινος ἰδοὺ νῦν ταῦτα χαράξας
Πλεῖστα διορθώσας, πίνακα προσθέμενος.

Ἰστέον δὲ ὅτι τὰ τοῦ δράματος πρόσωπα πεπλασμένα εἰσὶ παρὰ τοῦ ποιητοῦ. Χρεμύλος γὰρ ἀπὸ τοῦ χρέος καὶ τοῦ αἱμύλλω τὸ ἀπατῶ εἴρηται, ὁ ἀπατῶν δηλαδὴ τοὺς χρεοφειλέτας διὰ πενίαν. καὶ τὸ καρίων ἐξελληνιζόμενον τὸν δοῦλον δηλοῖ. Κᾶρες γὰρ οἱ δοῦλοι, ὅθεν καὶ παροιμία ἐν Καρὸς ἄτῃ ἤτοι ἐν δούλου τάξει, καὶ τὸ βλεψίδημος δὲ ἤτοι πτωχὸς ὁ βλέπων ἀεὶ ποτε εἰς τὸν δῆμον.

Ἔκθεσις τοῦ δράματος ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι σμή. ὧν τέλος τί γὰρ ἄν τις πρὸς σὲ τἀληθῆ λέγῃ. ιο. ό.

Πρεσβύτης τις Χρεμύλος πένης ὢν καὶ ἔχων υἱόν, κατανοήσας ὡς οἱ φαῦλοι τοτηνικαῦτα εὖ πράττουσιν, οἱ δὲ χρηστοὶ ἀτυχοῦσιν, ἀφικνεῖται εἰς θεοῦ χρησόμενος, πότερον χρὴ τὸν παῖδα σωφρόνως ἀναθρέψει, καὶ ὅμοιον ἑαυτῷ τοὺς τρόπους διδάξειεν, ἦν γὰρ οὗτος χρηστός, ἢ φαῦλον. ὡς τῶν φαύλων τότε εὖ πραττόντων. ἐλθὼν οὖν εἰς τὸ μαντεῖον, περὶ μὲν ὧν ἤρετο, οὐδὲν ἤκουσεν. προστάττει δὲ αὐτῷ, ᾧ τινι πρώτῳ ἐξιὼν συντύχῃ ἀκολουθεῖν. καὶ τὰ λοιπὰ ὡσαύτως.

Ἐδιδάχθη ἐπὶ ἄρχοντος Ἀντιπάτρου, ἀνταγωνιζομένου αὐτῷ, Νικοχάρους μὲν Λάκωσιν. Ἀριστομένους δὲ Ἀδμήτῳ. Νικοφῶντος δὲ Ἀδώνιδι. Ἀλκαίου δὲ Πασιφάῃ. τελευταίαν δὲ διδάξας τὴν κωμῳδίαν ταύτην ἐπὶ τῷ ἰδίῳ ὀνόματι, καὶ τὸν υἱὸν αὐτοῦ συστῆσαι Ἀραρότα δι' αὐτῆς τοῖς θεαταῖς βουλόμενος, τὰ ὑπόλοιπα δύο δι' ἐκείνου καθῆκε. Κώκαλον καὶ Αἰολοσίκωνα.

Ἀριστοφάνους γραμματικοῦ ὑπόθεσις δι' ἰάμβων.

Μαντεύεται δίκαιος ὤν τις καὶ πένης,
Εἰ μεταβαλὼν, πλουτεῖν τυχεῖν δυνήσεται.
Ἔχρησεν ὁ θεὸς συνακολουθεῖν ᾧ περ ἂν
Ἀνδρὶ περιτύχῃ. πλοῦτος δ' ὁ πλανᾶται τυφλός.
Γνοὺς δ' αὐτὸν, ἤγαγεν οἴκαδ' ἄλλους δημότας.
Καλέσας μετασχεῖν. εἶθ' ὑγιάσαι τὰς κόρας
Ἔσπευδον. εἰς Ἀσκληπιοῦ δ' ἀπῆγον. ἤδ'
Ἄφνω πενία διεκώλυσεν.
Ὅμως ἀναβλέψαντος αὐτοῦ, τῶν κακῶν
Οὐδεὶς ἐπλούτει. τῶν δ' ἀγαθῶν ἦν τἀγαθά.

Τὰ τοῦ δράματος πρόσωπα.

Καρίων οἰκέτης.
Χορὸς ἀγροίκων.
Γυνὴ Χρεμύλου.
Συκοφάντης.
Ἑρμῆς.
Χρεμύλος δεσπότης.
Βλεψίδημος.
Δίκαιος ἀνήρ.
Γραῦς. ἡ φίλη τοῦ μειρακίου.
Ἱερεὺς Διός.
Πλοῦτος.
Πενία.
Ἕτερος ἀνὴρ ἄδικος.
Νεανίας.

Ἡ ὑπόθεσις τοῦ παρόντος δράματος, ἐστὶν αὕτη.

β Ουλόμενος ἀριστοφάνης σκῶψαι ἀθηναίους ἀδικίᾳ καὶ συκοφαντίᾳ καὶ τοῖς τοιούτοις συνόντας, καὶ διὰ τοῦτο πλουτοῦντας, πλάττει πρεσβύτην τινὰ γεωργὸν χρεμύλον τοὔνομα, δίκαιον μὲν ὄντα καὶ τοὺς τρόπους χρηστὸν· πένητα δὲ ἄλλως. ὃς μετά τινος αὐτῷ θεράποντος ἐλθὼν εἰς ἀπόλλω, ἐρωτᾷ περὶ τοῦ ἰδίου παιδὸς, εἰ χρὴ τουτονὶ τρόπων χρηστῶν ἀμελήσαντα, ἀδικίας ἀντιποιεῖσθαι, καὶ ταῦτα τοῖς ἄλλοις ἐπιτηδεύειν. ἐπειδήπερ οἱ μὲν τοιοῦτοι, ἐπλούτουν. οἱ δὲ τὰ ἀγαθὰ πράττοντες, πένητες ἦσαν, καθάπερ αὐτὸς οὗτος ὁ χρεμύλος. ἔχρησεν οὖν αὐτῷ ὁ θεὸς σαφὲς μὲν οὐδὲν. ὅτῳ δὲ ἐξιὼν ἐντύχῃ, τούτῳ ἕπεσθαι. καὶ ὃς γέροντι ἐντυγχάνει τυφλῷ. ἦν δὲ οὗτος ὁ πλοῦτος. καὶ ἀκολουθεῖ κατὰ τὰς μαντείας, μὴ εἰδὼς ὅτι ὁ πλοῦτός ἐστι. δυσχεραίνων δὲ ἐπὶ τούτῳ καθ᾽ ἑαυτὸν ὁ θεράπων, μόλις αὐτὸν ἐρωτᾷ, τίνος ἕνεκα τούτῳ ἀκολουθοῖεν. καὶ ὁ χρεμύλος λέγει αὐτῷ τὴν μαντείαν. ἔπειτα μανθάνουσι παρ᾽ αὐτοῦ πλούτου ὅς τις ἐστί. καὶ ὅτου χάριν τυφλὸς ἐγεγόνει παρὰ τοῦ διός. οἱ δὲ ἀκούσαντες, ἥσθησάν τε καὶ βουλὴν ἔχον ἀπαγαγεῖν αὐτὸν εἰς ἀσκληπιοῦ, καὶ τὴν τῶν ὀφθαλμῶν θεραπεῦσαι πήρωσιν. καὶ ἵνα τὰ ἐν μέσῳ παρῶ, τάς τε τοῦ βλεψιδήμου ἀντιλογίας καὶ τῆς πενίας αὐτῆς, ἀπήγαγόν τε αὐτὸν ὅτι τάχιστα, καὶ ὑγιᾶ ἐπανήγαγον οἴκαδε. ἐπλούτησάν τε ἱκανῶς, οὐκ αὐτοὶ μόνοι, ἀλλὰ καὶ ὅσοι βίου χρηστοῦ πρόσθεν ἀντεχόμενοι, πένητες ἦσαν. Ἐπιγέγραπται δὲ τὸ δρᾶμα, πλοῦτος ἀριστοφάνους.

Ἄλλως.

π Ρεσβύτης τις χρεμύλος πένης ὢν τὴν οὐσίαν ἀφικνεῖται εἰς θεοῦ. ἐπερωτᾷ δὲ τὸν θεὸν πῶς ἂν εἰς ἔκδηλον ἁβρόν τε μεταστῇ βίον. τοιόνδε δὲ ἐγγεγύηται ὁ χρησμός. χρᾷ γὰρ αὐτῷ ὁ θεὸς ἐξιόντι τοῦ ναοῦ, τούτῳ ἕπεσθαι ᾧ πρώτῳ συντύχῃ. καὶ δὴ τυφλῷ καὶ γέροντι συντυχὼν, εἵπετο πληρῶν τὸν χρησμόν. ἦν δὲ πλοῦτος οὗτος. ὕστερον δὲ προσδιαλεχθεὶς αὐτῷ, εἰσάγει εἰς ἀσκληπιοῦ. ἰασάμενος αὐτὸν τῆς πηρώσεως, καὶ οὕτω πλούσιος γίγνεται. ἐφ᾽ ᾧ δυσχεράνασα ἡ πενία παραγίγνεται λοιδορουμένη τοῖς τοῦτο κατορθώσασι. πρὸς ἣν καὶ διάλογος οὐκ ἀφυὴς γίγνεται. συγκρινομένων τῶν φαύλων τῆς πενίας καὶ τῶν τοῦ πλούτου ἀγαθῶν, ὑπὸ βλεψιδήμου καὶ χρεμύλου. πολλῶν τε ἄλλων ἐπεισρεόντων, ἐν τῷ ὀπισθοδόμῳ τῆς ἀθηνᾶς ἀφιεροῦσι τὸ πλούτου ἰνδάλματα. Τὰ μὲν οὖν τῆς ὑποθέσεως τοιαῦτα. Προλογίζει δὲ θεράπων δυσχεραίνων πρὸς τὸν δεσπότην, ὅτι τυφλῷ καὶ γέροντι κατακολουθεῖν οὐκ ἠσχύνετο.

σαι, δὲ κρύφα οἷον αἰνιγματωδῶς. εἶτα δὲ καὶ τοῦτο ἐκώλυσαν. καὶ πτωχοὺς ἔσκωπτον. ὡς δὲ πλουσίους καὶ ἐνδόξους τι. γέγονε δὲ τῆς μὲν πρώτης κωμῳδίας ἄριστος τεχνίτης οὗτος ὁ Ἀριστοφάνης καὶ Εὔπολις. τῆς δὲ δευτέρας Πλάτων. τῆς δὲ τρίτης Μένανδρος. κωμῳδία οὖν ἢ ὅτι οἱ ἀπὸ κωμῶν συναγόμενοι ᾖδον ταῦτα. ἢ ὅτι ἐν καιρῷ κώματος ᾖδον. ἔστι δὲ ταύτην εἰπεῖν καὶ τραγῳδίαν οἷον εἰ τρυγῳδίαν τινὰ οὖσαν. ὅτι τρυγίᾳ χριόμενοι ἐκωμῴδουν. καὶ τῆς μὲν τραγῳδίας τὸ εἰς ἔλεον κινῆσαι τοὺς ἀκροατάς. διὰ τῆς δὲ κωμῳδίας τὸ εἰς γέλωτα. διό φασιν ἡ μὲν τραγῳδία λύει τὸν βίον ἡ δὲ κωμῳδία συνίστησιν.

Θωμᾶ τοῦ μαγίστρου σύνοψις τοῦ τε βίου Ἀριστοφάνους. καὶ τῆς τοῦ δράματος ὑποθέσεως.

Ἀριστοφάνης ὁ κωμῳδοποιὸς, γένει μὲν ἦν ἀθηναῖος. πατρὸς δὲ φιλίππου. τὸν δῆμον κυδαθηναιεύς. πανδιονίδος φυλῆς. πάνυ δὲ ἀνὴρ εὐφυὴς καὶ ἀγχίνους, ἅμα τοσοῦτον ἐγγὺς κομιδῇ τῇ ἡλικίᾳ ηὐδοκίμησεν ἐν κωμῳδίαις, ὡς οὐ μόνον τοὺς κατ᾽ αὐτὸν, ἀλλὰ καὶ τοὺς πρὸ αὐτοῦ ὑπεράραι. μᾶλλον δὲ οὐδὲ τοῖς συγγιγνομένοις παρῆκεν ὑπερβολήν. ἀλλὰ καὶ τούτους μετὰ πολλοῦ τοῦ περιόντος παρῆλθεν. οὔκουν ἂν ἐφάνη τις ὕστερον Ἀριστοφάνει παραπλήσιος. διὰ τοῦτο καὶ παρὰ τοῖς βασκάνοις αὐτοῖς ἀξιοῦται θαύματος. δράματα δὲ τέσσαρα πρὸς τοῖς πεντήκοντα γέγραφεν, ἅπαντα εὐμουσίας καὶ χάριτος ἀττικῆς μεστὰ καὶ πείθοντα τοὺς ἀκούοντας θαυμάζειν τε καὶ κροτεῖν. οὕτω δὲ τοῦ τῆς πολιτείας συμφέροντος ἐποιεῖτο λόγον, ὡς μηδένα τῶν ἐπὶ τῆς λαμπρᾶς τύχης οὐδέποτε ἀπέχεσθαι τοῦ σκώπτειν, εἰ ἀδικοῦντος ᾔσθετο. ὅθεν τὴν παῤῥησίαν αὐτοῦ δεδιότες οἱ τοιοῦτοι, μετρίους σφᾶς αὐτοὺς παρεῖχον ἀεί. καὶ τῷ δήμῳ λυσιτελοῦντας. ἔσχε δὲ τρεῖς υἱοὺς. φίλιππον. νικόστρατον. καὶ ἀραρότα. ἀποθανόντα δὲ, οὕτω Πλάτων ἐτίμησεν, ἐν ἐπιγράμματι ἡρωελεγείῳ.

Αἱ χάριτες τέμενός τι λαβεῖν ὅπερ οὐχὶ πεσεῖται ζητοῦσαι ψυχὴν εὗρον Ἀριστοφάνους.

Ἰστέον ὅτι κωμῳδία ἐκλήθη, ἀπὸ τοῦ ἐν κώμαις ᾄδεσθαι τὰς κωμῳδίας. κώμας δὲ ἐκάλουν οἱ παλαιοὶ τοὺς στενωπούς. ἢ ἀπὸ τοῦ ἐν ταῖς κωμάσεσι τοῦ διονύσου πρῶτον ἐπινοηθῆναι ταύτας. ἢ παρὰ τὸ κῶμα ὅ ἐστιν ὕπνος. φασὶ γὰρ ὡς πρὸ τοῦ εὑρεθῆναι τοὺς κωμικοὺς ποιητὰς, ἀδικούμενοί τινες ὑπό τινων, ἀφανῶς ἤρχοντο ἐν νυκτὶ ἐπὶ τοὺς τῶν ἀδικούντων στενωπούς, βοῶντες ὅ δεῖνα ἀδικεῖ καὶ χαίρει. καὶ τὰ, καὶ τὰ, πράττει, θεῶν ὄντων καὶ νόμων. καὶ τούτων λεγομένων οἱ συνειδότες ἑαυτοῖς ταῦτα, σώφρονες ἐγίνοντο τοῦ λοιποῦ. ἐπεὶ οὖν ἄριστα τοῦτο ἔχειν ἐδόκει, καὶ τῇ πολιτείᾳ συνοῖσον, ἅτε τοῦ μὲν ἀδικίας ἐντεῦθεν παντάπασιν ἀναιρουμένης, δικαιοσύνης δὲ ἀντεισαγομένης καὶ τρόπων χρηστῶν, ἐτάχθησαν ἐπὶ τοῦτο οἱ κωμικοὶ ποιηταί. ἐν μέρει παιδιᾶς σκώμματί τε τοὺς ἀδικοῦντας, καὶ διδαχὴν ὧν προσῆκεν ὀργαζόμενοι. ᾔδοντο δὲ αἱ κωμῳδίαι ἐν τοῖς διονυσιακοῖς, ἔαρος ὥρᾳ.

ριπίδου καὶ σωκράτους, φιλωνίδῃ. διὰ δὲ τοῦτο νομισθεὶς ἀγαθὸς ποιητής,
τοὺς λοιποὺς ἀπογραφόμενος ἐνίκα. ἔπειτα τῷ ἰδίῳ ἐδίδου τὰ δράματα ὄν-
τα τὸν ἀριθμὸν νδ'. ὧν νόθα δ'. τῆς δὲ μέσης κωμῳδίας δύο ποιηταὶ
πλάσματος μὲν οὐχ ἥψαντο ποιητικοῦ. διὰ δὲ τῆς συνήθους ἰόντες λαλι-
ᾶς, λογικὰς ἔχουσι τὰς ἀρετάς. ὥστε σπάνιον ποιητικὸν εἶναι χαρακτῆρα
παρ' αὐτοῖς. καταγελοῦνται δὲ πάντες περὶ τὰς ὑποθέσεις. τῆς μὲν οὖν
μέσης κωμῳδίας εἰσὶ ποιηταὶ νζ'. καὶ τούτων δράματα, χιζ'. τούτων
δὲ εἰσὶν ἀξιολογώτατοι ἀντιφάνης καὶ στέφανος.

Αντιφάνης μὲν οὖν στεφάνου ἀθηναῖος. καὶ ἤρξατο διδάσκειν μετὰ τὴν ςη'
ὀλυμπιάδα. καί φασιν αὐτὸν γενέσθαι μὲν τῶν ἀπὸ θεσσαλίας ἐκ λαρίσ-
σης. παρεγγραφῆναι δὲ εἰς τὴν ἀθηναίων πολιτείαν ὑπὸ δημοσθένους. γενέ-
σθαι δὲ λέγουσιν αὐτὸν, εὐφυέστατον εἰς τὸ γράφειν καὶ δραματοποιεῖν. ἐτε-
λεύτησε δὲ ἐν χίῳ καὶ τὰ ὀστᾶ αὐτοῦ εἰς τὰς ἀθήνας μετηνέχθη. τῶν δὲ κω-
μῳδιῶν αὐτοῦ τινὰς καὶ ὁ στέφανος ἐδίδαξεν. ἔστι δὲ αὐτοῦ δράματα. σξ.

Τῆς δὲ νέας κωμῳδίας γεγόνασι μὲν ποιηταί. ξδ'. Ἀξιολογώτατοι δὲ τούτων
φιλήμων. μένανδρος. δίφιλος. φιλιππίδης. ποσείδιππος. ἀπολλόδωρος.
φιλήμων μὲν οὖν δάμωνος συρακούσιος. μετέσχε δὲ τῆς τῶν ἀθηναίων πο-
λιτείας. ἐδίδαξε δὲ πρὸ τῆς ριγ' ὀλυμπιάδος. σώζεται δὲ αὐτοῦ δράμα-
τα ἑπτὰ πρὸς τοῖς ἐνενήκοντα. μένανδρος δὲ διοπείθους υἱὸς ἀθηναῖος.
λαμπρὸς καὶ βίῳ καὶ γένει, διατρίψας δὲ τὰ πολλὰ ἀλεξίδι ὑπὸ τού-
του δοκεῖ παιδευθῆναι.

Εδίδαξε δὲ πρῶτος ἔφηβος ὢν ἐπὶ διοκλέους ἄρχοντος. γέγονε δ' εὐφυέστα-
τος πάνυ. γέγραφε δὲ πάντα δράματα ρη'. τελευτᾷ δὲ ἐν ἀθήναις ἐτῶν
ὑπάρχων νβ'. Δίφιλος σινωπεὺς κατὰ τὸν αὐτὸν χρόνον ἐδίδαξε με-
νάνδρῳ. τελευτᾷ δὲ ἐν σμύρνῃ. δράματα δὲ αὐτοῦ. ρ.

ΠΕΡΙ ΚΩΜΩΔΙΑΣ.

Τ

Ο παλαιὸν οἱ ἐν ταῖς κώμαις ἀδικούμενοι ὑπὸ τῶν πολιτῶν, νυ-
κτὸς ἀπήρχοντο παρὰ τὸν δῆμον ἐκεῖνον ἔνθα ὁ ἀδικήσας ἦν.
καὶ ἔλεγον ὅτι ἔστι τις ἐνταῦθα ποιῶν εἰς τοὺς γεωργοὺς τάδε. καὶ
τοῦτο ποιοῦντες ὑπεχώρουν. λέγοντες καὶ τοὔνομα. μεθ' ἡμέραν
δὲ ὁ δράσας ἐξητάζετο καὶ οὕτως αἰσχυνόμενος ἀνεστέλλετο τοῦ ἀδικεῖν.
Ορῶντες οὖν οἱ πολῖται τοῦτο χρήσιμον τῇ πόλει καὶ ἀδικίας ἀποτρεπτικὸν,
ἐκέλευσαν τοὺς ἀδικουμένους ἐπὶ μέσης ἀγορᾶς τοὺς ἀδικήσαντας κωμῳ-
δεῖν. οἱ δὲ δεδιότες αὐτοὺς ὥστε πλουσίους πηλῷ χρίοντες καὶ τρυγία, ἐπὶ
μέσης ἀγορᾶς τοὺς ἀδικοῦντας ἐκωμῴδουν. ἐπεὶ δὲ μεγάλα ἡ πόλις ὠφε-
λεῖτο ἐκ τούτου, ποιητὰς ἔταξαν ἐπὶ τούτῳ κωμῳδεῖν οὓς ἂν βούλωνται ἀ-
κωλύτως. ἐπεὶ δὲ ἡ κακία προέκοπτεν, οἱ πλούσιοι καὶ οἱ ἄρχοντες μὴ
βουλόμενοι κωμῳδεῖσθαι, τὸ μὲν φανερῶς κωμῳδεῖν ἐκώλυσαν. ἐκέλευ-

Τὴν κωμῳδίαν εὑρῆσθαί φασιν ὑπὸ Σουσαρίωνος. τὴν δὲ ὀνομασίαν ἔχειν οἱ μὲν ὅτι ἀπὸ τὰς κώμας περιιόντες ᾖδον καὶ ἐπειδὴ εἶχον τὸ μήπω πόλεων οὐσῶν, ἀλλ' ἐν κώμαις οἰκούντων τῶν ἀνθρώπων. οἱ δὲ ἀντιλέγοντές φασι μὴ κώμας καλεῖσθαι παρὰ ἀθηναίοις, ἀλλὰ δήμους. καὶ κωμῳδίαν αὐτὴν καλοῦσιν ἐπεὶ ἐν ταῖς ὁδοῖς ἐκώμαζον. Τὴν αὐτὴν δὲ καὶ τρυγῳδίαν φασὶ διὰ τὸ τοῖς εὐδοκιμοῦσιν ἐπὶ τῷ ληναίῳ γλεῦκος δίδοσθαι ὅπερ ἐκάλουν τρύγα, ἢ ὅτι μήπω προσωπείων εὑρημένων, τρυγὶ διαχρίοντες τὰ πρόσωπα ὑπεκρίνοντο. γεγόνασι δὲ μεταβολαὶ κωμῳδίας τρεῖς. καὶ ἡ μὲν ἀρχαία. ἡ δὲ νέα. ἡ δὲ μέση. ἡ μὲν οὖν τῆς ἀρχαίας κωμῳδίας ποιηταί, οὐχ ὑποθέσεως ἀληθοῦς, ἀλλὰ παιδείας εὐτραπέλου γενόμενοι ζηλωταί, τοὺς ἀγῶνας ἐποίουν.

Καὶ φέρεται αὐτῶν πάντα τὰ δράματα τξέ σὺν τοῖς ψευδεπιγράφοις. τούτων δέ εἰσιν ἀξιολογώτατοι Ἐπίχαρμος, Μάγνης. Κρατῖνος. Κράτης. Φερεκράτης. Φρύνιχος. Εὔπολις. Ἀριστοφάνης. οὗτος πρῶτος τὴν κωμῳδίαν διερριμμένην ἀνεκτήσατο πολλὰ προσφιλοτεχνήσας. χρόνοις δὲ γέγονε κατὰ τὴν ογ´ ὀλυμπιάδα. τῇ δὲ ποιήσει γνωμικὸς καὶ εὑρετικὸς καὶ φιλότεχνος. σώζεται δὲ αὐτοῦ δράματα μ´. ὧν ἀντιλέγονται δ´. Μάγνης δὲ ἀθηναῖος ἀγωνισάμενος ἀθήνησι νίκας ἔσχεν ια´. τῶν δὲ δραμάτων αὐτοῦ οὐδὲν σώζεται. τὰ δὲ ἐπιφερόμενά εἰσιν ἐννέα.

Κρατῖνος ἀθηναῖος νικᾷ μετὰ τὴν πέ´ ὀλυμπιάδα. τελευτᾷ δὲ λακεδαιμονίων εἰς τὴν ἀττικὴν εἰσβαλόντων τὸ πρῶτον ὥς φησιν ἀριστοφάνης οὐρανιάσας. οὐ γὰρ ἐξηνέχετο ἰδεῖν πίθον καταγνύμενον οἴνου πλέων, γέγονε δὲ ποιητικώτατος κατασκευάζων εἰς τὸν αἰσχύλου χαρακτῆρα. φέρεται δὲ δράματα αὐτοῦ κά.

Κράτης ἀθηναῖος. τοῦτον ὑποκριτὴν φασὶ γεγονέναι τὸ πρῶτον. ὃς ἐπιβέβληκε κρατίνῳ. πάνυ γελοῖος καὶ ἱλαρὸς γινόμενος. καὶ πρῶτος μεθύοντας ἐν κωμῳδίᾳ προήγαγε. τούτου δράματά εἰσιν ἑπτά.

Φερεκράτης ἀθηναῖος νικᾷ ἐπὶ θεάτρου γινόμενος ὁ δὲ ὑποκριτής, ἐζήλωκε κράτητα. καὶ αὐτοῦ μὲν λοιδορεῖν ἀπέστη. πράγματα δὲ εἰσηγούμενος καινὰ ηὐδοκίμει γενόμενος εὑρετικὸς μύθων. Φρύνιχος φράδμονος ἔθανεν ἐν σικελίᾳ.

Εὔπολις ἀθηναῖος ἐδίδαξεν ἐπὶ ἄρχοντος ἀπολλοδώρου ἐφ' οὗ καὶ φρύνιχος γεγονώς. δυνατὸς τῇ λέξει καὶ ζηλῶν κρατῖνον, πολύ τε λοίδορον καὶ σκαιὸν ἐπιφαίνει.

Γέγραπται δὲ αὐτῷ δράματα .δ´. Ἀριστοφάνης φιλίππου ἀθηναῖος, μακρολογώτατος ἀθηναίων καὶ εὐφυΐᾳ πάντας ὑπεραίρων. ζηλῷ δὲ εὐριπίδην. τοῖς δὲ μέλεσι λεπτότερος. ἐδίδαξε δὲ πρῶτος ἐπὶ ἄρχοντος φιλοτίμου διὰ καλλιστράτου. τὰς μὲν γὰρ πολιτικάς, τούτῳ φασὶν αὐτὸν διδόναι. τὰ δὲ κατ' εὐ

ξαίνου δ' ὑλαγωγουμένη. ἀλλ' οὐδ' ὅτι δημοκρατία ἐστὶ καὶ ἐλεύθερος ὢν ὁ δῆ-
μος ἄρχει ἑαυτοῦ. τούτου χάριν ἐπῃνέθη καὶ ἐστεφανώθη θαλλῷ τῆς ἱερᾶς ἐλαίας.
ὃς νενόμισται ἰσότιμος χρυσῷ στεφάνῳ εἰπὼν ἐκεῖνα ἐν τοῖς βατράχοις περὶ
τῶν ἀτίμων. τὸν ἱερὸν χορὸν δίκαιον πολλὰ χρηστὰ τῇ πόλει συμπαραινεῖν.

Ὠνομάσθη δὲ ἀπ' αὐτοῦ ἐπειδὴ ἔνδοξον τὸ μέτρον τὸ ἀριστοφάνειον. οὕτω δὲ γέ-
γονεν ἡ φήμη τοῦ ποιητοῦ ὡς καὶ παρὰ πέρσαις διήκειν. καὶ τὸν βασιλέα περσῶν
πυνθάνεσθαι παρ' ὁποτέροις εἴη ὁ κωμῳδοποιός. φασὶ δὲ καὶ πλάτωνα διονυ-
σίῳ τῷ τυράννῳ, βουληθέντι μαθεῖν τὴν ἀθηναίων πολιτείαν, πέμψαι τὴν ἀ-
ριστοφάνους ποίησιν, τὴν κατὰ σωκράτους ἐν νεφέλαις κατηγορίαν, καὶ συμ-
βουλεῦσαι τὰ δράματα αὐτοῦ ἀσκηθέντα, μαθεῖν αὐτοῦ τὴν πολιτείαν. ἐγένε-
το δὲ καὶ αἴτιος ζήλου τοῖς νέοις κωμικοῖς. λέγω δὴ φιλήμονι καὶ μενάνδρῳ.
ψηφίσματος γὰρ γενομένου χορηγοῦ ὥστε μὴ ὀνομαστὶ κωμῳδεῖν τινα, καὶ
τῶν χορηγῶν οὐκ ἀντεχόντων πρὸς τὸ χορηγεῖν καὶ παντάπασιν ἐκλελοι-
πυίας τῆς ὕλης τῶν κωμῳδιῶν διὰ τούτου αὐτοῦ. αἴτιον γὰρ κωμῳδίας τὸ σκώ-
πτειν τινάς, ἔγραψε κωμῳδίας τινάς, κώκαλον ἐν ᾧ εἰσάγει φθορὰν καὶ ἀνα-
γνωρισμόν. καὶ τἄλλα πάντα ἃ ἐζήλωσε μένανδρος, πάλιν δὲ ἐκλελοιπό-
τος καὶ τοῦ χορηγεῖν, τὸν πλοῦτον γράψας εἰς τὸ διαναπαύεσθαι τὰ σκηνικὰ
πρόσωπα καὶ μετεσκευάσθαι, ἐπιγράφει χοροῦ, φθεγγόμενος ἐν ἐκείνοις.
ἃ καὶ ὁρῶμεν τοὺς νέους ἐπιγράφοντας οὕτω ζήλῳ ἀριστοφάνους. ἐν τούτῳ δὲ
τῷ δράματι συνέστησε τῷ πλήθει τὸν υἱὸν ἀραρότα, καὶ οὕτω μετήλλαξε τὸν
βίον, παῖδας καταλιπὼν τρεῖς. φίλιππον ὁμώνυμον τῷ πάππῳ καὶ νι-
κόστρατον καὶ ἀραρότα, δι' οὗ καὶ ἐδίδαξε τὸν πλοῦτον.

Τινὲς δὲ δύο φασὶ φίλιππον καὶ ἀραρότα, ὧν καὶ αὐτὸς ἐμνήσθη. τὴν γυναῖκα
δ' αἰσχύνομαι, τώ τ' οὐ φρονοῦντε παιδίω, ἴσως αὐτοὺς λέγων.

Ἔγραψε δὲ δράματα. μδ'. ὧν ἀντιλέγεται τέσσαρα ὡς οὐκ ὄντα αὐτοῦ. ἔστι δὲ
ταῦτα ποίησις. ναυαγός. νῆσοι. νίοβις. ἅ τινες ἔφασαν εἶναι τοῦ ἀρχίππου.

Ὁ κωμικὸς χορὸς συνέστηκεν ἐξ ἀνδρῶν κδ'. καὶ εἰ μὲν ὡς ἀπὸ τῆς πόλεως
ἤρχετο ἐπὶ τὸ θέατρον, διὰ τῆς ἀριστερᾶς ἁψῖδος εἰσῄει. εἰ δὲ ὡς ἀπὸ ἀγροῦ
διὰ τῆς δεξιᾶς ἐν τετραγώνῳ σχήματι, ἀφορῶν εἰς τοὺς ὑποκριτάς. ἀνα-
χωρούντων δὲ τῶν ὑποκριτῶν ἐπιλαίως ἐστρέφετο ὁ χορὸς προσέχων ἐφ' ἑκάτε-
ρα μέρη τοῦ θεάτρου. ἐκαλεῖτο δὲ τῷ γένει τὸ τοιοῦτον ὄνομα τῆς ὀρχήσεως
παράβασις ὁμωνύμως τῷ γένει. τὸ τρίτον μακρὸν τὸ καὶ πνῖγος, τέταρ-
τον στροφὴ ἢ ᾠδή. τὸ πέμπτον ἐπίρρημα τὸ ἕκτον ἀντίστροφος ἢ ἀντῳδή. τὸ
ἕβδομον ἀντεπίρρημα.

Ὑποκριταὶ ἀριστοφάνους καλλίστρατος καὶ φιλωνίδης δι' ὧν ἐδίδασκε τὰ δράμα-
τα ἑαυτοῦ. διὰ μὲν φιλωνίδου τὰ δημοτικά διὰ δὲ καλλιστράτου τὰ ἰδιωτικά.

Πόσα μέρη κωμῳδίας. α'. πρόλογος τὸ μέχρι τῆς εἰσόδου τοῦ χοροῦ μέρος. β'.
χορικόν. τὸ τοῦ χοροῦ διδόμενον μέλος. γ'. ἐπεισόδιον τὸ μεταξὺ δύο χορι-
κῶν μελῶν. δ'. ἔξοδος τὸ ἐπὶ τέλει λεγόμενον τοῦ χοροῦ. εἴρηται δὲ καὶ πό-
σα μέρη παραβάσεως τοῦ χορικοῦ.

παρὰ δὲ τοὺς χρόνους, ὅτι συστελλόντων τινὰ τῶν ἑλληνιζόντων, αὐτοὶ ἐκτείνουσι μᾶλλον ἢ συστέλλουσι. παρὰ δὲ τὰ πνεύματα, ἐπεὶ δασύνουσιν ἔνια ψιλούντων, ἢ ψιλοῦσι δασυνόντων. παρὰ δὲ τὰ γένη ἐπειδὴ θηλυκῶς τινα λεγόντων, ἢ οὐδετέρως αὐτοὶ προφέρονται ἢ ἀνάπαλιν ἀρσενικῶς ἢ οὐδετέρως ἐκφέρουσι. παρὰ τοὺς ἀριθμοὺς ἐπειδὴ ἑνικῶς τινα λεγόντων, πληθυντικῶς λέγουσιν ἢ καὶ ἀνάπαλιν.

Ἀριστοφάνους βίος.

α ριστοφάνης ὁ κωμῳδοποιὸς, πατρὸς μὲν ἦν φιλίππου. τὸ δὲ γένος ἀθηναῖος. τὸν δῆμον κυδαθηναιεύς. πανδιονίδος φυλῆς. οὗτος πρῶτος δοκεῖ τὴν κωμῳδίαν ἔτι πλανωμένην τῇ ἀρχαίᾳ ἀγωγῇ, ἐπὶ τὸ χρησιμώτερον καὶ σεμνότερον μεταγαγεῖν, πικρότερον καὶ αἰσχρότερον κρατίνου καὶ εὐπόλιδος βλασφημούντων ἢ ἔδει. πρῶτος δὲ καὶ τῆς νέας κωμῳδίας τὸν τρόπον ἐπέδειξεν ἐν τῷ κωκάλῳ. ἐξ οὗ τὴν ἀρχὴν λαβόμενοι μένανδρός τε καὶ φιλήμων, ἐδραματούργησαν. εὐλαβὴς δὲ σφόδρα γενόμενος τὴν ἀρχὴν ἄλλως τε καὶ εὐφυὴς, τὰ μὲν πρῶτα διὰ καλλιστράτου καὶ φιλωνίδου καθίει δράματα. διὸ καὶ ἔσκωπτον αὐτὸν ἀριστώνυμός τε καὶ ἀμειψίας, τετράδι λέγοντες αὐτὸν γεγενῆσθαι κατὰ τὴν παροιμίαν ὡς ἄλλοις πονοῦντα. ὕστερον δὲ καὶ αὐτὸς ἠγωνίσατο. διεχθρεύσας δὲ μάλιστα κλέωνι τῷ δημαγωγῷ. καὶ γράψας κατ' αὐτοῦ τοὺς ἱππέας, ἐν οἷς διελέγχει αὐτοῦ τὰς κλοπὰς καὶ τὸ τυραννικὸν, οὐδενὸς δὲ τῶν σκευοποιῶν τολμήσαντος τὸ πρόσωπον αὐτοῦ σκευάσαι διὰ ὑπερβολὴν φόβου ἅτε δὴ τυραννικοῦ ὄντος, μηδὲ μὴν ὑποκρίνεσθαί τινος τολμῶντος, δι' ἑαυτοῦ ἀριστοφάνης ὑπεκρίνατο αὐτοῦ τὸ πρόσωπον μίλτῳ χρίσας. καὶ οὕτως αὐτῷ γέγονε ζημίας πέντε ταλάντων ἃ ὑπὸ τῶν ἱππέων κατεδικάσθη, ὥς φασιν ἐν ἀχαρνεῦσιν. ἐγὼ δ' ἐφ' ᾧ γε τὸ κέαρ εὐφράνθην ἰδών. τοῖς πέντε ταλάντοις οἷς κλέων ἐξήμεσε. διηχθρεύσατο δὲ αὐτῷ ὁ ἀριστοφάνης ἐπειδὴ ξενίας γραφὴν κατ' αὐτοῦ ἔθετο. καὶ ὅτι ἐν δράματι αὐτοῦ βαβυλωνίοις, διέβαλε τῶν ἀθηναίων τὰς κληρωτὰς ἀρχὰς παρόντων ξένων. ὡς ξένον δὲ αὐτὸν ἔλεγε παρόσον οἱ μὲν αὐτόν φασι ῥόδιον ἀπὸ λίνδου. οἱ δὲ αἰγινήτην. στοχαζόμενοι ἐκ τοῦ πλεῖστον χρόνον τὰς διατριβὰς αὐτὸν ποιεῖσθαι. ἢ καὶ ὅτι ἐκέκτητο ἐκεῖσε. κατά τινας δὲ ὡς ὁ πατὴρ αὐτοῦ φίλιππος, αἰγινήτης. ἀπελύθησαν δὲ αὐτὸν ἐρωτήσαντα ἀστείως ἐκ τῶν ὁμήρου (ταῦτα.

Μήτηρ μέν τ' ἐμέ φησι τοῦ ἔμμεναι. αὐτὰρ ἔγωγε.
Οὐκ οἶδ'. οὐ γάρ πώ τις ἑὸν γόνον αὐτὸς ἀνέγνω. δεύτερον δὲ καὶ τρίτον συκοφαντηθεὶς ἀπέφυγε, καὶ οὕτω φανερὸς κατασταθεὶς πολίτης, κατεκράτησε τοῦ κλέωνος. ὅθεν φησίν. αὐτὸς δ' ἐμαυτὸν ὑπὸ κλέωνος ἅπαθον, ἐπίσταμαι δὴ καὶ τὰ ἑξῆς. φασὶ δὲ αὐτὸν εὐδοκιμῆσαι, συκοφάντας καταλύσαντα. οὓς ὠνόμασεν ἠπιάλους ἐν σφηξίν. ἐν οἷς φησίν. οἳ τοὺς πατέρας αὐτῶν ἦγχον νύκτωρ. καὶ τοὺς πάππους ἀπέπνιγον. μάλιστα δὲ ἐπῃνέθη καὶ ἠγαπήθη ὑπὸ τῶν πολιτῶν. ἐπειδὴ δὲ διὰ τῶν ἑαυτοῦ δραμάτων ἐσπούδασε δεῖξαι τὴν τῶν ἀθηναίων πολιτείαν ὡς ἐλευθέρα τε ἐστὶ καὶ ὑπ' οὐδενὸς τυ

Ἄλλως περὶ κωμῳδίας.

ο

Ὅτι ὁ γέλως τῆς κωμῳδίας ἔκ τε λέξεων καὶ πραγμάτων ἔχει τὴν σύστασιν. ἐκ μὲν τῆς λέξεως, κατὰ τρόπους ἑπτά. πρῶτον καθ' ὁμωνυμίαν. ὡς τὸ διαφόρου ῥυθμός οἷον τὸ μέτρον. δεύτερον δὲ κατὰ συνωνυμίαν. ὡς τὸ ἥκω καὶ κατέρχομαι, ταὐτὸν γάρ ἐστιν. τρίτον κατὰ ἀδολεσχίαν, ὡς ὅταν τις τῷ αὐτῷ ὀνόματι χρήσηται. τέταρτον κατὰ παρωνυμίαν, ὅταν τῷ κυρίῳ ἔξωθέν τις ἅπτηται. ὡς τὸ μώμαξ καλοῦμαι μίδας. πέμπτον κατὰ ὑποκορισμὸν ὡς τὸ σωκρατίδιον εὐριπίδιον. ἕκτον, κατὰ ἐξαλλαγήν. ὡς τὸ ὦ βδεῦ δέσποτα. ἀντὶ τοῦ ὦ ζεῦ. ἕβδομον κατὰ σχῆμα λέξεως τούτῳ γίνεται ἡ φωνὴ ἢ τοῖς ὁμογενέσιν. ἐκ δὲ τῶν πραγμάτων, κατὰ τρόπους δύο πρῶτον κατὰ ἀπάτην, ὡς στρεψιάδης πεισθεὶς ἀληθεῖς εἶναι τοὺς περὶ ψυχῆς λόγους. δεύτερον κατὰ ὁμοίωσιν. ἡ δὲ ὁμοίωσις, εἰς δύο τέμνεται ἢ εἰς τὸ βέλτιον, ὡς ὁ ξανθίας εἰς ἡρακλέα. ἢ εἰς τὸ χεῖρον, ὡς ὁ διόνυσος εἰς ξανθίαν.

Ὁ χορὸς ὁ κωμικὸς εἰσήγετο ἐν τῇ ὀρχήστρᾳ τῷ νῦν λεγομένῳ λογείῳ. καὶ ὅτε μὲν πρὸς τοὺς ὑποκριτὰς διελέγετο, πρὸς τὴν σκηνὴν ἀφεώρα ὅτε δὲ ἀπελθόντων τῶν ὑποκριτῶν. τοὺς ἀναπαίστους διεξῄει, πρὸς τὸν δῆμον ἀπεστρέφετο. καὶ τοῦτο ἐκαλεῖτο στροφή. ἦν δὲ τὰ ἰαμβεῖα τετράμετρα. εἶτα τὴν ἀντίστροφον προσᾴδοντες, πάλιν τετράμετρα ἔλεγον εἰς ἀντιστίχους. ἦν δὲ ἐπὶ τὸ πλεῖστον ις'. ἐκαλεῖτο δὲ ταῦτα ἐπιρρήματα. ἡ δὲ ὅλη πάροδος τοῦ χοροῦ ἐκαλεῖτο παράβασις. ἀριστοφάνης ἐν ἱππεῦσιν. εἰ μέν τις ἀνὴρ τῶν ἀρχαίων κωμῳδοδιδάσκαλος ἡμᾶς ἠνάγκαζεν ἐπὶ τὸ μέτρον παραβῆναι.

Τῶν τῆς ἀρχαίας κωμῳδίας ποιητῶν ὀνόματα καὶ δράματα.

Θεοπόμπου δράματα	ιζ'.	Πλάτωνος δράματα	κη'.
Στράτιδος δράματα	ις'.	Τηλεκλείδου δράματα	ς'.
Φερεκράτους δράματα	ιη'.	Φρυνίχου δράματα	ι'.
Κράτητος δράματα	ν'.		

Ὅτι κατὰ τρόπους δέκα διαφέρει τὸ ἑλληνίζειν τοῦ ἀττικίζειν. κατὰ ἀναλογίαν. παρὰ τὴν ἐτυμολογίαν. παρὰ τὰ σχήματα. παρὰ τὸν σχηματισμὸν τῶν ὀνομάτων παρὰ τὴν ἀνηγορίαν. παρὰ τοὺς ἀριθμούς παρὰ τὰ γένη. παρὰ τὰ πνεύματα. παρὰ τοὺς χρόνους. παρὰ τοὺς τόνους. παρὰ μὲν τὴν ἀναλογίαν καὶ ἐτυμολογίαν, ὅτι οἱ μὲν ἑλληνίζοντες, τούτοις μάλιστα χρῶνται. οἱ δὲ ἀττικίζοντες οὐδ' ὅλως. παρὰ τὰ σχήματα, ἐπεὶ πάλιν ἔθος τοῖς ἀττικοῖς χρῆσθαι σχήμασι. τοῖς δὲ ἑλληνίζουσιν οὐκέτι. παρὰ δὲ τὸν σχηματισμὸν ἐπειδὴ κατὰ πολλοὺς χρόνους ἐκ τῆς ἑλληνικῆς συνηθείας μετασχηματίζεται τὰ ὀνόματα.

Τοῦ αὐτοῦ περὶ διαφορᾶς χαρακτήρων.

κ

ρατῖνος ὁ τῆς παλαιᾶς κωμῳδίας ποιητὴς, ἅτε δὴ κατὰ τὰς
ἀρχιλόχου ζηλώσεις αὐστηρὸς μὲν ταῖς λοιδορίαις ἐστίν. οὐ γὰρ ὥς
περ ὁ ἀριστοφάνης ἐπιτρέχειν τὴν χάριν τοῖς σκώμμασι ποιεῖ τὸ
φορτικὸν τῆς ἐπιτιμήσεως διὰ ταύτης ἀναιρῶν. ἀλλ' ἁπλῶς κατὰ
τὴν παροιμίαν γυμνῇ τῇ κεφαλῇ τίθησι τὰς βλασφημίας κατὰ τῶν ἁμαρτανόν
των. πολὺς δὲ καὶ τῆς τροπῆς τυγχάνει. εὔστοχος δὲ ὢν ἐν ταῖς ἐπιβολαῖς
τῶν δραμάτων καὶ διασκευαῖς, εἶτα προϊὼν καὶ διασπῶν τὰς ὑποθέσεις,
οὐκ ἀκολούθως πληροῖ τὰ δράματα. εὔπολις δὲ εὐφάνταστος μὲν εἰς ὑπερβο
λήν ἐστιν κατὰ τὰς ὑποθέσεις. τὰς γὰρ εἰσηγήσεις μεγάλας τῶν δραμάτων
ποιεῖται καὶ ἥνπερ ἐν τῇ παραβάσει φαντασίαν κινοῦσιν οἱ λοιποὶ, ταύτην
ἐκεῖνος ἐν τοῖς δράμασιν ἀναγαγεῖν ἱκανὸς ὢν ἐξ ᾅδου νομοθετῶν προ/
σωπα καὶ δι' αὐτῶν εἰσηγούμενος ἢ περὶ θέσεως νόμων ἢ καταλύσεως. ὥς/
περ δέ ἐστιν ὑψηλὸς, οὕτω καὶ ἐπίχαρις. καὶ περὶ τὰ σκέμματα λίαν εὔστο/
χος. ὁ δὲ ἀριστοφάνης τὸν μέσον ἐλήλακε τῶν ἀνδρῶν χαρακτῆρα. οὔτε γὰρ
πικρός λίαν ἐστὶν ὥσπερ ὁ κρατῖνος, οὔτε χαρίεις ὥσπερ ὁ εὔπολις. ἀλλ' ἔχει
καὶ πρὸς τοὺς ἁμαρτάνοντας τὸ σφοδρὸν τοῦ κρατίνου, καὶ τὸ τῆς ἐπιτρεχού
σης χάριτος εὐπόλιδος.

Περὶ κωμῳδίας.

τ

ῆς κωμῳδίας, τὸ μέν ἐστιν ἀρχαῖον. τὸ δὲ νέον. τὸ δὲ μέσον. τῆς δὲ
νέας, διαφέρει ἡ παλαιὰ κωμῳδία, χρόνῳ. διαλέκτῳ ὕλῃ. μέτρῳ.
διασκευῇ. χρόνῳ μὲν, καθὸ ἡ μὲν νέα ἐπὶ ἀλεξάνδρου. ἡ δὲ παλαιὰ
ἐπὶ τῶν πελοποννησιακῶν εἶχε τὴν ἀκμήν. διαλέκτῳ δὲ, καθὸ ἡ
μὲν νέα τὸ σαφέστερον ἔχει, τῇ νέᾳ κεχρημένη ἀτθίδι, ἡ δὲ παλαιὰ, τὸ δει/
νὸν καὶ ὑψηλὸν τοῦ λέγειν. ἐνίοτε δὲ ἐπιτηδεύει καὶ λέξεις τινάς. ὕλῃ δὲ, κα/
θὸ ἡ μὲν νέα κατὰ τὸ πλεῖστον στρέφεται περὶ τὸ ἰαμβικόν. σπανίως δὲ μέ/
τρον ἕτερον. ἐν δὲ τῇ παλαιᾷ, πολυμετρία τὸ σπουδαζόμενον. διασκευῇ δὲ,
ὅτι ἐν μὲν τῇ νέᾳ. χοροῦ οὐκ ἔδει. ἐν ἐκείνῃ δὲ δεῖ. καὶ αὐτὴ δὲ ἡ παλαιὰ, ἑ/
αυτῆς διαφέρει. καὶ γὰρ οἱ ἐν ἀττικῇ πρῶτον συστησάμενοι, τὸ ἐπιτήδευμα
τῆς κωμῳδίας, ἦσαν δὲ οἱ περὶ σουσαρίωνα, καὶ τὰ πρόσωπα εἰσῆγον ἀτά
κτως. καὶ μόνος ἦν γέλως τὸ κατασκευαζόμενον. ἐπιγενόμενος δὲ ὁ κρατῖνος,
κατέστησε μὲν πρῶτον τὰ ἐν τῇ κωμῳδίᾳ πρόσωπα. μέχρι τριῶν συστήσας
τὴν ἀταξίαν. καὶ τῷ χαρίεντι τῆς κωμῳδίας, τὸ ὠφέλιμον προσέθηκε.
τοὺς κακῶς πράττοντας διαβάλλων. καὶ ὥσπερ δημοσίᾳ μάστιγι τῇ κωμῳ
δίᾳ κολάζων. ἀλλ' ἔτι μὲν καὶ οὗτος τῆς ἀρχαιότητος μετεῖχε. καὶ ἠρέμα/
πως τῆς ἀταξίας. ὁ μέντοι γε ἀριστοφάνης μεθοδεύσας τεχνικώτερον τοὺς με
θ' ἑαυτοῦ τὴν κωμῳδίαν ἐνέλαμψεν ἐν ἅπασιν, ἐπίσημος ὀφθεὶς οὕτω. καὶ οὐ/
τω πᾶσαν κωμῳδίαν ἐμελέτησε. καὶ γὰρ τὸ τούτου δρᾶμα ὁ πλοῦτος, νεω
τερίζει κατὰ τὸ πλάσμα τὴν τε γὰρ ὑπόθεσιν ὡς ἀληθῆ ἔχει καὶ χορῶν ἐ/
στέρηται. ὅπερ τῆς νέας ὑπῆρχε κωμῳδίας.

ρει. τοιοῦτος οὖν ἐστιν ὁ τῆς μέσης κωμῳδίας τύπος, οἷός ἐστιν ὁ αἰολοσί-
κων ἀριστοφάνους, καὶ οἱ ὀδυσσεῖς κρατίνου. καὶ πλεῖστα τῶν παλαιῶν δρα-
μάτων. οὔτε χορικὰ οὔτε παραβάσεις ἔχοντα. παράβασις δέ ἐστι τὸ τοι-
οῦτο. μετὰ γὰρ τοὺς ὑποκριτὰς τοῦ πρώτου μέρους ἀπελθόντας ἀπὸ τῆς σκη-
νῆς ἀναχωρῆσαι, ὡς ἂν μὴ γὰρ θέατρον ᾖ. καὶ ὁ δῆμος ἀργὸς καθέζηται, ὁ
χορὸς οὐκ ἔχων πρὸς τοὺς ὑποκριτὰς διαλέγεσθαι, ἀπόστροφον ἐποιεῖτο
πρὸς τὸν δῆμον. κατὰ δὲ τὴν ἀπόστροφον ἐκείνην, οἱ ποιηταὶ διὰ τοῦ χοροῦ ἢ
ὑπὲρ ἑαυτῶν ἀπελογοῦντο. ἢ περὶ δημοσίων πραγμάτων εἰσηγοῦντο. ἡ δὲ
παράβασις ἐπληροῦτο ὑπὸ μελυδρίου καὶ κομματίου καὶ στροφῆς, καὶ ἀν-
τιστρόφου. καὶ ἐπιρρήματος καὶ ἀντεπιρρήματος. καὶ ἀναπαίστων. τὰ μὲν
γὰρ ἔχοντα τὰς παραβάσεις, κατ᾽ ἐκεῖνον τὸν χρόνον ἐδιδάχθη. καθ᾽ ὃν ὁ
δῆμος ἐκράτει. τὰ δὲ οὐκ ἔχοντα, τῆς ἐξουσίας λοιπὸν ἀπὸ τοῦ δήμου μεθι-
σταμένης, καὶ τῆς ὀλιγαρχίας κρατούσης. οἱ δὲ τῆς μέσης κωμῳδίας ποιη-
ταί, καὶ τὰς ὑποθέσεις ἤμειψαν, καὶ τὰ χορικὰ μέλη παρέλιπον, οὐκ ἔχον-
τες τοὺς χορηγούς, τοὺς τὰς δαπάνας τοῖς χορευταῖς παρέχοντας. ὑποθέ-
σεις μὲν γὰρ τῆς παλαιᾶς κωμῳδίας ἦσαν αὗται. τοὺς στρατηγοὺς ἐπιτιμᾶν.
καὶ δικασταῖς οὐκ ὀρθῶς δικάζουσι, καὶ χρήματα συλλέγουσιν ἐξ ἀδικίας τισὶ
καὶ μοχθηρὸν ἐπανῃρημένοις βίον. ἡ δὲ μέση κωμῳδία ἀφῆκε τὰς τοιαύτας ὑ-
ποθέσεις. ἐπὶ δὲ σκώπτειν ἱστορίας ῥηθείσας ποιητικῶς ἦλθον. ἀκίνδυνον γὰρ τὸ τοι-
οῦτον. οἷον, διασύρειν ὅμηρον εἰπόντα τι. ἢ τὸν δεῖνα τῆς τραγῳδίας ποιη-
τήν. τοιαῦτα δὲ δράματα καὶ ἐν τῇ παλαιᾷ κωμῳδίᾳ ἔστιν εὑρεῖν. ἀπὸ
τελευταῖον ἐδιδάχθη λοιπὸν τῆς ὀλιγαρχίας κρατυνθείσης. οἱ γοῦν ὀδυσ-
σεῖς κρατίνου, οὐδενὸς ἐπιτίμησιν ἔχουσι. διασυρμὸν δὲ τῆς ὀδυσσείας τοῦ
ὁμήρου. τοιαῦται γὰρ αἱ κατὰ τὴν μέσην κωμῳδίαν ὑποθέσεις εἰσί. μύθους
γάρ τινας τιθέντες ἐν ταῖς κωμῳδίαις τοῖς παλαιοτέροις εἰρημένους, διέ-
συρον ὡς κακῶς ἐκθέντας. καὶ τὰς παραβάσεις παρῃτήσαντο διὰ τὸ τοὺς
χορηγοὺς ἐπιλεῖψαι χορῶν οὐκ ὄντων. οὐ μὴν οὐδὲ τὰ προσωπεῖα ὁμοιό-
τροπα τοῖς ἐν τῇ παλαιᾷ κωμῳδίᾳ κατεσκευασμένοις ἐστὶ νῦν. ἐν μὲν γὰρ
τῇ παλαιᾷ εἴκαζον τὰ προσωπεῖα τοῖς κωμῳδουμένοις. ἵνα πρὶν τι καὶ τοὺς
ὑποκριτὰς εἰπεῖν ὁ κωμῳδούμενος ἐκ τῆς ὁμοιότητος τῆς ὄψεως κατά-
δηλος ᾖ. ἐν δὲ τῇ μέσῃ καὶ νέᾳ κωμῳδίᾳ, ἐπίτηδες τὰ προσωπεῖα πρὸς
τὸ γελοιότερον ἐδημιούργησαν, δεδοικότες τοὺς μακεδόνας καὶ τοὺς ἐπηρ-
τημένους ἐξ ἐκείνων φόβους. ἵνα δὲ μὴ ἐκ τύχης τινὸς ὁμοιότης προσώπου
συμπέσῃ τινὶ μακεδόνων ἄρχοντι. καὶ δόξας ὁ ποιητὴς ἐκ προαιρέσεως κω-
μῳδεῖν, δίκας ὑπόσχῃ. ὁρῶμεν γοῦν τὰς ὀφρῦς ἐν τοῖς προσώποις τῆς με-
ναίδρου κωμῳδίας ὁποίας ἔχει. καὶ ὅπως ἐξεστραμμένον τὸ σῶμα καὶ
οὐδὲ κατὰ ἀνθρώπων φύσιν.

25.b. 114.b. 115.a. 327.b.

τῶν ἀσυνέτων μέμψιν. ἵν' οὖν μὴ καὶ αὐτὸς ἀδικεῖν δόξω τοὺς συνετοὺς, τὸ ἐπελ-
θόν μοι κατὰ νοῦν τούτοις προὔθηκα. οὗτοι δ' ἂν εἰδεῖεν, εἰ καλῶς ἔχει ἢ μή.
ἐπεὶ καὶ ἄλλοι περὶ τῶν χορικῶν μελῶν καὶ τῶν ἄλλων τῶν ἐν τοῖς δράμασι φε-
ρομένων εἰδῶν συνενόηται θεία τινὶ καὶ ἀπορρήτῳ ἐμπνεύσει, ἔπειτα προηγησα-
μένῳ περί τε τούτων καὶ τῶν ἐν αὐτοῖς μέτρων, καὶ ταῦτ' ἐν τοῖς δράμασιν
ἐξετέθη. ὡς ἂν οἱ ἐντυγχάνοντες ἔχοιεν διαγινώσκειν, τάς τε στροφὰς καὶ ἀν-
τιστροφὰς τῶν μελῶν καὶ τὰς ἐπῳδοὺς, καὶ τίνος ἐστὶν εἴδους καὶ μέτρου τῶν
μελῶν ἕκαστον. καὶ μὴ μάτην τὰ τῶν χορῶν ὁρᾶν μέλη τοῖς ὀφθαλμοῖς. μη-
δὲν δὲ τούτων εἰδέναι, ὥσπερ τινὲς μὴ γραμμάτων ἔχοντες πεῖραν. καὶ βιβλί-
ον ἀνὰ χεῖρας ἀράμενοι, βλέπουσι μὲν τύπους γραμμάτων. οὐδὲν δὲ τῶν ἐγκει-
μένων ἴσασιν.

Ἐκ τῶν πλατωνίου, περὶ διαφορᾶς κωμῳδιῶν.

Ἀλλ' ὑπομνῆσαι θέλω τὰς αἰτίας, δι' ἃς ἡ μὲν ἀρχαία κωμῳδία,
κ ἰδιόν τινα τύπον ἔχει. ἡ δὲ μέση, διάφορος ἐστὶ πρὸς ταύτην. Ἐπὶ
τῶν ἀριστοφάνους καὶ κρατίνου καὶ εὐπόλιδος χρόνων, τὰ τῆς
δημοκρατίας ἐκράτει παρὰ ἀθηναίοις. καὶ τὴν ἐξουσίαν σύμπα-
σαν ὁ δῆμος εἶχεν, αὐτὸς αὐτοκράτωρ καὶ κύριος τῶν πολιτικῶν πραγμάτων
ὑπάρχων. τῆς ἰσηγορίας οὖν πᾶσιν ὑπαρχούσης, ἄδειαν οἱ τὰς κωμῳδίας
συγγράφοντες εἶχον τοῦ σκώπτειν καὶ στρατηγοὺς καὶ δικαστὰς τοὺς κακῶς
δικάζοντας. καὶ τῶν πολιτῶν τινὰς, ἢ φιλαργύρους, ἢ συζῶντας ἀσελγείᾳ. ὁ
γὰρ δῆμος ὡς εἶπον, ἐξῄρει τὸν φόβον τῶν κωμῳδούντων, φιλοτίμως τῶν τοῖς
τοιούτοις βλασφημούντων ἀκούων. ἴσμεν γὰρ ὡς ἀντίκειται φύσει τοῖς πλου-
σίοις ἐξ ἀρχῆς ὁ δῆμος καὶ ταῖς δυσπραγίαις αὐτῶν ἥδεται. ἐπὶ τοίνυν τῆς
ἀριστοφάνους καὶ κρατίνου καὶ εὐπόλιδος κωμῳδίας, ἀφόρητοί τινες κατὰ τῶν
ἁμαρτανόντων ἦσαν οἱ ποιηταί. λοιπὸν δὲ τῆς δημοκρατίας ὑποχωρούσης ὑπὸ
τῶν κατὰ τὰς ἀθήνας τυραννούντων, καὶ καθισταμένης ὀλιγαρχίας καὶ μετα-
πιπτούσης τῆς ἐξουσίας τοῦ δήμου εἰς ὀλίγους, καὶ κρατυνομένης τῆς ὀλιγαρ-
χίας, ἐνέπιπτε τοῖς ποιηταῖς φόβος, οὐ γὰρ ἦν τινὰ προφανῶς σκώπτειν, δί-
κας ἀπαιτούντων τῶν ὑβριζομένων παρὰ τῶν ποιητῶν. ἴσμεν γοῦν τὸν εὔπο-
λιν, ἐπὶ τῷ διδάξαι τοὺς βάπτας, ἀποπνιγέντα εἰς τὴν θάλασσαν ὑπ' ἐκείνων.
εἰς οὓς καθῆκε τοὺς βάπτας. καὶ διὰ τοῦτο ὀκνηρότεροι πρὸς τὰ σκώμματα ἐγέ-
νοντο. καὶ ἐπέλιπον οἱ χορηγοί. οὐ γὰρ ἔτι προθυμίαν εἶχον οἱ ἀθηναῖοι τοῦ χο-
ρηγοὺς τοὺς τὰς δαπάνας τοῖς χορευταῖς παρέχοντας χειροτονεῖν. τὸν γοῦν
αἰολοσίκωνα, ἀριστοφάνης ἐδίδαξεν, ὃς οὐκ ἔχει τὰ χορικὰ μέλη. τῶν γὰρ χο-
ρευτῶν μὴ χειροτονουμένων, καὶ τῶν χορηγῶν οὐκ ἐχόντων τὰς τροφὰς, ὑπε-
ξῃρέθη τῆς κωμῳδίας τὰ χορικὰ μέλη. καὶ τῶν ὑποθέσεων ὁ τύπος μετεβλή-
θη. σκοπὸς γὰρ ὄντος τῇ ἀρχικωμῳδίᾳ τοῦ σκώπτειν δήμους καὶ δικαστὰς καὶ
στρατηγοὺς, παρεὶς ὁ ἀριστοφάνης τοῦ συνήθως ἀποσκῶψαι. διὰ τὸν πολὺν
φόβον, αἴολον τὸ δρᾶμα τὸ γραφὲν τοῖς τραγῳδοῖς ὡς κακῶς ἔχον διασυ-

ἰού. ἢ τὸ ἰὼ ἰώ. ἢ τὸ φεῦ φεῦ ἰώ. ταῦτα γὰρ μόνα μέτρα ἐστὶν ἀκατάληκτα, διὰ τὸ ἀπηρτισμένους ἔχειν τοὺς πόδας. καὶ μὴ ἐλλιπεῖς ὡς τὰ εἰρημένα. ὑπερκαταλήκτου δὲ, τὸ ἔχον ἀπηρτισμένους τοὺς πόδας. ἔχον δὲ καὶ συλλαβὴν μίαν πλείονα. ἄρχεται δὲ πρῶτον τοῦ δακτυλικοῦ, ὅτι τοῦτο μόνον κατὰ μονοποδίαν μετρεῖται, διὰ τὸ εἶναι τοὺς πόδας τρισυλλάβους. ὅτε μὲν οὖν ἀπηρτισμένους ἔχει τοὺς πόδας, λέγεται ἀκατάληκτον. ὅτε δὲ πλείονα συλλαβὴν ἔχει, λέγεται καταληκτικὸν εἰς συλλαβήν. ὅτε δὲ δύο, καταληκτικὸν εἰς δισύλλαβον. οὐκ ἔχει γὰρ ἐν τούτῳ χώραν τὸ βραχυκατάληκτον. ἢ τὸ ὑπερκατάληκτον, ὥς οἱ μετρικοί φασι. ταῦτα καὶ ἐπὶ διμέτρου καὶ τριμέτρου, καὶ τῶν λοιπῶν συμβαίνει τὰ πάθη. 57.a.

Τοῦ αὐτοῦ περὶ σημείων τῆς κοινῆς συλλαβῆς τῶν ἐν ἀρχῇ κειμένων τῆς βίβλου.

ε Πειδήπερ οἱ πάλαι τὰ περὶ γραμματικῆς συνταξάμενοι, σημεῖά τινα σοφῶς ἐπινοήσαντες παραδεδώκασιν, ἐξ ὧν τήν τε δύναμιν καὶ τὴν ὡς ἂν εἴποι τις ποιότητα τῶν συλλαβῶν καὶ τὴν προφορὰν διαγινώσκειν ἔχοιμεν. συλλαβῶν δέ μοι καὶ οὐ στοιχείων εἴρηται ἐπειδὴ τὰ μὲν στοιχεῖα καθ' αὑτὰ κείμενα, οὐδεμιᾶς τινὲς μετέχει δυνάμεως. συλληφθέντα δὲ καὶ συνενωθέντα πρὸς ἄλληλα, καὶ τὰς συλλαβὰς ἀποτελέσαντα, δυνάμεις τέ τινας καὶ ποιότητας ἔχει. ἐπενόησαν δὲ ἄλλα τε σημεῖα. τόνους φημὶ καὶ πνεύματα καὶ τὰ λοιπά. ἃ δὴ καὶ προσῳδίας ὠνόμασαν. ὡς πρὸς τὴν ᾠδὴν καὶ τὴν ἐκφώνησιν τῶν συλλαβῶν συντελούσας. πρὸς τούτοις δὲ καὶ μακρᾶς μὲν σημεῖον τοδί. –. τῆς δὲ βραχείας τουτί. ˘. τῆς δὲ κοινῆς οὐδαμῶς. ἐκείνων γὰρ καὶ ὅρους ἔθεντο. ταύτης δὲ οὔ. καὶ τὰς αἰτίας αὐτοὶ λέγουσιν, ἐπινοηθὲν μοί τι τῆς κοινῆς σημεῖον διὰ τὴν τῶν πολλῶν ἄγνοιαν. καὶ οἶμαι καλὸν ἂν δόξαι τοῖς εὖ φρονοῦσιν. ἐπινοηθὴν δὲ διπλοῦν τὸ σημεῖον, διὰ τὸ διπλῆν τινα καὶ ταύτην ἔχειν τὴν δύναμιν. ὅτι μὲν ἀντὶ βραχείας ὀφείλει λαμβάνεσθαι. σημεῖον ἐπινοηθὲν τοδί. L. μακρὰν δηλονότι κατ' ἀρχὰς ἄνωθεν λεῖπον τὸ τοῦ ἰῶτα στοιχείου σημεῖον ἔχουσα. ὅτι δ' ἀντὶ μακρᾶς, τοῦτο ἀντεστραμμένον οὑτωσί. ⅂. μακρὰ δηλονότι ἐν τῷ τέλει κάτω νεῦον τὸ τοῦ ἰῶτα σημεῖον ἔχουσα. βέλτιον γὰρ ταῦτα τιθέναι. καὶ διαγινώσκειν ποία ἐστὶν ἡ κοινή. ἢ παραινοῦμεν τινάς, τὸ ποιεῖν, γράφειν τε ἀμαθῶς. καὶ φύσει βραχὺ φωνῆεν, ἔχον δὲ ἐπαγόμενα δύο σύμφωνα, ὧν τὸ β. ἀμετάβολον, εἰ ἀντὶ μακροῦ λαμβάνειν. ἢ καὶ τὸ φύσει βραχὺ φωνῆεν ὅταν εἰς μέρος λόγου καταλήγῃ, τὴν μακρὰν ἐπιτιθέντας, ἀντὶ μακροῦ λαμβάνειν, ἄτοπον γὰρ οἶμαι τοῦτό γε, ταῦτα μοι πρὸς τοὺς συνετοὺς εἴρηται, καὶ τῶν μέτρων ἔχοντας πεῖραν. εἰ δέ τινες εἶεν ὑπ' ἀμαθίας μεμφόμενοι, βραχὺς τούτων λόγος. οὐδὲ γὰρ οὐδ' οἱ πάλαι τὰ κάλλιστα συγγεγραφηκότες, ταῦτα τοῖς τοιούτοις ἐκδεδώκασιν. ἀλλὰ τοῖς συνετοῖς, βραχὺν λόγον τῶν μὴ συνετῶν ἔχοντες, ὡς καί πού τις ἔφη ἀείδω ξυνετοῖσι. θύρας δ' ἐπίθεσθε βέβηλοι. ἐγὼ δὲ καὶ ἀδικεῖν ἂν φαίην τοὺς συνετούς. εἰς ἂν ἐπινοήσας σοφόν τι, τοῦτο λήθης βυθοῖς κατακρύψειε. δεδιὼς ἴσως τὴν ἐκ

τοῦ δισυλλάβου σχήματα. τὰς δ' ἐν μέσῳ καθαρὰς ἀντισπαστικάς. τὴν δὲ τελευταίαν ὁπότε ἐστὶν ἀκατάληκτον, ἰαμβικήν. ἐὰν δὲ ἀναμίσγηται ταῖς ἰαμβικαῖς, οὐ μόνον τὴν πρώτην συζυγίαν ἔχει, τετμημένην κατὰ τὸν πρότερον πόδα. ἀλλὰ καὶ τὴν ταῖς ἰαμβικαῖς ἑπομένην. ἔστι δὲ ὅτε καὶ λύεται ὁ πρότερος ποὺς εἰς τρίβραχυν.

Τὸ ἀπὸ μείζονος ἰωνικὸν, συντίθεται μὲν καὶ καθαρόν. συντίθεται δὲ καὶ πρὸς τὰς τροχαϊκὰς ἐπίμικτον. ὅτε μέντοι ἀκατάληκτόν ἐστι καθόλου, σπανίως εἰς τὴν ἰωνικὴν περαιοῦται, διὰ τὸ ἀπρεπῆ εἶναι τὴν ἰωνικὴν ἐπὶ τέλους οὖσαν.

Τὸ ἀπ' ἐλάσσονος ἰωνικὸν, συντίθεται μὲν καὶ καθαρόν. συντίθεται δὲ καὶ ἐπίμικτον, πρὸς τὰς τροχαϊκὰς διποδίας, οὕτως, ὥστε τὴν πρὸ τῆς τροχαϊκῆς ἀεὶ γίνεσθαι πεντάσημον. τουτέστι τρίτην παιωνικήν. καὶ τὴν τροχαϊκὴν ὅταν προτάττοιτο τῆς ἰωνικῆς, γίνεσθαι ἑπτάσημον τροχαϊκήν. τὸν καλούμενον δεύτερον ἐπίτριτον. ἔσθ' ὅτε δὲ, ἡ μὲν τρίτη παιωνικὴ συναιρεῖται εἰς παλιμβάκχειον. τῆς δὲ ἐπιφερομένης τροχαϊκῆς ὁ πρότερος λύεται εἰς τρίβραχυν. ἐμπίπτουσι δὲ καὶ οἱ μολοττοὶ ἐπὶ τῶν περιττῶν χωρῶν, ἐν τοῖς ἀπ' ἐλάττονος ἰωνικοῖς, ὥσπερ ἐν τοῖς ἀπὸ μείζονος ἐπὶ τῶν ἀρτίων. Τὸ δὲ παιωνικὸν, εἴδη μὲν ἔχει τρία. τό, τε κρητικόν. τὸ βακχειακὸν, καὶ τὸ παλιμβακχειακόν. ὃ καὶ ἀνεπιτήδειόν ἐστι πρὸς μελοποιίαν. τὸ δὲ κρητικὸν, ἐπιτήδειον, δέχεται δὲ καὶ λύσεις, τὰς εἰς τοὺς καλουμένους παίωνας. καλεῖται δὲ καὶ ὑπ' αὐτῶν τῶν κρητῶν, κρητικόν. Τοσαῦτα περὶ τῶν ἐννέα μέτρων τῶν μονοειδῶν καὶ ὁμοιοειδῶν. παντὸς δὲ μέτρου ἀδιάφορός ἐστιν ἡ τελευταία συλλαβή. ὥστε δύνασθαι εἶναι αὐτὴν καὶ βραχεῖαν καὶ μακράν. καὶ πᾶν δὲ μέτρον εἰς τελείαν περατοῦται λέξιν. ὅθεν ἐπίληπτά ἐστι τὰ μὴ οὕτως ἔχοντα.

ΔΗΜΗΤΡΙΟΥ ΤΟΥ ΤΡΙΚΛΙΝΙΟΥ.

Ἰστέον ὅτι πάντα τὰ μέτρα πλὴν τοῦ δακτυλικοῦ, κατὰ διποδίαν μετρεῖται. καὶ ἀνέρχεται μέχρι τοῦ πενταμέτρου. ἔστι δὴ μονόμετρον τὸ ἔχον πόδας δύο. δίμετρον τὸ ἔχον πόδας τέσσαρας. τρίμετρον τὸ ἔχον ἕξ, τετράμετρον τὸ ἔχον ὀκτώ. πεντάμετρον, τὸ ἔχον δέκα. καὶ περαιτέρω οὐ πρόεισι. παντὸς δὲ μέτρου. πλὴν τοῦ δακτυλικοῦ, ἀποθέσεις ἤτοι καταλήξεις εἰσὶ τέσσαρες. βραχυκατάληκτον. καταληκτικόν. ἀκατάληκτον. καὶ ὑπερκατάληκτον. καὶ βραχυκατάληκτον μέν ἐστιν ὡς ἐν παραδείγματι ἐπὶ τοῦ μονομέτρου εἰπεῖν, ὅπερ ποδὸς ὅλου δεῖται πρὸς ἀπαρτισμόν. οἷον, τὸ φεῦ φεῦ. ἢ τὸ ἰὼ ἢ τὸ ἔα. ταῦτα γὰρ μονόμετρά ἐστι βραχυκατάληκτα. διὰ τὸ ἔχειν μὲν τὸν ἕνα πόδα. τοῦ ἑτέρου δὲ λείπεσθαι. καταληκτικὸν δὲ, τὸ δεόμενον μιᾶς συλλαβῆς πρὸς ἀπαρτισμόν. οἷον, τὸ ἰώ μοι. ἢ τὸ ὤμοι μοι. ταῦτα γὰρ μονόμετρά ἐστι καταληκτικά. διὰ τὸ ἔχειν ὅλον πόδα καὶ μίαν συλλαβήν. ἤτοι ἥμισυ ποδός. λείπεσθαι δὲ μιᾶς συλλαβῆς πρὸς ἀπαρτισμόν. ἀκατάληκτον δὲ, ὅπερ ἀπηρτισμένους ἔχει τοὺς πόδας. οἷον, τὸ ἰοὺ

ΕΚ ΤΟΥ ΕΓΧΕΙΡΙΔΙΟΥ ΗΦΑΙΣΤΙΩΝΟΣ, ΕΠΙΤΟΜΗ ΤΩΝ ΕΝΝΕΑ ΜΕΤΡΩΝ.

Ὁ ἰαμβικὸν μέτρον δέχεται κατὰ μὲν τὰς περιττὰς χώρας, τουτέστι πρώτην, τρίτην, πέμπτην, ἴαμβον. τρίβραχυν. σπονδεῖον. δάκτυλον. ἀνάπαιστον. κατὰ δὲ τοὺς ἀρτίους, τουτέστι δευτέραν τετάρτην. ἕκτην, ἴαμβον. καὶ τρίβραχυν καὶ ἀνάπαιστον τοῦτον δὲ παρὰ τοῖς κωμικοῖς συνεχῶς. παρὰ δὲ τοῖς ἰαμβοποιοῖς καὶ τραγικοῖς σπανιώτερον. ὅτι μὲν οὖν ἀκατάληκτόν ἐστιν, ἐπὶ τῆς τελευταίας τὸν ἴαμβον δέχεται μόνον. ἢ πυῤῥίχιον διὰ τὴν ἀδιάφορον. ὅτι δὲ καταληκτικόν, τὸν ἴαμβον παραλήγοντα. ἢ σπανίως τρίβραχυν. ὥστε γίνεσθαι τὴν κατακλεῖδα ἤτοι ἀμφίβραχυν. ἢ βακχεῖον. Τὸ τροχαϊκόν, κατὰ μὲν τὰς περιττὰς χώρας δέχεται τροχαῖον. τρίβραχυν. ἴαμβον, καὶ δάκτυλον, κατὰ δὲ τὰς ἀρτίους, τούτοις τε καὶ σπονδεῖον. καὶ ἀνάπαιστον. καταληκτικὸν δὲ ὅτι ἐστί, τὸν παραλήγοντα μὲν τροχαῖον δέχεται. ἔστι δ᾽ ὅτε καὶ τρίβραχυν. ἐὰν δὲ ᾖ βραχυκατάληκτον, οὐ βούλεται τὸν παραλήγοντα τετράχρονον ἔχειν. Τὸ δακτυλικὸν δέχεται δακτύλους καὶ σπονδείους κατὰ πᾶσαν χώραν, πλὴν τῆς τελευταίας. ἐπὶ ταύτης δὲ εἰ μὲν καταληκτικὸν εἴη, δάκτυλον ἕξει. ἢ διὰ τὴν ἀδιάφορον κρητικόν. εἰ δὲ καταληκτικόν, τὰ ἀπ᾽ αὐτοῦ μεμειωμένα. ἤτοι συλλαβῇ. ἢ δυσὶ συλλαβαῖς. καὶ τὸ μέν, καλεῖται καταληκτικὸν εἰς συλλαβήν. τὸ δέ, καταληκτικὸν εἰς δισύλλαβον. τὰ δὲ αἰολικὰ καλούμενα, τὸν μὲν πρῶτον ἔχει πάντως ἕνα τῶν δισυλλάβων ἀδιάφορον. ἤτοι σπονδεῖον ἢ ἴαμβον. ἢ τροχαῖον. ἢ πυῤῥίχιον. τοὺς δὲ ἐν μέσῳ, δακτύλους πάντας. ἔστι δέ τινα καὶ λογαοιδικὰ καλούμενα δακτυλικά. ἅπερ ἐν μὲν ταῖς ἄλλαις χώραις, δακτύλους ἔχει. τελευταίαν δὲ τροχαϊκὴν συζυγίαν. ἰστέον δ᾽ ὅτι τὰ μὲν ἄνω εἰρημένα, κατὰ συζυγίαν μετρεῖται. τοῦτο δὲ μόνον, κατὰ μονοποδίαν. Τὸ ἀναπαιστικόν, κατὰ πᾶσαν χώραν δέχεται σπονδεῖον. ἀνάπαιστον. σπανίως δὲ καὶ προκελευσματικόν. παρὰ δὲ τοῖς δραματοποιοῖς, ἴαμβον καὶ δάκτυλον. εἰσὶ δὲ αὐτοῦ αἱ ἀποθέσεις ἕξ, κατὰ συζυγίαν διαιρούμεναι. ὑπερκατάληκτον εἰς δισύλλαβον. ὑπερκαταληκτικὸν εἰς συλλαβήν. ἀκατάληκτον. καταληκτικὸν εἰς δισύλλαβον. κατάληκτον εἰς συλλαβήν, βραχυκατάληκτον. ὥσπερ δὲ ἐν τῷ δακτυλικῷ ἦν τι λογαοιδικόν. οὕτω κἂν τοῖς ἀναπαιστικοῖς τὸ εἰς βακχεῖον περαιούμενον. οὗ ἐστιν ἐπισημότατον, τὸ μετὰ τέσσαρας πόδας, αὐτὸν ἔχον τὸν βακχεῖον. ὧν ὁ πρῶτος γίνεται καὶ σπονδεῖος καὶ ἴαμβος.

Τὸ χοριαμβικόν, συντίθεται μὲν καὶ καθαρόν, συντίθεται καὶ δὲ ἐπίμικτον πρὸς τὰς ἰαμβικάς. ὡς ἐπίπαν δέ, ὅτι κατάληκτόν ἐστιν, εἰς τὴν ἰαμβικὴν κατακλεῖδα περαιοῦται. τουτέστιν εἰς ἀμφίβραχυν. ἢ βακχεῖον διὰ τὴν ἀδιάφορον. περαιοῦται μὲν γὰρ καὶ εἰς τὴν ἰδίαν. τὸν δάκτυλον ἢ κρητικόν. ἀλλὰ τῷ ταῦτα συνεχέστερα εἶναι, ἀπρεπέστερά εἰσιν. Τὸ ἀντισπαστικόν, τὴν μὲν πρώτην συζυγίαν ἔχει τετραμμένην κατὰ τὸν πρότερον πόδα, εἰς τὰ τέσσαρα

Τέλος.

Τινὰ μὲν ὡς οἰκός, ὦ φιλόλογοι, ἐν τῷ ταυτηνὶ τὴν βίβλον τυπῶσαι σφάλματα ἐγενήθησαν, ὧν τὰς ἐπιδιορθώσεις, ἐνταῦθα ἀπογράφεσθαι οὐκ ἄχρηστον ἡγησάμεθα, ἐπισκοπεῖτε τοίνυν ὀρθῶς καὶ ταῦτα ἀκριβέστερον ἀναγινώσκετε, ἡμῖν τε χάριν ἔχετε, ἔρρωσθε.

B

ἐν τῇ ὀγδόῃ σελίδι διαρραγείης λείπει χο.

I

ἐν τῇ τετάρτῃ σελίδι ἀντὶ τοῦ στρ. γράφε στρ. ἀντὶ δὲ τοῦ στρ. γράφε συ. ἀλλοίωσις γάρ ἐστι τῶν προσώπων. ἐν τῇ ιε σελίδι ἀντὶ ἠμεκτέον γράφε ἠμαεκτίου.

K

ἐν τῇ ζ' σελίδι ἀντὶ ἔσοι γράφε εἴσοι.

N

ἐν τῇ γ ἀντὶ παρούργος γράφε πανοῦργος. ἐν τῇ ια σελίδι ἀντὶ χρύνων γράφε χρηνῶν.

P

ἐν τῇ δευτέρᾳ σελίδι ἀντὶ τεθνηκέναι γράφε τεθνηκέναι. ἐν τῇ ις ἀντὶ πρὸς ἔργον γράφε πρὸς ἔργον.

Q

ἐν τῇ ξ' σελίδι ἀντὶ τριτὴν γράφε τριτὴν. ἐν τῇ αὐτῇ ἀντὶ πεπροῦμαι γράφε πεπριοῦμαι.

R

ἐν τῇ δευτέρᾳ ἀντὶ ταῦτ' ἀεὶ γράφε ταὐτ'.

T

ἐν τῇ ζ'. ἀντὶ κέγρατας γράφε κέγραγας.

AA

ἐν τῇ ἕκτῃ σελίδι ἀντὶ ὑπέκριπτε γράφε ὑπέκρυπτε.

DD

ἐν τῇ ιδ' σελίδι ἀντὶ φάσω γράφε φράσω.

FF

ἐν τῇ ιδ' σελίδι ἀντὶ ταχὺς παχύς.
ἐν τῇ ια σελίδι ἀντὶ μήρτα γράφε μύρτα.

SS

ἐν τῇ πρώτῃ σελίδι οὐχ οὐ ξυλλήψεθ' γράφε οὐ ξυλλήψεθ'.

VV

ἐν τῇ ια σελίδι ἀντὶ τὰ ζόματα γράφε τὰ ῥώματα. ἐν τῇ ιβ σελίδι ἀντὶ ἤδειν γράφε ᾔδειν.
ἐν τῇ ιγ ἀντὶ κολλάβου γράφε κολλύβου.

X

T

παροιμιακὸν. 246. ς

Κιττῶ. 233.

ἰσχάδες - .9.

B

ctissima affinitate coniūctus, est adhortatus, cum eorū more qui aliorū scripta, ut paulo ante dicebamus, à se pristino candori restituta summis regibus dedicarūt, ut initā apud te iamdudū gratiā, dū adhuc adolescentulus, Florentiæ acri studio bonis disciplinis operā dabas, renouaremus renouatāq; confirmaremus, tum q͂a patrocinij quodā iure tibi tamq; musarū altori debent̃ litteratorū uigiliæ. Omitto hoc loco, iudicij tui grauitatē, ingenij magnitudinem, egregiā romanæ græcæq; linguæ eruditionem, fidem summam, humanitatem singularem, quibus ad promerendam hominum gratiam assidue uteris, adeo ut non inmerito Cle. Pont. Max. acerrimus ingeniorum perscrutator, te ex omnibus unum elegerit cui duarū Diœcesium Rauennæ. s. ac Cremonæ curā demādaret, & quem, quod omnes admiramur, ad maiora nāq; proculdubio uocaris, pœnitiss. arcanis admitteret, nam grauiori præconio quàm hoc breuissimo titulo uirtutum tuarum laudes celebrandas putamus. Bona igitur aui suscipe nostras qualescunq; sunt lucubrationes exiguum sanè munus at ex eorum genere, quæ soleant hominum famam æternitati consecrare, bonasq; disciplinas, quod facis, amplexare & foue. Vale ac longum uiue tuis felix clarus posteritati uicturus.

BENEDICTO ACCOLTAE ARCHIEPISCOPO RAVENNATI AC CLE. VII. PONT. MAXIMI A SECRETIS POENITISS. ANTONIVS FRACINVS VARCHIENSIS. S.

f VIT Iampridem Pontifex permagne, maioribus nostris,
haec & non spernenda, consuetudo, ut quoties quis apud
aliquem principem gratiam inire uellet, is illi muneri ap/
portaret ex rebus suis, uel quas charissimas et in delitijs ha-
beret, uel quibus illũ, plurimũ oblectari intelligeret. Hinc
legimus huic dono datos p̃ciosissimos lapillos, illi uelocissimos equos, huic
rursus, aureas purpureasq; uestes, illi uero quia bonarũ artiũ studia secta/
ret, uetustissima, tum graecorũ, tum latinorũ scriptorum exemplaria. Mul
ti praeterea ob hanc eãdem, puto, causam, sua scripta summis etiam regibus
nuncuparunt, ut Iulius Pollux ad Cõmodum Caesarem de grammatica.
M. Vitruuius ad Augustum de architectura, Oppianus de Piscibus ad
Antonium, Diophanes ad Regem Deiotarum de agricultura, nonnulli
quoq; aliorum scripta per negligentiam ad pernitiem labentia collatis in
unum multis exemplaribus, in meliorem formam suo labore industriaq; re
stituta principibus uiris dedicarunt. Horum nos exemplum imitati, licet
labori nostro legentium gratia haud quaquam par futura uideatur, ad re
cognitionem romanae graecaeq; linguae scriptorũ, curam omnium pulcher/
rimam, animum operamq; conuertimus. quae res quanto labori nobis fue/
rit & adhuc futura sit, testimonio sint aliquot boni authores, quorum scri
pta, iam situ obruta & ad interitum spectantia, à nobis summo labore pri
stinae integritati restituta, in lucem prodierunt. Inter alia recognouimus
Aristophanis Comicorũ omnium lepidissimi, nouem Comoedias, uere grae
ci candoris eloquijq; delitias, cum sale suo, lepore, politissimisq; facetijs de/
lectet multum, sententiarum uero luminibus, plurimum prodesse possit,
ad hoc Arsenij cretẽsis Archiepiscopi Monembasiae magna eruditione uiri
acerrimo iudicio usi, dum is Florentiae adolescẽtulos illos, quos Leo, Pont.
Max. ad reparandam graecae linguae iacturam ex media Graecia accersiue
rat, instituit. In qua quidem recognitiõe hoc in primis gloriari licet, nos
omnium primos in Comoedia cui titulus est εἰρήνη ad sexaginta uersicu
los nostra diligentia repertos restituisse. Has Comoedias nũc primum dili
gẽtissime excusas, commẽtarijs auctas, atq; indice copiosissimo exornatas,
tuo illustri nomini Pontifex permagne dicare cogitãtes, Petrus Gerius, exi
mia probitate uir, tibi & uniuersae familiae tuae deditissimus, nobis uero ar/

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΚΩΜΩΔΙΑΙ ΕΝΝΕΑ. ΜΕΤΑ ΣΧΟ-

λίων πολλῶν παλαιῶν καὶ πάνυ ὠφελίμων πρὸς τοῖς πρότερον ἐντετυπωμένων, σὺν πίνακι ἀφθονοτάτῳ, τῶν ἁπάν-
των εἰς ἃ δεῖ τὸν νοῦν προσέχειν.

ARISTOPHANIS COMOEDIAE NOVEM CVM COM

mentariis antiquis & ualde utilibus ad ea quæ prius, excusa fuerant additis, indiceq; copiosissimo om-
nium quæ animaduertere oportet.

Πλοῦτος.	Plutus.
Νεφέλαι	Nebulæ.
Βάτραχοι.	Ranæ.
Ἱππεῖς.	Equites.
Ἀχαρνεῖς.	Acharnes.
Σφῆκες.	Vespæ.
Ὄρνιθες.	Aues.
Εἰρήνη.	Pax.
Ἐκκλησιάζουσαι.	Concionantes.